Α'. Ἐπειδὴ (80) ἀνεκαθήραμεν τῷ λόγῳ τὸν θεολόγον, οἷόν τε εἶναι χρὴ διελθόντες, καὶ οἷστισι φιλοσοφητέον, καὶ ἡνίκα, καὶ ὅσον· ὅτι ὡς οἷόν τε καθαρὸν (81), ἵνα φωτὶ καταλαμβάνηται φῶς· καὶ τοῖς ἐπιμελεστέροις, ἵνα μὴ ἄγονος ᾖ εἰς ἄγονον χώραν ἐμπίπτων ὁ λόγος· καὶ ὅταν γαλήνην ἔχωμεν ἔνδον ἀπὸ τῆς ἔξω περιφορᾶς, ὥστε μὴ, καθάπερ οἱ λυττῶντες (82), τῷ πνεύματι διακόπτεσθαι· καὶ ὅσον ἐχωρήσαμεν, ἢ χωρούμεθα. Ἐπειδὴ ταῦτα οὕτω, καὶ ἐνεώσαμεν ἑαυτοῖς θεῖα νεώματα (83), ὥστε μὴ σπείρειν ἐπ' ἀκάνθαις, καὶ τὸ πρόσωπον τῆς γῆς ὡμαλίσαμεν, τῇ Γραφῇ τυπωθέντες τε καὶ τυπώσαντες· φέρε, τοῖς τῆς θεολογίας ἤδη προσβῶμεν λόγοις, προστησάμενοι τοῦ λόγου τὸν Πατέρα, καὶ τὸν Υἱὸν, καὶ τὸ Πνεῦμα τὸ ἅγιον, περὶ ὧν ὁ λόγος, ὥστε τὸν μὲν εὐδοκεῖν, τὸν δὲ συνεργεῖν, τὸ δὲ ἐμπνεῖν· μᾶλλον δὲ μίαν ἐκ τῆς μιᾶς θεότητος γενέσθαι τὴν

ORATIO XXVIII[a].

THEOLOGICA SECUNDA.

De theologia.

I. Quoniam sermone theologum repurgavimus, cum illud exposuimus, et qualem eum esse, et apud quos, et quando, et quatenus philosophari oporteat : nam et eum quam maxime purum esse necesse est, ut luce lucem percipiat, et apud studiosos, et diligentes auditores orationem habere, **495** ne alioqui in sterilem terram sermo incidens, sterilis quoque ipse sit[27]; et tum demum, cum ab externarum rerum jactatione tranquillum animum habuerimus, ne, quod singultientibus accidere solet, spiritus nobis interrumpatur; ac denique hactenus disserendum, quatenus vel ipsi concepimus, vel ab alienis concipimur. Quoniam, inquam, hæc ita se habent, ac, ne super spinas seramus[28], nobis divina novalia novavimus[29], terræque superficiem complanavimus[30], Scriptura videlicet sacra, tum ipsi informati, tum alios informantes : age, jam ad

[27] Matth. XIII, 5 et seqq. [28] ibid. 7. [29] Jer. IV, 3. [30] Isa. XXVIII, 25.

[a] Alias XXXIV. Quæ autem 28 erat, nunc 26. — Habita anno 380.
(79) *Περὶ θεολογίας*. Sic editi. Eadem inscriptione gaudet in plerisque codicibus.
(80) Ἐπειδή. Or. 1, ἐπειδὲ [f. pro ἐπεὶ δὲ].
(81) Καθαρόν. Coisl. 1, Or. 1, etc., καθαροῖς. Combefisius utramque vocem simul admittendam putat, qua admissa sic reddit : « ut purus puris auribus sermonem infundat. » Utrique enim, oratori et auditori, puritas necessaria est, « ut lux luce » percipiatur, ab iis scilicet « qui majorem curam attulerint, » τοῖς ἐπιμελεστέροις.
(82) Οἱ λυττῶντες. Bas., οἱ λύζοντες.
(83) Θεῖα νεώματα. Alludit profecto ad hæc Jerem. verba, IV, 3 : « Novate vobis novale, et nolite serere super spinas. » Alludit etiam ad hæc Isaiæ XXVIII, 25 : « Nonne cum adæquaverit faciem ejus, seret, » etc.

theologiæ sermones accedamus, Patrem, et Filium, et Spiritum sanctum, de quibus dicere instituimus, orationi nostræ præficientes; ut et Pater propensa erga nos voluntate sit, et Filius adjutricem manum porrigat, et Spiritus vim suam afflet; vel, ut rectius loquar, unus ab una eademque divinitate ortus fulgor nos illustret, conjunctim distinctus, ac distinctim conjunctus, id quod valde mirandum est.

A ἔλλαμψιν ἑνικῶς διαιρουμένην (84), καὶ συναπτομένην διαιρετῶς, ὃ καὶ παράδοξον.

II. Mihi porro in montem alacriter ascendenti [31], aut, ut verius dicam, ascendere proponenti simul ac trepidanti, illud propter spem, hoc propter imbecillitatem, ut nubem penetrem, ac cum Deo commercium habeam (Deus enim ita jubet): si quis Aaron est, comitem se ascensus præbeat, atque in propinquo stet, etiam si extra nubem sibi manendum sit, æqui bonique consulens. Si autem Nadab quispiam, aut Abiud, aut ex seniorum ordine, ascendat ille quidem, verum procul insistat, pro purgationis suæ merito ac dignitate. Si vero quispiam e vulgo, atque hujusmodi sublimitate ac speculatione indignus, si quidem omnino impurus ac profanus sit, nullo modo accedat, neque enim ea res periculi expers est: si autem saltem ad horæ tempus purgatus, infra subsistat, ac solam vocem et buccinam, hoc est, nuda pietatis verba audiat. Montem etiam fumo circumfusum ac coruscantem cernat, terrore simul eos et admiratione afficientem, quibus ascendere minime licet. Quod si quis mala et sæva bestia est, nec speculationis et theologiæ ullo modo capax, ne, velut in silvis, versute ac malitiose latitet, ut impetu repente facto verbum aliquod, vel dogma rapiat, atque obtrectationibus et calumniis saluberrimam doctrinam discerpat, verum longius adhuc consistat, atque a monte recedat: alioqui lapidibus opprimetur, et obteretur, malusque male perdetur [32]. **497** (Lapides enim sunt belluinis hominibus veri ac solidi sermones.) Sive pardus sit, simul cum variis suis notis et maculis moriatur [33]; sive leo rapiens et rugiens, ac quærens quamnam animarum aut dictionum nostrarum devoret [34]; sive porcus, egregias et pellucidas veritatis margaritas conculcans [35]; sive lupus Arabicus [36] et peregrinus, aut etiam his, quoad sophismata et captiosas disputationes, acutior; sive vulpes [37], hoc est, versuta quædam anima, fideque ancipiti prædita, et pro temporum varietate alia atque alia, novamque subinde, ut id rebus suis conducere arbitratur, formam assumens, quam mortua et fetida corpora nutriunt, aut humiles vineæ, cum ad altas aspirare nequeat; sive denique aliud quoddam crudivorum animal, legisque edicto rejectaneum,

Β'. Ἀνιόντι δέ μοι προθύμως ἐπὶ τὸ ὄρος, ἤ τό γε ἀληθέστερον εἰπεῖν, προθυμουμένῳ τε ἅμα καὶ ἀγωνιῶντι, τὸ μὲν διὰ τὴν ἐλπίδα, τὸ δὲ διὰ τὴν ἀσθένειαν (85), ἵνα τῆς νεφέλης εἴσω γένωμαι (86), καὶ Θεῷ συγγένωμαι (τοῦτο γὰρ κελεύει Θεός)· εἰ μέν τις Ἀαρὼν, συνανίτω, καὶ στηκέτω πλησίον, κἂν ἔξω μένειν τῆς νεφέλης δέῃ, τοῦτο δεχόμενος. Εἰ δέ τις B Ναδὰβ, ἢ Ἀβιοὺδ, ἢ τῆς γερουσίας, ἀνίτω μὲν, ἀλλὰ στηκέτω πόῤῥωθεν, κατὰ τὴν ἀξίαν τῆς καθάρσεως. Εἰ δέ τις τῶν πολλῶν καὶ ἀναξίων ὕψους τοιούτου καὶ θεωρίας, εἰ μὲν ἄναγνος πάντη, μηδὲ προσίτω, οὐ γὰρ (87) ἀσφαλές· εἰ δὲ πρόσκαιρα γοῦν (88) ἡγνισμένος, κάτω μενέτω, καὶ μόνης ἀκουέτω τῆς φωνῆς καὶ τῆς σάλπιγγος, τῶν ψιλῶν τῆς εὐσεβείας ῥημάτων· καπνιζόμενόν τε τὸ ὄρος βλεπέτω (89) καὶ καταστραπτόμενον, ἀπειλήν τε ὁμοῦ καὶ θαῦμα τοῖς ἀνιέναι μὴ δυναμένοις. Εἰ δέ τις θηρίον ἐστὶ πονηρὸν, καὶ ἀνήμερον, καὶ ἀνεπίδεκτον πάντη λόγων (90) θεωρίας καὶ θεολογίας, μὴ ἐμφωλευέτω ταῖς ὕλαις κακούργως καὶ κακοήθως, ἵνα τινὸς λάβηται δόγματος ἢ ῥήματος, ἀθρόως (91) προσπηδῆσαν, καὶ σπαράξῃ τοὺς ὑγιαίνοντας λόγους ταῖς ἐπηρείαις· ἀλλ' C ἔτι πόῤῥωθεν στηκέτω, καὶ ἀποχωρείτω τοῦ ὄρους· ἢ λιθοβοληθήσεται, καὶ συντριβήσεται, καὶ ἀπολεῖται κακῶς κακός· λίθοι γὰρ τοῖς θηριώδεσιν, οἱ ἀληθεῖς λόγοι καὶ στεῤῥοί. Εἴτε πάρδαλις εἴη, συναποθνησκέτω τοῖς ποικίλμασιν· εἴτε λέων ἁρπάζων καὶ ὠρυόμενος, καὶ ζητῶν ἥντινα βρῶσιν ποιήσεται τῶν ἡμετέρων ψυχῶν ἢ λέξεων· εἴτε σῦς καταπατῶν τοὺς καλούς τε καὶ διαυγεῖς μαργαρίτας τῆς ἀληθείας· εἴτε λύκος Ἀραβικὸς (92) καὶ ἀλλόφυλος, ἢ καὶ τούτων ὀξύτερος τοῖς σοφίσμασιν· εἴτε ἀλώπηξ, δολερά τις ψυχὴ καὶ ἄπιστος, καὶ ἄλλοτε ἄλλη τοῖς καιροῖς καὶ ταῖς χρείαις συμμορφουμένη, ἣν νεκρὰ τρέφει καὶ ὀδωδότα σώματα, ἢ ἀμπελῶνες μικροὶ, τῶν μεγάλων διαπεφευγότων· εἴτε τι ἄλλο τῶν ὠμοβόρων, καὶ ἀποβλήτων τῷ νόμῳ, καὶ οὐ καθαρῶν εἰς βρῶσίν τε D καὶ ἀπόλαυσιν. Βούλεται γὰρ τούτων ἀποχωρήσας ὁ λόγος, οὕτω πλαξὶ στεῤῥαῖς καὶ λιθίναις ἐγγράφεσθαι, καὶ ταύταις ἀμφοτέρωθεν, διά τε τὸ φαινόμενον τοῦ νόμου, καὶ τὸ κρυπτόμενον· τὸ μὲν τοῖς πολλοῖς (93)

[31] Exod. xix, 24. [32] Matth. xxi, 41. [33] Jer. xiii, 23. [34] I Petr. v, 8. [35] Matth. vii, 6. [36] Habac. i, 8. [37] Cant. ii, 15.

(84) *Ἑνικῶς διαιρουμένην*, etc. « Conjunctim distinctus, ac distinctim conjunctus, » id est, « sicut unus permanet, etiamsi distinguatur, ita quodammodo distinguitur, etsi cohæreat. »

(85) *Ἀσθένειαν*. Or. 1, ἀλήθειαν, « veritatem, » et ad marg., ασθένειαν.

(86) *Γένωμαι*. Reg. a, γενόμενος.

(87) *Προσίτω, οὐ γάρ*. Or. 1, προσιτέτω, οὐδὲ γάρ.

(88) *Πρόσκαιρα γοῦν*. « Saltem ad horæ tempus. » Hac voce significat Gregorius tempus et horam, quibus lex a certis immunditiis abstinere jubebat. Bill.: « leviter saltem. »

(89) *Βλεπέτω*. In nonnullis, βλέπων.

(90) *Λόγων*. Comb., λόγου.

(91) *Ἀθρόως*. Comb., καὶ ἀθρόως.

(92) *Λύκος Ἀραβικός*. Alludit ad hæc verba Habacuc, i, 8: « Velociores lupis vespertinis. » In Septuaginta legitur: « lupis Arabiæ, » qui cæteris robore et proceritate sunt crudeliores.

(93) *Τὸ μὲν τοῖς πολλοῖς*, etc. Bill.: « illis plerisque, et humi manentibus, hoc paucis, sursumque tendentibus. »

καὶ κάτω μένουσι, τὸ δὲ τοῖς ὀλίγοις καὶ ἄνω φθάνουσιν.

nec purum, ut iis et vesci et frui liceat. Vult enim nostra doctrina ab his abscedere, atque ita solidis et lapideis tabulis inscribi, idque utrinque, quod nimirum lex partim perspicua sit, partim abdita et abstrusa: illud quidem plerisque ad radices montis subsistentibus, hoc autem paucis in montem ascendentibus.

Γ'. Τί τοῦτο ἔπαθον, ὦ φίλοι, καὶ μύσται, καὶ τῆς ἀληθείας συνερασταί; Ἔτρεχον (94) μὲν, ὡς Θεὸν καταληψόμενος, καὶ οὕτως ἀνῆλθον ἐπὶ τὸ ὄρος, καὶ τὴν νεφέλην διέσχον, εἴσω γενόμενος ἀπὸ τῆς ὕλης καὶ τῶν ὑλικῶν, καὶ εἰς ἐμαυτὸν, ὡς οἷόν τε, συστραφείς. Ἐπεὶ δὲ προσέβλεψα, μόλις εἶδον Θεοῦ τὰ ὀπίσθια (95)· καὶ τοῦτο, τῇ πέτρᾳ σκεπασθεὶς, τῷ σαρκωθέντι δι' ἡμᾶς Λόγῳ (96). Καὶ μικρὸν διακύψας, οὐ τὴν πρώτην τε καὶ ἀκήρατον φύσιν, καὶ ἑαυτῇ, λέγω δὴ τῇ Τριάδι, γινωσκομένην, καὶ ὅση τοῦ πρώτου καταπετάσματος εἴσω μένει, καὶ ὑπὸ τῶν χερουβὶμ συγκαλύπτεται (97); ἀλλ' ὅση τελευταία καὶ εἰς ἡμᾶς φθάνουσα. Ἡ δέ ἐστιν, ὅσα (98) ἐμὲ γινώσκειν, ἡ ἐν τοῖς κτίσμασι, καὶ τοῖς ὑπ' αὐτοῦ προβεβλημένοις καὶ διοικουμένοις μεγαλειότης, ἢ, ὡς ὁ θεῖος Δαβὶδ ὀνομάζει, μεγαλοπρέπεια. Ταῦτα γὰρ Θεοῦ τὰ ὀπίσθια (99), ὅσα μετ' ἐκεῖνον ἐκείνου γνωρίσματα, ὥσπερ αἱ καθ' ὑδάτων ἡλίου σκιαὶ καὶ εἰκόνες ταῖς σαθραῖς ὄψεσι παραδεικνῦσαι τὸν ἥλιον, ἐπεὶ μὴ αὐτὸν προσβλέπειν (1) οἷόν τε, τῷ ἀκραιφνεῖ τοῦ φωτὸς νικῶντα τὴν αἴσθησιν. Οὕτως οὖν θεολογήσεις, κἂν ᾖς Μωσῆς, καὶ Φαραὼ Θεὸς, κἂν μέχρι τρίτου (2), κατὰ τὸν Παῦλον, οὐρανοῦ φθάσῃς καὶ ἀκούσῃς ἄῤῥητα ῥήματα· κἂν ὑπὲρ ἐκείνους (3) γένῃ, ἀγγελικῆς τινος ἢ ἀρχαγγελικῆς στάσεώς τε καὶ τάξεως ἠξιωμένος. Κἂν γὰρ οὐράνιον (4) ἅπαν, κἂν ὑπερουράνιόν τι, καὶ πολὺ τὴν φύσιν ὑψηλότερον ἡμῶν ᾖ, καὶ ἐγγυτέρω Θεοῦ, πλέον ἀπέχει Θεοῦ καὶ τῆς τελείας καταλήψεως, ἢ ὅσον ἡμῶν ὑπεραίρει τοῦ συνθέτου, καὶ ταπεινοῦ, καὶ κάτω βρίθοντος κράματος.

III. Verum quid mihi accidit, o amici, ac iisdem sacris initiati, ejusdemque veritatis studiosi? Currebam hoc animo, quasi Deum percepturus, sicque in montem ascendi, ac nubem penetravi, a materia rebusque materia constantibus reductus, atque in meipsum, quoad ejus fieri poterat, collectus. Ut autem oculorum aciem adjeci, vix hoc etiam sum consecutus, ut Dei posteriora cernerem [38], idque petra, hoc est, Verbo nostræ salutis causa incarnato, contectus. Atque aliquantum prospiciens, non primam illam et purissimam naturam, sibique ipsi, id est Trinitati, notam, quæque primo velo obtecta manet, et a cherubim obtegitur, conspicatus sum, verum postremam atque ad nos pertingentem. Ea autem est, ut quidem ipse cognitione assequor, majestas illa, vel, ut David appellat, magnificentia [39], quæ in rebus ab eo creatis productisque et gubernatis elucet. Dei quippe posteriora sunt ea, quæ post eum exstiterunt, nobisque ipsius numen declarant, non secus videlicet ac solis in aquis umbræ atque simulacra infirmis oculis solem repræsentant, quandoquidem eum obtueri non possumus, utpote qui lucis puritate **498** sensum omnem superat. Ad hunc itaque modum theologi munus obibis, quamvis etiam Moyses sis, Deusque Pharaonis [40], quamvis ad tertium usque cœlum, instar Pauli [41], abreptus fueris, atque arcana verba audiveris; quamvis etiam supra illos evectus, angelicam quamdam aut archangelicam sedem et ordinem sis consecutus. Creatum enim omne, sive cœleste sive supercœleste, licet sublimiori quam nos natura præditum, Deoque vicinius, longiori tamen intervallo a Deo, ac plena illa et absoluta cognitione distat, quam quo compositam hanc nostram, et abjectam atque humi vergentem massam superat.

Δ'. Ἀρκτέον οὖν οὕτω πάλιν· Θεὸν νοῆσαι μὲν, χαλεπόν· φράσαι δὲ, ἀδύνατον, ὥς τις τῶν (5) παρ' Ἕλλησι θεολόγων ἐφιλοσόφησεν, οὐκ ἀτέχνως ἐμοὶ δοκεῖ, ἵνα καὶ κατειληφέναι δόξῃ τὸ χαλεπὸν εἰπεῖν, καὶ διαφύγῃ τῷ ἀνεκφράστῳ τὸν ἔλεγχον. Ἀλλὰ φράσαι μὲν, ἀδύνατον, ὡς ὁ ἐμὸς λόγος· νοῆσαι δὲ, ἀδυνατώτερον. Τὸ μὲν γὰρ νοηθὲν, τάχα ἂν λόγος δηλώσειεν, εἰ καὶ μὴ μετρίως, ἀλλ' ἀμυδρῶς γε τῷ μὴ πάντῃ τὰ ὦτα διεφθαρμένῳ, καὶ νωθρῷ τὴν διά-

IV. Esto igitur hoc alterum orationis exordium. Deum intellectu percipere difficile est: eloqui autem impossibile, ut profanorum theologorum quidam docuit, meo quidem judicio, non incallide, nempe ut ex eo quod intellectu difficilem affirmat, opinionem hominibus afferat, se eum cognitione percepisse; ex eo autem quod nullis verbis eum explicari posse ait, hoc agat, ne inscitia sua prodi atque convinci queat. Ego vero ita potius dicendum cen-

[38] Exod. xxxiii, 23. [39] Psal. viii, 2. [40] Exod. vii, 1. [41] II Cor. xii, 2.

(94) *Ἔτρεχον.* Reg. a, tres Colb. et Or. 1, εἶχον. Sic etiam videtur legisse Leuv., qui vertit: « Animus erat Deum comprehendere, » etc.

(95) *Τὰ ὀπίσθια.* Schol.: Οἰκονομίαν· « Incarnationem. »

(96) *Λόγῳ.* Reg. a, Θεῷ Λόγῳ.

(97) *Συγκαλύπτεται.* Hoc propitiatorii velamen, de quo Exod. xxvi, 31, significat in sensu Gregorii prohibitionem contemplationis summæ illius naturæ.

(98) *Ὅσα.* Reg. a, ὡς.

(99) *Τὰ ὀπίσθια.* Quemadmodum « facies Dei » substantiam et deitatem, mundi creatione priorem, sic « posteriora » creationem et Providentiam indicant.

(1) *Προσβλέπειν.* Reg. a, βλέπειν.

(2) *Τρίτου.* Colb., τοῦ τρίτου.

(3) *Ἐκείνους.* Reg. bm, duo Colb. et Or. 1, ἐκεῖνον.

(4) *Κἂν γὰρ οὐράνιον*, etc. Id intelligit Elias de « cœlo, » et de « angelis, » qui super cœlos sunt.

(5) *Ὥς τις τῶν*, etc. Plato hic intelligitur, qui in *Timæo* ita habet: Τὸν μὲν οὖν ποιητὴν καὶ πατέρα τοῦ παντὸς εὑρεῖν τὸ ἔργον, καὶ εὑρόντα εἰς πάντας ἀδύνατον λέγειν. Quod Tullius lib. *De universitate* sic reddit: « Illum quidem quasi parentem hujus universitatis invenire difficile est, et, cum jam inveneris, indicare in vulgus, nefas. »

seo, Dei naturam nullis quidem verbis explicari posse; animo autem atque intellectu comprehendi multo minus posse. Nam quod quis animo et ratione complexus fuerit, id quoque fortasse sermone declarare queat, si ne mediocriter quidem, at saltem obscure, modo auditorem nactus sit non omnino surdum, tardique et stupidi ingenii. At rem tantam animo comprehendere, omnino impossibile est, non modo ignavis et languidis, deorsumque vergentibus, sed magnis etiam et excelsis viris Deique amore præditis, ac mortalibus peræque omnibus, quibus ad veri cognitionem caligo hæc et carnis crassities tenebras offundit. Atque haud scio an hoc quoque sublimioribus illis et intelligentibus naturis, negatum non sit; quæ quia Deo propius junctæ sunt, ac toto illo splendore collucent, cernere utique fortasse queant, si non prorsus, ac certe plenius quam nos et solidius, atque aliæ aliis, pro cujusque ordine, vel uberius, vel parcius.

A νοιαν. Τὸ δὲ τοσοῦτο (6) πρᾶγμα τῇ διανοίᾳ περιλαβεῖν, πάντως ἀδύνατον καὶ ἀμήχανον, μὴ ὅτι τοῖς καταβεβλακευμένοις (7) καὶ κάτω νεύουσιν, ἀλλὰ καὶ τοῖς λίαν ὑψηλοῖς τε καὶ φιλοθέοις, καὶ ὁμοίως πάσῃ γεννητῇ (8) φύσει, καὶ οἷς ὁ ζόφος οὗτος ἐπιπροσθεῖ, καὶ τὸ παχὺ τοῦτο σαρκίον, πρὸς τὴν τοῦ ἀληθοῦς κατανόησιν· οὐκ οἶδα δὲ (9), εἰ μὴ καὶ ταῖς ἀνωτέρω καὶ νοεραῖς φύσεσιν· αἳ, διὰ τὸ πλησίον εἶναι Θεοῦ, καὶ ὅλῳ τῷ φωτὶ καταλάμπεσθαι, τυχὸν ἂν καὶ τρανοῖντο, εἰ καὶ μὴ πάντῃ, ἀλλ' ἡμῶν γε τελεώτερόν τε καὶ ἐκτυπώτερον, καὶ ἄλλων ἄλλαι πλεῖον ἢ ἔλαττον, κατὰ τὴν ἀναλογίαν τῆς τάξεως.

V. Sed de hac re hic sit finis. Quod autem ad nos attinet, non pax tantummodo Dei exsuperat omnem mentem et cognitionem [42], nec quæcunque iis, qui justitiam coluerint, **499** in divinis pollicitationibus recondita sunt, quæ nec oculis cerni, nec auribus excipi, nec animo cogitari ac perspici [43], nisi tenuissime, possunt, nec exacta et absoluta rerum creatarum cognitio (nam harum quoque te solas umbras tenere haud dubites, cum Scripturam ad hunc modum loquentem audieris: *Videbo cœlos, opera digitorum tuorum, lunam et stellas* [44], eamque, quæ ipsis inest, firmam et stabilem rationem, perinde scilicet atque in hac vita ea minime videns, sed aliquando perspecturus): sed multo magis natura illa his sublimior, et ex qua hæc originem traxerunt, captum omnem et comprehensionem superat. Nec vero hæc verba ita accipi velim, quasi percipi non posse dicam, quod sit Deus, sed quid, et quale sit. Neque enim inanis est prædicatio nostra, nec vana fides nostra [45]; nec id est, quod astruimus (ne rursus id quod probe candideque diximus, in impietatis et calumniæ argumentum trahas, ac nobis, ut ignorantiam confitentibus, arroganter insultes). Plurimum namque interest, certo tibi persuadeas aliquid esse, an, quid tandem illud sit, compertum habeas.

B Ε'. Τοῦτο μὲν οὖν ἐνταῦθα κείσθω· τὸ δὲ ἡμέτερον, οὐχ ἡ εἰρήνη τοῦ Θεοῦ μόνον ὑπερέχει πάντα νοῦν καὶ κατάληψιν, οὐδὲ ὅσα τοῖς δικαίοις ἐστὶν ἐν ἐπαγγελίαις ἀποκείμενα, τὰ μήτε ὀφθαλμοῖς (10) ὁρατὰ, μήτε ὠσὶν ἀκουστὰ, μήτε διανοίᾳ θεωρητὰ, κατὰ μικρὸν γοῦν, οὐδὲ ἡ τῆς κτίσεως ἀκριβὴς κατανόησις (καὶ γὰρ καὶ ταύτης πείσθητι τὰς σκιὰς ἔχειν μόνον, ὅταν ἀκούσῃς· *Ὄψομαι τοὺς οὐρανοὺς, ἔργα τῶν δακτύλων σου, σελήνην καὶ ἀστέρας*, καὶ τὸν ἐν αὐτοῖς πάγιον λόγον· ὡς οὐχὶ νῦν ὁρῶν, ὀψόμενος δὲ ἔστιν ὅτε)· ἀλλὰ πολὺ πρὸ τούτων, ἡ ὑπὲρ ταῦτα, καὶ ἐξ ἧς ταῦτα, φύσις ἄληπτός τε καὶ ἀπερίληπτος· λέγω δὲ, οὐχ ὅτι ἔστιν, ἀλλ' ἥ τίς ἐστιν. Οὐ γὰρ κενὸν (11) τὸ κήρυγμα ἡμῶν, οὐδὲ ματαία ἡ πίστις ἡμῶν, οὐδὲ τοῦτό ἐστιν ὃ δογματίζομεν (μὴ πάC λιν τὴν εὐγνωμοσύνην ἡμῶν ἀθείας λάβῃς ἀρχὴν καὶ συκοφαντίας, καὶ κατεπαρθῇς ὡς (12) ὁμολογούντων τὴν ἄγνοιαν). Πλεῖστον γὰρ διαφέρει τοῦ εἶναί τι πεπεῖσθαι, τὸ τί ποτέ ἐστι τοῦτο εἰδέναι.

VI. Etenim quod Deus sit, ac princeps quædam causa, quæ res omnes procrearit, atque conservet, tum oculi ipsi, tum lex naturalis docent; illi, dum rebus in aspectum cadentibus aciem affigunt, easque et pulchre fixas et stabiles esse, et progredi, atque immote, ut ita dicam, moveri volvique perspiciunt: hæc autem, dum per res oculis subjectas, ac recto ordine collocatas, auctorem earum certo quidem ratiocinando assequitur. Quonam enim modo universa hæc rerum moles vel producta unquam fuisset, vel consisteret, nisi Deus omnia in rerum

Ϛ'. Τοῦ μὲν γὰρ εἶναι Θεὸν, καὶ τὴν πάντων ποιητικήν τε καὶ συνεκτικὴν αἰτίαν, καὶ ὄψις διδάσκαλος, καὶ ὁ φυσικὸς νόμος· ἡ μὲν τοῖς ὁρωμένοις προσβάλλουσα, καὶ πεπηγόσι καλῶς, καὶ ὁδεύουσι, καὶ ἀκινήτως, ἵνα οὕτως εἴπω, κινουμένοις καὶ φερομένοις· ὁ δὲ, διὰ τῶν ὁρωμένων καὶ τεταγμένων, τὸν ἀρχηγὸν τούτων συλλογιζόμενος. Πῶς γὰρ ἂν καὶ ὑπέστη τόδε τὸ πᾶν, ἢ συνέστη, μὴ Θεοῦ τὰ πάντα καὶ οὐσιώσαντος καὶ συνέχοντος; Οὐδὲ γὰρ κιθάραν τις ὁρῶν κάλλιστα ἠσκημένην, καὶ τὴν ταύτης εὐαρμοστίαν καὶ εὐταξίαν, ἢ τῆς κιθαρῳδίας αὐτῆς

[42] Philip. IV, 7. [43] I Cor. II, 9. [44] Ps. VIII, 4. [45] I Cor. XV, 14.

(6) *Τοσοῦτο*. Regg. a, bm et Or. 1, τοιοῦτο, « talem. »

(7) *Καταβεβλακευμένοις*. Duo Colb., Or. 1 et Bod., κατεβλακευμένοις.

(8) *Γεννητῇ*. Reg. a et Or. 1, γενητῇ.

(9) *Οἶδα δέ*. Sic Regii et Colbertini plures. Deest δέ in ed. Nullum certe est dubium, quin angeli Deum videant, eumque visuri sint homines, cum æternam beatitudinem adipiscentur.

(10) *Τὰ μήτε ὀφθαλμοῖς*, etc. Observat Elias Cretensis hæc Apostoli verba mutuata fuisse ex apocrypho libro, qui ab Elia propheta scriptus dicitur. Quidni potius desumpta ex Isaiæ LXIV, 4, « oculus non vidit, » etc.

(11) *Κενόν*. Par., καινόν, « nova. »

(12) *Καὶ κατεπαρθῇς ὡς*, etc. Id est, « et adversum nos insurgas, quasi nos profiteamur ignorare an sit Deus. »

ἀκούων, ἄλλο τι ἢ τὸν τῆς κιθάρας δημιουργὸν, καὶ A τὸν κιθαρῳδὸν ἐννοήσει, καὶ πρὸς αὐτὸν ἀναδραμεῖται τῇ διανοίᾳ, κἂν ἀγνοῶν τύχῃ ταῖς ὄψεσιν· οὕτω καὶ ἡμῖν τὸ ποιητικὸν δῆλον, καὶ τὸ κινοῦν, καὶ τηροῦν τὰ πεποιημένα, κἂν μὴ διανοίᾳ περιλαμβάνηται· καὶ λίαν ἀγνώμων, ὁ μὴ μέχρι τούτων προϊὼν ἑκουσίως, καὶ ταῖς φυσικαῖς ἑπόμενος ἀποδείξεσιν· ἀλλ' οὐδὲ τοῦτο εἶναι Θεὸν, ὅπερ ἐφαντάσθημεν, ἢ ἀνετυπωσάμεθα, ἢ λόγος (13) ὑπέγραψεν. Εἰ δέ τις ἐν περινοίᾳ τούτου ποτὲ (14) κἂν ἐπὶ ποσὸν ἐγένετο, τίς ἡ ἀπόδειξις; τίς οὕτως εἰς ἔσχατον σοφίας ἀφίκετο; τίς τοσούτου χαρίσματος ἠξιώθη ποτέ; τίς οὕτω τὸ στόμα τῆς διανοίας ἤνοιξε, καὶ εἵλκυσε Πνεῦμα, ἵνα τῷ τὰ πάντα ἐρευνῶντι καὶ γινώσκοντι, καὶ τὰ βάθη τοῦ Θεοῦ, Πνεύματι, Θεὸν καταλάβῃ, καὶ μηκέτι τοῦ πρόσω δέηται, τὸ ἔσχατον ὀρεκτὸν ἔχων ἤδη, καὶ εἰς B ὃ πᾶσα σπεύδει καὶ πολιτεία τοῦ ὑψηλοῦ καὶ διάνοια;

naturam protulisset, atque conservaret? Quemadmodum enim quispiam citharam pulcherrime confectam et elaboratam conspiciens, ejusque concinnitatem et constitutionem, aut etiam ipsius citharæ cantum audiens, nihil aliud quam ipsum citharæ conditorem et citharœdum mente reputat, atque ad eum cogitatione fertur, etiamsi de facie ignotum: eodem quoque modo nobis, is, qui res effecit, effectasque movet atque conservat, manifestus est, etiamsi mente minime comprehendatur. Ac nimis profecto hebes et stolidus est, quisquis non hucusque sponte sua progreditur, naturaliumque demonstrationum vestigiis insistit: atque adeo hoc sibi persuadet, ne id quidem Deum esse, quod vel imagine quadam animi concepimus, vel informavimus, vel orationis **500** penicillo utcunque descripsimus. Quod si quis unquam cogitatione Deum quoquo modo comprehendit, quonam, obsecro, argumento id probabit? Ecquis enim eo sapientiæ pervenit? Ecquis unquam tantam gratiam divinitus consecutus est? Ecquis os mentis ita aperuit, ac Spiritum attraxit [46], ut Spiritus omnia perscrutantis, atque etiam Dei profunda cognoscentis [47] ope atque adjumento, Dei naturam comprehenderit, nec jam ulterius progredi necesse habeat, utpote qui extremum illud appetendum jam habeat, ad quod omnis sublimium virorum et vita et cogitatio contendit?

Ζ'. Τί γάρ ποτε ὑπολήψῃ τὸ Θεῖον, εἴπερ ὅλαις (15) ταῖς λογικαῖς πιστεύεις ἐφόδοις (16); ἢ πρὸς τί σε ὁ λόγος ἀνάξει βασανιζόμενος (17), ὦ φιλοσοφώτατε σὺ, καὶ θεολογικώτατε, καὶ καυχώμενε εἰς τὰ ἄμετρα; Πότερον σῶμα; καὶ πῶς τὸ ἄπειρον, καὶ ἀόριστον, καὶ ἀσχημάτιστον, καὶ ἀναφὲς, καὶ ἀόρατον; ἢ καὶ ταῦτα σώματα; Ὢ τῆς ἐξουσίας! οὐ γὰρ αὕτη φύσις σωμάτων. Ἢ σῶμα μὲν, οὐχὶ ταῦτα δέ; Ὢ τῆς C παχύτητος (18)! ἵνα μηδὲν πλέον ἡμῶν ἔχῃ τὸ Θεῖον. Πῶς γὰρ σεπτὸν (19), εἰ περιγραπτόν; ἢ πῶς φεύξεται τὸ ἐκ στοιχείων συγκεῖσθαι, καὶ εἰς αὐτὰ πάλιν ἀναλύεσθαι, ἢ καὶ ὅλως λύεσθαι; Σύνθεσις γὰρ, ἀρχὴ μάχης· μάχη δὲ, διαστάσεως· ἡ δὲ, λύσεως· λύσις δὲ ἀλλότριον πάντῃ Θεοῦ, καὶ τῆς πρώτης φύσεως. Οὐκοῦν διάστασις, ἵνα μὴ λύσις· οὐδὲ μάχη, ἵνα μὴ διάστασις· οὐδὲ σύνθεσις, ἵνα μὴ μάχη· διὰ τοῦτο οὐδὲ σῶμα, ἵνα μὴ σύνθεσις. Ἐκ τῶν τελευταίων ἐπὶ τὰ πρῶτα ὁ λόγος ἀνιὼν, οὕτως ἵσταται.

VII. Quid enim tandem Deum esse censebis, si argumentis a ratione petitis fidem omnino habes? Aut quo tandem te subvehet hæc disputatio, si accuratius examinetur? Te, inquam, appello, qui philosophiæ ac theologiæ principatum tibi vindicas, atque in immensum gloriaris. An corpus eum esse dices? Quonam ergo modo immensus, infinitus, figuræ expers est, ac denique ejusmodi, ut nec tangi, nec oculis cerni queat? An hæc quoque in corpora cadunt? O licentiam! Non enim hæc corporum natura est. An corpus quidem esse statues, immensum vero, atque infinitum, cæteraque hujus generis esse negabis? O crassitiem! ut nulla re Deus nobis præstet. Quid enim afferri potest, cur colatur atque adoretur, si circumscriptus est? Aut quid causæ esse dicemus, quin ex elementis conflatus sit, atque in eadem denuo redigatur, aut etiam prorsus intereat? Compositio quippe pugnæ initium est, pugna autem dissidii, dissidium solutionis: solutio porro nullo modo in Deum ac primam illam naturam cadit. Quocirca nullum dissidium admittendum est, ne solutio consequatur: nec pugna, ne dissidium oriatur: nec compositio, ne pugna exsistat. Ac proinde ne corpus quidem est, ne alioqui compositum quidem eum necesse sit. Sic ab extremis ad prima recurrens oratio insistit.

Η'. Πῶς δὲ καὶ σωθήσεται τὸ διὰ πάντων διήκειν, D καὶ πληροῦν τὰ πάντα Θεὸν, κατὰ τὸ, *Οὐχὶ τὸν οὐρανὸν καὶ τὴν γῆν ἐγὼ πληρῶ; λέγει Κύριος·* καὶ, *Πνεῦμα Κυρίου πεπλήρωκε τὴν οἰκουμένην*, εἰ τὸ μὲν περιγράφοι (20), τὸ δὲ περιγράφοιτο; Ἢ γὰρ διὰ κενοῦ χωρήσει τοῦ παντὸς, καὶ τὰ πάντα οἰχήσε-

VIII. Jam vero quomodo illud tueri poterimus, quod ait Scriptura, Deum omnia pervadere atque implere, juxta illud: *Nonne cœlum et terram ego impleo? dicit Dominus* [48]; et, *Spiritus Domini replevit orbem terrarum* [49]; si Deus partim circumscribat, partim circumscribatur? Aut enim per va-

[46] Ps. CXVIII, 131. [47] I Cor. II, 10. [48] Jer. XXIII, 24. [49] Sap. I, 7.

(13) *Λόγος*. Hic Elias « rationem, » non « sermonem » intelligit.
(14) *Ποτέ*. Deest in Or. 1.
(15) *Ὅλαις*. Coisl. 3 et Or. 1, ὅλως, « omnino. »
(16) *Ἐφόδοις*. Coisl. 1, ὁρμαῖς.
(17) *Βασανιζόμενος*. Coisl. 2, βιαζόμενος.
(18) *Ὢ τῆς ἐξουσίας!.. ὢ τῆς παχύτητος!* Sic Coisl. 1. Deest ὢ in ed.
(19) *Πῶς γὰρ σεπτόν*, etc. « Quomodo enim eum colamus, si circumscribi potest? Aut quomodo concedere detrectabimus, eum ex elementis conflatum esse, atque in eadem denuo redigendum, denique prorsus interiturum? »
(20) *Περιγράφοι*. Reg. a, περιγράφει.

cuam universitatem grassabitur, et res omnes nobis peribunt, ut sic Deus contumelia afficiatur, nimirum et qui corpus sit, et iis quæ procreavit careat: aut corpus in corporibus erit, id quod fieri non potest: aut implicabitur, et opponetur, quemadmodum ea, quæ liquiditate prædita sunt, **501** inter se miscentur; atque alia secabit, et ab aliis rursus secabitur, quod ipsis etiam Epicuri atomis absurdius et anilius est; sicque nobis collabetur, nec corpus, nec solidi quidquam habebit hæc disputatio, qua corpus Deo tribuere conamur. Quod si eum corpus materiæ expers esse contenderint, si quidem quintum illud, ut nonnulli censuerunt, et in orbem volubile: sit sane corpus quoddam quintum, et a materia semotum, atque etiam, si ipsis ita collibuerit, incorporeum; quandoquidem ita sermone comparati sunt, ut pro arbitrio in omnem partem sese versent, ac quidvis effingant; nihil enim hac de re in præsentia cum illis altercabor. Cæterum quo tandem in genere erit earum rerum, quæ motu cientur et agitantur, ut interim taceam, quam gravis sit contumeliæ, asserere, Creatorem eodem, quo res ab eo creatas, motu incitari, atque eum, cujus vi ac numine res conditæ volvuntur, si tamen hoc etiam daturi sunt, eodem modo cum iis volvi ac circumferri? Quæro etiam, quidnam sit quod universum hoc moveat? Quidnam vero quod vicissim illud moveat, ac rursum a quo illud moveatur? Eo demque modo in infinitum progrediar. Qui etiam fieri potest, ut omnino non sit in loco, si quidem fertur, ac motu incitatur? Jam si aliud quoddam corpus, præter quintum illud, Deum esse statuant, si quidem angelicum: unde probabunt angelos corpore constare, et quo tandem corpore? Quantum autem, si res ita se habeat, Deus angelum, quo ministro utitur, antecellet? Si corpus quoddam his sublimius esse dixerint, rursus corporum examen rationis expers inducetur, ac nugarum gurges adeo profundus, ut nusquam pes figi possit.

ται ἡμῖν, ἵν' ὑβρισθῇ Θεὸς, καὶ σῶμα γενόμενος, καὶ οὐκ ἔχων ὅσα πεποίηκεν· ἢ σῶμα ἐν σώμασι ἔσται, ὅπερ ἀδύνατον· ἢ πλακήσεται καὶ ἀντιπαρατεθήσεται, ὥσπερ (21) ὅσα τῶν ὑγρῶν μίγνυται· καὶ τὸ μὲν τέμνει, ὑπὸ δὲ τοῦ τμηθήσεται, ὃ καὶ τῶν Ἐπικουρείων ἀτόμων ἀτοπώτερόν τε καὶ γραωδέστερον (22)· καὶ οὕτω διαπεσεῖται ἡμῖν, καὶ σῶμα οὐχ ἕξει, οὐδὲ πῆξίν τινα ὁ περὶ τοῦ σώματος λόγος (23). Εἰ δὲ ἄϋλον φήσομεν, εἰ μὲν τὸ πέμπτον, ὥς τισιν ἔδοξε (24), καὶ τὴν κύκλῳ φορὰν φερόμενον· ἔστω μὲν ἄϋλόν τι καὶ πέμπτον σῶμα, εἰ βούλονται δὲ, καὶ ἀσώματον, κατὰ τὴν αὐτόνομον αὐτῶν τοῦ λόγου φορὰν καὶ ἀνάπλασιν· οὐδὲν γὰρ νῦν περὶ τούτου διοίσομαι (25). Κατὰ τί δὲ τῶν κινουμένων ἔσται καὶ φερομένων, ἵνα μὴ λέγω τὴν ὕβριν, εἰ τὰ αὐτὰ τοῖς πεποιημένοις ὁ πεποιηκὼς κινηθήσεται, καὶ τοῖς φερομένοις ὁ φέρων, εἴ γε καὶ τοῦτο δώσουσι; Τί δαὶ τὸ (26) τοῦτο πάλιν κινοῦν; τί δὲ τὸ πᾶν κινοῦν; κἀκεῖνο τί; καὶ τί πάλιν ἐκεῖνο; καὶ τοῦτο εἰς ἄπειρον. Πῶς δαὶ οὐκ ἐν τόπῳ πάντως, εἴ γε φερόμενον; Εἰ δὲ ἄλλο τι παρὰ τὸ πέμπτον φήσουσιν, εἰ μὲν ἀγγελικόν· πόθεν ὅτι ἄγγελοι (27) σώματα, καὶ τίνα ταῦτα; καὶ πόσον (28) ὑπὲρ ἄγγελον εἴη Θεὸς, οὗ λειτουργὸς ἄγγελος; Εἰ δὲ ὑπὲρ ταῦτα, πάλιν εἰσήχθη σωμάτων ἑσμὸς ἀλόγιστος, καὶ φλυαρίας βυθὸς, οὐδαμοῦ στῆναι δυνάμενος.

IX. Atque hinc constat, Deum corpus non esse. Neque enim adhuc quisquam eorum, qui divinitus afflati sunt, hoc vel dixit, vel ab aliis dictum comprobavit, nec nostri ovilis est hæc doctrina. Superest igitur, ut incorporeum esse Deum existimemus. Verum, utcunque incorporeum dicamus, nondum tamen hoc naturam illius essentiamque complectitur et declarat; quemadmodum nec ingenitum, nec anarchum, id est, principii expers, nec immutabile,

Θ'. Οὕτω μὲν οὖν (29) οὐ σῶμα ἡμῖν ὁ Θεός· οὐδὲ γὰρ ἤδη τις τοῦτο τῶν θεοπνεύστων, ἢ εἶπεν, ἢ παρεδέξατο, οὐδὲ τῆς ἡμετέρας (30) αὐλῆς ὁ λόγος. Λείπεται δὴ ἀσώματον ὑπολαμβάνειν. Ἀλλ' εἰ ἀσώματον, οὔπω μὲν οὐδὲ τοῦτο τῆς οὐσίας παραστατικόν τε καὶ περιεκτικὸν (31), ὥσπερ οὐδὲ τὸ ἀγέννητον, καὶ τὸ ἄναρχον, καὶ τὸ ἀναλλοίωτον, καὶ τὸ ἄφθαρτον, καὶ ὅσα περὶ Θεοῦ, ἢ περὶ Θεὸν εἶναι λέγεται. Τί γὰρ ὄντι (32) αὐτῷ κατὰ τὴν φύσιν καὶ τὴν

(21) *Ὥσπερ*. Sic duo Regg., tres Colb., Coisl. 1, Or. 1, etc. In ed., ἢ ὥσπερ.

(22) *Γραωδέστερον*. Coisl. 1 addit, ὡς οἱ περὶ ταῦτα ἐσχολακότες ἐλήρησαν, « anilius etiam iis deliramentis, quæ homines in hac disciplina versati finxerunt. » Hæc tamen desunt in plerisque codd. et ed., Elias autem agnoscit.

(23) *Ὁ περὶ τοῦ σώματος λόγος*. Hæc jungit Leuv. cum his superioribus verbis, καὶ οὕτω διαπεσεῖται ἡμῖν, sicque reddit: « Atque hoc modo ratio, quæ Deo corpus attribuit, subsistere nobis nequit; adeoque nec corpus, nec compagem ullam habebit. »

(24) *Ὥς τισιν ἔδοξε*. Ex his fuit Aristoteles, qui præter quatuor rerum principia, seu elementa, quæ sunt « aqua, terra, ignis et aer, » quintum, nempe « cœlum, » e materia quadam efformatum, admittebat.

(25) *Διοίσομαι*. Reg. a, διοίσομεν.

(26) *Τί δαὶ τό*, etc. Reg. bm et Or. 1, τί δὲ τό. Totum hunc locum sic vertit Leuv.: « At enim, obsecro, quodnam erit a quo universum hoc movebitur? Quidnam illud vicissim movebit? Quid item illud? Idque adeo in infinitum. » Sic Græca videtur legisse: Τί δὲ πᾶν κινοῦν; τί δὲ τοῦτο πάλιν κινοῦν; καὶ τί πάλιν ἐκεῖνο; καὶ τοῦτο εἰς ἄπειρον.

(27) *Ἄγγελοι*. Reg. a, οἱ ἄγγελοι.

(28) *Πόσον*. Duo Colb., et Or. 1 addunt, ἄν.

(29) *Οὖν*. Deest in Reg. bm et Or. 1.

(30) *Οὐδὲ τῆς ἡμετέρας*, etc. Bill.: « Atque ab hujusmodi sermone fides Ecclesiæ abhorret. »

(31) *Περιεκτικόν*. Deest in nonnullis codd.

(32) *Τί γὰρ ὄντι*, etc. Bill.: « Primum enim, huic quidem certe, qui Dei mentem vere habeat, atque in contemplatione perfectior sit, considerandum et expendendum occurrit, quid Deus natura sua et substantia sit: ac postea hoc adjiciendum superest, cum nec initium habere, nec a se unquam desciscere; nec fine ullo circumscribi ac definiri, sed, quidquid in rerum natura est, ambitu suo complecti atque coercere. »

ὑπόστασιν ὑπάρχει, τὸ μὴ ἀρχὴν ἔχειν, μηδὲ ἐξίστασθαι, μηδὲ περατοῦσθαι; Ἀλλ' ὅλον τὸ εἶναι περιλαμβάνειν λείπεται προσφιλοσοφεῖν τε καὶ προσεξετάζειν τῷ γε νοῦν Θεοῦ (33) ἀληθῶς ἔχοντι, καὶ τελεωτέρῳ τὴν θεωρίαν. Ὡς γὰρ οὐκ ἀρκεῖ τὸ σῶμα εἰπεῖν, ἢ τὸ γεγεννῆσθαι, πρὸς τὸ καὶ τὸ, περὶ ὃ ταῦτα, παραστῆσαί τε καὶ δηλῶσαι, ἀλλὰ δεῖ καὶ τὸ ὑποκείμενον τούτοις εἰπεῖν, εἰ μέλλοι (34) τελείως καὶ ἀποχρώντως τὸ νοούμενον παραστήσεσθαι (ἢ γὰρ ἄνθρωπος, ἢ βοῦς, ἢ ἵππος τοῦτο τὸ ἐνσώματον, καὶ γεννώμενον, καὶ φθειρόμενον)· οὕτως οὐδὲ ἐκεῖ στήσεται μέχρι τοῦ εἰπεῖν ἃ μὴ ἔστιν, ὁ τὴν τοῦ ὄντος πολυπραγμονῶν φύσιν· ἀλλὰ δεῖ πρὸς τῷ (35) εἰπεῖν ἃ μὴ ἔστι, καὶ ὅ ἐστιν εἰπεῖν· ὅσῳ καὶ ῥᾷον ἕν τι περιλαβεῖν, ἢ τὰ πάντα καθ' ἕκαστον ἀπειπεῖν, ἵνα ἔκ τε (36) τῆς ἀναιρέσεως ὧν οὐκ ἔστι, καὶ τῆς οὗ ἐστι θέσεως, περιληφθῇ τὸ νοούμενον. Ὁ δὲ, ἃ μὲν οὐκ ἔστι λέγων, σιωπῶν δὲ ὅ ἐστι, ποιεῖ παραπλήσιον, ὥσπερ ἂν (37) εἰ τὰ πέντε δὶς ὅσα ἐστὶν ἐρωτώμενος, ὅτι μὲν οὐ δύο λέγοι (38), οὐδὲ τρία, οὐδὲ τέσσαρα, οὐδὲ πέντε, οὐδὲ εἴκοσιν, οὐδὲ τριάκοντα, οὐδέ τινα, ἵνα συνελὼν εἴπω, τῶν ἐντὸς δεκάδος, ἢ δεκαδικῶν ἀριθμῶν· ὅτι δὲ εἴη δέκα μὴ λέγοι, μηδὲ ἐρείδοι τὸν νοῦν τοῦ ἐρωτῶντος εἰς τὸ ζητούμενον. Πολλῷ γὰρ ῥᾷον καὶ συντομώτερον ἐκ τοῦ ὅ ἐστιν ὅσα οὐκ ἔστι δηλῶσαι, ἢ ἐκ τοῦ ἀνελεῖν ἃ μὴ ἔστιν, ὅ ἐστιν ἐνδείξασθαι. Ἢ τοῦτο μὲν παντὶ δῆλον.

A nec incorruptibile, cæteraque omnia, **502** quæ de Deo, vel circa Deum, prædicantur. Quid enim prodest ad indicandam ipsius naturam et subsistentiam qua exsistit, si dicas eum initium non habere, nec a se unquam desciscere, nec ullis terminis includi? Verum totam ejus essentiam edisserendam et inquirendam huic relinquimus, qui vere Dei notitiam habet, atque in contemplando perfectior est. Ut enim non satis est corpus dicere, aut procreatum esse, ad hoc vel illud, cui hæc adjacent, exprimendum et indicandum, sed quid ipsa quoque res subjecta sit, dicendum est, si modo volumus, in quod cogitamus, plene atque abunde repræsentare (potest enim vel homo, vel bos, vel equus esse, hoc quod corporeum ac procreatum et corruptibile esse pronuntiamus): B ad eumdem modum qui Dei naturam curiosius inquirendam duxerit, non hic conquiescet, ut dicat, quid non sit Deus, sed hoc quoque ipsi adjiciendum erit, ut, quid sit, exponat; idque eo magis, quod minus difficile est unum quidpiam animo complecti, quam omnia sigillatim inficiando removere, ut rejectis iis, quæ non est, et constituto eo, quod sit, comprehendatur id quod cogitamus. Qui vero ita, quid res aliqua non sit, pronuntiat, ut interim, quid sit, taceat, non absimilis est ei qui rogatus, bis quinque quot sint, respondeat quidem ea nec duo esse, nec tria, nec quatuor, nec quinque, nec viginti, nec triginta, nec, ut brevi complectar, ullum numerum citra vel ultra denarium; cæterum quod decem sint, non dicat, nec mentem ejus, a quo interrogatur, ad id quod quæsitum est, affigat. Multo enim facilius et compendiosius est, ex eo, quod, quid sit, dixeris, quidquid non sit declarare, quam ex eorum, quid non est, ablatione atque inficiatione, quæ sit, demonstrare; quemadmodum cuivis perspicuum esse arbitror.

Γ. Ἐπεὶ δέ ἐστιν ἀσώματον ἡμῖν τὸ Θεῖον, μικρόν C τι προσεξετάσωμεν. Πότερον οὐδαμοῦ τοῦτο, ἢ ἔστιν ὅπου; Εἰ μὲν γὰρ οὐδαμοῦ, ζητήσαι τις ἂν τῶν ἄγαν ἐξεταστικῶν (39), πῶς ἂν καὶ εἴη. Εἰ γὰρ τὸ μὴ ὂν, οὐδαμοῦ, τὸ μηδαμοῦ, τυχὸν οὐδὲ ὄν. Εἰ δέ ἐστί που, πάντως ἐπείπερ ἐστὶν, ἢ ἐν τῷ παντὶ, ἢ ὑπὲρ τὸ πᾶν. Ἀλλ' εἰ μὲν ἐν τῷ παντὶ, ἤ τινι, ἢ πανταχοῦ. Καὶ εἰ μὲν ἔν τινι, ὑπ' ἐλάττονος περιγραφήσεται τοῦ τινος. Εἰ δὲ πανταχοῦ (40), ὑπὸ πλείονος καὶ ἄλλου πολλοῦ, λέγω δὲ, τὸ περιεχόμενον τοῦ περιέχοντος. Εἰ τὸ πᾶν ὑπὸ τοῦ παντὸς μέλλει (41) περισχεθήσεσθαι, καὶ μηδένα τόπον εἶναι περιγραφῆς ἐλεύθερον. Ταῦτα μὲν (42), εἰ ἐν τῷ παντί. Καὶ ποῦ, πρὶν γενέσθαι τὸ πᾶν; Οὐδὲ γὰρ τοῦτο μικρὸν εἰς ἀπορίαν. Εἰ δὲ ὑπὲρ τὸ πᾶν, ἆρ' οὐδὲν ἦν τὸ διορίζον αὐτὸ τοῦ παντός; Ποῦ δὲ τὸ ὑπὲρ τοῦτο; Καὶ πῶς ἐνοήθη τὸ ὑπεραῖρον D καὶ ὑπεραιρόμενον, οὐκ ὄντος ὅρου τινὸς τοῦ τέμνοντος ταῦτα καὶ διορίζοντος; Ἢ χρὴ πάντως εἶναι τὸ μέσον, καὶ ᾧ περατοῦται τὸ πᾶν, καὶ τὸ ὑπὲρ τὸ

X. Quoniam igitur Deum corpore vacare nobis est exploratum, aliquanto ulterius in inquirendo progrediamur. Nusquamne ille est, an alicubi? Si enim nusquam, quæret fortasse aliquis ex iis qui inquirendi ac disputandi subtilitate impensius gaudent, quomodo esse quoque possit. Nam si id quod non est, nusquam est: id quoque quod nusquam est, ne quidem fortasse est. Quod si alicubi esse dixeris, proculdubio, quandoquidem est, vel in universo est, vel supra universum. Si in universo; vel in quadam ejus parte est, vel **503** ubique. Si quadam in parte, ergo a minori hac parte circumscribetur. Sin ubique, ab ampliore alioque multo majore, id est, a continente continebitur. Hæc si dederimus, futurum est, ut universum universi complexu teneatur, nec ullus a circumscriptione liber exstet locus. In has absurditates incidant necesse est, qui eum in universo esse dixerint. Ac præterea, ubinam erat, antequam universa hæc rerum machina exstitisset?

(33) *Θεοῦ*. Deest in Or. 1.
(34) *Μέλλοι*. Reg. a, μέλλει.
(35) *Τῷ*. Coisl. 1, τό.
(36) *Ἔκ τε*. Deest τε in Reg. bm.
(37) *Ὥσπερ ἄν*. Deest ἄν in Or. 1.
(38) *Οὐ δύο λέγοι*, etc. Regg. a, bm, tres Colb. et Or. 1, οὐ δύο λέγει, οὐδὲ τρεῖς, οὐδὲ τέσσαρας.
(39) *Τῶν ἄγαν ἐξεταστικῶν*. « Qui scire ac investigare omnia cupiunt. »
(40) *Εἰ δὲ πανταχοῦ*, etc. Bill.: « Sin ubique, ergo ab alio multo majore continebitur: si quidem futurum est, ut Deus totus universi complexu teneatur, nec ulla ex parte circumscriptionis expers sit. »
(41) *Μέλλει*. Reg. bm, tres Colb. et Comb. μέλλοι.
(42) *Ταῦτα μέν*, etc. « Hæc quidem consequentur, si in hac universitate Deus constituatur. »

Nam hoc quoque non levem difficultatem affert. Quod si eum supra universum esse dixerint, quid? Nihilne erat, quod eum ab universo dirimeret? Ubinam porro erat, quod supra universum erat? Aut quomodo internosci poterat id, quod sublimius erat, ab eo, quod inferius, cum nullus limes esset, qui hæc secerneret ac distingueret? Annon omnino necesse est medium quoddam esse, quo, velut termino, dirimatur universum ab eo, quod supra universum est? Quid autem aliud hoc fuerit, quam locus, quem jam ante exclusimus? Nondum enim commemoro, fieri omnino non posse, quin circumscriptus sit Deus, si animo et cogitatione comprehendi potest. Unum quippe circumscriptionis genus comprehensio quoque ipsa est.

πᾶν; Καὶ τί ἄλλο τοῦτο ἢ τόπος ἐστὶν, ὅνπερ ἐφύγομεν; Καὶ οὔπω λέγω τὸ περιγραπτὸν πάντως εἶναι τὸ Θεῖον, καὶ εἰ (45) διανοίᾳ καταληπτόν· ἓν γὰρ περιγραφῆς εἶδος καὶ ἡ κατάληψις.

XI. Quorsum autem hæc disserui, curiosiusque fortasse, quam vulgi aures ferant, ac pro ea, quæ hac tempestate viget, disputandi ratione (quæ, simplici atque ingenua rerum divinarum pertractatione contempta et pro nihilo habita, subdolum atque involutum dicendi genus invexit; ut nimirum ex fructibus arbor [50], hoc est, ater ille ac tenebrosus spiritus, hujusmodi dogmatum afflator, ex hac disputationis caligine agnoscatur)? Non enim hoc eo a me factum est, ut ipse quoque nova et ab hominum sensibus aliena proferre, atque eximia quadam et excellenti sapientia ornatus esse [51] videar, nodos nectens, atque astricta dissolvens; quod quidem magnum Danielis miraculum fuit; verum ut illud ostendam, quod orationis principio dicere instituebam, nimirum Deum extra humani ingenii captum esse, nec totum, quantus est, cogitari atque animo informari posse; idque non ob invidiam (longe enim abest a divina natura invidiæ livor, utpote quæ omni perturbatione vacat, solaque bona et domina est, ac præsertim erga id, quod ex omnibus rebus a se conditis maximo in pretio habet. Quid enim apud Verbum priore loco ac numero est, quam quæ rationem ac sermonis **504** facultatem acceperunt? Quandoquidem hoc quoque ipsum, quod procreata sunt, summæ cujusdam divinæ bonitatis argumentum est), nec ut inde ipsius, qui plenus est, honori gloriæque quidquam accederet, ut videlicet ex eo quod ad ejus cognitionem mortales pervenire nequeunt, major ad ipsum honor ac veneratio redeat. Sophisticum enim plane, atque alienum est, non dicam a Deo, sed ab homine, mediocri saltem probitate candoreque prædito, atque ingenuæ cujusdam honestatis sibi conscio, prohibendis aliis principatum sibi arrogare.

ΙΑ'. Τίνος οὖν ἕνεκεν ταῦτα διῆλθον, καὶ περιεργότερον ἴσως ἢ κατὰ τὰς τῶν πολλῶν ἀκοὰς, καὶ κατὰ τὸν νῦν (44) κεκρατηκότα τύπον τῶν λόγων (ὃς τὸ γενναῖον καὶ ἁπλοῦν ἀτιμάσας, τὸ σκολιὸν καὶ γριφοειδὲς (45) ἐπεισήγαγεν· ὡς ἐκ τῶν καρπῶν τὸ δένδρον γινώσκεσθαι, λέγω δὲ τὸ ἐνεργοῦν τὰ τοιαῦτα δόγματα σκότος ἐκ τοῦ ζόφου τῶν λεγομένων); Οὐ γὰρ ἵνα καὶ αὐτὸς παράδοξα λέγειν δόξω, καὶ περιττὸς φαίνωμαι τὴν σοφίαν, πλέκων συνδέσμους (46), καὶ διαλύων κρατούμενα, τοῦτο δὴ τὸ μέγα θαῦμα τοῦ Δανιήλ· ἀλλ' ἵν' ἐκεῖνο δηλώσαιμι, ὅ μοι λέγειν ὁ λόγος ἀπ' ἀρχῆς ὥρμησε (47). Τοῦτο δὲ τί ἦν (48); Τὸ μὴ ληπτὸν εἶναι ἀνθρωπίνῃ διανοίᾳ τὸ Θεῖον, μηδὲ ὅλον ὅσον ἐστὶ φαντάζεσθαι· καὶ τοῦτο οὔτε διὰ φθόνον (μακρὰν γὰρ τῆς θείας φύσεως φθόνος, τῆς γε ἀπαθοῦς, καὶ μόνης ἀγαθῆς, καὶ κυρίας, καὶ μάλιστα τῶν ἑαυτοῦ κτισμάτων περὶ τὸ τιμιώτατον (49). Τί γὰρ Λόγῳ πρὸ τῶν λογικῶν· ἐπεὶ καὶ αὐτὸ τὸ ὑποστῆναι τῆς ἄκρας ἀγαθότητος), οὔτε εἰς τιμὴν ἑαυτοῦ καὶ δόξαν τοῦ πλήρους (50), ἵνα τῷ ἀνεφίκτῳ τὸ τίμιον ἔχῃ καὶ τὸ σεβάσμιον. Τοῦτο γὰρ πάντως (51) σοφιστικὸν καὶ ἀλλότριον, μὴ ὅτι Θεοῦ, ἀλλ' οὐδὲ ἀνθρώπου μετρίως ἐπιεικοῦς, καί τι δεξιὸν ἑαυτῷ συνειδότος, ἐκ τοῦ κωλύειν ἑτέρους τὸ πρωτεῖον πορίζεσθαι.

XII. Verum aliasne etiam quasdam ob causas, viderint ii, qui Deo propinquiores conjunctioresque sunt, atque impervestigabilium ipsius judiciorum [52] inspectores et contemplatores, si qui tamen sunt ad eam virtutis magnitudinem evecti, atque in abyssi vestigiis deambulantes [53], ut proverbio dici solet. Quantum tamen nos, qui exiguis modulis ea quæ ad contemplandum difficilia sunt, metimur, conjectura assequi possumus, tres hujus rei causæ afferri queant. Prima forsan, ne, ob adipiscendi facilitatem, facilis

ΙΒ'. Ἀλλ' εἰ μὲν καὶ δι' ἄλλας αἰτίας, εἰδεῖεν ἂν οἱ ἐγγυτέρω Θεοῦ, καὶ τῶν ἀνεξιχνιάστων αὐτοῦ κριμάτων ἐπόπται καὶ θεωροὶ, εἴπερ εἰσί τινες τοσοῦτοι τὴν ἀρετὴν, καὶ ἐν ἴχνεσιν ἀβύσσου περιπατοῦντες, τὸ δὴ λεγόμενον· ὅσον δ' οὖν ἡμεῖς κατειλήφαμεν, μικροῖς μέτροις μετροῦντες τὰ δυσθεώρητα· τάχα μὲν, ἵνα μὴ τῷ ῥᾳδίῳ τῆς κτήσεως, ῥᾴστη γένηται καὶ ἡ τοῦ κτηθέντος ἀποβολή. Φιλεῖ γὰρ τὸ μὲν πόνῳ κτηθὲν μᾶλλον κρατεῖσθαι· τὸ δὲ ῥᾳδίως κτηθὲν, καὶ ἀποπτύεσθαι (52) τάχιστα, ὡς πάλιν ληφθῆ-

[50] Matth. VII, 20. [51] Dan. V, 11. [52] Rom. XI, 33. [53] Job XXXVIII, 16.

(43) *Καὶ εἰ.* Deest εἰ in Reg. Cypr.
(44) *Τὸν νῦν.* Sic codd. In ed., τὸν νοῦν.
(45) *Γριφοειδές.* Sic Reg. bin et Cosl. 1. In quibusdam, γριφῶδες. In ed., γρυφοειδές. Schol., αἰνιγματωδές, « ænigmatice, obscure. » Notat hic Gregorius Eunomianos, ac præcipue Aetium Eunomii magistrum.
(46) *Συνδέσμους.* Vulgata versio Dan. V, 12, habet, « obscura interpretari, et ligata dissolvere. »
(47) *Ὥρμησε.* In nonnullis, ὥρμητο.
(48) *Τοῦτο δὲ τί ἦν.* Deest τί in Or. 1.
(49) *Τιμιώτατον.* Comb. prafert, οἰκειότατον. « Maxima sibi necessitudine conjunctum, familiarissimum. »
(50) *Τοῦ πλήρους.* Alludit ad hæc Isaiæ verba I, 11 : « Quo mihi multitudinem victimarum vestrarum? dicit Dominus : plenus sum, » etc.
(51) *Πάντως.* Comb., πάντῃ.
(52) *Ἀποπτύεσθαι.* Or. 1 ἀποπτύεται.

ναι δυνάμενον· καὶ οὕτως (53) εὐεργεσία καθίσταται τὸ μὴ πρόχειρον τῆς εὐεργεσίας, τοῖς γε νοῦν ἔχουσι. Τάχα δὲ, ὡς μὴ ταυτὸν ἡμᾶς τῷ πεσόντι Ἑωσφόρῳ πάσχειν (54), ἐκ τοῦ τὸ φῶς ὅλον χωρῆσαι κατέναντι Κυρίου παντοκράτορος τραχηλιᾶν, καὶ πίπτειν ἐκ τῆς ἐπάρσεως, πτῶμα πάντων ἐλεεινότατον. Τυχὸν δὲ, ἵν' ᾖ τι πλέον ἐκεῖθεν ἆθλον φιλοπονίας καὶ λαμπροῦ βίου τοῖς ἐνταῦθα κεκαθαρμένοις, καὶ μακροθυμοῦσι πρὸς τὸ ποθούμενον. Διὰ τοῦτο μέσος ἡμῶν τε καὶ Θεοῦ ὁ σωματικὸς οὗτος ἵσταται γνόφος, ὥσπερ ἡ νεφέλη (55) τοπάλαι τῶν Αἰγυπτίων καὶ τῶν Ἑβραίων. Καὶ τοῦτό ἐστιν ἴσως, ὃ ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ, τὴν ἡμετέραν παχύτητα, δι' ἣν ὀλίγοι καὶ μικρὸν διακύπτουσιν. Τοῦτο μὲν οὖν φιλοσοφείτωσαν οἷς ἐπιμελὲς, καὶ ἀνίτωσαν ἐπὶ πλεῖστον τῆς διασκέψεως· ἡμῖν δ' οὖν ἐκεῖνο γνώριμον τοῖς δεσμίοις τῆς γῆς, ὅ φησιν ὁ θεῖος Ἱερεμίας, καὶ τὸ παχὺ τοῦτο σαρκίον περιβεβλημένοις (56)· ὅτι ὥσπερ ἀδύνατον ὑπερβῆναι (57) τὴν ἑαυτοῦ σκιὰν, καὶ τῷ λίαν ἐπειγομένῳ (φθάνει γὰρ ἀεὶ τοσοῦτον, ὅσον καταλαμβάνεται), ἢ τοῖς ὁρατοῖς πλησιάσαι τὴν ὄψιν, δίχα τοῦ ἐν μέσῳ φωτὸς καὶ ἀέρος, ἢ τῶν ὑδάτων ἔξω τὴν νηκτὴν φύσιν διολισθαίνειν· οὕτως ἀμήχανον τοῖς ἐν σώματι (58), δίχα τῶν σωματικῶν, πάντη γενέσθαι μετὰ τῶν νοουμένων. Ἀεὶ γάρ τι παρεμπεσεῖται τῶν ἡμετέρων, κἂν ὅτι μάλιστα χωρίσας ἑαυτὸν τῶν ὁρωμένων ὁ νοῦς, καὶ καθ' ἑαυτὸν γενόμενος, προσβάλλειν ἐπιχειρῇ τοῖς συγγενέσι καὶ ἀοράτοις. Γνώσῃ δὲ οὕτως.

A quoque rei quæsitæ jactura sit. Fit enim fere, ut quod non sine labore atque industria partum est, arctius quoque teneatur : quod autem nullo negotio comparatum est, citissime vilescat, et abjiciatur, utpote quod recuperari possit ; atque ita in beneficium cedit non obvia illa beneficentia, apud eos saltem, qui prudentes sunt. Altera, ne idem nobis, quod Lucifero illi prolapso [54], accidat ; hoc est, ne toto illo fulgore perfusi cervicem adversus Dominum omnipotentem attollamus, atque ob elationem corruamus, casu omnium miserrimo et calamitosissimo. Postrema, ut pro industriæ suæ illustrisque vitæ præmio uberius aliquid habeant, qui hic sese a vitiorum labe perpurgarint, ac rem adamatam et expetitam patientibus animis exspectarint. Idcirco B media inter nos ac Deum corporea hæc caligo interjecta est; non secus ac nubes illa [55] olim inter Ægyptios et Hebræos. Ac fortasse huc spectat illud Scripturæ, Posuit tenebras latibulum sibi [56], hoc est, crassitiem nostram, qua fit, ut pauci omnino, iique parum admodum transpiciant. Sed de hac re accuratius philosophentur, altissimeque consideratione provehantur, quibus id studio et curæ fuerit. Nobis utique, qui terræ vinculis astricti tenemur [57], ut Jeremiæ verbis utar, crassaque hac carne obtegimur, hoc perspicuum est, quod quemadmodum nulla ratione fieri **505** potest, ut quispiam, quamlibet gressum urgeat, umbram suam prætereat (quantum enim eam assequeris, tantum etiam illa semper antevertit), aut oculus rebus in aspectum cadentibus citra intermediam lucem et aerem conjungatur, aut pisces extra aquas natent ; ita etiam impossibile est iis, qui corporibus inclusi sunt, sine corporearum ac sensibilium rerum adminiculo, rebus iis, quæ animo ac ratione intelliguntur, omnino conjungi. Semper enim obiter sensibile aliquid rerum nostrarum incidit, quantumvis maxime nostra mens ab iis rebus, quæ in aspectum cadunt, abstracta, atque in seipsam collecta, res cognatas, et oculorum aciem fugientes assequi ac percipere contenderit. Quod quidem ita tibi clarum ac dilucidum erit.

ΙΓ'. Οὐ πνεῦμα, καὶ πῦρ, καὶ φῶς, ἀγάπη τε καὶ σοφία, καὶ δικαιοσύνη, καὶ νοῦς, καὶ λόγος, καὶ τὰ τοιαῦτα (59), αἱ προσηγορίαι τῆς πρώτης φύσεως; Τί οὖν; Ἢ πνεῦμα νοήσεις δίχα φορᾶς καὶ χύσεως; Ἢ πῦρ ἔξω τῆς ὕλης, καὶ τῆς ἄνω φορᾶς, καὶ τοῦ ἰδίου χρώματός τε καὶ σχήματος; Ἢ φῶς οὐκ ἀέρι σύγκρατόν τε καὶ ἄφετον τοῦ οἷον γεννῶντός τε καὶ φωτίζοντος; Νοῦν δὲ τίνα; Μὴ τὸν ἐν ἄλλῳ, καὶ οὗ κινήματα τὰ διανοήματα, ἠρεμοῦντα, ἢ προβαλλόμενα; Λόγον δὲ τίνα παρὰ τὸν ἡσυχάζοντα ἐν ἡμῖν, ἢ χεόμενον; ὀκνῶ γὰρ εἰπεῖν, λυόμενον. Εἰ δὲ καὶ σοφίαν, τίνα παρὰ τὴν ἕξιν, καὶ τὴν ἐν τοῖς θεωρήμασιν (60) εἴτε θείοις, εἴτε καὶ ἀνθρωπίνοις; Δικαιοσύνην τε καὶ ἀγάπην, οὐ διαθέσεις ἐπαινουμένας;

C XIII. Nonne spiritus, et ignis, et lux, et charitas, et sapientia, et justitia, et mens, et verbum, atque similia, principis illius naturæ sunt nomina ? Quid igitur ? An spiritum animo concipies, qui motus ac diffusionis expers sit ? An ignem, qui materia careat, sursumque non feratur, nec proprio colore ac figura præditus sit ? An lucem nullo aere permistam, atque a suo quasi parente eamque effundente segregatam ? Jam mentem, quam tandem intelliges ? An non eam, quæ in alio est, cujusque motus cogitationes sunt, vel tacitæ, vel sese proferentes ? Quod item verbum ? An non illud, quod vel in nobis quiescit, vel diffunditur ? vereor enim D dicere, solvitur. Quam porro sapientiam, præter

[54] Isa. XIV, 12. [55] Exod. XIV, 20. [56] Psal. XVII, 12. [57] Thren. III, 34.

(53) *Καὶ οὕτως*, etc. id est, « ac sic ipsam beneficii comparandi difficultatem pro beneficio habent cordati homines. »

(54) *Πάσχειν*. Comb., παθεῖν.

(55) *Νεφέλη*. Schol. : Νεφέλην λέγει τὸ ἐπίπροσθεν τῇ ψυχῇ σῶμα. Ἡμεῖς μὲν γὰρ ἡ ψυχὴ, ἡμέτερον δὲ τὸ σῶμα· « Nubem appellat corpus quod animæ objectum est. Nos enim anima sumus, corpus vero nostrum est. »

(56) *Περιβεβλημένοις*. Sic Colb. 3. Alii, προβεβλημένοις.

(57) *Ἀδύνατον ὑπερβῆναι*. Reg. Cypr., ἀδύνατόν ἐστιν ὑπερβαίνειν.

(58) *Σώματι*. Reg. bm, σώμασι.

(59) *Καὶ τὰ τοιαῦτα*, etc. Bill. : « Atque aliis natura nuncupatur? » In prima autem ed. : « Atque hujusmodi nominibus divina natura appellatur? »

(60) *Ἐν τοῖς θεωρήμασιν*. Reg. a, ἐν τοῖς νοήμασι καὶ θεωρήμασιν, « in cogitationibus et contemplationibus. »

eam, quæ habitus est, atque, vel in divinis, vel in humanis rebus contemplandis versatur? Quam porro justitiam et charitatem? Nonne præclaras et cum laude conjunctas affectiones (quarum altera injustitiæ, altera odio adversetur), nunc sese intendentes, nunc remittentes; nunc accedentes, nunc decedentes, ac certa omnino qualitate nos afficientes et immutantes, haud secus ac colores corpora? An potius nobis faciendum est, ut ab his abscedamus, ac numen ipsum sejunctim, quoad ejus fieri potest, perspiciamus, particularem quamdam speciem ex simulacris colligentes? Quænam igitur est hæc molitio, quæ et ex his velut conflетur, et tamen hæc non sit? Aut quomodo id, quod unum est, ac suapte natura compositionis expers, nec ullis rerum simulacris adumbrari potest, hæc omnia et horum unumquodque perfecte fuerit? Ita mens nostra languet ac fatiscit, dum e corporeis et sensibilibus rebus excedere, **506** atque incorporeis citra ullius rei interventum jungi studet, quandiu cum sua infirmitate, ea, quæ ipsius vires superant, speculatur. Etenim Deum, ac principem illam causam, natura quidem omnis rationis particeps appetit; ut autem eam assequatur, ob eas, quas dixi, causas, vires deficiunt. Languens autem desiderio, ac male omnino affecta, ægerrimeque hoc damnum ferens, secundam, ut dici solet, navigationem init, ut scilicet, vel ad res eas, quæ sub oculorum sensum cadunt, oculos flectat, ac quampiam earum pro numine colat, pessimo utique consilio labens (quid enim in omnibus rebus, quæ oculis cernuntur, eo, a quo cernuntur, excelsius et divinius est, ut illud adoretur, hoc vero adoret?); vel per aspectabilium rerum pulchritudinem et ordinem, Dei cognitionem assequatur, atque ad ea percipienda, quæ oculorum obtutum fugiunt, ducibus oculis utatur, non autem per earum rerum, quæ oculis subjectæ sunt, magnificentiam, Dei jacturam faciat.

καὶ τὴν μὲν τῆς ἀδικίας, τὴν δὲ τοῦ μίσους ἀντίπαλον, ἐπιτεινομένας τε καὶ ἀνιεμένας (61), προσγινομένας τε καὶ ἀπογινομένας, καὶ ὅλως ποιούσας ἡμᾶς καὶ ἀλλοιούσας, ὥσπερ αἱ χρόαι τὰ σώματα; Ἢ δεῖ τούτων ἀποστάντας ἡμᾶς, αὐτὸ καθ' ἑαυτὸ τὸ θεῖον (62) ἰδεῖν, ὡς οἷόν τε, μερικήν τινα φαντασίαν ἐκ τῶν εἰκασμάτων συλλεγομένους; Τίς οὖν ἡ μηχανὴ (63) ἐκ τούτων τε, καὶ μὴ ταῦτα; Ἢ πῶς ταῦτα πάντα, καὶ τελείως ἕκαστον, τὸ ἓν (64) τῇ φύσει ἀσύνθετον καὶ ἀνείκαστον; Οὕτω κάμνει ἐκβῆναι τὰ σωματικὰ ὁ ἡμέτερος νοῦς, καὶ γυμνοῖς ὁμιλῆσαι τοῖς ἀσωμάτοις, ἕως σκοπεῖ μετὰ τῆς ἰδίας ἀσθενείας τὰ ὑπὲρ δύναμιν. Ἐπεὶ ἐφίεται μὲν πᾶσα λογικὴ φύσις Θεοῦ, καὶ τῆς πρώτης αἰτίας· καταλαβεῖν δὲ ἀδυνατεῖ, δι' ἃς εἶπον αἰτίας. Κάμνουσα δὲ τῷ πόθῳ, καὶ οἷον σφαδάζουσα (65), καὶ τὴν ζημίαν οὐ φέρουσα, δεύτερον ποιεῖται πλοῦν (66), ἢ πρὸς τὰ ὁρώμενα βλέψαι, καὶ τούτων τι ποιῆσαι Θεόν, κακῶς εἰδυῖα· (τί γὰρ τῶν ὁρατῶν τοῦ ὁρῶντος, καὶ πόσον ἐστὶν ὑψηλότερόν τε καὶ θεοειδέστερον, ἵν' ᾖ τὸ μὲν προσκυνοῦν, τὸ δὲ προσκυνούμενον;) ἢ διὰ τοῦ κάλλους (67) τῶν ὁρωμένων καὶ τῆς εὐταξίας, Θεὸν γνωρίσαι, καὶ ὁδηγῷ τῇ ὄψει, τῶν ὑπὲρ τὴν ὄψιν χρήσασθαι, ἀλλὰ μὴ ζημιωθῆναι Θεὸν διὰ τῆς μεγαλοπρεπείας τῶν ὁρωμένων.

XIV. Hinc alii solem, alii lunam, alii siderum multitudinem, alii cœlum quoque ipsum una cum illis, quibus pro motus qualitate vel quantitate mundi gubernationem administrationemque tribuerunt; alii rursus propter necessarium usum, terram, aquam, aerem, ignem, quod his sublatis humanæ vitæ incolumitas constare non possit; alii denique quidquid ex rebus aspectabilibus temere ipsis occurrit, coluerunt, pulcherrima quæque eorum, quæ cernebant, pro diis sibi constituentes. Nec defuerunt, qui statuas ac figmenta divinis honoribus affecerint, primum quidem propinquorum et necessariorum, ii videlicet, qui vehementiori luctu affligtabantur, corporeisque rebus addictiores erant, atque homines vita functos monumentorum honore prosequebantur: post autem alienorum quo-

ΙΔ'. Ἐντεῦθεν οἱ μὲν ἥλιον, οἱ δὲ σελήνην, οἱ δὲ ἀστέρων πλῆθος, οἱ δὲ οὐρανὸν αὐτὸν ἅμα τούτοις, οἷς καὶ τὸ πᾶν ἄγειν δεδώκασι κατὰ τὸ ποιὸν ἢ ποσὸν τῆς κινήσεως· οἱ δὲ τὰ στοιχεῖα, γῆν, ὕδωρ, ἀέρα, πῦρ, διὰ τὸ χρειῶδες, ὧν ἄνευ οὐδὲ συστῆναι δυνατὸν τὸν ἀνθρώπινον βίον· οἱ δὲ ὅ τι τύχοιεν ἕκαστος τῶν ὁρατῶν ἐσεβάσθησαν, ὧν ἑώρων τὰ κάλλιστα θεοὺς προστησάμενοι. Εἰσὶ δὲ οἳ καὶ εἰκόνας, καὶ πλάσματα, πρῶτα μὲν τῶν οἰκείων, οἵγε περιπαθέστεροι, καὶ σωματικώτεροι, καὶ τιμῶντες τοὺς ἀπελθόντας τοῖς ὑπομνήμασιν· ἔπειτα καὶ τῶν ξένων, οἱ μετ' ἐκείνους, καὶ μακρὰν ἀπ' ἐκείνων, ἀγνοίᾳ τῆς πρώτης φύσεως, καὶ ἀκολουθίᾳ τῆς παραδοθείσης τιμῆς, ὡς ἐννόμου καὶ ἀναγκαίας. Ἐπειδὴ χρόνῳ τὸ ἔθος βεβαιωθὲν, ἐνομίσθη νόμος (68). Οἶμαι δὲ καὶ δυναστείαν (69) τινὲς θεραπεύοντες, καὶ ῥώμην ἐπαινέ-

(61) *Ἀνιεμένας*. Coisl. 1 aliique, ἀνειμένας.

(62) *Θεῖον*. Duo Regg., tres Colb., Coisl. 1 et Or. 1 addunt, ἐκ τούτων.

(63) *Μηχανή*. Schol.: Ἐκ τούτων μὲν φανταζόμεθα τὴν θείαν φύσιν, οὐ ταῦτα δέ ἐστιν ἡ θεία φύσις· « Ex his divinam naturam effingimus, quæ tamen divina natura minime sit. »

(64) *Τὸ ἕν*. Sic Reg. bm. Sic etiam legit Billius. In ed., τὸ ἐν.

(65) *Σφαδάζουσα*. Schol.: Χαλεπῶς φέρουσα· « Desiderio acrius stimulata, et sui impos, quasi exæstuans. » Coisl. 1, πανουργεύουσα.

(66) *Δεύτερον ποιεῖται πλοῦν*. « Secundam navigationem init. » Id proverbio dicitur, cum quis ad summa pertingere non valens, proxima consectatur. « Quemadmodum, » inquit Billius, « qui mari iter faciunt, cum eum, quem maxime optant, nequeunt, proximum illi tamen, quanquam non adeo commodum, cursum tenere conantur. »

(67) *Ἢ διὰ τοῦ κάλλους*, etc. Id est, « ob eximiam pulchritudinem elegantissimumque rerum sensibilium ordinem, divinitatem rebus ipsis sensibilibus tribuat, ac ita Deum amittat. »

(68) *Ἐνομίσθη νόμος*. Comb., νομος εγενετο.

(69) *Δυναστείαν*. Sic duo Regg., tres Colb., Coisl. 1, Or. 1 et Par. In ed., δυναστείας.

A σάντες, καὶ κάλλος θαυμάσαντες, θεὸν ἐποίησαν τῷ χρόνῳ τὸν τιμώμενον, προσλαβόμενοί (70) τινα καὶ μῦθον τῆς ἐξαπάτης (71) ἐπίκουρον.

que, nempe ii, qui multis post eos sæculis exstiterunt, ignoratione videlicet primæ illius naturæ, ac serie per manus ipsis a majoribus traditi cultus, quasi justi et necessarii. Consuetudo enim, temporis longinquitate confirmata, pro lege habita est. Nonnullos etiam fuisse arbitror, qui summam alicujus potestatem omni observantia colentes, et corporis robur laudibus efferentes, ac formæ venustatem admirantes, cum tandem, quem honorabant, in deorum numerum ascripserint, ad hujusmodi imposturæ subsidium et patrocinium, fabulas quasdam assumentes.

ΙΕ'. Οἱ ἐμπαθέστεροι δὲ αὐτῶν καὶ τὰ πάθη θεοὺς ἐνόμισαν, ἢ θεοὺς (72) ἐτίμησαν, θυμὸν, καὶ μιαιφονίαν, καὶ ἀσέλγειαν, καὶ μέθην, καὶ οὐκ οἶδ' ὅ τι ἄλλο τῶν τούτοις παραπλησίων· οὐ καλὴν, οὐδὲ δικαίαν ταύτην ἀπολογίαν εὑράμενοι τῶν οἰκείων ἁμαρτημάτων. Καὶ τοὺς μὲν ἀφῆκαν κάτω (73), τοὺς δὲ ὑπὸ B γῆν ἔκρυψαν (74), τοῦτο συνετῶς μόνον· τοὺς δὲ ἀνήγαγον εἰς τὸν οὐρανόν (75). Ὢ τῆς γελοίας κληροδοσίας! Εἶτα ἑκάστῳ τῶν πλασμάτων ὄνομά τι θεῶν ἢ δαιμόνων ἐπιφημίσαντες, κατὰ τὴν ἐξουσίαν καὶ αὐτονομίαν τῆς πλάνης, καὶ ἀγάλματα ἱδρυσάμενοι, ὧν καὶ τὸ πολυτελὲς δέλεαρ· αἵμασί τε καὶ κνίσσαις, ἔστι δὲ οἵ γε (76), καὶ πράξεσι λίαν αἰσχραῖς, μανίαις τε καὶ ἀνθρωποκτονίαις τιμᾶν τούτους (77) ἐνόμισαν· τοιαύτας γὰρ ἔπρεπεν εἶναι θεῶν τοιούτων καὶ τὰς τιμάς. Ἤδη δὲ καὶ κνωδάλοις (78), καὶ τετραπόδοις, καὶ ἑρπετοῖς, καὶ τούτων τοῖς αἰσχίστοις τε καὶ γελοιοτάτοις ἑαυτοὺς καθύβρισαν, καὶ τούτοις φέροντες τὴν τοῦ Θεοῦ δόξαν προσέθηκαν· ὡς μὴ ῥᾴδιον εἶναι κρῖναι, ποτέρων (79) δεῖ καταφρονεῖν μᾶλλον, τῶν προσκυνούντων, ἢ τῶν προσκυνουμένων· C τάχα δὲ καὶ πολὺ πλέον τῶν λατρευόντων, ὅτι λογικῆς ὄντες φύσεως, καὶ χάριν Θεοῦ δεξάμενοι, τὸ χεῖρον ὡς ἄμεινον προεστήσαντο (80)· καὶ τοῦτο τοῦ πονηροῦ τὸ σόφισμα, τῷ καλῷ καταχρησαμένου πρὸς τὸ κακὸν, οἷα τὰ πολλὰ τῶν ἐκείνου κακουργημάτων. Παραλαβὼν γὰρ αὐτῶν τὸν πόθον πλανώμενον (81) κατὰ Θεοῦ ζήτησιν, ἵν' εἰς ἑαυτὸν (82) περισπάσῃ τὸ κράτος, καὶ κλέψῃ τὴν ἔφεσιν· ὥσπερ τυφλὸν χειραγωγῶν ὁδοῦ τινος ἐφιέμενον, ἄλλους ἀλλαχοῦ κατεκρήμνισε, καὶ διέσπειρεν εἰς ἕν τι θανάτου καὶ ἀπωλείας βάραθρον.

507 XV. Jam vitiosissimi quique vitia ipsa fœdosque affectus deos esse censuerunt, aut certe sub deorum nomine coluerunt, iram nimirum, cædem, libidinem, temulentiam, et cætera ejus generis, non æquam, nec honestam hanc scelerum suorum excusationem nacti. Atque eos partim in terra reliquerunt, partim infra terram occultarunt, hoc unum satis consulte, partim in cœlum evexerunt: o ridiculam hæreditatis partitionem! Ac deinde pro erroris libertate et licentia, figmento cuique nomen aliquod, vel deorum, vel dæmonum indiderunt, statuasque insuper erexerunt, easque adeo magnificas et excellentes, ut pretio ipso vulgi animos inescarent. Ad hæc per cruores et carnium nidores, quidam etiam per actiones in primis fœdas, hoc est, furores ac cædes, hujusmodi numina rite coli existimarunt; tales quippe talibus diis honores haberi conveniebat. Eo etiam amentiæ quidam proruperunt, ut colendis avibus, et quadrupedibus, et reptilibus [58], atque horum turpissimis quibusque maximeque ridiculis, seipsos contumelia afficerent, iisque Dei gloriam attribuerunt: ut non sit facile constituere, utri magis contemnendi sint, iine qui adorabant, an qui adorabantur. Fortasse vero multo majori contemptu atque ignominia digni erant, qui res hujusmodi adorabant; quoniam, cum natura ratione prædita ornati essent, Deique gratiam accepissent, deterius meliori prætulerunt. Atque hæc fuit pravi illius calliditas et impostura, re bona ad malum abutentis; qualia sunt pleraque illius versuta facinora. Nam cum eorum cupiditatem ad Dei conquisitionem oberrantem accepisset, ut principatum ad se transferret, ac desiderium eorum eluderet, quasi cæcum viæ cujusdam cupiditate flagrantem manuducens, alios alio præcipites egit, atque in unum quoddam mortis exitiique barathrum dispersit.

ΙϚ'. Οὗτοι μὲν δὴ ταῦτα· ἡμᾶς δὲ ὁ λόγος δεξάμενος ἐφιεμένους Θεοῦ, καὶ μὴ ἀνεχομένους τὸ ἀνηγεμόνευτόν τε καὶ ἀκυβέρνητον· εἶτα τοῖς ὁρωμένοις προσβάλλων (83), καὶ τοῖς ἀπαρχῆς ἐντυγχάνων, οὔτε

D XVI. Atque hæc quidem illi. Nos autem, Dei desiderio flagrantes, atque animis ita comparatos, ut universitatem hanc duce atque gubernatore carere nullo modo admittere queamus, ratio excipiens, ac

[58] Rom. I, 23.

(70) *Προσλαβόμενοι*. Comb., προσλαβόντες.
(71) *Ἐξαπάτης*. Coisl. 1, ἐξαπατήσεως.
(72) *Θεούς*. Deest in Or. 1. In ed., θεοῖς.
(73) *Καὶ τοὺς μὲν ἀφῆκαν κάτω*, etc. Alludit Gregorius ad fabulosam partitionem, qua cœlum Jovi, mare Neptuno, inferorum regnum Plutoni in sortem cessisse finxit antiquitas.
(74) *Ἔκρυψαν*. Reg. Cypr., ἀπέῤῥιψαν, « abjecerunt. »
(75) *Τὸν οὐρανόν*. Deest τόν in Or. 1.
(76) *Ἔστι δὲ οἵ γε*. Colb. 4, et Coisl., ἔστι δὲ ὅτε.
(77) *Τιμᾶν τούτους*. Sic Reg. Cypr. In edit. τοῦτο τιμᾶν.
(78) *Κνωδάλοις*. Elias « aves » intelligit. Budæus, « feras » tam terrestres, quam aquaticas et aerias.
(79) *Ποτέρων*. Sic Coisl. 1, et tres Colb. Alii, πότερον, prave. Edit.
(80) *Προεστήσαντο*. Reg. Cypr., προετιμήσαντο.
(81) *Πλανώμενον*. Coisl. 1, πλανωμένων.
(82) *Εἰς ἑαυτόν*. Sic duo Regg., tres Colb., Coisl 1 et 3, Comb. In ed., εἰς ἑαυτήν
(83) *Προσβάλλων*. Reg. a, et Or. 1, προβαλών.

deinde in res oculis subjectas intuens, atque adeo ea, quæ ab initio condita sunt, considerans, ne hic quidem **508** gradum fixit. Neque enim rationis erat, iis, quæ, quantum ad sensum, pari nobiscum conditione sunt, principatum dare. Quin potius eorum ope atque adjumento nos ad id, quod his superius est, cujusque beneficio hæc sunt, ducit. Quid enim tandem illud est, quod cœlestia et terrestria, quæque, vel per aerem, vel per aquam feruntur, vel potius ea, quæ his priora sunt, cœlum, terram, aerem, aquam certo ordine collocavit? Quis hæc miscuit ac sejunxit? Quæ mutua horum societas naturæque cognatio et conspiratio? Hoc enim dictum, licet hominis a religione nostra alieni, mihi magnopere probatur: *Quis motum his attulit, ac perpetuo minimeque impedito cursu ea moderatur?* An non eorum artifex et qui rebus omnibus rationem eam indidit, qua universum fertur et gubernatur? Quis porro horum artifex? An non is, qui hæc procreavit atque in rerum naturam produxit? Neque enim proculdubio casui fortunæque hæc vis et facultas ascribenda est. Ut enim hoc demus, casu omnia exstitisse, cui tandem eorum constitutio ac dispositio tribuenda erit? Atque ut hoc quoque ipsum, si ita lubet, casui concedamus, cujusnam, quæso, fuerit, hæc, juxta eas rationes, quibus primum creata sunt, tueri atque conservare? Alteriusne cujuspiam, an casus? Alterius profecto, non casus. Hoc autem quid tandem aliud esse queat, quam Deus? Sic ratio, quæ ex Deo est, et cunctis insita, et prima in pectoribus nostris condita lex, cunctisque mortalibus innexa, nos ab iis rebus, quæ oculis cernuntur, ad Deum subvexit. Ac proinde hoc pacto rursus exordiamur.

A μέχρι τούτων ἔστησεν. Οὐ γὰρ ἦν λόγου δοῦναι τὴν ἡγεμονίαν τοῖς ὁμοτίμοις κατὰ τὴν αἴσθησιν (84). Καὶ διὰ τούτων ἄγει πρὸς τὸ ὑπὲρ ταῦτα, καὶ δι' οὗ (85) τούτοις τὸ εἶναι περίεστιν. Τί γὰρ τὸ τάξαν τὰ οὐράνιά τε (86) καὶ τὰ ἐπίγεια, ὅσα τε δι' ἀέρος, καὶ ὅσα καθ' ὕδατος, μᾶλλον δὲ τὰ πρὸ τούτων, οὐρανὸν, καὶ γῆν, καὶ ἀέρα, καὶ φύσιν ὕδατος; Τίς ταῦτα ἔμιξε καὶ ἐμέρισεν; τίς (87) κοινωνία τούτων πρὸς ἄλληλα, καὶ συμφυΐα, καὶ σύμπνοια; Ἐπαινῶ γὰρ τὸν εἰρηκότα (88), κἂν ἀλλότριος ᾖ· (89) *Τί τὸ ταῦτα κεκινηκὸς, καὶ ἄγον* (90) *τὴν ἄληκτον φορὰν καὶ ἀκώλυτον*; ἆρ' οὐχ ὁ τεχνίτης τούτων, καὶ πᾶσι λόγον ἐνθεὶς, καθ' ὃν τὸ πᾶν φέρεταί τε καὶ διεξάγεται; Τίς δὲ ὁ τεχνίτης τούτων; ἆρ' οὐχ ὁ πεποιηκὼς (91) ταῦτα, καὶ εἰς τὸ εἶναι (92) παραγα- B γών; οὐ γὰρ δὴ τῷ αὐτομάτῳ δοτέον τοσαύτην δύναμιν. Ἔστω γὰρ τὸ γενέσθαι τοῦ αὐτομάτου· τίνος τὸ τάξαι; Καὶ τοῦτο, εἰ δοκεῖ, δῶμεν· τίνος τὸ τηρῆσαι καὶ φυλάξαι καθ' οὓς πρῶτον ὑπέστη λόγους; ἑτέρου τινὸς, ἢ τοῦ αὐτομάτου; Ἑτέρου δηλαδὴ παρὰ τὸ αὐτόματον. Τοῦτο δὲ τί ποτε ἄλλο πλὴν Θεός; Οὕτως ὁ ἐκ Θεοῦ λόγος καὶ πᾶσι σύμφυτος, καὶ πρῶτος ἐν ἡμῖν (93) νόμος καὶ πᾶσι συνημμένος, ἐπὶ Θεὸν ἡμᾶς ἀνήγαγεν ἐκ τῶν ὁρωμένων. Καὶ δὴ λέγωμεν (94) ἀρξάμενοι πάλιν.

XVII. Quid tandem Deus natura sua et essentia C sit, nec hominum quisquam unquam invenit, nec invenire potest. An vero aliquando sit inventurus, quærat hoc qui volet, ac perscrutetur. Mea quidem sententia, tum demum hoc inveniet, cum deiforme hoc atque divinum, id est, mens nostra et ratio cum natura cognata conjuncta fuerit, et imago ad exemplar illud suum, cujus nunc desiderio tangitur, ascenderit. Atque illud mihi esse videtur, quod primarium philosophiæ caput est, nempe nos aliquando antum cogniturus, quantum cogniti sumus [59-60]. At in hac mortali vita quidquid ad nos usque pertingit, aliud nihil est, quam exiguus quidam rivulus, ac velut **509** parvus magnæ lucis radius. Quamobrem si quis Deum cognovit, aut, Scriptura

IZ'. Θεὸν, ὅ τί ποτε μὲν ἔστι τὴν φύσιν καὶ τὴν οὐσίαν, οὔτε τις εὗρεν ἀνθρώπων πώποτε, οὔτε μὴν (95) εὕρῃ. Ἀλλ' εἰ μὲν εὑρήσει ποτὲ, ζητείσθω τοῦτο, καὶ φιλοσοφείσθω παρὰ τῶν βουλομένων· εὑρήσει δὲ, ὡς ὁ ἐμὸς (96) λόγος, ἐπειδὰν τὸ θεοειδὲς τοῦτο καὶ θεῖον, λέγω δὲ τὸν ἡμέτερον νοῦν τε καὶ λόγον, τῷ οἰκείῳ (97) προσμίξῃ, καὶ ἡ εἰκὼν ἀνέλθῃ πρὸς τὸ ἀρχέτυπον, οὗ νῦν ἔχει τὴν ἔφεσιν. Καὶ τοῦτο εἶναί μοι δοκεῖ τὸ πάνυ φιλοσοφούμενον, *ἐπιγνώσεσθαί ποτε ἡμᾶς, ὅσον ἐγνώσμεθα*. Τὸ δὲ νῦν εἶναι (98), βραχεῖά τις ἀποῤῥοὴ πᾶν τὸ εἰς ἡμᾶς φθάνον, καὶ οἷον μεγάλου φωτὸς μικρὸν ἀπαύγασμα. Ὥστε καὶ εἴ τις ἔγνω Θεὸν, ἢ ἐγνωκέναι μεμαρτύρηται, τοσοῦτον ἔγνω, ὅσον ἄλλου μὴ τὸ ἴσον ἐλλαμφθέντος φανῆναι φωτοειδέστερος· καὶ τὸ ὑπερβάλλον, τέλειον ἐνο-

[59-60] I Cor. XIII, 12.

(84) *Κατὰ τὴν αἴσθησιν.* « Quantum ad sensum. » Schol.: Οὐ κατὰ τὸν νοῦν· « Non quantum ad mentem. »

(85) *Δι' οὗ.* « Cujus. » Schol.: τοῦ Θεοῦ· « Dei. »

(86) *Οὐράνιά τε.* Deest τε in duobus Regg., et Or. 1.

(87) *Τίς.* Duo Regg. addunt, ἡ.

(88) *Τὸν εἰρηκότα.* Schol. τὸν Πλάτωνα· « Platonem. » Quod verisimilius quidem dictum videtur de isto philosopho, quam de Oppiano, ut vult Billius in notis.

(89) *Τί τὸ ταῦτα... καὶ ἀκώλυτον.* Hæc in Coisl. 3 ad marg. ascribuntur Platoni.

(90) *Καὶ ἄγον*, etc. Reg. Cypr. habet: καὶ ὑπὸ την ἄληκτον φορὰν καὶ ἀκώλυτον ἀγαγόν.

(91) *Ὁ πεποιηκώς.* Sic tres Colb., Or. 1, et Par. D In ed., ὁ πεποιηκός.

(92) *Εἰς τὸ εἶναι.* Par., εἰς τὸ ἕν.

(93) *Ἐν ἡμῖν.* Sic Or. 1. In ed., ἐν ὑμῖν.

(94) *Λέγωμεν.* Sic Combef. In ed., λέγομεν

(95) *Οὔτε μήν.* Reg. bm, Or. 1, Basil., οὔτε μή.

(96) *Ὡς ὁ ἐμός.* Sic duo Regg., et Or. 1. Alii, ὡς ἐμός, minus recte. EDIT.

(97) *Οἰκείῳ.* Sic Reg. bm, Coisl. 3, etc., « cum Deo. » Etenim homo, cum sit ad imaginem Dei creatus, Deo quodam cognationis jure est conjunctus. In ed., οἰσείῳ.

(98) *Τὸ δὲ νῦν εἶναι.* Coisl. 3, et tres Colbert., Τὸ δὲ νῦν γνῶναι, « Quod autem nunc cognoscimus, » etc.

μίσθη, οὐ τῇ ἀληθείᾳ, τῇ δὲ τοῦ πλησίον δυνάμει παραμετρούμενον.

teste, cognovisse dicitur, eatenus cognovisse censendus est, quatenus uberioris splendoris particeps sit, quam qui minus luminis divinitus accepit. Ita exsuperantia hæc, perfecta cognitio existimata est, non ad rei ipsius veritatem, sed ad aliorum modulum et facultatem perpensa.

ΙΗ'. Διὰ τοῦτο Ἐνὼς μὲν ἤλπισεν ἐπικαλεῖσθαι (99) τὸν Κύριον· ἐλπὶς τὸ κατορθούμενον ἦν, καὶ τοῦτο οὐ γνώσεως, ἀλλ' ἐπικλήσεως. Ἐνὼχ δὲ μετετέθη μὲν, οὔπω δὲ δῆλον, εἰ Θεοῦ φύσιν περιλαβὼν, ἢ περιληψόμενος. Τοῦ δὲ Νῶε, καλὸν ἡ εὐαρέστησις, τοῦ καὶ κόσμον ὅλον ἐξ ὑδάτων διασώσασθαι πιστευθέντος, ἢ κόσμου σπέρματα, ξύλῳ μικρῷ φεύγοντι (1) τὴν ἐπίκλυσιν. Ἀβραὰμ δὲ ἐδικαιώθη μὲν ἐκ πίστεως, ὁ μέγας πατριάρχης, καὶ θύει θυσίαν ξένην, καὶ τῆς μεγάλης ἀντίτυπον· Θεὸν δὲ οὐχ ὡς Θεὸν εἶδεν, ἀλλ' ὡς ἄνθρωπον ἔθρεψε, καὶ ἐπῃνέθη, σεβασθεὶς ὅσον κατέλαβεν. Ἰακὼβ δὲ, κλίμακα μὲν ὑψηλὴν ἐφαντάσθη τινὰ, καὶ ἀγγέλων ἄνοδον, καὶ στήλην ἀλείφει μυστικῶς (ἴσως ἵνα τὸν ὑπὲρ ἡμῶν ἀλειφέντα λίθον παραδηλώσῃ), καὶ οἶκος Θεοῦ (2) τόπῳ τινὶ προσηγορίαν δίδωσιν, εἰς τιμὴν τοῦ ὀφθέντος, καὶ ὡς ἀνθρώπῳ τῷ Θεῷ προσπαλαίει, ἥ τίς ποτέ ἐστιν ἡ πάλη Θεοῦ πρὸς ἄνθρωπον, ἢ τάχα τῆς ἀνθρωπίνης ἀρετῆς πρὸς Θεὸν ἀντεξέτασις, καὶ σύμβολα τῆς πάλης ἐπὶ τοῦ σώματος φέρει, τὴν ἧτταν παραδεικνύντα τῆς γεννητῆς (3) φύσεως, καὶ ἆθλον εὐσεβείας τὴν μεταβολὴν τῆς προσηγορίας λαμβάνει, μετονομασθεὶς, ἀντὶ Ἰακὼβ, Ἰσραὴλ, τοῦτο δὴ τὸ μέγα καὶ τίμιον ὄνομα· ἐκεῖνο δὲ, οὔτε αὐτὸς, οὔτε τις ὑπὲρ αὐτὸν μέχρι σήμερον ἐκαυχήσατο τῶν δώδεκα φυλῶν, ὧν πατὴρ ἦν, ὅτι Θεοῦ φύσιν ἢ ὄψιν ὅλην ἐχώρησεν (4).

XVIII. Quocirca Enos quidem spem habuit fore ut Dominum invocaret[61]: ubi vides spem duntaxat in eo laudari, eamque non cognitionis, sed invocationis. Enoch autem, quamvis translatus fuerit[62], nondum tamen constat, an Dei naturam comprehenderit, aut comprehensurus sit. Jam Noe, cui orbis universi ab aquarum periculo conservandi cura credita est[63], vel potius orbis semina commissa, exiguo ligno diluvium fugientia[64], hinc solum laudem consecutus est, quod Deo gratus et acceptus fuisset. Magnus porro ille patriarcha Abraham, ex fide quidem justificatus est[65], ac novam et inauditam victimam, magnæque illius figuram gerentem, obtulit[66]: at Deum non ut Deum conspexit, sed ut hominem aluit[67]; ac proinde laudatus est, quod, quantum percepit, tantum quoque veneratus est. Nam quid de Jacob dicam, qui licet sublimem quamdam scalam, et ascendentes angelos in somnis conspicatus sit[68], ac columnam non sine mysterio quodam unxerit (fortasse ut lapidem salutis nostræ causa unctum significaret), atque in ejus, quem conspexerat, honorem, loco cuidam domus Dei cognomentum imposuerit, ac cum Deo quasi cum homine luctam inierit, quæcunque tandem illa Dei cum homine lucta esse queat. His enim verbis fortasse nihil aliud indicatur, quam humanæ virtutis cum divina comparatio, luctæque signa, quæ creatam naturam victam esse ostenderent, in corpore tulerit, ac denique pro pietatis præmio nominis commutationem acceperit, pro Jacob nimirum, magno illo et eximio Israelis nomine nuncupatus; hoc tamen nec ipse, nec quisquam eo sublimior, ad hunc usque diem in omnibus duodecim tribubus, quarum pater exstitit, gloriari magnificeque prædicare potuit, se totam Dei naturam animo percepisse.

ΙΘ'. Ἠλίᾳ δὲ, οὔτε πνεῦμα βίαιον, οὔτε πῦρ, οὔτε συσσεισμὸς, ὡς τῆς ἱστορίας ἀκούεις, ἀλλ' ἡ αὔρα τις ὀλίγη τὴν τοῦ Θεοῦ παρουσίαν, καὶ ταῦτα, οὐ φύσιν ἐσκιαγράφησεν. Ἠλίᾳ τίνι; ὃν καὶ ἅρμα πυρὸς ἀνάγει πρὸς οὐρανὸν, δηλοῦν τοῦ δικαίου τὸ ὑπὲρ ἄνθρωπον. Μανωὲ δὲ τὸν κριτὴν πρότερον, καὶ Πέτρον τὸν μαθητὴν ὕστερον, πῶς οὐ τεθαύμακας; τὸν μὲν οὐδὲ ὄψιν φέροντα τοῦ φαντασθέντος Θεοῦ, καὶ διὰ τοῦτο, *Ἀπολώλαμεν, ὦ γύναι*, λέγοντα, *Θεὸν ἑωράκαμεν*, ὡς οὐ χωρητῆς οὔσης ἀνθρώποις, οὐδὲ φαντασίας θείας, μὴ ὅτι γε φύσεως· τὸν δὲ καὶ τὸν

XIX. Nec vero Eliæ, vel spiritus vehemens, vel ignis, vel terræ concussio, ut 510 historiæ sacræ monumentis proditum est, sed aura quædam tenuis Dei præsentiam, non autem naturam ipsam, adumbravit[69]. Ipsum Eliam dico, quem igneus quoque currus in cœlum evexit[70], significans, ut opinor, singularem quamdam hominis virtutem, atque humanum fastigium excedentem. Quid? Non te judex ille Manue, ac Petrus apostolus, admiratione afficiunt? Quorum alter ne conspectum quidem Dei, per imaginem ipsi obversantis, ferre poterat, ac

[61] Gen. IV, 26. [62] Gen. V, 24. [63] Gen. VI, 13 sqq. [64] Gen. IX, 1 sqq. [65] Gen. XV, 6; Rom. IV, 3. [66] Gen. XXII, 2 seqq. [67] Gen. XVIII, 2 sqq. [68] Gen. XXVIII, 12. [69] III Reg. XIX, 11 sqq. [70] IV Reg. II, 11.

(99) *Ἐπικαλεῖσθαι.* Vocem hanc in activa significatione accepit Billius. Alii, post Theodoretum, in passiva accipiunt, et vertunt: « Speravit fore ut Dominus invocaretur. »

(1) *Φεύγοντι.* Savil. et Comb., διαφυγόντα. In aliis, διαφυγόντι.

(2) *Καὶ οἶκος Θεοῦ.* « Domus Dei. » Regg. a, bm, duo Colb. et Or. 1, εἶδος Θεοῦ, « facies Dei. » Fatetur Billius in notis se in priori editione sic vertisse auctoritate codicum; neque hanc lectionem improbandam judicat. Sed in secunda ed. prætulit cum Elia, οἶκος Θεοῦ, « domus Dei, » quod « Gregorii verba, de loci nuncupatione, Jacobi cum angelo luctam præcedant. » Si lectionem οἶκος Θεοῦ prætuleris, lege Gen. XXVIII, 12, 17 et 19. Sin alteram εἶδος Θεοῦ, lege Gen. XXXII, 24, 30. Si aperiendum sit quid hac de re sentiamus, aptior nobis videtur lectio « facies Dei, » quam « domus Dei, » quia hic præcipue de visione Dei disputatur.

(3) *Γεννητῆς.* Reg. Cypr., γενητῆς.

(4) *Ἐχώρησεν.* Non bene Bill.: « oculis usurpasse; » nec melius Leuv. « aspiciendo » percepisse, quasi natura divina res esset « oculis » et « aspectui » subjecta.

proinde dicebat : Periimus, uxor, Deum vidimus [71], A tanquam videlicet homines, ne divini quidem in imagine conspectus, nedum naturæ ipsius, capaces sint : alter conspicuum etiam Christum in naviculam admittere recusabat, atque ablegabat [72]. Quod eo quoque mirabilius videri debet, quod idem ad Christi agnitionem animi ardore alios anteibat, eoque nomine beatus prædicatus est [73], resque maximas in fidem accepit. Quid Isaiam et Ezechielem rerum maximarum spectatorem reliquosque prophetas commemorem? Quorum alter Dominum Sabbaoth in gloriæ throno sedentem vidit [74], eumque a seraphim senis alis præditis in orbem cinctum ac laudatum et tectum, seque ipsum carbone perpurgatum, atque ad obeundum prophetiæ munus adornatum. Alter vehiculum quoque Dei [75], hoc est, cherubinos describit, thronumque B ipsis excelsiorem, eoque sublimius firmamentum, atque insuper eum, qui in firmamento sese utcunque conspicandum præbebat, vocesque etiam quasdam, et impetus, atque actiones; idque, sive diurnum quoddam hoc spectrum, solis sanctissimis viris spectabile, sive minime fallax noctis visio, sive prævia quædam mentis impressio, futura tanquam præsentia exhibens, sive arcanum quoddam aliud prophetiæ genus, dicere nequeo; novit hoc prophetarum Deus, et qui hujusmodi afflatibus agitantur. Cæterum neque hi, de quibus loquor, neque quisquam alius ejusdem ordinis, in substantia et essentia Domini, ut Scriptura loquitur [76], stetit, nec Dei naturam, aut vidit, aut aliis prodidit et patefecit.

φαινόμενον Χριστὸν τῷ πλοίῳ μὴ προσιέμενον, καὶ διὰ τοῦτο ἀποπεμπόμενον· καίτοιγε θερμότερος τῶν ἄλλων εἰς ἐπίγνωσιν Χριστοῦ Πέτρος, καὶ διὰ τοῦτο μακαριζόμενος, καὶ τὰ μέγιστα πιστευόμενος. Τί δ' ἂν εἴποις περὶ Ἠσαΐου, καὶ Ἰεζεχιὴλ τοῦ τῶν μεγίστων ἐπόπτου, καὶ τῶν λοιπῶν προφητῶν; ὧν ὁ μὲν τὸν Κύριον Σαβαὼθ (5) εἶδε καθήμενον ἐπὶ θρόνου δόξης, καὶ τοῦτον ὑπὸ τῶν ἑξαπτερύγων σεραφὶμ κυκλούμενον, καὶ αἰνούμενον, καὶ ἀποκρυπτόμενον (6), ἑαυτόν τε τῷ ἄνθρακι καθαιρόμενον, καὶ πρὸς τὴν προφητείαν καταρτιζόμενον· ὁ δὲ καὶ τὸ ὄχημα τοῦ Θεοῦ τὰ χερουβὶμ διαγράφει, καὶ τὸν ὑπὲρ αὐτῶν (6*) θρόνον, καὶ τὸ ὑπὲρ αὐτοῦ στερέωμα, καὶ τὸν ἐν τῷ στερεώματι φανταζόμενον, καὶ φωνάς δή τινας, καὶ ὁρμάς, καὶ πράξεις (7)· καὶ ταῦτα, εἴτε φαντασία τις ἦν ἡμερινή, μόνοις θεωρητὴ τοῖς ἁγίοις, εἴτε νυκτὸς ἀψευδὴς ὄψις, εἴτε τοῦ ἡγεμονικοῦ τύπωσις συγγενομένη (8) τοῖς μέλλουσιν ὡς παροῦσιν, εἴτε τι ἄλλο προφητείας εἶδος ἀπόῤῥητον, οὐκ ἔχω λέγειν· ἀλλ' οἶδεν ὁ τῶν προφητῶν Θεός, καὶ οἱ τὰ τοιαῦτα ἐνεργούμενοι. Πλὴν οὔτε οὗτοι περὶ ὧν ὁ λόγος, οὔτε τις ἄλλος τῶν κατ' αὐτοὺς (9), ἔστη ἐν ὑποστήματι (10) καὶ οὐσίᾳ Κυρίου, κατὰ τὸ γεγραμμένον, οὐδὲ Θεοῦ φύσιν ἢ εἶδεν ἢ ἐξηγόρευσεν.

XX. Quod si Paulo ea, quæ tertium cœlum [77], C atque ad illud usque progressio, vel ascensio, vel assumptio exhibuit, mortalibus evulgare licuisset, amplius quiddam **511** fortasse de Deo cognovissemus, si modo arcana hæc causa erat, cur in cœlum raperetur. Quoniam autem hæc ei in vulgus efferre nefas erat, faciamus nos quoque, ut ea silentio commendemus. Atque hoc duntaxat Paulum dicentem audiamus : *Ex parte cognoscimus, et ex parte prophetamus* [78]. Hæc, atque ejusmodi fateri non dubitat ille scientia nequaquam imperitus, ille experimentum se daturum minitans loquentis in se Christi, magnus, inquam, ille veritatis propugnator et doctor. Eoque nomine omnem quoque humanam ac terrenam scientiam nihil supra specula et ænigmata [79] esse statuit, utpote quæ D

Κ'. Παύλῳ δέ, εἰ μὲν εκφορὰ (11) ἦν ἅπερ ἔσχεν (12) ὁ τρίτος οὐρανός, καὶ ἡ μέχρις ἐκείνου πρόοδος, ἢ ἀνάβασις, ἢ ἀνάληψις, τάχα ἄν τι περὶ Θεοῦ πλέον ἔγνωμεν, εἴπερ τοῦτο ἦν τὸ τῆς ἁρπαγῆς μυστήριον· ἐπεὶ δὲ ἄῤῥητα ἦν, καὶ ἡμῖν σιωπῇ τιμάσθω. Τοσοῦτον δὲ ἀκούσωμεν αὐτοῦ Παύλου λέγοντος, ὅτι *Ἐκ μέρους γινώσκομεν, καὶ ἐκ μέρους προφητεύομεν*. Ταῦτα, καὶ τὰ τοιαῦτα ὁμολογεῖ ὁ μὴ ἰδιώτης τὴν γνῶσιν, ὁ δοκιμὴν ἀπειλῶν τοῦ ἐν αὐτῷ λαλοῦντος Χριστοῦ, ὁ μέγας τῆς ἀληθείας προαγωνιστής, καὶ διδάσκαλος. Διὸ καὶ (13) πᾶσαν τὴν κάτω γνῶσιν οὐδὲν ὑπὲρ τὰ ἔσοπτρα καὶ τὰ αἰνίγματα τίθεται, ὡς ἐν μικροῖς τῆς ἀληθείας ἱσταμένην ἰνδάλμασιν. Εἰ δὲ μὴ λίαν δοκῶ τισι περιττὸς καὶ περίεργος τὰ τοιαῦτα ἐξετάζων, οὐδὲ ἄλλα τινὰ τυχὸν ἢ ταῦτα ἦν, ἃ μὴ δύνασθαι νῦν βαστα-

[71] Judic. XIII, 22. [72] Luc. V, 8. [73] Matth. XVI, 17. [74] Isa. VI, 1. [75] Ezech. I, 4 seqq. [76] Jerem. XXIII, 18. [77] II Cor. XII, 2. [78] I Cor. XIII, 9. [79] ibid. 12.

(5) *Σαββαώθ.* Reg. bm, et Or. 1, Σαβαώθ.

(6) *Ἀποκρυπτόμενον.* Colb. 1 et Or. 1, κρυπτόμενον.

(6*) *Ὑπὲρ αὐτῶν.* Reg. Cypr., ὑπὲρ αὐτοῦ. Combef. putat legendum, ὑπὲρ αὐτό, nempe, ὄχημα, sicut et mox pro τὸ ὑπὲρ αὐτοῦ. censet scribendum, ὑπὲρ αὐτόν, scilicet, θρόνον.

(7) *Πράξεις.* Par., τάξεις, « ordines. »

(8) *Συγγενομένη.* Or. 1, συγγενομένου.

(9) *Κατ' αὐτούς.* Duo Regg. et Or. 1, κατὰ τούτους.

(10) *Ἐν ὑποστήματι.* Vox est Jeremiæ XXIII, 18, cui subjungit Gregorius, καὶ οὐσίᾳ, explicationis causa, quasi vox illa « essentiam, » sive « naturam Dei » significet, quod a vero sensu longius abest. Vox enim Hebræa Jeremiæ « consilium » sonat. Hinc Vulgata recte reddit : « Quis enim adfuit consilio Domini? » Septuaginta et Theodotion interpretantur, « substantiam, » seu « subsistentiam; » Aquila, « secretum, » et Symmachus, « sermonem. » Verum voces ὑπόστημα et ὑπόστασις recte verti possunt, « statio » et « consessus, » sicque propius accederent ad genuinum Hebraicæ vocis sensum.

(11) *Ἐκφορά.* Legendum videtur esse, ἔκφορα. EDIT.

(12) *Ἔσχεν.* Coisl. 3, παρέσχεν, « exhibuit, suppeditavit. » Bill. : « continet. »

(13) *Διὸ καί.* Reg. a et duo Colb., ὃ καί.

χθῆναι, ὁ Λόγος αὐτὸς ὑπηνίσσετο, ὡς (14) ποτὲ βασταχθησόμενα καὶ τρανωθησόμενα· καὶ ἅπερ (15) μηδ' ἂν αὐτὸν δυνηθῆναι χωρῆσαι τὸν κόσμον (16), Ἰωάννης ὁ τοῦ Λόγου πρόδρομος (17), ἡ μεγάλη τῆς ἀληθείας φωνὴ, διωρίζετο.

A ultra exigua veritatis simulacra minime sese porrigat. Quod nisi me quispiam in hujus generis rebus exquirendis nimis curiose et supervacanee versari existimet, dicere quoque non verear, nec alia quidem fortasse, quam hæc, ea esse, quæ Christus ipse portari in hac vita posse negavit [80], velut aliquando portanda, et declaranda; et quæ ille Verbi præcursor Joannes, et magna veritatis vox, ne a mundo quidem capi posse pronuntiavit [81].

ΚΑ'. Πᾶσα μὲν οὖν ἀλήθεια, καὶ πᾶς λόγος δυστέκμαρτός τε καὶ δυσθεώρητος· καὶ οἷον ὀργάνῳ μικρῷ μεγάλα δημιουργοῦμεν, τῇ ἀνθρωπίνῃ σοφίᾳ τὴν τῶν ὄντων γνῶσιν θηρεύοντες, καὶ τοῖς νοητοῖς (18) προσβάλλοντες μετὰ τῶν αἰσθήσεων· ἢ οὐκ ἄνευ αἰσθήσεων, ὑφ' ὧν περιφερόμεθα καὶ πλανώμεθα, καὶ οὐκ ἔχομεν γυμνῷ τῷ νοῒ γυμνοῖς τοῖς πράγμασιν ἐντυγχάνοντες, μᾶλλόν τι προσιέναι τῇ ἀληθείᾳ, καὶ τὸν νοῦν τυποῦσθαι ταῖς καταλήψεσιν. B Ὁ δὲ περὶ Θεοῦ λόγος, ὅσῳ τελεώτερος, τοσούτῳ δυσεφικτότερος, καὶ πλείους τὰς ἀντιλήψεις ἔχων καὶ τὰς λύσεις ἐργωδεστέρας. Πᾶν γὰρ τὸ ἐνιστάμενον, κἂν βραχύτατον ᾖ, τὸν τοῦ λόγου δρόμον ἐπέσχε καὶ διεκώλυσε, καὶ τὴν εἰς τὸ πρόσω φορὰν διέκοψεν· ὥσπερ οἱ τοὺς ἵππους τοῖς ῥυτῆρσιν ἀθρόως μεθέλκοντες φερομένους, καὶ τῷ ἀδοκήτῳ τοῦ τιναγμοῦ περιτρέποντες. Οὕτω Σολομὼν μὲν ὁ (19) σοφισάμενος περισσὰ, ὑπὲρ πάντας τοὺς γενομένους ἔμπροσθεν, καὶ καθ' ἑαυτὸν, ᾧ τὸ τῆς καρδίας πλάτος δῶρον Θεοῦ, καὶ ἡ ψάμμου δαψιλεστέρα χύσις τῆς θεωρίας, ὅσῳ πλέον ἐμβατεύει τοῖς βάθεσι, τοσούτῳ πλέον ἰλιγγιᾷ, καὶ τέλος τι ποιεῖται σοφίας εὑρεῖν ὅσον διέφυγεν (20). C Παῦλος δὲ πειρᾶται μὲν ἐφικέσθαι, οὔπω λέγω τῆς τοῦ Θεοῦ φύσεως, τοῦτο γὰρ ᾔδει παντελῶς ἀδύνατον ὂν, ἀλλὰ μόνον τῶν τοῦ Θεοῦ κριμάτων. Ἐπεὶ δὲ οὐχ εὑρίσκει διέξοδον, οὐδὲ στάσιν τῆς ἀναβάσεως, οὐδὲ εἴς τι (21) φανερὸν τελευτᾷ πέρας ἡ πολυπραγμοσύνη τῆς διανοίας, ἀεί τινος ὑποφαινομένου τοῦ λείποντος· ὢ τοῦ θαύματος (ἵνα καὶ αὐτὸς πάθω τὸ ἴσον)! ἐμπλήξει περιγράφει τὸν λόγον, καὶ πλοῦτον Θεοῦ, καὶ βάθος τὸ τοιοῦτο καλεῖ, καὶ ὁμολογεῖ τῶν τοῦ Θεοῦ κριμάτων τὸ ἀκατάληπτον, μονονουχὶ τὰ αὐτὰ τῷ Δαβὶδ φθεγγόμενος, ποτὲ μὲν ἄβυσσον πολλὴν ὀνομάζοντι τὰ τοῦ Θεοῦ κρίματα, ἧς οὐκ ἔστι τὴν ἕδραν ἢ μέτρῳ ἢ αἰσθήσει λαβεῖν, ποτὲ δὲ τεθαυμαστῶσθαι τὴν γνῶσιν ἐξ ἑαυτοῦ, καὶ τῆς ἑαυτοῦ συστάσεως (22) λέγοντι, κεκραταιῶσθαί τε πλέον ἢ κατὰ τὴν ἑαυτοῦ δύναμιν καὶ περίδραξιν. D

XXI. Verum enim vero cum veritas omnis et disputatio plurimum difficultatis atque obscuritatis habeat; ac nos velut parvo quodam instrumento res magnas efficere moliamur, humanæ videlicet sapientiæ adjumento rerum cognitionem aucupantes, ac res, quæ animi tantum intelligentia comprehenduntur, per sensus cognoscere aggredimur; aut certe non sine sensibus, quibus undique jactamur et in errorem pertrahimur, nec nuda mente cum nudis rebus versari, atque inde ad veritatem propius accedere, rebusque perceptis ac comprehensis mentem informare possumus. Tum vero disputatio ea, quæ de Deo suscipitur, quo perfectior, eo quoque difficilior est, pluribusque objectationibus patet, in iisque diluendis ac dissolvendis plus negotii facessit. Nihil enim tam levis exiguique ponderis nobis adversari potest, quod non disputationis cursum interrumpat atque comprimat, impediatque quominus ultra progrediamur. Quemadmodum qui equos ad cursum incitatos repente freno retrahunt, ac per inopinatam et repentinam excussionem retrorsum agunt. Sic nimirum Salomon, qui omnibus, cum suæ, tum superioris memoriæ hominibus sapientiæ laude præstitit [82], et cordis latitudinem Dei beneficio **512** accepit, ac tantam contemplationis copiam et ubertatem [83], ut arenæ numerum excederet, quo altius in has profunditates penetrat, hoc magis æstuat, ac finem quemdam sapientiæ constituit, nimirum quod invenisset, quantum ea a se fugeret [84]. Consimili quoque modo Paulus, non dicam Dei naturam, hoc enim prorsus supra humanas vires esse perspectum habebat, sed Dei solum judicia cognitione assequi conatur. Quoniam autem nec exitum ullum, nec quo ascensum figere ac stabilire posset, reperiebat, nec perspicuo ullo fine curiosa ipsius animi perscrutatio claudebatur, quod videlicet subinde semper aliquid reliqui esse perspiceret: o rem miram ac stupendam! (ut ipse quoque eodem affectu commovear) orationem admiratione circumscribit, idque Dei opes ac profundum appellat, ac Dei judicia nullius ingenio percipi et comprehendi posse ingenue fatetur [85], iisdem propemodum verbis cum Davide utens, qui nunc judicia Dei abyssum

[80] Joan. XVI, 12. [81] Joan. XXI, 25. [82] III Reg. III, 12. [83] II Par. I, 12. [84] Eccle. VII, 24; VIII, 17. [85] Rom. XI, 33.

(14) Ὡς. Reg. Cypr., ἴσως. Reg. bm, Coisl. 1 et Or. 1, ἅπερ.

(15) *Καὶ ἅπερ*. Plures Regg. et Colb., καὶ ἃ μηδέ.

(16) *Τὸν κόσμον*. Duo Regg., tres Colb. et Or. 1, τὸν κάτω κόσμον. Sic legit Leuv., qui vertit, « mundum hunc inferum. »

(17) *Πρόδρομος*. Mirum videri potest Joannem Evangelistam, Verbi præcursorem a Gregorio appellari. Elias hanc, inter alias, affert causam, nempe, « quod et interpres fuerit doctrinæ de Deo. » Billius vero putat Gregorium hic « memoriæ lapsu errasse, quod eum Verbi præcursorem, et Veritatis vocem appellet, quem tonitrui potius filium vocare debuerat. » Addit etiam ita sensisse Maximum.

(18) *Καὶ τοῖς νοητοῖς*, etc. Billius : « ac rebus intellectilibus animum una cum sensibus admoventis. »

(19) *Σολομὼν μὲν ὁ*. Comb., Σολομῶν ὁ.

(20) *Ὅσον διέφυγεν*. Billius : « quantum ea a se effugiet. »

(21) *Οὐδὲ εἴς τι*, etc., « nec ullam perspicuam curiosæ animi perscrutationis metam habebat. »

(22) *Συστάσεως*. Billius : « creatione. »

multam vocat[86], cujus fundum, nec mensura, nec sensu capi queat; nunc mirabilem factam esse scientiam ex seipso suique ipsius constitutione pronuntiat[87], atque adeo robustam, ut viribus nostris eam capere et complecti nequeamus.

XXII. Ut enim missa alia faciens, inquit, meipsum omnemque humanam naturam et compagem intuear, quæ hæc mistio nostra est? Quis motus? Quomodo id quod immortale est, cum mortali copulatum est? Quomodo deorsum fluo, et sursum feror? Quomodo anima circumscribitur? Quomodo vitam impertitur, et affectuum fit particeps? Quomodo mens simul et circumscripta est, et nullis terminis inclusa, in nobis manet, et motus fluxionisque celeritate omnia perlustrat? Quomodo sermonis opera percipitur vicissim, et communicatur, ac per aerem grassatur, et cum rebus ipsis ingreditur? Quomodo cum sensibus consuetudinem habet, ac rursus seorsim a sensibus sese colligit? Atque, ut quæ priora sunt dicam, quæ prima nostri effictio et constitutio in naturæ officina? Quæ etiam postrema formatio ac perfectio? Quæ cibi appetitio ac distributio? Quis nos sponte ad primos illos fontes ac vitæ causas duxit? Quomodo corpus cibis, animus contra sermone ac doctrina pascitur? Quæ est illa naturæ vis mutuaque inter parentes et liberos affectio, ut quasi quodam philtro contineantur? Quomodo firmæ ac stabiles sunt species, et interim notis inter se distinctæ, **513** quarum proprietates, cum tanto numero sint, assequi non possumus? Quomodo idem animal mortale simul et immortale est; mortale quidem ratione migrationis, immortale autem ratione procreationis? Ut enim aliud morte subducitur, ita rursus ipsi aliud subrogatur, non secus atque in fluminis tractu, quod simul fluxum est et stabile. Multa de hominis membris et partibus adhuc commemorare possis, ac de mutua earum concinnitate; quippe quæ naturæ lege ac ratione, non minus ad elegantiam, quam ad utilitatem, conjungantur simul et

A KB'. Ἵνα γὰρ τἄλλα ἐάσας, φησὶ, πρὸς ἐμαυτὸν βλέψω, καὶ πᾶσαν τὴν ἀνθρωπίνην φύσιν καὶ σύμπηξιν (23), τίς ἡ μῖξις ἡμῶν; Τίς ἡ κίνησις; Πῶς τὸ ἀθάνατον τῷ θνητῷ συνεκράθη; Πῶς κάτω ῥέω, καὶ ἄνω φέρομαι; Πῶς ψυχὴ περιγράφεται (24); πῶς ζωὴν δίδωσι, καὶ πάθους μεταλαμβάνει; Πῶς ὁ νοῦς καὶ περιγραπτὸς καὶ ἀόριστος (25), ἐν ἡμῖν μένων, καὶ πάντα ἐφοδεύων τάχει φορᾶς καὶ ῥεύσεως (26); Πῶς μεταλαμβάνεται λόγῳ καὶ μεταδίδοται, καὶ δι' ἀέρος χωρεῖ, καὶ μετὰ τῶν πραγμάτων εἰσέρχεται; Πῶς αἰσθήσει κοινωνεῖ, καὶ συστέλλεται ἀπὸ τῶν αἰσθήσεων; Καὶ ἔτι πρὸ τούτων, τίς ἡ πρώτη πλάσις ἡμῶν, καὶ σύστασις ἐν τῷ τῆς φύσεως ἐργαστηρίῳ (27); Καὶ τίς ἡ τελευταία μόρφωσις καὶ τελείωσις; Τίς ἡ τῆς τροφῆς ἔφεσις καὶ διάδοσις; Καὶ τίς B ἤγαγεν ἐπὶ τὰς πρώτας πηγὰς (28), καὶ τοῦ ζῆν ἀφορμὰς αὐτομάτως; Πῶς σιτίοις μὲν σῶμα, λόγῳ δὲ ψυχὴ τρέφεται; Τίς ἡ τῆς φύσεως ὁλκὴ, καὶ πρὸς ἄλληλα σχέσις τοῖς γεννῶσι καὶ τοῖς γεννωμένοις, ἵνα τῷ φίλτρῳ συνέχηται; Πῶς ἑστηκότα τε τὰ εἴδη, καὶ τοῖς χαρακτῆρσι διεστηκότα, ὧν τοσούτων ὄντων, αἱ ἰδιότητες ἀνέφικτοι; Πῶς τὸ αὐτὸ ζῶον θνητὸν καὶ ἀθάνατον, τὸ μὲν τῇ μεταστάσει (29), τὸ δὲ τῇ γεννήσει; Τὸ μὲν γὰρ ὑπεξῆλθε, τὸ δὲ ἀντεισῆλθεν, ὥσπερ ἐν ὁλκῷ ποταμοῦ μὴ ἑστῶτος καὶ μένοντος. Πολλὰ δ' ἂν ἔτι φιλοσοφήσαις (30) περὶ μελῶν καὶ μερῶν, καὶ τῆς πρὸς ἄλληλα τούτων εὐαρμοστίας, πρὸς χρείαν τε ὁμοῦ καὶ κάλλος συνεστώτων τε καὶ διεστώτων, προεχόντων τε καὶ προεχομένων, ἑνουμένων τε καὶ C σχιζομένων, περιεχόντων τε καὶ περιεχομένων νόμῳ καὶ λόγῳ φύσεως. Πολλὰ περὶ φωνῶν καὶ ἀκοῶν· πῶς αἱ μὲν φέρονται διὰ τῶν φωνητικῶν ὀργάνων, αἱ δὲ ὑποδέχονται (31), διὰ τῆς ἐν μέσῳ τοῦ ἀέρος πληγῆς καὶ τυπώσεως ἀλλήλαις ἐπιμιγνύμεναι. Πολλὰ περὶ ὄψεως ἀῤῥήτως κοινωνούσης τοῖς ὁρατοῖς, καὶ μόνῳ

[86] Psal. xxxv, 7. [87] Psal. cxxxviii, 6.

(23) *Σύμπηξιν*. Billius: « constitutionem. »

(24) *Περιγράφεται*. « Circumscribitur. » Sic Coisl. 1, aliique optimæ notæ codd. Hanc lectionem postulant mox opposita, περιγραπτός et ἀόριστος. In ed., περιφέρεται, « circumfertur. »

(25) *Ἀόριστος*. Sic Regg. a, bm, Coisl. 1 et Or. 2. In ed., ἀόρατος, « invisibilis. »

(26) *Ῥεύσεως*. Reg. Cypr. et Or. 1, ῥύσεως.

(27) *Ἐν τῷ τῆς φύσεως ἐργαστηρίῳ*. Id est, « alvo materna. »

(28) *Πηγάς*. Elias: « fontes lactis. »

(29) *Τὸ μὲν τῇ μεταστάσει*, etc. Reg. Cypr., τὸ μὲν τῇ μεταποιήσει, etc., « mortale quidem ratione migrationis, » seu « immutationis, » aut « interitus; immortale autem ratione procreationis, » seu, « generationis. » Sic optime locum istum interpretantur Billius et Leuvenklaius; quamvis aliter sentiat Combefisius. Vertit enim vir doctus: « Mortale nativitate, immortale migratione. » Forsan ad hanc interpretationem adductus est auctoritate hujus Schol.: Τῇ μὲν γεννήσει θνητὸν, τῇ δὲ μεταστάσει ἀθάνατον· « Generatione quidem mortale, migratione autem, » seu, « ratione discessus e vita, immortale. » Fatetur tamen Billii interpretationem « veram esse de animalibus in genere, quod, uno se subducente, ejus loco subintrat aliud; » sed addit, « illud in homine singulare miraculum esse, quod sit mortali et immortali mistus, terrena substantia et immortalis, nascens mortalis et migrans immortalis. » Verum, ipsius pace dixerim, non satis D attendit ad Theologi mentem. Gregorius enim eo loci hominem respicit, non quatenus ex anima et corpore compositus est, sed tantum quatenus est animal, aut, juxta id quod cum cæteris animalibus commune habet. Porro ea ex parte, seu, habita tantummodo corporis ratione, homo, ad Gregorii mentem, « interitu mortalis est, immortalis vero procreatione; » quia videlicet, deficiente uno corpore, aliud nascendo succedit, ita ut nunquam desinat esse corpus humanum, « non secus atque, » ut ait ipse Gregorius, « in fluminis tractu, quod simul fluxum est et stabile. » Unde immortalitas hic a Gregorio sumitur pro speciei perpetuitate, id est, pro perpetua morientium et nascentium hominum successione.

(30) *Φιλοσοφήσαις*. Coisl. 2, σπερμολογήσαις, « nugare, blaterare possis. »

(31) *Ὑποδέχονται*. Coisl. 1 et Comb., ὑπηχοῦνται, « insonant, » seu « resonant. »

τῷ βούλεσθαι, καὶ ὁμοῦ κινουμένης, καὶ ταυτὸ (32) A τῷ νοΐ πασχούσης. Μετὰ γὰρ τοῦ ἴσου τάχους, ἐκεῖνός τε μίγνυται τοῖς νοουμένοις, καὶ αὕτη τοῖς ὁρωμένοις. Πολλὰ περὶ τῶν ἄλλων αἰσθήσεων, αἳ παραδοχαί τινές εἰσι τῶν ἔξωθεν, λόγῳ (33) μὴ θεωρούμεναι. Πολλὰ περὶ τῆς ἐν ὕπνοις ἀναπαύσεως, καὶ τῆς δι' ὀνειράτων ἀναπλάσεως, μνήμης τε καὶ ἀναμνήσεως, λογισμοῦ τε καὶ θυμοῦ, καὶ ἐφέσεως, καὶ συντόμως εἰπεῖν, ὅσοις ὁ μικρὸς οὗτος κόσμος διοικεῖται, ὁ ἄνθρωπος.

distinguantur, præcellant et dignitate inferiores sint, uniantur et distrahantur, contineant et contineantur. Multa etiam de vocibus et auditu: nimirum quomodo illæ per vocalia instrumenta deferantur, hic vero eas excipiat, ac per intermedii aeris percussionem atque impressionem inter se jungantur. Multa item de oculis, qui modo quodam ineffabili cum iis rebus, quas cernimus, commercium habent, ac sola voluntate, simul etiam cum ea moventur, eodemque modo cum mente afficiuntur. Pari enim celeritate, et hæc intellectilibus, et illi visibilibus rebus junguntur. Multa præterea de reliquis sensibus, qui velut admittendis externis rebus destinati sunt, nec ratione percipiuntur. Multa denique de ea, qua in somnis fruimur, quiete atque insomniorum figmentis, de memoria et reminiscentia, de ratione, et ira, et cupiditate, reliquisque, ut uno verbo complectar, quibus parvus hic mundus, id est, homo, gubernatur.

ΚΓ'. Βούλει σοι καὶ τὰς τῶν ἄλλων ζώων διαφορὰς (34) πρός τε ἡμᾶς καὶ πρὸς ἄλληλα, φύσεις τε B καὶ γενέσεις, καὶ ἀνατροφὰς, καὶ χώρας, καὶ ἤθη, καὶ οἷον πολιτείας καταριθμήσωμαι; Πῶς τὰ μὲν ἀγελαῖα, τὰ δὲ μοναδικά; τὰ μὲν ποηφάγα, τὰ δὲ σαρκοβόρα; τὰ μὲν θυμοειδῆ, τὰ δὲ ἥμερα; τὰ μὲν φιλάνθρωπα καὶ σύντροφα, τὰ δὲ ἀτίθασσα καὶ ἐλεύθερα; καὶ τὰ μὲν οἷον ἐγγύτερα λόγου τε καὶ μαθήσεως, τὰ δὲ παντελῶς ἄλογα καὶ ἀμαθέστατα (35); τὰ μὲν πλειόνων αἰσθήσεων, τὰ δὲ ἐλαττόνων; τὰ μὲν ἀκίνητα, τὰ δὲ μεταβατικά; τὰ μὲν ταχύτατα, τὰ δὲ παχύτατα (36); τὰ μὲν ὑπερβάλλοντα μεγέθει καὶ κάλλει ἢ τῷ ἑτέρῳ τούτων, τὰ δὲ βραχύτατα ἢ δυσειδέστατα ἢ καὶ ἀμφότερα; τὰ μὲν ἄλκιμα, τὰ δὲ ἀσθενῆ; τὰ μὲν ἀμυντικὰ, τὰ δὲ ὕποπτα καὶ ἐπίβουλα; τὰ μὲν φυλακτὰ (37), τὰ δὲ ἀφύλακτα; τὰ μὲν C φιλεργὰ καὶ οἰκονομικὰ, τὰ δὲ παντάπασιν ἀργὰ καὶ ἀπρονόητα; Καὶ ἔτι πρὸ τούτων, πῶς τὰ μὲν ἑρπυστικὰ (38), τὰ δὲ ὄρθια; τὰ μὲν φιλόχωρα, τὰ δὲ ἀμφίβια; τὰ μὲν φιλόκαλα, τὰ δὲ ἀκαλλώπιστα; συζυγῆ τε καὶ ἄζυγῆ; σώφρονά τε καὶ ἀκόλαστα; πολύγονά τε καὶ οὐ πολύγονα; μακρόβιά τε καὶ ὀλιγόβια; Κάμνοι ἂν ἡμῖν ὁ λόγος τοῖς κατὰ μέρος ἐπεξιών.

XXIII. Visne aliorum quoque animantium discrimina, quibus, tum a nobis, tum inter se differunt, naturas etiam et ortus, et educationes, et regiones, et mores, ac velut in republica vitæ officia enumerem? Quonam modo alia societate delectantur, alia solivaga sunt? Alia herbis, alia carnibus nutriuntur? Alia sæva et truculenta sunt, alia mansueta? Alia cum hominibus versari atque ali solent, alia indomita et libera sunt? Alia ad rationem et disciplinam **514** propius accedunt, alia a ratione et disciplina prorsus abhorrent? Alia pluribus sensibus, alia paucioribus prædita sunt? Alia motu carent, alia gradiendi facultatem habent? Alia celerrima, alia tardissima sunt? Alia magnitudine, et pulchritudine, aut alterutro horum excellunt, alia autem perexigua sunt, aut deformissima, aut etiam utroque vitio laborant? Alia strenua sunt, alia imbecilla? Alia injuriam aperto impetu propulsant, alia suspecta et insidiosa sunt? Alia cauta, alia incauta? Alia industriæ reique familiaris administrandi laude florent, alia prorsus inertia sunt et improvida? Quodque prius dicendum erat, qui fit, ut alia humi serpant, alia corpore recto sint? Alia certa sede acquiescant, alia in utroque elemento degant? Alia elegantiæ studiosa sint, alia cultum omnem respuant? Alia conjugata sint, alia a conjugio abhorreant? Alia pudica sint, alia libidini dedita? Alia fecundissima, alia parum fecunda? Alia diuturnæ vitæ, alia brevis? Deficiet me sermo, si sigillatim omnia persequi tentem.

ΚΔ'. Σκέψαι μοι καὶ νηκτὴν φύσιν τῶν ὑδάτων D διολισθαίνουσαν, καὶ οἷον ἱπταμένην κατὰ τῆς ὑγρᾶς φύσεως, καὶ τοῦ μὲν ἰδίου σπῶσαν ἀέρος, τῷ ἡμετέρῳ δὲ κινδυνεύουσαν, ὥσπερ καὶ ἡμεῖς ἐν τοῖς ὕδασιν· ἤθη τε καὶ πάθη, καὶ μίξεις, καὶ γονὰς, καὶ μεγέθη, καὶ κάλλη, φιλοχωρίας τε καὶ πλάνας, συνόδους τε καὶ ἀποχωρήσεις, καὶ ἰδιότητας μικροῦ τοῖς ἐπιγείοις παραπλησίας, ἔστι δὲ ὧν καὶ κοινωνίας, καὶ ἰδιότητας ἀντιθέτους, ἔν τε εἴδεσι καὶ ὀνό-

XXIV. Age piscium quoque naturam mihi considera, per aquas labentium, et per liquidum elementum, ut ita dicam, volantium, ac proprium quidem aerem tuto haurientium, in nostro autem periclitantium, quemadmodum nos quoque in aquis solemus: mores etiam eorum, et affectus, et coitus, et generationes, et magnitudines, et pulchritudines, certas item mansiones et oberrationes, congressus ac secessiones et proprietates terrestribus animan-

(32) *Ταυτό*. Reg. bm, duo Colb. et Or. 1, ταυτόν.

(33) *Τῶν ἔξωθεν, λόγῳ*, etc. Reg. Cypr., τῶν ἔξωθεν λόγων. « Vera lectio, » inquit Comb. qua admissa, sic vertit: « De reliquis sensibus, qui sunt quædam admissiones rationum, quæ extra in rebus sunt, cum minime oculis conspiciantur; » vel, « qui (sensus) veluti fenestræ quædam sunt, excipiendis iis rationibus, quæ extrinsecus adveniunt, et quas ratione conspicimus, destinati. »

(34) *Διαφοράς*. Reg. a, ἀναστροφάς.

(35) *Ἀμαθέστατα*. In quibusdam, ἀμετάθετα, « immutabilia. »

(36) *Τὰ μὲν ταχύτατα, τὰ δὲ παχύτατα*. Sic legit Leuvenklaius, et ita legendum putamus. In ed. legitur tantum, τὰ δὲ ταχύτατα. Cætera desunt.

(37) *Τὰ μὲν φυλακτά*. Hæc desunt in ed. Sic tamen legendum arbitramur, quamvis deficiat hac in re codicum auctoritas. Antithesis series id postulare videtur.

(38) *Ἑρπυστικά*. Colb. 3 et Or. 1, ἑρπηστικά.

tibus pene consimiles, nonnullorum etiam societates, et contrarias, tam in formis quam in nominibus, proprietates. Ad hæc greges avium tecum reputa, quamque varia et multiplici figura sint, variisque coloribus : qui fiat, ut alia muta sint, alia canora; quæque horum suavissimi cantus sit ratio, et a quo hanc facultatem acceperint? Quis lyram cicadis in pectore dedit, et cantus illos atque garritus, quos, cum meridiano solis æstu ad musicam incitantur, in arborum ramis fundunt, ac nemora sono implent, et viatorem vocibus prosequuntur? Quis cantum illum cum cygno contexit, quo tempore pennis in auram expansis ejusmodi sibilum edit, qui carminis instar sit? Mitto enim illas vi expressas voces, et quidquid artes adversus veritatem ingeniose comminiscuntur. Qui fit ut arrogans ille et Medicus pavo elegantiam gloriamque adeo affectet, ut quoties aliquem propius accedentem **515** viderit, aut etiam feminis, ut aiunt, sese ostentare voluerit (nec enim pulchritudinis suæ ignarus est), confestim elata cervice, atque alis, quæ aureum quemdam fulgorem referunt, ac siderum splendorem imitantur, in orbem concinnatis, corporis sui pulchritudinem amasiis suis cum superbo quodam incessu, velut in theatro, spectandam proponat? Ac Scriptura quidem sacra mulierum in contexendis telis solertiam his verbis admiratur : Quis dedit mulieribus texturæ sapientiam, rerumque variandarum scientiam[88]? Est enim hoc animantis ratione præditi, eximiaque sapientia instructi, atque ad cœlestia usque grassantis.

A μασιν. Σκέψαι μοι καὶ ὀρνέων (39) ἀγέλας καὶ ποικιλίας, ἔν τε σχήμασι καὶ χρώμασι, τῶν τε ἀλάλων, καὶ τῶν ᾠδικῶν· καὶ τίς τῆς τούτων μελῳδίας ὁ λόγος, καὶ παρὰ τίνος; τίς ὁ δοὺς τέττιγι τὴν ἐπὶ στήθους μαγάδα (40), καὶ τὰ ἐπὶ τῶν κλάδων ᾄσματά τε καὶ τερετίσματα, ὅταν ἡλίῳ κινῶνται τὰ μεσημβρινὰ μουσουργοῦντες, καὶ καταφωνῶσι τὰ ἄλση, καὶ ὁδοιπόρον ταῖς φωναῖς παραπέμπωσι; Τίς ὁ κύκνῳ συνυφαίνων τὴν ᾠδὴν, ὅταν ἐκπετάσῃ τὸ πτερὸν ταῖς αὔραις, καὶ ποιῇ μέλος τὸ σύριγμα; Ἐῶ γὰρ λέγειν τὰς βιαίους φωνὰς, καὶ ὅσα τέχναι σοφίζονται κατὰ τῆς ἀληθείας. Πόθεν ταὼς, ὁ ἀλαζὼν ὄρνις καὶ Μηδικὸς (41), οὕτω φιλόκαλος καὶ φιλότιμος, ὥστε (καὶ γὰρ αἰσθάνεται τοῦ οἰκείου κάλλους) ὅταν ἴδῃ τινὰ πλησιάζοντα, ἢ ταῖς θηλείαις (42), ὥς φασι, B καλλωπίζεται, τὸν αὐχένα διάρας, καὶ τὸ πτερὸν κυκλοτερῶς περιστήσας τὸ χρυσαυγὲς καὶ κατάστερον, θεατρίζει (43) τὸ κάλλος τοῖς (44) ἐρασταῖς, μετὰ σοβαροῦ τοῦ βαδίσματος; Ἡ μὲν οὖν θεία Γραφὴ καὶ γυναικῶν θαυμάζει σοφίαν τὴν ἐν ὑφάσμασιν, *Τίς ἔδωκε*, λέγουσα, *γυναιξὶν ὑφάσματος σοφίαν καὶ ποικιλτικὴν ἐπιστήμην*; Ζώου λογικοῦ τοῦτο, καὶ περιττοῦ τὴν σοφίαν, καὶ μέχρι τῶν οὐρανίων (45) ὁδεύοντος.

XXV. Tu vero mihi naturalem quoque animantium rationis expertium solertiam suspice, rationesque, si potes, declara. Quomodo volucres in petris, et arboribus, ac tectis, non minus elegantes, quam tutos, et alendis pullis accommodatos nidos elaborant? Unde apibus et araneis tantus laboris atque industriæ amor, ut illæ quidem favos construant, ac sexangularum fistularum, sibique invicem ex adverso respondentium, adjumento contineant, et per intermedium parietem, atque angulos rectis lateribus alternatim innexos domicilium suum fulciant, idque in tam caliginosis alvearibus obscurisque figmentis : istæ autem rursus per usque adeo tenuia et subtilia stamina multipliciter intensa sinuosas telas contexant (et quidem ex tam exiguis initiis, ut vix ulla oculorum acie pervideri possint), quæ ipsis et pro eximio quodam domicilio sint, et venandis alimoniæ causa imbecillioribus

C ΚΕʹ. Σὺ δέ μοι θαύμασον καὶ ἀλόγων φυσικὴν σύνεσιν (46), καὶ τοὺς λόγους, εἰ δύνασαι (47), παράστησον. Πῶς μὲν ὄρνισι καλιαὶ, πέτραι τε καὶ δένδρα, καὶ ὄροφοι, εἰς ἀσφάλειάν τε ὁμοῦ καὶ κάλλος ἐξησκημέναι, καὶ τοῖς τρεφομένοις ἐπιτηδείως; Πόθεν δὲ μελίσσαις τε καὶ ἀράχναις τὸ φιλεργὸν καὶ φιλότεχνον, ἵνα ταῖς μὲν τὰ κηρία πλέκηται, καὶ συνέχηται δι' ἑξαγώνων συρίγγων καὶ ἀντιστρόφων, καὶ τὸ ἑδραῖον αὐταῖς, διὰ τοῦ μέσου διατειχίσματος καὶ ἀλλαγῆς ἐπιπλεκομένων ταῖς εὐθείαις τῶν γωνιῶν, πραγματεύηται, καὶ ταῦτα ἐν ζοφεροῖς οὕτω τοῖς σίμβλοις καὶ ἀοράτοις τοῖς πλάσμασιν (48)· αἱ δὲ (49) διὰ λεπτῶν οὕτω καὶ ἀερίων σχεδὸν τῶν νημάτων πολυειδῶς διατεταμένων, πολυπλόκους τοὺς ἱστοὺς ἐξυφαίνουσι (50) (καὶ ταῦτα ἐξ ἀφανῶν τῶν ἀρχῶν), D οἴκησίν τε ὁμοῦ τιμίαν, καὶ θήραν τῶν ἀσθενῶν (51), εἰς τροφῆς (52) ἀπόλαυσιν; Ποῖος Εὐκλείδης ἐμιμήσατο ταῦτα, γραμμαῖς ἐμφιλοσοφῶν ταῖς οὐκ οὔ-

[88] Job XXXVIII, 36.

(39) *Ὀρνέων*. Or. 1, ὀρνίθων.
(40) *Μαγάδα*. Schol. : Μαγὰς κυρίως, ἡ τῆς κιθάρας καὶ τῆς λύρας ἡ τὰς νεύρας βαστάζουσα σανίς· « Proprie est tabulatum citharæ vel testudinis chordas sustinens.»
(41) *Μηδικός*. Sic pavo appellatur, quod e Medorum regione sit allatus.
(42) *Ἢ ταῖς θηλείαις*. Hic videtur deesse, ἐπιδείκνυσθαι βούληται, aut simile quid. EDIT.
(43) *Θεατρίζει*. Sic Coisl. 1, Or. 1, etc. In ed., θεατρίζειν.
(44) *Τοῖς*. Forte, ταῖς. EDIT.
(45) *Οὐρανίων*. In quibusdam, οὐρανῶν, « ad cœlos tendentis. »
(46) *Σύνεσιν*. Tres Colb., Coisl. 1 et Comb., κίνησιν, « motum. »
(47) *Εἰ δύνασαι*. Deest in pluribus codd.
(48) *Πλάσμασι*. Legendum videtur, πλέγμασι, « textis calathis. » Alveariorum enim hæc est descriptio.
(49) *Αἱ δέ*. Or. 1, οἱ δέ.
(50) *Ἐξυφαίνουσι*. Or. 1, ἐξυφαίνωσι.
(51) *Ἀσθενῶν*. Reg. bm, et Or. 1, ἀσθενεστέρων.
(52) *Τροφῆς*. In quibusdam, τρυφῆς, « deliciarum. »

σαις (53), καὶ κάμνων ἐν ταῖς ἀποδείξεσιν; Τίνος Παλαμήδους (54) τακτικὰ κινήματά τε καὶ σχήματα γεράνων, ὥς φασι, καὶ ταῦτα παιδεύματα κινουμένων ἐν τάξει, καὶ μετὰ ποικίλης τῆς πτήσεως; Ποῖοι Φειδίαι, καὶ Ζεύξιδες (55), καὶ Πολύγνωτοι, Παῤῥάσιοί τέ τινες καὶ Ἀγλαόφωντες, κάλλη μεθ' ὑπερβολῆς γράφειν καὶ πλάττειν εἰδότες; Τίς Κνώσσιος (56) Δαιδάλου χορὸς ἐναρμόνιος, νύμφῃ πονηθεὶς εἰς κάλλους περιουσίαν; ἢ λαβύρινθος Κρητικὸς δυσδιέξοδος καὶ δυσέλικτος, ποιητικῶς εἰπεῖν, καὶ πολλάκις (57) ἀπάντων ἑαυτῷ τοῖς τῆς τέχνης σοφίσμασιν; Καὶ σιωπῶ μυρμήκων ταμεῖά (58) τε καὶ ταμίας, καὶ θησαυρισμὸν τροφῆς τῷ καιρῷ σύμμετρον, τἄλλα τε ὅσα περὶ ὁδῶν καὶ περὶ (59) ἡγουμένων, καὶ τῆς ἐν τοῖς ἔργοις εὐταξίας ἔγνωμεν ἱστορούμενα.

animantibus inserviant? Ecquis Euclides hoc artificium unquam imitando expressit, de lineis pertractans nusquam exstantibus, atque in demonstrationibus anxio labore desudans? Ecquis Palamedes, qui etiam aciei instruendæ artem, ac motus et figuras, nullis aliis præceptoribus quam gruibus, usus didicisse fertur, cum videlicet eas ordine ac multiplici volatus genere moveri perspexisset? Quinam Phidiæ, et Zeuxides, et Polygnoti, Parrhasii etiam et Aglaophontes, qui incredibili quadam elegantium formarum pingendarum et sculpendarum peritia claruerunt? Quis Gnossius **516** Dædali chorus ad musicos numeros sese movens, in puellæ gratiam ad omnem artis pulchritudinem confectus et expolitus? Quis Cretensis labyrinthus, ut poetarum more loquar, difficiles exitus et ambages habens, identidemque in sese per artis industriam incurrens? Taceo formicarum penuaria eorumque custodes, et alimenti aggestionem, tempori respondentem, ac cætera ea quæ, et de earum viis ac ducibus, et eo ordine, quem in operibus servant, historiarum monumentis consignata sunt.

ΚϚ'. Εἰ τούτων ἐφικτὸς ὁ λόγος σοι, καὶ τὴν περὶ ταῦτα σύνεσιν ἔγνως, σκέψαι καὶ φυτῶν διαφορὰς, μέχρι καὶ τῆς ἐν φύλλοις φιλοτεχνίας, πρὸς τὸ ἥδιστόν τε ἅμα ταῖς ὄψεσι, καὶ τοῖς καρποῖς χρησιμώτατον. Σκέψαι μοι καὶ καρπῶν ποικιλίαν καὶ ἀφθονίαν, καὶ μάλιστα τῶν ἀναγκαιοτάτων τὸ κάλλιστον. Καὶ σκέψαι μοι καὶ δυνάμεις ῥιζῶν, καὶ χυμῶν, καὶ ἀνθέων, καὶ ὀδμῶν, οὐχ ἡδίστων μόνον, ἀλλὰ καὶ πρὸς ὑγίειαν ἐπιτηδείων, καὶ χρωμάτων χάριτας καὶ ποιότητας, ἔτι δὲ λίθων πολυτελείας καὶ διαυγείας· ἐπειδή σοι πάντα προὔθηκεν, ὥσπερ ἐν πανδαισίᾳ κοινῇ, ὅσα τε ἀναγκαῖα καὶ ὅσα πρὸς ἀπόλαυσιν, ἡ φύσις· ἵν', εἰ μή τι ἄλλο, ἐξ ὧν εὐεργετῇ, γνωρίσῃς Θεὸν, καὶ τῷ δεῖσθαι, γένῃ σεαυτοῦ συνετώτερος. Ἐντεῦθεν ἔπελθέ μοι γῆς πλάτη καὶ μήκη, τῆς κοινῆς πάντων μητρὸς, καὶ κόλπους θαλαττίους, ἀλλήλοις τε καὶ τῇ γῇ συνδεδεμένους (60), καὶ ἀλσῶν κάλλη, καὶ ποταμοὺς, καὶ πηγὰς δαψιλεῖς τε καὶ ἀεννάους, οὐ μόνον ψυχρῶν καὶ ποτίμων ὑδάτων, καὶ τῶν ὑπὲρ γῆς (61), ἀλλὰ καὶ ὅσαι ὑπὸ γῆν ῥέουσαι, καὶ σήραγγάς (62) τινας ὑποτρέχουσαι, εἶτ' ἐξωθούμεναι βιαίῳ τῷ πνεύματι καὶ ἀντιτυπούμεναι,

XXVI. Quod si horum omnium rationes assequeris, ac prudentiam eam, qua gubernantur, cognitam et exploratam habes, confer jam animum ad varia stirpium genera, artificiumque etiam illud expende, quod foliis ipsis inest, simulque et maximam oculis voluptatem, et fructibus utilitatem affert. Considera, quæso, et fructuum varietatem et uberrimam copiam, ac præsertim eorum, quæ ad vitam degendam maxime necessaria sunt, summam pulchritudinem. Cogita etiam stirpium et succorum, et florum atque odorum, non modo suavissimorum, verum etiam ad corporis sanitatem aptissimorum, vires et facultates, colorum etiam elegantiam et qualitates, atque insuper gemmarum eximia pretia et splendores; quandoquidem omnia, tam quæ ad necessarios vitæ usus, quam quæ ad delicias spectant, velut in communi convivio natura proposuit; ut, si nihil aliud, ex ipsis saltem beneficiis Deum cognoscas, atque ob penuriam qua laboras, teipso prudentior efficiaris. Hinc mihi facito, ut terræ communis omnium parentis latitudinem longitudinemque percurras, et maris sinus,

(53) *Γραμμαῖς... οὐκ οὔσαις.* « Lineis nusquam exstantibus : vel quod, » inquit Elias, « in animi consideratione non hæreant, postquam, earum quasi simulacra evanuerint; vel quod, » addit Billius, « oculis cerni nequeant. » Quidni potius, addemus, quod non exstent in rerum natura; quippe quæ a mathematicis sola longitudinis dimensione considerantur, nulla habita ratione latitudinis et profunditatis.

(54) *Παλαμήδους.* Primus Palamedes fertur, gruum compositos motus observando, figuras, secundum quas instruuntur acies, invenisse. Quid de gruibus scripsit Plinius, lege lib. x, c. 24.

(55) *Φειδίαι, καὶ Ζεύξιδες*, etc. « Phidias » Atheniensis, nobilis statuarius, qui in ebore scalpendo citra æmulum claruit. « Zeuxis » Heracleotes pictor sua ætate maximus. « Polygnotus, » patria Thasius, et pictor, nonagesima Olympiade floruit. « Parrhasius, » pictor insignis, qui primus symetriam picturæ dedit. « Aglaophon » pictor nobilissimus, cujus meminit Plinius l. xxxv, c. 9.

(56) *Κνώσσιος*, etc. « Gnossus » urbs Cretæ clarissima, Minois regia, olim « Ceratus » appellata a vicino ejusdem nominis fluvio. Ea fuit apud veteres de Dædalo opinio, quod statuis immobilibus oculos induxerit, atque effecerit, abditis quibusdam nervis, ut huc atque illuc moverentur, adeo scite, ut spectantibus vivere viderentur. Vide Diodorum Siculum lib. v, etc. Idem Dædalus labyrinthum in Creta construxit, multiplici intricata viarum perplexitate irremeabilem. Vide Virgil. *Æn.* v, et Ovid. *Metam.* VIII.

(57) *Καὶ πολλάκις*, etc. « Atque artificiosa fraude multoties reciprocatus? »

(58) *Ταμεῖα.* Combef., ταμιεῖα.

(59) *Περί.* Deest in tribus Colb., et Or. 1.

(60) *Συνδεδεμένους.* Sic Reg. a. In ed., συνδεομένους.

(61) *Καὶ τῶν ὑπὲρ γῆς*, etc. « Quæque super terram, et quæ subtus terram. » Forte significat Gregorius aquas calidas, et eas quæ ex metallis medicaminum vim hauriunt.

(62) *Σήραγγας.* In quibusdam, σύριγγας.

tum mutuo nexu, tum etiam cum terra velut vinculis quibusdam constrictos, et nemorum pulchritudines, et fluvios, et fontes uberes ac perennes, non modo gelidarum et potabilium aquarum, quæque in terra sunt, sed earum etiam, quæ infra terram fluentes, et specus quosdam subeuntes, ac deinde violento aliquo flatu impulsæ atque repercussæ, postea per conflictus hujusce atque obluctationis vehementiam inflammatæ, quaqua fors tulerit, paulatim erumpunt, hincque calidorum balneorum usum nobis plerisque terræ locis, et cum contraria facultate, suppeditant, gratuitam scilicet medicinam ac **517** sponte promanantem. Dic, obsecro, quomodo et unde hæc? Quænam magna hæc atque artis expers textura? Nec enim ob mutuam eam affectionem, quam inter se habent, minus laudis merentur, quam si seorsim unumquodque consideretur. Quo pacto terra firma et immota constitit? Quidnam pro vehiculo habet? Cujus rei adminiculo fulcitur? Quidque rursus fulturam illam sustinet? Neque enim rationi quidquam, cui innitatur, occurrit, si divinam voluntatem exceperis. Quo pacto ea, partim in montium vertices assurgens, partim in campos subsidens, idque varie et multipliciter, ac denique paulatim alternando commutata, tum ad hominum usus uberior, tum varietate ipsa jucundior? Qui fit, ut partim in domicilia divisa sit, partim inculta et inhabitabilis relinquatur, quantum nimirum excelsissimi quique montes ab ea abscindunt, atque alia ad alium quemdam orbis finem dissecta porrectaque divini opificii magnificentiam luculentissimo argumento declarat?

A εἶτ' ἐκπυρούμεναι τῷ σφοδρῷ τῆς πάλης καὶ τῆς ἀντιθέσεως, ὅπη παρείκοι κατὰ μικρὸν ἀναῤῥήγνυνται, καὶ τὴν τῶν θερμῶν λουτρῶν χρείαν ἐντεῦθεν ἡμῖν χαρίζονται, πολλαχοῦ τῆς γῆς, καὶ μετὰ τῆς ἐναντίας (63) δυνάμεως, ἰατρείαν ἄμισθον καὶ αὐτόματον. Εἰπὲ πῶς καὶ πόθεν ταῦτα; Τί τὸ μέγα τοῦτο καὶ ἄτεχνον (64) ὕφασμα; Οὐχ ἧττον ἐπαινετὰ τῆς πρὸς ἄλληλα σχέσεως (65), ἢ καθ' ἕκαστον θεωρούμενα. Πῶς γῆ μὲν ἕστηκε παγία καὶ ἀκλινής; ἐπὶ τίνος ὀχουμένη; καὶ τίνος ὄντος τοῦ ὑπερείδοντος; καὶ τίνος ἐκεῖνο πάλιν; Οὐδὲ γὰρ ὁ λόγος ἔχει, ἐφ' ὃ ἐρεισθῇ, πλὴν τοῦ θείου θελήματος. Καὶ πῶς ἡ μὲν εἰς ὀρῶν κορυφὰς ἀνηγμένη, ἡ δὲ εἰς πεδία καθεζομένη, καὶ τοῦτο πολυειδῶς, καὶ ποικίλως, καὶ ταῖς κατ' ὀλίγον ἐναλλαγαῖς μεθισταμένη, πρός τε τὴν
B χρείαν ἐστὶν ἀφθονωτέρα, καὶ τῷ ποικίλῳ χαριεστέρα. καὶ ἡ μὲν εἰς οἰκήσεις νενεμημένη, ἡ δὲ ἀοίκητος, ὅσην αἱ ὑπερβολαὶ τῶν ὀρῶν ἀποτέμνονται, καὶ ἄλλη πρὸς ἄλλο τι πέρας σχιζομένη καὶ ἀποβαίνουσα, τῆς τοῦ Θεοῦ μεγαλουργίας ἐναργέστατόν ἐστι γνώρισμα;

XXVII. Jam vero mare, si non magnitudine sua mirabile mihi occurreret, lenitatem utique et placiditatem admirarer, simulque quo pacto fiat, ut quamvis liberum ac solutum, finibus tamen suis consistat: quod si non lenitatem, magnitudinem certe suspicerem. Quoniam autem utraque laude excellit, utramque vim et facultatem prædicabo. Quis tantam aquarum molem conjunxit? Quis quasi vinculis quibusdam astrinxit? Qui fit, ut attollatur, et tamen loco suo se contineat, perinde ac vicinam terram reverita? Qui fit, ut cum fluvios omnes excipiat, ob exuberantes tamen opes et copias, aut quo verbo id appellandum sit, nescio, nullam amplitudinis accessionem faciat, sed eadem semper suique similis maneat? Qui fit, ut tantum elementum arenam pro termino habeat [69]? Possuntne hoc expedire physici, atque inanis eruditionis laude celebres, ac vere cyatho mare, hoc est, res tantas ingenio suo metientes? An faciam ipse, ut paucissimis verbis hoc ex Scriptura sacra explicem, idque probabilius ac verius, quam ipsi cum prolixis suis

C ΚΖʹ. Θαλάττης δὲ, εἰ μὲν μὴ τὸ μέγεθος εἶχον θαυμάζειν, ἐθαύμασα ἂν τὸ ἥμερον, καὶ πῶς ἵσταται λελυμένη τῶν ἰδίων ὅρων ἐντός· εἰ δὲ μὴ τὸ ἥμερον, πάντως τὸ μέγεθος. Ἐπεὶ δὲ ἀμφότερα, τὴν ἐν ἀμφοτέροις δύναμιν ἐπαινέσομαι. Τί τὸ συναγαγόν; Τί τὸ δῆσαν; Πῶς ἐπαίρεταί τε καὶ ἵσταται, ὥσπερ αἰδουμένη τὴν γείτονα γῆν; Πῶς καὶ δέχεται ποταμοὺς πάντας (66), καὶ ἡ αὐτὴ διαμένει διὰ πλήθους περιουσίαν, ἢ οὐκ οἶδ' ὅ τι (67) χρὴ λέγειν; Πῶς ψάμμος ὅριον αὐτῇ, τηλικούτῳ στοιχείῳ; Ἔχουσί τι λέγειν οἱ φυσικοὶ, καὶ σοφοὶ τὰ μάταια, καὶ κυάθῳ μετροῦντες (68) ὄντως τὴν θάλασσαν, τὰ τηλικαῦτα ταῖς ἑαυτῶν ἐπινοίαις; ἢ συντόμως ἐγὼ παρὰ τῆς Γραφῆς τοῦτο φιλοσοφήσω, καὶ τῶν μακρῶν λόγων πιθανώτερόν τε καὶ ἀληθέστερον; *Πρόσταγμα ἐγύ-*
D *ρωσεν ἐπὶ πρόσωπον ὕδατος.* Τοῦτο τῆς ὑγρᾶς φύσεως ὁ δεσμός. Πῶς δὲ τὸν χερσαῖον ναυτίλον (69) ἄγει ξύλῳ μικρῷ καὶ πνεύματι; (τοῦτο οὐ θαυμάζεις ὁρῶν; οὐδ' ἐξίσταταί σου ἡ διάνοια;) ἵνα γῆ καὶ θάλασσα δεθῶσι ταῖς χρείαις καὶ ταῖς ἐπιμιξίαις, καὶ εἰς ἓν ἔλθη (70) τῷ ἀνθρώπῳ τὰ τοσοῦτον ἀλλήλων δι-

[69] Jerem. v, 22.

(63) *Μετὰ τῆς ἐναντίας.* « Cum aquis frigidis. » Plerumque enim scaturiunt e propinquo aquæ calidæ cum frigidis.

(64) *Ἄτεχνον.* Hoc universum dicitur « artis expers, » quod nullis sit fabricatum manibus, sed divinitus contextum. Scholium vero sic exponit: Ὕφασμα, vel, ὑφασμὸν τὴν σύμπηξιν τῶν στοιχείων καλεῖ καὶ πρὸς ἄλληλα νεῦσιν· « Texturam appellat elementorum compagem, et mutuam in se propensionem. »

(65) *Τῆς πρὸς ἄλληλα σχέσεως.* Leuv. « Non minus laudis merentur collata inter se. »

(66) *Πάντας.* Regg. a, bm, et Or. 1, ἅπαντας.

(67) *Ἢ οὐκ οἶδ' ὅτι*, etc. Leuv. « Equidem aut nihil habeo quod dicam, aut summam ob vastitatem maris, hoc fieri statuo. »

(68) *Μετροῦντες.* Combef., συμμετροῦντες.

(69) *Χερσαῖον ναυτίλον.* « Terrestrem nautilum. » Sic hominem eleganter appellat Gregorius. « Nautilus » piscis est sic dictus, quod navis speciem præferat.

(70) *Ἔλθη.* Combef., συνέλθη.

A ἑστηκότα κατὰ τὴν φύσιν; Τίνες δὲ πηγῶν αἱ πρῶται πηγαί, ζήτησον, ἄνθρωπε, εἴ τί σοι τούτων ἐξιχνεῦσαι ἢ εὑρεῖν δυνατόν; καὶ τίς ὁ ποταμοῖς (71) σχίσας καὶ πεδία καὶ ὄρη, καὶ δοὺς τὸν δρόμον ἀκώλυτον; καὶ πῶς ἐκ τῶν ἐναντίων τὸ θαῦμα, μήτε θαλάσσης ἐπεξιούσης, μήτε ποταμῶν ἱσταμένων; Τίς δὲ ἡ τῶν ὑδάτων τροφὴ (72), καὶ τί τὸ ταύτης διάφορον, τῶν μὲν ἄνωθεν ἀρδομένων, τῶν δὲ ταῖς ῥίζαις ποτιζομένων, ἵνα τι καὶ αὐτὸς κατατρυφήσω τοῦ λόγου, Θεοῦ τὴν τρυφὴν ἐξηγούμενος;

disputationibus? Præceptum circumdedit super faciem aquæ [90]. Hoc humidæ naturæ vinculum est. Jam quomodo terrestrem nautilum exiguo ligno ac vento ducit? (Hoc tu cum cernis, non admiratione defigeris? Non mens extra se rapitur?) Idque ut mare ac terra commoditatibus et commerciis inter se vinciantur, **518** ac ea, quæ natura adeo inter se dissident, ad hominis usum conjungantur? Qui porro fontium primi fontes, quæras velim, o homo, si quid horum investigare aut invenire potes: tum quis fluviis campos et montes dissecuit, ac liberum cursum eis concessit? Quo etiam pacto ex contrariis rebus miraculum exsistat, dum nec mare unquam regurgitat, nec fluvii subsistunt? Ad hæc quæ aquarum alimonia, quodque hujus discrimen, quippe res quædam sunt, quæ desuper rigantur, quædam rursus, quibus potus per radices suas suppeditatur, ut ipse quoque delicioso dicendi genere utar, dum Dei delicias oratione complector?

B ΚΓ'. Ἄγε δὴ γῆν ἀφεὶς, καὶ τὰ περὶ γῆν, πρὸς τὸν ἀέρα κουφίσθητι τοῖς τῆς διανοίας πτεροῖς, ἵνα σοι καθ' ὁδὸν ὁ λόγος προΐῃ· κἀκεῖθεν ἀνάξω σε πρὸς τὰ οὐράνια, καὶ τὸν οὐρανὸν αὐτὸν, καὶ τὰ ὑπὲρ οὐρανόν. Καὶ τοῖς ἑξῆς ὀκνεῖ μὲν προσβῆναι ὁ λόγος, προσβήσεται δὲ ὅμως ὁπόσον ἔξεστιν. Τίς ὁ χέας ἀέρα, τὸν πολὺν τοῦτον πλοῦτον καὶ ἄφθονον, οὐκ ἀξίαις, οὐ τύχαις μετρούμενον, οὐχ ὅροις κρατούμενον, οὐχ ἡλικίαις μεριζόμενον, ἀλλὰ κατὰ τὴν τοῦ μάννα διανομὴν, αὐταρκείᾳ περιλαμβανόμενον, καὶ ἰσομοιρίᾳ τιμώμενον; τὸ τῆς πτηνῆς φύσεως ὄχημα, τὴν ἀνέμων ἕδραν, τὴν ὡρῶν εὐκαιρίαν, τὴν ζώων ψύχωσιν, μᾶλλον δὲ τῆς ψυχῆς πρὸς τὸ σῶμα συντήρησιν, ἐν ᾧ σώματα, καὶ μεθ' οὗ λόγος, ἐν ᾧ φῶς καὶ τὸ φωτιζόμενον, καὶ ἡ ὄψις, ἡ δι' αὐτοῦ ῥέουσα; C Σκόπει δέ μοι καὶ τὰ ἑξῆς· οὐ γὰρ συγχωροῦμαι τῷ ἀέρι δοῦναι τὴν ἅπασαν δυναστείαν τῶν τοῦ ἀέρος εἶναι νομιζομένων. Τίνα μὲν ἀνέμων ταμεῖα; τίνες θησαυροὶ χιόνος; Τίς δὲ ὁ τετοκὼς βώλους (73) δρόσου, κατὰ τὸ γεγραμμένον; Ἐκ γαστρὸς δὲ τίνος ἐκπορεύεται κρύσταλλος; Τίς ὁ δεσμεύων ὕδωρ ἐν νεφέλαις, καὶ τὸ μὲν ἱστὰς ἐπὶ τῶν νεφελῶν (ὢ τοῦ θαύματος!) λόγῳ κρατουμένην φύσιν (74) τὴν ῥέουσαν, τὸ δὲ ἐκχέων (75) ἐπὶ πρόσωπον πάσης τῆς γῆς, καὶ σπείρων καιρίως καὶ ὁμοτίμως, καὶ οὐδὲ ἀφιεὶς ἅπασαν (76) τὴν ὑγρὰν οὐσίαν ἐλευθέραν καὶ ἄσχετον (ἀρκεῖ γὰρ ἡ ἐπὶ Νῶε κάθαρσις, καὶ τῆς ἑαυτοῦ διαθήκης οὐκ ἐπιλήσμων ὁ ἀψευδέστατος), οὔτε ἀνέχων παντάπασιν, ἵνα μὴ πάλιν Ἠλίου τινὸς δεηθῶμεν, τὴν ξηρότητα λύοντος; D Ἐὰν κλείσῃ, φησὶ, τὸν οὐρανὸν, τίς ἀνοίξει; ἐὰν δὲ ἀνοίξῃ τοὺς καταράκτας, τίς συνέξει; τίς οἴσει τὴν ἐπ' ἀμφότερα τοῦ ὑετίζοντος ἀμετρίαν, ἐὰν μὴ τοῖς ἑαυτοῦ μέτροις καὶ σταθμοῖς, διεξαγάγῃ (77) τὰ σύμπαντα; Τί μοι φιλοσοφήσεις περὶ ἀστραπῶν καὶ βροντῶν, ὦ βροντῶν ἀπὸ γῆς σὺ, καὶ οὐδὲ μικροῖς σπινθῆρσι

XXVIII. Sed jam missa facta terra, rebusque terrenis, indutis animi pennis in aerem convola, ut recto ordine progrediatur oratio: ac deinde te illinc ad cœlestia, cœlumque adeo ipsum, et quæ cœlo superiora sunt, evehaın. Quanquam ad ea, quæ deinceps sequuntur, accedere refugit quidem ac reformidat oratio; sed tamen quantum licebit, accedet. Quis aerem fudit, uberem, inquam, hunc et copiosum thesaurum, non pro cujusque dignitate atque fortunis varie dimensum, non finibus ullis inclusum ac circumscriptum, non pro ætatum ratione distributum, verum, quod olim in manna contigit [91], quantum cuique sat sit, impertitum, atque æquabilitatis honore decoratum? Quis, inquam, hoc avium vehiculum, hanc ventorum sedem, hoc elementum, quo et anni partes temperantur, et animantur animantia, vel anima potius cum corpore conservatur, in quo corpora, et cujus ope atque adjumento loquimur, in quo lumen, et res lumine perfusæ, atque ipse etiam aspectus per eum fluens? Volve jam animo ea quæ sequuntur: nec enim mihi fas est aeri universum earum rerum imperium largiri, quæ aeris esse censentur. Quæ ventorum promptuaria? Qui nivis thesauri? Quis roris stillas, ut cum Scriptura loquar, peperit? E cujus utero glacies egressa est [92]? Quis aquam in nubibus alligat [93], eamque (o rem admirandam!) partim in nubibus figit verbo compressam, tametsi natura sua fluxam et labilem, partim in totius terræ faciem effundit, ac tempestive et æquali modo spargit: ac neque humidam omnem substantiam liberam et solutam relinquit (sufficit enim purgatio illa, quæ tempore Noe contigit, pactique sui [94] memoriam haudquaquam is abjecit, qui ab omni mendacio est alienissimus), nec rursus omnino inhibet, ne iterum Elia quodam opus

[90] Job XXVI, 10. [91] Exod. XVI, 18 seqq. [92] Job XXXVIII, 28, 29. [93] Psal. CXXXIV, 7. [94] Gen. IX, 12.

(71) *Ποταμοῖς*. Sic codd. In ed., ποταμούς.

(72) *Τροφή*. « Alimonia, » non qua alantur aquæ, sed qua res alias ipsæ aquæ alunt.

(73) *Βώλους*. Sic LXX, et Or. 1. In ed., βόλους.

(74) *Φύσιν*. Reg. Cypr., τὴν φύσιν.

(75) *Ἐκχέων*. Sic duo Regg., Or. 1 et Comb. In ed., ἐκχέον.

(76) *Ἅπασαν*. Reg. Cypr., ἅπασι, quasi, πάντάπασι, « omnino, prorsus. »

(77) *Διεξαγάγῃ*. Reg. a, et Or. 1, διεξάγῃ.

habeamus, qui siccitatem **519** depellat [95]? Si clauserit cœlum [96], inquit Scriptura, quis aperiet? Si autem cataractas aperuerit [97], quis continebit? Quis enim immodicam, vel pluviam, vel pluviæ retentionem ferret, nisi ille pluviæ parens [98], mensuris suis ac bilancibus omnia regeret ac gubernaret? Quam vero rationem afferes de fulgetris ac tonitruis, tu, inquam, qui e terra tonas, ac ne tenuissimis quidem veritatis igniculis fulges? In quos vapores a terra excitatos hujus rei causam conferes, eosque nebularum parentes et velut architectos esse contendes, aut etiam aeris condensationem quamdam, vel rarissimarum nubium compressionem et fragorem, ut compressio quidem illa fulgur, fragor autem tonitruum tibi pariat? Quemnam etiam flatum astrictum atque compressum, ac postea exitu carentem, ut et compressione ipsa fulgur, et perruptione tonitruum edat? Quod si aerem aereaque omnia cogitatione peragrasti, mecum jam cœlum quoque ac cœlestia continge. Cæterum ducem potius fidem, quam rationem sequamur, si modo ingenii tui imbecillitatem in propinquioribus didicisti, rationisque id esse cognovisti, ut, quænam sunt ea, quæ rationis humanæ captum excedant, cognoscas; ne alioqui prorsus terrenus sis, rebusque terrenis immersus, ipsam quoque ignorantiam tuam ignorans.

A τῆς ἀληθείας λαμπόμενε; Τίνας ἀτμοὺς ἀπὸ γῆς (78) αἰτιάσῃ νέφους δημιουργοὺς, ἢ ἀέρος πύκνωσίν τινα, ἢ νεφῶν τῶν μανωτάτων θλίψιν, ἢ σύῤῥηξιν, ἵνα ἡ μὲν θλίψις σοι τὴν ἀστραπὴν, ἡ δὲ ῥῆξις τὴν βροντὴν ἀπεργάσηται; ποῖον δὲ πνεῦμα στενοχωρούμενον, εἶτα οὐκ ἔχον διέξοδον, ἵνα ἀστράψῃ θλιβόμενον, καὶ βροντήσῃ ῥηγνύμενον; Εἰ τὸν ἀέρα διῆλθες τῷ λογισμῷ, καὶ ὅσα περὶ ἀέρα, ψαῦσον ἤδη σὺν ἐμοὶ καὶ οὐρανοῦ καὶ τῶν οὐρανίων. Πίστις δὲ ἀγέτω πλέον ἡμᾶς ἢ λόγος, εἴπερ ἔμαθες τὸ ἀσθενὲς ἐν τοῖς ἐγγυτέρω, καὶ λόγον ἔγνως, τῷ γνῶναι τὰ ὑπὲρ λόγον, ἵνα μὴ παντελῶς ἐπίγειος ἦς, ἢ περίγειος, B ἀγνοῶν καὶ αὐτὸ τοῦτο, τὴν ἄγνοιαν.

XXIX. Quis cœlum circumegit ac tornavit? Quis stellas ordine collocavit? Imo vero, ut quæ priora sunt dicam, quid cœlum ipsum est? Quid stellæ? An dicere hoc potes, o sublimis disputator; qui, cum ea, quæ ante pedes tuos sunt, ignores, ac ne te ipsum quidem metiri queas, ea tamen, quæ naturam tuam superant, curiose perscrutaris, hiantique ore in ea, quæ mensuram omnem excedunt, incumbis? Ut enim tibi concedam, te orbes ac conversiones, accessiones etiam et recessiones, perceptas habere, solis etiam et siderum exortus, gradusque quosdam, et minutias, cæteraque omnia, quibus tu eximiam tuam scientiam magnifice effers; nondum tamen hoc certa rerum comprehensio est, sed motus cujusdam observatio, quæ diuturniori exercitatione confirmata, posteaquam ea, quæ a pluribus observata sunt, in unum collegit, ac deinde rationem eorum excogitavit, ita demum scientiæ nomen est consecuta; quemadmodum lunæ affectiones, in multorum notitiam venere, qui scientiæ principium ab oculis acceperunt. At vero si insigni harum rerum cognitione instructus es, atque optimo jure in admiratione esse studes, **520** dic quæ ordinis hujus motusque causa sit? Unde hoc habeat sol, ut orbi universo, ac omnium oculis, tanquam chori cujusdam coryphæus, præluceat, sidera alia splendore suo magis obscurans, atque occultans, quam quædam illorum ab aliis obducantur? Cujus rei hoc argumentum est, quod cum ea velut certatim fulgeant, ipse tamen splendidius fulget, nec, quod una cum eo oriantur, cognosci sinat, pulcher ut sponsus,

ΚΘ'. Τίς περιήγαγεν οὐρανὸν, ἔταξεν ἀστέρας; μᾶλλον δὲ (79), τί πρὸ τούτων οὐρανὸς καὶ ἀστέρες, ἔχοις ἂν εἰπεῖν, ὁ μετέωρος, ὁ τὰ ἐν ποσὶν ἀγνοῶν, καὶ οὐδὲ σεαυτὸν μετρῆσαι δυνάμενος, τὰ δὲ ὑπὲρ τὴν σὴν φύσιν πολυπραγμονῶν, καὶ κεχηνὼς εἰς τὰ ἄμετρα; Ἔστω γάρ σε κύκλους, καὶ περιόδους, καὶ πλησιασμοὺς, καὶ ἀποχωρήσεις (80) καταλαμβάνειν, ἐπιτολὰς, καὶ ἀνατολὰς, καὶ μοίρας τινὰς, καὶ λεπτότητας, καὶ ὅσοις σὺ τὴν θαυμασίαν σου ταύτην ἐπιστήμην ἀποσεμνύνεις· οὔπω τοῦτο κατάληψις τῶν C ὄντων ἐστὶν, ἀλλὰ κινήσεώς τινος ἐπιτήρησις, ἢ πλείονι γυμνασίᾳ βεβαιωθεῖσα, καὶ εἰς ἓν ἀγαγοῦσα τὰ τηρηθέντα πλείοσιν, εἶτα λόγον ἐπινοήσασα, ἐπιστήμη προσηγορεύθη· ὥσπερ τὰ περὶ σελήνην παθήματα (81), γνώριμα γέγονε τοῖς πολλοῖς, τὴν ὄψιν ἀρχὴν λαβόντα τῆς γνώσεως. Σὺ δὲ, εἰ λίαν ἐπιστήμων εἶ τούτων, καὶ δικαίως ζητεῖς θαυμάζεσθαι, εἰπὲ τίς ἡ τῆς τάξεως αἰτία καὶ τῆς κινήσεως. Πόθεν ἥλιος φρυκτωρεῖ πάσῃ τῇ οἰκουμένῃ, καὶ πάσαις ὄψεσιν, ὥσπερ χοροῦ τινος κορυφαῖος, πλέον τοὺς ἄλλους ἀστέρας ἀποκρύπτων φαιδρότητι, ἤ τινες ἐκείνων ἑτέρους; Ἀπόδειξις δὲ, οἱ μὲν ἀντιλάμπουσιν, ὁ δὲ ὑπερλάμπει, καὶ οὐδὲ ὅτι συνανίσχουσιν ἐᾷ γνωρίζεσθαι, καλὸς ὡς νυμφίος, ταχὺς ὡς γίγας καὶ D μέγας (οὐδὲ γὰρ ἀνέχομαι ἄλλοθεν ἢ τοῖς ἐμοῖς τοῦτον ἀποσεμνύνειν)· τοσοῦτος τὴν δύναμιν, ὥστε ἀπ' ἄλλων ἄκρων ἄλλα τῇ θερμότητι καταλαμβάνειν, καὶ μηδὲν διαφεύγειν αὐτοῦ τὴν αἴσθησιν· ἀλλὰ πᾶσαν πληροῦσθαι καὶ ὄψιν φωτὸς, καὶ σωματικὴν φύσιν θερμότητος· θέροντος (82), ἀλλ' οὐ φλέγοντος, εὐκρασίας ἡμερότητι καὶ τάξει κινήσεως, ὡς

[95] III Reg. XVIII, 44, 45. [96] Deut. XI, 17. [97] Gen. VII, 11. [98] Job XXXVIII, 28.

(78) Ἀπὸ γῆς. Or. 1, ἐπὶ γῆς.
(79) *Μᾶλλον δέ.* Schol. : Τὸ ὑπερβατὸν οὕτως, μᾶλλον δὲ πρὸ τούτων ἔχοις ἂν εἰπεῖν, τί οὐρανὸς, καὶ ἀστέρες· « Imo vero dicere habeas, quid cœlum, quid stellæ, » etc.
(80) *Ἀποχωρήσεις.* Bas., ὑποχωρήσεις.
(81) *Τὰ περὶ σελήνην παθήματα.* « Lunæ affectiones, » id est « accretiones, diminutiones et defectus. »
(82) *Θέροντος.* Elias, θάλποντος, « calore foveatur, » quod sequitur Leuv.

πᾶσι παρόντος, καὶ πάντα ἐπίσης περιλαμβάνοντος (83). A

magnus ac celer ut gigas [99] (neque enim facere possum, ut aliunde, quam ex meis libris, eum coornem ac celebrem); tantam vim et facultatem habens, ut ab aliis extremis alia extrema calore suo complectatur, nec res ulla ejus sensum effugiat: quin potius, et oculus omnis luce, et corporea natura calore compleatur, ac leni quidem sua temperie, motuque ordinato calefaciens omnia, non urens, omnibus præsto est, et omnia æque comprehendit.

Λ'. Ἐκεῖνο δέ σοι (84) πηλίκον, εἰ κατενόησας; *Τοῦτο ἐν αἰσθητοῖς ἥλιος, ὅπερ ἐν νοητοῖς Θεός*, ἔφη τις τῶν ἀλλοτρίων (85). Αὐτὸς γὰρ ὄψιν φωτίζων, ὥσπερ ἐκεῖνος νοῦν· αὐτὸς καὶ τῶν ὁρωμένων, ἐστὶ τὸ κάλλιστον, ὥσπερ ἐκεῖνος τῶν νοουμένων Ἀλλὰ τί τὸ κινῆσαν αὐτὸν ἀπ' ἀρχῆς; Τί δαὶ (86) τὸ ἀεὶ κινοῦν καὶ περιάγον ἑστῶτα λόγῳ, καὶ μὴ κινούμενον, ὄντως ἀκάμαντα, καὶ φερέσβιον, καὶ φυσίζωον, καὶ ὅσα ποιηταῖς ὕμνηται κατὰ λόγον, καὶ B μήτε (87) τῆς ἑαυτοῦ φορᾶς ποτε, μήτε τῶν εὐεργεσιῶν ἱστάμενον; Πῶς ἡμέρας δημιουργὸς ὑπὲρ γῆς, καὶ νυκτὸς ὑπὸ γῆν, ἢ οὐκ οἶδ' ὅ τι χρὴ λέγειν ἡλίῳ προσβλέψαντα; Τίς ἡ τούτων (88) πρόσληψίς τε καὶ ἀνθυφαίρεσις, καὶ ἡ τῆς ἀνισότητος ἰσότης, ἵν' εἴπω τι καὶ παράδοξον; Πῶς δὲ ὡρῶν ποιητής τε καὶ μεριστὴς, εὐτάκτως (89) ἐπιγινομένων τε καὶ ἀπογινομένων, καὶ ὥσπερ ἐν χορῷ συμπλεκομένων ἀλλήλαις καὶ διισταμένων (τὸ μὲν φιλίας νόμῳ, τὸ δὲ εὐταξίας), καὶ κατὰ μικρὸν κιρναμένων, καὶ ταῖς ἐγγύτησι κλεπτομένων ταυτὸν ἡμέραις τε καὶ νυξὶν, ἵνα μὴ τῇ ἀηθείᾳ (90) λυπήσωσιν; Ἀλλ' ἴτω μὲν ἥλιος· σὺ δὲ ἔγνως σελήνης φύσιν (91), καὶ πάθη, καὶ μέτρα φωτὸς, καὶ δρόμους; καὶ πῶς ὁ μὲν C ἡμέρας ἔχει τὴν δυναστείαν, ἡ δὲ νυκτὸς προκαθέξεται; καὶ ἡ μὲν θηρίοις δίδωσι παῤῥησίαν, ὁ δὲ ἄνθρωπον ἐπὶ τὸ ἔργον ἀνίστησιν, ἢ ὑψούμενος, ἢ ταπεινούμενος πρὸς τὸ χρησιμώτατον; Συνῆκας δὲ δεσμὸν Πλειάδος, ἢ φραγμὸν Ὠρίωνος, ὡς ὁ ἀριθμῶν πλήθη ἄστρων, καὶ πᾶσιν αὐτοῖς ὀνόματα καλῶν, καὶ δόξης ἑκάστου διαφορὰν, καὶ τάξιν κινήσεως, ἵνα σοι πιστεύσω διὰ τούτων πλέκοντι τὰ ἡμέτερα, καὶ κατὰ τοῦ κτίστου τὴν κτίσιν ὁπλίζοντι;

XXX. Illud autem quantum tibi videtur, siquidem animadvertisti? *Idem in sensibilibus est sol, quod Deus in intellectilibus*, inquit profanus quispiam [1]. Ut enim hic mentem, ita ille oculos illustrat: atque ut hic res eas omnes, quæ animo et ratione intelliguntur, pulchritudine vincit, ita etiam ille eas, quæ oculorum sensu percipiuntur. Sed quid tandem illi motum initio dedit? Quid eum perpetuo motu agitat ac circumducit, cum interim ratione stabilis sit et motus expers, vere infatigabilis, vitæ dator, animantium pater, et quibuscunque laudum titulis eum non immerito poetæ prosequuntur, ac neque motui unquam suo, nec beneficiis finem constituens? Quomodo diem procreat, cum supra terram est, ac noctem, cum sub terra? Quibus verbis utendum sit, nescio, cum solem intueor. Quodnam hoc dierum ac noctium incrementum, et vicissim quæ diminutio? Quæ inæqualitatis æqualitas, ut novum aliquid et insolens dicam? Quomodo anni partes efficit, et ita dividit, ut certis et constitutis vicibus accedant, et recedant, ac veluti in chorea, complexu quodam inter se hæreant, simulque distinguantur (illud amicitiæ lege, hoc ordinis præscripto), sensimque intermisceantur, ac vicinitate ipsa, perinde atque in diebus ac noctibus fieri videmus, furtim quodammodo **521** irrepant, ac se proripiant? Quod quidem idcirco fit, ne ob insuetudinem molestiam afferant. Sed cursum suum sane sol obeat. Quid? Num lunæ naturam et affectiones, et luminis mensuram ac rursus pernosti? Et quomodo, ut sol diei principatum tenet, sic luna quoque nocti præsideat? Atque, ut hæc feris audaciam affert, ita vicissim ille hominem ad laborem excitet, dum appositissime ad hominum utilitatem, vel sese attollit, vel deprimit? An tu Pleiadis [2] vinculum, aut Orionis maceriam, instar illius, qui numerat multitudinem stellarum, et omnibus eis nomina vocat [3], intelligis, ac cujusque gloriæ discrimen perspectum habes, motusque ordinem, ut sit causa, cur tibi fidem habeam, qui per eas humana contexens, creaturam adversus Creatorem armas?

ΛΑ'. Τί λέγεις; ἐνταῦθα στησόμεθα τοῦ λόγου, D μέχρι τῆς ὕλης καὶ τῶν ὁρωμένων; ἢ ἐπειδὴ τοῦ

XXXI. Quid ais? Hic dicendi finem faciemus, nec ultra res eas, quæ materia constant, oculisque

[99] Psal. XVIII, 6 sqq. [1] Plato. [2] Job XXXVIII, 31. [3] Psal. CXLVI, 4.

(83) *Περιλαμβάνοντος*. Tres Colb. et Coisl. 1, περιλάμποντος, « collustrat. »

(84) *Ἐκεῖνο δέ σοι*, etc. Billius: « Illud vero nescio an abs te animadversum, quanti tandem æstimandum est, quod profanus quidem auctor scribit, idem in sensilibus solem esse, quod Deum in intellectilibus? »

(85) *Τίς τῶν ἀλλοτρίων*. « Profanus quispiam, » id est Plato. Hinc Schol. Colb. maximi: Πλάτωνός φασι τοῦτο, ὡς ἀνεγνωκότος τὸν Μωσαϊκὸν νόμον, καὶ ἐκ τούτου λαβόντος τὴν περὶ τούτου θεολογίαν, καὶ ἕτερα πολλά· « Hoc Platonis esse aiunt, ut qui legem Moysis legerit, atque inde suam ea de re theologiam, aliaque plurima hauserit. »

(86) *Τί δαί*. Duo Regg., et Or. 1, τί δέ.

(87) *Μήτε*. In quibusdam, μήποτε.

(88) *Τίς ἡ τούτων*, etc. Bill. « Quæ dierum ac noctium assumptio? Quæ detractio? »

(89) *Εὐτάκτως*. « Composite ac ordine. »

(90) *Τῇ ἀηθείᾳ*. Par. aliique non pauci, τῇ ἀληθείᾳ. Hanc lectionem agnoscit Elias, quem sequitur Leuv. « Ne si palam ac vere hæc fierent, nonnihil molestiæ nobis crearetur. »

(91) *Φύσιν*. Reg. Cypr., λύσιν, « solutionem, » quod semper mutetur

corporis cernuntur, orationem diffundemus? An potius, quoniam Mosaicum illud tabernaculum, mundi totius figuram et imaginem exstitisse docet Scriptura (mundus porro ex visibilibus et invisibilibus constat), idcirco penetrato primo velo; transcensisque rebus illis, quæ sensum movent, in Sancta [4] prospiciemus, hoc est, in supercœlestem naturam, quæque non nisi ratione atque intelligentia percipitur? Sed ne hanc quidem, tametsi corporis expertem, incorporeo modo cernere possumus, quippe quæ ignis, et Spiritus appelletur, aut efficiatur. Deus enim, ut litteris sacris proditum est, angelos suos spiritus facit, et ministros suos flammam ignis [5]; nisi forte hoc loco, facere nihil aliud significet, quam eadem, qua primum procreati sunt, ratione tueri et conservare. Spiritus porro atque ignis angelus appellatur; illud quia intellectili natura est præditus, hoc, quia purgandis animis nostris adhibetur; quandoquidem primaria quoque illa essentia iisdem nominibus in Scriptura nuncupatur. Sed sint sane nobis illi incorporei, aut quam proxime ad hoc accedentes. Vides enim quomodo circa hujusmodi sermonem æstuemus, nec, quo progrediamur, habeamus; aut certe non ultra progredi possimus, quam quod angelos quosdam et archangelos scimus, thronos, potestates, principatus, dominationes, splendores, ascensus, intelligentes virtutes, vel mentes potius, puras naturas, minimeque adulterinas, ad malum immobiles, vel certe non facile mobiles, perpetuos choros circa principem illam causam agitantes; **522** aut (si quid aptius quisquam earum laudibus decantandis afferre queat), purissimo splendore illinc perfusas, aut pro naturæ et ordinis cujusque proportione, alias alio modo collustratas; quæ a summa illa pulchritudine adeo informantur et imprimuntur, ut ipsæ alia quoque lumina efficiantur, ac per primi luminis influxiones et communicationes alios illuminare possint; quæ, cum divinæ voluntatis ministræ sint [6], roboreque non modo naturali, sed etiam adventitio polleant, loca omnia peragrant, omnibus ubique impigre adsunt, tum ob ministerii promptitudinem, tum ob naturæ levitatem; aliæ etiam aliam quamdam orbis partem complectuntur, aut certe aliis quædam pars commissa est, ut novit, qui hæc ordinavit ac distinxit; ad unum

A κόσμου παντὸς ἀντίτυπον τὴν Μωσέως σκηνὴν οἶδεν ὁ λόγος, τοῦ ἐξ ὁρατῶν τε καὶ ἀοράτων λέγω συστήματος, τὸ πρῶτον καταπέτασμα διασχόντες, καὶ ὑπερβάντες τὴν αἴσθησιν, εἰς τὰ Ἅγια παρακύψωμεν (92), τὴν νοητὴν φύσιν καὶ ἐπουράνιον (93); Οὐκ ἔχομεν οὐδὲ ταύτην ἀσωμάτως ἰδεῖν, εἰ καὶ ἀσώματος, πῦρ καὶ πνεῦμα προσαγορευομένην, ἢ γινομένην. Ποιεῖν γὰρ λέγεται τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα· εἰ μὴ ποιεῖν μὲν ἔστι τὸ συντηρεῖν τῷ λόγῳ, καθ' ὃν ἐγένοντο. Πνεῦμα δὲ ἀκούει καὶ πῦρ· τὸ μὲν ὡς νοητὴ φύσις, τὸ δὲ ὡς καθάρσιος (94)· ἐπεὶ (95) καὶ τῆς πρώτης οὐσίας τὰς αὐτὰς οἶδα κλήσεις. Πλὴν ἡμῖν γε ἀσώματος ἔστω, ἢ ὅτι ἐγγύτατα. Ὁρᾷς ὅπως ἰλιγγιῶμεν περὶ τὸν λόγον, καὶ οὐκ ἔχομεν οἷ προέλ- B θωμεν, ἢ τοσοῦτον ὅσον εἰδέναι ἀγγέλους τινὰς καὶ ἀρχαγγέλους, θρόνους, κυριότητας, ἀρχὰς, ἐξουσίας, λαμπρότητας, ἀναβάσεις, νοερὰς δυνάμεις, ἢ νόας, καθαρὰς φύσεις καὶ ἀκιβδήλους, ἀκινήτους πρὸς τὸ χεῖρον, ἢ δυσκινήτους (96) περὶ τὸ πρῶτον αἴτιον ἀεὶ χορευούσας· ἢ πῶς ἄν τις αὐτὰς ἀνυμνήσειεν, ἐκεῖθεν ἐλλαμπομένας τὴν καθαρωτάτην ἔλλαμψιν, ἢ ἄλλως ἄλλην κατὰ τὴν ἀναλογίαν τῆς φύσεως καὶ τῆς τάξεως· τοσοῦτον τῷ καλῷ (97) μορφουμένας καὶ τυπουμένας, ὥστε ἄλλα γίνεσθαι φῶτα, καὶ ἄλλους φωτίζειν δύνασθαι ταῖς τοῦ πρώτου φωτὸς ἐπιῤῥοαῖς τε καὶ διαδόσεσιν· λειτουργοὺς θείου θελήματος, δυνατὰς ἰσχύϊ φυσικῇ τε καὶ ἐπικτήτῳ (98), πάντα ἐπιπορευομένας, πᾶσι πανταχοῦ παρούσας C ἑτοίμως, προθυμίᾳ τε λειτουργίας, καὶ κουφότητι φύσεως· ἄλλας ἄλλο τι τῆς οἰκουμένης μέρος διειληφυίας, ἢ ἄλλῳ τινὶ (99) τοῦ παντὸς ἐπιτεταγμένας, ὡς οἶδεν ὁ ταῦτα τάξας (1) καὶ διορίσας· πάντα εἰς ἓν ἀγούσας, πρὸς μίαν σύννευσιν τοῦ τὰ πάντα δημιουργήσαντος· ὑμνῳδοὺς θείας μεγαλειότητος, θεωροὺς δόξης ἀϊδίου καὶ ἀϊδίως, οὐχ ἵνα δοξασθῇ Θεὸς (οὐ γάρ ἐστιν ὃ προστεθήσεται τῷ πλήρει, τῷ καὶ τοῖς ἄλλοις χορηγῷ τῶν καλῶν), ἀλλ' ἵνα μὴ λείπῃ τὸ εὐεργετεῖσθαι καὶ ταῖς πρώταις μετὰ Θεὸν φύσεσι. Ταῦτα εἰ μὲν πρὸς ἀξίαν ὕμνηται, τῆς Τριάδος ἡ χάρις, καὶ τῆς μιᾶς ἐν τοῖς τρισὶ θεότητος· εἰ δὲ τῆς ἐπιθυμίας (2) ἐνδεέστερον, ἔχει τὸ νικᾷν καὶ οὕτως ὁ λόγος. Τοῦτο γὰρ ἠγωνίζετο παραστῆσαι, ὅτι νοῦ κρείττων, καὶ ἡ τῶν δευτέρων φύσις, μὴ ὅτι τῆς πρώτης καὶ μόνης, ὀκνῶ γὰρ (3) εἰπεῖν, ὑπὲρ ἅπαντα (4).

[4] Hebr. IX, 24. [5] Psal. CIII, 4. [6] Hebr. I, 14.

(92) *Παρακύψωμεν*. Combefisius censet legendum παρακύψομεν.

(93) *Ἐπουράνιον*. « Cœlestem, » id est « quæ in cœlo versetur. »

(94) *Καθάρσιος*. In quibusdam, κάθαρσις.

(95) *Ἐπεί*. Reg. a, ἐπειδή.

(96) *Ἢ δυσκινήτους*. « Vel certe non facile mobiles. » Id refertur ad Luciferi lapsum. Nunc enim ad malum immobiles sunt angeli per concessam ipsis constantiæ ac perseverantiæ gratiam.

(97) *Τοσοῦτον τῷ καλῷ*, etc. « Quibus tanta pulchritudinis copia sit impressa, ut secundaria quædam lumina sint, ac, per primi luminis rivos et scaturigines ad se manantes, alios illustrare possint. »

(98) *Ἐπικτήτῳ*. « Adventitio robore, » Id est D « Dei auxilio et gratia, quibus natura perficitur. Adventitium etiam dici potest, » inquit Combefisius, « quod angeli superiores illuminant subjectos, quod illi ipsi a Deo illuminantur, et fiunt robustiores ad cognoscendas certas veritates. »

(99) *Ἢ ἄλλῳ τινί*, etc. « Sive alii cuipiam rerum Universi præpositas; » cujusmodi sunt angeli custodes, quod Billius non satis distinxit.

(1) *Τάξας*. Comb., ἐπιτάξας.

(2) *Ἐπιθυμίας*. « Meæ » scilicet « cupiditati, » vel « aliorum. » Utroque modo Elias id intelligit.

(3) *Ὀκνῶ γάρ*. Elias hunc locum ex aliorum sententia sic exponit : « Vult quidem Gregorius dicere naturam

(4) *Ἅπαντα*. Reg. Cypr., ἅπαντας.

rerum omnium Conditoris nutum omnia in unum jungunt; divinæ majestatis laudes canunt, ac sempiternam illam gloriam sempiterne intuentur, non ut inde gloriæ Dei aliquid accrescat (nihil enim est, quod ei, qui plenus est, aliisque bonorum auctor, accrescere queat); sed ne etiam primæ illæ post Deum naturæ beneficio affici desinant. Hæc si pro rei dignitate a nobis prædicata sunt, Trinitati, atque uni in tribus personis divinitati gratia habenda est: sin autem cupiditati minus satis factum est, sic quoque orationi palma parata est. In hoc enim, omni dicendi contentione incubuimus, ut ostenderemus, ne ipsam quidem secundarum rerum naturam, hominis mente atque ingenio comprehendi posse, nedum primam illam ac solam, vereor enim dicere, omnibus rebus excelsiorem.

ΛΟΓΟΣ ΚΘ'.

ΘΕΟΛΟΓΙΚΟΣ ΤΡΙΤΟΣ.

A

Περὶ Υἱοῦ.

Α'. Ἃ μὲν οὖν εἴποι τις ἂν ἐπικόπτων τὴν περὶ τὸν λόγον (5) αὐτῶν ἑτοιμότητα, καὶ ταχυτῆτα, καὶ τὸ τοῦ τάχους ἐπισφαλὲς, ἐν πᾶσι μὲν πράγμασι, μάλιστα δὲ ἐν τοῖς περὶ Θεοῦ λόγοις, ταῦτά ἐστιν. Ἐπεὶ δὲ τὸ μὲν ἐπιτιμᾷν, οὐ μέγα· ῥᾷστον γὰρ καὶ τοῦ βουλομένου παντός· τὸ δὲ ἀντεισάγειν τὴν ἑαυτοῦ γνώμην, ἀνδρὸς εὐσεβοῦς καὶ νοῦν ἔχοντος· φέρε, τῷ ἁγίῳ θαῤῥήσαντες Πνεύματι, τῷ παρ' αὐτῶν μὲν ἀτιμαζομένῳ, παρ' ἡμῶν (6) δὲ προσκυνουμένῳ, τὰς ἡμετέρας περὶ τῆς θεότητος ὑπολήψεις (7), αἵτινές ποτέ εἰσιν, ὥσπερ τινὰ τόκον εὐγενῆ τε καὶ ὥριμον, εἰς φῶς προενέγκωμεν. Οὐδὲ ἄλλοτε μὲν σιωπήσαντες (τοῦτο γὰρ μόνον ἡμεῖς νεανικοί τε καὶ μεγαλόφρονες), νῦν δὲ καὶ μᾶλλον παῤῥησιαζόμενοι τὴν ἀλήθειαν· ἵνα μὴ τῇ ὑποστολῇ (8), καθὼς γέγραπται, τὸ μὴ εὐδοκεῖσθαι (9) καταχριθῶμεν. Διττοῦ δὲ ὄντος λόγου (10) παντὸς, τοῦ μὲν τὸ οἰκεῖον κατασκευάζοντος, τοῦ δὲ τὸ ἀντίπαλον ἀνατρέποντος (11)· καὶ ἡμεῖς τὸν οἰκεῖον ἐκθέμενοι πρότερον, οὕτω τὰ τῶν ἐναντίων ἀνατρέψαι πειρασόμεθα· καὶ ἀμφότερα, ὡς οἷόν τε διὰ βραχέων, ἵν' εὐσύνοπτα γένη-

[7] Hebr. x, 38.

ORATIO XXIX[a].

THEOLOGICA TERTIA

De Filio.

I. Hæc quidem sunt, quæ quispiam, ad compescendam eorum disputandi promptitudinem, præcipitemque celeritatem, cum in omnibus rebus, tum maxime in iis disputationibus quæ de Deo habentur, periculosam, afferre possit. Quoniam autem objurgare haud magnum est; perfacile quippe, et cujuslibet hominis: sententiam vero suam subrogare, pii viri est ac mente præditi: age, Spiritus sancti, quem nos **523** quidem adoramus, illi vero contemnunt ac pro nihilo habent, numine atque auxilio freti subnixique, nostram de divinitate fidem, quæcunque tandem illa est, perinde ac
B generosum quemdam et maturum fetum in lucem producamus. Non quod alias unquam tacuerimus (hac enim una duntaxat in re fortes et magnanimi sumus), sed quod nunc majori quoque libertate ac fiducia veritatem profiteamur: ne alioqui ob timiditatem, ut Scripturæ verbo utar [7], hac pœna multemur, ut Deo minime placeamus. Porro cum omnis sermo duplex sit, alter, quo dogmata nostra confirmamus, alter, quo adversaria subver-

naturam divinam exsistere supra universa; sed, ne comparationem instituisse videri possit, veretur. Nam in comparationibus ea est lex, ut ea solum inter se conferantur, quæ sunt ejusdem generis. At increati ad creatum nulla institui potest comparatio, neque Creatoris ad creata. Quapropter ait, metu se impediri, quominus dicat naturam divinam supra universa exsistere, quanquam alioqui hoc verum sit; ne videlicet eum comparare cum aliis videri possit, qui extra comparationem omnem est positus. » Billius vero putat, ὀκνῶ γὰρ εἰπεῖν, idem hic esse, ac si dixisset, ἵνα μὴ εἴπω, « ne dicam. »

[a] Alias XXXV. Quæ autem 29 erat, nunc 20. — Habita anno 380.

(5) *Τὸν λόγον*. Coisl. 1, τῶν λόγων.

(6) *Ἡμῶν*. Or. 1 ad marg., ἡμῖν.

(7) *Ὑπολήψεις*. Vocem hanc plerisque in locis, pro « fide certa et persuasione » usurpat Gregorius. Quare non bene Leuvenk. « conjecturas. »

(8) *Τῇ ὑποστολῇ*. Schol.: Τὸ ὑποστέλλεσθαι δέει καὶ φόβῳ· « Quod metu ac timore nos subducimus. » Ubi autem Vulgata habet, Hebr. x, 38, « Quod si subtraxerit se, non placebit animæ meæ, » Græci legunt, ἐὰν ὑποστείληται, id est, ut exponit Gregorius: « Si in pietatis causa prævaricatorem egerit, nec in ejus defensionem incubuerit, » etc.

(9) *Εὐδοκεῖσθαι*. Coisl. 1, εὐδοκιμεῖσθαι.

(10) *Διττοῦ δὲ ὄντος λόγου*. Similia leguntur apud Athenagoram lib. *De resurrectione mortuorum*, ad calcem operum S. Justini, novæ ed. p. 315, n. 1: Ὅθεν, οἶμαι δεῖν τοῖς περὶ ταῦτα πονουμένοις λόγων διττῶν, τῶν μὲν ὑπὲρ τῆς ἀληθείας, τῶν δὲ περὶ τῆς ἀληθείας· καὶ τῶν μὲν ὑπὲρ τῆς ἀληθείας,
C πρὸς τοὺς ἀπιστοῦντας, ἢ τοὺς ἀμφιβάλλοντας· τῶν δὲ περὶ τῆς ἀληθείας, πρὸς τοὺς εὐγνωμονοῦντας, καὶ μετ' εὐνοίας δεχομένους τὴν ἀλήθειαν· « Hinc iis, qui operam in res hujusmodi insumunt, duplici arbitror opus esse sermone, altero pro veritate, altero de veritate; pro veritate quidem adversus incredulos, aut dubitantes; de veritate autem ad eos, qui æquo sunt animo, et veritatem libenter suscipiunt. » Itaque Gregorius cum Athenagora duplicem secernit disputationem, quæ duplicem postulat sermonem. In primo disputationis genere, dogmata credentibus explicantur; in altero vero veritatis defensio suscipitur, dogmata propugnantur, anticipatæ evelluntur opiniones, et adversariorum tricis occurritur. Inter utramque disputationem istud est discrimen, ut cum eodem Athenagora loquar, quod in altera « mendacium refellitur, » in altera « veritas stabilitur. »

(11) *Ἀνατρέποντος*. Gloss., ἀνασκευάζοντος, « confutamus. »

timus: nos quoque, posteaquam doctrinam nostram potius exposuerimus, ita demum adversariorum placita confutare ac profligare conabimur: et quidem utrumque, quam fieri poterit, brevissime, ut, quæ a nobis dicentur, quasi uno quodam obtutu perspici facile possint (quemadmodum quem illi isagogicum libellum, ad simpliciorum vel stolidiorum potius fraudem excogitarunt), ac non ob sermonis prolixitatem sensa dilabantur, haud secus atque aqua, quæ non canali coercetur, sed per campos diffunditur ac solvitur.

ται (12) τὰ λεγόμενα (ὥσπερ ὃν αὐτοὶ λόγον εἰσαγωγικὸν ἐπενόησαν πρὸς ἐξαπάτην τῶν ἁπλουστέρων ἢ εὐηθεστέρων), καὶ μὴ τῷ μήκει τοῦ λόγου διαχεθῇ τὰ νοούμενα (13), καθάπερ ὕδωρ οὐ σωλῆνι σφιγγόμενον, ἀλλὰ κατὰ πεδίου χεόμενον καὶ λυόμενον.

II. Ut igitur ad rem accedamus, tres antiquissimæ de Deo sententiæ sunt, anarchia, polyarchia et monarchia. Ac duæ quidem priores ab ethnicis lusæ sunt, et sane ludantur. Nam, et quod nullius imperio gubernatur, confusum est ac perturbatum: et quod a pluribus dominis et principibus administratur, factionibus dissidiisque obnoxium est, ac proinde nec a quoquam gubernatur, nec ordine ullo et disciplina continetur. Ambo etiam ista eodem tendunt, nimirum ad ordinis perturbationem, hæc autem ad solutionem; perturbatio quippe solutionis meditatio est. At nos unius principatum colimus; unius autem principatum dico, non quem persona una circumscribit (fieri enim potest ut quod unum **524** est, si a seipso dissideat, secumque discordet, multa fiat), sed quem æqualis naturæ dignitas constituit, et voluntatis consensio, motusque identitas, atque ad unum, eorum, quæ ex ipso sunt, conspiratio (id quod in rebus procreatis fieri nequit), ita ut, etiamsi numero differant, essentia tamen et natura minime distinguantur. Quocirca unitas, principio in binarium mota, in Trinitate constitit. Atque hoc nobis est Pater, et Filius, et Spiritus sanctus; Pater quidem genitor, et productor, citra tamen ullam passionem, ac tempus, atque incorporeo modo: horum autem, alter soboles, alter processio, aut quibus verbis hæc quispiam vocare queat, nescio, ab iis prorsus abstrahens, quæ sub aspectum cadunt. Neque enim bonitatis superfusionem dicere audebimus (tametsi quispiam eorum, qui apud ethnicos philosophiæ laude floruerunt, hoc vocabulo uti non dubitarit, cum de prima et secunda causa dissereret, perspicuis verbis ita loquens: *Velut poculum quoddam superfluxit* [8]), ne coactam quamdam generationem, ac velut naturalem quamdam superfluitatem quæ retineri nequeat, minimeque divinitati congruat, invehamus. Proinde finibus nostris nosmet continentes, ingenitum et genitum inducimus, et ex Patre procedentem ut quodam loco [9] Deus ipse ac Verbum pronuntiavit.

Β'. Τρεῖς αἱ ἀνωτάτω δόξαι περὶ Θεοῦ, ἀναρχία (14), καὶ πολυαρχία, καὶ μοναρχία. Αἱ μὲν οὖν δύο παισὶν Ἑλλήνων ἐπαίχθησαν (15), καὶ παιζέσθωσαν. Τό τε γὰρ ἄναρχον, ἄτακτον· τό τε πολύαρχον, στασιῶδες, καὶ οὕτως ἄναρχον, καὶ οὕτως ἄτακτον. Εἰς ταυτὸν γὰρ ἀμφότερα φέρει, τὴν ἀταξίαν· ἡ δὲ εἰς λύσιν· ἀταξία γὰρ μελέτη λύσεως. Ἡμῖν δὲ μοναρχία, τὸ τιμώμενον· μοναρχία δὲ, οὐχ ἣν ἓν περιγράφει πρόσωπον (ἔστι γὰρ καὶ τὸ ἓν στασιάζον πρὸς ἑαυτὸ πολλὰ καθίστασθαι), ἀλλ' ἣν φύσεως ὁμοτιμία συνίστησι, καὶ γνώμης σύμπνοια, καὶ ταυτότης κινήσεως (16), καὶ πρὸς τὸ ἓν τῶν ἐξ αὐτοῦ σύννευσις (ὅπερ ἀμήχανον ἐπὶ τῆς γεννητῆς (17) φύσεως), ὥστε κἂν ἀριθμῷ διαφέρῃ, τῇ γε οὐσίᾳ (18) μὴ τέμνεσθαι. Διὰ τοῦτο μονὰς ἀπ' ἀρχῆς εἰς δυάδα κινηθεῖσα, μέχρι Τριάδος ἔστη. Καὶ τοῦτό ἐστιν ἡμῖν ὁ Πατὴρ, καὶ ὁ Υἱὸς, καὶ τὸ ἅγιον Πνεῦμα· ὁ μὲν γεννήτωρ καὶ προβολεὺς, λέγω δὲ ἀπαθῶς, καὶ ἀχρόνως, καὶ ἀσωμάτως· τῶν δὲ, τὸ μὲν γέννημα, τὸ δὲ πρόβλημα, ἢ οὐκ οἶδ' ὅπως ἄν τις ταῦτα καλέσειεν, ἀφελὼν πάντη τῶν ὁρωμένων. Οὐ γὰρ δὴ ὑπέρχυσιν ἀγαθότητος εἰπεῖν θαῤῥήσομεν (ὃ τῶν παρ' Ἕλλησι φιλοσοφησάντων εἰπεῖν τις ἐτόλμησεν, *Οἷον κρατὴρ τις ὑπεῤῥύη* (19), σαφῶς οὑτωσὶ λέγων, ἐν οἷς περὶ πρώτου (20) αἰτίου καὶ δευτέρου φιλοσοφεῖ), μήποτε ἀκούσιον τὴν γέννησιν εἰσαγάγωμεν (21), καὶ οἷον περίττωμά τι φυσικὸν καὶ δυσκάθεκτον, ἥκιστα ταῖς περὶ θεότητος ὑπονοίαις (22) πρέπον. Διὰ τοῦτο ἐπὶ τῶν ἡμετέρων ὅρων ἱστάμενοι, τὸ ἀγέννητον εἰσάγομεν, καὶ τὸ γεννητὸν, καὶ τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, ὥς πού φησιν αὐτὸς ὁ Θεὸς καὶ Λόγος.

[8] Plato. [9] Joan. xv, 26.

(12) *Εὐσύνοπτα γένηται.* Reg. Cypr., εὐσύνοπτα γένωνται. Gloss., εὔδηλα, καὶ γνώριμα, καὶ σαφῆ γένηται, « manifesta, et nota, et perspicua fiant. » Mox, εἰσαγωγικόν, « introductorium. »

(13) *Διαχεθῇ τὰ νοούμενα.* Reg. Cypr., διαχυθῇ τὰ λεγόμενα.

(14) *Ἀναρχία*, etc. « Nullius, » vel « plurium, » vel « unius imperium. »

(15) *Ἐπαίχθησαν. Lusæ sunt.* « Hoc verbo utitur Gregorius, » inquit Elias, « quod a rebus ludicris nihil differrent ea, quæ ipsi introducerent, atque in deorum numerum referrent; vel quod omnino digna sint, quibus illudatur. »

(16) *Ταυτότης κινήσεως.* « Motum appellat potentiam et efficacitatem, » inquit Elias.

(17) *Γεννητῆς.* Reg. bm, et Or. 1, γενητῆς.

(18) *Τῇ γε οὐσίᾳ.* Sic Coisl. 1 et 3, aliique melioris notæ codd. Quæ lectio profecto melior est, quam ἐξουσίᾳ, « potentia, » quæ in editis reperitur. Nam Nicæni Patres, ὁμοούσιον, « ejusdem naturæ » seu « essentiæ, » non ὁμοεξούσιον, « ejusdem potentiæ, » Patri Filium esse definierunt.

(19) *Ὑπεῤῥύη.* Duo Regg., quinque Colb., Coisl. 1, et Or. 1, ὑπερεῤῥύη.

(20) *Περὶ πρώτου*, etc. Plato, primam causam, τὸ ἕν, « Unum » statuit; alteram vero, τὸ ὄν, « Ens. »

(21) *Εἰσαγάγωμεν.* Nicet., εἰσάγομεν.

(22) *Ὑπονοίαις.* « Cogitationibus, » seu, « ideis de divinitate minime congruentem. »

Γ'. Πότε οὖν (23) ταῦτα; Ὑπὲρ τὸ *πότε* ταῦτα· A εἰ δὲ δεῖ τι καὶ νεανικώτερον (24) εἰπεῖν, ὅτε ὁ Πατήρ. Πότε δὲ ὁ Πατήρ; Οὐκ ἦν, ὅτε οὐκ ἦν. Τοῦτο οὖν καὶ ὁ Υἱὸς, καὶ τὸ Πνεῦμα τὸ ἅγιον. Πάλιν ἐρώτα με, καὶ πάλιν ἀποκρινοῦμαί σοι. Πότε ὁ Υἱὸς γεγέννηται; Ὅτε ὁ Πατὴρ οὐ γεγέννηται. Πότε δὲ τὸ Πνεῦμα (25) ἐκπεπόρευται; Ὅτε ὁ Υἱὸς οὐκ ἐκπεπόρευται, ἀλλὰ γεγέννηται ἀχρόνως, καὶ ὑπὲρ λόγον· εἰ καὶ μὴ δυνάμεθα τὸ ὑπὲρ χρόνον παραστῆσαι, θέλοντες χρονικὴν ἐκφυγεῖν ἔμφασιν. Τὸ γὰρ *ὅτε*, καὶ *πρὸ τοῦδε*, καὶ *μετὰ ταῦτα*, καὶ *ἀπαρχῆς* (26), οὐκ ἄχρονα, κἂν ὅτι μάλιστα βιαζώμεθα· πλὴν εἰ τὸ (27) παρεκτεινόμενον (28) τοῖς ἀϊδίοις διάστημα τὸν αἰῶνα λαμβάνοιμεν, τὸ μὴ κινήσει τινὶ, μηδὲ ἡλίου φορᾷ μεριζόμενον καὶ μετρούμενον, ὅπερ ὁ χρόνος. Πῶς B οὖν οὐ συνάναρχα, εἰ συναΐδια; Ὅτι ἐκεῖθεν, εἰ καὶ μὴ μετ' ἐκεῖνον (29). Τὸ μὲν γὰρ ἄναρχον, καὶ ἀΐδιον· τὸ δὲ ἀΐδιον, οὐ πάντως ἄναρχον, ἕως ἂν εἰς ἀρχὴν ἀναφέρηται τὸν Πατέρα. Οὐκ ἄναρχα οὖν τῷ αἰτίῳ· δῆλον δὲ τὸ αἴτιον, ὡς οὐ πάντως πρεσβύτερον τῶν ὧν ἐστιν (30) αἴτιον· οὐδὲ γὰρ τοῦ φωτὸς, ἥλιος. Καὶ ἄναρχά πως τῷ χρόνῳ, κἂν σὺ μορμολύττῃ τοὺς ἁπλουστέρους· οὐ γὰρ ὑπὸ χρόνον τὰ ἐξ ὧν ὁ χρόνος.

III. Sed quando hæc? inquient. Nimirum hæc supra *quando* sunt. Quod si etiam audaciuscule aliquid dicendum est, tum hæc erant, cum Pater erat. Quando autem Pater? Nunquam non fuit. Idem de Filio, idem de Spiritu sancto promptum est dicere. Quod si rursus me interroges, rursus tibi respondebo. Quando Filius genitus est? Cum Pater genitus non est. Quando Spiritus processit? Tum cum Filius non processit, sed citra tempus ullum, ac supra omnem rationis humanæ captum genitus est: etiam si id quod supra tempus est, declarare cupientes, temporalem speciem ac significationem fugere nequeamus. Etenim hæ voces, *quando*, *antehac*, *posthac*, *a principio*, temporis neutiquam expertes sunt, quamcunque vim illis inferamus; nisi forte ævum accipiamus, hoc est, intervallum illud, quod simul cum rebus æternis extenditur, nec ullo motu, aut solis cursu (quod quidem tempus est), definitur. Quid **525** ergo, inquies, si Filius et Spiritus sanctus Patri coæterni sunt, quid afferri potest, quin principii quoque, quemadmodum et ille, sint expertes? Quia ab ipso sunt, licet non post ipsum. Quod enim principio caret, æternum quoque est: quod autem æternum est, non protinus quoque principio vacat, quandiu ad Patrem, velut ad principium et originem, refertur. Ergo illi, quantum ad causam, principio minime carent. Perspicuum autem est, causam non continuo antiquiorem esse iis, quorum causa est; neque enim sol lucem tempore antecedit. Quantum autem ad tempus, principii expertes sunt, licet tu verborum larvis simpliciores animos territes. Nec enim tempori subsunt ea, ex quibus tempus originem sumpsit.

Δ'. Πῶς οὖν οὐκ ἐμπαθὴς ἡ γέννησις; Ὅτι ἀσώ- C ματος. Εἰ γὰρ ἡ ἐνσώματος ἐμπαθὴς, ἀπαθὴς ἡ ἀσώματος. Ἐγὼ δέ σε ἀντερήσομαι· Πῶς Θεὸς, εἰ κτίσμα; Οὐ γὰρ Θεὸς τὸ κτιζόμενον· ἵνα μὴ λέγω, ὅτι κἀνταῦθα πάθος, ἂν σωματικῶς λαμβάνηται, οἷον χρόνος, ἔφεσις, ἀνατύπωσις, φροντὶς, ἐλπὶς, λύπη, κίνδυνος, ἀποτυχία, διόρθωσις· ἃ πάντα καὶ πλείω τούτων περὶ τὴν κτίσιν (31), ὡς πᾶσιν εὔδηλον. Θαυμάζω δὲ, ὅτι μὴ καὶ τοῦτο τολμᾷς, συνδυασμούς τινας ἐννοεῖν (32), καὶ χρόνους κυήσεως, καὶ κινδύνους ἀμβλώσεως, ὡς οὐδὲ γεννᾷν ἐγχωροῦν, εἰ μὴ οὕτω γεγέννηκεν· ἢ πάλιν πτηνῶν τινας, καὶ χερσαίων καὶ ἐνύδρων γεννήσεις ἀπαριθμούμενος, τούτων (33) τινὶ τῶν γεννήσεων ὑπάγειν τὴν θείαν καὶ ἀνεκλάλητον, ἢ καὶ τὸν Υἱὸν ἀναιρεῖν (34) ἐκ τῆς D καινῆς (35) σοῦ ὑποθέσεως. Καὶ οὐδ' ἐκεῖνο δύνασαι συνιδεῖν, ὅτι ᾧ διάφορος ἡ κατὰ σάρκα γέννησις (36)

IV. Quomodo ergo a passione immunis est hæc generatio? Quia incorporea. Si enim corporea generatio passionem conjunctam habet, expers utique passionis erit incorporea generandi ratio. Atque ego ex te vicissim quæram: Quomodo Deus erit, si creatura est? Non enim Deus esse potest, quod creatur; ne dicam, quod hic quoque passio sit, si corporeo modo id accipiatur, hoc est, tempus, cupiditas, informatio, cura, spes, mœror, periculum, spei frustratio, correctio: quæ omnia, atque his plura, circa creaturam accidere nemo est qui non facile perspiciat. Demiror autem, quin tu eo quoque audaciæ prorumpas, ut coitus quosdam, et prægnationis tempora, et abortus pericula cogites, perinde ac non aliter gignere potuerit Pater, si non ita genuerit: aut rursus avium quarumdam, aliorumque animalium, quæ vel in terra, vel in aquis

(23) *Πότε οὖν*, etc. Interrogantibus Eunomianis, ut designaretur tempus, in quo, vel « quando » genitus sit Filius, ac processerit Spiritus sanctus, acute respondet Gregorius, genitum fuisse Filium, et processisse Spiritum sanctum ante ipsorum « quando. » Sive, ut in prima editione interpretatur Billius: « priusquam tempus ullum exstitisset. »

(24) *Νεανικώτερον*. Tres Regg., sex Colb., et Or. 1, νεανικῶς.

(25) *Πνεῦμα*. Colb. 1 addit, τὸ ἅγιον, « sanctus. »

(26) *Ἀπαρχῆς*. Or. 1, divisim, ἀπ' ἀρχῆς, « a principio. »

(27) *Εἰ τό*. Coisl. 3, εἰ μὴ τό.

(28) *Παρεκτεινόμενον*. Reg. Cypr., συμπαρεκτεινόμενον.

(29) *Ἐκεῖνον*. Or. 1, aliique non pauci, ἐκεῖνο.

(30) *Ἐστίν*. Deest in pluribus.

(31) *Περὶ τὴν κτίσιν*. *Circa creaturam*. Cum scilicet « gignitur aut parturit. » Billius, « circa creationem. »

(32) *Ἐννοεῖν*. Reg. Cypr., aliique, ἐπινοεῖν.

(33) *Τούτων*. Or. 1 addit, δή.

(34) *Ἀναιρεῖν*. Reg. Cypr., ἐναιρεῖν.

(35) *Καινῆς*. Reg. Cypr., aliique plures, κενῆς, « vanam. »

(36) *Ἡ κατὰ σάρκα γέννησις*. Elias, ἡ κάτω γέννησις, « terrena generatio. »

degunt, generationes enumeres, ac cuipiam harum generationum divinam illam et ineffabilem subjicias, aut etiam Filium per hanc novam hypothesim de medio tollas. Ac ne illud quidem perspicere potes, cujus diversa sit carnalis generatio (alicubi enim apud homines Deiparam Virginem nosti), hujus diversam quoque atque ab aliis discrepantem esse spiritualem generationem: vel, ut rectius dicam, cujus esse ipsum minime idem sit, ejus diversam quoque esse generandi rationem.

(ποῦ γὰρ ἐν τοῖς σοῖς ἔγνως Θεοτόκον Παρθένον), τούτῳ καὶ ἡ πνευματικὴ γέννησις ἐξαλλάττουσα· μᾶλλον δὲ, ᾧ τὸ εἶναι μὴ ταυτὸν, τούτῳ καὶ τὸ γεννᾷν διάφορον.

V. Quisnam ergo est Pater ille principii expers? Is nempe, cujus ne ulla quidem ipsius essentiæ origo reperiri potest. Qui autem aliquando esse cœpit, hic quoque paternitatis suæ principium habuit. **526** Non igitur Pater postea exstitit, quandoquidem nec esse aliquando cœpit: et Pater proprie est, quia non etiam Filius: quemadmodum vicissim Filius proprie filius, quia non etiam Pater. Nam quod ad nos attinet, neutro nomine proprie appellari possumus, quoniam utrumque sumus; neque hoc potius, quam illud; nec ex uno, sed ex utroque parente nascimur, ac proinde dividimur, paulatimque homines efficimur; imo ne homines quidem fortasse, et quales noluimus, tum dimittentes, tum dimissi, adeo ut solæ relationes rebus ipsis orbæ relinquantur. At, inquies, ipsum hoc, *genuit* et *genitus est*, quid aliud quam generationis principium inducit? Ego vero ita respondeo: Quid si ne hoc quidem dixerimus, sed, a principio genitus erat, ut curiosas ipsas ac temporis amicas objectiones nullo negotio fugiamus? An tu crimen nobis inferes, quasi Scripturæ ac veritatis aliquid adulteremur? Nonne cuivis perspicuum est, ac præsertim in Scripturæ usu positum, ut pleraque ex his, quæ temporaliter dicuntur, inversa temporum ratione proferantur, nec ea solum, quæ præteriti temporis sunt, aut præsentis, sed etiam quæ futuri significationem habent? Quo in genere illud est: *Quare fremuerunt gentes* [10]? (Nondum enim fremuerant.) Et, *In flumine pertransibunt pede* [11], id est, pertransierunt. Nimis longum foret omnes hujusmodi voces recensere, quæ a studiosis observatæ sunt.

Ε'. Τίς οὖν ἐστι Πατὴρ οὐκ ἠργμένος; Ὅστις οὐδὲ τοῦ εἶναι (37) ἤρξατο· ᾧ δὲ τὸ εἶναι ἤρξατο (38), τούτῳ καὶ τὸ εἶναι Πατρί (39). Οὐκοῦν Πατὴρ ὕστερον, οὐ γὰρ ἤρξατο· καὶ Πατὴρ κυρίως, ὅτι μὴ καὶ Υἱός· ὥσπερ καὶ Υἱὸς κυρίως, ὅτι μὴ καὶ Πατήρ. Τὰ γὰρ ἡμέτερα, οὐ κυρίως, ὅτι καὶ ἄμφω (40)· οὐ γὰρ τόδε μᾶλλον, ἢ τόδε· καὶ ἐξ ἀμφοῖν ἡμεῖς, οὐχ ἑνὸς, ὥστε μερίζεσθαι (41), καὶ κατ' ὀλίγον ἄνθρωποι· καὶ ἴσως οὐδὲ ἄνθρωποι (42), καὶ οἷοι μὴ τεθελήμεθα, καὶ ἀφιέντες, καὶ ἀφιέμενοι, ὡς μόνας τὰς σχέσεις λείπεσθαι ὀρφανὰς τῶν πραγμάτων. Ἀλλὰ τὸ *ἐγέννησε*, φησὶν, αὐτὸ, καὶ τὸ *γεγέννηται*, τί ἄλλο ἢ ἀρχὴν εἰσάγει γεννήσεως; Τί οὖν ἂν μηδὲ τοῦτο λέγωμεν, ἀλλ' ἦν ἀπ' ἀρχῆς γεγεννημένος, ἵνα σου ῥᾳδίως φύγωμεν τὰς περιέργους ἐνστάσεις, καὶ φιλοχρόνους; Ἆρα γραφὴν ἀποίσεις καθ' ἡμῶν, ὡς παραχαραττόντων τι τῆς Γραφῆς καὶ τῆς ἀληθείας; Ἢ πᾶσιν εὔδηλον, ὅτι πολλὰ τῶν χρονικῶς λεγομένων, ἐνηλλαγμένως τοῖς χρόνοις προφέρεται, καὶ μάλιστα παρὰ τῇ συνηθείᾳ (43) τῆς θείας Γραφῆς, οὐχ ὅσα τοῦ παρεληλυθότος χρόνου μόνον ἐστὶν, ἢ τοῦ παρόντος, ἀλλὰ καὶ ὅσα τοῦ μέλλοντος, ὡς τὸ, *Ἵνα τί ἐφρύαξαν ἔθνη*; οὔπω γὰρ ἐφρυάξαντο· καὶ, *Ἐν ποταμῷ διελεύσονται ποδί*· ὅπερ ἐστὶ, διαβεβήκασιν. Καὶ μακρὸν ἂν εἴη πάσας ἀπαριθμεῖν τὰς τοιαύτας φωνὰς, αἳ τοῖς φιλοπόνοις τετήρηνται.

VI. Atque ad hunc modum se habet hæc illorum objectio. Jam quale illud eorum est, cujusque rixandi libidinis et impudentiæ? Vel volens, inquiunt, Filium genuit, vel nolens. Ac deinde nexibus, ut quidem ipsi putant, utrinque adversarios illigant, non tamen firmis, sed perquam etiam imbecillis. Si enim nolens, inquiunt, vis ergo ei allata est. Et quisnam est qui vim intulit? Et rursus,

Ϛ'. Τοῦτο μὲν δὴ τοιοῦτον. Οἷον δὲ αὐτῶν κἀκεῖνο, ὡς λίαν δύσερι καὶ ἀναίσχυντον; Βουληθεὶς, φασὶ, γεγέννηκε τὸν Υἱὸν, ἢ μὴ βουλόμενος. Εἶτα δεσμοῦσιν, ὡς οἴονται (44), ἀμφοτέρωθεν ἅμμασιν, οὐκ ἰσχυροῖς, ἀλλὰ καὶ λίαν σαθροῖς. Εἰ μὲν γὰρ οὐ θέλων, φασὶ, τετυράννηται. Καὶ τίς ὁ τυραννήσας; Καὶ πῶς ὁ τυραννηθεὶς, Θεός; Εἰ δὲ θέλων, θελήσεως Υἱὸς, ὁ Υἱός· πῶς οὖν ἐκ τοῦ Πατρός· Καὶ καινήν (45)

[10] Psal. II, 1. [11] Psal. LXV, 6.

(37) *Τοῦ εἶναι.* Sic Coisl. 2, sex Colb., Par., etc. In quibusdam, τὸ εἶναι. In ed., τῶν εἶναι.

(38) *Ἤρξατο.* Coisl. 1, οὐκ ἤρξατο. « Cui, ut esset, nulla fuit origo, huic nec ut Pater esset. »

(39) *Πατρί.* Reg. a, et Coisl. 1, Πατήρ. Sed in Reg. a, emendatum.

(40) *Ἄμφω.* « Utrumque sumus, » id est, « filii, quia ab aliis gignimur, et parentes, quia alios gignimus. »

(41) *Μερίζεσθαι.* Id est, « ita ut dividamur in filiationem et paternitatem, in semen paternum et maternum. »

(42) *Καὶ ἴσως οὐδὲ ἄνθρωποι. Ne homines quidem*, etc. « Quia nimirum, » inquit Elias, « abortus, vel monstra quandoque fiunt. » Mox καὶ ἀφιέντες, etc., idem Elias sic exponit: « Tum dimittentes, tum dimissi, cum scilicet parentes filios deserunt, aut ab eis deseruntur; vel etiam, quando parentes, aut filii moriuntur.

(43) *Τῇ συνηθείᾳ.* Heinsius lib. *Exercitationum sacrarum*, pag. 15, legit, τῇ συνεχείᾳ, sicque locum hunc interpretatur: « An vero notum omnibus multa, quæ de temporibus dicuntur, cum mutatione temporum efferri, in ipsa præsertim sacrarum Scripturarum serie, non ea, quæ præteriti tantum sunt temporis, aut præsentis, sed et quæ futuri? Ut cum dicitur: Quare fremuerunt gentes? Nondum enim tum fremuerant. Et, in flumine pertransibunt pede, id est, transierant. »

(44) *Ὡς οἴονται.* Duo Colb., et Bas., ὡς οἷόν τε, « quantum possunt. »

(45) *Καινήν.* Reg. Cypr., κενήν, « vanam. »

A τινα μητέρα τὴν θέλησιν ἀντὶ τοῦ Πατρὸς ἀναπλάττουσιν. Ἓν μὲν οὖν τοῦτο χάριεν αὐτῶν, ἂν τοῦτο λέγωσιν, ὅτι τοῦ πάθους ἀποστάντες, ἐπὶ τὴν βούλησιν καταφεύγουσιν· οὐ γὰρ πάθος (46) ἡ βούλησις. Δεύτερον δὲ, ἴδωμεν τὸ ἰσχυρὸν αὐτῶν, ὅ τι λέγουσιν· ἄριστον δὲ αὐτοῖς συμπλακῆναι πρότερον ἐγγυτέρω. Σὺ δὲ αὐτὸς ὁ λέγων εὐχερῶς ὅ τι ἂν θέλῃς (47), ἐκ θέλοντος ὑπέστης τοῦ σοῦ πατρὸς, ἢ μὴ θέλοντος; Εἰ μὲν γὰρ ἐξ οὐ θέλοντος, τετυράννηται. Τῆς βίας! Καὶ τίς ὁ τυραννήσας αὐτόν; Οὐ γὰρ δὴ τὴν φύσιν ἐρεῖς· ἐκείνη γὰρ ἔχει καὶ τὸ σωφρονεῖν. Εἰ δὲ θέλοντος, ἀπόλωλέ σοι δι' ὀλίγας συλλαβὰς ὁ πατήρ· θελήσεως (48) γὰρ υἱὸς, ἀλλ' οὐ πατρὸς ἀναπέφηνας. Ἀλλ' ἐπὶ τὸν Θεὸν μέτειμι καὶ τὰ κτίσματα, καὶ τὸ σὸν ἐρώτημα προσάγω τῇ σῇ σοφίᾳ (49)· θέλων ὑπέστησεν ὁ Θεὸς (50) τὰ πάντα, ἢ βιασθείς; Εἰ B μὲν βιασθεὶς, κἀνταῦθα ἡ τυραννὶς καὶ ὁ τυραννήσας· εἰ δὲ βουλόμενος, ἐστέρηται τοῦ Θεοῦ, καὶ τὰ κτίσματα, καὶ σὺ μὲν πρὸ τῶν ἄλλων (51), ὁ τοιούτους ἀνευρίσκων λογισμοὺς, καὶ τοιαῦτα σοφιζόμενος· θελήσει (52) γὰρ μέσῃ τοῦ κτίστου διατειχίζεται. Ἀλλ' ἕτερον, οἶμαι, θέλων ἐστὶ (53) καὶ θέλησις, γεννῶν καὶ γέννησις, λέγων καὶ λόγος, εἰ μὴ μεθύομεν· τὰ μὲν ὁ κινούμενος (54), τὰ δὲ οἷον ἡ κίνησις. Οὔκουν θελήσεως, τὸ θεληθὲν (55) (οὐδὲ γὰρ ἕπεται πάντως)· οὐδὲ τὸ γεννηθὲν, γεννήσεως· οὐδὲ τὸ ἀκουσθὲν, ἐκφωνήσεως· ἀλλὰ τοῦ θέλοντος, καὶ τοῦ γεννῶντος (56), καὶ τοῦ λέγοντος. Τὰ τοῦ Θεοῦ δὲ καὶ ὑπὲρ ταῦτα πάντα, ᾧ γέννησίς ἐστιν ἴσως ἡ τοῦ γεννᾷν θέλησις· ἀλλ' οὐδὲν μέσον, εἴ γε καὶ τοῦτο C δεξώμεθα (57) ὅλως, ἀλλὰ μὴ καὶ θελήσεως κρείττων ἡ γέννησις.

quomodo, cui vis allata est, Deus esse potest? Si autem volens, ergo Filius, voluntatis est Filius. Quo igitur modo ex Patre progenitus est? Ita novam quamdam matrem, voluntatem, patris loco comminiscuntur. In hoc quidem argumento, primum hoc scitum ac lepidum est, quod a passione illa, quam tantopere urgebant, abscedentes, ad voluntatem confugiunt; non enim passio est voluntas. Deinde **527** videamus, obsecro, quam vim habeat quod dicunt. Optimum autem fuerit, prius cum ipsis pedem propius conferre. Dic ergo ipse, quisquis es, qui temere, quidquid libido tua tulerit, effutis. Ex volente patre tuo procreatus es, an nolente? Si ex nolente, vis ergo ei allata est. O indignum facinus! Et quis tandem ei vim attulit? Non enim profecto naturam dixeris. Nam ei quoque sua constat castitas. Si autem ex volente patre, pater tibi propter paucas syllabas periit: voluntatis siquidem filius, ac non patris exstitisti. Sed ad Deum et creaturas transeo, ac tuammet quæstionem sapientiæ tuæ admoveo. Volensne Deus universam hanc rerum molem condidit, an nolens et coactus? Si coactus, hic quoque vis adhibita, et quidam qui vim adhibuit. Si autem volens, orbantur Deo, tum aliæ creaturæ, tum tu præ cæteris, qui tales ratiocinationes, talesque verborum captiones excogitas. Intermedia quippe voluntate a Creatore disjunguntur. Verum aliud, ni fallor, est volens, aliud voluntas: aliud gignens, aliud generatio: aliud qui loquitur, aliud sermo, nisi forte temulenti simus. Horum enim alterum est, is qui movet, alterum velut motus ipse. Non ergo voluntatis est, volitum (neque enim hoc prorsus sequitur); nec generationis, quod genitum est, nec locutionis, quod auditum est, sed volentis, et gignentis, et loquentis. At quæ in Deo considerantur, supra hæc quoque omnia sunt, utpote cui generatio fortasse sit ipsa gignendi voluntas; verum nihil est intermedium, si modo hoc quoque omnino admittimus, ac non potius statuimus generationem hanc voluntate sublimiorem et præstantiorem esse.

Ζ'. Βούλει τι προσπαίξω καὶ τὸν Πατέρα; Παρὰ σοῦ γὰρ ἔχω τὰ τοιαῦτα τολμᾷν· θέλων Θεὸς ὁ Πατὴρ, ἢ μὴ θέλων. Καὶ ὅπως ἀποφεύξῃ τὸ σὸν περιδέξιον. Εἰ μὲν δὴ θέλων, πότε τοῦ θέλειν ἠργμένος; Οὐ γὰρ πρὶν εἶναι· οὐδὲ γὰρ ἦν τι πρότερον. Ἢ τὸ μὲν αὐτοῦ θελῆσαν, τὸ δὲ θεληθέν; Μεριστὸς οὖν. D Πῶς δὲ οὐ θελήσεως καὶ οὗτος, κατὰ σὲ, πρόβλημα; Εἰ δὲ οὐ θέλων, τί τὸ βιασάμενον εἰς τὸ εἶναι; Καὶ πῶς Θεὸς, εἰ βεβίασται, καὶ ταῦτα οὐκ ἄλλο τι, ἢ αὐτὸ τὸ εἶναι Θεός; Πῶς οὖν, φησὶ (58), γεγέννηται; Πῶς ἔκτισται, εἴπερ ἔκτισται κατὰ σέ; Καὶ γὰρ καὶ τοῦτο τῆς αὐτῆς ἀπορίας. Τάχα ἂν εἴποις,

VII. Visne in Patrem quoque ipsum cavillis nonnihil ludam? Tu mihi ansam talia audendi præbes. Pater itaque vel volens Deus est, vel nolens. Ac vide qua tandem ratione scitum illud tuum et acutum argumentum effugies. Si volens, quando velle cœpit? Non enim priusquam esset. Neque enim prius quidquam erat. An partim in eo quiddam fuit quod voluit, partim quiddam quod in voluntatem cecidit? Divisibilis igitur erit. Quid autem afferri poterit, quin juxta tuam argumentandi rationem, ipse quoque voluntatis fetus sit? Quod si nolens, quis eum coegit ut esset? Quo etiam modo

(46) *Πάθος*. Sic tres Regg., sex Colb., Or. 1, Par. In ed., πάθους, « passionis. »
(47) *Θέλῃς*. Quinque Colb., ἐθέλῃς.
(48) *Θελήσεως*. Tres Regg., quatuor Colb., et Or. 1, θελήματος.
(49) *Τῇ σῇ σοφίᾳ*. Hæc ironice dicta.
(50) *Ὁ Θεός*. Deest ὁ in pluribus codd.
(51) *Πρὸ τῶν ἄλλων*. Sic tres Regg., et sex Colb. Deest πρό in ed.
(52) *Θελήσει*. Coisl. θέλησις.
(53) *Ἕτερον, οἶμαι, θέλων ἐστί*. Sic tres Regg., et Or. 1. In ed., ἕτερόν ἐστιν, οἶμαι, θέλων.
(54) *Ὁ κινούμενος*. Sic omnes codd. In ed., οὐ κινούμενος.
(55) *Τὸ θεληθέν*. « Volitum. » Hac voce utuntur Scholastici, ad significandum voluntatis objectum. Bill. « Id quod in voluntatem cecidit. »
(56) *Γεννῶντος*. Sic Reg. a, aliique. In ed., γεννήσοντος.
(57) *Δεξώμεθα*. Or. 1, Bas., etc., δεξόμεθα.
(58) *Φησί*. Deest in pluribus Regg., et Or. 1.

ὅτι (59) βουλήσει καὶ λόγῳ. Ἀλλ' οὔπω λέγεις τὸ πᾶν. Πῶς γὰρ ἔργου δύναμιν ἔσχεν ἡ βούλησις καὶ ὁ λόγος; Ἔτι (60) λείπεται λέγειν. Οὐ γὰρ οὕτως ἄνθρωπος.

Deus, si coactus est; et coactus quidem non ad aliud quidquam, quam ad **523** hoc, ut Deus esset? Quomodo, inquis, Filius genitus est? Verum, tu quoque responde, quomodo creatus est? siquidem, ut ipse asseris, creatus est. Nam id quoque eadem difficultate laborat. Dices fortasse, voluntate et sermone. At nondum rem totam expedis. Quomodo enim operis vim voluntas et sermo habuerint? Hoc explicandum adhuc tibi superest. Neque enim homo ita fabricatur.

Η'. Πῶς οὖν γεγέννηται; Οὐκ ἂν ἦν μεγάλη ἡ γέννησις, εἰ σοὶ κατελαμβάνετο, ὃς οὐδὲ τὴν ἰδίαν ἐπίστῃ γέννησιν, ἢ μικρόν τι ταύτης κατείληφας, καὶ ὅσον αἰσχύνῃ λέγειν· ἔπειτα οἴει τὸ πᾶν γινώσκειν; Πολλὰ ἂν κάμοις πρότερον, ἢ εὕροις λόγους συμπήξεως, μορφώσεως, φανερώσεως, ψυχῆς πρὸς σῶμα δεσμὸν, νοῦ πρὸς ψυχὴν, λόγου πρὸς νοῦν, κίνησιν, αὔξησιν, τροφῆς ἐξομοίωσιν, αἴσθησιν, μνήμην, ἀνάμνησιν, τἄλλα ἐξ ὧν συνέστηκας· καὶ τίνα μὲν τοῦ συναμφοτέρου, ψυχῆς, καὶ σώματος· τίνα δὲ τὰ μεμερισμένα, τίνα δὲ ἃ παρ' ἀλλήλων λαμβάνουσιν. Ὧν γὰρ ὕστερον ἡ τελείωσις, τούτων οἱ λόγοι μετὰ τῆς γεννήσεως. Εἰπὲ τίνες· καὶ μηδὲ τότε φιλοσοφήσῃς (61) Θεοῦ γέννησιν· οὐ γὰρ ἀσφαλές. Εἰ μὲν γὰρ τὴν σὴν γινώσκεις, οὐ πάντως καὶ τὴν τοῦ Θεοῦ· εἰ δὲ μηδὲ τὴν σὴν, πῶς τὴν τοῦ Θεοῦ; Ὅσῳ γὰρ Θεὸς ἀνθρώπου δυστεκμαρτότερος (62), τοσούτῳ καὶ τῆς σῆς γεννήσεως ἀληπτοτέρα ἡ ἄνω γέννησις. Εἰ δὲ ὅτι μὴ σοι κατείληπται, διὰ τοῦτο οὐδὲ γεγέννηται (63), ὥρα σοι πολλὰ διαγράφειν τῶν ὄντων, ἃ μὴ κατείληφας, καὶ πρό γε πάντων (64) τὸν Θεὸν αὐτόν· οὐ γὰρ (65) ὅ τί ποτέ ἐστιν εἰπεῖν ἔχεις, καὶ εἰ λίαν τολμηρὸς εἶ, καὶ τὰ περιττὰ μεγαλόψυχος. Κατάβαλέ σου τὰς ῥεύσεις, καὶ τὰς διαιρέσεις, καὶ τὰς τομὰς, καὶ τὸ ὡς περὶ σώματος διανοεῖσθαι τῆς ἀσωμάτου φύσεως· καὶ τάχα ἂν ἄξιόν τι διανοηθείης Θεοῦ (66) γεννήσεως. Πῶς γεγέννηται; Πάλιν γὰρ τὸ αὐτὸ φθέγγομαι δυσχεραίνων· Θεοῦ γέννησις σιωπῇ τιμάσθω. Μέγα σοι τὸ μαθεῖν, ὅτι γεγέννηται. Τὸ δὲ πῶς, οὐδὲ ἀγγέλοις, μὴ ὅτι γε σοὶ ἐννοεῖν συγχωρήσωμεν (67). Βούλει παραστήσω τὸ πῶς; Ὡς οἶδεν ὁ γεννήσας Πατὴρ, καὶ ὁ γεννηθεὶς Υἱός· τὸ δὲ ὑπὲρ ταῦτα, νέφει κρύπτεται, τὴν σὴν διαφεῦγον ἀμβλυωπίαν.

VIII. Quomodo ergo, inquies, genitus est? Haud magna esset hæc generatio, si a te percipi posset, quippe qui ne tuam quidem noris, aut certe exiguam quamdam partem percepisti, quantumque te dicere pudeat. Et postea eam plene tibi cognitam esse censes? Magnus tibi labor prius subeundus est, quam ut rationes eas invenias, quibus constitutus, formatus, ac manifestatus fueris, quibus etiam anima cum corpore, mens cum anima, ratio cum mente quasi vinculis quibusdam astringatur: tum quomodo corpus moveatur, et augeatur, atque alimentum ipsi assimiletur: ad hæc quæ sit sensuum ratio, quæ memoriæ, quæ reminiscentiæ, rerumque cæterarum, ex quibus constas: ac præterea quæ conjunctim utriusque partis sint, quæ divisa et separata, quæ rursus a se invicem accipiant. Quæ enim temporis progressu perfectionem suam consequuntur, eorum certe rationes ipsæ simul cum generatione exstiterunt. Dicas, velim, quæ sint hæ rationes; sed ne tum quidem de Dei generatione pertracta. Nec enim id periculo vacat. Si enim tuam cognoscis, non protinus sequitur, Dei quoque generationem tibi cognitam et exploratam esse. Si autem tua tibi ignota est, quo tandem modo Dei generatio tibi nota erit? Quanto enim difficilius est Dei naturam, quam hominis, indagare, tanto quoque difficilius percipi potest superna illa et divina generatio, quam tua. Quod si, quia eam cognitione assequi nequis, idcirco ne genitum quidem esse contendis, tempus jam tibi fuerit, multa, quæ tu minime percepisti, atque ante omnia Deum quoque ipsum, e rerum natura delere atque oblitterare. Neque enim, quid tandem sit, explicare potes, quamlibet audax sis, atque in supervacaneis rebus strenuus et magnanimus. Tuas illas fluxiones, et divisiones, et sectiones prius abjice, ac de incorporea illa natura, quasi de corporea, disputare desine; atque ita fortasse dignum aliquid generatione divina concipere animo queas. Quomodo genitus est? Idem enim indignabundus repeto. **529** Dei generatio silentii honore decoretur. Abunde magnum tibi est scire, eum genitum esse. Quo autem modo genitus sit, ne ipsis quidem angelis, nedum tibi intelligere concesserim. Vis declarem quomodo? Ut scit Pater, qui genuit, et Filius qui genitus est. Quod supra hæc est, nube obtegitur, animique tui hebetudinem fugit.

Θ'. Ὄντα οὖν γεγέννηκεν, ἢ οὐκ ὄντα. Τῶν ληρημάτων! Περὶ ἐμὲ καὶ σὲ ταῦτα, οἳ τὸ μέν τι ἦμεν, ὥσπερ ἐν τῇ ὀσφύϊ τοῦ Ἀβραὰμ, ὁ Λευΐ· τὸ δὲ γεγόναμεν. Ὥστε ἐξ ὄντων, τρόπον τινὰ τὸ ἡμέτερον, καὶ

IX. Sed argutari pergunt. Exsistentem, vel non exsistentem genuit Pater. O futiles nugas! Hæc enim mihi ac tibi conveniunt, qui partim eramus, ut Levi ille, in lumbis Abrahæ [12], partim procreati

[12] Hebr. VII, 10 sqq.

(59) Ὅτι. Deest in Or. 1, aliisque pluribus.

(60) Ἔτι. Sic tres Regg., quinque Colb., Or. 1, et Comb. In ed., ἔν τι.

(61) Φιλοσοφήσῃς. Reg. bm, φιλοσοφήσεις. Or. 1, φιλοσοφήσοις.

(62) Δυστεκμαρτότερος. « Quanto enim difficilius est Deum per quasdam conjecturas, quam hominem comprehendere, » etc.

(63) Οὐδὲ γεγέννηται. Nempe, « Filius. »

(64) Πάντων. Reg. a, quinque Colb., ἁπάντων.

(65) Οὐ γάρ. Plures codd., οὐδὲ γάρ.

(66) Θεοῦ. Comb., περὶ Θεοῦ.

(67) Συγχωρήσωμεν. Duo Regg., Or. 1, et Comb., συγχωρήσομεν. Locus iste in Or. 1, aliisque pluribus sic legitur: οὐδὲ ἀγγέλοις ἐννοεῖν, μὴ ὅτι γέ σοι νοεῖν συγχωρήσομεν.

A οὐκ ὄντων· ἐναντίως περὶ τὴν ἀρχέγονον ὕλην ὑποστᾶσαν σαφῶς ἐξ οὐκ ὄντων, κἂν τινες (68) ἀγέννητον (69) ἀναπλάττωσιν. Ἐνταῦθα δὲ σύνδρομον τῷ εἶναι τὸ γεγεννῆσθαι (70), καὶ ἀπ' ἀρχῆς. Ὥστε ποῦ θήσεις (71) τὸ ἀμφίκρημνον τοῦτο ἐρώτημα; Τί γὰρ τοῦ ἀπ' ἀρχῆς πρεσβύτερον, ἵν' ἐκεῖ θῶμεν τὸ εἶναί ποτε τοῦ Υἱοῦ, ἢ τὸ μὴ εἶναι; Ἀμφοτέρως γὰρ τὸ, *ἀπ' ἀρχῆς*, λυθήσεται· εἰ μή σοι καὶ ὁ Πατὴρ, πάλιν ἐρωτώντων ἡμῶν, ἐξ ὄντων, ἢ ἐξ οὐκ ὄντων, κινδυνεύσειεν ἢ δὶς εἶναι, ὁ μὲν προὼν, ὁ δὲ ὢν, ἢ ταυτὸν τῷ Υἱῷ παθεῖν, ἐξ οὐκ ὄντων εἶναι, διὰ τὰ σὰ τῶν ἐρωτημάτων παίγνια, καὶ τὰς ἐκ ψάμμων (72) οἰκοδομὰς, αἳ μηδὲ αὔραις ἵστανται. Ἐγὼ μὲν οὖν οὐδέτερον τούτων δέχομαι, καὶ τὴν ἐρώτησίν φημι τὸ ἄτοπον ἔχειν, οὐχὶ τὸ ἄπορον τὴν ἀπάντησιν. Εἰ δὲ σοὶ (73) φαίνεται ἀναγκαῖον εἶναι τὸ ἕτερον ἀλη- B θεύειν ἐπὶ παντὸς, κατὰ τὰς σὰς διαλεκτικὰς ὑπολήψεις, δέξαι μού τι μικρὸν ἐρώτημα· Ὁ χρόνος ἐν χρόνῳ, ἢ οὐκ ἐν χρόνῳ; Εἰ μὲν οὖν ἐν χρόνῳ, τίνι τούτῳ; καὶ τί παρὰ τοῦτον ὄντι; καὶ πῶς περιέχοντι; Εἰ δὲ οὐκ ἐν χρόνῳ, τίς ἡ περιττὴ σοφία, χρόνον εἰσάγειν ἄχρονον; Τοῦ δὲ, *Νῦν ἐγὼ ψεύδομαι*, δὸς τὸ ἕτερον, ἢ ἀληθεύεσθαι (74) μόνον, ἢ ψεύδεσθαι· οὐ γὰρ ἀμφότερα δώσομεν. Ἀλλ' οὐκ ἐνδέχεται. Ἢ γὰρ ψευδόμενος ἀληθεύσει, ἢ ἀληθεύων ψεύσεται· πᾶσα ἀνάγκη. Τί οὖν θαυμαστὸν, ὥσπερ ἐνταῦθα συμβαίνει τὰ ἐναντία, οὕτω κἀκεῖ ἀμφότερα ψεύδεσθαι, καὶ οὕτω σοι τὸ σοφὸν ἠλίθιον ἀναφανήσεται; Ἓν ἔτι μοι λῦσον τῶν αἰνιγμάτων· Σεαυτῷ δὲ γεννωμένῳ παρῆς; πάρει δὲ νῦν; ἢ οὐδέτερον; Εἰ μὲν γὰρ καὶ C παρῆς, καὶ πάρει, ὡς τίς, καὶ τίνι; καὶ πῶς ὁ εἷς ἄμφω γεγόνατε; Εἰ δὲ μηδέτερον τῶν εἰρημένων, πῶς σεαυτοῦ (75) χωρίζῃ; καὶ τίς ἡ αἰτία τῆς διαζεύξεως (76); Ἀλλ' ἀπαίδευτον τὸ (77) περὶ τοῦ ἑνὸς, εἰ ἑαυτῷ πάρεστιν, ἢ μὴ, πολυπραγμονεῖν. Ταῦτα γὰρ ἐπ' ἄλλων, οὐχ ἑαυτοῦ λέγεται. Ἀπαιδευτότερον, εὖ ἴσθι, τὸ ἀπ' ἀρχῆς γεγεννημένον (78), εἰ ἦν πρὸ τῆς γεννήσεως, ἢ οὐκ ἦν, διευθύνεσθαι. Οὗτος γὰρ περὶ τῶν χρόνῳ διαιρετῶν ὁ λόγος.

sumus; ac proinde partim ex entibus, partim ex non entibus sumus: contra quam in primigena illa materia accidit, quæ haud dubie ex non ente procreata est, utcunque eam nonnulli æternam esse confingant. At hic generatio cum essentia ipsa concurrit, atque a principio exstitit. Ubi ergo anceps illud tuum, atque utrinque præceps argumentum pones? Quid enim eo, quod a principio erat, antiquius esse potest, ut illic tempus collocemus, vel quo erat Filius, vel quo non erat? Utroque enim modo illud, *a principio*, dissolvetur et evertetur, nisi forte tibi quoque Pater, percunctantibus rursus nobis, ex entibusne, an ex non entibus sit, bis esse periclitetur, alter nimirum præexsistens, alter exsistens; aut certe propter ludicras tuas interrogationes, atque ex arena constructas domos, quæ ne levibus quidem ventis resistere possunt, idem ei, quod Filio, accidat, hoc est, ex non ente sit. Ego quidem neutrum horum admitto, quæstionemque hanc tuam absurditatis multum, difficultatis nihil habere aio. Quod si tu juxta tuas dialecticas sententias in omni argumento alterutram disjunctionum veram esse oportere existimas, parvam quamdam interrogatiunculam a me accipe. Tempusne in tempore, annon? Si in tempore, quo tandem? Quidque supra hoc exsistente? Ac quomodo hoc continente? Si autem non in tempore, quæ hæc eximia sapientia, tempus temporis expers inducere? Age, hujus sermonis, *Nunc ego mentior*, da alterum, aut duntaxat verum esse, aut falsum: non enim utrumque dabimus. Atqui nullo modo hoc fieri potest. Vel enim mentiens verum dicet, vel mentietur verum dicens. Ita prorsus necesse est. Quid igitur mirum, si quemadmodum hic contraria concurrunt, ita etiam illic utraque pars a vero aberret, atque ita scitum illud et eruditum tuum argumentum stultum atque ineptum appareat? Ac velim mihi hoc etiam ænigma solvas: Aderasne tibi cum gignereris? Adesne etiam nunc tibi? An neutrum **530** horum? Si enim aderas, et ades, quisnam tandem, et cui? Et quomodo unus duo effectus es? Si autem neutrum horum quæ diximus, quomodo a teipso disjungeris? Et quæ disjunctionis hujusce causa? Sed ineptum est, inquies, cum de uno disputatur, adsitne sibi, necne, curiosius inquirere. Hæc enim de aliis, non de seipso dicuntur. Ineptius, mihi crede, est, id, quod a principio erat, utrum ante generationem erat, necne, in quæstionem vocare. Hæc enim disputatio iis demum convenit, quæ tempore dividi possunt.

D Ι'. Ἀλλ' οὐ ταυτὸν, φησὶ, τὸ ἀγέννητον καὶ τὸ γεννητόν. Εἰ δὲ τοῦτο (79), οὐδὲ ὁ Υἱὸς τῷ Πατρὶ ταυτόν. Ὅτι μὲν φανερῶς ὁ λόγος οὗτος ἐκβάλλει τὸν Υἱὸν τῆς θεότητος, ἢ τὸν Πατέρα, τί χρὴ λέγειν; Εἰ γὰρ τὸ ἀγέννητον οὐσία Θεοῦ, τὸ γεννητὸν οὐκ οὐσία· εἰ δὲ τοῦτο, οὐκ ἐκεῖνο. Τίς ἀντερεῖ λόγος; Ἑλοῦ τοί-

X. At enim, inquiunt, non idem sunt genitum et ingenitum; ac proinde, nec Filius cum Patre idem est. Quid opus est dicere, hoc argumento vel Patrem, vel Filium a divinitate manifeste submoveri? Si enim ingenitum essentia Dei est, profecto genitum essentia non erit: aut si hoc, pro-

(68) *Τινες*. Plato in *Timæo*, et Aristoteles hic designantur.
(69) *Ἀγέννητον*. Or. 1, ἀγένητον.
(70) *Τῷ εἶναι τὸ γεγεννῆσθαι*. Reg. a, τὸ εἶναι τῷ γεγεννῆσθαι.
(71) *Θήσεις*. Or. 1, θέσεις.
(72) *Ψάμμων*. Comb., ψάμμου.
(73) *Εἰ δὲ σοί*, etc. « Si tibi necessarium esse videtur alterum ubique verum, » etc.
(74) *Ἢ ἀληθεύεσθαι*. Deest ἢ in duobus Regg.
(75) *Σεαυτοῦ*. In nonnullis, ἑαυτοῦ.
(76) *Τῆς διαζεύξεως*. Sic plures Regg. et Or. 1. Deest τῆς in ed.
(77) *Τό*. Deest in pluribus codd.
(78) *Γεγεννημένων*. « Quod genitum erat. »
(79) *Εἰ δὲ τοῦτο*. « Quod si ita est. »

cui dubio non illud. Quis enim est qui contrarium disputando tueri queat? Quamobrem, utram e duabus impietatibus malis, elige, o nove theologe, siquidem impiam doctrinam omnino amplecti tibi propositum est. Deinde, quomodo ingenitum et genitum non idem esse dicis? Si per hæc verba nihil aliud intelligis, quam id quod increatum et quod creatum, in eadem ipse quoque sum sententia. Neque enim natura idem est quod principio caret, et quod procreatum est. Sin autem his verbis eum, qui genuit, et eum, qui genitus est, accipis, haudquaquam recte id abs te dicitur. Idem enim omnino esse necesse est. Hæc quippe geniti natura est, ut idem, si naturam spectes, sit cum eo qui genuit. Vel ad hunc rursus modum agamus: Quid per ingenitum ac genitum intelligis? Si ipsam ingeniti et geniti proprietatem, non idem sunt. Sin autem ea, quibus hæc insunt, quid vetat quominus idem sint? Quandoquidem quod insipiens est, et sapiens, inter se quidem non idem sunt; verum circa eumdem hominem considerantur: nec substantias scindunt, sed circa eamdem substantiam scinduntur. Quid? An etiam immortalitas, et innocentia, et immutabilitas, essentia Dei sunt? At si ita est, multæ Dei essentiæ erunt, non una: aut certe compositus ex his Deus erit. Neque enim hæc citra compositionem esse queunt, si modo essentiæ sunt.

A νυν τῶν ἀσεβειῶν ὁποτέραν βούλει, ὦ καινὲ (80) θεολόγε, εἴπερ ἀσεβεῖν πάντως ἐσπούδακας. Ἔπειτα, πῶς οὐ ταυτὸν λέγεις (81) τὸ ἀγέννητον καὶ τὸ γεννητόν; Εἰ μὲν τὸ μὴ ἐκτισμένον, καὶ ἐκτισμένον, κἀγὼ δέχομαι· οὐ γὰρ ταυτὸν τῇ φύσει τὸ ἄναρχον καὶ τὸ κτιζόμενον. Εἰ δὲ τὸ γεγεννηκὸς, καὶ τὸ γεγεννημένον, οὐ ταυτὸν λέγεις, οὐκ ὀρθῶς λέγεται. Ταυτὸν γὰρ εἶναι πᾶσα ἀνάγκη· αὕτη γὰρ φύσις γεννήτορος καὶ γεννήματος (82), ταυτὸν εἶναι τῷ γεγεννηκότι κατὰ τὴν φύσιν τὸ γέννημα (83). Ἢ οὕτω πάλιν· Πῶς λέγεις τὸ ἀγέννητον καὶ τὸ γεννητόν; Εἰ μὲν γὰρ (84) τὴν ἀγεννησίαν αὐτὴν καὶ τὴν γέννησιν, οὐ ταυτόν (85)· εἰ δὲ οἷς ὑπάρχει ταῦτα, πῶς οὐ ταυτόν; Ἐπεὶ καὶ τὸ ἄσοφον, καὶ τὸ σοφὸν, ἀλλήλοις μὲν οὐ ταυτὰ, περὶ ταυτὸν δὲ τὸν ἄνθρωπον· καὶ οὐκ οὐ-
B σίας τέμνει, περὶ δὲ τὴν αὐτὴν οὐσίαν τέμνεται. Ἢ καὶ τὸ ἀθάνατον, καὶ τὸ ἄκακον, καὶ τὸ ἀναλλοίωτον οὐσία Θεοῦ; Ἀλλ' εἰ τοῦτο, πολλαὶ οὐσίαι Θεοῦ, καὶ οὐ μία· ἢ σύνθετον ἐκ τούτων τὸ Θεῖον· οὐ γὰρ ἀσυνθέτως ταῦτα, εἴπερ οὐσίαι.

XI. Hæc quidem haud dicunt. Communia quippe aliorum quoque sunt. Quod autem solius Dei est, ipsique proprie **531** convenit, hoc ipsi essentia est. Atqui solius Dei ingenitum esse, minime illi concesserint, qui materiam quoque et formam, ut ingenitas, induxerunt. Manichæorum enim tenebras longius adhuc projiciamus. Sed sit sane solius Dei ingenitum. Quid Adam? Nonne solus a Deo effictus est? Maxime, inquies. Utrum ergo solus quoque homo? Minime. Quare? Quia effictio humanitas non est. Nam is quoque, qui progenitus est, homo est. Eodem modo nec ingenitum solum Deus est, etsi solius Patris. Verum admitte etiam eum qui genitus est, Deum esse. Ex Deo quippe est, quamlibet tu ingenito faveas. Ad hæc quomodo Dei essentiam dicis, non ejus, quod est, positionem, sed ejus, quod non est detractionem? Vox enim ingeniti significat, eum quidem generationis expertem esse, non autem declarat quidnam natura sua sit id quod generatione caret. Quænam ergo est Dei essentia? Tuæ est dementiæ hoc dicere, qui generationem quoque ipsam anxie perscrutaris: nobis autem

ΙΑ'. Ταῦτα μὲν οὔ φασι· κοινὰ γὰρ καὶ ἄλλων (86). Ὃ δὲ μόνου Θεοῦ καὶ ἴδιον, τοῦτο οὐσία. Οὐκ ἂν μὲν συγχωρήσαιεν εἶναι μόνου Θεοῦ τὸ ἀγέννητον, οἱ καὶ τὴν ὕλην (87) καὶ τὴν ἰδέαν συνεισάγοντες, ὡς ἀγέννητα. Τὸ γὰρ Μανιχαίων πορρωτέρω ῥίψωμεν
C σκότος (88). Πλὴν ἔστω μόνου Θεοῦ. Τί δὲ ὁ Ἀδάμ; οὐ μόνος πλάσμα Θεοῦ; Καὶ πάνυ, φήσεις. Ἆρ' οὖν καὶ μόνος ἄνθρωπος; Οὐδαμῶς. Τί δή ποτε; Ὅτι μὴ ἀνθρωπότης (89) ἡ πλάσις· καὶ γὰρ τὸ γεννηθὲν, ἄνθρωπος. Οὕτως οὐδὲ τὸ ἀγέννητον μόνον Θεὸς, εἰ καὶ μόνου Πατρός. Ἀλλὰ δέξαι καὶ τὸ γεννητὸν εἶναι Θεόν· ἐκ Θεοῦ γὰρ, εἰ καὶ λίαν εἶ φιλαγέννητος. Ἔπειτα, πῶς οὐσίαν Θεοῦ λέγεις, οὐ τὴν τοῦ ὄντος θέσιν, ἀλλὰ τὴν τοῦ μὴ ὄντος ἀναίρεσιν; Τὸ γὰρ μὴ ὑπάρχειν αὐτῷ γέννησιν, ὁ λόγος δηλοῖ, οὐχ ὃ τὴν φύσιν ἐστὶ παρίστησιν, οὐδ' ὃ ὑπάρχει (90) τὸ μὴ ἔχον γέννησιν. Τίς οὖν οὐσία Θεοῦ; Τῆς σῆς ἀπονοίας τοῦτο λέγειν, ὃς πολυπραγμονεῖς καὶ τὴν γέννησιν· ἡμῖν δὲ μέγα, κἂν (91) εἴποτε καὶ εἰς (72) ὕστερον τοῦτο μάθοιμεν, λυθέντος ἡμῖν τοῦ ζόφου καὶ τῆς πα-
D χύτητος, ὡς ἡ τοῦ (93) ἀψευδοῦς ὑπόσχεσις. Τοῦτο μὲν οὖν καὶ νοείσθω, καὶ ἐλπιζέσθω τοῖς ἐπὶ τούτῳ

(80) *Καινέ*. Tres Colb., Coisl. 1 et Or. 1, κενέ, « vane. »

(81) *Οὐ ταυτὸν λέγεις*. Hæc desunt in pluribus Regg. et Colb., ac in Or. 1.

(82) *Αὕτη γὰρ φύσις γεννήτορος καὶ γεννήματος*. « Hæc quippe gignentis et prolis natura est, ut idem per naturam cum gignente sit: » quod natura scilicet, ratione generationis, utrique communis sit. Deest γεννήτορος in tribus Regg., quinque Colb. et Or. 1, nec Billius agnoscit.

(83) *Τὸ γέννημα*. Deest in duobus Regg. et quinque Colb.

(84) *Γάρ*. Deest in duobus Regg. et Or. 1.

(85) *Ταυτόν*. Comb., τὸ αὐτόν.

(86) *Κοινὰ γὰρ καὶ ἄλλων*. « Hæc quippe aliis etiam communia sunt, » nimirum, angelis, quibus conveniunt quoque immortalitas, innocentia et immutabilitas.

(87) *Οἱ καὶ τὴν ὕλην*. Platonem carpit.

(88) *Ῥίψωμεν σκότος*. Or. 1, secunda manu, ῥίψομεν. Manichæi, juxta Eliam, « tenebras ingenitas » agnoscebant.

(89) *Μὴ ἀνθρωπότης*, etc. « Humanitas in hoc sita non est, ut quis effictus sit. »

(90) *Οὐδ' ὃ ὑπάρχει*. Sic duo Regg., Coisl. 1, Or. 1, etc. Deest ὃ in ed.

(91) *Κἄν*. A Combefisio rejicitur.

(92) *Καὶ εἰς*. Deest εἰς in Reg. a.

(93) *Ὡς ἡ τοῦ*. Coisl. 1, ὡς, φησὶν, ἡ τοῦ.

καθαιρομένοις. Ἡμεῖς δὲ τοσοῦτον εἰπεῖν θαῤῥήσωμεν (94), ὅτι εἰ καὶ μέγα τῷ Πατρὶ, τὸ μηδαμόθεν ὡρμῆσθαι, οὐκ ἔλαττον τῷ Υἱῷ, τὸ ἐκ τοιούτου Πατρός. Τῆς τε γὰρ τοῦ ἀναιτίου δόξης μετέχοι ἂν, ὅτι ἐκ τοῦ ἀναιτίου, καὶ πρόσεστι τὸ τῆς γεννήσεως πρᾶγμα τοσοῦτον, καὶ οὕτω σεβάσμιον (95) τοῖς μὴ πάντη χαμαιπετέσι (96) καὶ ὑλικοῖς τὴν διάνοιαν.

abunde magnum atque amplum fuerit, si in posterum quoque discamus, soluta videlicet hac caligine et crassitie [13], ut pollicitus est is, qui non mentitur [14]. Ergo hoc ab his, qui ad eam rem sese perpurgant, cogitetur, ac speretur. Nos autem hoc duntaxat dicere non dubitabimus, si magnum Patri est a nullo profectum esse, non minus illustre Filio esse, ex tali Patre prodiisse. Nam præterquam quod gloriæ illius, qui causam a nullo habet, particeps est, quia ex eo est, accedit etiam generationis decus, res tanta, tamque veneranda, iis utique, qui non omnino humi provoluti sunt, crassoque animo præditi.

ΙΒʹ. Ἀλλ' εἰ ταυτὸν, φασὶ, ὁ Υἱὸς τῷ Πατρὶ (97) κατ' οὐσίαν, ἀγέννητος δὲ ὁ Πατὴρ, ἔσται τοῦτο καὶ ὁ Υἱός. Καλῶς, εἴπερ οὐσία Θεοῦ τὸ ἀγέννητον, ἵν' ᾖ τις καινὴ μίξις, γεννητοαγέννητον (98). Εἰ δὲ περὶ οὐσίαν ἡ διαφορὰ, τί τοῦτο, ὡς ἰσχυρὸν, λέγεις; ἢ καὶ σὺ πατὴρ τοῦ πατρὸς, ἵνα μηδενὶ λείπῃ τοῦ σοῦ πατρὸς, ἐπειδὴ ταυτὸν εἶ κατ' οὐσίαν; Ἢ δῆλον, ὅτι, τῆς ἰδιότητος (99) ἀκινήτου μενούσης, ζητήσομεν οὐσίαν Θεοῦ, ἥτις ποτέ ἐστιν, εἴπερ ζητήσομεν; Ὅτι δὲ οὐ ταυτὸν ἀγέννητον καὶ Θεὸς, ὧδε ἂν μάθοις· Εἰ ταυτὸν ἦν, ἔδει πάντως, ἐπειδὴ τινῶν Θεὸς ὁ Θεὸς, τινῶν εἶναι καὶ τὸ ἀγέννητον· ἢ ἐπεὶ μηδενὸς τὸ ἀγέννητον, μηδὲ τὸν Θεὸν εἶναι τινῶν· τὰ γὰρ πάντη ταυτὰ, καὶ ὁμοίως ἐκφέρεται. Ἀλλὰ μὴν οὐ τινῶν τὸ ἀγέννητον, τίνων γάρ; καὶ τινῶν Θεὸς ὁ Θεὸς, πάντων γάρ. Πῶς οὖν ἂν εἴη ταυτὸν Θεὸς καὶ ἀγέννηνον; Καὶ πάλιν, ἐπειδὴ τὸ ἀγέννητον, καὶ τὸ γεννητὸν ἀντίκειται ἀλλήλοις, ὡς ἕξις καὶ στέρησις, ἀνάγκη καὶ οὐσίας εἰσαχθῆναι (1) ἀντικειμένας ἀλλήλαις, ὅπερ οὐ δέδοται. Ἢ, ἐπειδὴ πάλιν αἱ ἕξεις τῶν στερήσεων πρότεραι, καὶ ἀναιρετικαὶ τῶν ἕξεων αἱ στερήσεις, μὴ μόνον πρεσβυτέραν εἶναι τῆς τοῦ Πατρὸς οὐσίας τὴν τοῦ Υἱοῦ, ἀλλὰ καὶ ἀναιρουμένην ὑπὸ τοῦ Πατρὸς, ὅσον ἐπὶ ταῖς σαῖς ὑποθέσεσι.

XII. Sed si Filius, inquiunt, essentiæ ratione idem cum Patre est, profecto, cum ingenitus sit Pater, ingenitus quoque Filius erit. Recte, si ingenitum essentia Dei esset, ut sic nova quædam mistio esset genito-ingenitum. Cum autem hoc discrimen circa essentiam consideretur, quid tu hoc quasi firmum quiddam profers? An tu quoque patris pater es, ut nulla re a patre tuo supereris, quandoquidem essentia idem cum eo es? Nonne perspicuum est, proprietate fixa et stabili permanente, quærendum nobis esse quæ sit Dei essentia, si tamen ea ullo modo quærenda est? Quod autem ingenitum et Deus idem non sint, hinc fere intelliges. Si enim idem essent, prorsus **532** oporteret, quoniam Deus quorumdam Deus est, quorumdam quoque ingenitum esse: aut contra, quoniam ingenitum nullius est, nec Deum quoque quorumdam esse. Nam quæ omnino eadem sunt, similiter etiam efferuntur. At ingenitum non quorumdam est (quorum enim?), Deus vero quorumdam Deus est, omnium quippe. Quo ergo modo idem erunt Deus et ingenitum? Ac rursus, quoniam ingenitum et genitum inter se opponuntur, ut habitus et privatio, substantias quoque inter se oppositas induci necesse est, quod nemo concesserit. Aut rursus, quoniam habitus privationibus priores sunt, ac privationes habitus ipsos exstinguunt, non solum antiquior erit Filii essentia, quam Patris, sed etiam, juxta hypotheses tuas, a Patre exstinguetur, ac de medio telletur.

ΙΓʹ. Τίς ἔτι λόγος αὐτοῖς τῶν ἀφύκτων; Τάχα ἂν ἐπ' ἐκεῖνο καταφύγοιεν τελευταῖον, ὡς Εἰ μὲν οὐ πέπαυται τοῦ γεννᾷν ὁ Θεὸς, ἀτελὴς ἡ γέννησις. Καὶ πότε παύσεται; Εἰ δὲ πέπαυται, πάντως καὶ ἤρξατο. Πάλιν οἱ σωματικοὶ τὰ σωματικά (2). Ἐγὼ δὲ, εἰ μὲν ἀΐδιον αὐτῷ τὸ γεννᾶσθαι ἢ μὴ, οὔπω λέγω, ἕως ἂν τὸ, *Πρὸ πάντων βουνῶν γεννᾷ με*, ἀκριβέστερον (3) ἐπισκέψωμαι. Οὐχ ὁρῶ δὲ, τίς ἡ ἀνάγκη τοῦ λόγου. Εἰ γὰρ ἦρκται κατ' αὐτοὺς τὸ παυσόμενον, οὐκ ἦρκται πάντως τὸ μὴ παυσόμενον. Τί τοίνυν ἀποφανοῦνται περὶ ψυχῆς, ἢ τῆς ἀγγελικῆς φύσεως; Εἰ μὲν ἦρκται, καὶ παύσεται· εἰ δὲ οὐ παύσεται, δῆλον, ὅτι κατ' αὐτοὺς οὐδὲ ἦρκται. Ἀλλὰ μὴν καὶ ἦρκται,

XIII. Quid adhuc superest ex ineluctabilibus ipsorum, ut putant, argumentis? Fortasse ad illud postremum confugient: Si Deus gignendi finem non fecit, imperfecta est generatio. Et quando finem facturus est? Si autem gignere cessavit, omnino quoque cœpit. Sic rursus crassi et corporis rebus affixi homines corporeas ratiocinationes afferunt. Ego vero sic respondeo: Sempiternumne sit Filio nasci, necne, nondum dico, quoadusque illud Scripturæ: *Ante omnes colles gignit me* [15], accuratius expendero. Illud autem non video, quam necessarium sit hoc eorum argumentum. Si enim, ut ipsi aiunt, aliquando id cœpit, quod finem habiturum

[13] I Joan. III, 2. [14] Tit. I, 2. [15] Prov. VIII, 25.

(94) *Θαῤῥήσωμεν*. Duo Regg., Or. 1 et Comb., θαῤῥήσομεν.
(95) *Σεβάσμιον*. Reg. a, σεμνόν.
(96) *Χαμαιπετέσι*. Coisl. 1, χαμερπέσι.
(97) *Τῷ Πατρί*. Deest in Reg. bm.
(98) *Γεννητοαγέννητον*. Bill. ad marg., γέννητα γέννητον.
(99) *Ἰδιότητος*. Par., ἀϊδιότητος.
(1) *Εἰσαχθῆναι*. Comb., ἀντεισαχθῆναι.
(2) *Οἱ σωματικοὶ τὰ σωματικά*. «Corporei corporea.»
(3) *Ἀκριβέστερον*. Reg. bm, quatuor Colb. et Or. 1, ἀκριβῶς.

est, profecto id non cœpit, quod finem non est habiturum. Quid ergo de anima vel de angelica natura pronuntiabunt? Si principium habuit, finem quoque habebit : si autem fine carebit, secundum eos utique principio quoque hanc caruisse constat. Atqui et principium habuit, nec unquam esse desinet. Falsum est itaque quod aiunt, id, quod finem habiturum est, principium quoque habuisse. Enimvero doctrina nostra hæc est : Ut equi, et bovis, et hominis, ac denique uniuscujusque earum rerum, quæ sub idem genus cadunt, eadem est definitio ; ac quidquid definitionis hujusce particeps est, hoc etiam proprie dicitur ; quidquid autem particeps non est, hoc vel non dicitur, vel certe improprie dicitur : eodem modo unam quoque Dei essentiam, et naturam, et appellationem esse, tametsi per cogitationes quasdam distinctas, nomina quoque simul distinguantur : et quod quidem proprie dicitur, id etiam Deum esse ; et rursus quod natura sua sit, hoc quoque proprie nuncupari : siquidem **533** non in nudis nominibus, sed in rebus nobis veritas sita est. At isti perinde ac pertimescant, ne quid adversus veritatem immotum relinquant, Deum quidem Filium esse fatentur, cum Scripturæ ac auctoritatum testimoniis opprimantur ; sed æquivoce Deum dici, ac nominis solius participem esse contendunt.

A καὶ οὐ παύσεται. Οὐκ ἄρα ἦρκται κατ' αὐτοὺς τὸ παυσόμενον. Ὁ μὲν οὖν ἡμέτερος λόγος· Ὥσπερ ἵππου, καὶ βοὸς, καὶ ἀνθρώπου, καὶ ἑκάστου τῶν ὑπὸ τὸ αὐτὸ εἶδος, εἷς λόγος (4) ἐστίν· καὶ ὃ μὲν ἂν μετέχῃ τοῦ λόγου, τοῦτο καὶ κυρίως λέγεσθαι (5)· ὃ δ' ἂν μὴ μετέχῃ, τοῦτο ἢ μὴ λέγεσθαι, ἢ μὴ κυρίως λέγεσθαι· οὕτω δὲ καὶ Θεοῦ μίαν οὐσίαν εἶναι καὶ φύσιν, καὶ κλῆσιν, κἂν ἐπινοίαις τισὶ διαιρουμέναις συνδιαιρῆται καὶ τὰ ὀνόματα· καὶ ὃ μὲν ἂν κυρίως λέγηται, τοῦτο καὶ εἶναι Θεόν· ὃ δ' ἂν ᾖ κατὰ φύσιν, τοῦτο καὶ ἀληθῶς ὀνομάζεσθαι· εἴπερ μὴ ἐν ὀνόμασιν, ἀλλ' ἐν πράγμασίν ἐστιν ἡμῖν ἡ ἀλήθεια. Οἱ δὲ, ὥσπερ δεδοικότες, μὴ πάντα κινεῖν κατὰ τῆς ἀληθείας, Θεὸν μὲν εἶναι τὸν Υἱὸν ὁμολογοῦσιν, ὅταν βιασθῶσι τῷ λόγῳ καὶ ταῖς μαρτυρίαις (6)· ὁμώνυμον δὲ καὶ μόνης κοινωνοῦντα B τῆς κλήσεως.

XIV. Cum autem hanc ipsis objectionem subjicimus : Quid ergo? non proprie Deus est Filius, quemadmodum id quod pictum est, non est animal? Quomodo ergo Deus, si Deus proprie non est? Respondent : Quid prohibet, quominus, et hæc æquivoca sint, et proprie utrumque dicatur? Ac nobis, et terrestrem, et marinum canem proferent, qui, cum sub eodem nomine diversam significationem habeant, proprie tamen dicuntur. (Est enim hujusmodi quoque species quædam inter æquivoca ; et si quid aliud, quod eadem appellatione utatur, ejusque peræque particeps sit, cum interim naturæ ratione dissideat.) At, vir optime, cum illic duas naturas sub eadem appellatione collocas, neutram altera præstantiorem introducis ; nec alteram priorem, alteram posteriorem ; nec denique alteram quæ magis, alteram quæ minus sit id quod esse dicitur. Neque enim quidquam conjunctum est, quod hanc ipsis necessitatem afferat. Non enim hic canis magis canis est, quam ille canis, hoc est, marinus magis quam terrestris, vel contra, terrestris magis quam marinus ; cur enim, aut qua ratione? Sed in rebus, diversis quidem illis, verum pari honore præditis, communis est appellatio. Hic vero, cum Deo venerationem adjungas, cumque supra omnem essentiam et naturam esse dicas (quod Dei solius est, et velut divinitatis natura), ac deinde Patri quidem hoc tribuas, Filium autem prives, atque subjicias, secundasque illi honoris et adorationis partes assignes, quamvis verborum syllabis æqua-

ΙΔ'. Ὅταν δὲ ἀνθυποφέρωμεν αὐτοῖς, Τί οὖν; οὐ κυρίως (7) Θεὸς ὁ Υἱὸς, ὥσπερ οὐδὲ ζῶον τὸ γεγραμμένον; πῶς οὖν Θεὸς, εἰ μὴ κυρίως Θεός; Τί γὰρ κωλύει, φασὶ, καὶ ὁμώνυμα ταῦτα εἶναι, καὶ κυρίως ἀμφότερα λέγεσθαι; Καὶ προσοίσουσιν ἡμῖν τὸν κύνα, τὸν χερσαῖον, καὶ τὸν θαλάττιον, ὁμώνυμά τε ὄντα, καὶ κυρίως (8) λεγόμενα (ἔστι γάρ τι καὶ τοιοῦ- C τον εἶδος ἐν τοῖς ὁμωνύμοις· καὶ εἴτε τι ἄλλο τῇ αὐτῇ προσχρῆται (9) προσηγορίᾳ, καὶ μετέχει ταύτης ἐπίσης, τῇ φύσει διεστηκός). Ἀλλ' ἐκεῖ μὲν, ὦ βέλτιστε, δύο φύσεις τιθεὶς ὑπὸ τὴν αὐτὴν προσηγορίαν, οὐδὲν ἀμείνω τὴν ἑτέραν τῆς ἑτέρας εἰσάγεις, οὐδὲ τὴν μὲν πρότερον, τὴν δὲ ὕστερον, οὐδὲ τὴν μὲν μᾶλλον, τὴν δὲ ἧττον οὖσαν τοῦθ' ὅπερ λέγεται. Οὐδὲ γάρ τι συνέζευκται τὸ ταύτην παρέχον αὐταῖς τὴν ἀνάγκην. Οὐ γὰρ ὁ μὲν μᾶλλον κύων, ὁ δὲ ἧττον τοῦ ἑτέρου κυνὸς, οἷον ὁ θαλάττιος τοῦ χερσαίου, ἢ ὁ χερσαῖος ἔμπαλιν τοῦ θαλαττίου· διὰ τί γὰρ, ἢ κατὰ τίνα λόγον; Ἀλλ' ἐν ὁμοτίμοις πράγμασι καὶ διαφόροις, ἡ κοινωνία τῆς κλήσεως. Ἐνταῦθα δὲ τῷ Θεῷ παραζευγνὺς τὸ σεβάσμιον, καὶ τὸ ὑπὲρ πᾶσαν οὐσίαν εἶναι καὶ φύσιν, ὃ μόνου Θεοῦ καὶ οἱονεὶ φύσις θεότητος, εἶτα τῷ Πα- D τρὶ μὲν τοῦτο διδοὺς, τὸν Υἱὸν δὲ ἀποστερῶν καὶ ὑποτιθεὶς, καὶ τὰ δεύτερα νέμων αὐτῷ τῆς τιμῆς καὶ τῆς προσκυνήσεως, κἂν ταῖς συλλαβαῖς χαρίζῃ τὸ ὅμοιον, τῷ πράγματι τὴν θεότητα περικόπτεις, καὶ μεταβαίνεις κακούργως ἀπὸ τῆς τὸ ἴσον ἐχούσης ὁμωνυμίας, ἐπὶ τὴν τὰ μὴ ἴσα συνδέουσαν. Ὥστε ὁ γραπτός σοι, καὶ ὁ ζῶν ἄνθρωπος μᾶλλον, ἢ οἱ τοῦ ὑποδείγματος κύνες τῇ θεότητι πλησιάζουσιν. Ἢ δὸς (10) ἀμφοτέ-

(4) *Λόγος*. Tres Colb., ὅρος, « definitio. » Recte quidem ; atque hic etiam λόγος eamdem significationem habere debet.

(5) *Λέγεσθαι*. Bas. ed., λέγεται.

(6) *Λόγῳ καὶ ταῖς μαρτυρίαις*. « Ex Scriptura et auctoritatibus. » Putamus hic « Scripturam sacram » per vocem λόγῳ significari ; non autem « rationem, » ut vertit Bill., quæ profecto ad asserendam Verbi divinitatem non est idonea.

(7) *Τί οὖν ; οὐ*. Sic Reg. b, Comb., etc. In ed., τί οὖν ὁ.

(8) *Ὄντα, καὶ κυρίως*. Sic Or. 1, aliique codd. In ed., τὰ ὄντα κυρίως.

(9) *Προσχρῆται*. Comb., προσκέχρηται.

(10) *Ἢ δός*, etc. « Vel largire utrique æqualem naturæ dignitatem, » etc. Nempe, ex suppositione

ροις, ὥσπερ τὴν κοινωνίαν τῆς κλήσεως, οὕτω δὲ καὶ τὴν ὁμοτιμίαν τῶν φύσεων (11), εἰ καὶ διαφόρους ταύτας εἰσάγεις· καὶ καταλέλυκάς σου τοὺς κύνας, οὓς ἐξεῦρες κατὰ τῆς ἀνισότητος. Τί γὰρ ὄφελος τῆς ὁμωνυμίας, εἰ τὸ ἰσότιμον μὴ ἔχοιεν (12) οἱ παρὰ σοῦ διαιρούμενοι. Οὐ γὰρ ἵν' (13) ἰσότιμα δείξῃς, ἀλλ' ἵνα ἀνισότιμα, πρὸς τὴν ὁμωνυμίαν, καὶ τοὺς κύνας κατέφυγες. Πῶς ἄν τις ἐλεγχθείη μᾶλλον, καὶ ἑαυτῷ μαχόμενος, καὶ Θεότητι;

A litatem ipsi largiaris, re ipsa tamen divinitatem ei amputas, ac veteratorie ab hoc homonymiæ genere, quod æqualitatem complectitur, ad genus illud transis, quod res æquales minime connectit. Ac proinde, ut quidem argumentari instituis, pictus ille ac vivus homo, ad divinitatem adumbrandam propius accedunt, quam canes, quos exempli causa proposuisti. Alioqui utrique, ut nomen commune, sic etiam parem naturæ dignitatem tribue, etiamsi diversas eas inducis; atque ita canes illos tuos deleveris, quos ad probandam Patris ac Filii inæqualitatem **534** excogitasti. Quis enim homonymiæ fructus, si dignitate pares sint, qui a te dividuntur? Nec enim, ut eos honore æquales, sed ut dispares ostenderes, ad homonymiam illam, et canes confugisti. Quonam modo quispiam magis convinci queat, et secum ipse, et cum divinitate pugnare?

IE'. Ἐὰν δὲ λεγόντων ἡμῶν, ὅτι τῷ αἰτίῳ μείζων ὁ Πατὴρ τοῦ Υἱοῦ, προσλαβόντες τὴν, Τὸ δὲ (14) αἴτιον φύσει, πρότασιν· ἔπειτα, Τὸ μεῖζον τῇ φύσει, συνάγωσιν· οὐκ οἶδα πότερον ἑαυτοὺς παραλογίζονται, ἢ τοὺς πρὸς οὓς ὁ λόγος. Οὐ γὰρ ἁπλῶς (15), ὅσα κατά τινος λέγεται, ταῦτα καὶ κατὰ τοῦ ὑποκειμένου τούτῳ ῥηθήσεται· ἀλλὰ δῆλον κατὰ τίνος, καὶ τίνα. Ἐπεὶ τί κωλύει κἀμὲ ταύτην πρότασιν ποιησάμενον, τὴν, ὅτι Ὁ Πατὴρ μείζων τῇ φύσει, ἔπειτα προσλαβόντα τὸ, Φύσει δὲ οὐ πάντως μείζων οὐδὲ Πατήρ· ἐντεῦθεν συναγαγεῖν· Τὸ μεῖζον οὐ πάντως μεῖζον· ἤ, Ὁ Πατὴρ οὐ πάντως Πατήρ. Εἰ βούλει δὲ οὕτως· Ὁ Θεὸς, οὐσία· Ἡ οὐσία δὲ, οὐ πάντως Θεός· τὸ ἑξῆς αὐτὸς συνάγαγε (16)· Ὁ Θεὸς οὐ πάντως Θεός. Ἀλλ' οἶμαι, παρὰ τὸ πῇ (17) καὶ ἁπλῶς ὁ παραλογισμὸς οὗτος, ὡς τοῖς περὶ ταῦτα τεχνολογεῖν σύνηθες. Ἡμῶν γὰρ τὸ *μεῖζον* τῇ τοῦ αἰτίου φύσει διδόντων, αὐτοὶ τὸ τῇ φύσει μεῖζον ἐπάγουσιν· ὥσπερ ἂν (18) εἰ καὶ λεγόντων ἡμῶν, ὅτι ὁ δεῖνα νεκρὸς ἄνθρωπος, ἁπλῶς ἐπῆγον αὐτοὶ τὸν ἄνθρωπον.

B XV. Jam si dicentibus nobis, Patrem, quantum ad causam, Filio majorem esse, ipsi hanc propositionem assumant: At causa natura; posteaque conclusionem hanc subnectant: Ergo major natura; haud scio, seipsosne potius, an eos, cum quibus disputant, captiosa hac argumentatione circumveniant. Neque enim simpliciter, quæcunque de aliquo dicuntur, etiam de eo, quod ipsi subjectum est, dicuntur; sed perspicuum est de quo, et quænam dicantur. Alioqui quid prohibet, quominus ipse quoque allata hac propositione: Pater major natura est; ac deinde assumpta altera: Natura autem non omnino major, neque Pater; ita postremo concludam: Majus igitur non omnino majus; vel, Pater non omnino Pater. Aut si mavis, ad hunc C modum agam: Deus est essentia: Essentia non omnino est Deus; quod sequitur ipse conclude: Ergo Deus non omnino Deus. Verum, ni fallor, ab eo, quod secundum rationem quamdam dicitur, ad id quod simpliciter dicitur, captiose progreditur hæc argumentatio, quod artis hujus studiosis usitatum est et familiare. Nam cum nos hanc vocem, *majus*, causæ naturæ tribuamus, inferunt ipsi, causam natura majorem esse. Quod perinde est, ac si dicentibus nobis: Hic mortuus homo; inferrent ipsi: Ergo homo.

IϚ'. Ἐκεῖνο δὲ πῶς παραδράμωμεν, οὐδενὸς ἧττον τῶν εἰρημένων ὂν ἀξιάγαστον; Ὁ Πατὴρ, φησὶν, οὐσίας, ἢ ἐνεργείας ὄνομα· ὡς ἀμφοτέρωθεν ἡμᾶς δήσοντες. Εἰ μὲν οὐσίας φήσομεν, συνθησομένους ἑτεροούσιον εἶναι τὸν Υἱόν· ἐπειδὴ μία μὲν οὐσία Θεοῦ, ταύτην δὲ, ὡς οὗτοι, προκατείληφεν ὁ Πατήρ· εἰ δὲ ἐνεργείας, ποίημα σαφῶς ὁμολογήσοντας, ἀλλ' οὐ γέννημα· οὗ γὰρ ὁ ἐνεργῶν, ἐκεῖ πάντως καὶ τὸ ἐνεργούμενον. Καὶ πῶς τῷ πεποιηκότι ταυτὸν τὸ πεποιημένον, θαυμά-

XVI. Quomodo autem istud, quod certe non minori admiratione dignum est, quam quæ superius dicta sunt, prætermittemus? Pater, inquiunt, vel essentiæ, vel actionis nomen est: sic enim nos utrinque ita astrictos putant, ut nulla ratione ex eorum vinculis elabi possimus. Si enim essentiæ nomen esse dixerimus, assentiemur, ut existimant, Filium diversam a Patre essentiam habere: quan- D doquidem una sit Dei essentia, quam Pater, ut

Eunomianorum, et exemplo canum quod afferebant.

(11) *Φύσεων*. Par., aliique nonnulli codices, et Bas. ed., τῆς φύσεως.

(12) *Εἰ τὸ ἰσότιμον μὴ ἔχοιεν*. « Delenda est, inquit Billius, particula negativa μή, quæ exstat in Hervagiano codice. » Combefisius primum repugnavit, sed deinde consensit. Nos vero negativam hanc particulam minime delendam censemus. Gregorius enim Eunomianos refellens, ostendit propositum ab ipsis ὁμωνυμίας exemplum, ad æqualitatem quamdam specie tenus in personis servandam, ineptum esse; et, quidquid nugentur, parem non habere honoris dignitatem, id quod ita dividunt; nec denique eo animo canum ὁμωνυμίαν ab ipsis inductam esse, ut pari dignitate esse personas ostenderent, sed ut impares probarent.

(13) *Οὐ γὰρ ἵν'*. Sic Coisl. 1 et 3, Or. 1, Par., etc. Deest ἵνα in ed.

(14) *Δέ*. Deest in nonnullis.

(15) *Οὐ γὰρ ἁπλῶς*, etc. Schol. : Οὐ γὰρ ὅσα κατὰ τοῦ αἰτίου λέγεται, καὶ κατὰ τοῦ φύσει· « Non enim quæcunque de causa dicuntur, de eo etiam quod est natura dicuntur.

(16) *Συνάγαγε*. Duo Reg. et Or. 1, σύναγε.

(17) *Παρὰ τὸ πῇ*. Reg. a, παρατροπῇ. Coisl. 1, παρατροπήν.

(18) *Ὥσπερ ἄν*, etc. Sic exponit Elias : « Perinde scilicet faciebant (Eunomiani), ac si dicerent : Hic vel ille homo mortuus non respirat : ergo omnis homo non respirat. Vel, Æthiops albus est dentibus : ergo totus albus est. »

censent, jam ante occuparit. Sin autem actionis, creatum esse fatebimur, **535** non genitum. Ubi enim est agens, illic quoque omnino id quod agitur esse necesse est. Ac mirari se dicent, quo pacto factum cum factore idem esse queat. Me quoque ipsum vehementer hæc distinctio vestra permoveret, si mihi duorum alterutrum necessario admittendum esset, ac non potius, utraque disjunctionis parte vitata, tertium aliquid verius dicere liceret. Nec enim essentiæ nomen est Pater, o viri acutissimi, nec actionis; sed relationem eam indicat, quam Pater erga Filium habet, vel Filius erga Patrem. Ut enim apud nos hæc nomina germanam quamdam conjunctionem et necessitudinem declarant: ad eumdem modum illic quoque genitorem ac genitum eamdem naturam habere significant. Sed sit sane, in vestri gratiam, Pater essentiæ nomen: Filium utique simul introducet, non autem removebit, et alienabit, ut et communes notiones ferunt, et ipsa horum nominum vis ac facultas. Sit etiam actionis, si ita videtur: nec sic quidem causam obtinebitis. Eodem enim modo dicemus hoc ipsum egisse Patrem, ut consubstantialis ipsi Filius esset; etsi alioqui absurditate non caret hujusmodi actionis opinio. Videsne quo pacto, quamlibet improbe ac maligne pugnare studeatis, captiones tamen vestras effugiamus? Quoniam autem invictum illud tuum in ratiocinationibus et argutiis robur cognovimus, videamus jam quam vim in divinis oraculis positam habeas, si modo hinc quoque nobis dogma tuum persuadere non grave ducas.

ζειν φήσουσιν. Σφόδρα ἂν ἠδέσθην ὑμῶν καὶ αὐτὸς τὴν διαίρεσιν, εἰ τῶν δύο τὸ ἕτερον δέξασθαι ἦν ἀναγκαῖον, ἀλλὰ μὴ τὰ δύο διαφυγόντα, τρίτον εἰπεῖν ἀληθέστερον· ὅτι οὔτε οὐσίας ὄνομα ὁ Πατὴρ, ὦ σοφώτατοι, οὔτε ἐνεργείας· σχέσεως δὲ καὶ τοῦ πῶς ἔχει πρὸς τὸν Υἱὸν ὁ Πατὴρ, ἢ ὁ Υἱὸς πρὸς τὸν Πατέρα. Ὡς γὰρ παρ' ἡμῖν αἱ κλήσεις αὗται τὸ γνήσιον καὶ οἰκεῖον γνωρίζουσιν, οὕτω κἀκεῖ τὴν τοῦ γεγεννημένου πρὸς τὸ γεγεννηκὸς ὁμοφυΐαν σημαίνουσιν. Ἔστω δὲ, ὑμῶν χάριν, καὶ οὐσίας (19) τις ὁ Πατήρ· συνεισάξει τὸν Υἱὸν, οὐκ ἀλλοτριώσει, κατὰ τὰς κοινὰς ἐννοίας (20), καὶ τὴν τῶν κλήσεων τούτων δύναμιν. Ἔστω καὶ ἐνεργείας, εἰ τοῦτο δοκεῖ· οὐδὲ οὕτω ἡμᾶς αἱρήσετε (21). Αὐτὸ δὲ (22) τοῦτο ἐνηργηκὼς ἂν εἴη τὸ ὁμοούσιον, ἢ καὶ (23) ἄτοπος ἄλλως ἡ τῆς περὶ τοῦτο ἐνεργείας ὑπόληψις. Ὁρᾷς ὅπως ὑμῶν, καὶ κακομαχεῖν ἐθελόντων, τὰς στροφὰς διαφεύγομεν; Ἐπεὶ δέ σου τὸ ἐν τοῖς λογισμοῖς καὶ ταῖς στροφαῖς ἄμαχον ἔγνωμεν, ἴδωμέν σου καὶ τὴν ἐκ τῶν θείων λογίων ἰσχὺν, ἂν ἄρα δέξῃ κἀντεῦθεν πείθειν ἡμᾶς.

XVII. Nos quippe ex magnis et excelsis vocibus Filii divinitatem percepimus, ac prædicamus. Quibus tandem? His nimirum, Deus, Verbum, quod in principio erat, et cum principio, et principium: ut in his locis: *In principio erat Verbum, et Verbum erat apud Deum, et Deus erat Verbum* [16]; et, *Tecum principium* [17]; et, *Qui vocat eam a generationibus principium* [18]. Ad hæc Filius unigenitus dicitur: *Unigenitus Filius, qui est in sinu Patris, ipse enarravit* [19]. Via, Veritas, Vita, Lux: *Ego sum via, veritas et vita* [20]; et, *Ego sum lux mundi* [21]. Sapientia, Potentia; *Christus Dei potentia et Dei sapientia* [22]. Splendor, Character, Imago, Sigillum, ut in his verbis: *Qui cum sit splendor gloriæ* [23]; et, *Character substantiæ ipsius* [24]; et, *Imago bonitatis* [25]; et alio loco: *Quem Pater signavit Deus* [26]. Dominus, Rex, Ens, Omnipotens: *Pluit* **536** *Dominus ignem a Domino* [27]; et, *Virga directionis virga regni tui* [28] et, *Qui erat, qui est, et qui venturus est omnipotens ille* [29]. Quæ perspicue de Filio dicuntur, sicut et alia plura, quæ eamdem vim habent, quorum

ΙΖ'. Ἡμεῖς μὲν γὰρ ἐκ μεγάλων καὶ ὑψηλῶν τῶν φωνῶν, τοῦ Υἱοῦ τὴν θεότητα καὶ κατειλήφαμεν, καὶ κηρύσσομεν. Τίνων τούτων; Τῆς Θεὸς, τῆς Λόγος, ὁ ἐν ἀρχῇ, ὁ μετὰ τῆς ἀρχῆς, ἡ ἀρχή· *Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ Λόγος*· καὶ, *Μετὰ σοῦ ἡ ἀρχή*· καὶ, *Ὁ καλῶν αὐτὴν ἀπὸ γενεῶν ἀρχήν* (24). Ἐπειδὴ Υἱὸς μονογενὴς, *Ὁ μονογενὴς Υἱὸς, ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρὸς, ἐκεῖνος ἐξηγήσατο*. Ὁδὸς, Ἀλήθεια, Ζωὴ, Φῶς· *Ἐγώ εἰμι ἡ ὁδὸς, καὶ ἡ ἀλήθεια, καὶ ἡ ζωή*· καὶ, *Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου*. Σοφία, Δύναμις· *Χριστὸς Θεοῦ δύναμις, καὶ Θεοῦ σοφία*. Ἀπαύγασμα, Χαρακτὴρ, Εἰκὼν, Σφραγίς· *Ὃς ὢν ἀπαύγασμα τῆς δόξης*· καὶ, *Χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ*· καὶ, *Εἰκὼν τῆς ἀγαθότητος*· καὶ, *Τοῦτον γὰρ ὁ Πατὴρ ἐσφράγισεν ὁ Θεός*. Κύριος, Βασιλεὺς, ὁ Ὢν, ὁ Παντοκράτωρ· *Ἔβρεξε Κύριος πῦρ παρὰ Κυρίου*· καὶ, *Ῥάβδος εὐθύτητος, ἡ ῥάβδος τῆς βασιλείας σου*· καὶ, *Ὁ ὢν, καὶ ὁ ἦν, καὶ ὁ ἐρχόμενος, καὶ ὁ παντοκράτωρ*. Σαφῶς περὶ τοῦ Υἱοῦ λεγόμενα, καὶ

[16] Joan. I, 1. [17] Psal. CIX, 3. [18] Isa. XLI, 4. [19] Joan. I, 18. [20] Joan. XIV, 6. [21] Joan. VIII, 12. [22] I Cor. I, 24. [23] Hebr. I, 3. [24] ibid. [25] Sap. VII, 26. [26] Joan. VI, 27. [27] Gen. XIX, 24. [28] Psal. XLIV, 7. [29] Apoc. I, 8.

(19) *Οὐσίας*. « Esto, Pater sit essentiæ nomen. » Sic Reg. Cypr. Sic etiam legendum suadent, quæ sequuntur, ἔστω καὶ ἐνεργείας. In ed., οὐσία. Bill.: « essentia quædam. »

(20) *Κατὰ τὰς κοινὰς ἐννοίας*. « Quis enim, inquit Elias, tam fatuus, ut cogitet Filium alterius esse quam Patris naturæ? »

(21) *Αἱρήσετε*. Sic plures Regg. et Colb., Or. 2 et Comb. In ed., ἐναιρήσετε.

(22) *Αὐτὸ δέ*. Reg. Cypr., aliique Reg. et Colb. αὐτὸ γάρ.

(23) *Ἢ καί*. Tres Regg. et Or. 1, εἰ καί.

(24) *Ὁ καλῶν αὐτὴν ἀπὸ γενεῶν ἀρχήν*. In LXX legitur ἀπὸ γενεῶν ἀρχῆς. « Qui vocat eam, » nempe, δικαιοσύνην, « justitiam, a generationum principio. » Vulgata vero sic habet: « vocans generationes ab exordio. » — « Adnotat Elias, inquit Billius, « in pluribus exemplaribus ἀρχῆς legi, non ἀρχήν, ut idem sit, quod a generationibus sempiternis. Porro in ed. Bas. inseruntur sex lineæ quæ in nullis aliis codd. reperiuntur; et sane interpretem potius quam Gregorium ipsum redolent. »

ὅσα τῆς αὐτῆς τούτοις ἐστὶ δυνάμεως, ὧν οὐδὲν ἐπίκτητον, οὐδὲ ὕστερον τῷ Υἱῷ προσγενόμενον, ἢ τῷ Πνεύματι, ὥσπερ οὐδὲ αὐτῷ τῷ Πατρί· οὐ γὰρ ἐκ προσθήκης τὸ τέλειον (25). Οὐ γὰρ ἦν, ὅτε ἄλογος ἦν· οὐδὲ ἦν, ὅτε οὐ Πατήρ· οὐδὲ ἦν, ὅτε οὐκ ἀληθής, ἢ ἄσοφος, ἢ ἀδύνατος, ἢ ζωῆς ἐνδεής, ἢ λαμπρότητος, ἢ ἀγαθότητος.

potest civitas abscondi supra montem posita [24]. Fieri enim potest, ut quædam civitas abscondatur, majori nimirum aliquo monte ipsius aspectum impediente. Impossibile etiam dicitur, quod minime æquum est, rationique consentaneum; cujus generis est illud: *Non possunt filii sponsi jejunare, quandiu præsens est sponsus* [25]; sive eum intelligas, qui corporeis oculis cernitur (neque enim ærumnæ atque afflictionis tempus erat illud tempus, quo Christus cum discipulis versabatur), sive eum ut Verbum spectes: quid enim eos corporeo modo jejunare necesse est, qui a Verbo purgantur? Quarta significatione hoc fieri non posse dicitur, a quo nostra voluntas abhorret; cujusmodi est illud: *Non poterat illic signa facere propter incredulitatem eorum* [26], qui ea excipiebant: quoniam enim ad morborum depulsiones utrumque accedere necesse est, nempe ut et ægroti fidem, et medici vim et facultatem medendi afferant, idcirco alterum, deficiente altero, minime contingebat. Haud scio autem, an hoc quoque non adjungendum sit, ad id quod rationi consentaneum est: neque enim iis medicinam afferre conveniebat, quibus incredulitas detrimentum allatura erat. Quo etiam in ordine ponendum est illud: *Non potest mundus odisse vos* [27]; et, *Quomodo potestis bona loqui, cum sitis mali* [28]? Quo enim pacto quidquam horum impossibile est, nisi quia voluntas repugnat? Jam illud quoque impossibile dicitur, quod natura quidem impossibile est, Deo autem volenti possibile; quo in genere est illud: Eumdem hominem bis nasci non posse [29], nec acu camelum admitti [30]: quid enim prohibeat quominus hæc fiant, si Dei voluntas ita tulerit?

A προσθοῦντος μείζονος. Τὸ δὲ, ὡς οὐκ εὔλογον, ὡς τό *Οὐ δύνανται οἱ υἱοὶ τοῦ νυμφῶνος νηστεύειν, ἐφ' ὅσον ἔνδημος ὁ νυμφίος*· εἴτε ὁ σωματικῶς ὁρώμενος (οὐ γὰρ κακοπαθείας, ἀλλ' εὐφροσύνης καιρὸς ὁ τῆς ἐπιδημίας), εἴτε ὡς ὁ Λόγος νοούμενος· τί γὰρ δεῖ νηστεύειν σωματικῶς τοὺς Λόγῳ καθαιρομένους (10); Τὸ δὲ, ὡς ἀβούλητον, ὡς τὸ, *Μὴ δύνασθαι ἐκεῖ σημεῖα ποιῆσαι, διὰ τὴν ἀπιστίαν τῶν δεχομένων*· ἐπειδὴ γὰρ τοῦ συναμφοτέρου χρεία πρὸς τὰς ἰάσεις, καὶ τῆς τῶν θεραπευομένων πίστεως, καὶ τῆς τοῦ θεραπευτοῦ (11) δυνάμεως, οὐκ ἐνεδέχετο τὸ ἕτερον τοῦ συζύγου ἐλλείποντος. Οὐκ οἶδα (12) δὲ, εἰ μὴ καὶ τοῦτο τῷ εὐλόγῳ προσθετέον· οὐ γὰρ εὔλογος ἴασις τοῖς βλαβησομένοις ἐξ ἀπιστίας. Τοῦ δὲ αὐτοῦ λόγου, καὶ τό· *Οὐ δύναται ὁ κόσμος μισεῖν* B *ὑμᾶς*· καὶ, *Πῶς δύνασθε ἀγαθὰ λαλεῖν, πονηροὶ ὄντες*; Πῶς γὰρ ἀδύνατόν τι τούτων, ἢ ὅτι ἀβούλητον; Ἔστι δέ τι καὶ τοιοῦτον ἐν τοῖς λεγομένοις, ὃ τῇ (13) φύσει μὲν ἀδύνατον, Θεῷ δὲ δυνατὸν βουληθέντι, ὡς τὸ, μὴ δύνασθαι τὸν αὐτὸν γεννηθῆναι δεύτερον, καὶ ῥαφὶς οὐκ εἰσδεχομένη κάμηλον· τί γὰρ ἂν καὶ κωλύσειε γενέσθαι ταῦτα, Θεοῦ θελήσαντος;

XI. Præter hos omnes modos impossibile dicitur C quod nulla omnino ratione fieri potest, ut quod nunc exquirimus. Ut enim impossibile esse dicimus Deum malum esse, aut omnino non esse (hoc enim Dei impotentiam potius atque imbecillitatem, quam potentiam arguerit); aut ut sit, quod non est, aut ut bis duo simul et quatuor
547 sint et decem: ita nec fieri ullo modo potest, ut Filius aliquid faciat, quod Pater non faciat. *Omnia enim quæ Pater habet, sunt Filii* [31]: quemadmodum rursus omnia, quæ Filius, Patris. Nihil ergo peculiare, quia communia omnia, quandoquidem ipsum quoque esse, commune atque æquale est ipsi cum Patre, licet alioqui hoc a Patre Filius habeat. Quo etiam sensu dictum est: *Ego vivo propter Patrem* [32]; non quod ab illo ipsius vita atque essentia sustineatur, verum quod ex illo citra tempus ullum atque causam exsistat. Sed quomodo illud acci- D

ΙΑ'. Τούτων δὲ πάντων ἐκτὸς, τὸ παντελῶς ἀδύνατον καὶ ἀνεπίδεκτον, ὡς ὃ νῦν ἐξετάζομεν. Ὡς γὰρ ἀδύνατον εἶναι λέγομεν, πονηρὸν εἶναι Θεὸν, ἢ μὴ εἶναι· τοῦτο γὰρ ἀδυναμίας ἂν εἴη μᾶλλον Θεοῦ, ἤπερ δυνάμεως· ἢ τὸ μὴ ὂν εἶναι, ἢ τὰ δὶς δύο καὶ τέσσαρα εἶναι καὶ δέκα (14)· οὕτως ἀδύνατον καὶ ἀνεγχώρητον ποιεῖν τι τὸν Υἱὸν, ὧν οὐ ποιεῖ ὁ Πατήρ. *Πάντα γὰρ ὅσα ἔχει ὁ Πατὴρ, τοῦ Υἱοῦ ἐστιν*· ὡς ἔμπαλιν τὰ τοῦ Υἱοῦ, τοῦ Πατρός. Οὐδὲν οὖν ἴδιον, ὅτι κοινά ἐπεὶ καὶ αὐτὸ τὸ εἶναι κοινὸν καὶ ὁμότιμον, εἰ καὶ τῷ Υἱῷ παρὰ τοῦ Πατρός. Καθ' ὃ καὶ λέγεται καὶ τό· *Ἐγὼ ζῶ διὰ τὸν Πατέρα*· οὐχ ὡς ἐκεῖθεν αὐτῷ τοῦ ζῆν, καὶ τοῦ εἶναι συνεχομένου, ἀλλ' ὡς ἐκεῖθεν ὑπάρχοντος ἀχρόνως καὶ ἀναιτίως. Βλέπει δὲ τὸν Πατέρα ποιοῦντα, πῶς, καὶ οὕτω ποιεῖ; ἆρα ὡς οἱ τὰς μορφὰς γράφοντες, καὶ τὰ γράμματα, διὰ τὸ μὴ εἶναι τῆς ἀληθείας ἄλλως ἐπιτυχεῖν, εἰ μὴ πρὸς τὸ ἀρχέτυπον βλέποντας, κἀκεῖθεν χειραγωγουμέ-

[24] Matth. v, 14. [25] Matth. ix, 15. [26] Matth. xiii, 58. [27] Joan. vii, 7. [28] Matth. xii, 34. [29] Joan. iii, 4. [30] Matth. xix, 24. [31] Joan. xvi, 15. [32] Joan. vi, 58.

(10) *Τοὺς Λόγῳ καθαιρομένους*. Bill.: « qui sermone purgantur. » Addit etiam in notis, Gregorium alludere ad hæc Christi verba, Joan. xv, 3: « Jam vos mundi estis propter sermonem quem locutus sum vobis. » Fatetur tamen Eliam per Λόγον, Filium Dei intelligere; cujus sententia nobis etiam magis arridet.

(11) *Τοῦ θεραπευτοῦ*. De Christo enim singulariter hic sermo est, non universe de iis quæ ad morborum depulsiones ex parte ægrotorum ac medicorum requiruntur.

(12) *Οὐκ οἶδα* etc. Bill.: « Quanquam haud scio an hoc quoque genus tertio adjungendum sit, quo impossibile nihil aliud significat, quam quod minime rationi consentaneum est. » Sensit Billius legendum esse, οὐκ εὐλόγῳ, « rationi minime consentaneum, » quod nobis quoque visum est. Cum vero particula negans, οὐκ, ab omnibus codd. tum exaratis, tum mss. absit, religioni fuit eam in textum inducere.

(13) *Ὃ τῇ*. Sic tres Regg. et quatuor Colb. In ed., ὅτι.

(14) *Καὶ τέσσαρα εἶναι καὶ δέκα*. Reg., Cypr., τέσσαρες καὶ δέκα εἶναι· « bis duo, quatuordecim esse. »

νους (15); Καὶ πῶς ἡ Σοφία δεῖται τοῦ διδάξοντος; ἢ οὐ ποιήσει τι μὴ διδασκομένη; Ποιεῖ δὲ πῶς ὁ Πατήρ, ἢ πεποίηκεν; Ἆρα ἄλλον προϋπέστησε κόσμον ἀντὶ τοῦ παρόντος, καὶ ὑποστήσει τὸν μέλλοντα, καὶ πρὸς ἐκεῖνα βλέπων ὁ Υἱὸς, τὸν μὲν ὑπέστησε, τὸν δὲ ὑποστήσει; Τέσσαρες οὖν κόσμοι (16) κατὰ τὸν λόγον τοῦτον, οἱ μὲν Πατρὸς, οἱ δὲ Υἱοῦ ποιήματα. Ὢ τῆς ἀλογίας (17)! Καθαίρει δὲ λέπρας, καὶ δαιμόνων, καὶ νόσων ἀπαλλάττει (18), καὶ ζωοποιεῖ νεκροὺς, καὶ ὑπὲρ θαλάσσης ὁδεύει, καὶ τἄλλα ποιεῖ ὅσα πεποίηκεν, ἐπὶ τίνος, ἢ πότε τοῦ Πατρὸς ταῦτα προενεργήσαντος; Ἢ δῆλον, ὅτι τῶν αὐτῶν πραγμάτων τοὺς τύπους ἐνσημαίνεται μὲν ὁ Πατήρ, ἐπιτελεῖ δὲ ὁ Λόγος, οὐ δουλικῶς, οὐδὲ ἀμαθῶς, ἀλλ' ἐπιστημονικῶς τε καὶ δεσποτικῶς, καὶ οἰκειότερον εἰπεῖν, πατρικῶς; Οὕτω γὰρ ἐγὼ δέχομαι τὸ, *ἅπερ ὑπὸ τοῦ Πατρὸς γίνεται, ταῦτα καὶ τὸν Υἱὸν ὁμοίως ποιεῖν*· οὐ κατὰ τὴν τῶν γινομένων ὁμοίωσιν, ἀλλὰ κατὰ τὴν (19) τῆς ἐξουσίας ὁμοτιμίαν· καὶ τοῦτο ἂν εἴη τὸ, ἕως ἄρτι καὶ τὸν Πατέρα ἐργάζεσθαι, καὶ τὸν Υἱόν· οὐ μόνον δὲ, ἀλλὰ καὶ τὴν, ὧν πεποίηκεν (20), οἰκονομίαν τε καὶ συντήρησιν, ὡς δηλοῖ τὸ, *ποιεῖσθαι τοὺς ἀγγέλους αὐτοῦ πνεύματα*, καὶ, *θεμελιοῦσθαι τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς*· ἅπαξ ἡδρασμένα τε καὶ γενόμενα· καὶ στερεοῦσθαι βροντὴν, καὶ κτίζεσθαι πνεῦμα, ὧν ἅπαξ μὲν ὁ λόγος ὑπέστη, συνεχὴς δὲ καὶ νῦν ἡ ἐνέργεια.

piendum, quod Patrem facientem videre dicitur, atque ita facere [33]? an ut qui formas ac litteras pingunt, eo quod veritatem aliter assequi nequeant, nisi exemplar suum intueantur, atque inde velut manu ducantur? Qui vero quadrat, ut Sapientia magistro opus habeat? nihilne efficiet, nisi edocta? Quid, Paterne aliquid facit, aut fecit? Utrum tandem alium mundum ante hunc coagmentavit, atque alium rursus in posterum coagmentabit, quos Filius sibi ante oculos proponens, alterum quidem jam procreaverit, alterum autem procreaturus sit? Quatuor ergo hac ratione mundi erunt, duo a Patre, duo a Filio effecti? O supinam vecordiam! Age, cum lepras purgat, dæmones et morbos profligat, mortuos ad vitam revocat, mare pedibus peragrat, aliaque omnia facit, in quo tandem, aut quando Pater hæc ante fecit? Nonne perspicuum est, earumdem rerum formas a Patre quidem velut designari, a Filio autem peragi, non serviliter atque indocte, sed perite et heriliter, atque, ut aptius loquar, paterne? In hunc quippe sensum verba hæc accipio: *Quæcunque Pater facit, eadem et Filius similiter facit* [33*]; non quod similia sint utriusque opera, sed quod par sit utriusque potestas atque auctoritas; atque hoc fortasse esse queat, quod et Pater usque modo operari dicitur, et Filius [34]; non autem hoc duntaxat nomine, sed etiam ratione gubernationis et conservationis eorum, quæ facta sunt, ut indicat illud: *Qui facit angelos suos spiritus* [35]; et, *Qui fundat terram super stabilitatem* [36]: cum semel et hæc firmata atque stabilita sit, et illi procreati. Quo etiam pertinet: quod firmare tonitru dicitur [37], et ventum creare [38]: quorum ipsa quidem ratio semel condita est, cæterum nunc quoque perpetua vis est ac facultas.

ΙΒ'. Ἕβδομον λεγέσθω τὸ καταβεβηκέναι ἐκ τοῦ οὐρανοῦ τὸν Υἱὸν, οὐχ ἵνα ποιῇ τὸ θέλημα τὸ ἑαυτοῦ, ἀλλὰ τὸ τοῦ (21) πέμψαντος. Εἰ μὲν οὖν μὴ παρὰ τοῦ κατεληλυθότος αὐτοῦ ταῦτα ἐλέγετο, εἴπομεν ἂν ὡς παρὰ τοῦ ἀνθρώπου τυποῦσθαι τὸν λόγον, οὐ τοῦ κατὰ τὸν Σωτῆρα νοουμένου (τὸ γὰρ ἐκείνου θέλειν οὐδὲ ὑπεναντίον Θεῷ, θεωθὲν ὅλον) ἀλλὰ τοῦ καθ' ἡμᾶς, ὡς τοῦ ἀνθρωπίνου (22) θελήματος οὐ πάντως ἑπομένου τῷ θείῳ, ἀλλ' ἀντιπίπτοντος, ὡς τὰ πολλὰ, καὶ ἀντιπαλαίοντος. Καὶ γὰρ ἐκεῖνο οὕτως ἐνοήσαμεν τό· *Πάτερ, εἰ δυνατὸν, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο· πλὴν οὐχ ὃ ἐγὼ θέλω, ἀλλὰ τὸ σὸν ἰσχυέτω θέλημα.* Οὔτε γὰρ, εἰ δυνατὸν, ἢ μὴ, τοῦτο ἀγνοεῖν ἐκεῖνον εἰκὸς, οὔτε τῷ θελήματι ἀντεισφέρειν τὸ θέλημα. Ἐπεὶ δὲ (23), ὡς παρὰ τοῦ προσλαβόντος ὁ λόγος (τοῦτο γὰρ τὸ κατεληλυθὸς), οὐ τοῦ προσλήμματος, οὕτως ἀπαντησόμεθα· οὐχ ὡς ὄντος ἰδίου τοῦ Υἱοῦ (24) θελήματος παρὰ

XII. Septimum proferatur, quod Filius e cœlo descendisse dicitur, non ut voluntatem **548** suam faciat, sed ejus a quo missus est [39]. Sane nisi ab illo ipso, qui descendit, hic sermo haberetur, dicere possemus, hæc verba velut ab homine exprimi, non qui de Salvatore intelligatur (illius enim voluntas, cum tota deificata sit, Deo procul dubio non adversatur); sed qui nostræ conditionis sit. Humana quippe voluntas divinam non continuo sequitur, verum ut plurimum ei resistit atque obluctatur. Nam illud quoque eodem modo intelligimus: *Pater, si possibile est, transeat a me calix iste; verumtamen non mea, sed tua voluntas vincat* [40]. Neque enim possibile esset, necne ipsum ignorasse verisimile est, nec voluntati voluntatem opposuisse. Sed quoniam partis illius, quæ assumpsit (hoc enim est, quod descendit), non autem partis assumptæ, hic sermo est, ad hunc modum respondebimus: hæc non ita

[33] Joan. v, 19. [33*] ibid. 33. [34] ibid. 17. [35] Psal. ciii, 4. [36] ibid. 5. [37] Job xxxviii, 25. [38] Amos iv, 13. [39] Joan. vi, 38. [40] Matth. xxvi, 39.

(15) *Βλέποντας..... χειραγωγουμένους.* Reg., Cypr., βλέποντες... χειραγωγούμενοι.
(16) *Κόσμοι.* Reg. a, οἱ κόσμοι.
(17) *Ὢ τῆς ἀλογίας!* « O amentiam singularem! » Sic Reg. a, et Combefisius. Deest ὢ in editis.
(18) *Ἀπαλλάττει.* Deest in Reg. a.
(19) *Κατὰ τήν.* Deest κατά in Reg. a.
(20) *Πεποίηκεν.* Duo Regg., πεποιήκασιν.
(21) *Τὸ τοῦ.* Sic plures Regg., plures Colb. et Or. 1. Deest τό in ed.
(22) *Ἀνθρωπίνου.* Comb., ἀνθρωπικοῦ.
(23) *Ἐπεὶ δέ*, etc. « Sed quoniam hæc tanquam ab eo, qui assumpsit (is enim est qui descendit), non autem ab assumpto dicuntur, » etc.
(24) *Ἰδίου τοῦ Υἱοῦ.* Reg. b, Or. 1, et Bas., ἰδίου τῷ Υἱῷ. « Tanquam peculiaris sit voluntas Filio, a Patris voluntate distincta. »

dici, quasi propriam voluntatem Filius habeat, atque a Patris voluntate separatam, sed potius quod non habeat; ut, quod colligitur, sit hujusmodi: *Non ut faciam voluntatem meam* [41]: nec enim voluntas mea a tua disjuncta est, sed communis utriusque nostrum, quorum, ut una est deitas, ita una quoque voluntas. Permulta enim ex his, quæ ita dicuntur, a communi dicuntur, nec affirmationis modo, sed inficiationis, ut illud: *Non enim ad mensuram dat Deus Spiritum* [41*]. Neque enim dat, nec mensura definitum: nec enim Deus Deum metitur. Ut item illud: *Neque iniquitas mea, neque peccatum meum* [42]. Non enim, quod in eo peccatum sit, hoc sermone utitur, sed quod non sit. Ac rursus: *Non propter justitias nostras, quas fecimus* [43]. Neque enim fecimus. Quod etiam perspicue colligi potest ex his B quæ sequuntur. *Quæ est enim*, inquit, *voluntas Patris mei? Ut omnis qui credit in eum, salutem consequatur* [44], ac postremæ resurrectionis compos fiat. An igitur Patris quidem hæc est voluntas, Filii autem minime? an invitus Evangelium prædicat, fidemque apud homines nanciscitur? Quis vero hoc credat? quandoquidem illud quoque, quod ait Filius, sermonem, qui ab auditoribus excipiatur, suum non esse, sed Patris [45], eamdem omnino vim habet.

A τὸ τοῦ Πατρὸς, ἀλλ' ὡς οὐκ ὄντος ὁ λόγος· ἵν' ᾖ (25) τε τοιοῦτον τὸ συναγόμενον· *Οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμόν*· οὐδὲ γάρ ἐστι τὸ ἐμὸν τοῦ σοῦ κεχωρισμένον, ἀλλὰ τὸ κοινὸν ἐμοῦ τε καὶ σοῦ, ὧν ὡς μία θεότης, οὕτω καὶ βούλησις. Πολλὰ γὰρ τῶν οὕτω λεγομένων ἀπὸ κοινοῦ λέγεται (26), καὶ οὐ θετικῶς, ἀρνητικῶς δὲ, ὡς τό· *Οὐ γὰρ* (27) *ἐκ μέτρου δίδωσιν ὁ Θεὸς τὸ Πνεῦμα*. Οὔτε γὰρ δίδωσιν, οὔτε μεμετρημένον· οὐ γὰρ μετρεῖται παρὰ Θεοῦ Θεός. Καὶ τό· *Οὔτε ἡ ἁμαρτία μου, οὔτε ἡ ἀνομία μου*. Οὐ γὰρ ὡς οὔσης ὁ λόγος, ἀλλ' ὡς οὐκ οὔσης. Καὶ πάλιν τό· *Οὐ διὰ τὰς δικαιοσύνας ἡμῶν, ἃς ἐποιήσαμεν*· οὐ γὰρ ἐποιήσαμεν. Δῆλον δὲ τοῦτο κἀν τοῖς ἑξῆς· *Τί γὰρ*, φησὶ, *τὸ θέλημα τοῦ Πατρός; ἵνα πᾶς ὁ πιστεύων εἰς τὸν Υἱὸν σώζηται*, καὶ τυγχάνῃ τῆς τελευταίας ἀναστάσεως (28). Ἆρ' οὖν τοῦ Πατρὸς μὲν τοῦτο θέλημα, τοῦ Υἱοῦ δὲ οὐδαμῶς; ἢ ἄκων εὐαγγελίζεται καὶ πιστεύεται; Καὶ τίς ἂν τοῦτο πιστεύσειεν; ἐπεὶ καὶ τὸ, τὸν λόγον τὸν ἀκουόμενον μὴ εἶναι τοῦ Υἱοῦ, τοῦ Πατρὸς δὲ, τὴν αὐτὴν ἔχει δύναμιν. Πῶς γὰρ ἴδιόν τινος τὸ κοινὸν, ἢ μόνου, τοῦτο συνιδεῖν οὐκ ἔχω, πολλὰ σκοπῶν· οἶμαι δὲ, οὐδὲ ἄλλος τις. Ἂν οὕτω διανοῇς (29) περὶ τοῦ θέλειν, ὀρθῶς νοήσεις (30) καὶ λίαν εὐσεβῶς, ὡς ὁ ἐμὸς λόγος, καὶ παντὸς τοῦ εὐγνώμονος.

Quomodo enim hoc cujusquam proprium, aut solius esse queat, quod commune est, licet diu, multumque mecum considerem, perspicere nequeo, ac ne alius quidem quisquam, nisi mea me opinio fallit. **549** Si hoc modo voluntatem intelligis, recte intelligis pieque admodum et orthodoxe, ut quidem mea est sententia, imo etiam cujusvis, modo recto judicio præditus sit.

XIII. Octavo illud afferunt: *Ut cognoscant te solum Deum verum, et quem misisti Jesum Christum* [46]; et, *Nemo bonus, nisi solus Deus* [47]. Cujus argumenti perfacilis mihi videtur esse solutio. Si enim hæc verba, *Solum verum*, Patri duntaxat tribueris, ubi tandem Veritatem ipsam collocabis? Etenim si illud, *Soli sapienti Deo* [48]; aut illud, *Soli immortalitatem habenti, lucemque inaccessibilem habitanti* [49]; aut illud denique, *Regi sæculorum immortali, invisibili, soli sapienti Deo* [50], ad hunc modum intellexeris, peribit utique tibi Filius, vel morte, vel tenebris multatus, vel in hoc condemnatus, ut nec sapiens sit, nec rex, nec invisibilis, imo nec omnino Deus, quod caput est eorum, quæ diximus. Quid autem afferri poterit, quin simul cum cæteris rebus, bonitatis quoque, quæ maxime solius Dei est, jacturam faciat? Verum hæc verba: *Ut cognoscant te solum verum Deum*, ad eorum, qui, quanquam falso, dii tamen appellantur, sublatio-

C ΙΓ'. Ὄγδοόν ἐστιν αὐτοῖς τό· *Ἵνα γινώσκωσι σὲ τὸν μόνον ἀληθινὸν Θεὸν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν*· καὶ τό· *Οὐδεὶς ἀγαθὸς, εἰ μὴ εἷς ὁ Θεός*. Τοῦτο δὲ καὶ πάντη ῥάστην ἔχειν τὴν λύσιν μοι φαίνεται. Εἰ γὰρ τὸ *μόνον ἀληθινὸν* ἐπὶ τοῦ Πατρὸς θήσεις, ποῦ θήσεις τὴν αὐτοαλήθειαν, Καὶ γὰρ εἰ *τῷ μόνῳ σοφῷ Θεῷ*, ἢ *τῷ μόνῳ ἔχοντι ἀθανασίαν, φῶς οἰκοῦντι ἀπρόσιτον*, ἢ *βασιλεῖ τῶν αἰώνων ἀφθάρτῳ, ἀοράτῳ*, καὶ (31) *μόνῳ Θεῷ*, νοήσεις οὕτως, οἰχήσεταί σοι θάνατον κατακριθεὶς ὁ Υἱὸς, ἢ σκότος, ἢ τὸ μὴ σοφὸς εἶναι, μηδὲ βασιλεὺς, μηδὲ ἀόρατος, μηδὲ ὅλως Θεὸς, ὃ τῶν εἰρημένων κεφάλαιον. Πῶς δαὶ οὐχ (32) ἀπολεῖ μετὰ τῶν ἄλλων καὶ τὴν ἀγαθότητα, ἣ μάλιστα μόνου Θεοῦ; Ἀλλ' οἶμαι τὸ μὲν, *Ἵνα γινώσκωσι σὲ τὸν μόνον* D *ἀληθινὸν Θεὸν*, ἐπ' ἀναιρέσει λέγεσθαι τῶν οὐκ ὄντων μὲν θεῶν, λεγομένων δέ· οὐ γὰρ ἂν προσέκειτο, *καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστὸν*, εἰ πρὸς ἐκεῖνον (33) ἀντιδιῄρητο τὸ, *μόνον ἀληθινὸν*, ἀλλὰ

[41] Joan. VI, 38. [41*] Joan. III, 34. [42] Psal. LVIII, 5. [43] Dan. IX, 18. [44] Joan. VI, 40. [45] Joan. XIV, 24. [46] Joan. XVII, 3. [47] Luc. XVIII, 19. [48] Joan. XVI, 27. [49] I Tim. VI, 16. [50] I Tim. I, 17.

(25) Ἵν' ᾖ. Sic tres Regg., quatuor Colb., Or. 1, et Comb. In ed., ἵν' ἦτε.

(26) Ἀπὸ κοινοῦ λέγεται. Elias, « ratione illius quod colligitur et intelligitur. »

(27) Οὐ γάρ, etc. « Non enim ad mensuram dat Deus Spiritum, » nempe, « Filio. » Spiritus enim semper adest Filio. Non ergo ipsi datur tanquam non habenti; quippe qui ejusdem est naturæ ac Pater: neque etiam Spiritus « secundum mensuram » datur ei, qui mensuram capere nequit, cum sit ipse Deus et infinitus.

(28) Ἀναστάσεως. Duo Regg., Coisl. 2, Or. 1, et Comb. addunt, εἶτ' οὖν ἀποκαταστάσεως, « sive in integrum restitutionis. » Sic etiam legit Billius.

(29) Διανοῇς. Plures Regg. et Colb., Or. 1, etc., νοῇς.

(30) Νοήσεις. Or. 1, νοεῖς.

(31) Καί. Deest in quinque Regg., Or. 1, et Comb.

(32) Πῶς δαὶ οὐχ. Reg. bm, πῶς δ' οὐχ. « Qui non simul amittet, » etc. Mox ἣ. Sic codd. In ed. ἦ.

(33) Πρὸς ἐκεῖνον. Coisl. 1, πρὸς τοῦτον.

μὴ κατὰ κοινοῦ τῆς θεότητος ἦν ὁ λόγος. Τὸ δὲ, A *Οὐδεὶς ἀγαθὸς*, ἀπάντησιν ἔχει πρὸς τὸν πειράζοντα νομικὸν, ὡς ἀνθρώπῳ, τὴν ἀγαθότητα μαρτυρήσαντα. Τὸ γὰρ ἄκρως ἀγαθὸν, φησὶ (34), μόνου Θεοῦ, κἂν τοῦτο καὶ ἄνθρωπος ὀνομάζηται (35), ὡς τὸ, *Ὁ ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ προβάλλει τὸ ἀγαθόν*· καὶ, *Δώσω τὴν βασιλείαν τῷ ἀγαθῷ ὑπὲρ σέ*, τοῦ Θεοῦ λόγος (36) πρὸς τὸν Σαοὺλ περὶ τοῦ Δαβὶδ λέγοντος· καὶ τὸ, *Ἀγάθυνον, Κύριε, τοῖς ἀγαθοῖς*· καὶ ὅσα ἄλλα τοιαῦτα λέγεται περὶ τῶν ἐν ἡμῖν ἐπαινουμένων, ἐφ' οὓς ἡ ἀπόῤῥοια τοῦ πρώτου καλοῦ, καὶ κατὰ δεύτερον λόγον ἔφθασεν. Εἰ μὲν οὖν πείθοιμεν (37) τοῦτο, ἄριστον· εἰ δὲ μὴ, τί φήσεις πρὸς τοὺς λέγοντας ἑτέρωθι, τὸν Υἱὸν μόνον εἰρῆσθαι Θεὸν, κατὰ τὰς σὰς ὑποθέσεις. Ἐν τίσι τοῖς ῥήμασιν; ἐν ἐκείνοις· *Οὗτός σου Θεὸς* (38), B *οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν*. Καὶ μετ' ὀλίγα· *Μετὰ τοῦτο ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη*. Ὅτι μὲν γὰρ οὐ περὶ τοῦ Πατρὸς, ἀλλὰ τοῦ (39) Υἱοῦ τὸ λεγόμενον, ἡ προσθήκη σαφῶς παρίστησιν. Οὗτος γάρ ἐστιν ὁ σωματικῶς ὁμιλήσας ἡμῖν, καὶ μετὰ τῶν κάτω γενόμενος. Εἰ δὲ νικήσειε, κατὰ τοῦ Πατρὸς λέγεσθαι τοῦτο, μὴ τῶν νομιζομένων θεῶν, ἡττήμεθα τὸν Πατέρα, δι' ὧν τοῦ Υἱοῦ (40) κατεσπουδάσαμεν. Καὶ τί (41) ἂν τῆς νίκης ταύτης γένοιτο ἀθλιώτερον ἢ ζημιωδέστερον;

nem dici existimo: neque enim adjectum fuisset, *et quem misisti, Jesum Christum*, si, ad eum opposita distinctione submovendum, illa, *solum verum*, pertinerent, ac non de communi utriusque divinitate sermo esset. Illa autem Christi verba, *Nemo bonus*, eo spectabant, ut tentatori legisperito, qui bonitatem ipsi, tanquam homini, tribuebat, occurreret. Summe enim bonum esse, inquit, solius Dei est [51]: tametsi hoc quoque nomine homo nuncupetur, ut illud: *Bonus homo de bono thesauro profert bonum* [52], et Deus ad Saulem de Davide verba faciens: *Dabo regnum tuum meliori te* [53]. Tum illud: *Benefac, Domine, bonis* [54]; ac denique ea id genus omnia, quæ de his dicuntur, qui hominum laude ac prædicatione florent, ad quos primi illius boni rivus secundario cursu dimanavit. Hæc si tibi persuasimus, commodissime se res habet. Sin minus, quid dicturus es ad eos, qui ex altera parte, juxta id, quod pro causæ tuæ fundamento posuisti, Filium solum Deum dictum esse contendunt. In quibus autem verbis? in istis nimirum: *Hic Deus tuus, et non æstimabitur alius præter eum* [55]. Et paucis interjectis: *Post hæc in terra visus est, et cum hominibus conversatus est* [56]. Nam **550** quod, non de Patre, sed de Filio, sermo habeatur, adjectio hæc aperte declarat. Hic enim est, qui corpoream nobiscum consuetudinem habuit, terrenisque rebus conjunctus est. Quod si illud obtineatur, hæc verba, *Et non æstimabitur alius*, adversus Patrem dici, non adversus eos, qui falsa mortalium opinione dii habentur, quod ad Patrem attinet, per ea utique victi sumus, quibus adversus Filium obnixe contendimus? Qua victoria quid calamitosius et perniciosius esse queat?

ΙΔ'. Ἔννατον ἐκεῖνο φήσουσι τὸ, *Πάντοτε ζῶν*, C *εἰς τὸ ἐντυγχάνειν* (42) *ὑπὲρ ἡμῶν*. Εὖ γε καὶ λίαν μυστικῶς τε καὶ φιλανθρώπως. Τὸ γὰρ *ἐντυγχάνειν*, οὐχ, ὡς ἡ τῶν πολλῶν συνήθεια, τὸ ζητεῖν ἐκδίκησιν ἔχει· τοῦτο γάρ πως καὶ ταπεινότητος (43)· ἀλλὰ τὸ πρεσβεύειν ὑπὲρ ἡμῶν τῷ λόγῳ τῆς μεσιτείας· ὡς καὶ τὸ Πνεῦμα ὑπὲρ ἡμῶν ἐντυγχάνειν λέγεται. *Εἷς γὰρ Θεὸς, εἷς καὶ μεσίτης Θεοῦ καὶ ἀνθρώπων, ἄνθρωπος Ἰησοῦς Χριστός*. Πρεσβεύει γὰρ ἔτι καὶ νῦν, ὡς ἄνθρωπος, ὑπὲρ τῆς ἐμῆς σωτηρίας, ὅτι μετὰ τοῦ σώματός ἐστιν, οὗ προσέλαβεν, ἕως ἂν ἐμὲ ποιήσῃ θεὸν τῇ δυνάμει τῆς ἐνανθρωπήσεως (44), κἂν μηκέτι κατὰ σάρκα γινώσκηται, τὰ σαρκικὰ λέγω πάθη, καὶ, χωρὶς τῆς ἁμαρτίας, ἡμέτερα. Οὕτω δὲ καὶ *παράκλητον ἔχομεν Ἰησοῦν Χριστὸν* (45), D οὐχ ὡς ὑπὲρ ἡμῶν προκαλινδούμενον τοῦ Πατρὸς, καὶ προσπίπτοντα δουλικῶς. Ἄπαγε τὴν

XIV. Nono illud producent: *Semper vivens ad interpellandum pro nobis* [57]. Optime sane ac perquam mystice et benigne. Interpellatio namque non, vulgi more, id sonat, quod est vindictam quærere (hoc enim humilitatis quodammodo esset); sed idem significat, quod pro nobis, mediationis ratione, supplicare; quemadmodum et Spiritus pro nobis intercedere dicitur. *Unus enim Deus, unus etiam mediator Dei et hominum, homo Jesus Christus* [58]. Intercedit enim nunc quoque, ut homo, pro mea salute; quoniam cum eo corpore est, quod assumpsit, donec me, assumptæ humanitatis virtute, Deum effecerit, tametsi non jam secundum carnem cognoscatur, hoc est, secundum carnales affectiones, ac, citra peccatum, nostras. Eodem modo *advocatum* quoque *habemus Jesum Christum* [59], non ut nostra causa sese ad Patris pedes advol-

[51] Luc. XVIII, 19. [52] Matth. XII, 35. [53] I Reg. XV, 28. [54] Psal. CXXIV, 4. [55] Baruch III, 36. [56] ibid. 38. [57] Hebr. VII, 25. [58] I Tim. II, 5. [59] I Joan. II, 1.

(34) *Φησί*. Comb., φύσει. « Natura summe bonum esse, solius Dei est. »

(35) *Ὀνομάζηται*. Comb., ὀνομάζεται.

(36) *Λόγος*. Deest in tribus Regg., quatuor Colb., Or. 1, etc.

(37) *Πείθοιμεν*. Duo Regg., quatuor Colb., Or. 1, etc., πείθομεν.

(38) *Οὗτός σου Θεός*. Duo Regg., οὗτος ὁ Θεός.

(39) *Ἀλλὰ τοῦ*. In nonnullis, ἀλλὰ περὶ τοῦ.

(40) *Δι' ὧν τοῦ*, etc. Leuvenklaius: « Quibus ad oppugnandum Filium utebamur. » Combefisius vero: « Quibus Filio impense studuimus. » Putat enim vir doctus, Gregorium hic, non in Filium istud retorquere argumentum, sed in Patrem pro Filio, ut hac similitudine, seu, in simili, hæreticorum cavillationem elidat.

(41) *Καί*. Deest in Or. 1, aliisque pluribus.

(42) *Τὸ ἐντυγχάνειν*. « Ad interpellandum. » Sic Vulgata et Erasmus. Bill. « Ad intercedendum. »

(43) *Ταπεινότητος*. « Humilitatis. » Id est, ut ait Elias, « imbecillitatis est auxilium quærere. »

(44) *Ἐνανθρωπήσεως*. Sic tres Regg., quinque Colb., Or. 1, etc. In ed., ἀνθρωπήσεως.

(45) *Ἰησοῦν Χριστόν*. Sic Or. 1. Deest Χριστόν in ed.

ventem, servilique modo abjicientem. Procul sit A ista servilis sane suspicio, Spirituque indigna. Neque enim Patris est hoc exposcere, aut Filii pati: nec de Deo hoc cogitare pium atque æquum est. Sed ex his, quæ humanitus perpessus est, ad tolerantiam me, ut Verbum et exhortator, inducit. Sic ego advocationem hanc intelligendam arbitror.

XV. Decimo loco ignorantiam ponunt, illudque, quod extremum diem atque horam nemo cognoscat, ac ne Filius quidem ipse, sed solus Pater [60]. At qui fieri potest, ut Sapientia quidquam eorum, quæ sunt, ignoret, ille, inquam, sæculorum factor, ille consummator atque immutator, ille eorum quæ facta sunt finis, quique ea, quæ Dei sunt, **551** perinde novit, ac spiritus hominis ea, quæ in ipso sunt [61]? Quid enim hac cognitione plenius ac per- B fectius? Qui vero constat, ipsum, ea quidem, quæ horam illam antecedunt, ac quæ velut in ipso finis articulo sunt, exactissime scire, ipsam autem horam ignorare? Ænigmati quippe res hæc similis est: perinde videlicet ac si quis ea, quæ ante murum sunt, certissime se nosse affirmet, murum autem ipsum ignorare se fateatur: aut diei finem probe sciens, noctis principium minime cognoscat: ubi alterius cognitio alterum necessario secum ducit. Eccui igitur dubium esse potest, quin horam quidem, ut Deus, cognitam habeat, ignoret autem ut homo, si quis partem aspectabilem ab ea disjungat, quæ mente sola perspici potest? Nam quia absolute hoc loco ac sine relatione, Filii nomen ponitur, nec adjungitur, cujus, idcirco hinc nobis ansa porrigitur ita existimandi, ut ignorantiam hanc sensu maxime pio interpretemur, eamque humanitati, non divinitati ascribamus.

XVI. Si igitur hæc ratio adversariis satisfacit, C hic pedem figemus, nec quidquam amplius a nobis inquiratur. Sin secus, hanc secundam expositionem afferemus; quod quemadmodum singula alia, ita rerum quoque maximarum cognitio in Genitoris honorem ad causam ipsam referenda est. Quin ne exiguum quidem mihi intellecturus videtur, qui sic legerit, ut nostræ memoriæ vir quidam litterarum studiosus, nempe Filium non aliter diem illum vel horam nosse, quam ut Pater. Quid enim hinc colligitur? Quoniam Pater cognoscit, ideo etiam Filius: tanquam videlicet nemo hoc cognoscere ac percipere queat, præter principem illam naturam. Supererat jam de hoc verbo: Mandatum est, de eo etiam, quod Patris mandata servasse, et, quæ placita sunt ei, semper fecisse dicitur [62]; ac insuper D de consummatione et exaltatione, ac de eo, quod ex

A δούλην ὄντως ὑπόνοιαν, καὶ ἀναξίαν τοῦ Πνεύματος. Οὔτε γὰρ τοῦ Πατρὸς τοῦτο ἐπιζητεῖν, οὔτε τοῦ Υἱοῦ πάσχειν, ἢ ὡς (46) περὶ Θεοῦ διανοεῖσθαι δίκαιον· ἀλλ' οἷς πέπονθεν, ὡς ἄνθρωπος, πείθει καρτερεῖν, ὡς Λόγος καὶ παραινέτης. Τοῦτο νοεῖταί μοι ἡ παράκλησις.

ΙΕ'. Δέκατον αυτοις εστιν ἡ ἄγνοια, και το μηδενα γινώσκειν τὴν τελευταίαν ἡμέραν, ἢ ὥραν, μηδὲ τὸν Υἱὸν αὐτὸν, εἰ μὴ τὸν Πατέρα. Καίτοι πῶς ἀγνοεῖ τι τῶν ὄντων ἡ Σοφία, ὁ ποιητὴς (47) τῶν αἰώνων, ὁ συντελεστὴς καὶ μεταποιητὴς, τὸ πέρας τῶν γενομένων, ὁ οὕτω τὰ τοῦ Θεοῦ (48) γινώσκων, ὡς τὸ πνεῦμα τοῦ ἀνθρώπου τὰ (49) ἐν αὐτῷ; Τί γὰρ ταύτης τῆς γνώσεως τελεώτερον; Πῶς δαὶ (50) τὰ μὲν B πρὸ τῆς ὥρας ἀκριβῶς ἐπίσταται, καὶ τὰ οἷον ἐν χρόνῳ τοῦ τέλους, αὐτὴν δὲ ἀγνοεῖ (51) τὴν ὥραν; Αἰνίγματι γὰρ τὸ πρᾶγμα ὅμοιον, ὥσπερ ἂν εἴ τις τὰ μὲν πρὸ τοῦ τείχους ἀκριβῶς ἐπίστασθαι λέγοι, αὐτὸ δὲ ἀγνοεῖν τὸ τεῖχος· ἢ τὸ τῆς ἡμέρας τέλος εὖ ἐπιστάμενος, τὴν ἀρχὴν τῆς νυκτὸς μὴ γινώσκειν· ἔνθα ἡ τοῦ ἑτέρου γνῶσις, ἀναγκαίως συνεισάγει τὸ ἕτερον. Ἢ πᾶσιν εὔδηλον, ὅτι γινώσκει μὲν, ὡς Θεὸς, ἀγνοεῖν δέ φησιν, ὡς ἄνθρωπος, ἄν τις τὸ φαινόμενον χωρίσῃ τοῦ νοουμένου; Τὸ γὰρ ἀπόλυτον εἶναι τοῦ Υἱοῦ τὴν προσηγορίαν καὶ ἄσχετον (52), οὐ προσκειμένου τῷ Υἱῷ *τοῦ τινὸς* (53), ταύτην ἡμῖν δίδωσι τὴν ὑπόνοιαν, ὥστε τὴν ἄγνοιαν ὑπολαμβάνειν ἐπὶ τὸ εὐσεβέστερον, τῷ ἀνθρωπίνῳ, μὴ τῷ θείῳ ταύτην λογιζομένους.

C ΙϚ'. Εἰ μὲν οὖν οὗτος αὐτάρκης ὁ λόγος, ἐνταῦθα στησόμεθα (54), καὶ μηδὲν πλέον ἐπιζητείσθω· εἰ δὲ μὴ, τό γε δεύτερον, ὥσπερ τῶν ἄλλων ἕκαστον, οὕτω δὴ (55) καὶ ἡ γνῶσις τῶν μεγίστων, ἐπὶ τὴν αἰτίαν ἀναφερέσθω τιμῇ τοῦ γεννήτορος. Δοκεῖ δέ μοί τις, μηδ' ἂν ἐκείνως ἀναγνοὺς, ὡς τῶν καθ' ἡμᾶς φιλολόγων τις (56), μικρὸν ἐννοῆσαι, ὅτι οὐδὲ ὁ Υἱὸς ἄλλως οἶδε τὴν ἡμέραν, ἢ τὴν ὥραν, ἢ ὡς ὅτι (57) ὁ Πατήρ. Τὸ γὰρ συναγόμενον, ὁποῖον; Ἐπειδὴ ὁ Πατὴρ γινώσκει, διὰ τοῦτο καὶ ὁ Υἱὸς, ὡς δῆλον, ὅτι μηδενὶ γνωστὸν τοῦτο, μηδὲ ληπτὸν, πλὴν τῆς πρώτης φύσεως. Ἐλείπετο περὶ τοῦ ἐντετάλθαι, καὶ τετηρηκέναι τὰς ἐντολὰς, καὶ τὰ ἀρεστὰ αὐτῷ πάντοτε πεποιηκέναι, διαλαβεῖν ἡμᾶς· ἔτι δὲ τελειώσεως, καὶ ὑψώσεως, καὶ τοῦ μαθεῖν, ἐξ ὧν ἔπαθε, D τὴν ὑπακοὴν, καὶ ἀρχιερωσύνης τε καὶ προσφορᾶς, καὶ παραδόσεως (58), καὶ δεήσεως τῆς πρὸς τὸν δυ-

[60] Marc. XIII, 32. [61] I Cor. II, 11. [62] Joan. X, 18; XV, 10; VIII, 29.

(46) *Ἢ ὡς*. Duo Regg. et quatuor Colbert., εἰ ὡς. Comb., οὐδ' ὡς.

(47) *Ὁ ποιητὴς... τῶν γενομένων*. Hæc et interjecta rejicit Combefisius; atque in iis vertendis male Billium desudasse pronuntiat.

(48) *Ὁ οὕτω τὰ τοῦ Θεοῦ*. Hæc de Spiritu sancto, non de Filio sunt dicta.

(49) *Τά*. Or. 1, τό.

(50) *Πῶς δαί*. Tres Regg. et Or. 1, πῶς δέ.

(51) *Ἀγνοεῖ*. Coisl. 5, ἀγνοεῖν

(52) *Ἄσχετον*. « Absque relatione, nulla illius, cujus est Filius, facta mentione. »

(53) *Τοῦ τινός*. Deest in Or. 1.

(54) *Ἐνταῦθα στησόμεθα*. Comb., στησώμεθα, « Hic pedem figamus. »

(55) *Δή*. Tres Regg. et Or. 1, δέ.

(56) *Φιλολόγων τις*. Putat Elias hic « Basilium magnum » intelligi.

(57) *Ὅτι*. Deest in duobus Regg. et duobus Colb.

(58) *Παραδόσεως*. Alludit ad hæc Apostoli verba, Rom. IV, 25, « Traditus est propter delicta nostra. »

νάμενον σώζειν αὐτὸν ἐκ θανάτου, καὶ ἀγωνίας, καὶ θρόμβων, καὶ προσευχῆς, καὶ εἴ τι ἄλλο τοιοῦτον· εἰ μὴ πᾶσι πρόδηλον ἦν, ὅτι περὶ (59) τὸ πάσχον τὰ τοιαῦτα τῶν ὀνομάτων, οὐ περὶ τὴν ἄτρεπτον φύσιν, καὶ τοῦ πάσχειν ὑψηλοτέραν. Ὁ μὲν οὖν περὶ τῶν ἀντιθέτων λόγος, τοσοῦτον, ὅσον ῥίζα τις εἶναι καὶ ὑπόμνημα (60) τοῖς ἐξεταστικωτέροις τῆς τελεωτέρας ἐξεργασίας. Ἄξιον δὲ ἴσως, καὶ τοῖς προειρημένοις ἀκόλουθον, μηδὲ τὰς προσηγορίας τοῦ Υἱοῦ παρελθεῖν ἀθεωρήτους, πολλάς τε οὔσας (61), καὶ κατὰ πολλῶν κειμένας τῶν περὶ αὐτὸν νοουμένων· ἀλλ' ἑκάστην αὐτῶν, ὅ τί ποτε βούλεται, παραστῆσαι, καὶ δεῖξαι τὸ τῶν ὀνομάτων μυστήριον.

A his, quæ passus est, obedientiam didicisse scribitur[63], de sacerdotio[64] item, et oblatione[65], et traditione[66], et oratione ad eum qui a morte salvum eum facere poterat; ad hæc de agonia, et sanguineo sudore, atque oratione[67], et si quid aliud ejusdem est generis, pertractare: nisi cuivis exploratum esset, hujusmodi nomina perpetienti humanitati attribuenda esse, non autem immutabili illi naturæ, atque omni dolore et cruciatu sublimiori. Hæc habui, quæ ad diluendas adversariorum **552** objectiones afferrem, ut, velut radicis cujusdam, ac submonitionis instar, iis sint, qui majori inquirendi solertia præditi sunt, ad eamdem materiem plenius exactiusque pertractandam. Operæ pretium autem fortasse, minimeque ab iis, quæ prius diximus, alienum fuerit, cum multa sint Filii nomina, et multis, quæ de eo intelligantur, imposita, hæc sine speculatione non præterire; verum quid quæque appellatio sibi velit, declara e, ac mysticam vim nominum explicare.

ΙΖ΄. Ἀρκτέον δὲ ἡμῖν ἐντεῦθεν. Τὸ Θεῖον ἀκατονόμαστον· καὶ τοῦτο δηλοῦσιν, οὐχ οἱ λογισμοὶ μόνον, ἀλλὰ καὶ Ἑβραίων οἱ σοφώτατοι καὶ παλαιότατοι, ὅσον εἰκάζειν ἔδωκαν (62). Οἱ γὰρ χαρακτῆρσιν ἰδίοις τὸ Θεῖον τιμήσαντες, καὶ οὐδὲ γράμμασιν (63) ἀνασχόμενοι τοῖς αὐτοῖς ἄλλο τι γράφεσθαι τῶν μετὰ Θεὸν, καὶ Θεὸν, ὡς δέον ἀκοινώνητον εἶναι καὶ μέχρι τούτου τὸ Θεῖον τοῖς ἡμετέροις, πότε ἂν δέξαιντο λυομένῃ (64) φωνῇ δηλοῦσθαι τὴν ἄλυτον φύσιν καὶ ἰδιάζουσαν; Οὔτε γὰρ ἀέρα τις ἔπνευσεν ὅλον πώποτε, οὔτε οὐσίαν Θεοῦ παντελῶς, ἢ νοῦς ἐχώρησεν (65), ἢ φωνὴ περιέλαβεν. Ἀλλ' ἐκ τῶν περὶ αὐτὸν σκιαγραφοῦντες τὰ κατ' αὐτὸν, ἀμυδράν τινα καὶ ἀσθενῆ, καὶ ἄλλην ἀπ' ἄλλου (66) φαντασίαν συλλέγομεν. Καὶ οὗτος ἄριστος ἡμῖν θεολόγος, οὐχ ὃς εὗρε τὸ πᾶν, οὐδὲ γὰρ δέχεται τὸ πᾶν ὁ δεσμὸς (67), ἀλλ' ὃς ἂν (68) ἄλλου φαντασθῇ πλέον, καὶ πλεῖον ἐν ἑαυτῷ συναγάγῃ τὸ τῆς ἀληθείας ἴνδαλμα, ἢ ἀποσκίασμα, ἢ ὅ τι καὶ ὀνομάσομεν (69).

B XVII. Hinc porro initium ducendum erit. Deus nullo nomine exprimi potest; idque declarant, non modo ratiocinationes, sed Hebræorum doctissimi atque antiquissimi quique, quantum quidem nobis conjiciendum dederunt. Nam qui propriis notis summum illud nomen honorandum duxerunt, ac ne iisdem quidem litteris aliud quiddam eorum, quæ post Deum sunt, ac Deum ipsum, scribi sustinuerunt (tanquam scilicet Deum huc etiam usque a rerum nostrarum commercio distinctum esse oporteat), ecquando tandem solutili voce naturam illam insolutilem, nec cum aliis communem explicari paterentur? Quemadmodum enim nemo est, qui aerem totum unquam hauserit: ita Dei naturam, nec mens unquam ulla prorsus concepit, nec vox ulla C complexa est. Verum ipsum ex his, quæ in ipso sunt, adumbrantes, obscuram quamdam et imbecillem, atque aliam ex alio speciem colligimus. Ac præstantissimus hic apud nos theologus censetur, non qui in totum, quid Deus sit, invenerit; nec enim vinculum capere hoc totum potest; sed qui ampliorem ipsius speciem mente conceperit, ampliusque veritatis simulacrum, vel adumbrationem, vel quocunque tandem alio vocabulo uti quis malit, in seipso collegerit.

ΙΗ΄. Ὅσον δ' οὖν ἐκ τῶν ἡμῖν ἐφικτῶν, *ὁ μὲν ὢν*, καὶ *ὁ Θεὸς*, μᾶλλόν πως τῆς οὐσίας ὀνόματα· καὶ τούτων μᾶλλον, *ὁ ὤν*· οὐ μόνον ὅτι τῷ Μωϋσεῖ χρηματίζων ἐπὶ τοῦ ὄρους, καὶ τὴν κλῆσιν ἀπαιτούμενος, ἢ (70) τίς ποτε εἴη, τοῦτο προσεῖπεν ἑαυτὸν, *Ὁ ὢν ἀπέσταλκέ με*, τῷ λαῷ κελεύσας εἰπεῖν· ἀλλ'

XVIII. Quantum ergo nobis assequi concessum est, *Ens*, et *Deus*, magis quodammodo essentiæ nomina sunt; ex iisque etiam vox, *Ens*, ad eam indicandam aptior est; non hoc solum nomine, quod ipse, cum Moysi in monte oraculum ederet, quæreretque ille, quo nomine vocaretur, ita seipsum

[63] Hebr. v, 9 et seq. [64] Hebr. vii, 1 sqq. [65] Rom. iv, 25. [66] Galat. ii, 20. [67] Luc. xxii, 44 seq.

(59) *Περί*. Deest in pluribus Regg. et Colb.

(60) *Ὑπόμνημα*. « Commonitorium. »

(61) *Πολλάς τε οὔσας*, etc. Bill.: « Ne ipsa quidem Filii nomina, quæ et multa et multis rebus, quæ mente atque intelligentia percipimus, imposita sunt, » etc.

(62) *Ἔδωκαν*. Sic codd. Mendose in ed., ἔδοκα.

(63) *Γράμμασιν*. Hic יהוה, id est, « Jehova, » intelligitur. Nomen istud « tetragrammaton, » seu « quatuor litteris constans, » vocatur. Significat « ens, » vel « exsistens ab æterno et in æternum. » Tanta erat apud Hebræos istius nominis reverentia, ut ab ejus pronuntiatione abstinentes, pro eo legebant אדני, « Adonai. » Hunc locum sic reddit Leuvenklaius: « Ac ne quidem permiserit, ut ali- D quid eorum, quæ sunt secundum Deum, iisdem litteris scriberetur, quibus Dei nomen. »

(64) *Λυομένῃ*. « Vox, » inquit Elias, « dissolvitur in syllabas, vel elementa, vel in aerem spargitur. »

(65) *Ἐχώρησεν*. Plures Regg. et Colbert., κεχώρηκεν.

(66) *Ἄλλην ἀπ' ἄλλου*. Coisl. 1, ἄλλην ἀπ' ἄλλης, « aliam ex alia. »

(67) *Δεσμός*. « Vinculum, » id est, « corpus, » inquit Elias, « cui animus quasi quodam vinculo est copulatus. »

(68) *Ὃς ἄν*. Tres Regg. ac tres Colb., ὃς ἐάν.

(69) *Ὀνομάσομεν*. Tres Regg., ὀνομάσωμεν.

(70) *Ἤ*. Unus Reg., εἰ.

appellavit, edicens videlicet ei, ut ad populum his verbis uteretur : *Qui est, misit me*[68]; sed etiam quia nomen illud magis proprium esse comperimus. Quamvis **553** enim *Dei* vox, vel a verbo θέειν, vel ab αἴθειν, ut putant qui in hoc genere sibi sciti atque arguti videntur, hoc est, a *currendo*, vel ab *urendo*, rationem originis suæ ducat, propter motus perpetuitatem, et quod vitiosos habitus consumat (nam hinc quoque ignis consumens dicitur[69]), ex eorum tamen numero est, quæ ad aliquid referuntur, nec libera et absoluta est; quemadmodum nec vox ista, *Dominus*, quæ *Dei* quoque nomen esse dicitur. *Ego enim*, inquit, *Dominus Deus tuus : hoc meum nomen est*[70]; et, *Dominus nomen ipsi*[71]. At nos naturam ejusmodi exquirimus, quæ ipsum esse per se habeat, ac non cum alio quopiam copuletur. Ens vero, proprium sane est Dei, ac totum, nec priore aliqua re, nec posteriore (nec enim erat, aut erit), definitum ac circumcisum.

A ὅτι καὶ κυριωτέραν ταύτην εὑρίσκομεν. Ἡ μὲν γὰρ τοῦ Θεοῦ, κἂν ἀπὸ τοῦ *θέειν*, ἢ *αἴθειν*, ἠτυμολόγηται τοῖς περὶ ταῦτα κομψοῖς, διὰ τὸ ἀεικίνητον καὶ δαπανητικὸν τῶν μοχθηρῶν ἕξεων, καὶ γὰρ πῦρ καταναλίσκον ἐντεῦθεν λέγεται, ἀλλ' οὖν τῶν πρός τι λεγομένων ἐστὶ, καὶ οὐκ ἄφετος· ὥσπερ καὶ ἡ *Κύριος* φωνὴ, ὄνομα εἶναι Θεοῦ καὶ αὐτὴ λεγομένη· *Ἐγὼ γὰρ*, φησὶ, *Κύριος, ὁ Θεός σου· τοῦτό μου* (71) *ἐστὶν ὄνομα*· καὶ, *Κύριος ὄνομα αὐτῷ*. Ἡμεῖς δὲ φύσιν ἐπιζητοῦμεν, ᾗ (72) τὸ εἶναι καθ' ἑαυτὸ, καὶ οὐκ ἄλλῳ συνδεδεμένον· τὸ δὲ ὂν (73), ἴδιον ὄντως Θεοῦ, καὶ ὅλον, μήτε τῷ πρὸ αὐτοῦ, μήτε τῷ μετ' αὐτὸν, οὐ γὰρ ἦν, ἢ ἔσται, περατούμενον ἢ περικοπτόμενον.

XIX. Alia autem nomina partim potestatis esse constat, partim œconomiæ, et quidem duplicis; alterius nimirum corpore sublimioris, alterius cum corpore conjunctæ. Exempli causa, Omnipotens[72], et Rex, vel gloriæ[73], vel sæculorum[74], vel virtutum[75], vel dilecti[76], vel regnantium[77]. Item Dominus vel Sabaoth[78], hoc est, exercituum, vel virtutum[79], vel dominantium[80]. Hæc sine ulla dubitatione potentiam Dei ostendunt. *Deus* rursus, vel salvos faciendi[81], vel ultionum[82], vel pacis[83], vel justitiæ[84], vel Abrahæ, Isaac, et Jacob[85], universique spiritualis Israelis, ac Deum videntis. Hæc utique œconomiæ sunt nomina. Quoniam enim tribus his rebus gubernamur, nempe et supplicii metu, et salutis gloriæque spe, et cultu virtutum, quibus hæc comparantur; ultionum quidem nomine, metus procuratur; salutis autem, spes; virtutum denique, probitatis studium : ut qui aliquid horum assequitur, perinde ac Deum in seipso gerens, ad perfectionem et familiaritatem eam atque cognationem, qua nos virtus ipsi conciliat, majori celeritate festinet. Atque hæc vocabula Deitati communia sunt. Proprium autem ejus, qui principii expers est, nomen, Pater : ejus autem, qui citra ullum principium genitus est, Filius : illius denique, qui citra generationem processit, aut progreditur, Spiritus sanctus. Verum ad Filii nomina, de quibus nobis dicere propositum erat, accedamus.

B ΙΘ'. Τῶν δ' ἄλλων προσηγοριῶν, αἱ μὲν τῆς ἐξουσίας εἰσὶ προφανῶς, αἱ δὲ τῆς οἰκονομίας (74), καὶ ταύτης διττῆς· τῆς μὲν ὑπὲρ τὸ σῶμα, τῆς δὲ ἐν σώματι· οἷον ὁ μὲν Παντοκράτωρ, καὶ ὁ Βασιλεὺς, ἢ τῆς δόξης, ἢ τῶν αἰώνων, ἢ τῶν δυνάμεων, ἢ τοῦ (75) ἀγαπητοῦ, ἢ τῶν βασιλευόντων· καὶ ὁ Κύριος, ἢ Σαβαὼθ (76), ὅπερ ἐστὶ στρατιῶν, ἢ τῶν δυνάμεων, ἢ τῶν κυριευόντων. Ταῦτα μὲν σαφῶς τῆς ἐξουσίας. Ὁ δὲ *Θεὸς*, ἢ τοῦ σώζειν, ἢ ἐκδικήσεων, ἢ εἰρήνης, ἢ δικαιοσύνης, ἢ Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ, καὶ (77) παντὸς Ἰσραὴλ τοῦ πνευματικοῦ, καὶ ὁρῶντος Θεόν· ταῦτα δὲ τῆς οἰκονομίας. Ἐπειδὴ γὰρ τρισὶ τούτοις διοικούμεθα, δέει τε τιμωρίας, καὶ σωτηρίας ἐλπίδι, πρὸς δὲ καὶ δόξης, καὶ ἀσκήσει τῶν ἀρετῶν, ἐξ ὧν ταῦτα· τὸ μὲν τῶν ἐκδικήσεων C ὄνομα οἰκονομεῖ τὸν φόβον· τὸ δὲ τῶν σωτηρίων, τὴν ἐλπίδα· τὸ δὲ τῶν ἀρετῶν, τὴν ἄσκησιν· ἵν' ὡς τὸν Θεὸν ἐν ἑαυτῷ φέρων, ὁ τούτων τι κατορθῶν, μᾶλλον ἐπείγηται πρὸς τὸ τέλειον, καὶ τὴν ἐξ ἀρετῶν οἰκείωσιν. Ταῦτα μὲν οὖν ἐστι (78) κοινὰ θεότητος τὰ ὀνόματα. Ἴδιον δὲ τοῦ μὲν ἀνάρχου, Πατήρ; τοῦ δὲ ἀνάρχως γεννηθέντος, Υἱός· τοῦ δὲ ἀγεννήτως προελθόντος (79), ἢ προϊόντος, τὸ Πνεῦμα τὸ ἅγιον. Ἀλλ' ἐπὶ τὰς τοῦ Υἱοῦ κλήσεις ἔλθωμεν, ὅπερ ὡρμήθη λέγειν ὁ λόγος.

XX. Primum ergo Filius[86] mihi dici videtur, quia essentia idem est cum Patre : neque id solum, sed quia etiam ex illo est. **554** Unigenitus[87] autem,

D Κ'. Δοκεῖ γάρ μοι λέγεσθαι, Υἱὸς μὲν, ὅτι ταὐτόν ἐστι τῷ Πατρὶ κατ' οὐσίαν· καὶ οὐκ ἐκεῖνο μόνον, ἀλλὰ κἀκεῖθεν. Μονογενὴς δὲ, οὐχ ὅτι μόνος ἐκ μό-

[68] Exod. III, 14. [69] Deut. IV, 24. [70] Isa. XLII, 8. [71] Amos IX, 6; Psal. LXVII, 5. [72] Exod. XV, 3. [73] Psal. XXIII, 10. [74] I Tim. I, 17. [75] Psal. LXVII, 13. [76] ibid. [77] I Tim. VI, 15, 77. [78] Rom. IX, 29. [79] Psal. XXIII, 10. [80] Deut. X, 17. [81] Psal. LXVII, 21. [82] Psal. XCIII, 1. [83] Rom. XV, 33. [84] Psal. IV, 2. [85] Exod. III, 6. [86] Matth. XVII, 5. [87] Joan. I, 18.

(71) *Τοῦτό μου*. Reg., Cyp., τοῦτό μοι.
(72) *Ἧ*. Sic codd. In ed., ἡ.
(73) *Τὸ δὲ ὄν*. Comb., τὸ δὲ ὤν.
(74) *Οἰκονομίας*, etc. « Providentiæ, » id est, administrationis rerum humanarum, « quæ duplex est, » inquit Bil., « alia ante, alia post Incarnationem. »
(75) *Τοῦ*. Deest in quatuor Regg. et Or. 1.
(76) *Κύριος, ἢ Σαβαώθ*, etc. Sic plures Regg. et Colb. In ed., Κύριος Σαβαὼθ, ἢ ὅπερ, etc.
(77) *Καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ, καὶ*, etc. Comb., ἢ Ἰσαὰκ, ἢ Ἰακὼβ, ἤ, etc.
(78) *Ἐστί*. Sic Par. et Bas. In ed., ἔτι.
(79) *Προελθόντος*, etc. « Processit, aut progreditur. » Hoc sic intelligendum est, inquit Elias, « quod non semel processerit, ac jam spatio quodam distet ab illo, ex quo processit; sed quod ei semper adsit. »

νου καὶ μόνον, ἀλλ' ὅτι καὶ μονοτρόπως, οὐχ ὡς τὰ σώματα· Λόγος δὲ, ὅτι οὕτως ἔχει πρὸς τὸν Πατέρα, ὡς πρὸς νοῦν λόγος (80)· οὐ μόνον διὰ τὸ ἀπαθὲς τῆς γεννήσεως, ἀλλὰ καὶ τὸ συναφὲς, καὶ τὸ ἐξαγγελτικόν (81)· τάχα δ' ἂν εἴποι τις, ὅτι καὶ ὡς ὅρος πρὸς τὸ ὁριζόμενον, ἐπειδὴ καὶ τοῦτο λέγεται λόγος. *Ὁ γὰρ νενοηκὼς*, φησὶ, *τὸν Υἱὸν* (τοῦτο γάρ ἐστι τὸ *ἑωρακὼς*), *νενόηκε τὸν Πατέρα*· καὶ σύντομος ἀπόδειξις καὶ ῥᾳδία τῆς τοῦ Πατρὸς φύσεως, ὁ Υἱός· γέννημα γὰρ ἅπαν τοῦ γεγεννηκότος, σιωπῶν λόγος. Εἰ δὲ καὶ διὰ τὸ ἐνυπάρχειν τοῖς οὖσι λέγοι τις, οὐχ ἁμαρτήσεται τοῦ λόγου· τί γάρ ἐστιν, ὃ μὴ Λόγῳ συνέστηκεν; Σοφία δὲ, ὡς ἐπιστήμη θείων τε καὶ ἀνθρωπίνων πραγμάτων· πῶς γὰρ οἷόν τε τὸν πεποιηκότα, τοὺς λόγους ἀγνοεῖν, ὧν πεποίηκε; Δύναμις δὲ, ὡς συντηρητικὸς τῶν γενομένων, καὶ τὴν τοῦ συνέχεσθαι ταῦτα χορηγῶν δύναμιν. Ἀλήθεια δὲ, ὡς ἓν, οὐ πολλὰ τῇ φύσει· τὸ μὲν γὰρ ἀληθὲς, ἕν· τὸ δὲ ψεῦδος, πολυσχιδές· καὶ ὡς καθαρὰ τοῦ Πατρὸς σφραγὶς, καὶ χαρακτὴρ ἀψευδέστατος. Εἰκὼν δὲ (82), ὡς ὁμοούσιον, καὶ ὅτι τοῦτο ἐκεῖθεν, ἀλλ' οὐκ ἐκ τούτου Πατήρ· αὕτη γὰρ εἰκόνος φύσις, μίμημα (83) εἶναι τοῦ ἀρχετύπου, καὶ οὗ λέγεται· πλὴν ὅτι καὶ πλέον (84) ἐνταῦθα· ἐκεῖ μὲν γὰρ (85), ἀκίνητος κινουμένου· ἐνταῦθα δὲ, ζῶντος καὶ ζῶσα, καὶ πλέον (86) ἔχουσα τὸ ἀπαράλλακτον, ἢ τοῦ Ἀδὰμ ὁ Σὴθ (87), καὶ τοῦ γεννῶντος παντὸς τὸ γεννώμενον· τοιαύτη γὰρ ἡ τῶν ἁπλῶν φύσις, μὴ τῷ μὲν ἐοικέναι, τῷ δὲ ἀπεοικέναι, ἀλλ' ὅλον ὅλου τύπον εἶναι, καὶ ταυτὸν μᾶλλον, ἢ ἀφομοίωμα. Φῶς δὲ, ὡς λαμπρότης ψυχῶν καὶ λόγῳ καὶ βίῳ καθαιρομένων. Εἰ γὰρ σκότος ἡ ἄγνοια καὶ ἡ ἁμαρτία, φῶς ἂν εἴη ἡ γνῶσις, καὶ ὁ βίος (88) ὁ ἔνθεος. Ζωὴ δὲ, ὅτι φῶς, καὶ πάσης λογικῆς φύσεως σύστασις καὶ οὐσίωσις (89)· *Ἐν αὐτῷ γὰρ ζῶμεν, καὶ κινούμεθα, καὶ ἐσμὲν*, κατὰ τὴν διπλῆν (90) τοῦ ἐμφυσήματος δύναμιν, καὶ πνοήν· ἐκεῖθεν (91) ἐμφυσώμενοι πάντες, καὶ Πνεῦμα ἅγιον ὅσοι χωρητικοὶ, καὶ τοσοῦτον, καθ' ὅσον ἂν τὸ στόμα τῆς διανοίας ἀνοίξωμεν. Δικαιοσύνη δὲ, ὅτι τοῦ πρὸς ἀξίαν διαιρέτης, καὶ διαιτῶν δικαίως τοῖς ὑπὸ νόμον, καὶ τοῖς ὑπὸ χάριν, ψυχῇ καὶ σώματι, ὥστε τὸ μὲν ἄρχειν, τὸ δὲ ἄρχεσθαι, καὶ τὴν ἡγεμονίαν ἔχειν τὸ κρεῖττον κατὰ τοῦ χείρονος, ὡς μὴ τὸ χεῖρον ἐπανίστασθαι τῷ βελτίονι· *Ἁγιασμὸς* δὲ, ὡς

non quia solus ex solo, et solum; sed etiam quia unico modo, ac non ut corpora. Verbum [88] porro, quia ita se habet ad Patrem, ut sermo ad mentem, non modo propter generationem passionis omnis expertem, verum etiam propter conjunctionem ipsius cum Patre, vimque enuntiatricem. Fortasse etiam quis dixerit, eodem modo se ad Patrem habere, quo definitio ad definitum, quoniam definitio quoque λόγος dicitur. *Qui enim Filium cognovit*, ait Christus (hoc enim idem significat, ac, *vidit*), *Patrem quoque cognovit* [89]: ac brevis, et compendiosa facilisque paternæ naturæ declaratio est Filius. Omne enim quod genitum est, genitorem suum tacita quadam voce definit. Quod si quis etiam, quia rebus omnibus insit, Λόγον vocari contendat, a ratione non aberrabit. Quid enim est, quod non Verbo conditum sit? Sapientia [90] vero, ut rerum divinarum et humanarum scientia. Qui enim fieri potest, ut conditor rerum a se conditarum rationes ignoret? Potentia [91], ut rerum creatarum conservator, vimque iis suppeditans ut contineantur. Veritas [92], ut natura unum, non multa. Verum quippe unum est; mendacium multiplex: atque etiam ut purum Patris sigillum, minimeque mendax character. Imago [93], ut ejusdem cum Patre substantiæ [94], et quia ex illo est, non autem ex hoc Pater. Hæc siquidem imaginis natura est, ut sit imitatio exemplaris, cujus imago dicitur; quanquam hic imago exemplar suum expressius refert. Illic enim rei vivæ ac motu præditæ mortua et motus expers imago est: hic autem vivi exemplaris viva quoque est effigies, multoque minus a Patre differens, quam Seth ab Adamo [94*], filiusque omnis a parente suo. Hujusmodi namque simplicium rerum natura est, ut non partim inter se similes sint, partim dissimiles, sed totæ totas repræsentent, eædemque potius sint, quam similes. Lux [95] etiam dicitur, ut animorum splendor, qui et vita et sermone purgantur. Nam si ignorantia et peccatum tenebræ sunt, lux profecto erit scientia, et vita divina. Vita [96], quia lux, totiusque rationе præditæ naturæ coagmentatio, et procreatio: *In ipso enim vivimus, et movemur, et sumus* [97], secundum duplicem illam inspirationis [98] facultatem. Nam et illinc omnes vitalem spiritum **555** accipi-

[88] Joan. I, 1. [89] Joan. XIV, 7, 9. [90] I Cor. I, 30. [91] Ephes. V, 19. [92] Joan. XIV, 6. [93] Coloss. I, 15. [94] Hebr. I, 3. [94*] Gen. IV, 25. [95] Joan. VIII, 12. [96] Joan. XIV, 6. [97] Act. XVII, 28. [98] Gen. II, 7.

(80) *Ὡς πρὸς νοῦν λόγος*. « Ut sermo ad mentem; » quia Verbum est Patris imago naturalis, quæ totum Patrem, sicut sermo totam cogitationem, repræsentat.

(81) *Ἐξαγγελτικόν*. Id est, juxta Eliam, « propter interpretationem et enuntiationem paternæ voluntatis. »

(82) *Εἰκὼν δέ*. « Imago. » Vere Christus est Patris « imago, » non imitatrix, sed naturalis.

(83) *Μίμημα*, etc. Billius: « Ut exemplar suum imitando referat. »

(84) *Πλέον*. Duo Regg. et Or. 1, πλεῖον.

(85) *Ἐκεῖ μὲν γάρ*, etc. Iste locus in Coisl. 1, sic legitur: Ἐκεῖ μὲν γὰρ ἀκινήτως νοουμένου, ἐνταῦθα δέ, etc.

(86) *Πλέον*. Tres Regg. et Or. 1, πλεῖον.

(87) *Ἢ τοῦ Ἀδὰμ ὁ Σήθ*. Quamvis enim Adam et Seth naturæ humanæ participes fuerint, uterque tamen sibi propriam, et ab alio distinctam essentiam et substantiam habebant; ita ut non unus homo, sed duo homines essent: contra in divinis, Pater et Filius unius ejusdemque numero substantiæ sunt, ita ut non duo Dii, sed vere ac proprie unus Deus sint.

(88) *Καὶ ὁ βίος*. Sic plures Regg. et Colb. Deest ὁ in ed.

(89) *Οὐσίωσις*. « Essentiatio, » vel « substantiatio. »

(90) *Διπλῆν*. « Duplicem, » etc. Deus primo homini spiraculum vitæ inspiravit. Deinde Christus post resurrectionem discipulos afflavit, eisque Spiritum sanctum largitus est.

(91) *Ἐκεῖθεν*. Deest in pluribus codd.

mus, et Spiritum sanctum, quotquot ipsius capaces sumus, et quatenus os mentis aperuerimus. Justitia[99], quia pro merito præmia et pœnas distribuit, æquumque judicem se præbet his, qui sub lege sunt, et his, qui sub gratia; corporique item et animæ, ut illud pareat, hæc præsit atque imperet, præstantiorque pars principatum adversus inferiorem teneat, nec id quod deterius est, adversus id, quod melius est, insurgat. Sanctificatio[1], quia puritas, ut purum illud numen per puritatem capiatur. Redemptio[2], quia nos a peccato detentos in libertatem asserit, seseque pro nobis, ut orbis terrarum expietur, liberationis pretium dat. Resurrectio[3], ut nos hinc abductos suscitans, et a peccato morte affectos ad vitam reducens.

καθαρότης, ἵνα χωρῆται τὸ καθαρὸν καθαρότητι. Ἀπολύτρωσις δὲ, ὡς ἐλευθερῶν ἡμᾶς, ὑπὸ τῆς ἁμαρτίας κατεχομένους, καὶ λύτρον ἑαυτὸν ἀντιδιδοὺς ἡμῶν τῆς οἰκουμένης καθάρσιον. Ἀνάστασις δὲ, ὡς ἐντεῦθεν ἡμᾶς ἀπανιστῶν (92), καὶ πρὸς τὴν ζωὴν ἐπανάγων νενεκρωμένους ὑπὸ τῆς ἁμαρτίας (93).

XXI. Atque hæc adhuc communia sunt, tam ei qui supra nos est, quam qui propter nos. Nunc ad ea veniamus, quæ proprie nostra sunt, humanitatisque assumptæ. Homo[4] itaque dicitur, non solum ut per corpus a corporibus capiatur, qui alioqui ob incomprehensibilem naturam suam capi non poterat; sed etiam ut per se hominem sanctitate afficiat, fermentique instar universæ massæ sit, sibique uniens quod condemnatum fuerat, totum illud a condemnatione liberet, omnia pro nobis, quæ nos sumus, excepto peccato, factus, corpus, anima, mens (per quæ videlicet mors pervaserat); et, quod ex his commune est, homo, visibilis Deus, propter id quod animo atque intellectu comprehendebatur. Filius hominis[5], propter Adamum, ac Virginem, ex quibus exstitit, illo nimirum ut generis auctore, hac autem ut matre, juxta matris legem, et non juxta legem generationis. Christus[6], propter divinitatem: ea enim humanitatis unctio est, non operatione, ut in aliis christis, sed totius ungentis præsentia sanctificans: cujus hic effectus est, ut id, quod ungit, homo vocetur, et, quod ungitur, Deus fiat: Via[7], ut per se nos ducens; Ostium[8], ut introductor: Pastor[9], ut nos in loco pascuæ collocans, et aqua refectionis educans[10], atque hinc nobis itineris ducem se præbens, necnon adversus belluas pro nobis dimicans: tum etiam, ut errantes revocans, et **556** perditos reducens, et confractos obligans, et infirmos roborans, et firmos ac validos custodiens, atque ad futuræ vitæ caulam, per pastoralis scientiæ rationes, colligens: Ovis[11] porro, ut victima: Agnus[12], ut perfectus:

ΚΑ'. Ταῦτα μὲν οὖν ἔτι κοινὰ τοῦ τε ὑπὲρ ἡμᾶς, καὶ τοῦ δι' ἡμᾶς (94)· ἃ δὲ ἰδίως ἡμέτερα, καὶ τῆς ἐντεῦθεν προσλήψεως (95). Ἄνθρωπος μὲν, οὐχ ἵνα χωρηθῇ μόνον διὰ σώματος σώμασιν, ἄλλως οὐκ ἂν χωρηθεὶς διὰ τὸ τῆς φύσεως ἄληπτον (96)· ἀλλ' ἵνα καὶ ἁγιάσῃ δι' ἑαυτοῦ τὸν ἄνθρωπον, ὥσπερ ζύμη (97) γενόμενος τῷ παντὶ φυράματι, καὶ πρὸς ἑαυτὸν ἑνώσας τὸ κατακριθὲν, ὅλον λύσῃ τοῦ κατακρίματος, πάντα ὑπὲρ πάντων γενόμενος, ὅσα ἡμεῖς, πλὴν τῆς ἁμαρτίας, σῶμα, ψυχὴ, νοῦς, δι' ὅσον (98) ὁ θάνατος· τὸ κοινὸν ἐκ τούτων, ἄνθρωπος, Θεὸς ὁρώμενος, διὰ τὸ νοούμενον (99). Υἱὸς δὲ ἀνθρώπου, καὶ διὰ τὸν Ἀδὰμ, καὶ διὰ τὴν Παρθένον, ἐξ ὧν ἐγένετο· τοῦ μὲν, ὡς προπάτορος, τῆς δὲ, ὡς μητρὸς νόμῳ (1), καὶ οὐ νόμῳ γεννήσεως· Χριστὸς δὲ, διὰ τὴν θεότητα· χρίσις γὰρ αὕτη τῆς ἀνθρωπότητος, οὐκ ἐνεργείᾳ κατὰ τοὺς ἄλλους χριστοὺς (2) ἁγιάζουσα, παρουσίᾳ δὲ ὅλου τοῦ χρίοντος· ἧς ἔργον, ἄνθρωπον ἀκοῦσαι (3) τὸ χρῖον, καὶ ποιῆσαι Θεὸν τὸ χριόμενον· Ὁδὸς δὲ, ὡς δι' ἑαυτοῦ φέρων ἡμᾶς· Θύρα δὲ, ὡς εἰσαγωγεύς· Ποιμὴν δὲ, ὡς εἰς τόπον χλόης κατασκηνῶν, καὶ ἐκτρέφων ἐπὶ ὕδατος ἀναπαύσεως, καὶ ἐντεῦθεν ὁδηγῶν, καὶ προπολεμῶν κατὰ τῶν θηρίων· τὸ πλανώμενον ἐπιστρέφων, τὸ ἀπολωλὸς ἐπανάγων, τὸ συντετριμμένον καταδεσμῶν, τὸ ἰσχυρὸν φυλάσσων, καὶ πρὸς τὴν ἐκεῖθεν μάνδραν συνάγων λόγοις ποιμαντικῆς ἐπιστήμης· Πρόβατον δὲ, ὡς σφάγιον· Ἀμνὸς δὲ, ὡς τέλειον· Ἀρχιερεὺς (4) δὲ, ὡς προσαγωγεύς· Μελχισεδὲκ δὲ, ὡς ἀμήτωρ τὸ ὑπὲρ ἡμᾶς, καὶ ἀπάτωρ τὸ καθ' ἡμᾶς· καὶ ὡς ἀγενεαλόγητος (5) τὸ ἄνω· *Τὴν γὰρ γενεὰν αὐτοῦ*, φησὶ, *τίς διηγήσεται;* καὶ ὡς βασιλεὺς Σαλὴμ, *εἰρήνη* δὲ τοῦτο, καὶ

[99] I Cor. I, 30. [1] ibid. [2] ibid. [3] Joan. XI, 25. [4] Joan. IX, 11. [5] Matth. XXIV, 27, 44. [6] Matth. I, 16. [7] Joan. XIV, 6. [8] Joan. X, 9. [9] Joan. X, 11. [10] Psal. XXII, 2. [11] Isa. LIII, 7. [12] Joan. I, 29.

(92) *Ἀπανιστῶν*. Tres Regg., ἀπανιστάς. Oxon., ἐπανιστάς.

(93) *Ἁμαρτίας*. Coisl. 1, γεύσεως.

(94) *Δι' ἡμᾶς*. Reg., Cypr., καθ' ἡμᾶς, « quam qui nobis similis. »

(95) *Προσλήψεως*. Reg. bm, προλήψεως.

(96) *Ἄληπτον*. Bill. « Imperceptibilem. »

(97) *Ζύμη*. Divinitas intelligitur, quæ in Christo, « instar frumenti, » humanitati juncta est.

(98) *Δι' ὅσον*. Coisl. 2, quatuor Colb. et Or. 1, δι' ὅσων.

(99) *Διὰ τὸ νοούμενον*. « Propter id, » etc. Ratione divinitatis.

(1) *Ὡς μητρὸς νόμῳ, καί*, etc. Bill. legit, ὡς μητρὸς, νόμῳ καί, etc. « Ut matre, et juxta legem, et supra legem generationis. »

(2) *Ἄλλους χριστούς*. « Aliis christis, » id est, « regibus et pontificibus, » qui unctionis consortes, « uncti » dicuntur, juxta illud ps. XLIV, « Unxit te Deus oleo lætitiæ præ consortibus tuis. » Verum isti non nisi per gratiam sanctificantur, cum unctionem sacram accipiunt; « in Christo autem, » ut ait Billius, « ipsissima divinitatis præsentia locum unctionis tenebat. »

(3) *Ἄνθρωπον ἀκοῦσαι*. Ob unionem divinæ ac humanæ naturæ in una persona, et « homo » vocatur « Deus, » et « Deus » appellatur « homo. »

(4) *Ἀρχιερεύς*, etc. Talis est pontifex noster Christus, qui nos Patri conciliat, « per quem, » ut ait Apostolus, Rom. V, 2, « habemus accessum per fidem in gratiam istam, in qua stamus, » etc.

(5) *Ἀγενεαλόγητος*, etc. « Cujus divina generatio est ineffabilis. »

ὡς *βασιλεὺς δικαιοσύνης*, καὶ ὡς ἀποδεκατῶν πατριάρχας κατὰ τῶν πονηρῶν δυνάμεων ἀριστεύοντας. Ἔχεις τὰς τοῦ Υἱοῦ προσηγορίας· βάδιζε δι' αὐτῶν· ὅσαι τε ὑψηλαὶ, θεϊκῶς (6), καὶ ὅσαι σωματικαὶ, συμπαθῶς· μᾶλλον δὲ ὅλον θεϊκῶς, ἵνα γένῃ Θεὸς κάτωθεν ἀνελθὼν, διὰ τὸν κατελθόντα δι' ἡμᾶς ἄνωθεν. Ἐπὶ πᾶσι, καὶ πρὸ πάντων, ἐκεῖνο τήρει· καὶ οὐκ ἂν σφαλείης ἐν τοῖς ὑψηλοτέροις ἢ ταπεινοτέροις ὀνόμασιν. Ἰησοῦς Χριστὸς, χθὲς καὶ σήμερον σωματικῶς, ὁ αὐτὸς πνευματικῶς, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A Pontifex [13], ut oblator: Melchisedech [14], ut matris expers, quod ad naturam illam nostra excelsiorem attinet, patre autem carens, quantum ad nostram: tum etiam quia sublimitus absque genealogia est. (*Generationem enim illius*, inquit, *quis enarrabit* [15]?) Ac præterea, ut *Rex Salem* [16], hoc est, *pacis*, et *Rex justitiæ*, ac denique ut a patriarchis adversus pestiferas potestates strenue rem gerentibus, decimas accipiens. Habes Filii appellationes. Per eas incede; per eas, inquam, omnes, quæ sublimes sunt, divine, per corporeas autem, humane: imo vero prorsus divine, ut ex imis hisce ascendens, fias Deus propter eum, qui propter nos de supernis descendit. Præter omnia. et ante omnia, illud serva: nec aut in sublimioribus, aut abjectioribus nominibus errabis. Jesus Christus, heri et hodie corporaliter, idemque spiritualiter, et in sæcula sæculorum. Amen.

[13] Hebr. vi, 20. [14] Hebr. vii, 1. [15] Isa. liii, 8. [16] Hebr. vii, 2.

(6) *Θεϊκῶς*. « Divine, » id est, « ratione Deo consentanea. »

ΛΟΓΟΣ ΛΑ'.

ΘΕΟΛΟΓΙΚΟΣ ΠΕΜΠΤΟΣ.

Περὶ τοῦ ἁγίου Πνεύματος.

B

Α'. Ὁ μὲν δὴ περὶ τοῦ Υἱοῦ λόγος, τοιοῦτος (7)· καὶ οὕτω διαπέφευγε τοὺς λιθάζοντας, διελθὼν διὰ μέσου (8) αὐτῶν. Ὁ λόγος γὰρ οὐ λιθάζεται, λιθοβολεῖ δὲ, ὅταν ἐθέλῃ, καὶ σφενδονᾷ θηρία, λόγους κακῶς τῷ ὄρει προσβαίνοντας (9). Τί δ' ἂν εἴποις, φασὶ, περὶ τοῦ ἁγίου Πνεύματος; πόθεν ἡμῖν ἐπεισάγεις, ξένον Θεὸν καὶ ἄγραφον; Τοῦτο ἤδη καὶ οἱ περὶ τὸν Υἱὸν μετριάζοντες. Ὅπερ γὰρ ἐπὶ τῶν ὁδῶν εὑρεῖν ἔστι καὶ τῶν ποταμῶν, σχίζονταί τε ἀπ' ἀλλήλων, καὶ εἰς ἄλληλα συνάγονται· τοῦτο κἀνταῦθα συμβαίνει, διὰ τὸν πλοῦτον τῆς ἀσεβείας, καὶ τοὺς τὰ ἄλλα διεστῶτας ἐν ἄλλοις συμφέρεσθαι, ὥστε μηδὲ γινώσκειν καθαρῶς δύνασθαι τὸ συμφέρον, ἢ τὸ μαχόμενον. C

Β'. Ἔχει μὲν οὖν τι καὶ δυσχερὲς ὁ περὶ τοῦ Πνεύματος λόγος, οὐ μόνον ὅτι ἐν τοῖς περὶ τοῦ Υἱοῦ λόγοις ἀποκαμόντες οἱ ἄνθρωποι, θερμότερον τῷ Πνεύματι προσπαλαίουσι (χρὴ γάρ τι πάντως αὐτοὺς ἀσεβεῖν, ἢ οὐδὲ βιωτός ἐστιν αὐτοῖς ὁ βίος), ἀλλ' ὅτι καὶ ἡμεῖς τῷ πλήθει τῶν ζητημάτων ἀποκναισθέντες (10), ταυτὸν (11) πάσχομεν τοῖς κακοσίτοις· οἳ ἐπειδὰν πρός τι τῶν βρωμάτων ἀηδισθῶσι, πρὸς πάντα λόγον ὁμοίως, ὥσπερ ἐκεῖνοι πρὸς τροφὴν, δυσχεραίνομεν. Ὅμως διδότω τὸ Πνεῦμα, καὶ ὁ λόγος δραμεῖται, καὶ ὁ Θεὸς δοξασθήσεται. Τὸ μὲν οὖν ἐπιμελῶς ἐξετάζειν καὶ διαιρεῖσθαι, ποσαχῶς ἢ τὸ D

ORATIO XXXI[a].

THEOLOGICA QUINTA.

De Spiritu sancto.

I. Ac de Filio quidem talis est nostra oratio: atque ad hunc modum lapidantium impetum effugit, per medium ipsorum transiens. Oratio quippe non lapidatur: verum lapides ipsa, cum lubet, jacit, ac belluas, hoc est, sermones, male ad montem ascendentes [17], funda insectatur. Sed de Spiritu sancto, inquiunt, quid dixeris? Unde nobis peregrinum Deum, nulloque Scripturæ loco proditum introducis? Atque hoc illi quoque objiciunt, qui de Filio moderatius sentiunt. Nam quod in viis et fluviis reperire est, ut a se invicem secentur, ac rursus inter se coeant; idem hic quoque (tanta est impietatis ubertas et copia!) usu venit, ut, qui in aliis rebus inter se dissident, in quibusdam rursus consentiant, ita ut ne plane quidem intelligi ac perspici possit, vel qua in re consentiant, vel in qua contendant.

557 II. Et quidem in hac de Spiritu sancto disputatione, nonnihil inest difficultatis et molestiæ, non hoc solum nomine, quod homines in sermonibus de Filio fracti ac debilitati, acrioribus animis adversus Spiritum luctantur (omnino enim eos aliqua in re impios se præbere necesse est, aut ne vitalis quidem, ut dici solet, ipsi vita est), verum etiam quia nos quoque, quæstionum multitudine fatigati et enecti, similes sumus iis, qui ciborum fastidio laborant. Quemadmodum enim illi, postquam alicujus cibi fastidium contraxerunt, omnes quoque cibos aversantur, eodem quoque modo nos ex unius

[17] Exod. xix, 12.

[a] Alias xxxvii; quæ autem 31 erat, nunc 37. — Habita anno 380.

(7) *Τοιοῦτος*. Or. 1, τοσοῦτος.

(8) *Διὰ μέσου*. Alludit ad hæc Lucæ, iv, 30, « Per medium illorum ibat. »

(9) *Προσβαίνοντας*. Vulgata versio, « accedentes. »

(10) *Ἀποκναισθέντες*. Budæus, « enecti, vexati, gravati. »

(11) *Ταυτόν*. Duo Regg., τ' αὐτό.

disputationis tædio ad omnes disputationes æque nauseamus. Det tamen Spiritus; et oratio curret, Deique gloria celebrabitur. Enimvero quot modis, vel *Spiritus*, vel *Sanctus*, apud Scripturam sacram intelligatur et dicatur, accurate excutere atque distinguere, commodumque cuique speculationi testimonium adhibere, quodque etiam peculiari quodammodo id, quod ex utroque connexum est, nimirum Spiritus sanctus, accipiatur, dicere superseaebimus, aliisque, qui hæc et sibiipsis, et nobis, quemadmodum nos quoque ista ipsis, pertractarunt, hoc muneris relinquemus. Nos autem ad ea, quæ deinceps sequuntur, orationem convertemus.

Πνεῦμα (12), ἢ τὸ *Ἅγιον* (13), παρὰ τῇ θείᾳ Γραφῇ νοεῖται καὶ λέγεται, μετὰ τῶν (14) προσφόρων τῇ θεωρίᾳ μαρτυριῶν, καὶ ὅτι παρὰ ταῦτα ἰδιοτρόπως τὸ ἐξ ἀμφοῖν συνημμένον, λέγω δὲ τὸ Πνεῦμα τὸ ἅγιον, ἑτέροις (15) παρήσομεν, οἳ καὶ ἑαυτοῖς, καὶ ἡμῖν ταῦτα πεφιλοσοφήκασιν, ἐπεὶ καὶ ἡμεῖς ταῦτα ἐκείνοις (16). Αὐτοὶ δὲ πρὸς τὰ ἑξῆς τοῦ λόγου τρεψόμεθα.

III. Atque illi quidem, qui perinde ac si nos peregrinum quemdam et ascriptitium Deum invehamus, animo discruciantur, acriterque pro littera contendunt; sciant se illic timere, ubi non est timor [18], studiumque erga litteram suum nihil aliud, quam impietatis obtentum esse aperte cognoscant, ut paulo post ostendetur, cum objectiones eorum pro virili nostra refutaverimus. Nos vero tanta deitatis Spiritus sancti, quem colimus, fiducia nitimur, ut hinc etiam a deitate orationis initium ducturi simus, easdem Trinitati voces accommodantes, etsi id audacius fortasse nonnullis videri queat: *Erat lux vera, quæ illuminat omnem hominem venientem in mundum*, Pater. *Erat lux vera, quæ illuminat omnem hominem venientem in mundum*, Filius. *Erat lux vera, quæ illuminat omnem hominem venientem in mundum* [19], alius Paracletus. **558** Erat, et erat, et erat: sed unum erat. Lux, et lux, et lux: sed lux una, Deus unus. Atque hoc illud est, quod David quoque ipse ante animo informavit, cum diceret: *In lumine tuo videbimus lumen* [20]. Nunc autem nos, et perspeximus, et prædicamus, ex luce Patre, lucem Filium, in luce Spiritu sancto percipientes, quæ est compendiaria ac simplex divinæ Trinitatis confessio. Qui rejicit, rejiciat; qui inique agit, inique agat [21]; nos, quod intelleximus, prædicamus. In montem excelsum ascendemus [22], et clamabimus, si quidem ex inferiori loco minus au-

Γ'. Οἱ μὲν οὖν, ὡς ξένον τινὰ Θεὸν καὶ παρέγγραπτον εἰσαγόντων ἡμῶν τὸ Πνεῦμα τὸ ἅγιον, δυσχεραίνοντες, καὶ σφόδρα προπολεμοῦντες τοῦ γράμματος, ἴστωσαν ἐκεῖ φοβούμενοι φόβον, οὗ μὴ ἔστι φόβος, καὶ σαφῶς γινωσκέτωσαν, ὅτι ἔνδυμα τῆς ἀσεβείας ἐστὶν αὐτοῖς ἡ φιλία τοῦ γράμματος, ὡς δειχθήσεται μικρὸν ὕστερον, ἐπειδὰν τὰς ἐνστάσεις αὐτῶν εἰς δύναμιν διελέγξωμεν. Ἡμεῖς δὲ τοσοῦτον θαῤῥοῦμεν τῇ θεότητι τοῦ Πνεύματος, ὃ πρεσβεύομεν (17), ὥστε καὶ τῆς θεολογίας ἐντεῦθεν ἀρξόμεθα (18), τὰς αὐτὰς τῇ Τριάδι φωνὰς ἐφαρμόζοντες, κἂν τισι δοκῇ τολμηρότερον. *Ἦν τὸ φῶς τὸ ἀληθινὸν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον*, ὁ Πατήρ. *Ἦν τὸ φῶς τὸ ἀληθινὸν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον*, ὁ Υἱός. *Ἦν τὸ φῶς τὸ ἀληθινὸν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον*, ὁ ἄλλος Παράκλητος. Ἦν, καὶ ἦν, καὶ ἦν· ἀλλ' ἓν ἦν. Φῶς, καὶ φῶς, καὶ φῶς· ἀλλ' ἓν φῶς, εἷς Θεός. Τοῦτό ἐστιν ὃ καὶ Δαβὶδ πρότερον ἐφαντάσθη, λέγων· *Ἐν τῷ φωτί σου ὀψόμεθα φῶς*. Καὶ νῦν ἡμεῖς καὶ τεθεάμεθα, καὶ κηρύσσομεν, ἐκ φωτὸς τοῦ Πατρὸς, φῶς καταλαμβάνοντες τὸν Υἱὸν, ἐν φωτὶ τῷ Πνεύματι, σύντομον καὶ ἀπέριττον τῆς Τριάδος θεολογίαν (19). Ὁ ἀθετῶν ἀθετείτω, ὁ ἀνομῶν ἀνομείτω· ἡμεῖς ὃ νενοήκαμεν, κηρύσσομεν (20). Ἐπ' ὄρος ὑψηλὸν ἀναβησόμεθα, καὶ βοήσομεν, εἰ μὴ κάτωθεν ἀκουοίμεθα. Ὑψώσομεν τὸ Πνεῦμα, οὐ φοβηθησό-

[18] Psal. XIII, 5. [19] Joan. I, 9. [20] Psal. XXXV, 10. [21] Isa. XXI, 2. [22] Isa. XI, 9.

(12) *Τὸ Πνεῦμα.* Hunc locum sic exponit Elias: « Spiritus vocatur et ipse Pater, ut cum dicitur, Joan. IV, 24: « Spiritus est Deus, et eos, qui adorant eum, in Spiritu et veritate oportet adorare. » Spiritus etiam Filius, ut Thren. IV, 20: Spiritus oris nostri Christus Dominus. » At maxime proprie Spiritus vocatur, sanctus ille Spiritus, de quo Joan. XV, 26: « Cum venerit Paracletus, quem ego mittam vobis a Patre, Spiritus veritatis, qui a Patre procedit. » Sumitur etiam hoc vocabulum pro dono, juxta illud Pauli, Rom. VIII, 15: « Accepistis Spiritum adoptionis. » Angeli etiam spiritus dicuntur, ut ps. CIII, 4: « Qui facis angelos tuos spiritus. » Animus quoque spiritus vocatur, ut psal. XXX, 6: « In manus tuas commendo spiritum meum. » Usurpatur item pro vento, ut psal. CXLVII, 7: « Flabit spiritus tuus, et fluent aquæ. » Spiritus item dicitur id quod litteræ opponitur, ut in hoc Apost. loco, II Cor. III, 6: « Littera enim occidit, spiritus autem vivificat. » Diabolus quoque spiritus vocatur, ut Matth. XII, 43: « Cum autem immundus spiritus exierit ab homine, etc. »

(13) *Τὸ Ἅγιον.* « Spiritus a Patre procedens, » inquit Elias, « proprie dicitur sanctus, utpote qui sanctificet, ac sanctitatis fons sit. Per abusum vero, et angelis, et sanctis tribuitur, itemque omnibus, quæ per Spiritus sancti participationem sanctificantur. Id quoque sanctum dicitur, quod segregatum est, ut in isto loco Exodi XIX, 6: « Vos eritis mihi gens sancta, etc. »

(14) *Μετὰ τῶν*, etc. « Adhibitis convenientibus huic disputationi testimoniis. »

(15) *Ἑτέροις.* Basilium et Gregorium intelligit Elias.

(16) *Ταῦτα ἐκείνοις.* Hanc lectionem tuetur Billius. Savilius autem legendum contendit, ταυτά, « eadem, » et subintelligit, φιλοσοφοῦμεν.

(17) *Ὃ πρεσβεύομεν.* Reg. a et Or. 1, ᾧ πρεσβεύομεν.

(18) *Ἀρξόμεθα.* Comb., ἀρχόμεθα.

(19) *Θεολογίαν.* « Theologiam. » Coisl. 1, ὁμολογίαν, « confessio. » Sic legit Billius.

(20) *Κηρύσσομεν.* Plures codices præmittunt, καί.

μεθα. Εἰ δὲ καὶ φοβηθησόμεθα, ἡσυχάζοντες, οὐ κηρύσσοντες.

Δ'. Εἰ ἦν ὅτε οὐκ ἦν ὁ Πατὴρ, ἦν ὅτε οὐκ ἦν ὁ Υἱός. Εἰ ἦν ὅτε οὐκ ἦν ὁ Υἱὸς, ἦν ὅτε οὐδὲ τὸ Πνεῦμα τὸ ἅγιον (21). Εἰ τὸ ἓν ἦν ἀπ' ἀρχῆς, καὶ τὰ τρία ἦν (22). Εἰ τὸ ἓν κάτω βάλλεις, τολμῶ, καὶ λέγω, μηδὲ τὰ δύο θῇς ἄνω (23). Τίς γὰρ ἀτελοῦς θεότητος ὄνησις; Μᾶλλον δὲ τίς θεότης, εἰ μὴ τελεία (24); Τελεία δὲ πῶς, ἣ λείπει τι πρὸς τελείωσιν; Λείπει δέ πως, μὴ ἐχούσῃ τὸ ἅγιον. Ἔχοι δ' ἂν πῶς, μὴ τοῦτο ἔχουσα; Εἰ γὰρ (25) ἄλλη τις παρὰ τοῦτο ἡ ἁγιότης, καὶ ἥτις αὕτη νοεῖται, λεγέτω τις· ἢ εἴπερ ἡ αὐτὴ, πῶς οὐκ ἀπ' ἀρχῆς; ὥσπερ (26) ἄμεινον ὂν τῷ Θεῷ, εἶναί ποτε ἀτελεῖ, καὶ δίχα τοῦ Πνεύματος. B Εἰ μὴ ἀπ' ἀρχῆς ἦν, μετ' ἐμοῦ τέτακται, καὶ εἰ μικρὸν πρὸ ἐμοῦ· χρόνῳ γὰρ ἀπὸ Θεοῦ (27) τεμνόμεθα. Εἰ τέτακται μετ' ἐμοῦ, πῶς ἐμὲ ποιεῖ θεόν; ἢ πῶς συνάπτει θεότητι;

A diamur. Spiritum efferemus, non metuemus. Quod si etiam metuemus, id ita erit, ut quiescere, non prædicare, metuamus.

IV. Si fuit tempus cum non esset Pater, fuit quoque cum non esset Filius. Si fuit tempus cum non esset Filius, fuit quoque cum ne Spiritus quidem esset. Si unum a principio erat, utique et tria. Si unum dejicis, audax hoc dicam, ne duo quidem superiore loco colloces. Quæ enim imperfectæ deitatis utilitas? Imo quæ deitas, si imperfecta? Perfecta autem quomodo erit, in qua ad perfectionem aliquid desideretur? Desideratur enim, si sanctitate careat. Hanc porro quomodo habere queat ni Spiritum habeat? Si enim alia quædam præter illum sanctitas est, quæ tandem illa intelligenda sit dicat quispiam: aut, si quidem eadem hæc est, quid afferri potest, quamobrem non jam inde a principio fuerit? Quasi vero præstiterit Deo, aliquando imperfectum exstitisse, ac Spiritus expertem. Si a principio non erat, meæ classis atque ordinis est, etiamsi me nonnihil antecedat. Temporis enim interstitio a Deo dirimimur. Porro si ejusdem mecum classis est, quo pacto me deum efficit? aut quo pacto cum deitate conjungit?

Ε'. Μᾶλλον δὲ φιλοσοφήσω σοι περὶ αὐτοῦ μικρὸν ἄνωθεν· περὶ Τριάδος γὰρ καὶ πρότερον διειλήφαμεν. Τὸ Πνεῦμα τὸ ἅγιον Σαδδουκαῖοι μὲν οὐδὲ εἶναι τὸ παράπαν ἐνόμισαν· οὐδὲ γὰρ ἀγγέλους, οὐδὲ ἀνάστασιν· οὐκ οἶδ' ὅθεν τὰς τοσαύτας περὶ αὐτοῦ μαρτυρίας ἐν τῇ Παλαιᾷ διαπτύσαντες. Ἑλλήνων δὲ οἱ θεολογικώτεροι, καὶ μᾶλλον ἡμῖν προσεγγίσαντες, ἐφαντάσθησαν μὲν, ὡς ἐμοὶ δοκεῖ· περὶ δὲ τὴν κλῆσιν διηνέχθησαν, νοῦν τοῦ παντὸς, καὶ C τὸν θύραθεν νοῦν, καὶ τὰ τοιαῦτα προσαγορεύσαντες. Τῶν δὲ καθ' ἡμᾶς σοφῶν (28), οἱ μὲν ἐνέργειαν τοῦτο ὑπέλαβον, οἱ δὲ κτίσμα, οἱ δὲ Θεὸν, οἱ δὲ οὐκ ἔγνωσαν ὁπότερον τούτων, αἰδοῖ τῆς Γραφῆς (29), ὥς φασιν, ὡς οὐδὲν ἕτερον (30) σαφῶς δηλωσάσης. Καὶ διὰ τοῦτο, οὔτε σέβουσιν, οὔτε ἀτιμάζουσι, μέσως πως περὶ αὐτοῦ διακείμενοι, μᾶλλον δὲ καὶ λίαν ἀθλίως. Καὶ τῶν Θεὸν ὑπειληφότων, οἱ μὲν ἄχρι διανοίας εἰσὶν εὐσεβεῖς, οἱ δὲ τολμῶσιν εὐσεβεῖν καὶ τοῖς χείλεσιν. Ἄλλων δὲ ἤκουσα μετρούντων θεότητα σοφωτέρων (31), οἳ τρία μὲν εἶναι καθ' ἡμᾶς ὁμολογοῦσι τὰ νοούμενα, τοσοῦτον δὲ ἀλλήλων διέστησαν, ὡς τὸ μὲν, καὶ οὐσίᾳ καὶ δυνάμει ποιεῖν ἀόριστον· τὸ δὲ, δυνάμει μὲν, οὐκ οὐσίᾳ δέ· τὸ δὲ ἀμφοτέροις D περιγραπτόν· ἄλλον τρόπον μιμούμενοι, τοὺς δημιουργὸν, καὶ συνεργὸν, καὶ λειτουργὸν ὀνομάζοντας, καὶ τὴν ἐν τοῖς ὀνόμασι τάξιν καὶ χάριν, τῶν πραγμάτων (32) ἀκολουθίαν εἶναι νομίζοντας (33).

V. Sed operæ pretium facturum me puto, si de eo altius aliquanto disputationem repetam. Nam de Trinitate prius jam a nobis est pertractatum. Spiritum sanctum Sadducæi penitus non esse censuerunt; quemadmodum nec angelos, nec resurrectionem: quibus haud scio quid acciderit, ut tot ac tanta de eo in Instrumento Veteri testimonia pro nihilo haberent. Qui autem apud ethnicos theologiæ laude magis excelluerunt, **559** propiusque ad nos accesserunt, per imaginem quamdam ipsum, meo quidem judicio, conceperunt, tametsi in nomine dissenserint, Universitatis nempe mentem, et extrinsecam mentem, aliisque id genus nominibus eum appellantes. Nostrates vero sapientes, partim vim quamdam et facultatem ipsum existimarunt, partim creaturam, partim Deum, partim, utro potius nomine vocandus esset, minime certum et exploratum habuerunt, ea, ut aiunt, ratione ducti, quod Scriptura neutrum horum plane aperteque demonstrasset. Ac proinde nec ipsum venerantur, nec contemnunt, sed medio quodam modo, vel potius misere perditeque erga eum afficiuntur. Ex his porro qui Deum ipsum credunt, alii animo tenus pii atque orthodoxi sunt; alii labiis quoque ipsis pietatem profiteri non verentur. Alios etiam quosdam sapientiores audivi, qui divinitatem metiuntur, ac tria quidem, perinde ac nos, intelligi

(21) *Τὸ ἅγιον.* Deest in duobus Regg. et Or. 1.

(22) *Ἦν.* Deest in duobus Regg. quinque Colb. Comb. et Bas.

(23) *Ἄνω.* Par. ed. addit, λέγειν, quod auctoritate melioris notæ codicum erasimus.

(24) *Τίς θεότης, εἰ μὴ τελεία;* Coisl. 1 habet, τίς θεότητος ἡμιτελεία; « Quæ deitatis imperfectio? »

(25) *Εἰ γάρ.* Plures Regg. quinque Colb. et Comb. ἢ γάρ. « Aut enim est alia quædam sanctitas. »

(26) *Ὥσπερ.* Sic codd. Mendose in ed., ὅσπερ.

(27) *Ἀπὸ Θεοῦ.* Duo Colb. ἀπὸ τοῦ Θεοῦ.

(28) *Τῶν δὲ καθ' ἡμᾶς σοφῶν.* « Nostrates sapientes. » Bill. « nostræ ætatis. » Gregorius hic ethnicis opponit sapientes, qui, etsi Christianam religionem profiteantur, erroribus tamen circa Trinitatem imbuuntur; non autem priscæ ætatis sapientes.

(29) *Αἰδοῖ τῆς Γραφῆς.* « Ob S. S. reverentiam. »

(30) *Οὐδὲν ἕτερον.* Reg. b et quinque Colb. οὐδ' ἕτερον.

(31) *Σοφωτέρων.* In nonnullis, σοφώτερον, « sapientius. »

(32) *Τῶν πραγμάτων.* « Per res » significat Gregorius « naturarum discrimen. »

(33) *Νομίζοντας.* Comb. νομίζοντες.

confitentur, sed ea ita inter se disjungunt, ut unum eorum et essentia et potestate, infinitum statuant, alterum potestate, non item essentia, postremum utroque circumscriptum. Sic alio quodam modo eos imitantur, qui opificem, et cooperarium, et ministrum nominant, atque ordinem et gratiam, quæ nominibus inest, rerum quoque seriem esse arbitrantur.

VI. Nos vero, nec cum iis, qui ne Spiritum quidem esse censent, nec cum nugatoribus ethnicis verba illa commutabimus. Absit enim ut peccatorum oleo sermonem nostrum impinguemus [23]. Cum cæteris autem ad hunc modum disputabimus : Spiritus sanctus, vel ex eorum numero, quæ per se subsistunt, omnino statuendus est, vel inter ea collocandus, quæ in alio considerantur ; quorum alterum substantiam, alterum accidens vocant, qui harum rerum scientiam callent. Ac si quidem accidens, vis utique et facultas quædam Dei fuerit. Quid enim aliud, aut cujus? Hoc profecto magis consentaneum, compositionisque expers. Si vis et facultas, agetur haud dubie, non aget : simulque, ut actus fuerit, desinet. Ejusmodi quippe est actus natura. Qui fit ergo, ut agat ipse, atque B hæc et illa dicat, et segreget [24], et contristetur [25], et ad iram incitetur, et quæcunque rei motu agitatæ perspicue sunt, non autem motionis ipsius? Sin autem substantia est, non accidens, vel creatura censebitur, vel Deus. Medium enim aliquid inter hæc, aut quod neutrius particeps sit, aut ex utroque compositum **560** atque conflatum, ne ii quidem, qui tragelaphos confinxerunt, intelligere queant. Si creatura, quomodo in eum credimus, aut in eo perficimur? Neque enim idem est, credere in aliquid, et credere de aliquo. Illud enim divinitati convenit, hoc cuilibet rei. Si autem Deus, certe nec creatura est, nec factura, nec conservus, nec denique ullum aliud humile atque abjectum nomen.

A Ϛʹ. Ἡμῖν δὲ πρὸς μὲν τοὺς οὐδὲ εἶναι ὑπειληφότας, οὐδεὶς (34) λόγος, ἢ τοὺς ληροῦντας ἐν Ἕλλησιν. Μηδὲ γὰρ ἁμαρτωλῶν ἐλαίῳ πιανθείημεν εἰς τὸν λόγον. Πρὸς δὲ τοὺς ἄλλους οὕτω διαλεξόμεθα (35)· τὸ Πνεῦμα τὸ ἅγιον, ἢ τῶν καθ᾽ ἑαυτὸ (36) ὑφεστηκότων, πάντως ὑποθετέον, ἢ τῶν ἐν ἑτέρῳ θεωρουμένων· ὧν τὸ μὲν, οὐσίαν καλοῦσιν οἱ περὶ ταῦτα δεινοὶ, τὸ δὲ, συμβεβηκός. Εἰ μὲν οὖν συμβέβηκεν, ἐνέργεια τοῦτο ἂν εἴη Θεοῦ. Τί γὰρ ἕτερον, ἢ τίνος; τοῦτο γάρ πως μᾶλλον, καὶ φεύγει σύνθεσιν. Καὶ εἰ ἐνέργεια, ἐνεργηθήσεται δηλονότι (37), οὐκ ἐνεργήσει, καὶ ὁμοῦ τῷ ἐνεργηθῆναι, παύσεται. Τοιοῦτον γὰρ ἡ ἐνέργεια. Πῶς οὖν ἐνεργεῖ, καὶ τάδε λέγει, καὶ ἀφορίζει, καὶ λυπεῖται, καὶ παροξύνεται, καὶ ὅσα κινουμένου σαφῶς ἐστιν, οὐ κινήσεως; Εἰ δὲ οὐσία τις, οὐ τῶν περὶ τὴν οὐσίαν, ἤτοι κτίσμα ὑποληφθήσεται (38), ἢ Θεός· μέσον γάρ τι τούτων, ἤτοι μηδετέρου μετέχον, ἢ ἐξ ἀμφοῖν σύνθετον, οὐδ᾽ ἂν οἱ τοὺς τραγελάφους πλάττοντες ἐννοήσαιεν. Ἀλλ᾽ εἰ μὲν κτίσμα, πῶς εἰς αὐτὸ πιστεύομεν, ἢ ἐν αὐτῷ τελειούμεθα; οὐ γὰρ ταυτόν ἐστι πιστεύειν εἴς τι, καὶ περὶ αὐτοῦ πιστεύειν. Τὸ μὲν γάρ ἐστι θεότητος, τὸ δὲ παντὸς πράγματος. Εἰ δὲ Θεὸς, ἀλλ᾽ οὐ κτίσμα, οὐδὲ ποίημα, οὐδὲ σύνδουλον, οὐδ᾽ ὅλως τι τῶν ταπεινῶν ὀνομάτων.

VII. Jam lingua tua ad disputandum prosiliat, C fundæ jactentur, argumenta nectantur. Aut ingenitus omnino est, inquis, aut genitus. Si ingenitus, ergo duo erunt principii expertes. Si autem genitus, rursus subdividis: aut ex Patre genitus est, aut ex Filio. Si ex Patre, duo igitur sunt Filii ac fratres. Gemellos etiam finge, si lubet, aut alterum natu majorem, alterum minorem; cum ita corporeis rebus immersus es. Si autem ex Filio, jam nobis, inquies, nepos Deus exstitit. Quo quid absurdius fingi possit? Hæc homines ad malefaciendum sapientes [26] et ingeniosi, bona autem scribere recusantes. Ego vero, si divisionem hanc necessariam viderem, res ipsas profecto excepissem, nomina nihil veritus. Non enim, quia secundum excelsiorem quamdam relationem Filius est Filius (quod D videlicet aliter, quam hoc modo, indicare nequeamus id quod ex Deo est, essentiaque idem cum ipso), idcirco terrena quoque omnia cognationisque nostræ nomina ad Deum necessario transferenda esse putandum est. Alioqui, quid impedit, quomi-

Zʹ. Ἐνταῦθα σὸς ὁ λόγος, αἱ σφενδόναι πεμπέσθωσαν, οἱ συλλογισμοὶ πλεκέσθωσαν. Ἢ ἀγέννητον πάντως, ἢ γεννητόν. Καὶ εἰ μὲν ἀγέννητον, δύο τὰ ἄναρχα. Εἰ δὲ γεννητὸν, ὑποδιαίρει (39) πάλιν· ἢ ἐκ τοῦ Πατρὸς τοῦτο, ἢ ἐκ τοῦ Υἱοῦ. Καὶ εἰ μὲν ἐκ τοῦ Πατρὸς, Υἱοὶ δύο καὶ ἀδελφοί. Σὺ δέ μοι πλάττε καὶ διδύμους, εἰ βούλει, ἢ τὸν μὲν πρεσβύτερον, τὸν δὲ νεώτερον· ἐπειδὴ λίαν εἶ φιλοσώματος. Εἰ δὲ ἐκ τοῦ Υἱοῦ, πέφηνε, φησὶ, καὶ υἱωνὸς ἡμῖν Θεός· οὗ τί ἂν γένοιτο παραδοξότερον; ταῦτα μὲν οὖν οἱ σοφοὶ τοῦ κακοποιῆσαι, τὰ δὲ ἀγαθὰ γράφειν οὐ θέλοντες. Ἐγὼ δὲ εἰ μὲν ἑώρων ἀναγκαίαν τὴν διαίρεσιν, ἐδεξάμην ἂν τὰ πράγματα, οὐ φοβηθεὶς τὰ ὀνόματα. Οὐ γὰρ, ἐπειδὴ κατά τινα σχέσιν ὑψηλοτέραν Υἱὸς ὁ Υἱὸς (40), οὐ δυνηθέντων ἡμῶν ἄλλως, ἢ οὕτως ἐνδείξασθαι τὸ ἐκ τοῦ Θεοῦ καὶ ὁμοούσιον, ἤδη καὶ πάσας οἰητέον ἀναγκαῖον εἶναι τὰς κάτω κλήσεις, καὶ τῆς ἡμετέρας συγγενείας (41), μεταφέρειν ἐπὶ τὸ θεῖον. Ἢ τάχα ἂν σύ γε καὶ ἄῤῥενα τὸν Θεὸν ἡμῖν ὑπολάβοις, κατὰ τὸν λόγον τοῦτον, ὅτι Θεὸς ὀνομάζεται, καὶ Πατήρ; καὶ θῆλύ τι (42) τὴν θεότητα, ὅσον ἐπὶ ταῖς (43) κλή-

[23] Psal. CXL, 5. [24] Act. XIII, 2. [25] Ephes. IV, 30. [26] Jerem. IV, 22.

(34) *Οὐδείς*. Duo Regg. οὐδὲ εἷς.
(35) *Διαλεξόμεθα*. Comb. διαλεξώμεθα.
(36) *Καθ' ἑαυτό*. Comb. καθ' ἑαυτά.
(37) *Δηλονότι*. Comb. μᾶλλον, « potius. »
(38) *Ὑποληφθήσεται*. Or. 1, ὑπολειφθήσεται.
(39) *Ὑποδιαίρει*. Reg. Cypr. ὑποδιαιρήσει.
(40) *Ὁ Υἱός*. Montac. addit, λέγεται.
(41) *Συγγενείας*. « Cognationis nostræ nomina, » ut sunt vocabula « fratris et nepotis. »
(42) *Τί*. Deest in Reg. a.
(43) *Ταῖς*. Coisl. 1 addit, σαῖς.

σεστι; καὶ τὸ Πνεῦμα οὐδέτερον, ὅτι μὴ γεννητικόν; A εἰ δέ σοι καὶ τοῦτο παιχθείη, τῇ ἑαυτοῦ θελήσει τὸν Θεὸν συγγενόμενον, κατὰ τοὺς παλαιοὺς λήρους καὶ μύθους, γεννήσασθαι τὸν Υἱὸν, εἰσήχθη τις ἡμῖν καὶ Μαρκίωνος, καὶ Βαλεντίνου (44) Θεὸς ἀῤῥενόθηλυς, τοῦ τοὺς καινοὺς αἰῶνας ἀνατυπώσαντος.

nus eadem ratione masculum, Deum nostrum existimes, quoniam Deus et Pater nominatur? Ac femineum quiddam, Deitatem, quantum quidem ex vocis genere æstimari potest? Et denique Spiritum, neutrum, quoniam nihil gignit? Quod si juxta veteres fabulas et nugas hoc quoque modo luseris, ut dicas, Deum cum voluntate sua congressum Filium genuisse, Marcionis quidem ac Valentini, qui novos æonas commentus est, hermaphroditum quemdam Deum induxeris.

Η'. Ἐπεὶ δέ σου τὴν πρώτην διαίρεσιν οὐ δεχόμεθα, τὴν μηδὲν ἀγεννήτου καὶ γεννητοῦ μέσον ὑπολαμβάνουσαν, αὐτίκα οἰχήσονταί σοι μετὰ τῆς σεμνῆς διαιρέσεως οἱ ἀδελφοὶ καὶ οἱ υἱωνοὶ, ὥσπερ τινὸς δεσμοῦ πολυπλόκου τῆς πρώτης ἀρχῆς διαλυθείσης (45), συνδιαλυθέντες, καὶ τῆς θεολογίας ὑποχωρήσαντες. Ποῦ γὰρ θήσεις τὸ ἐκπορευτὸν, εἰπέ μοι, μέσον ἀναφανὲν τῆς σῆς (46) διαιρέσεως, καὶ παρὰ B κρείσσονος ἢ κατὰ σὲ θεολόγου, τοῦ Σωτῆρος ἡμῶν, εἰσαγόμενον (47); Εἰ μὴ τὴν φωνὴν ἐκείνην τῶν σῶν ἐξεῖλες Εὐαγγελίων, διὰ τὴν τρίτην σου Διαθήκην, *τὸ Πνεῦμα τὸ ἅγιον, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται*· ὃ καθ' ὅσον μὲν ἐκεῖθεν ἐκπορεύεται, οὐ κτίσμα· καθ' ὅσον δὲ οὐ γεννητὸν, οὐχ Υἱός· καθ' ὅσον δὲ ἀγεννήτου καὶ γεννητοῦ μέσον, Θεός. Καὶ οὕτω (48) σου τὰς τῶν συλλογισμῶν ἄρκυς διαφυγὼν (49), Θεὸς ἀναπέφηνε, τῶν σῶν διαιρέσεων ἰσχυρότερος (50). Τίς οὖν ἡ ἐκπόρευσις; Εἰπὲ σὺ τὴν ἀγεννησίαν τοῦ Πατρὸς, κἀγὼ τὴν γέννησιν τοῦ Υἱοῦ φυσιολογήσω, καὶ τὴν ἐκπόρευσιν τοῦ Πνεύματος, καὶ παραπληκτίσομεν (51) ἄμφω εἰς Θεοῦ μυστήρια παρακύπτοντες· καὶ ταῦτα τίνες; Οἱ μηδὲ τὰ ἐν ποσὶν εἰδέναι δυνάμενοι, μηδὲ ψάμμον θαλασσῶν, καὶ σταγόνας ὑετοῦ, C καὶ ἡμέρας αἰῶνος ἐξαριθμεῖσθαι, μὴ ὅτι γε Θεοῦ βάθεσιν ἐμβατεύειν, καὶ λόγον ὑπέχειν τῆς οὕτως ἀῤῥήτου καὶ ὑπὲρ λόγον φύσεως.

VIII. Quoniam porro divisionem tuam primam, qua inter ingenitum et genitum nihil medium esse arbitraris, haudquaquam admittimus, protinus tibi cum præclara tua divisione fratres illi et nepotes peribunt, ut qui, primo illo disputationis tuæ capite, quasi multiplicis cujusdam nexus initio primo soluto, simul quoque soluti ac dilapsi **561** sint, atque a divinitatis doctrina sese subduxerint. Ubi enim, quæso, pones id, quod procedit, quod quidem inter duas divisionis tuæ partes interjectum esse constat, atque a theologo, multo te præstantiori, nimirum a Salvatore nostro, introducitur? Nisi forte, propter tertium tuum Testamentum, vocem illam ex Evangeliis sustuleris, *Spiritus sanctus, qui a Patre procedit* [27]; qui, quatenus ab illo procedit, creatura non est: quatenus rursus genitus non est, Filius non est: quatenus autem inter ingenitum et genitum medius est, Deus est. Atque ita vitatis syllogismorum tuorum laqueis, Deus manifeste apparuit, divisionibus tuis firmior et valentior. Quæ ergo est hæc processio? inquies. Dic tu quæ Patris ingenitura sit, et ego Filii generationem, et Spiritus processionem explicare aggrediar, quo fiet ut ambo deliremus, in Dei mysteria oculos injicientes: idque qui tandem? Nempe qui ne ea quidem, quæ ante pedes sunt, scire, nec arenam maris, aut pluviæ guttas, et dies sæculi enumerare possumus, nedum in Dei profunda penetrare, naturæque adeo arcanæ, atque omnem orationis facultatem usque adeo superantis rationes reddere.

Θ'. Τί οὖν ἐστι, φησὶν, ὃ λείπει τῷ Πνεύματι, πρὸς τὸ εἶναι Υἱόν (52); Εἰ γὰρ μὴ λεῖπόν τι ἦν, Υἱὸς ἂν ἦν. Οὐ λείπειν φαμέν· οὐδὲ γὰρ ἐλλειπὴς (53) Θεός· τὸ δὲ τῆς ἐκφάνσεως (54), ἵν' οὕτως εἴπω, ἢ τῆς πρὸς ἄλληλα σχέσεως διάφορον, διάφορον αὐτῶν καὶ τὴν κλῆσιν πεποίηκεν. Οὐδὲ γὰρ τῷ Υἱῷ λείπει τι (55) πρὸς τὸ εἶναι Πατέρα (οὐδὲ γὰρ ἔλλειψις ἡ υἱότης), ἀλλ' οὐ παρὰ τοῦτο Πατήρ. Ἢ οὕτω γε καὶ τῷ Πατρὶ λείπει τι πρὸς τὸ εἶναι Υἱόν (56)· οὐ γὰρ Υἱὸς ὁ Πατήρ. Ἀλλ' οὐκ ἐλλείψεως ταῦτά D ποθεν, οὐδὲ τῆς κατὰ τὴν οὐσίαν ὑφέσεως· αὐτὸ δὲ τὸ, *Μὴ γεγενῆσθαι* (57), *καὶ τὸ γεγενῆσθαι*, καὶ τὸ *ἐκπορεύεσθαι*, τὸν μὲν Πατέρα, τὸν δὲ Υἱὸν, τὸ

IX. Quid ergo est, inquiunt, quod Spiritui deest, ad hoc ut sit Filius? Nisi enim aliquid deesset, Filius esset. Deesse nihil dicimus. Non enim Deo quidquam deest. Verum manifestationis, ut ita dicam, mutuæque eorum relationis differentia, diversa quoque ipsis nomina procreavit. Neque enim Filio aliquid deest, ad hoc ut sit Pater (nec enim defectus est filiatio), nec propterea tamen Pater est. Alioqui eadem ratione Patri aliquid deerit, ad hoc ut sit Filius. Nec enim Pater Filius est. Sed hæc defectum procul dubio undequaque non arguunt, nec essentiæ submissionem: quin potius ex his verbis: *Quod genitus non sit, et quod genitus, et quod procedat*, hoc

[27] Joan. xv, 26.

(44) *Βαλεντίνου*. Coisl. 1, Οὐαλεντίνου.
(45) *Διαλυθείσης*. Plures codd. λυθείσης.
(46) *Τῆς σῆς*. Sic quatuor Regg., quatuor Colb., duo Coisl. et Or. 1. Deest σῆς in ed.
(47) *Εἰσαγόμενον*. Sic omnes codices. Mendose in Par. ed., εἰσαγόμενοι.
(48) *Οὕτω*. Reg. bm, οὕτως.
(49) *Διαφυγών*. Colb. 5 et Or. 1, διαφυγόν.
(50) *Ἰσχυρότερος*. Tres Colb., ὑψηλότερος.
(51) *Παραπληκτίσομεν*. Tres Regg. et Coisl. 2, παραπληκτίσωμεν.
(52) *Υἱόν*. Coisl. 1, Υἱῷ.
(53) *Ἐλλειπής*. Coisl. 1, ἐλλιπής.
(54) *Ἐκφάνσεως*. « Locutionis, enuntiationis. »
(55) *Λείπει τι*. Sic tres Regg., quinque Colb. et Or. 1. In ed. deest τι.
(56) *Λείπει... Υἱόν*. Reg. bm, Coisl. 1, Or. 1, et Basil., λείψει... Υἱῷ.
(57) *Γεγενῆσθαι*. Reg. a, γεγεννῆσθαι. Mox, ἐκπορεύεσθαι. Reg. Cypr., ἐκπεπορεῦσθαι.

effectum est, ut alius Pater, alius Filius, alius Spiritus sanctus appelletur, atque ita inconfusa trium personarum distinctio in una divinitatis natura et dignitate conservetur. Neque enim Filius est Pater (unus enim est Pater), sed est id quod Pater: nec Spiritus est Filius, quia ex Deo est (unus enim Unigenitus), sed est id quod Filius: tria hæc unum, si divinitatem **562** spectes, et unum tria, si proprietatum rationem habeas; ut nec unum Sabellio faveat, nec tria pestiferæ divisioni, quæ hac tempestate viget.

X. Quid ergo? Spiritus sanctus est Deus? Maxime. Consubstantialis igitur? Prorsus, siquidem Deus. Da igitur mihi, inquis, ex eodem aliud esse Filium, aliud, quod Filius non sit, et tamen ejusdem cum illo substantiæ, ac Deum, et Deum admittam. Da tu quoque mihi Deum alium, Deique naturam, et tibi eamdem Trinitatem cum iisdem nominibus ac rebus dabo. Cum vero Deus unus, atque una suprema natura sit, unde tandem similitudinem tibi repræsentabo? An rursus postulas ex terrenis et humanis eam duci? Valde profecto turpe est, nec turpe modo, sed etiam valde stultum et inane, ex humilibus rebus, superarum cœlestiumque simulacrum sumere, rerumque certarum atque constantium ex fluxa fragilique natura, quodque Isaias ait viventia in mortuis requirere[28]. Et tamen adnitar, quando ita vis, hinc quoque nonnullam orationi nostræ opem afferre. Atque alia quidem prætermittenda duco, etsi multa de animalium historia commemorare queam, partim nobis nota, partim paucis cognita, quæ circa animantium ortus ac generationes natura miro artificio edidit. Gigni etenim dicuntur, non modo ex iisdem eadem, atque ex diversis diversa; sed etiam eadem ex diversis, ac diversa ex iisdem. Quod si etiam cuiquam fidem facit hic sermo, alius est generationis modus, ut idem animal a seipso consumatur et procreetur. Sunt etiam quæ, velut quadam naturæ magnificentia, a seipsis quodammodo desciscant, atque ex aliis animalibus in alia transeant atque immutentur. Quinetiam idem animal, partim non genitum, partim genitum, et tamen ejusdem substantiæ reperire est: quod quidem ad præsentis quæstionis similitudinem propius accedit. Unum quiddam ex nostris ubi commemoravero, quod etiam nemini ignotum est, alio postea transibit oratio.

XI. Quid tandem Adamus erat? Dei figmentum. Quid Eva? Figmenti segmentum. Quid Seth? Utrius-

A δὲ (58), τοῦθ' ὅπερ λέγεται, Πνεῦμα ἅγιον προσηγόρευσεν, ἵνα τὸ ἀσύγχυτον σώζηται τῶν τριῶν ὑποστάσεων ἐν τῇ μιᾷ φύσει τε καὶ ἀξίᾳ τῆς θεότητος. Οὔτε γὰρ ὁ Υἱὸς Πατὴρ (εἷς γὰρ Πατὴρ), ἀλλ' ὅπερ ὁ Πατήρ· οὔτε τὸ Πνεῦμα Υἱὸς (59), ὅτι ἐκ τοῦ Θεοῦ (εἷς γὰρ ὁ Μονογενὴς), ἀλλ' ὅπερ ὁ Υἱός· ἓν τὰ τρία τῇ θεότητι, καὶ τὸ ἓν τρία ταῖς ἰδιότησιν· ἵνα μήτε τὸ ἓν Σαβέλλιον ᾖ, μήτε τὰ τρία τῆς πονηρᾶς νῦν (60) διαιρέσεως.

Γ'. Τί οὖν; Θεὸς τὸ Πνεῦμα; Πάνυ γε. Τί οὖν, ὁμοούσιον; Εἴπερ Θεός. Δὸς οὖν μοι, φησὶν, ἐκ τοῦ αὐτοῦ, τὸ μὲν Υἱὸν, τὸ δὲ οὐχ Υἱὸν, εἶτα ὁμοούσια, καὶ δέχομαι (61) Θεὸν, καὶ Θεόν. Δός μοι καὶ σὺ B ἄλλον Θεὸν, καὶ φύσιν Θεοῦ, καὶ δώσω (62) σοι τὴν αὐτὴν Τριάδα μετὰ τῶν αὐτῶν ὀνομάτων τε καὶ πραγμάτων. Εἰ δὲ εἷς ὁ Θεός τε καὶ (63) μία φύσις ἡ ἀνωτάτω, πόθεν παραστήσω σοι τὴν ὁμοίωσιν; Ἢ ζητεῖς (64) πάλιν ἐκ τῶν κάτω καὶ τῶν περὶ σέ; Λίαν μὲν αἰσχρὸν, καὶ οὐκ αἰσχρὸν μόνον, ἀλλὰ καὶ μάταιον ἐπιεικῶς, ἐκ τῶν κάτω τῶν ἄνω τὴν εἰκασίαν λαμβάνειν, καὶ τῶν ἀκινήτων ἐκ τῆς ῥευστῆς φύσεως, καὶ, ὅ φησιν Ἡσαΐας, ἐκζητεῖσθαι τὰ ζῶντα (65) ἐν τοῖς νεκροῖς. Ὅμως δὲ πειράσομαι, σὴν χάριν, κἀντεῦθεν δοῦναί τινα τῷ λόγῳ (66) βοήθειαν. Τὰ μὲν οὖν ἄλλα παρήσειν μοι δοκῶ, πολλὰ ἂν ἔχων ἐκ τῆς περὶ ζώων ἱστορίας εἰπεῖν, τὰ μὲν ἡμῖν γνώριμα, τὰ δὲ τοῖς ὀλίγοις· ὅσα περὶ τὰς τῶν ζώων γενέσεις ἡ φύσις ἐφιλοτεχνήσατο. C Γεννᾶσθαι γὰρ λέγεται, οὐκ ἐκ τῶν αὐτῶν τὰ αὐτὰ μόνον, οὐδὲ ἐξ ἑτέρων ἕτερα (67), ἀλλὰ καὶ ἐξ ἑτέρων τὰ αὐτὰ, καὶ ἐκ τῶν αὐτῶν ἕτερα. Εἰ δέ τῳ (68) πιστὸς ὁ λόγος, καὶ ἄλλος ἐστὶ τρόπος γεννήσεως, αὐτό τι ὑφ' ἑαυτοῦ δαπανώμενον καὶ τικτόμενον. Ἔστι δὲ ἃ καὶ ἐξίσταταί πως ἑαυτῶν, ἐξ ἄλλων ζώων εἰς ἄλλα μεθιστάμενά τε καὶ μεταποιούμενα, φιλοτιμίᾳ φύσεως. Ἤδη δὲ καὶ τοῦ αὐτοῦ, τὸ μὲν οὐ γέννημα, τὸ δὲ γέννημα, πλὴν ὁμοούσια· ὃ καὶ τῷ παρόντι πως μᾶλλον προσέοικεν. Ἓν δέ τι τῶν ἡμετέρων εἰπὼν, ὃ καὶ πᾶσι γνώριμον, ἐφ' ἕτερον μεταβήσομαι λόγον.

D ΙΑ'. Ὁ Ἀδὰμ τί ποτε ἦν; Πλάσμα Θεοῦ. Τί δαὶ ἡ Εὔα; Τμῆμα τοῦ πλάσματος. Τί δαὶ ὁ Σήθ; Ἀμ-

[28] Isa. VIII, 19.

(58) *Τὸ δέ.* Sic Reg. bm., Reg., Cypr. et quatuor Colb. In ed. τὸν δέ.

(59) *Υἱός.* Reg. bm, ὁ Υἱός.

(60) *Τῆς πονηρᾶς νῦν.* Reg. Cypr., τῆς πονηρᾶς σου νῦν. Alii, detracto νῦν, habent ut in Reg. Cypr.

(61) *Καὶ δέχομαι,* etc. « Ac Deum et Deum admittam. » Id est, « tam illum, quam hunc, Deum admittam. »

(62) *Καὶ δώσω,* etc. « Et dabo tibi eamdem Trinitatem, quæ iis scilicet nominibus rebusque respondeat. »

(63) *Ὁ Θεός τε καί.* Plures Regg. et Colb., Θεὸς καί, abjectis ὁ et τε. Reg. Cypr., ὁ Θεὸς καί.

(64) *Ἢ ζητεῖς.* Reg. Cypr., Εἰ δὲ ζητεῖς· « Quod si rursus, » etc.

(65) *Τὰ ζῶντα.* Or. 1, τὸν ὄντα.

(66) *Τῷ λόγῳ.* « Orationi, » id est, « doctrinæ fidei. »

(67) *Ἐξ ἑτέρων ἕτερα.* « Ex diversis diversa, » ut ex asino et equa muli generantur.

(68) *Εἰ δέ τῳ,* etc. Sic plures codd. In ed., εἰδέτω. Hic Gregorius ad phœnicem alludit.

φοτέρων γέννημα. Ἆρ' οὖν ταυτόν (69) σοι φαίνεται A πλάσμα, καὶ τμῆμα, καὶ γέννημα; Πῶς οὔ; Ὁμοούσια δὲ ταῦτα, ἢ τί; Πῶς δ' οὔ; Ὡμολόγηται οὖν καὶ τὰ διαφόρως ὑποστάντα (70) τῆς αὐτῆς εἶναι οὐσίας ἐνδέχεσθαι. Λέγω δὲ ταῦτα, οὐκ ἐπὶ τὴν θεότητα φέρων τὴν πλάσιν, ἢ τὴν τομὴν, ἤ τι τῶν ὅσα σώματος (μή μοί τις ἐπιφυέσθω πάλιν τῶν λογομάχων), ἐπὶ δὲ τούτων θεωρῶν, ὡς ἐπὶ σκηνῆς, τὰ νοούμενα. Οὐδὲ γὰρ οἷόν τε τῶν εἰκαζομένων οὐδὲν πρὸς πᾶσαν ἐξικνεῖσθαι καθαρῶς τὴν ἀλήθειαν. Καὶ τί ταῦτα, φασίν; Οὐ γὰρ τοῦ ἑνὸς, τὸ μὲν γέννημα, τὸ δὲ ἄλλο τι. Τί οὖν; Ἡ Εὔα καὶ ὁ Σὴθ, οὐχὶ τοῦ αὐτοῦ τοῦ Ἀδάμ; Τίνος γὰρ ἄλλου; Ἦ καὶ ἀμφότεροι γεννήματα; Οὐδαμῶς. Ἀλλὰ τί; Τὸ μὲν τμῆμα, τὸ δὲ γέννημα· καὶ μὴν ἀμφότεροι ταυτὸν ἀλλήλοις· ἄνθρωποι γάρ· οὐδεὶς ἀντερεῖ. Παύσῃ (71) οὖν ἀπο- B μαχόμενος (72) πρὸς τὸ Πνεῦμα, ὡς ἢ γέννημα πάντως, ἢ μὴ ὁμοούσιον, μηδὲ Θεὸν, καὶ ἐκ τῶν ἀνθρωπίνων τὸ δυνατὸν λαβὼν τῆς ἡμετέρας ὑπολήψεως; Ἐγὼ μὲν οἶμαί σοι (73) καλῶς ἔχειν, εἰ μὴ λίαν ἔγνωκας φιλονεικεῖν, καὶ πρὸς τὰ δῆλα μάχεσθαι.

A que soboles. Idemne porro tibi esse videntur, figmentum, segmentum, et soboles? Quidni? Age, ejusdemne hæc essentiæ inter se sunt, an 563 diversæ? Ejusdem. In confesso igitur est, ut, quæ varie exsistunt, eamdem tamen essentiam habeant. Nec vero hæc eo a me dicuntur, quod fictionem, aut sectionem, aut aliquid aliud ex his, quæ corporis natura fert, in divinitatem conferam (nec enim mihi rursus pugnax quispiam argutator insidiose immineat), sed ut in his rebus ea, velut in scena, spectem, quæ non nisi intellectu percipiuntur. Neque enim fieri potest, ut imago ulla et similitudo, rei veritatem plane perfecteque assequatur. Sed dicunt, quorsum hæc? Nec enim unius ejusdemque, alter Filius, alter aliud quidquam. Quid igitur? Eva et B Seth, nonne ex eodem Adamo sunt? Ex quo enim alio? Utrum autem ambo ex eo geniti sunt? Minime. Quid ergo? Altera segmentum est, alter filius: atqui ambo inter se idem sunt: homines enim: nemo est qui inficietur. Desinesne igitur adversus Spiritum dimicare, quasi videlicet aut genitus omnino sit, aut consubstantialis non sit, nec Deus, præsertim cum ex humana quoque similitudine sententiam nostram haudquaquam impossibilem esse intellexeris? Equidem tibi jam belle esse existimo, nisi pervicaciter admodum contendere, manifestisque rebus obluctari decreveris.

ΙΒ'. Ἀλλὰ τίς προσεκύνησε τῷ Πνεύματι, φησίν; τίς ἢ τῶν παλαιῶν, ἢ τῶν νέων; τίς δὲ προσηύξατο; ποῦ δαὶ (74) τὸ χρῆναι προσκυνεῖν ἢ προσεύχεσθαι γέγραπται; καὶ πόθεν τοῦτο λαβὼν C ἔχεις; Τὴν μὲν τελεωτέραν αἰτίαν ἀποδώσομεν ὕστερον, ἡνίκα ἂν περὶ τοῦ ἀγράφου διαλεγώμεθα· νῦν δὲ τοσοῦτον εἰπεῖν ἐξαρκέσει· Τὸ Πνεῦμά ἐστιν ἐν ᾧ προσκυνοῦμεν, καὶ δι' οὗ προσευχόμεθα. *Πνεῦμα γὰρ, φησὶν, ὁ Θεὸς, καὶ τοὺς προσκυνοῦντας αὐτὸν, ἐν Πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν*· καὶ πάλιν· *Τὸ γὰρ τί προσευξόμεθα, καθ' ὃ δεῖ, οὐκ οἴδαμεν, ἀλλ' αὐτὸ τὸ Πνεῦμα ὑπερεντυγχάνει* (75) *ὑπὲρ ἡμῶν στεναγμοῖς ἀλαλήτοις*· καὶ, *Προσεύξομαι τῷ Πνεύματι, προσεύξομαι δὲ καὶ τῷ νοΐ*· τοῦτ' ἔστιν, ἐν νοῒ καὶ Πνεύματι. Τὸ οὖν προσκυνεῖν τῷ Πνεύματι, ἢ προσεύχεσθαι, οὐδὲν ἄλλο εἶναί μοι φαίνεται, ἢ αὐτὸ ἑαυτῷ τὴν εὐχὴν προσάγειν καὶ τὴν προσκύνησιν. Ὃ τίς οὐκ ἂν ἐπαινέσειε τῶν ἐνθέων, καὶ τῶν εὖ εἰδότων, ὅτι καὶ D ἡ τοῦ ἑνὸς προσκύνησις, τῶν τριῶν ἐστι προσκύνησις, διὰ τὸ ἐν τοῖς τρισὶν ὁμότιμον τῆς ἀξίας, καὶ τῆς θεότητος; Καὶ μὴν οὐδὲ ἐκεῖνο φοβηθήσομαι (76), τὸ πάντα διὰ τοῦ Υἱοῦ γεγονέναι λέγεσθαι, ὡς ἑνὸς τῶν πάντων ὄντος καὶ τοῦ ἁγίου Πνεύματος. Πάντα γὰρ ὅσα γέγονεν, εἴρηται, οὐχ ἁπλῶς ἅπαντα· οὐδὲ γὰρ ὁ Πατὴρ, οὐδ' ὅσα μὴ γέγονεν. Δεῖξον (77) οὖν,

XII. Sed quis, inquies, Spiritum adoravit? Quis, vel veterum, vel recentium? Quis eum oravit? Quo Scripturæ loco eum adorandum aut orandum esse C proditum est? Unde hoc hausisti? Nos hujus rei pleniorem causam postea reddemus, cum de non scriptis dogmatibus disseremus. Nunc vero hoc dicere sufficiet. Spiritus est, in quo adoramus, et per quem oramus. *Spiritus enim*, inquit, *est Deus: atque eos, qui ipsum adorant, in Spiritu et veritate oportet adorare* [29]. Ac rursus, *Quid enim oremus, quemadmodum oportet, nescimus. Sed Spiritus ipse interpellat pro nobis gemitibus inenarrabilibus* [30]. Et alio loco: *Orabo Spiritu, orabo et mente* [31], id est, in mente et Spiritu. Ergo Spiritu adorare, vel orare, mihi nihil aliud esse videtur, quam ipsum sibiipsi orationem vel adorationem offerre. Eamque sententiam quis est qui non comprobaturus sit, de magnis ac divinis viris loquor, quique probe norunt, D unius adorationem trium adorationem esse, propter æqualem trium personarum dignitatem ac divinitatem? Sed ne illud quidem extimescam, quod omnia per Filium facta esse dicuntur [32], tanquam in rerum universitatem Spiritus quoque sanctus aggregandus sit. Omnia enim, quæcunque facta sunt, dicit 564 evangelista [33], non omnia simpliciter. Nam ne ipse quidem Pater, nec omnia ea, quæ facta non sunt.

[29] Joan. IV, 24. [30] Rom. VIII, 26. [31] I Cor. XIV, 15. [32] Joan. I, 3. [33] ibid.

(69) *Ταυτόν*. Regg. a, bm et Par., ταῦτα.
(70) *Διαφόρως ὑποστάντα*. « Quæ diversimode nata, » vel, « producta exstiterunt, » etc.
(71) *Παύσῃ*. Or. 1, παῦσαι.
(72) *Ἀπομαχόμενος*. Sav., ἀντιμαχόμενος.
(73) *Οἶμαί σοι*. Quinque Regg., οἶμαί σε, « te bene, » vel « recte affectum puto. »
(74) *Ποῦ δαί*. In nonnullis, ποῦ δέ.
(75) *Ὑπερεντυγχάνει*. Sic textus sacer. In ed., ὑποεντυγχάνει [mendose].
(76) *Φοβηθήσομαι*. Sic duo Regg., Or. 1, Bas., Comb., etc. In ed., φοβήσομαι.
(77) *Δεῖξον*. Quatuor Regg., quatuor Colb., Or. 1, etc., δείξας. « Cum demonstraveris. »

Proba ergo Spiritum factum ac procreatum esse, ac tum Filio eum da, et in creaturarum numero colloca. Quandiu autem id probare atque ostendere nequiveris, nihil tibi ad impietatem adjumenti complexio illa allatura est. Si enim factus est, per Christum utique : ne ipse quidem inficias ivero. Si autem factus non est, quomodo, aut rerum universarum numero includetur, aut per Christum factus erit? Proinde desine, et Patrem, in Filii contumeliam male honorare (malus enim honor est, Patrem Filio privare, utcunque eum præstantiorem creaturam esse concesseris), et Filium in Spiritus sancti ignominiam. Non enim conservi opifex est, sed cum eo, qui pari dignitate est, glorificatur. Nihil Trinitati ex teipso tribue, ne a Trinitate excidas. Nullo modo unam illam naturam ac peræque venerandam trunca. Alioqui si quid ex tribus everteris, totum everteris, imo a toto excideris. Præstat exiguum quoddam unionis illius simulacrum capere, quam profligata quadam audacia in omnem impietatem prorumpere.

A ὅτι γέγονε, καὶ τότε τῷ Υἱῷ δὸς, καὶ τοῖς κτίσμασι συναρίθμησον. Ἕως δ' ἂν μὴ τοῦτο δεικνύεις (78), οὐδὲν τῷ περιληπτικῷ βοηθῇ πρὸς ἀσέβειαν. Εἰ μὲν γὰρ γέγονε, διὰ Χριστοῦ πάντως· οὐδὲ αὐτὸς ἀρνήσωμαι (79). Εἰ δὲ οὐ γέγονε, πῶς ἢ τῶν πάντων ἓν, ἢ διὰ Χριστοῦ; Παῦσαι οὖν καὶ τὸν Πατέρα κακῶς τιμῶν κατὰ τοῦ Μονογενοῦς (κακὴ δὲ τιμὴ κτίσμα διδόντα τὸ τιμιώτερον ἀποστερεῖν Υἱὸν), καὶ τὸν Υἱὸν κατὰ τοῦ Πνεύματος. Οὐ γὰρ ὁμοδούλου δημιουργὸς, ἀλλ' ὁμοτίμῳ συνδοξαζόμενος. Μηδὲν μετὰ σεαυτοῦ θῇς τῆς Τριάδος, μὴ τῆς Τριάδος ἐκπέσῃς. Μηδενὶ περικόψῃς τὴν μίαν (80) ὁμοίως σεβάσμιον. Ὡς ὅτι ἂν τῶν τριῶν καθέλῃς, τὸ πᾶν ἔσῃ καθῃρηκὼς, μᾶλλον δὲ τοῦ παντὸς ἐκπεπτωκώς. Βέλτιον μικρὰν τῆς ἑνώσεως φαντασίαν λαβεῖν, ἢ παντελῆ τολμῆσαι δυσσέβειαν.

XIII. Venit jam ad præcipuum disputationis caput oratio; ac quæstionem quidem, quæ jampridem oppressa est et exstincta, atque fidei cessit, hoc tempore renovari doleo et ingemisco : adversus rabulas tamen stare necesse est, ac providere, ne velut deserta causa vincamur, qui Verbum habemus, Spiritusque patrocinium suscipimus. Si Deus, inquiunt, et Deus, et Deus, quid causæ esse potest, quin tres sint dii, aut quin plurium deorum principatum colamus? Quinam hæc? Hi nempe, qui perfectiores in impietate sunt, aut etiam qui secundas partes tenent, hoc est, qui de Filio rectius sentiunt. Sermo enim mihi, partim adversus ambos communis est, partim adversus hos proprius et peculiaris. Ac cum his quidem ad hunc modum agemus. Quid trideitis nobis dicitis, qui Filium colitis, etsi a Spiritu descivistis? Vos autem non bideitæ? Nam si Unigeniti quoque cultum et adorationem abjuratis, haud dubie ab adversariorum partibus statis : ac proinde quid est, quamobrem lenius humaniusque vobiscum agamus, tanquam non omnino mortuis et exstinctis? Si autem colitis, atque **565** hactenus saltem salubriter affecti estis, ex vobis quæremus, qua ratione a bideitatis crimine vosmet vindicare queatis, si quis eam vobis objiciat? Si est vobis sermo prudentiæ, respondete, nobisque etiam respondendi ansam præbete. Illæ enim rationes, quibus bideitatis crimen propulsabitis, eædem quoque nobis ad trideitatis crimen propellendum sufficient. Atque ita causam obtinebimus, vos, qui accusatores estis, patronos habituri. Quo quid fortius et generosius?

ΙΓ'. Ἥκει δὲ ἡμῖν ὁ λόγος ἐπ' αὐτὸ τὸ κεφάλαιον· καὶ στένω μὲν, ὅτι πάλαι τεθνηκὸς ζήτημα, καὶ τῇ πίστει παραχωρῆσαν, νῦν ἀνακαινίζεται· στῆναι δὲ ὅμως ἀναγκαῖον πρὸς τοὺς λογολέσχας, καὶ μὴ ἐρήμην ἁλῶναι, Λόγον ἔχοντας, καὶ συνηγοροῦντας Πνεύματι. Εἰ Θεὸς, φασὶ (81), καὶ Θεὸς, καὶ Θεὸς, πῶς οὐχὶ τρεῖς Θεοί; ἢ πῶς οὐ πολυαρχία τὸ δοξαζόμενον; Ταῦτα τίνες; Οἱ τελεώτεροι (82) τὴν ἀσέβειαν, ἢ καὶ οἱ τῆς δευτέρας (83) μερίδος, λέγω δὲ τοὺς περὶ τὸν Υἱόν πως εὐγνώμονας. Ὁ μὲν γὰρ C κοινός μοι πρὸς ἀμφοτέρους λόγος, ὁ δὲ πρὸς τούτους ἴδιος. Ὁ μὲν οὖν πρὸς τούτους, τοιοῦτος. Τί φατε τοῖς τριθεΐταις (84) ἡμῖν, οἱ τὸν Υἱὸν σέβοντες, εἰ καὶ τοῦ Πνεύματος ἀφεστήκατε; Ὑμεῖς δὲ οὐ διθεῖται (85); Εἰ μὲν γὰρ ἀρνεῖσθε καὶ τοῦ Μονογενοῦς τὴν προσκύνησιν, σαφῶς τέταχθε μετὰ τῶν ἐναντίων· καὶ τί φιλανθρωπευόμεθα πρὸς ὑμᾶς, ὡς οὐ πάντη νενεκρωμένους; Εἰ δὲ σέβεσθε, καὶ μέχρι τούτου διάκεισθε σωτηρίως (86), ὑμᾶς ἐρωτήσομεν· Τίς ὁ λόγος τῆς διθεΐας ὑμῖν, ἂν τοῦτο ἐγκαλῆσθε; Εἰ ἔστι λόγος συνέσεως, ἀποκρίθητε, δότε καὶ ἡμῖν ὁδὸν ἀποκρίσεως. Οἷς γὰρ ἂν ὑμεῖς τὴν διθεΐαν ἀποκρούσησθε λόγοις, οὗτοι καὶ ἡμῖν κατὰ τῆς τριθεΐας ἀρκέσουσιν· καὶ οὕτω νικῶμεν, ὑμῖν τοῖς κατηγόροις, συνηγόροις χρώμενοι· οὗ τί D γενναιότερον;

XIV. At vero quodnam nobis est cum utrisque certamen, et quænam oratio? Nobis Deus unus est,

ΙΔ'. Ὁ δὲ κοινὸς ἡμῖν πρὸς ἀμφοτέρους τίς ἀγών τε καὶ λόγος (87); Ἡμῖν εἷς Θεὸς, ὅτι μία θεότης·

(78) *Δεικνύεις*. Tres Regg. et Or. 1, δεικνύῃς.

(79) *Ἀρνήσωμαι*. Reg. bm et alii duo, ἀρνήσομαι.

(80) *Μίαν*. Sic quatuor Regg., totidem Colb., Or. 1, Par., etc. In ed., θείαν, « divinam. »

(81) *Φασί*. Duo Regg., quinque Colb., etc., φησί.

(82) *Οἱ τελεώτεροι*, etc. « Perfectiores in impietate. » Designat hic Gregorius Arianos et Eunomianos, qui in Filium et in Spiritum sanctum impii erant.

(83) *Οἱ τῆς δευτέρας*, etc. « Secundas partes tenebant » Semiariani et Macedoniani, qui tantum in Spiritum sanctum blasphemi erant.

(84) *Τριθεΐταις*. « Trideitis, » id est, « trium deorum cultoribus. »

(85) *Διθεῖται*. « Duorum deorum cultores. »

(86) *Διάκεισθε σωτηρίως*. Bill. : « incolumi salute estis. »

(87) *Λόγος*. Coisl. 1 addit, ἐστί.

καὶ πρὸς ἓν τὰ ἐξ αὐτοῦ τὴν ἀναφορὰν ἔχει, κἂν τρία πιστεύηται. Οὐ γάρ, τὸ μὲν μᾶλλον (88), τὸ δὲ ἧττον Θεός· οὐδὲ τὸ μὲν πρότερον, τὸ δὲ ὕστερον· οὐδὲ βουλήσει τέμνεται, οὐδὲ δυνάμει μερίζεται, οὐδέ τι τῶν ὅσα τοῖς μεριστοῖς (89) ὑπάρχει, κἀνταῦθα λαβεῖν ἔστιν· ἀλλὰ ἀμέριστος (90) ἐν μεμερισμένοις, εἰ δεῖ συντόμως εἰπεῖν, ἡ θεότης· καὶ οἷον ἐν ἡλίοις τρισὶν ἐχομένοις ἀλλήλων, μία τοῦ φωτὸς σύγκρασις. Ὅταν μὲν οὖν πρὸς τὴν θεότητα βλέψωμεν, καὶ τὴν πρώτην αἰτίαν, καὶ τὴν μοναρχίαν, ἓν ἡμῖν τὸ φανταζόμενον· ὅταν δὲ πρὸς τὰ ἐν οἷς ἡ θεότης, καὶ τὰ ἐκ τῆς πρώτης αἰτίας ἀχρόνως ἐκεῖθεν ὄντα καὶ ὁμοδόξως, τρία τὰ προσκυνούμενα.

A quoniam una deitas; atque ad unum, ea quæ ex eo sunt, referuntur, etiamsi tres personas credamus. Neque enim hoc magis, illud minus est Deus, nec hoc prius, illud posterius. Nec voluntate scinduntur, nec potentia dividuntur, nec denique quidquam eorum, quæ dividuis rebus contingunt, hic quoque reperitur. Sed individua in dividuis, ut uno verbo dicam, est divinitas, ac velut in tribus solibus inter se cohærentibus una lucis commistio et temperatio. Cum ergo ad divinitatem, primamque illam causam, uniusque principatum et imperium respexerimus, unum est quod mentis nostræ oculis obversatur. Cum rursus ad ea, in quibus est divinitas, et quæ ex prima illa causa, citra ullam temporis intercapedinem, ac pari gloria sunt, tria sunt quæ adorantur.

ΙΕ'. Τί δαί; οὐχὶ καὶ παρ' Ἕλλησι, φαῖεν ἄν, μία θεότης, ὡς οἱ τὰ τελεώτερα παρ' ἐκείνοις φιλοσοφοῦντες, καὶ παρ' ἡμῖν ἀνθρωπότης μία, τὸ γένος ἅπαν; Ἀλλ' ὅμως θεοὶ πολλοί, καὶ οὐχ εἷς, ὡς δὴ καὶ ἄνθρωποι; Ἀλλ' ἐκεῖ μὲν ἡ κοινότης τὸ ἓν ἔχει μόνον ἐπινοίᾳ θεωρητόν (91)· τὰ δὲ καθ' ἕκαστον πλεῖστον ἀλλήλων, καὶ τῷ χρόνῳ, καὶ τοῖς πάθεσι, καὶ τῇ δυνάμει μεμερισμένα. Ἡμεῖς τε γὰρ οὐ σύνθετοι μόνον, ἀλλὰ καὶ ἀντίθετοι, καὶ ἀλλήλοις, καὶ ἡμῖν αὐτοῖς, οὐδὲ ἐπὶ μιᾶς ἡμέρας οἱ αὐτοὶ καθαρῶς μένοντες, μὴ ὅτι τὸν ἅπαντα βίον· ἀλλὰ καὶ σώμασι καὶ ψυχαῖς ἀεὶ ῥέοντές τε καὶ μεταπίπτοντες. Οὐκ οἶδα δέ, εἰ μὴ καὶ ἄγγελοι (92), καὶ πᾶσα φύσις ἡ ἄνω, καὶ (93) μετὰ τὴν Τριάδα, κἂν ἁπλοῖ τινες ὦσι, καὶ πρὸς τὸ καλὸν παγιώτεροι, τῇ πρὸς τὸ ἄκρον καλὸν ἐγγύτητι.

B XV. Quid autem, dixerint fortasse, nonne apud ethnicos quoque deitas una est, ut docent qui plenius apud illos perfectiusque philosophantur, atque apud nos genus universum, humanitas una? Et tamen plures sunt dii, et non unus, sicut etiam multi homines? At illic communitas unitatem habet, quæ cogitatione sola considerari possit: singularia autem, et tempore, et affectionibus, atque adeo potentia et facultate plurimum inter se divisa sunt. Nam nos, non solum compositi sumus, sed etiam, tum inter nos mutuo, tum nobis etiam ipsis oppositi; ut qui ne **566** unius quidem diei spatio, nedum toto vitæ curriculo, plane iidem maneamus, verum, et corporibus, et animis, perpetuo diffluamus et immutemur. Atque haud scio, num idem C quoque in angelis locum habeat, ac in omni illa cœlesti natura, et Trinitati proxima; tametsi alioqui simplici quadam natura præditi sint, atque ob vicinitatem eam, quam ad summum bonum habent, in bonum firmius defixi.

ΙϚ'. Οἵ τε παρ' Ἑλλήνων σεβόμενοι θεοί τε καὶ δαίμονες, ὡς αὐτοὶ λέγουσιν, οὐδὲν ἡμῶν δέονται κατηγόρων, ἀλλὰ τοῖς σφῶν αὐτῶν ἁλίσκονται θεολόγοις (94), ὡς μὲν ἐμπαθεῖς, ὡς δὲ στασιώδεις, ὅσων

XVI. Jam deos illos, quos ethnici colunt, ac dæmones, ut ipsimet vocant, nihil a nobis accusari necesse est, cum a suismet theologis convincantur, quam fœdis affectibus obnoxii, quam turbulenti

(88) *Οὐ γάρ, τὸ μὲν μᾶλλον*, etc. S. Leo serm. 8, in Nativ. Christi ait: « Gradus in vero divinitate esse non possunt. Quidquid Deo minus est, Deus non est. »

(89) *Μεριστοῖς*. « Dividuis. » Sic tres Regg., quinque Colb., Or. 1, Par., Comb. In ed., μερισταῖς, « partitoribus. »

(90) *Ἀμέριστος*. Vide Damascen. *De orthodoxa fide*, cap. Περὶ τῆς ἁγίας Τριάδος. « De sancta Trinitate. »

(91) *Ἐπινοίᾳ θεωρητόν*. « Aliud est, » inquit Billius ex Elia, « re quidpiam considerari, aliud ratione et cogitatione. Atque in omnibus quidem rebus creatis, personarum divisio re consideratur. Nam re Petrus a Paulo separatus consideratur. Communitas autem, et conjunctio, et unitas considerantur ratione duntaxat et cogitatione. Nam mente intelligimus Petrum et Paulum ejusdem esse naturæ. Uterque enim animal est rationale, mortale, etc. Personæ autem in se invicem non sunt, sed quælibet earum peculiaris est, hoc est, separatim exsistit, et habet plurima, quæ eam ab alia distinguant. Nam et loco distant, et different tempore, voluntate, potestate, temperamento, etc. Eo fit ut duo vel tres homines dicantur et multi (sicut fit etiam in Græcorum diis), quod divisi sint, tempore, loco, judicii sententia, potestate, etc. At in Trinitate contrario modo res se habet. Nam in ea, quod est commune, re consideratur, propter coæternitatem et identitatem essentiæ, propter etiam efficacitatis, voluntatis et sententiæ conspirationem, et potentiæ identitatem. Quod vero in eadem discrimen habet, id cogitatione intelligitur. Nam Deum unum agnoscimus, atque in solis proprietatibus paternitatis, filiationis, et pro- D cessionis discrimen intelligimus. Nec enim distantiam localem in deitate statuere possumus. Personæ enim sunt in se invicem; non quod confundantur, sed quod cohæreant, juxta illud Joan. x, 38, *Ego in Patre, et Pater in me est.* Non item statuere possumus in Trinitate, vel voluntatis, vel sententiæ, vel efficacitatis aut potentiæ diversitatem, vel cujusquam alius rei, quæcunque realem ac totalem in nobis divisionem gignunt. Itaque nec tres deos dicimus, sed unum, sacrosanctam Trinitatem. »

(92) *Καὶ ἄγγελοι*. « Angeli, » inquit Billius, « ratione arbitrii, natura sua mutari possunt. Verum per gratiam id sunt asseculi, ut jam ne mutari quidem possint. »

(93) *Καί*. Deest in tribus Regg. et quinque Colb.

(94) *Θεολόγοις*. « Græcorum theologi, » inquit Elias, « sunt Hermes, Orpheus, Homerus, Plato et Aristoteles. Maximi tamen inter eos numerantur Plato et Aristoteles. »

sint, quot malis scateant, quot mutationes subeant, atque non mutuo solum inter se, sed etiam primis illis causis adversentur, quos Oceanos, et Tethidas, et Phanetas, et nescio quo alio nomine appellant; ac postremo Deum quemdam ob principatus amorem liberis suis infestum, atque alios omnes præ inexplebili cupiditate devorantem, ut et hominum omnium Pater sit, et deorum, quos misere comederit, et evomuerit. Quod si hæc ipsi, ut sermonis turpitudinem fugiant, fabulosa, atque allegorico sensu interpretanda esse contenderint, quid tandem ad illud dicent, *trifariam omnia divisa esse* [34], aliumque alii cuipiam orbis parti præesse, atque et materiis et dignitatibus distinctos esse? At nostræ doctrinæ non eadem est ratio; nec pars hæc Jacob, ut inquit meus theologus [35]. Sed horum quodlibet unitatem habet, non minus ejus, cum quo conjungitur, quam suiipsius respectu, propter essentiæ et potentiæ identitatem. Atque hæc unionis hujus ratio est, quantum quidem ipsi percipimus. Ac si quidem firma est hæc ratio, Deo ob hujusmodi speculationem gratias ago; sin minus, firmiorem aliam conquiremus.

δὲ κακῶν γέμοντες, καὶ μεταβολῶν· καὶ οὐ πρὸς ἀλλήλους μόνον, ἀλλὰ καὶ πρὸς τὰς πρώτας αἰτίας ἀντιθέτως ἔχοντες· οὓς δὴ (95) καὶ Ὠκεανοὺς, καὶ Τηθύας, καὶ Φάνητας (96), καὶ οὐκ οἶδα οὕστινας ὀνομάζουσι· καὶ τελευταῖόν τινα θεὸν (97) μισότεκνον διὰ φιλαρχίαν, πάντας καταπίνοντα τοὺς ἄλλους ἐξ ἀπληστίας, ἵνα γένηται πάντων ἀνδρῶν τε θεῶν τε πατὴρ, δυστυχῶς ἐσθιομένων καὶ ἐμουμένων. Εἰ δὲ ταῦτα μῦθοι, καὶ ὑπόνοιαί τινες, ὡς αὐτοί φασι, τὸ αἰσχρὸν τοῦ λόγου διαδιδράσκοντες, τί φήσουσι πρὸς τὸ, *Τριχθὰ δὲ πάντα δέδασται*, καὶ τὸ ἄλλον ἄλλῳ τινὶ τῶν ὄντων ἐπιστατεῖν, διῃρημένους καὶ ταῖς ὕλαις (98), καὶ τοῖς ἀξιώμασι; Τὸ δὲ ἡμέτερον, οὐ τοιοῦτον· *Οὐδὲ αὕτη μερὶς τῷ Ἰακὼβ* (99), φησὶν ὁ ἐμὸς θεολόγος· ἀλλὰ τὸ ἓν ἕκαστον αὐτῶν ἔχει πρὸς τὸ συγκείμενον, οὐχ ἧττον ἢ πρὸς ἑαυτὸ, τῷ ταυτῷ τῆς οὐσίας καὶ τῆς δυνάμεως. Καὶ οὗτος ὁ τῆς ἑνώσεως λόγος, ὅσον ἐφ' οἷς (1) ἡμεῖς κατειλήφαμεν. Εἰ μὲν οὖν ἰσχυρὸς οὗτος ὁ λόγος, τῷ Θεῷ χάρις τῆς θεωρίας· εἰ δὲ μὴ, ζητῶμεν τὸν ἰσχυρότερον.

XVII. Tua porro argumenta, quibus nostram illam unionem evertere conaris, statuere nequeo, ludentisne potius, an serio agentis esse dicamus. Quodnam enim est hoc argumentum? Ea, quæ ejusdem essentiæ sunt, connumerantur, inquis (connumerationem videlicet appellans in numerum 567 unum contractionem), quæ autem disparem substantiam habent, minime connumerantur. Unde vos quidem ex eo elabi non potestis, quin juxta hanc rationem, tres deos asseratis. Nobis autem nullum tale periculum imminet. Non enim ea consubstantialia esse profitemur. Respondeo: Unica voce teipsum negotio ac molestia liberasti, malamque victoriam adeptus es: idemque tibi accidit, quod iis, qui mortis metu, sibiipsis laqueo vitam adimunt. Etenim, ne in defendendo unius principatu desudes, deitatem negasti, hostibusque id, quod quærebant, prodidisti. Ego vero, etiam si quid laboris subeundum sit, non tamen prodam id quod adoratur. Quanquam ne hic quidem video, quis labor suscipiendus sit.

ΙΖ'. Τοὺς δὲ σοὺς λόγους, οὐκ οἶδα πότερον παίζοντος εἶναι φήσομεν (2), ἢ σπουδάζοντος, οἷς ἀναιρεῖς ἡμῶν τὴν ἕνωσιν. Τίς γὰρ δὴ καὶ ὁ λόγος; Τὰ ὁμοούσια συναριθμεῖται (3), φῂς (συναρίθμησιν λέγων τὴν εἰς ἀριθμὸν ἕνα συναίρεσιν)· οὐ συναριθμεῖται δὲ τὰ μὴ ὁμοούσια. Ὥστε ὑμεῖς μὲν οὐ φεύξεσθε τὸ λέγειν τρεῖς θεοὺς κατὰ τὸν λόγον τοῦτον· ἡμῖν δὲ οὐδὲ εἷς κίνδυνος· οὐ γὰρ ὁμοούσια λέγομεν. Σὺ μὲν οὖν ἀπήλλαξας σεαυτὸν πραγμάτων μιᾷ φωνῇ, καὶ τὴν κακὴν νίκην νενίκηκας· ὅμοιόν τι ποιήσας τοῖς διὰ θανάτου φόβον ἀπαγχομένοις. Ἵνα γὰρ μὴ κάμῃς τῇ μοναρχίᾳ συνιστάμενος, ἠρνήσω θεότητα, καὶ προδέδωκας τοῖς ἐχθροῖς τὸ ζητούμενον. Ἐγὼ δὲ κἂν τι δέῃ καμεῖν, οὐ προήσομαι τὸ προσκυνούμενον. Ἐνταῦθα δὲ, οὐδὲ ὁρῶ τίς ὁ πόνος.

XVIII. Connumerantur, inquis, ea, quæ eamdem substantiam habent: quæ autem substantia inter se differunt, singularem indicationem habent. Unde hoc, et a quibus doctoribus aut fabulatoribus accepisti? Illudne te fugit, numerum omnem hanc vim habere, ut subjectorum quantitatem, non item rerum naturam, explicet? Ego vero ita simplex,

ΙΗ'. Συναριθμεῖται, φῂς, τὰ ὁμοούσια· τὰ δὲ οὐχ (4) οὕτως ἔχοντα, μοναδικὴν ἔχει τὴν δήλωσιν. Πόθεν σοι τοῦτο, καὶ παρὰ τίνων δογματιστῶν καὶ (5) μυθολόγων; Ἢ ἀγνοεῖς, ὅτι πᾶς ἀριθμὸς, τῆς ποσότητος τῶν ὑποκειμένων ἐστὶ δηλωτικὸς, οὐ τῆς φύσεως τῶν πραγμάτων; Ἐγὼ δὲ οὕτως ἀρχαίως ἔχω, μᾶλλον δὲ ἀμαθῶς, ὥστε τρία μὲν ὀνομάζω τὰ τοσαῦτα τῷ

[34] *Homer. Iliad.* XIV, *vers.* 189. [35] Jer. X, 16.

(95) *Οὓς δή*. Sic Reg. bm, Bas., aliique plures. In ed. deest δή.

(96) *Ὠκεανοὺς... Τηθύας... Φάνητας*. Per « Oceanos, Tethydas et Phanetas, » intelligit Gregorius deos, qui, juxta poetas, « mari, terræ vitalique facultati » præsidere finguntur.

(97) *Τινα Θεόν*, etc. Hic designatur Saturnus. Dicitur « filios devorans, » quod saxum fasciis involutum pro Jove devorasse fingitur.

(98) *Ὕλαις*. « Materiis, » id est, « elementis. »

(99) *Μερὶς τῷ Ἰακώβ*. « Pars hæc Jacob. » Verba sunt Jeremiæ x, 16, quem Gregorius suum appellat theologum, cumque Græcorum theologis opponit. « Pars Jacob, » juxta Eliam, designat « doctrinam eorum qui recte et orthodoxe sentiunt. »

(1) *Ἐφ' οἷς*. Bas., ἐν οἷς.

(2) *Φήσομεν*. Coisl. 1, φήσαιμεν.

(3) *Συναριθμεῖται*. Hoc argumentum cæteraque omnia, sanctus Basilius, in libro *De Spiritu sancto*, plenissime refellit.

(4) *Οὐχ*. Duo Regg., μή.

(5) *Καί*. Reg. a, ἤ.

A ἀριθμῷ, κἂν διέστηκε τὴν φύσιν· ἓν δὲ, καὶ ἓν, καὶ ἓν, ἄλλως τὰς τοσαύτας μονάδας, κἂν τῇ οὐσίᾳ συνάπτωνται, οὐ πρὸς τὰ πράγματα μᾶλλον ἀφορῶν, ἢ τὸ ποσὸν τῶν πραγμάτων, καθ' ὧν ἡ ἀρίθμησις (6). Ἐπεὶ δὲ λίαν περιέχῃ τοῦ γράμματος, καίτοιγε πολεμῶν τῷ γράμματι (7), ἐκεῖθέν μοι λάβε τὰς ἀποδείξεις· *Τρία ἐν ταῖς* Παροιμίαις *ἐστὶν, ἃ εὐόδως πορεύεται· λέων, καὶ τράγος, καὶ ἀλεκτρυών·* καὶ, *βασιλεὺς δημηγορῶν ἐν ἔθνει* (8), τὸ τέταρτον· ἵνα μὴ λέγω τὰς ἄλλας ἐκεῖ τετράδας ἀριθμουμένας, τῇ δὲ φύσει διῃρημένας. Καὶ δύο τῷ Μωσεῖ χερουβὶμ (9) εὑρίσκω μοναδικῶς ἀριθμούμενα. Πῶς οὖν, ἢ ἐκεῖνα τρία, κατὰ τὴν σὴν τεχνολογίαν, τοσοῦτον ἀλλήλων ἀπεῤῥηγμένα ταῖς φύσεσιν; ἢ ταῦτα μοναδικὰ, τοσοῦτον ἀλλήλοις ὁμοφυῆ καὶ συγκείμενα; Εἰ γὰρ λέγοιμι Θεὸν καὶ Μαμωνᾶν, δύο κυρίους εἰς ἓν ἀριθμουμένους, τοσούτῳ μακρὰν ὄντας ἀλλήλων, τάχα ἂν καὶ μᾶλλον γελασθείην τῆς συναριθμήσεως.

vel imperitus potius sum, ut tria quidem ea nominem, quæ totidem numero sunt, etiamsi substantia differant : unum autem, et unum, et unum, totidem unitates, etiamsi substantia conjungantur, non magis videlicet res ipsas intuens, quam rerum quantitatem, juxta quam enumeratio ipsa sit. Quoniam autem mordicus litteram retines, etsi alioqui litteræ bellum inferens, illinc mihi probationes hasce accipe. *Tria* in Proverbiis *sunt, quæ recte incedunt, leo, hircus, et gallus;* et quarto loco, *rex apud populares suos concionem habens*[36]; ut reliquas illas natura distinctas quaternitates, quæ illic recensentur, silentio prætercam. Duos etiam cherubim apud Moysem invenio, qui separatim numerantur[37]. Quomodo ergo, vel illa tria sunt, sicut ars tua præ- B scribit, cum natura atque substantia adeo inter se discrepent : aut hæc singularia, quæ natura inter se adeo æqualia sunt, et copulata? Nam si dominos illos duos Deum et mammonam[38] commemorare velim, qui numero uno efferuntur, cum usqueadeo inter se disjuncti sint, magis quoque fortasse me ob hanc connumerationem ridendum propinarem.

ΙΘ'. Ἀλλ' ἐμοὶ, φησὶν, ἐκεῖνα συναριθμούμενα λέγεται, καὶ τῆς αὐτῆς οὐσίας, οἷς συνεκφωνεῖται καταλλήλως, καὶ τὰ ὀνόματα· οἷον, ἄνθρωποι τρεῖς, καὶ θεοὶ τρεῖς, οὐχὶ τρία τάδε, καὶ τάδε (10). Τίς γὰρ ἡ ἀντίδοσις (11); τοῦτο νομοθετοῦντός ἐστι τοῖς ὀνόμασιν, οὐκ ἀληθεύοντος. Ἐπεὶ κἀμοὶ Πέτρος, καὶ Παῦλος, καὶ Ἰωάννης, οὐ τρεῖς, οὐδὲ ὁμοούσιοι, ἕως ἂν μὴ τρεῖς Πέτροι, καὶ τρεῖς Παῦλοι, καὶ Ἰωάνναι τοσοῦτοι λέγονται (12). Ὃ γὰρ σὺ τετήρηκας ἐπὶ τῶν γενικωτέρων ὀνομάτων, τοῦτο καὶ ἡμεῖς ἀπαιτήσομεν ἐπὶ τῶν εἰδικωτέρων (13) κατὰ τὴν σὴν ἀνάπλασιν· ἢ ἀδικήσεις, μὴ διδοὺς ὅπερ εἴληφας. Τί δαὶ ὁ Ἰωάννης; Τρεῖς εἶναι τοὺς μαρτυροῦντας λέγων ἐν ταῖς Καθολικαῖς, τὸ Πνεῦμα, τὸ ὕδωρ, τὸ αἷμα (14), ἆρά σοι ληρεῖν φαίνεται; Πρῶτον μὲν, ὅτι τὰ μὴ ὁμοούσια συναριθμῆσαι τετόλμηκεν, ὃ τοῖς ὁμοουσίοις σὺ δίδως. (Τίς γὰρ ἂν εἴποι ταῦτα μιᾶς οὐσίας;) Δεύτερον δὲ, ὅτι μὴ καταλλήλως ἔχων ἀπήντησεν· ἀλλὰ τὸ τρεῖς ἀῤῥενικῶς προθεὶς, τὰ τρία οὐδετέρως ἐπήνεγκε, παρὰ τοὺς σοὺς, καὶ τῆς σῆς (15) γραμματικῆς ὅρους καὶ νόμους. Καίτοι τί διαφέρει, ἢ τρεῖς προθέντα, ἓν, καὶ ἓν, καὶ ἓν ἐπενεγκεῖν, ἢ ἕνα, καὶ ἕνα, καὶ ἕνα λέγοντα, μὴ τρεῖς, ἀλλὰ τρία προσαγορεύειν; ὅπερ αὐτὸς ἀπαξιοῖς ἐπὶ τῆς θεότητος. Τί δαί σοι ὁ καρκίνος, τό τε ζῶον, τό τε ὄργανον, ὅ τε ἀστήρ; τί δαὶ ὁ κύων, ὅ τε χερσαῖος, καὶ ὁ ἔνυδρος, καὶ ὁ οὐράνιος; οὐ τρεῖς λέγεσθαί σοι δοκοῦσι καρκίνοι καὶ κύνες; Πάντως γε. Ἆρα οὖν παρὰ τοῦτο καὶ ὁμοούσιοι; Τίς φήσει τῶν νοῦν ἐχόντων; Ὁρᾷς,

XIX. At, inquis, ea connumerari dicuntur, ejusdemque essentiæ esse, quibus nomina ipsa respondent, cum efferuntur : **563** ut homines tres, et dii tres, non autem tria hæc, aut illa. Quæ enim est hæc relata responsio? Nimirum hoc jam hominis est legem nominibus præscribentis, non verum dicere instituentis. Alioqui mihi quoque pari eadem ratione Petrus, et Paulus, et Joannes non tres erunt, nec con- C substantiales, quandiu non tres Petri, aut tres Pauli, aut totidem Joannes non dicentur. Quod enim tu in generalibus nominibus retinuisti, hoc nos quoque juxta commentum tuum in specialibus postulamus. Injuste enim feceris, nisi, quod accepisti, dederis. Quid Joannes? Cum in Catholicis epistolis suis tres esse ait[39], qui testimonium dant, Spiritum, aquam, et sanguinem, videturne tibi delirare? Primum, quia res substantia diversas connumerare ausus est, quod tu consubstantialibus tantum tribuis. Quis enim hæc unius ejusdemque substantiæ esse dixerit? Alterum, quia modo minime congruenti voces sequentes subjunxerit; sed cum tres masculino genere proposuisset, tria neutro genere subjunxit, contra quam tuæ, atque ip- D sius etiam grammaticæ leges ferant. Verum quid interest, aut cum tres masculino genere præposueris, unum, et unum, et unum subjicere : aut cum unum, et unum, et unum dixeris, non tres, sed tria appellare? Id quod tu in deitate admittere gravaris. Jam, quid tibi cancer, qui et animal est, et

[36] Prov. xxx, 29, 30. [37] Exod. xxxvii, 7 sqq. [38] Matth. vi, 24. [39] I Joan. v, 8.

(6) *Ἡ ἀρίθμησις.* Coisl. 1, Par. et Comb., ἡ ἀπαρίθμησις.
(7) *Γράμματι.* Coisl. 1, πράγματι.
(8) *Δημηγορῶν ἐν ἔθνει.* Sic plerique codd. et Bas. Mendose in Par. ed., δημιουργῶν ἔθνει.
(9) *Χερουβίμ.* Reg. bm, χερουβεῖμ.
(10) *Τρία τάδε, καὶ τάδε.* Sic quatuor Regg., quinque Colb., Or. 1, etc. Deest καὶ τάδε in ed.
(11) *Ἀντίδοσις.* Billius in interpretatione : « redditio; » in notis : « congruentia. »
(12) *Λέγονται.* Duo Regg. et Or. 1, λέγωνται.
(13) *Εἰδικωτέρων.* Reg. a et Comb., ἰδικωτέρων.
(14) *Τὸ ὕδωρ, τὸ αἷμα.* In nonnullis, καὶ τὸ ὕδωρ, καὶ τὸ αἷμα.
(15) *Τῆς σῆς.* Sic Coisl. 1. « Contra tuas, et tuæ ipsius grammaticæ definitiones et leges. » Deest σῆς in ed.

organum, et sidus? Quid canis, qui terrestris est, et marinus, et cœlestis? Nonne tres cancri, aut canes tibi dici videntur? Ita profecto. An ergo proinde quoque consubstantiales sunt? Quis sanus hoc dixerit? Videsne quomodo tibi hoc connumerationis argumentum, tot tantisque rationibus confutatum, corruerit? Nam cum nec consubstantialia semper connumerentur, et quæ disparis essentiæ sunt, interdum connumerentur, et tamen in utrisque nomina simul efferri perspiciamus, ex tuis dogmatibus quid tibi accessit?

A ὅπως σοι διαπέπτωκεν ὁ περὶ τῆς συναριθμήσεως λόγος, τοσούταις ἐληλεγμένος; Εἰ γὰρ μήτε τὰ ὁμοούσια πάντως συναριθμεῖται, καὶ συναριθμεῖται τὰ μὴ ὁμοούσια, ἥ τε τῶν ὀνομάτων (16) συνεκφώνησις ἐπ' ἀμφοῖν, τί σοι πλέον ὧν ἐδογμάτισας;

XX. Quin illud etiam expendo, nec fortasse temere atque absurde. Unum et unum, nonne composita duo constituunt? Duo rursus, nonne in unum et unum resolvuntur? Ita sane. Si ergo consubstantialia quidem sunt, quæ componuntur, ut ipse argutaris, diversæ autem substantiæ sunt, quæ secantur, quid ex eo consequetur? Nimirum res easdem, et ejusdem, et diversæ essentiæ esse. Nec vero facere possum, **569** quin tuas prænumerationes ac subnumerationes rideam, quibus tu perinde gloriaris, ac si res ipsæ in vocabulorum ordine sitæ sint. Nam si ita est, quid impedit, quominus eadem ratione, quoniam eadem, propter æqualem naturæ præstantiam, in sacra Scriptura nunc priori, nunc posteriori loco numerantur, sint quoque ipsa seipsis, tum excellentiora, tum abjectiora? Quod idem dicendum etiam habeo de his vocibus, *Deus* et *Dominus;* atque insuper de his præpositionibus, *ex quo*, *per quem*, et *in quo* [40], quibus tu divinum illud nomen ad artis præscriptum exigis, primam scilicet Patri, alteram Filio, tertiam Spiritui sancto assignans. Quid enim fecisses, si quælibet ex his præpositionibus unicuique personæ constanter tribueretur; cum, tametsi omnes cum omnibus promiscue construantur, ut studiosis et accuratis lectoribus perspicuum est, tantam ipse per eas, et dignitatis, et naturæ diversitatem inducas? Sufficiunt hæc quidem hominibus non nimis iniquis ac præposteris. Sed quia tibi difficile est, cum semel in Spiritum sanctum insilieris, impetum comprimere, ac non potius, ferociorum aprorum instar, ad extremum usque pertinaciter contendere, teque in gladium ipsum impellere, quoad totum vulnus pectore exceperis: age, quæ tibi ratio supersit, videamus.

Κ'. Σκοπῶ δὲ κἀκεῖνο, καὶ ἴσως οὐκ ἔξω λόγου. Τὸ ἕν, καὶ τὸ ἕν, οὐκ εἰς δύο συντίθεται; τὰ δύο δὲ, οὐκ εἰς ἕν, καὶ ἕν, ἀναλύεται; Δῆλον ὅτι (17). Εἰ οὖν ὁμοούσια μὲν τὰ συντιθέμενα κατὰ τὸν σὸν λόγον, ἑτερούσια (18) δὲ τὰ τεμνόμενα, τί συμβαίνει; Τὰ αὐτὰ ὁμοούσιά τε εἶναι καὶ ἑτεροούσια. Γελῶ σου καὶ B τὰς προαριθμήσεις, καὶ τὰς ὑπαριθμήσεις, αἷς (19) σὺ μέγα φρονεῖς, ὥσπερ ἐν τῇ τάξει τῶν ὀνομάτων, κειμένων τῶν πραγμάτων. Εἰ γὰρ τοῦτο, τί κωλύει κατὰ τὸν αὐτὸν λόγον, ἐπειδὴ τὰ αὐτὰ καὶ προαριθμεῖται, καὶ ὑπαριθμεῖται παρὰ τῇ θείᾳ (20) Γραφῇ, διὰ τὴν ἰσοτιμίαν τῆς φύσεως, αὐτὰ ἑαυτῶν εἶναι τιμιώτερά τε καὶ ἀτιμότερα; Ὁ δὲ αὐτός μοι, καὶ περὶ τῆς *Θεὸς* φωνῆς καὶ *Κύριος*, λόγος· ἔτι δὲ τῶν προθέσεων, τῆς *ἐξ οὗ*, καὶ *δι' οὗ*, καὶ *ἐν ᾧ*, αἷς σὺ κατατεχνολογεῖς ἡμῖν τὸ θεῖον, τὴν μὲν τῷ Πατρὶ διδοὺς, τὴν δὲ τῷ Υἱῷ, τὴν δὲ τῷ ἁγίῳ Πνεύματι. Τί γὰρ ἂν ἐποίησας, παγίως ἑκάστου τούτων ἑκάστῳ νενεμημένου· ὁπότε πάντων πᾶσι συντεταγμένων, ὡς δῆλον τοῖς φιλοπόνοις, τοσαύτην σὺ διὰ τούτων εἰσάγεις καὶ τῆς ἀξίας, καὶ τῆς φύσεως ἀνισότητα; C Ἀπόχρη καὶ ταῦτα τοῖς μὴ λίαν ἀγνώμοσιν. Ἐπειδὴ δέ (21) σε τῶν χαλεπῶν ἐστιν, ἅπαξ ἐπιπηδήσαντα τῷ Πνεύματι, τῆς φορᾶς σχεθῆναι, ἀλλὰ μὴ, καθάπερ τῶν συῶν τοὺς θρασυτέρους, εἰς τέλος φιλονεικεῖν, καὶ πρὸς τὸ ξίφος ὠθίζεσθαι, μέχρις ἂν πᾶσαν εἴσω τὴν πληγὴν ὑπολάβῃς· φέρε, σκεψώμεθα τίς ἔτι σοι λείπεται λόγος.

XXI. Identidem sæpiusque nobis inculcas, Spiritus sancti divinitatem nullo Scripturæ loco proditam haberi. Enimvero quod nec novus ac peregrinus, nec introductitius ipse sit, verum et a priscis, et hujus ætatis hominibus agnitus, ac patefactus, quanquam a compluribus jam ostensum est, qui de hac re disseruerunt, atque in divinis Scripturis, nec ignave nec perfunctorie versati sunt, sed litteram penetrantes, atque intro prospicientes, reconditam pulchritudinem divino beneficio viderunt, scientiæque luce collustrati sunt: tamen nos quoque cursim, quantum res patitur, ostendemus; ne

ΚΑ'. Πάλιν καὶ πολλάκις ἀνακυκλεῖς (22) ἡμῖν τὸ ἄγραφον. Ὅτι μὲν οὖν οὐ ξένον τοῦτο, οὐδὲ παρείσακτον, ἀλλὰ καὶ τοῖς πάλαι καὶ τοῖς νῦν γνωριζόμενον καὶ παραγυμνούμενον, δέδεικται μὲν ἤδη πολλοῖς τῶν περὶ τούτου διειληφότων, ὅσοι μὴ ῥαθύμως, D μηδὲ παρέργως ταῖς θείαις Γραφαῖς ἐντυχόντες (23), ἀλλὰ διασχόντες τὸ γράμμα, καὶ εἴσω παρακύψαντες, τὸ ἀπόθετον κάλλος ἰδεῖν ἠξιώθησαν, καὶ τῷ φωτισμῷ τῆς γνώσεως κατηυγάσθησαν· δηλώσωμεν (24) δὲ καὶ ἡμεῖς ἐξ ἐπιδρομῆς, ὅσον ἐνδέχεται, τοῦ μὴ δοκεῖν εἶναι περιττοί τινες, μηδὲ φιλοτιμότεροι τοῦ δέοντος, ἐποικοδομοῦντες (25) ἐπὶ θεμέλιον ἀλλό-

[40] Rom. XI, 36.

(16) *Ἥ τε τῶν ὀνομάτων*, etc. « Et in utrisque vocabula similiter enuntiantur. »

(17) *Δῆλον ὅτι*. Sic plures Regg. et Colb. In ed. conjunctim, δηλονότι.

(18) *Ἑτερούσια*. Reg. bm et Hervag., ἑτεροούσια.

(19) *Αἷς*. Comb., ἐν αἷς.

(20) *Θείᾳ*. Deest in quibusdam.

(21) *Ἐπειδὴ δέ*. Duo Regg. et Comb., ἐπεὶ δέ.

(22) *Ἀνακυκλεῖς*. Reg. b, ἀνακύκλοις [f. pro ἀνακυκλοῖς].

(23) *Ἐντυχόντες*. Colb 3 et Comb., ἐντυγχάνοντες.

(24) *Δηλώσωμεν*. Reg. b et Comb., δηλώσομεν.

(25) *Ἐποικοδομοῦντες*. Reg. b, Colb. 5, οἰκοδομοῦντες.

τριον. Εἰ δὲ τὸ μὴ λίαν σαφῶς γεγράφθαι Θεὸν, μηδὲ πολλάκις ὀνομαστὶ, ὥσπερ τὸν Πατέρα πρότερον, καὶ τὸν Υἱὸν ὕστερον, αἴτιόν σοι γίνεται βλασφημίας, καὶ τῆς περιττῆς ταύτης γλωσσαλγίας καὶ ἀσεβείας· ἡμεῖς σοι λύσομεν ταύτην τὴν βλάβην, μικρὰ περὶ πραγμάτων καὶ ὀνομάτων, καὶ μάλιστα παρὰ τῇ τῆς Γραφῆς συνηθείᾳ φιλοσοφήσαντες.

ΚΒ'. Τῶν πραγμάτων, τὰ μὲν οὐκ ἔστι, λέγεται δέ· τὰ δὲ ὄντα, οὐ λέγεται· τὰ δὲ οὔτε ἔστιν, οὔτε λέγεται· τὰ δὲ ἄμφω, καὶ ἔστι, καὶ λέγεται. Τούτων ἀπαιτεῖς με τὰς ἀποδείξεις; παρασχεῖν ἕτοιμος. Ὑπνοῖ τῇ Γραφῇ Θεὸς, καὶ γρηγορεῖ, καὶ ὀργίζεται, καὶ βαδίζει, καὶ θρόνον ἔχει τὰ χερουβίμ· καίτοι, B πότε γέγονεν ἐμπαθής; πότε δὲ σῶμα Θεὸν ἀκήκοας; Τοῦτο οὐκ ὂν ἀνεπλάσθη. Ὠνομάσαμεν γὰρ, ὡς ἡμῖν ἐφικτὸν, ἐκ τῶν ἡμετέρων τὰ τοῦ Θεοῦ. Τὸ μὲν ἠρεμεῖν αὐτὸν ἀφ' ἡμῶν, καὶ οἷον ἀμελεῖν, δι' ἃς αὐτὸς οἶδεν αἰτίας, ὑπνοῦν. Τὸ γὰρ ἡμέτερον (26) ὑπνοῦν τοιοῦτον, ἀνενέργητόν τε καὶ ἄπρακτον. Τὸ δὲ ἀθρόως εὖ ποιεῖν ἐκ μεταβολῆς, γρηγορεῖν. Ὕπνου γὰρ λύσις, ἐγρήγορσις, ὥσπερ ἀποστροφῆς, ἐπίσκεψις. Τὸ δὲ κολάζειν, ὀργίζεσθαι πεποιήκαμεν· οὕτω γὰρ ἡμῖν ἐξ ὀργῆς ἡ κόλασις. Τὸ δὲ νῦν μὲν (27) τῇδε, νῦν δὲ τῇδε ἐνεργεῖν, βαδίζειν. Ἡ γὰρ ἀπ' ἄλλου πρὸς ἄλλο μετάβασις, βαδισμός. Τὸ δὲ ἀναπαύεσθαι (28) ταῖς ἁγίαις δυνάμεσι, καὶ οἷον ἐμφιλοχωρεῖν, καθέζεσθαι καὶ θρονίζεσθαι, καὶ τοῦτο ἡμέτερον. Οὐδενὶ γὰρ οὕτως, ὡς τοῖς ἁγίοις τὸ θεῖον ἐναναπαύεται (29). Τὸ δὲ C ὀξυκίνητον, πτῆσιν· τὴν δὲ ἐπισκοπὴν, πρόσωπον· τὸ διδόναι δὲ καὶ προσίεσθαι (30), χεῖρα· καὶ ἄλλη τις ὅλως τῶν τοῦ Θεοῦ δυνάμεων ἢ ἐνεργειῶν, ἄλλο τι τῶν σωματικῶν ἡμῖν ἀνεζωγράφησεν.

ΚΓ'. Πάλιν σὺ πόθεν τὸ ἀγέννητον λαβὼν ἔχεις, ἢ τὸ (31) ἄναρχον, τὰς σὰς ἀκροπόλεις, ἢ καὶ ἡμεῖς, τὸ ἀθάνατον; Δεῖξον ταῦτα ὀνομαστὶ, ἢ ἀθετήσομεν, ἐπειδὴ οὐ γέγραπται (32), ἢ διαγράψομεν. Καὶ τέθνηκας ἐκ τῶν σῶν ὑποθέσεων, καθαιρεθέντων σοι τῶν ὀνομάτων, καὶ τοῦ τείχους τῆς καταφυγῆς ἐφ' ᾧ (33) ἐπεποίθεις. Ἢ δῆλον, ὅτι ἐκ τῶν ταῦτα συναγόντων, D

A aliorqui supervacaneam quamdam operam sumere, ac plus æquo ambitioni indulgere videamur, super fundamentum alienum ædificantes. Quod si, quia non admodum dilucide in Scriptura, nec sæpe nominatim Deus appelletur, quemadmodum Pater prius, et postea Filius, blasphemiæ, ac supervacaneæ hujus loquacitatis et impietatis ansam præbet nos tibi hoc incommodum depellemus, posteaquam de rebus et nominibus, ac potissimum de Scripturæ more atque usu nonnihil dixerimus.

570 XXII. Rerum ergo aliæ non sunt, sed dicuntur; aliæ cum sint, minime dicuntur; aliæ nec sunt, nec dicuntur; aliæ denique et sunt et dicuntur. Horum probationes a me exposcis? Impiger exhibebo. Dormit [41] in Scriptura Deus, et vigilat [42], et irascitur [43], et proficiscitur [44], et pro throno cherubinos [45] habet. Quid audio? Fuitne unquam ille affectionibus obnoxius? Quando Deum esse corpus audisti? Ergo hoc, cum non sit, effictum est. Ex nostris enim rebus ea, quæ Dei sunt, ut potuimus, nominavimus. Cum seorsim quidem a nobis quiescit, ac velut nostri curam, ob eas, quas ipse perspectas habet, causas, abjicit, dormire dicitur. Nam nos quoque, dum dormimus, omni agendi facultate caremus. Idem, cum repentina mutatione beneficiis nos afficit, vigilare dicitur. Somni enim depulsio est vigilia, quemadmodum aversationis visitatio. Jam cum in aliquem animadvertit, irasci eum finximus. Sic enim nos ira ad puniendum incitamur. Quod autem nunc hic, nunc illic operatur, incedere dicitur. Ab alio enim ad aliud transitus, profectio est. Quod vero in sanctis illis et cœlestibus mentibus conquiescat, ac velut libenter immoretur, sedere atque in throno esse nuncupavimus; quod ipsum quoque nostrum est. Deus enim nulla in re perinde ut in sanctis, acquiescit. Jam levitatem ejus motusque celeritatem, volatum appellat Scriptura; visitationem, vultum, largitionem etiam et acceptionem, manum; atque, ut in summa dicam, alia quædam Dei vis et facultas, aliud quidpiam rerum corporearum nobis depinxit.

XXIII. Rursum undenam tu arces illas tuas, ingenitum aut anarchum (hoc est principii expers), accepisti, aut nos etiam immortalis vocem? Hæc nominatim et expresse ostende, ea vel rejiciemus, quia in Scriptura non exstant, vel expungemus. Atque ita tuismet ipse principiis oppressus interibis, eversis nimirum tibi vocabulis illis, perfugiique

[41] Psal. LXXVII, 65. [42] Dan. IX, 14. [43] Isa. V. 25. [44] Gen. XI, 5. [45] Isa. XXXVII, 16.

(26) *Τὸ γὰρ ἡμέτερον*, etc. « Talis est enim somnus noster, iners ac operationis expers. »

(27) *Τὸ δὲ νῦν μέν*, etc. « Quod autem nunc hic, nunc illic operatur, » etc. Non bene Billius, « nunc hoc modo, nunc alio. » Nec enim de « modo » agitur; sed de « incessu. » « Incessus » vero « est ab uno ad aliud transitus. »

(28) *Ἀναπαύεσθαι*. Reg. bm et Or. 1, ἀναπαύεται.

(29) *Ἀναπαύεται*. Or. 1, ἐπαναπαύεται.

(30) *Προσίεσθαι*. Comb. et Sav., προΐεσθαι, « erogare, tribuere, largiri, » et quasi « projicere; » vox rite adjuncta voci διδόναι, ejusque vim augens, quod Gregorio familiare est. Sic « manus » Dei, id est, « munificentia, largitionem » recte repræsentat.

(31) *Ἢ τό*. Sic plerique codd. et Bas. Deest ἢ in ed.

(32) *Ἢ ἀθετήσομεν, ἐπειδὴ οὐ γέγραπται*. Sic in ed. Par. 1609, et sic legendum putamus, licet plures editi, cum Elia, verbis illis præponant particulam *καί*. Totum hoc membrum ex Elia refert Billius, et addit : « Quæ lectio mihi non admodum probatur. Etenim nullo modo quadrat copulativa, *καί*, cum his quæ præcedunt, et περιττολογίαν quamdam redolent hæ duæ disjunctivæ. » Billii conjecturæ favet Reg. bm optimæ notæ, in quo desunt hæc verba : Καὶ ἢ ἀθετήσομεν, ἐπειδὴ οὐ γέγραπται.

(33) *Ἐφ' ᾧ*. Reg. om, ἐφ' ὅ.

mœnibus, in quibus confidebas. Nonne perspicuum est, hæc de iis sumpta esse, ex quibus colliguntur, tametsi minime dicantur? Quibus tandem? *Ego sum primus, et ego post hæc* [46]. Et, *Ante me non est alius Deus, et post me non erit* [47]. Totum enim illud est, meum est; nec principium habens, nec 571 finem habiturum. His a Scriptura acceptis, illud quidem, quod ante eum nihil sit, nec antiquiorem ullam ipse causam habeat, anarchum et ingenitum appellasti: quod autem nunquam esse desiturus sit, immortale, atque interitus expers. Ac duo prima rerum genera ad hunc modum se habent. Quænam autem, nec sunt, nec dicuntur? Improbus Deus, quadrata sphæra, præteritum tempus præsens est, homo compositus non est. Ecquem enim unquam eo stuporis progressum cognovisti, ut aliquid tale, vel cogitare vel pronuntiare ausus sit? Reliquum est ut ostendam quæ sint ea quæ et sunt et dicuntur. Deus, homo, angelus, judicium, vanitas, qua hujusmodi argumenta conficiuntur, fideique subversio, et mysterii evacuatio.

A κἂν μὴ ταῦτα λέγηται; Τίνων τούτων; *Ἐγὼ εἰμι πρῶτος, καὶ ἐγὼ μετὰ ταῦτα*· καὶ, *Πρὸ ἐμοῦ οὐκ ἔστιν ἄλλος Θεὸς, καὶ μετ' ἐμὲ οὐκ ἔσται.* Ὅλον γὰρ τὸ ἔστιν, ἐμόν· οὔτε ἠργμένον, οὔτε παυσόμενον. Ταῦτα λαβὼν, τὸ μὲν, μὴ εἶναί τι πρὸ αὐτοῦ, μηδὲ πρεσβυτέραν αἰτίαν ἔχειν, ἄναρχον προσηγόρευσας, καὶ ἀγέννητον· τὸ δὲ, μὴ στήσεσθαι τοῦ εἶναι, ἀθάνατον καὶ ἀνώλεθρον. Αἱ μὲν δὴ πρῶται συζυγίαι, τοιαῦται, καὶ οὕτως ἔχουσαι. Τίνα δὲ οὔτε ἔστιν, οὔτε λέγεται; Πονηρὸν τὸ θεῖον, ἡ σφαῖρα τετράγωνος, τὸ παρελθὸν ἐνέστηκεν, οὐ σύνθετον ὁ ἄνθρωπος (34). Τίνα γὰρ εἰς τοσοῦτον ἐμπληξίας ποτὲ ἀφικόμενον ἔγνως, ὥστε τι τοιοῦτον, ἢ ἐννοῆσαι τολμῆσαι, ἢ ἀποφήνασθαι; Λείπεται δεῖξαι τίνα καὶ ἔστι, καὶ λέγεται· Θεὸς, ἄνθρωπος, ἄγγελος, κρίσις, ματαιότης (35), B οἱ τοιοῦτοι συλλογισμοὶ, καὶ τῆς πίστεως ἀνατροπὴ, καὶ τοῦ μυστηρίου κένωσις.

XXIV. Cum ergo in nominibus et rebus tantum discrimen reperiatur, quid causæ est, cur litteræ tantopere servias, Judaicæque sapientiæ teipsum adjungas, relictisque rebus syllabas consecteris? Quod si te bis quinque, aut bis septem dicente, decem aut quatuordecim ex verbis tuis colligerem; aut ex eo, quod animal ratione præditum et mortale diceres, hominem esse concluderem, an tibi nugari viderer? Et quo pacto id fieri posset, cum tua dicam? Neque enim verba magis sunt ejus qui loquitur, quam illius qui loquendi necessitatem affert. Quemadmodum igitur hic, non ea magis quæ dicuntur, quam quæ intelliguntur, respicerem; eodem modo nec, si quid aliud eorum, quæ vel nullo modo, vel certe non satis aperte dicuntur, ex Scriptura tamen intelligi colligique reperirem, adeo te vocabulorum sycophantam pertimescerem, ut ab enuntiatione ipsa refugerem. Atque ad hunc modum adversus eos stabimus, qui dimidia ex parte recte sentiunt. Tibi enim, qui Filio quoque bellum indicis, ne hoc quidem dicere liceat. Nam qui tot tamque perspicuas ipsius appellationes abnegas, ne his quidem proculdubio moveretis, etiam si multo plures apertioresque cognosceres. Sed jam altius aliquanto sermonem repetens, vobis, tametsi sapientibus et eruditis, omnis ænigmatici sermonis causam explicabo.

ΚΔ'. Τοσαύτης οὖν οὔσης διαφορᾶς ἐν τοῖς ὀνόμασι καὶ τοῖς πράγμασι, πῶς οὕτω σὺ λίαν δουλεύεις τῷ γράμματι, καὶ γίνῃ μετὰ τῆς Ἰουδαϊκῆς σοφίας, καὶ συλλαβαῖς ἀκολουθεῖς, ἀφεὶς τὰ πράγματα; Εἰ δὲ σοῦ τὰ δὶς πέντε λέγοντος, ἢ τὰ δὶς ἑπτὰ, τὰ δέκα συνῆγον, ἢ τέσσαρες καὶ δέκα ἐκ τῶν λεγομένων· ἢ ἐκ τοῦ, ζῶον (36) λογικὸν, θνητὸν, τὸν ἄνθρωπον, ἆρα ἄν σοι ληρεῖν ἐνομίσθην; καὶ πῶς, τὰ σὰ λέγων; Οὐ γὰρ τοῦ λέγοντος μᾶλλον οἱ λόγοι, ἢ τοῦ λέγειν συναναγκάζοντος. Ὥσπερ οὖν ἐνταῦθα οὐκ ἂν τὰ λεγό- C μενα μᾶλλον ἐσκόπουν, ἢ τὰ νοούμενα· οὕτως οὐδὲ εἴ τι (37) ἄλλο τῶν μὴ λεγομένων, ἢ μὴ σαφῶς ἐκ τῆς Γραφῆς νοούμενον (38) εὕρισκον, ἔφυγον ἂν τὴν ἐκφώνησιν (39), φοβούμενος σὲ τὸν συκοφάντην τῶν ὀνομάτων. Οὕτω μὲν οὖν στησόμεθα πρὸς τοὺς ἐξ ἡμισείας εὐγνώμονας. Σοὶ γὰρ οὐδὲ τοῦτο ἔξεστι λέγειν. Ὁ γὰρ τὰς τοῦ Υἱοῦ προσηγορίας, οὕτως ἐναργεῖς οὔσας καὶ τοσαύτας, ἀρνούμενος, οὐδ' ἂν ταύτας ᾐδέσθης δηλονότι, καὶ εἰ πολλῷ σαφεστέρας καὶ πλείους ἐγίνωσκες. Ἤδη δὲ καὶ τὴν αἰτίαν δηλώσω τῆς πάσης ἐπικρύψεως, καίπερ σοφοῖς οὖσιν ὑμῖν, βραχύ τι τὸν λόγον ἀναγαγών.

XXV. Duæ ex omni ævo illustres vitarum mutationes exstiterunt, quæ etiam duo Testamenta, atque, ob rei celebritatem, *terræ motus* appellantur: altera a simulacrorum 572 cultu ad legem, altera a lege ad Evangelium. Ac tertium etiam

D ΚΕ'. Δύο γεγόνασι μεταθέσεις βίων ἐπιφανεῖς ἐκ τοῦ παντὸς αἰῶνος, αἳ καὶ δύο Διαθῆκαι καλοῦνται, καὶ σεισμοὶ γῆς, διὰ τὸ τοῦ πράγματος (40) περιβόητον· ἡ μὲν ἀπὸ τῶν εἰδώλων ἐπὶ τὸν νόμον, ἡ δὲ ἀπὸ τοῦ νόμου πρὸς τὸ Εὐαγγέλιον. Καὶ τρίτον σεισμὸν (41)

[46] Isa. XLI, 4. [47] Isa. XLIII, 10.

(34) *Ἄνθρωπος*. Deest in Or. 1.

(35) *Ματαιότης*. Reg. Cypr., ἀνταπόδοσις, « retributio. » Vult Gregorius « vanitatem » vere esse et dici, eas ratiocinationes, quibus hæretici Spiritus sancti divinitatem impugnabant.

(36) *Ζῶον*. Sic Coisl. 1 et 2, Par., etc. In ed., ζῶν.

(37) *Οὐδὲ εἴ τι*. Or. 1, οὐδ' εἰ μή τι.

(38) *Νοούμενον*. Sic quatuor Colb. Sic etiam Bill. et Leuvenk. In ed., νοουμένων

(39) *Ἔφυγον ἂν τὴν ἐκφώνησιν*, etc. « Non defugerem idipsum efferre, te vocabulorum sycophantam pertimescens. » Id est, non abstinerem Spiritum sanctum Deum aperte prædicare, etiamsi alioqui non ita fortasse dilucide in Scripturis Spiritus sanctus dicatur Deus, ut Pater et Filius; quandoquidem id pluribus Scripturæ locis colligi possit.

(40) *Πράγματος*. Sic tres Regg., quatuor Colb., duo Coisl., etc. In ed., γράμματος.

(41) *Τρίτον σεισμόν*. Primus terræ motus fuit in monte Sina, cum lex Moysi data est (*Exod.* XIX,

εὐαγγελιζόμεθα, τὴν ἐντεῦθεν ἐπὶ τὰ ἐκεῖσε μετάστασιν, τὰ μηκέτι κινούμενα, μηδὲ (42) σαλευόμενα. Ταυτὸν δὲ αἱ δύο Διαθῆκαι πεπόνθασιν. Τί τοῦτο; Οὐκ ἀθρόως μετεκινήθησαν, οὐδὲ ὁμοῦ τῇ πρώτῃ κινήσει τῆς ἐγχειρήσεως. Τίνος ἕνεκα (43); (εἰδέναι γὰρ ἀναγκαῖον.) Ἵνα μὴ βιασθῶμεν, ἀλλὰ πεισθῶμεν. Τὸ μὲν γὰρ ἀκούσιον, οὐδὲ μόνιμον· ὥσπερ ἃ βίᾳ κατέχεται τῶν ῥευμάτων, ἢ τῶν φυτῶν. Τὸ δὲ ἑκούσιον, μονιμώτερόν τε καὶ ἀσφαλέστερον. Καὶ τὸ μὲν τοῦ βιασαμένου, τὸ δὲ ἡμέτερον· καὶ τὸ μὲν ἐπιεικείας Θεοῦ, τὸ δὲ τυραννικῆς ἐξουσίας. Οὐκοῦν ᾤετο δεῖν ἄκοντας εὖ ποιεῖν, ἀλλ' ἑκόντας εὐεργετεῖν. Διὰ τοῦτο παιδαγωγικῶς τε καὶ ἰατρικῶς, τὸ μὲν ὑφαιρεῖ τῶν πατρίων, τὸ δὲ συγχωρεῖ, μικρόν τι τῶν πρὸς ἡδονὴν ἐνδιδούς· ὥσπερ οἱ ἰατροὶ τοῖς ἀῤῥωστοῦσιν, ἵνα ἡ φαρμακεία παραδεχθῇ διὰ τῆς τέχνης φαρματτομένη τοῖς χρηστοτέροις. Οὐ γὰρ ῥᾴστη τῶν ἐν ἔθει καὶ τῷ (44) μακρῷ χρόνῳ τετιμημένων μετάθεσις. Λέγω δὲ τί; Ἡ πρώτη τὰ εἴδωλα περικόψασα, τὰς θυσίας συνεχώρησεν· ἡ δευτέρα τὰς θυσίας περιελοῦσα, τὴν περιτομὴν οὐκ ἐκώλυσεν· εἶτα ὡς ἅπαξ ἐδέξαντο τὴν ὑφαίρεσιν, καὶ τὸ συγχωρηθὲν συνεχώρησαν· οἱ μὲν τὰς θυσίας, οἱ δὲ τὴν περιτομήν· καὶ γεγόνασιν, ἀντὶ μὲν ἐθνῶν, Ἰουδαῖοι· ἀντὶ δὲ τούτων, Χριστιανοί, ταῖς κατὰ μέρος μεταθέσεσι κλαπέντες ἐπὶ τὸ Εὐαγγέλιον. Πειθέτω σε τοῦτο Παῦλος, ἐκ τοῦ περιτέμνειν (45) καὶ ἁγνίζεσθαι προελθὼν ἐπὶ τὸ λέγειν· *Ἐγὼ δὲ, ἀδελφοί, εἰ περιτομὴν κηρύσσω, τί ἔτι διώκομαι;* Ἐκεῖνο τῆς οἰκονομίας, τοῦτο τῆς τελειότητος.

ΚϚʹ. Τούτῳ τὸ τῆς θεολογίας εἰκάζειν ἔχω, πλὴν ὅσον ἐκ τῶν ἐναντίων. Ἐκεῖ μὲν γὰρ ἐκ τῶν ὑφαιρέσεων ἡ μετάθεσις· ἐνταῦθα δὲ διὰ τῶν προσθηκῶν ἡ τελείωσις. Ἔχει γὰρ οὕτως· ἐκήρυσσε φανερῶς ἡ Παλαιὰ τὸν Πατέρα, τὸν Υἱὸν ἀμυδρότερον. Ἐφανέρωσεν ἡ Καινὴ τὸν Υἱὸν, ὑπέδειξε τοῦ Πνεύματος τὴν θεότητα. Ἐμπολιτεύεται νῦν τὸ Πνεῦμα, σαφεστέραν ἡμῖν παρέχον τὴν ἑαυτοῦ δήλωσιν. Οὐ γὰρ ἦν ἀσφαλὲς, μήπω τῆς τοῦ Πατρὸς θεότητος ὁμολογηθείσης, τὸν Υἱὸν ἐκδήλως κηρύττεσθαι· μηδὲ τῆς τοῦ Υἱοῦ παραδεχθείσης, τὸ Πνεῦμα τὸ ἅγιον, ἵν' εἴπω τι καὶ τολμηρότερον, ἐπιφορτίζεσθαι· μὴ καθάπερ τροφῇ, τῇ ὑπὲρ δύναμιν, βαρηθέντες (46), καὶ ἡλιακῷ φωτὶ σαθροτέραν ἔτι προσβαλόντες (47) τὴν ὄψιν, καὶ εἰς τὸ κατὰ δύναμιν κινδυνεύσωσιν· ταῖς δὲ κατὰ μέρος προσθήκαις, καὶ, ὡς εἶπε Δαβὶδ, ἀναβάσεσι, καὶ ἐκ δόξης εἰς δόξαν προόδοις καὶ προκοπαῖς, τὸ τῆς Τριά-

terræ motum Scriptura nobis annuntiat,[48] nempe migrationem ab hac vita ad alteram illam motus omnis et jactationis expertem. Idem porro duobus Testamentis accidit. Quid illud? Non subito, nec ad primam aggressionis impulsionem commutata sunt. Quamobrem? (Id enim scire operæ pretium est.) Ut ne vi pertraheremur, sed persuasione adduceremur. Quod enim voluntarium non est, ne diuturnum quidem est; quemadmodum nec fluenta, aut stirpes, quæ per vim retinentur. Quod autem voluntarium est, tum diuturnius est, tum certius. Atque alterum ejus est, qui vim intulit; alterum nostrum. Alterum divinæ benignitatis; alterum tyrannicæ potestatis. Quocirca Deus minime faciendum sibi duxit, ut invitos beneficiis afficeret, sed ut de volentibus bene mereretur. Ac proinde pædagogi cujusdam et medici more patrios ritus, partim subtrahit, partim concessit, nonnihil videlicet eorum voluptati indulgens, quemadmodum medici ægrotantibus, ut medicamentum, suavioribus rebus arte temperatum et edulcatum, admittant. Neque enim facile est ab iis, quæ longo usu et diuturno tempore in honore ac pretio fuerunt, ad alia transilire. Ergo primo lex sublatis idolis sacrificia permisit; secunda submotis sacrificiis circumcisionem minime prohibuit: ac postea, ut semel subtrahi sibi aliquid æquo animo tulerunt homines, rebus etiam sibi concessis, hoc est, illi sacrificiis, hi circumcisione, abstinuerunt, atque, ut ex ethnicis Judæi, ita ex Judæis Christiani facti sunt, per mutationes quasi furtim ad Evangelium perducti. Hujus rei tibi fidem faciat Paulus, qui ex eo quod circumcidebat[49], ac purificabatur[50] eo tandem progressus est, ut diceret: *Ego autem, fratres, si circumcisionem prædico, quid adhuc persecutionem patior*[51]? Illud dispensationis erat; hoc perfectionis.

XXVI. Huic exemplo divinitatis doctrina comparari potest, nisi quod contrario modo res procedit. Illic enim ex subtractione mutatio fiebat: hic autem ex accessione atque incremento ad perfectionem ventum est. Sic enim se res habet: Vetus Testamentum Patrem aperte prædicabat, Filium obscurius. Novum autem nobis Filium perspicue ostendit, et Spiritus divinitatem subobscure quodammodo indicavit. Nunc vero Spiritus ipse nobiscum versatur, **573** seseque nobis apertius declarat. Neque enim tutum erat, Patris divinitate nondum confessa, Filium aperte prædicari: nec, Filii divinitate nondum admissa, Spiritum sanctum, velut graviorem quamdam, si ita loqui fas est, sarcinam nobis ingeri: ne alioqui, velut cibis ultra vires gravati, ac solis radiis hebetes oculos adjicientes, iis quoque, quibus præditi eramus, viribus

[48] Hebr. XII, 26. [49] Act. XVI, 3. [50] Act. XXI, 26. [51] Gal. V, 11.

18 et seqq.); secundus, cum, Christo moriente, lex gratiæ cessit (*Matth.* XXVII, 51); tertius denique et postremus in fine mundi futurus est, de quo Apostolus (*Hebr.* XII, 26).

(42) *Μηδέ.* Duo Regg., μήτε.

(43) *Ἕνεκα.* Tres Regg., quatuor Colb. et Or. 1, ἕνεκεν

(44) *Τῷ.* Deest in tribus Regg. et Or. 1.

(45) *Περιτέμνειν.* Comb., περιτεμεῖν.

(46) *Βαρηθέντες.* Hœsch., βαρυνθέντες.

(47) *Προσβαλόντες.* Or. 1, προβαλόντες. In quibusdam, προσβάλλοντες.

periclitaremur; quin tacitis potius accessionibus, A et, ut David loquitur, ascensionibus [52], atque e claritate in claritatem progressionibus et incrementis, Trinitatis lumen splendidioribus illuceret. Ob hanc causam, ut opinor, ad discipulos quoque sigillatim se confert, ad excipientium videlicet captum modulumque sese impertiens [53]; nimirum in Evangelii principio virtutes perficiens, post Christi passionem insufflatus [54], post ascensum in igneis linguis apparens [55]. Quinetiam ab ipso Jesu paulatim declaratur, ut ipse quoque comperies, si animum diligentius adverteris. *Rogabo* enim *Patrem*, inquit, *et alium Paracletum mittet vobis, Spiritum veritatis* [56]. Quæ quidem verba eo dixit, ne adversarius quispiam Dei esse, aut quasi de alia quadam potestate sermonem facere videretur. Hic, omissa voce, *rogabo*, vocem, *mittet*, retinuit. Postea, *mittet* quidem, cæterum *in nomine meo* [57]. Mox, *mittam* [58]: ut propriam auctoritatem ostendat. Tum denique, *veniet* [59]: quo verbo Spiritus potestas indicatur.

XXVII. Vides illuminationes paulatim nobis affulgentes, theologiæque ordinem, quem nobis quoque tenere præstiterit, ut nec repente atque confertim omnia in lucem efferamus, nec in finem usque occultemus. Illud enim inconsultum atque ab arte alienum fuerit, hoc impium: illud alienos offendere ac vulnerare queat, hoc nostros a nobis abalienare. Enimvero id, quod quibusdam quoque aliis fortasse in mentem venit, ego tamen animi mei fetum esse existimo, superioribus adjungam. Habebat quædam Salvator, quæ a discipulis, licet alioqui multiplici C doctrina implerentur, tunc tamen portari posse negabat, ob eas fortasse, quas attuli, causas, atque idcirco ea ipsis occultabat. Ac rursus dicebat fore, ut ab adveniente Spiritu omnia edocerentur [60]. Ergo unum ex eorum numero esse censeo, ipsam Spiritus sancti **574** Deitatem, in posterum apertius declarandam, tum videlicet, cum jam post Salvatoris in integrum restitutionem, matura et perceptibilis esset ipsius cognitio, utpote cui ob tam insigne miraculum fides non jam abrogaretur. Quid enim hoc majus, vel ille polliceri, vel Spiritus docere potuisset? Si modo magnum aliquid existimandum est, Deique magnificentia dignum, quod promittebatur, vel quod docebatur.

XXVIII. Ac de his ita sentio, utinamque sentiam, et quisquis mihi amicus est, colamusque Deum Patrem, Deum Filium, Deum Spiritum sanctum, tres proprietates, unam divinitatem, nec gloria, nec honore, nec essentia, nec regno divisam, ut quispiam, divino numine afflatus, non ita pridem philosopha-

δος φῶς ἐκλάμψῃ (48) τοῖς λαμπροτέροις. Διὰ ταύτην, οἶμαι, τὴν αἰτίαν, καὶ τοῖς μαθηταῖς κατὰ μέρος ἐπιδημεῖ, τῇ τῶν δεχομένων δυνάμει παραμετρούμενον, ἐν ἀρχῇ τοῦ Εὐαγγελίου, μετὰ τὸ πάθος, μετὰ τὴν ἄνοδον, τὰς δυνάμεις ἐπιτελοῦν, ἐκφυσώμενον, ἐν γλώσσαις πυρίναις φαινόμενον. Καὶ ὑπὸ Ἰησοῦ (49) κατ' ὀλίγον ἐκφαίνεται (50), ὡς ἐπιστήσεις (51) καὶ αὐτὸς ἐντυγχάνων ἐπιμελέστερον· *Ἐρωτήσω*, φησὶ, *τὸν Πατέρα, καὶ ἄλλον Παράκλητον πέμψει ὑμῖν, τὸ Πνεῦμα τῆς ἀληθείας*· ἵνα μὴ ἀντίθεος εἶναι δόξῃ τις, καὶ ὡς ἀπὸ ἄλλης τι- B νὸς ἐξουσίας ποιεῖσθαι τοὺς λόγους. Εἶτα, *πέμψει* μὲν, *ἐν δὲ τῷ ὀνόματί μου*. Τὸ *ἐρωτήσω* παρεὶς, τὸ *πέμψει* τετήρηκεν· εἶτα, *πέμψω*, τὸ οἰκεῖον ἀξίωμα· εἶτα, *ἥξει*, ἡ τοῦ Πνεύματος ἐξουσία.

ΚΖʹ. Ὁρᾷς φωτισμοὺς κατὰ μέρος ἡμῖν ἐλλάμποντας, καὶ τάξιν θεολογίας, ἣν καὶ ἡμᾶς τηρεῖν ἄμεινον, μήτε ἀθρόως ἐκφαίνοντας, μήτε εἰς τέλος κρύπτοντας. Τὸ μὲν γὰρ ἄτεχνον, τὸ δὲ ἄθεον (52)· καὶ τὸ μὲν τοὺς ἀλλοτρίους πλῆξαι δυνάμενον, τὸ δὲ ἀλλοτριῶσαι τοὺς ἡμετέρους. Ὃ δὲ ἴσως μὲν ἦλθεν ἤδη τισὶν (53) ἐπὶ νοῦν καὶ τῶν ἄλλων, ἐγὼ δὲ τῆς ἐμαυτοῦ (54) διανοίας ὑπολαμβάνω καρπὸν, προσθήσω τοῖς εἰρημένοις. Ἦν τινα τῷ Σωτῆρι, καὶ εἰ πολλῶν ἐνεπίμπλαντο μαθημάτων, ἃ μὴ δύνασθαι τότε βασταχθῆναι τοῖς μαθηταῖς ἐλέγετο, δι' ἃς εἶπον ἴσως αἰτίας, καὶ διὰ τοῦτο παρεκαλύπτετο. Καὶ πάλιν, πάντα διδαχθήσεσθαι ἡμᾶς ὑπὸ τοῦ Πνεύματος ἐνδημήσαντος. Τούτων (55) ἓν εἶναι νομίζω, καὶ αὐτὴν τοῦ Πνεύματος τὴν θεότητα τρανουμένην εἰς ὕστερον (56), ὡς τηνικαῦτα ὡρίμου καὶ χωρητῆς ἤδη τυγχανούσης τῆς γνώσεως, μετὰ τὴν τοῦ Σωτῆρος ἀποκατάστασιν, οὐκέτι ἀπιστουμένου (57) τῷ θαύματι. Τί γὰρ ἂν τούτου μεῖζον, ἢ ἐκεῖνος ὑπέσχετο, ἢ τὸ Πνεῦμα ἐδίδαξεν; εἴπερ τι μέγα οἴεσθαι χρὴ, καὶ Θεοῦ μεγαλοπρεπείας ἄξιον, τὸ ὑπισχνούμενον, ἢ τὸ διδασκόμενον.

ΚΗʹ. Ἔχω μὲν οὕτω περὶ τούτων, καὶ ἔχοιμι, καὶ ὅστις ἐμοὶ φίλος, σέβειν Θεὸν τὸν Πατέρα, Θεὸν τὸν D Υἱὸν, Θεὸν τὸ Πνεῦμα τὸ ἅγιον, τρεῖς ἰδιότητας, θεότητα μίαν, δόξῃ, καὶ τιμῇ, καὶ οὐσίᾳ, καὶ βασιλείᾳ μὴ μεριζομένην, ὥς τις τῶν μικρῷ πρόσθεν (58) θεοφόρων ἐφιλοσόφησεν· ἢ μὴ ἴδοι ἑωσφόρον ἀνατέλ-

[52] Psal. LXXXIII, 6. [53] Luc. IX, 1. [54] Joan. XX, 22. [55] Act. II, 3. [56] Joan. XIV, 16, 17. [57] ibid. 26. [58] Joan. XVI, 7. [59] ibid. 8. [60] ibid. 12; XIV, 26.

(48) Ἐκλάμψῃ. Reg. Cypr., σαφῶς ἐκλάμπειν. Comb., ἐκλάμπειν, vel, ἐκλάμψαι. « Splendidioribus lucis suæ radiis coruscaret. »

(49) Ὑπὸ Ἰησοῦ. Reg. Cypr., ὑπὸ Χριστοῦ. Coisl. 2, et sex Colb., ὑπὸ Υἱοῦ.

(50) Ἐκφαίνεται. Sav., ἐμφαίνεται.

(51) Ἐπιστήσεις. Comb., ἐπιστήσῃ.

(52) Τὸ μὲν γὰρ ἄτεχνον, τὸ δὲ ἄθεον. Hæc desunt in Coisl. 1.

(53) Ὃ δὲ ἴσως μὲν ἦλθεν ἤδη τισίν. Tres Regg., et Or. 1, Ὃ δ' ἴσως μὲν ἤδη τισὶν ἦλθεν.

(54) Τῆς ἐμαυτοῦ. In nonnullis, τῆς ἐμῆς.

(55) Τούτων. Reg. bin, Τοῦτον.

(56) Εἰς ὕστερον. Reg. Cyprian., εἰς τοὺς ὕστερον.

(57) Ἀπιστουμένου. Reg. a, ἀπιστουμένην [f. pro ἀπιστουμένῃ].

(58) Ὥς τις τῶν μικρῷ πρόσθεν. Tres Colb., ὥς τις τῶν μικρὸν ἔμπροσθεν. Juxta Eliam, Gregorius Thaumaturgus hic designatur, qui in sua *Apocalypsi* his verbis utitur.

λοντα, ὥς φησιν ἡ Γραφὴ, μηδὲ δόξαν τῆς ἐκεῖθεν λαμπρότητος, ὅστις οὐχ οὕτως ἔχει, ἢ συμφέρεται τοῖς καιροῖς, ἄλλοτε ἄλλος γινόμενος καὶ περὶ τῶν μεγίστων σαθρῶς βουλευόμενος. Εἰ μὲν γὰρ οὐ (59) προσκυνητὸν, πῶς ἐμὲ θεοῖ διὰ τοῦ βαπτίσματος; εἰ δὲ προσκυνητὸν, πῶς οὐ σεπτόν; εἰ δὲ σεπτὸν, πῶς οὐ Θεός; Ἓν ἤρτηται τοῦ ἑνὸς, ἡ χρυσῆ τις (60) ὄντως σειρὰ καὶ σωτήριος. Καὶ παρὰ μὲν τοῦ Πνεύματος ἡμῖν, ἡ ἀναγέννησις· παρὰ δὲ τῆς ἀναγεννήσεως, ἡ ἀνάπλασις· παρὰ δὲ τῆς ἀναπλάσεως, ἡ ἐπίγνωσις τῆς ἀξίας τοῦ ἀναπλάσαντος.

ΚΘʹ. Ταῦτα μὲν οὖν εἴποι τις ἂν τὸ ἄγραφον ὑποθέμενος (61)· ἤδη δὲ ἥξει σοι καὶ ὁ τῶν μαρτυριῶν ἑσμὸς, ἐξ ὧν, ὅτι καὶ λίαν ἔγγραφος, ἡ τοῦ Πνεύματος θεότης ἐπιδειχθήσεται τοῖς μὴ λίαν σκαιοῖς, μηδὲ ἀλλοτρίοις τοῦ Πνεύματος. Σκόπει δὲ οὕτως· Γεννᾶται (62) Χριστὸς, προτρέχει· βαπτίζεται, μαρτυρεῖ· πειράζεται, ἀνάγει (63)· δυνάμεις ἐπιτελεῖ, συμπαρομαρτεῖ· ἀνέρχεται, διαδέχεται. Τί γὰρ οὐ δύναται τῶν μεγάλων, καὶ ὧν Θεός; τί δαὶ οὐ προσαγορεύεται ὧν Θεὸς, πλὴν ἀγεννησίας καὶ γεννήσεως; Ἔδει γὰρ τὰς ἰδιότητας μεῖναι Πατρὶ καὶ Υἱῷ, ἵνα μὴ σύγχυσις ᾖ παρὰ τῇ θεότητι, τῇ καὶ τἄλλα εἰς τάξιν ἀγούσῃ καὶ εὐκοσμίαν (64). Ἐγὼ μὲν φρίττω τὸν πλοῦτον ἐννοῶν τῶν κλήσεων, καὶ καθ' ὅσων ὀνομάτων ἀναισχυντοῦσιν οἱ τῷ Πνεύματι ἀντιπίπτοντες. Πνεῦμα Θεοῦ λέγεται, Πνεῦμα Χριστοῦ, νοῦς Χριστοῦ, Πνεῦμα Κυρίου, αὐτὸ Κύριος, Πνεῦμα υἱοθεσίας, ἀληθείας, ἐλευθερίας· Πνεῦμα σοφίας, συνέσεως, βουλῆς, ἰσχύος, γνώσεως, εὐσεβείας, φόβου Θεοῦ· καὶ γὰρ ποιητικὸν τούτων ἁπάντων, πάντα τῇ οὐσίᾳ πληροῦν, πάντα συνέχον, πληρωτικὸν κόσμου κατὰ τὴν οὐσίαν (65), ἀχώρητον κόσμῳ κατὰ τὴν δύναμιν, ἀγαθὸν, εὐθὲς, ἡγεμονικὸν, φύσει οὐ θέσει ἁγιαζόμενον, μετροῦν, οὐ μετρούμενον, μετεχόμενον, οὐ μετέχον, πληροῦν, οὐ πληρούμενον, συνέχον, οὐ συνεχόμενον, κληρονομούμενον, δοξαζόμενον, συναριθμούμενον, ἐπαπειλούμενον, δάκτυλος Θεοῦ, πῦρ ὡς Θεὸς, εἰς ἔμφασιν, οἶμαι, τοῦ ὁμοουσίου· Πνεῦμα τὸ ποιῆσαν, τὸ ἀνακτίζον διὰ βαπτίσματος, δι' ἀναστάσεως· Πνεῦμα τὸ γινῶσκον ἅπαντα, τὸ διδάσκον, τὸ πνέον

tus est. Nec luciferum exorientem, videat, ut cum Scriptura loquar [61], nec cœlestis splendoris gloriam, quisquis aliter sentit, aut tempori obsequitur, aliam aliamque subinde formam assumens, putidumque de maximis rebus consilium capiens. Si enim Spiritus adorandus non est, quomodo me deum per baptismum [62] effecit? Si autem adorandus, annon colendus et venerandus? Si porro venerandus, annon Deus? Unum uni cohæret, ac vere aurea quædam et salutaris est hæc catena. Et quidem a Spiritu regenerationem habemus, a regeneratione instaurationem, ab instauratione cognitionem dignitatis illius, a quo instaurati sumus.

XXIX. Hæc quidem sunt, quæ ab eo afferri queant, qui spiritus divinitatem nullo Scripturæ loco niti concesserit. Jam vero tibi auctoritatum examen prodibit, ex quibus Scripturæ testimoniis admodum confirmatam esse Spiritus divinitatem ostendetur, iis quidem certe, qui non nimis stolidi et obtusi fuerint, atque a Spiritu aversi. Sic autem expende : Nascitur Christus [63] : præcurrit Spiritus [64]. Baptizatur ille [65] : hic testimonium affert [66]. Tentatur ille [67] : hic abducit [68]. Miracula edit ille [69] : hic comitatur [70]. Ascendit ille [71] : hic succedit [72]. Quid enim adeo magnum et divinum est, quod non ipse possit? Quod tam divinum nomen est, quo non, excepto Ingeniti et Geniti nomine, appelletur? Patris enim et Filii proprietates incolumes atque integras ipsis manere conveniebat, ne alioqui apud divinitatem, quæ **575** alia quoque in ordinem et concinnitatem adduxit, confusio exsisteret. Equidem ipse ad tantam nominum copiam, adversus quam frontem perfricant, qui Spiritui adversantur, totus cohorresco. Spiritus Dei [73] dicitur, Spiritus Christi, mens Christi [74], Spiritus Domini [75], ac Dominus ipse [76], Spiritus adoptionis [77], veritatis [78], libertatis [79]; Spiritus sapientiæ, prudentiæ, consilii, fortitudinis, scientiæ, pietatis, timoris Dei [80], utpote horum omnium efficiens, omnia essentia sua implens, omnia continens, mundum quantum ad essentiam implens, interim ipse major quam ut mundus vim illius et potentiam capere possit [81] : bonus [82], rectus, principalis [83], natura non

[61] Job xi, 17. [62] Matth. xxviii, 19. [63] Luc. ii, 7. [64] Luc. i, 35. [65] Luc. iii, 21. [66] ibid. 23. [67] Luc. iv, 1. [68] ibid. 18. [69] Matth. xii, 22. [70] ibid. 28. [71] Act. i, 9. [72] Act. ii, 4. [73] I Cor. ii, 11. [74] Rom. viii, 9 sqq.; II Cor. iii, 18. [75] Sap. i, 7. [76] Thren. iv, 20. [77] Rom. viii, 15. [78] Joan. xiv, 17; xv, 26; xvi, 13. [79] II Cor. iii, 17. [80] Isa. xi, 2 sqq. [81] Sap. i, 7-10. [82] Psal. cxlii, 10. [83] Psal. l, 10, 12.

(59) *Οὐ*. Or. 1, οὐδέ.

(60) *Χρυσῆ τις*. Reg. bm, χρυσῖτις.

(61) *Ὑποθέμενος*. Reg. a, ὑποτιθέμενος.

(62) *Γεννᾶται*. « Generatur, concipitur. » Nam legitur, Luc. i, 35. « Spiritus sanctus superveniet in te, » etc.

(63) *Ἀνάγει*. Par., ἁγιάζει, « sanctificat. »

(64) *Εὐκοσμίαν*. Sic tres Regg., Coisl. 1, Orat. 1, etc. In ed., ἀκοσμίαν. Sic legit Billius, et vertit : « Quæ alia quoque, atque adeo confusionem ipsam, in ordinem adducit, confusio exsisteret. »

(65) *Πληρωτικὸν κόσμου κατὰ τὴν οὐσίαν*. Schol. : Ὅρα μὴ ἐναλλάξει τὸ ῥητὸν κατὰ δύναμιν καὶ οὐσίαν. Καὶ γὰρ ὁ Βασίλειος ἐν τῷ θʹ τῶν πρὸς Ἀμφιλόχιον περὶ τοῦ Πνεύματος οὕτω φησίν· Πάντα μὲν πληροῦν τῇ δυνάμει, μόνοις δὲ ὂν μεθεκτὸς τοῖς ἀξίοις. Καὶ ὁ ἅγιος Ἀθανάσιος τάδε αὐταῖς λέξεσι λέγει· Ἐκτὸς μέν ἐστι τοῦ παντὸς κατ' οὐσίαν, ἐν πᾶσι δέ ἐστι ταῖς ἑαυτοῦ δυνάμεσι· « Vide ne immutatis vocibus scriptum sit, quantum ad potentiam et essentiam. Etenim Basilius cap. 9 ad Amphilochium, de Spiritu sancto sic ait : Omnia virtute implens ac potentia, sed ab iis solum, qui digni sunt, percipi potest. Sanctus etiam Athanasius iisdem verbis loquitur : Extra hanc rerum universitatem est, si essentiam spectes; in omnibus autem est, sua ipsius potestate. »

gratia sanctificans[84], non sanctificatus, metiens, non dimensus, impertiens, non particeps, implens, non impletus, continens, non contentus, hæreditate acceptus[85], glorificatus, Patri et Filio connumeratus[86], minaciter denuntiatus, Dei digitus[87], ignis[88] tanquam Deus, ad ostendendum, ut opinor, quod ejusdem essentiæ sit: Spiritus qui condidit, qui per baptismum et resurrectionem denuo creat[89]: Spiritus omnia cognoscens[90], docens, ubi vult et quantum vult spirans[91], ducatum præbens[92], loquens[93], mittens[94], segregans[95]: Spiritus qui ad iram incitatur, qui tentatur[96], qui revelat, qui lucem ac vitam affert; imo qui ipsamet lux et vita est: qui templa efficit, deificat, perficit ita ut, et baptismum antevertat, et post baptismum requiratur: qui omnia efficit, quæcunque Deus ipse, qui in igneis linguis dividitur[97], qui dona distribuit, qui apostolos, prophetas, evangelistas, pastores et doctores facit: Spiritus intelligens, multiplex, apertus, clarus, incontaminatus, minimeque impeditus[98] (quod idem valet ac si dicerem, sapientissimus, agendique facultate varius ac multiplex, omnia explicans ac declarans, arbitrii libertate præditus, et immutabilis), omnipotens, omnia lustrans, per omnes spiritus penetrans[99], intelligentes, puros, tenuissimos (hoc est, per angelicas, ut opinor, virtutes), quemadmodum et per propheticos et apostolicos, eodem temporis momento, nec tamen in iisdem locis (alii enim eorum alibi fusi ac sparsi erant), quod quidem perspicue ostendit, eum nullius loci circumscriptione coerceri.

A ὅπου θέλει καὶ ὅσον, ὁδηγοῦν, λαλοῦν, ἀποστέλλον, ἀφορίζον, παροξυνόμενον, πειραζόμενον, ἀποκαλυπτικὸν, φωτιστικὸν, ζωτικόν· μᾶλλον δὲ, αὐτοφῶς καὶ ζωὴ, ναοποιοῦν, θεοποιοῦν, τελειοῦν· ὥστε καὶ προλαμβάνειν τὸ βάπτισμα, ἐπιζητεῖσθαι (66) μετὰ τὸ βάπτισμα· ἐνεργοῦν ὅσα Θεὸς, μεριζόμενον ἐν γλώσσαις πυρίναις, διαιροῦν χαρίσματα, ποιοῦν ἀποστόλους, προφήτας, εὐαγγελιστὰς, ποιμένας, καὶ διδασκάλους, νοερὸν, πολυμερὲς, σαφὲς, τρανὸν, ἀμόλυντον, ἀκώλυτον (ὅπερ (67) ἴσον δύναται, τὸ (68) σοφώτατον καὶ πολύτροπον ταῖς ἐνεργείαις, καὶ σαφηνιστικὸν πάντων, καὶ τρανωτικὸν, καὶ αὐτεξούσιον (69), καὶ ἀναλλοίωτον), παντοδύναμον, παντεπίσκοπον, διὰ πάντων χωροῦν πνευμάτων, νοερῶν, καθαρῶν, λεπτοτάτων (ἀγγελικῶν, οἶμαι, δυνάμεων), ὥσπερ καὶ
B προφητικῶν καὶ ἀποστολικῶν, κατὰ ταυτὸν (70), καὶ οὐκ ἐν τοῖς αὐτοῖς τόποις (ἄλλων δὲ ἀλλαχοῦ νενεμημένων), ᾧ δηλοῦται τὸ ἀπερίγραπτον.

576 XXX. Qui hæc dicunt, ac docent, atque insuper Paracletum alium[1], velut alium Deum, nominant, qui blasphemiam solam adversus eum prolatam inexpiabilem[2] esse sciunt, qui denique Ananiæ et Saphiræ, postquam Spiritui sancto mentiti essent perinde ac Deo, non homini, mentiti essent[3], tam horribilem infamiæ notam inusserunt; quid tandem tibi videntur, Spiritumne Deum prædicare, an aliud quid? Quam crassi es ingenii, atque a Spiritu procul remoti, si de hac re dubitas, ac doctore opus habes! Ac tot nominibus, tam vivis, et expressis, in Scriptura Spiritus appellatur. Quid enim testimonia ipsa tibi ad verbum producere attinet? Quæcunque autem hic quoque humilius dicuntur, velut quod detur[4], mittatur[5], distribuatur[6], charisma etiam[7], donum[8], insufflatio[9], pollicitatio[10], intercessio[11], ac si quid aliud hujusmodi, ne singula commemorem, ad primam causam referri debent, ut, ex quo sit, ostendatur, ac non tria principia divisa, proindeque plures dii admittantur.

Λ'. Οἱ ταῦτα λέγοντες καὶ διδάσκοντες, καὶ πρός γε (71) ἄλλον Παράκλητον, οἷον ἄλλον Θεὸν, ὀνομάζοντες, οἱ τὴν εἰς αὐτὸν (72) βλασφημίαν μόνην εἰδό-
C τες ἀσυγχώρητον, οἱ τὸν Ἀνανίαν καὶ τὴν Σάπφειραν οὕτω φοβερῶς στηλιτεύσαντες, ἐπειδὴ ἐψεύσαντο τὸ Πνεῦμα τὸ ἅγιον, ὡς Θεὸν ψευσαμένους, οὐκ ἄνθρωπον· οὗτοι τί σοι δοκοῦσι, πότερον Θεὸν τὸ Πνεῦμα κηρύσσειν (73), ἢ ἄλλο τι; Ὡς λίαν ὄντως παχύς τις εἶ, καὶ πόῤῥω τοῦ Πνεύματος, εἰ τοῦτο ἀπορεῖς, καὶ δέῃ τοῦ διδάξοντος (74). Αἱ μὲν οὖν κλήσεις, τοσαῦται, καὶ οὕτως ἔμψυχοι. Τί γὰρ δεῖ σοι τὰς ἐπὶ τῶν (75) ῥημάτων μαρτυρίας παρατίθεσθαι; Ὅσα δὲ κἀνταῦθα λέγεται ταπεινότερον τὸ δίδοσθαι, τὸ ἀποστέλλεσθαι, τὸ μερίζεσθαι, τὸ χάρισμα, τὸ δώρημα, τὸ ἐμφύσημα, ἡ ἐπαγγελία, ἡ ὑπερέντευξις, εἴτε τι ἄλλο τοιοῦτον, ἵνα μὴ καθ' ἕκαστον (76) λέγω, ἐπὶ τὴν πρώτην αἰτίαν ἀνενεκτέον, ἵνα τὸ ἐξ οὗ δειχθῇ, καὶ μὴ τρεῖς ἀρχαὶ μεμερισμέναι πολυθέως παραδε-
D χθῶσιν (77). Ἴσον γὰρ εἰς ἀσέβειαν, καὶ Σαβελλίως

[84] Rom. VIII, 14 sqq. [85] Ephes. I, 13, 14. [86] Matth. XXVIII, 19. [87] Luc. XI, 20. [88] Act. II, 3. [89] Joan. III, 5. [90] I Cor. II, 10-12. [91] Joan. III, 8 [92] Psal. CXLII, 10. [93] Act. X, 19. [94] Act. XIII, 4. [95] ibid. 2. [96] Act. XVI, 6, 7. [97] Act. II, 3. [98] Sap. VII, 22. [99] I Cor. II, 10. [1] Joan. XIV, 16. [2] Matth. XII, 31. [3] Act. V, 3 sqq. [4] Luc. XI, 13. [5] Joan. XVI, 7. [6] Hebr. II, 4. [7] I Cor. XII, 30. [8] Act. II, 38. [9] Joan. XX, 22. [10] Gal. III, 14. [11] Rom. VIII, 26.

(66) *Ἐπιζητεῖσθαι*. Sic Regg. et Colb. plures, Coisl. 1, Or. 1, etc. In ed., ἐπιζητεῖται.
(67) *Ὅπερ*. Sic plures Regg., duo Coisl., Par., Comb., etc. In ed., ᾦπερ.
(68) *Τό*. Duo Regg., τῷ.
(69) *Αὐτεξούσιον*. « Liber, » vel etiam, « cujus voluntati nihil resistit. »
(70) *Ταυτόν*. Or. 1, τοῦτο. In nonnullis, ταυτό.
(71) *Πρός γε*. Reg. a, πρὸς ἔτι. Coisl. 1, πρὸς ἔτι γε.
(72) *Εἰς αὐτόν*. Coisl. 1 aliique plures, εἰς αὐτό.
(73) *Κηρύσσειν*. Reg. a et Coisl. 1, κηρύττουσι.
(74) *Διδάξοντος*. Reg. Cypr., δικάζοντος, « quasi qui ejus juris causam disceptet. »
(75) *Τὰς ἐπὶ τῶν*. Reg. Cypr., τὰς ἐκ τῶν.
(76) *Μὴ καθ' ἕκαστον*. Comb., μὴ τὰ καθ' ἕκαστον.
(77) *Παραδεχθῶσιν*. Reg. Cypr., παραδειχθῶσιν.

συνάψαι, καὶ Ἀρειανῶς διαστῆσαι, τὸ μὲν τῷ προσώπῳ, τὸ δὲ (78) ταῖς φύσεσιν.

ΛΑ'. Ὡς ἔγωγε πολλὰ διασκεψάμενος πρὸς ἐμαυτὸν (79) τῇ φιλοπραγμοσύνῃ τοῦ νοῦ, καὶ πανταχόθεν τὸν λόγον εὐθύνας, καὶ ζητῶν εἰκόνα τινὰ τοῦ τοσούτου πράγματος, οὐκ ἔσχον ᾧτινι χρὴ τῶν κάτω (80) τὴν θείαν φύσιν παραβαλεῖν. Κἂν γὰρ μικρά τις ὁμοίωσις εὑρεθῇ, φεύγει με τὸ πλέον, ἀφὲν κάτω (81) μετὰ τοῦ ὑποδείγματος. Ὀφθαλμόν τινα, καὶ πηγήν, καὶ ποταμὸν ἐνενόησα, καὶ γὰρ καὶ ἄλλοι (82), μὴ τῷ μὲν ὁ Πατήρ, τῷ δὲ ὁ Υἱός, τῷ δὲ (83) τὸ Πνεῦμα τὸ ἅγιον ἀναλόγως ἔχῃ (84). Ταῦτα γὰρ οὔτε χρόνῳ διέστηκεν, οὔτε ἀλλήλων ἀπέῤῥηκται τῇ συνεχείᾳ· κἂν δοκεῖ (85) πως τρισὶν ἰδιότησι τέμνεσθαι. B Ἀλλ' ἔδεισα, πρῶτον μὲν ῥύσιν τινὰ θεότητος παραδέξασθαι στάσιν οὐκ ἔχουσαν· δεύτερον δὲ μὴ τὸ ἓν τῷ ἀριθμῷ διὰ τῆς εἰκασίας ταύτης εἰσάγηται. Ὀφθαλμὸς (86) γάρ, καὶ πηγή, καὶ ποταμὸς ἕν ἐστιν ἀριθμῷ, διαφόρως σχηματιζόμενα.

ΛΒ'. Πάλιν (87) ἥλιον (88) ἐνεθυμήθην, καὶ ἀκτῖνα, καὶ φῶς. Ἀλλὰ κἀνταῦθα δέος, πρῶτον μέν, μὴ σύνθεσίς τις ἐπινοῆται τῆς ἀσυνθέτου φύσεως, ὥσπερ ἡλίου καὶ τῶν ἐν ἡλίῳ· δεύτερον δέ, μὴ τὸν Πατέρα μὲν οὐσιώσωμεν, τἄλλα δὲ μὴ ὑποστήσωμεν, ἀλλὰ δυνάμεις Θεοῦ ποιήσωμεν ἐνυπαρχούσας, οὐχ ὑφεστώσας. Οὔτε γὰρ ἀκτίς, οὔτε φῶς, ἄλλος ἥλιος, ἀλλ' ἡλιακαί τινες ἀπόῤῥοιαι, καὶ ποιότητες οὐσιώδεις. C Καὶ ἅμα τὸ εἶναι, καὶ τὸ μὴ εἶναι, τῷ Θεῷ (89) δῶμεν ἐν τούτοις, ὅσον ἐκ τοῦ ὑποδείγματος, ὃ καὶ τῶν εἰρημένων (90) ἀτοπώτερον. Ἤκουσα δέ τινος καὶ τοιοῦτον ὑπογράφοντος λόγον· Μαρμαρυγήν τινα ἡλιακὴν τοίχῳ προσαστράπτουσαν, καὶ περιτρέμουσαν ἐξ ὑδάτων κινήσεως, ἣν ἡ ἀκτὶς ὑπολαβοῦσα διὰ τοῦ ἐν μέσῳ ἀέρος, εἶτα σχεθεῖσα (91) τῷ ἀντιτύπῳ (92), παλμὸς ἐγένετο καὶ (93) παράδοξος. Ἄττει (94) γὰρ πολλαῖς καὶ πυκναῖς ταῖς κινήσεσιν, οὐχ ἓν οὖσα μᾶλλον, ἢ πολλά, οὐδὲ πολλὰ μᾶλλον, ἢ ἕν, τῷ τάχει τῆς συνόδου καὶ τῆς διαστάσεως, πρὶν ὄψει κρατηθῆναι, διαδιδράσκουσα.

D ΛΓ'. Ἀλλ' οὐδὲ τοῦτο (95) θέσθαι δυνατὸν ἐμοί, δι' ἓν μέν, ὅτι τὴν μὲν τὸ κινῆσαν (96) καὶ πάνυ δῆ-

A Paris enim impietatis est, vel Sabellii more personas connectere, vel Arii instar naturas distinguere ac separare.

XXXI. Enimvero cum mentis curiositate multum diuque mecum considerassem, atque orationem undecunque explorassem, rei tantæ imaginem quamdam exquirens, cui tandem rerum inferarum divina illa natura comparanda sit, reperire non potui. Quamvis enim exiguam aliquam similitudinem invenerim, major tamen me pars fugit, humique me cum meo exemplo relinquit. Oculum quemdam, et fontem, et fluvium mihi proposui, quemadmodum alii quoque, ut viderem, num Pater cum oculo, Filius cum fonte, Spiritus cum fluvio proportione quadam conveniret. Hæc enim, nec tempore distinguuntur, nec ob continuitatem a se invicem abrumpuntur : ac tribus insuper proprietatibus quodammodo scindi videntur. Sed subiit me timor, primum ne fluxio quædam divinitatis stabilitatis expers admittatur. Deinde ne per hanc similitudinem unum numero introducatur. Oculus enim, et fons, et fluvius unum sunt numero, varie efformata.

XXXII. Solem rursus, et radium, et lucem **577** cogitavi. Verum hic quoque metuendum est; primum, ne incompositæ naturæ compositio quædam excogitetur, quemadmodum solis, et eorum, quæ soli insunt; deinde, ne Patri quidem essentiam tribuamus, reliquos autem subsistere negemus, sed facultates quasdam Dei constituamus, quæ ipsi quidem insint, non autem per se subsistant. Neque enim radius, aut lux, alii soles sunt, sed solis velut rivi quidam, et substantiales qualitates. Ac præterea, ne simul, et esse, et non esse, Deo in his demus (quantum ex hoc exemplo colligi potest), id quod superioribus etiam absurdius fuerit. Quin etiam aliquem audivi hujusmodi similitudinem adumbrantem. Fingebat splendorem quemdam solarem parieti affulgentem, atque ex aquarum motu tremiscentem, quem, cum radius per intermedium aerem susceperit, postea solido ac renitente corpore repressus, mirabilis quædam subsultatio exsistit. Multis enim crebrisque agitationibus subsilit, ita ut non magis unum sit, quam multa, nec rursus magis multa, quam unum; ac tanta celeritate coit vicissim, et dissociatur, ut prius quam oculis teneatur, fuga se proripiat.

XXXIII. Sed ne hoc quidem ipse constituere possum : primum quoniam, quid splendori illi motum

(78) *Τὸ μὲν... τὸ δέ.* Tres Colb., τῷ μὲν... τῷ δέ.
(79) *Πρὸς ἐμαυτόν.* Deest in Reg. a.
(80) *Χρὴ τῶν κάτω.* Sic tres Regg. et tres Colb. In ed. deest τῶν.
(81) *Φεύγει με τὸ πλέον, ἀφὲν κάτω.* Plerique codd., φεύγει τὸ πλεῖον ἀφέν με κάτω.
(82) *Καὶ ἄλλοι.* Deest καί in Or. 1.
(83) *Τῷ δέ.* Duo Regg. et Coisl. 1, τῇ δέ
(84) *Ἔχῃ.* Regg. a, b, ἔχει.
(85) *Κἂν δοκεῖ.* Reg. a, κἂν δοκῇ. Tres Colb., Bas., Bill. et Leuvenk., καὶ δοκεῖ.
(86) *Ὀφθαλμός.* « Hoc loco, » inquit Bill. ex Elia, « significat principium fontis, e quo, tanquam ab oculo lux, promanat e terra prorumpens. »
(87) *Πάλιν.* Tres Regg. et Comb. ἢ πάλιν.
(88) *Ἥλιον.* Sic codd. Prave in ed., ἥλιος.
(89) *Τῷ Θεῷ.* Duo Coisl. addunt, μόνῳ, et Reg. a, μόνῳ τῷ Πατρί.
(90) *Εἰρημένων.* Duo Coisl., προειρημένων
(91) *Σχεθεῖσα.* Elias, χεθεῖσα, « diffusa. »
(92) *Ἀντιτύπῳ.* Coisl. 1, ἀντιτοίχῳ, « pariete. »
(93) *Ἐγένετο καί.* Comb., ἐγένετό τις. Sic etiam legit Bill.
(94) *Ἄττει.* Sic duo Coisl., Par., Comb., etc. In ed., ἄπτει.
(95) *Τοῦτο.* Tres Colb., τούτῳ,
(96) *Τὸ κινῆσαν.* « Qui hunc splendorem moveat (nempe ventus), notum est. »

afferat, admodum perspicuum est : at Deo nihil antiquius est, quod ipsi motum dederit. Ipse quippe omnium causa est, nec antiquiorem causam habet. Deinde quod hic earumdem rerum suspicio occurrit, nimirum compositionis, diffusionis, incertæque et instabilis naturæ, quarum nihil de divinitate cogitandum est. In summa nihil est in quo mens mea gradum figere queat, dum, quod imaginor, in exemplis considero ; ni forte quispiam ea animi æquitate sit, ut cum unum aliquid ex proposita imagine acceperit, reliqua projiciat. Postremo itaque hoc mihi consultissimum visum est, ut, missis factis imaginibus illis, atque umbris, ut fallacibus, plurimumque a veritate remotis, piam ipse cogitationem, fidemque mordacius retineam, atque in paucis verbis insistens, duceque Spiritu sancto utens, quemque hic splendorem accepi, hunc ad extremum usque, tanquam fidum socium et congerronem custodiens, ævum hoc trajiciam, aliosque pro viribus adducam, ut Patrem, et Filium, et Spiritum sanctum adorent, unam divinitatem ac potentiam ; quoniam ipsi omnis gloria, honor, imperium in sæcula sæculorum. Amen.

(97) *Κοινωνόν*. Sic codd. Mendose in ed., κοινωνῶν.
(98) *Διατέμνοντα*. Deest in tribus Colb.

A λον· Θεοῦ δὲ οὐδὲν πρεσβύτερον, ἵν' ᾖ τι τὸ τοῦτον κεκινηκός· αὐτὸς μὲν γὰρ πάντων αἰτία, αἰτίαν δὲ πρεσβυτέραν οὐκ ἔχει. Δεύτερον δὲ, ὅτι κἀνταῦθα τῶν αὐτῶν ὑπόνοια, συνθέσεως, χύσεως, ἀστάτου καὶ οὐ παγίας φύσεως, ὧν οὐδὲν ἐννοητέον περὶ θεότητος. Καὶ ὅλως οὐδέν ἐστιν ὅ μοι τὴν διάνοιαν ἵστησιν ἐπὶ τῶν ὑποδειγμάτων θεωροῦντι τὸ φανταζόμενον· πλὴν εἴ τις ἕν τι λαβὼν τῆς εἰκόνος, ὑπ' εὐγνωμοσύνης, τὰ λοιπὰ ῥίψειεν. Τέλος οὖν ἔδοξέ μοι κράτιστον εἶναι, τὰς μὲν εἰκόνας χαίρειν ἐᾶσαι, καὶ σκιὰς, ὡς ἀπατηλὰς, καὶ τῆς ἀληθείας πλεῖστον ἀποδεούσας, αὐτὸν δὲ τῆς εὐσεβεστέρας ἐννοίας ἐχόμενον, ἐπ' ὀλίγων ῥημάτων ἱστάμενον, ὁδηγῷ τῷ Πνεύματι χρώμενον, ἣν ἐντεῦθεν ἔλλαμψιν ἐδεξάμην, ταύτην εἰς τέλος διαφυλάσσοντα, ὡς γνησίαν κοινω-
B νὸν (97) καὶ συνόμιλον, τὸν αἰῶνα τοῦτον διαπορεύεσθαι διατέμνοντα (98), καὶ τοὺς ἄλλους πείθειν εἰς δύναμιν, προσκυνεῖν Πατέρα, καὶ Υἱὸν, καὶ Πνεῦμα ἅγιον, τὴν μίαν θεότητά τε καὶ δύναμιν (99)· ὅτι αὐτῷ πᾶσα δόξα, τιμὴ, κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

(99) *Καὶ δύναμιν*. Reg. a, καὶ βασιλείαν, καὶ δύναμιν, « et regnum, et potentiam. »

---

578 MONITUM IN ORATIONEM XXXII.

I. Theologicis orationibus egregiam, « De moderatione in disputationibus servanda, » subjungimus orationem. Hæc siquidem ad theologicas, et argumento, et tempore proxime accedit. Dudum enim, ut jam sæpe in præcedentibus monitis vidimus, hæreticorum furor varios ac ingentes Constantinopoli tumultus excitarat. Sacra et pretiosa Christi tunica undequaque sacrilegis impiorum manibus dilacerabatur ; atque adeo tristis et calamitosa erat his temporibus Ecclesiæ facies, ut confusa omnia et perturbata viderentur. Cum igitur Gregorius in theologicis orationibus dilucide ac invictissime Trinitatis doctrinam propugnasset, ac sæpe sæpius totis viribus linguarum pruritum penitus compescere tentasset, nunc demum de moderatione, quæ in disputationibus servanda est, tractare aggreditur. Ac primo quidem tumultuum et dissensionum originem ducit ab animorum petulantia, et a temeritate, quam « inscitiæ filiam » nominat (n. 3). Ex his enim fontibus dimanat quidquid tum in doctrina, tum in disputationibus vitiosum est. Idcirco ex rerum creatarum ordine, pastores simul et gregem ad justitiæ ordinisque leges amanter invitat ; atque ex eleganti corporis cum membris similitudine, ostendit diversos esse in Ecclesia ordinis gradus, et diversa membrorum officia. « Alii, inquit (n. 11), dominantur et præsunt, alii parent ac reguntur ; et quemadmodum inter eos qui subsunt permagnum reperitur discrimen, ita etiam inter præfectos non parva differentia est. » Quod quidem probat ex Apostolo, qui ait [12] : « Quosdam posuit Deus in Ecclesia, primum apostolos, secundo prophetas, tertio doctores, » etc.

II. Deinde silentii donum eo magis extollit, quod nos ab ampliori et graviori periculo retrahat. Arduum quippe est ac perdifficile, non solum res divinas mente consequi, et verbis explicare, verum etiam purgatas aures nancisci. Non inde tamen ad omne disputationis genus aditum occludendum putat ; sed jubet a pertinaci contentione abstinere, ac præter legem et ordinem docere omnino vetat. Quemadmodum enim nimia in divinis rebus tarditas, ita nimia etiam festinatio eodem periculo laborat. Bona quidem spiritualia, quæ tum in veteri, tum in nova lege reconduntur, sunt omnibus hominibus communia. Ex his unusquisque pro modulo haurire debet ; sed maxime cavendum, ne quis animi elatione novitatem affectans, et ad cœlum ascendere cupiens, præceps in abyssum corruat. « Melior est » enim « pauper ambulans in simplicitate sua, » quam fatuus labiisque perversus, qui contentionibus et argumentis inepte atque imperite confidit [13]. Nam si quis linguam freno coercere non potest, ipsi certe furere ac insanire continget. Hinc omnes, et prælatos et subditos, ad humilitatis virtutem cohortatur, eosque stimulat, ut, in omni-

[12] I Cor. XII, 28. [13] Prov. XIX, 1.

bus de doctrina disputationibus, Christi veri pastoris mansuetudinem ac benignitatem imitentur; et sicut « in domo Patris mansiones multæ sunt [14]. » ita unusquisque **579** per viam sibi propriam ac peculiarem gradiatur. Alia plura erudite pertractat, quæ utinam omnium animis et cordibus essent inscripta, ac præcipue eorum, qui « philosophiæ artificia et apparatus, velut Ægyptiacas plagas, » ut ait Theologus (n. 25), « in Ecclesiam inferunt. » Tunc namque contentiones, schismata et hæreses procul facesserent, ac pura veritas puris mentibus ab omnibus tractaretur.

III. Inconcussum videri debet, hanc orationem Constantinopoli, in frequenti hominum cœtu habitam fuisse. Hac in re consentiunt eruditi. Verum non ita perspicuum est, utrum anno 380 aut sequenti; utrumne etiam in Anastasia, in qua primum conciones habuit Gregorius, aut in majori Constantinopolitanæ urbis ecclesia, post redditas Catholicis ecclesias, ut conjectant nonnulli, pronuntiata fuerit. Hanc ultimam sententiam, ut verisimiliorem, secuti sunt Hermant (1) et Tillemontius (2). Idcirco orationem istam ad annum 381 referendam arbitrantur. Elias vero aliter sensisse videtur. Nam de hac oratione loquens, ait : « Hæretici ecclesias omnes Constantinopoli occupatas tenebant, ubi Gregorium hanc orationem pronuntiasse tradunt. » Hinc si rem æqua lance perpendere volumus, Eliæ opinioni ultro accedendum fatebimur. Id enim suadent hæc istius orationis verba (n. 1) : « Exiguus et pauper sum pastor, pastoribusque aliis, ut parce dicam, nondum gratus et acceptus; quod, rectone judicio, an animi malevolentia fiat, nescio. » Quæ profecto non dixisset Gregorius, si, expulsis hæreticis, ecclesiæ jam a Theodosio Magno traditæ Catholicis fuissent. Magnum argumentum est hac in re Theologi silentium. Præterea idem prorsus in ista oratione, ac in theologica prima scopus declaratur. Gregorius enim utrobique ostendit, nec cujusvis hominis, nec cujusvis temporis esse de Deo disputare; sed qua moderatione id faciendum sit, in hac præcipue, tum suo ipsius, tum aliorum exemplo ac ratione demonstrat. Unde nobis verisimilius videtur hanc orationem, unam esse ex iis, quas in præcedenti monito « inter theologicas, dictas et interjectas » (3) monuimus; ac proinde Constantinopoli, in Anastasia, circa medium annum 380 habitam fuisse putamus.

[14] Joan. XIV, 2.

(1) T. IX, art. 66, p. 464.
(2) T. II, l. IX, c. 12, p. 209.
(3) *Monit. ad theol. or.*, n. 3.

ΛΟΓΟΣ ΛΒ'.

Περὶ τῆς (4) ἐν διαλέξεσιν εὐταξίας, καὶ ὅτι οὐ παντὸς ἀνθρώπου, οὔτε παντὸς καιροῦ τὸ περὶ Θεοῦ διαλέγεσθαι.

Α'. Ἐπειδὴ συνεληλύθατε προθύμως, καὶ πολυάνθρωπος ἡ πανήγυρις (5), καὶ διὰ τοῦτο μάλιστα καιρὸς ἐργασίας (6), φέρε τι δῶμεν ὑμῖν ἐμπόρευμα, εἰ καὶ μὴ τῆς προθυμίας ἄξιον τῆς κοινῆς, ἀλλά γε τῆς δυνάμεως τῆς ἡμετέρας μὴ ἐνδεέστερον. Ἡ μὲν γὰρ ἀπαιτεῖ τὰ μείζω, ἡ δὲ εἰσφέρει τὰ μέτρια· καὶ κρεῖσσον τὸ κατὰ δύναμιν εἰσενεγκεῖν, ἢ τὸ πᾶν ἐλλείπειν (7). Οὐ γὰρ ὁ μὴ δυνηθεὶς τὰ τοιαῦτα ὑπεύθυνος, ἀλλ' ὁ μὴ βουληθεὶς ὑπαίτιος, κἂν τοῖς θείοις ὁμοίως, κἂν τοῖς ἀνθρωπίνοις πράγμασιν. Εἰμὶ μὲν ποιμὴν ὀλίγος καὶ πένης, καὶ οὔπω τοῖς ἄλλοις ἀρέσκων ποιμέσιν· οὕτω γὰρ εἰπεῖν μέτριον, εἴτε τὴν εὐδοκίαν (8) καὶ τὸν ὀρθὸν λόγον, εἴτε διὰ μικροψυχίαν καὶ ἔριν, οὐκ οἶδα τοῦτο· *Ὁ Θεὸς οἶδε,*

ORATIO XXXII [a]

A *De moderatione in disputationibus servanda, et quod non sit cujusvis hominis, nec cujusvis temporis de Deo disputare.*

I. Quoniam prompto animo convenistis, ac dies hic festus maxima hominum frequentia celebratur, ob idque potissimum negotiandi occasio se offert, age, merces quasdam vobis offeramus, si minus communi huic vestræ animorum alacritati **580** pares, viribus certe nostris haudquaquam inferiores. Illa enim majora postulat, hæc autem mediocria solum præstant atque afferunt. Porro satius est, id, quod per facultates licet, afferre, quam officio prorsus deesse. Non enim qui hujusmodi res non potuit, in judicium vocandus est; sed, qui noluit, in culpa hæret, sive de divinis, sive de humanis loquamur. Atque ipse

B quidem exiguus et pauper sum pastor, pastoribusque aliis, ut parce dicam, nondum gratus atque ac-

[a] Alias XXVI. Quæ autem 32 erat, nunc 42. — Habita anno 380.

(4) *Περὶ τῆς*, etc. Or. 2 aliique nonnulli codices habent tantum : Περὶ τῆς εὐταξίας ἐν ταῖς διαλέξεσιν· « De moderatione in disputationibus. » In quibusdam : Περὶ θεότητος, « De divinitate. »

(5) *Ἡ πανήγυρις.* « Dies festus. » Hæc oratio pronuntiata est in festo quopiam martyrum. Sed, quinam fuerint isti martyres, ignoratur. Eos enim nullibi in toto istius orationis decursu nominat Theologus.

(6) *Καιρὸς ἐργασίας.* « Negotiandi tempus. Mos est, » inquit Elias, « apud homines, in celebritatibus ac mercatibus publicis, quædam inter se mercimonia contrahere, de quibus aliquod ipsis lucrum accedit. »

(7) *Ἐλλείπειν.* In nonnullis, ἐλλιπεῖν, « quam prorsus deficere. »

(8) *Εἴτε τὴν εὐδοκίαν*, etc. Or. 1, εἴτε δι' εὐδοκίαν. Aptior Combefisio videtur vox εὐδοξίαν, « ob celebritatem. » Ego vero crediderim, Gregorium alludere ad hæc verba Apostoli, Philipp. I, 15 : Τινὲς μὲν καὶ διὰ φθόνον καὶ ἔριν· τινὲς δὲ καὶ δι' εὐδοκίαν· « Quidam quidem et propter invidiam et contentionem; quidam autem propter bonam voluntatem, » etc. Unde hæc verba, εἴτε τὴν εὐδοκίαν καὶ ὀρθὸν λόγον, sic reddenda censemus : « sive propter bonam voluntatem rectamque doctrinam. »

ceptus; quod rectone judicio ac ratione, an animi A malevolentia et contentionis studio fiat, nescio: *Deus scit* [15], inquit Apostolus, idque revelationis dies perspicue declarabit, ignisque ille postremus [16], quo nostra omnia expendentur, aut purgabuntur. Enitar tamen, quantum potero, daboque operam, ne gratiam divinitus acceptam premam atque occultem, ac lucernam sub modio ponam [17], talentumque in terra defodiam [18] (hæc enim a vobis sæpe audivi, cum mihi cessationem atque desidiam probro verteretis, ac silentium nostrum graviter et iniquo animo ferretis), verum ut veritatis doctrina vos erudiam ac per Spiritum concordes reddam.

φησὶν ὁ θεῖος Ἀπόστολος, καὶ δηλώσει σαφῶς ἡ τῆς ἀποκαλύψεως ἡμέρα, καὶ τὸ τελευταῖον πῦρ, ᾧ πάντα κρίνεται ἢ καθαίρεται τὰ ἡμέτερα. Πειράσομαι δ' ὅμως εἰς δύναμιν μὴ καταχρύπτειν τὸ χάρισμα, μηδ' ὑπὸ τὸν μόδιον τιθέναι τὸν λύχνον, μηδὲ καταχωννύειν τὸ τάλαντον (ἃ πολλάκις ἤκουσα παρ' ὑμῶν τὴν ἀργίαν ὀνειδιζόντων, καὶ δυσχεραινόντων τὴν σιωπὴν [9]), ἀλλὰ λόγοις ἀληθείας ἐκπαιδεύειν καὶ συναρμόζειν τῷ Πνεύματι.

II. Unde igitur vos instruere incipiam, fratres mei? Aut qua oratione athletas, quorum est præsens hæc celebritas, ornabo? Quid primum dicam, B aut quid maximum? Quid animabus vestris maxime profuturum? Aut quid huic tempori commodissimum? Id vero hac demum ratione perspiciemus. Quidnam in nostra doctrina præstantissimum est? Pax. Addam etiam utilissimum. Contra, quid turpissimum ac perniciosissimum? Discordia. Quoniam autem hanc quæstionem proposui, eique respondi, quod secundum est, insuper sciscitabor. Quidnam præcipue illam sustulit, et hanc invexit? Ut, quemadmodum in corporum morbis, causis prius circumcisis, ac turbulentarum animi permotionum fontibus obstructis aut exsiccatis, ita demum profluentes hinc rivulos effectusque simul amputemus. Neque enim fieri potest, ut, principiis non recte consideratis, quidquam de fine præclare cognoscamus. Vultis C igitur vos ipsi utriusque rei causam proferre ac declarare? An mihi potius, medici munere fungenti, eam indicandam et corrigendam relinquitis? Ego enim, et **581** dicere paratus sum, si ita voluntas vestra ferat, et dicentes audire paratior. Sed nihil dubito, quin dicendi munus mihi concedatis; quem non omnino imperitum et contemnendum morborum hujusmodi medicum, aut in curandis animis ignarum fortasse existimatis: sive id recte, sive secus arbitremini. Nec vero mirum vobis videatur, si novam, et ab animorum vestrorum sensibus alienam orationem attulero. Quanquam enim ab exspectatione et opinione vestra, non tamen a veritate discrepabit, ut quidem ipse affirmo, ac vos assentiemini, si ad extremum usque audire sustinueritis, ac non ipsum, quod objicio, vobis usu veniat, nimirum ut præ animorum fervore, antequam ad calcem oratio pervenerit, exsurgatis.

Β'. Πόθεν οὖν ἄρξομαι καταρτίζειν ὑμᾶς (10), ἀδελφοί; Καὶ τίσι λόγοις τιμήσω τοὺς ἀθλητὰς (11), ὧν ἡ παροῦσα πανήγυρις; Τί πρῶτον εἴπω (12), ἢ τί μέγιστον; Τί μάλιστα συμφέρον ταῖς ὑμετέραις (13) ψυχαῖς; Ἢ τί τῷ παρόντι καιρῷ χρησιμώτατον; Γνοίημεν δ' ἂν οὕτω· Τί τοῦ ἡμετέρου (14) λόγου τὸ κάλλιστον; Ἡ εἰρήνη· προσθήσω δ', ὅτι καὶ τὸ λυσιτελέστατον. Τί δαὶ τὸ αἴσχιστον καὶ τὸ βλαβερώτατον; Ἡ διχόνοια (15). Ἐπεὶ δὲ τοῦτο ἠρώτησα, καὶ ἀπεκρινάμην, προσερήσομαι καὶ τὸ δεύτερον· Τί τὸ μάλιστα λῦσαν ἐκείνην; Καὶ τί τὸ ταύτην εἰσαγαγόν; Ἵν', ὥσπερ ἐν τοῖς νοσήμασι, τὰ αἴτια περικόψαντες, καὶ τὰς πηγὰς τῶν παθῶν ἐμφράξαντες, ἢ ἀποξηράναντες, οὕτω καὶ τὰ ἐκεῖθεν ῥεύματα καὶ ἀποτελέσματα συνεκκόψωμεν. Οὐδὲ γὰρ οἷόν τε γνῶναί τι (16) περὶ τῆς τελευτῆς καλῶς, μὴ περὶ τῆς ἀρχῆς ὀρθῶς σκεψαμένους. Βούλεσθε οὖν ὑμεῖς τὴν αἰτίαν (17) εἰπεῖν καὶ γνωρίσαι; Ἢ ἐμοὶ τῷ θεραπευτῇ παραχωρεῖτε, καὶ δηλῶσαι ταύτην, καὶ διορθώσασθαι; Καὶ γὰρ εἰπεῖν βουλομένων ἕτοιμος, καὶ ἀκούειν λεγόντων ἑτοιμότερος. Παραχωρεῖτε μὲν, εὖ οἶδ' ὅτι· καὶ γὰρ οὐ φαύλους ἰατροὺς ἡμᾶς τῶν τοιούτων ἴσως ὑπολαμβάνετε, οὐδ' (17*) ἀμαθεῖς θεραπείας ψυχῶν· εἴτε οὖν φαύλως, εἴτε ὀρθῶς τοῦτο ὑπολαμβάνοντες. Μὴ θαυμάσητε δὲ, εἰ παράδοξον ἐρῶ λόγον· καὶ γάρ ἐστι παράδοξος μὲν, ἀληθὴς δὲ, ὥς ἔγωγέ φημι, καὶ ὑμεῖς συμφήσετε, ἂν (18) διὰ τέλους μαθεῖν ἀναμείνητε, ἀλλὰ μὴ, ὃ ἐγκαλῶ, πάθητε, καὶ προεξαναστῆτε τοῦ λόγου διὰ θερμότητα.

III. Ingenia magna et ferventia tumultus istos, in D quibus versamur, excitarunt, non illa quidem simpliciter magna et ferventia (nec enim ii sumus, qui animorum acrimoniam in vitio ponamus, sine qua nemo magnum aliquod pietatis aut cujusquam alius

Γ'. Φύσεις θερμαὶ καὶ μεγάλαι, τῆς ταραχῆς ταύτης αἴτιον (19)· οὔτιγε ἁπλῶς διάπυροι καὶ μεγάλαι (μήπω γὰρ καταγινώσκομεν τῆς θερμότητος, ἧς δίχα μέγα τι κατορθωθῆναι πρὸς εὐσέβειαν ἢ ἀρετὴν ἄλλην ἀμήχανον), ἀλλὰ γενναῖαι σὺν ἀλογίᾳ, καὶ

[15] II Cor. XII, 2. [16] I Cor. III, 13. [17] Matth. V, 15. [18] Matth. XXV, 18.

(9) *Τὴν σιωπήν*. Coisl. 1, et Comb., τῇ σιωπῇ.

(10) *Ὑμᾶς*. Sic duo Regg. et Or. 1. In ed., ἡμᾶς.

(11) *Ἀθλητάς*. « Martyres, » quorum dies festus celebrabatur magno populorum concursu.

(12) *Εἴπω*. Or. 1, εἰπών.

(13) *Ὑμετέραις*. Or. 1, ἡμετέραις.

(14) *Τί τοῦ ἡμετέρου*, etc. « Quid in Christiana professione pulcherrimum? Pax. »

(15) *Διχόνοια*. Bill., « Voluntatum disjunctio. »

(16) *Τι*. Deest in duobus Regg. et Or. 1.

(17) *Αἰτίαν*. « Utriusque rei causam, » id est, « pacis ablatæ, et discordiæ inductæ. » Nam Gregorius hic utrumque quærit. Billius: « contentionis hujusce causam. »

(17*) *Οὐδ'*. Or. 1, οὐδέ. In quibusdam, οὔτε.

(18) *Ἄν*. Reg. b, ἐάν.

(19) *Αἴτιον*. Duo Regg. et Or. 1, τὸ αἴτιον, « hujus perturbationis causa. »

ἀμαθίᾳ, καὶ, τῷ ταύτης ἐκγόνῳ κακῷ, θράσει· θράσος γὰρ (20) ἀμαθίας ἔκγονον. Αἱ μὲν γὰρ ἀσθενεῖς, καὶ πρὸς ἀρετὴν καὶ πρὸς κακίαν ὁμοίως νωθεῖς, (21) καὶ δυσκίνητοι, καὶ οὐδ' ἑτέρωσε μέγα νεύουσαι, οἷα τὰ τῶν ναρκώντων κινήματα. Αἱ γενναῖαι δὲ, λόγου μὲν αὐτὰς παιδαγωγοῦντος καὶ διευθύνοντος, μέγα τι χρῆμα πρὸς ἀρετήν· ἐπιλειπούσης δὲ ἐπιστήμης καὶ λόγου, τὸ ἴσον εἰς κακίαν εὑρίσκονται. Ἐπεὶ καὶ ἵππον θυμοειδῆ μὲν εἶναι χρὴ καὶ γενναῖον, τὸν ἐσόμενον νικηφόρον, εἴτε πολεμιστήριον (22), εἴτε ἁμιλλητήριον· εἴη δ' ἂν ὁ αὐτὸς οὐδὲν (23) ἀγαθοῦ, μὴ χαλινῷ παιδευθεὶς, καὶ γυμνασίᾳ φιλοπονωτέρᾳ μαθὼν ἡμερότητα.

virtutis munus exsequi potest); sed quæ cum generositate imprudentiam, et inscitiam, et, qui malus ipsius fetus est, temeritatem conjunctam habeant; siquidem inscitiæ fetus, est temeritas. Infirmi enim et imbecilles animi, tam ad virtutem, quam ad vitium segnes et tardi sunt, neque in alterutram partem magnopere inclinantur: non secus scilicet atque hominum torpore laborantium incessus. At fortes et generosi, quemadmodum si ratione gubernentur et coerceantur, magnum ad virtutem pondus afferunt; ita, si a scientia et ratione deserantur, non minus momenti ad vitium habituri sunt. Sic nimirum equum acris esse ac generosæ naturæ necesse est, qui quidem, sive in bellis atque acie, sive in ludicro cursu et certamine victor sit discessurus: at idem tamen nullum unquam egregium sui usum præbuerit, nisi freno eruditus, et accuratiori exercitatione domitus et cicuratus fuerit.

Δ'. Καὶ τοῦτό ἐστιν, ὡς ἐπὶ τὸ πλεῖστον, ὃ διέσπασε μέλη, διέστησεν ἀδελφοὺς, πόλεις ἐτάραξε, δήμους ἐξέμηνεν, ὥπλισεν ἔθνη, βασιλεῖς ἐπανέστησεν, ἱερεῖς λαῷ καὶ ἀλλήλοις, λαὸν ἑαυτῷ καὶ ἱερεῦσι, γονεῖς τέκνοις, τέκνα γονεῦσιν, ἄνδρας γυναιξὶ, γυναῖκας ἀνδράσι. Πάντα τὰ τῆς εὐνοίας ὀνόματα, δούλους καὶ δεσπότας ἀλλήλους (24), ἀλλήλους διδασκάλους καὶ μαθητὰς, πρεσβύτας καὶ νέους, καὶ τὸν τῆς αἰδοῦς ἀτιμάσαν νόμον, τοῦ μεγίστου πρὸς ἀρετὴν βοηθήματος, τὸν τῆς αὐθαδείας εἰσήνεγκεν· καὶ γεγόναμεν οὐ φυλὴ, καὶ φυλὴ καθ' ἑαυτὴν, ὃ πάλαι ὁ Ἰσραὴλ ὠνειδίζετο· οὐδὲ Ἰσραὴλ καὶ Ἰούδας, τὰ δύο καὶ ἑνὸς ἔθνους καὶ μικροῦ τούτου τμήματα, κατ' οἴκους δὲ καὶ συζυγίας τὰς ἀναγκαίας, καὶ οἷον πρὸς ἑαυτὸν ἕκαστος, ἐμερίσθημεν, ἡ οἰκουμένη πᾶσα, καὶ γένος ἅπαν ἀνθρώπων, ὅσον ὁ θεῖος λόγος ἐπέδραμεν· καὶ γέγονεν ἀναρχία, ἡ πολυαρχία, καὶ διεσκορπίσθη τὰ ὀστᾶ ἡμῶν παρὰ τὸν ᾅδην· καὶ ἐχρῆν (25), ἐπειδὴ τῶν ἐκτὸς ἐχθρῶν ἐκρατήσαμεν (26), ὑπ' ἀλλήλων ἡμᾶς καταλυθῆναι, καὶ, καθάπερ τοὺς μαινομένους, τῶν ἰδίων σαρκῶν ἁπτομένους, μηδὲ αἰσθάνεσθαι, ἀλλὰ καὶ (27) χαίρειν τῷ κακῷ πλέον, ἢ εἰρηνεύοντες ἕτεροι, καὶ κέρδος ποιεῖσθαι τὴν συμφορὰν, καὶ ἡγεῖσθαι λατρείαν εἰσφέρειν τῷ Θεῷ (28) τὴν κατάλυσιν, καὶ διαιρεθῆναι, καὶ ἐμπρησθῆναι, οὐ τὴν ἐπαινετὴν διαίρεσιν, ἀλλὰ τὴν ψεκτὴν, οὐδὲ τὸν καθάρσιον ἐμπρησμὸν, ἀλλὰ τὸν ὀλέθριον. Οὐ γὰρ ὁ τομὸς διαιρεῖ λόγος, ἡ Χριστοῦ μάχαιρα, τοὺς πιστεύοντας ἀπὸ τῶν ἀπίστων, οὐδὲ πῦρ βάλλεται, καὶ ἀνάπτεται, ἡ δαπανῶσα τὴν ὕλην καὶ ἐσθίουσα πίστις, καὶ ἡ ζέσις (29) τοῦ Πνεύματος· ἀλλ' ἐναντίως ἢ πρότερον, δαπανώμεθα καὶ τεμνόμεθα.

IV. Atque hoc, ut plurimum est, quod membra laceravit et distraxit, fratres divulsit, urbes perturbavit, populos in furorem præcipites egit, gentes armavit, reges in mutuum exitium concitavit, sacerdotes cum plebe, et secum etiam ipsos, plebem rursus non minus ipsam secum, quam cum sacerdotibus commisit, parentes cum liberis, liberos cum parentibus, viros cum uxoribus, uxores cum viris. Hoc omnia benevolentiæ nomina permiscuit, atque confudit, **582** servos et dominos, discipulos et præceptores, senes et juvenes: convulsaque et proculcata pudoris lege, quo nullum majus adjumentum ad virtutem excogitari potest, contumaciæ arrogantiæque legem induxit: factique sumus, non jam tribus ac tribus separatim, quod olim Israeli objectabatur; nec Israel et Juda, duo, inquam, illa unius ejusque perangustæ gentis segmenta; verum per domos et familias, et necessaria sodalitia, velutque in se quisque, divisi sumus, universus orbis terrarum, universum hominum genus, quod Dei verbum fideique doctrina peragravit; multorumque imperium in effrenem quamdam atque imperii expertem licentiam recidit, atque ossa nostra secus infernum dissipata sunt[19]; quasi vero necessum esset, nos, exteris hostibus domitis, mutuo alios ab aliis opprimi, et furentium ritu in proprias carnes sævire, ac ne id quidem sentire, verum majorem ex hoc malo, quam alii ex pace et concordia, voluptatem capere, calamitatemque lucro ducere, atque existimare per eversionem nostram obsequium Deo præstari[20], ac dividi et incendi, non recta et laudabili divisione, sed turpi et vituperanda, nec incendio illo, quo animæ labes expiantur, sed funesto et exitiali. Non enim acutus ille sermo[21], hoc est, Christi gladius, pios ab impiis dividit, nec ignis jacitur et accenditur[22], hoc est, fides, et Spiritus fervor, id quod terrenum est absumens ac devorans: sed contrario plane, ac prius, modo, scindimur et consumimur.

[19] Psal. CXL, 7. [20] Joan. XVI, 2. [21] Hebr. IV, 12. [22] Luc. XII, 49.

(20) *Θράσος γάρ*. Or. 1, θράσος δέ.

(21) *Ὁμοίως νωθεῖς*. In quibusdam, ὁμοίως εἰσὶ νωθεῖς.

(22) *Πολεμιστήριον*. Or. 1, πολεμητήριον.

(23) *Οὐδέν*. Reg. b, Or. 1 et Comb., μηδέν. In aliis, μηδενός.

(24) *Ἀλλήλους*. Duo Regg. et Or. 1, ἀλλήλοις. Mox iterum, ἀλλήλοις, pro ἀλλήλους.

(25) *Ἐχρῆν*. Or. 1, χρῆν.

(26) *Ἐκρατήσαμεν*. Or. 1, κεκρατήκαμεν.

(27) *Ἀλλὰ καί*. Sic Or. 1. Deest ἀλλά in ed.

(28) *Εἰσφέρειν τῷ Θεῷ*. Sic Or. 1. In ed., προσφέρειν Θεῷ.

(29) *Καὶ ἡ ζέσις*. Or. 1, et Bill. ad marg. Edit. Bas., καὶ ζέσις.

V. Hoc nimirum est, quod Ecclesiam, quæ una A est, in multas partes discidit, atque disjunxit, non in unum Paulum, aut Cepham, aut Apollo [23], aut aliquem plantatorem, vel rigatorem, sed in multos Paulos, et Cephas, et Apollones, a quibus jam ipsi, non ab eximio illo et novo Christi nomine appellamur, et eorum esse dicimur. Atque utinam mihi hoc solum dicere liceret. Verum, et multos Christos (horresco referens), pro uno produxit, genitum, creatum, a Maria incipientem, eo, unde in ortum prodiit, relabentem, hominem mentis expertem, revera exsistentem, et specie tenus adumbratum. Consimili modo multos quoque Spiritus, increatum, et creatum, et honore parem, et vim atque facultatem, et simplex ac nudum Spiritus nomen. At unum Deum Patrem **583** agnoscere oportebat B principii expertem et ingenitum, et unum Filium ex Patre genitum, et unum Spiritum ex Deo substantiam habentem, concedentem Patri ingeniti proprietatem, Filio vero generationem; de cætero autem ejusdem omnino naturæ, dignitatis, honoris, gloriæ. Hæc, inquam, agnoscere oportebat, hæc confiteri, hic gradum figere, prolixas autem nugas ac profanas verborum novitates ad otiosos homines amandare. Quid hæc omnia excitavit? Animorum fervor, qui sine ratione ac scientia cohiberi nequit, fideique navigium gubernatore carens.

VI. Quod cum perspectum habeamus, fratres, demus operam, ut nec ad bonum pigri simus, sed Spiritu ferveamus, ne alioqui paulatim in mortem ob- C dormiamus, aut, dormientibus nobis, prava zizania hostis superserat [24]; pigritia enim somno conjuncta est; nec rursus cum temeritate et cæco nostri amore acres ac fervidi, ne alioqui in transversum abripiamur, viaque regia excidamus; atque in horum alterum necessario incidamus, ut vel calcaribus propter tarditatem opus habeamus, vel propter animorum fervorem in præceps ruamus. Quin potius, cum ex utroque, id, quod utile ac fructuosum est, collegerimus, hoc est, ex illa mansuetudinem, ex hoc autem zelum; quod in utroque noxium ac perniciosum est, fugiamus, illius nempe pigritiam, hujus vero temeritatem; ut nec ob defectum steriles et infrugiferi simus, nec ob excessum periclitemur. Æque enim inutiles sunt, iners ac supina segnities, D et imperitus fervor: illa ad bonum minime accedens, hic autem ulterius cadens, ac dextro dexterius aliquid efficiens. Atque id probe cognitum et exploratum habens divinus Salomon: *Ne declines*,

Ε'. Τοῦτό ἐστιν ὃ πολλὰ εἶναι μέρη τὴν μίαν Ἐκκλησίαν πεποίηκε, καὶ διέστησεν, οὐκ εἰς ἕνα Παῦλον, ἢ Κηφᾶν, ἢ Ἀπολλῶ, ἢ τὸν δεῖνα φυτευτὴν, ἢ τὸν δεῖνα ποτιστὴν (30)· πολλοὺς δὲ ἀνέδειξε Παύλους, καὶ Ἀπολλῶς, καὶ Κηφᾶς, ἀφ' ὧν ἀντὶ Χριστοῦ καλούμεθα, τὸ μέγα καὶ καινὸν (31) ὄνομα, καὶ ὧν εἶναι λεγόμεθα· καὶ εἴθε τοσοῦτον εἶχον εἰπεῖν· ἀλλὰ καὶ πολλοὺς (ὃ φρίττω λέγων) Χριστοὺς ἀνθ' ἑνὸς, τὸν γεννώμενον, τὸν κτιζόμενον, καὶ τὸν ἀπὸ Μαρίας ἀρχόμενον, καὶ τὸν ἀναλύοντα ὅθεν εἰς τὸ εἶναι προῆλθε, καὶ τὸν ἄνουν ἄνθρωπον, καὶ τὸν ὄντα, καὶ τὸν φαινόμενον. Ὡς δὲ καὶ πολλὰ Πνεύματα, τὸ ἄκτιστον (32), καὶ τὸ κτίσμα, καὶ τὸ ὁμότιμον, καὶ τὸ ἐνέργημα, καὶ τὸ ψιλὸν ὄνομα. Δέον ἕνα Θεὸν Πατέρα γινώσκειν, ἄναρχον, καὶ ἀγέννητον, καὶ Υἱὸν ἕνα γεγεννημένον ἐκ τοῦ Πατρὸς, καὶ Πνεῦμα ἓν ἐκ Θεοῦ τὴν ὕπαρξιν ἔχον, παραχωροῦν Πατρὶ μὲν ἀγεννησίας, Υἱῷ δὲ γεννήσεως· τὰ δὲ ἄλλα συμφυὲς, καὶ σύνθρονον, καὶ ὁμόδοξον, καὶ ὁμότιμον· ταῦτα εἰδέναι, ταῦτα ὁμολογεῖν, μέχρι τούτων ἵστασθαι, τὴν δὲ πολλὴν φλυαρίαν, καὶ τὰς βεβήλους κενοφωνίας τῶν λόγων, τοῖς σχολὴν ἄγουσιν ἀποπέμπεσθαι (33). Τί τὸ ταῦτα πάντα κεκινηκός; Θερμότης χωρὶς λόγου καὶ ἐπιστήμης ἄσχετος, καὶ πίστεως πλοῦς ἀκυβέρνητος.

Ϛ'. Τοῦτο οὖν εἰδότες, ἀδελφοὶ, μήτε νωθεῖς ὦμεν πρὸς τὸ καλὸν, ἀλλὰ τῷ Πνεύματι ζέωμεν, μήποτε ὑπνώσωμεν κατ' ὀλίγον εἰς θάνατον, ἢ, καθεύδουσιν ἡμῖν, ἐπισπείρῃ τὰ πονηρὰ σπέρματα ὁ ἐχθρός· νωθεία γὰρ ὕπνῳ (34) σύζυγος· μήτε διάπυροι σὺν ἀλογίᾳ καὶ φιλαυτίᾳ, ἵνα μὴ ἐκφερώμεθα, μηδὲ τῆς ὁδοῦ τῆς βασιλικῆς ἔξω πίπτωμεν· ἕν γέ τι πταίοντες πάντως, ἢ κέντρων δεόμενοι διὰ τὴν νωθείαν, ἢ κρημνιζόμενοι διὰ τὴν θερμότητα. Ἀμφοτέρων δὲ ὅσον χρήσιμόν ἐστι λαβόντες, τῆς μὲν τὸ πρᾶον, τῆς δὲ τὸν ζῆλον· ἀμφοτέρων ὅσον ἐστὶ βλαβερὸν διαφύγωμεν, τῆς μὲν τὸν ὄκνον, τῆς δὲ τὸ θράσος· ἵνα μήτε τῷ ἐλλείποντι ὦμεν ἄκαρποι, μήτε τῷ περιττεύοντι κινδυνεύωμεν. Ὁμοίως γὰρ ἄχρηστα, καὶ νωθρότης ἄπρακτος, καὶ θερμότης ἀπαίδευτος· ἡ μὲν οὐκ ἐγγίζουσα τῷ καλῷ, ἡ δὲ ὑπερπίπτουσα, καὶ τοῦ δεξιοῦ ποιουμένη τι δεξιώτερον. Ὅπερ καὶ ὁ θεῖος Σολομὼν καλῶς (35) ἐπιστάμενος, *Μὴ ἐκκλίνῃς*, φησὶν, *εἰς τὰ δεξιὰ*, *μηδ' εἰς τὰ ἀριστερά*· μηδὲ διὰ τῶν ἐναντίων εἰς κακὸν ἴσον ἐμπέσῃς (36), τὴν ἁμαρτίαν. Καίτοιγε τὸ φύσει δεξιὸν ἐπαινῶν, *Ὁδοὺς γὰρ*, φησὶ, *τὰς ἐκ δεξιῶν οἶδεν ὁ Θεός*·

[23] I Cor. III, 4. [24] Matth. XIII, 25.

(30) *Ποτιστήν*. Reg. bm, Or. 1, aliique nonnulli addunt, ἢ τὸν δεῖνα, « aut alium quemdam. »

(31) *Καινόν*. Sic plures optimæ notæ codd. et ed. Regius tamen bm et Or. 1 habent, κοινόν, « commune; » sed ad marg. scribitur καινόν, « novum. » Hanc ultimam lectionem præfert Combefisius, utpote ab Isaia LXII, 2, expressam. Ea ratione ab Elia probata fuerat, ut a Billio adnotatur. Ipse tamen Billius, κοινόν, prætulit, et vertit: « communi Christi nomine. »

(32) *Ἄκτιστον, καὶ τὸ κτίσμα, καὶ τὸ ὁμότιμον, καὶ τὸ ἐνέργημα*. Sic Reg. bm et Or. 1. In ed., ἄκτιστον, καὶ τὸ ὁμότιμον, καὶ τὸ κτίσμα, καὶ τὸ ἐνέργημα.

(33) *Ἀποπέμπεσθαι*. Bas. et Comb., ἀποτίθεσθαι.

(34) *Ὕπνῳ*. Coisl. 1 et Comb., ὕπνου.

(35) *Καλῶς*. Deest in Or. 1.

(36) *Ἐμπέσῃς*. Duo Regg., πέσῃς.

διεστραμμέναι δέ εἰσιν αἱ ἐξ ἀριστερῶν. Πῶς οὖν ἐπαινεῖ τὸ δεξιὸν, καὶ ἀπάγει πάλιν τοῦ δεξιοῦ (37); Τούτου δηλαδὴ τοῦ φαινομένου δεξιοῦ, καὶ οὐκ ὄντος. Πρὸς δ βλέπων ἑτέρωθι, *Μὴ γίνου δίκαιος πολὺ*, φησὶ, *μηδὲ σοφίζου περισσά*. Τὸ γὰρ αὐτὸ καὶ περὶ δικαιοσύνην, καὶ περὶ σοφίαν πάθος, θερμότης περὶ πρᾶξιν καὶ λόγον, ἔξω τοῦ καλοῦ καὶ τῆς ἀρετῆς δι' ὑπερβολὴν (38) πίπτουσα. Ἡ καὶ τὸ ἐνδέον καὶ τὸ ὑπερβάλλον ὁμοίως λυμαίνεται, ὥσπερ καὶ τῷ κανόνι πρόσθεσις ἢ ὑφαίρεσις (39).

A inquit[25], *ad dexteram, neque ad sinistram :* nec per contraria in æquale malum, hoc est, in peccatum, incidas. Quanquam alioqui, quod natura dextrum est, his verbis laudat : *Vias enim, quæ a dextris sunt, novit Deus : perversæ autem sunt, quæ a sinistris sunt*[26]. Qui fit igitur, ut qui dextrum laudat, idem rursum a dextro nos abducat? Intelligit profecto quod dextri speciem habet, cum revera tale non sit. Quod etiam spectans alio loco inquit : *Ne magnopere justus sis, nec supra modum sapiens*[27]. Par etenim justitiæ atque sapientiæ detrimentum affert acris, tam in **584** actione, quam in sermone, animi impetus, a bono nempe et a virtute propter excessum excidens. Hanc enim defectus et excessus peræque labefactant, non secus ac regulam additio aliqua aut subtractio.

Ζ'. Μηδεὶς οὖν ἔστω πλέον ἢ καλῶς ἔχει σοφὸς, μηδὲ τοῦ νόμου νομιμώτερος, μηδὲ λαμπρότερος τοῦ φωτὸς (40), μηδὲ τοῦ κανόνος εὐθύτερος, μηδὲ τῆς ἐντολῆς ὑψηλότερος. Ἔσται δὲ τοῦτο πῶς; Ἐὰν εἰδῶμεν κόσμον (41), καὶ ἐπαινῶμεν φύσεως νόμον, καὶ ἑπώμεθα λόγῳ, καὶ μὴ ἀτιμάζωμεν εὐταξίαν. Ἐμβλέψατε εἰς τὸν οὐρανὸν ἄνω, καὶ εἰς τὴν γῆν κάτω, καὶ ἐννοήσατε, πῶς συνέστη τὸ πᾶν, καὶ ὅθεν, καὶ τί πρὸ τῆς διακοσμήσεως ἦν, καὶ τί νῦν ὄνομα τῷ παντί. Τάξει τὰ πάντα διεκοσμήθη, καὶ, ὁ διακοσμήσας Λόγος· καίτοιγε ὡς ἓν τὰ πάντα καὶ ἀθρόως ὑποστῆναι δυνατὸν ἦν (ὁ γὰρ (42) τοῖς οὐκ οὖσι τὸ εἶναι δοὺς, καὶ τοῖς γενομένοις τὰς ἰδέας καὶ τὰ σχήματα, οὐδ' ὁμοῦ τὸ πᾶν ἀναδεῖξαι καὶ διακοσμῆσαι ἀσθενὴς ἦν)· ἀλλὰ διὰ τοῦτο πρῶτόν τι καὶ δεύτερον ἀριθμεῖται, καὶ τρίτον, καὶ τὰ ἑξῆς, ἵνα τάξις εὐθὺς συνεισέλθῃ τοῖς κτίσμασι.

B VII. Nemo igitur sapientior sit, quam conveniat, nec lege exactior, nec luce splendidior, nec norma rectior, nec præcepto sublimior. Id vero qua tandem ratione consequemur? Nempe si ordinem noverimus, et naturæ leges comprobemus, et rationem ducem sequamur, et disciplinam non aspernemur. Respicite in cœlum sursum, et in terram deorsum[28], atque animadvertite, quo pacto tota hæc rerum moles constructa et coagmentata fuerit, unde originem habuerit, quid ante earum concinnitatem erat, et quo jam nomine universum appelletur. Ordine omnia concinnata et distincta sunt, et quidem concinnatore Verbo : non quod, ut una res, ita omnes simul produci non possent (nam qui ea quæ non erant, in ortum produxit, productisque formam et speciem C dedit, idem profecto nequaquam infirmitate prohibebatur, quominus omnia simul in lucem ederet et exornaret); verum ob hanc causam, aliud primum, aliud secundum, aliud tertium numeratur, ac sic deinceps, ut simul cum rebus creatis ordo statim ingrediatur.

Η'. Τάξις οὖν τὸ πᾶν συνεστήσατο. Τάξις συνέχει (43) καὶ τὰ ἐπουράνια καὶ τὰ ἐπίγεια· τάξις ἐν νοητοῖς· τάξις ἐν αἰσθητοῖς· τάξις ἐν ἀγγέλοις· τάξις ἐν ἄστροις, καὶ (44) κινήσει, καὶ μεγέθει, καὶ σχέσει τῇ πρὸς ἄλληλα, καὶ λαμπρότητι. *Ἄλλη δόξα ἡλίου, καὶ ἄλλη δόξα σελήνης, καὶ ἄλλη δόξα ἀστέρων· ἀστὴρ γὰρ ἀστέρος διαφέρει ἐν δόξῃ*· τάξις ἐν ὥραις καὶ καιροῖς, ἐν κόσμῳ (45) προϊοῦσί τε καὶ ὑπαπιοῦσι, καὶ διὰ τῆς μεσότητος τὸ αὐστηρὸν τιθασσεύουσι· τάξις ἐν ἡμέρας καὶ νυκτὸς μέτροις, καὶ διαστήμασι (46). Τάξις ἐν στοιχείοις, ἐξ ὧν τὰ σώματα· τάξις περιήγαγεν οὐρανὸν, ἥπλωσεν ἀέρα, γῆν ὑπέθηκεν, ἢ καὶ ὑπερέθηκε, φύσιν ὑγρὰν ἔχεε καὶ συνήγαγεν, ἀνέμους ἀφῆκε, καὶ οὐκ ἐπαφῆκεν (47), ὕδωρ ἔδησεν ἐν νεφέλαις, καὶ οὐ κατέσχεν, ἀλλ' ἔσπειρεν (48) ἐπὶ πρόσωπον πάσης τῆς

VIII. Ordo itaque omnia constituit, et colligavit; ordo cœlestia et terrestria continet; ordo in iis, quæ ratione et animo intelliguntur, locum habet; ordo in iis, quæ sensibus percipiuntur; ordo in angelis; ordo in astrorum motu, magnitudine, mutua relatione, et splendore : *Alia enim solis claritas est, alia lunæ, alia stellarum. Stella enim a stella claritate differt*[29]; ordo in anni partibus et temporibus, apte et distincte, tum progredientibus, et recedentibus, ac per mediocritatem asperitatem mitigantibus; ordo in diei et noctis mensuris et intervallis; ordo in elementis, ex quibus corpora constant. Ordo cœlum in orbem duxit, aerem exporrexit, terram supposuit, aut etiam superposuit, humidam naturam fudit, D atque in unum locum contraxit, ventos emisit, sed non ad hominum perniciem immisit, aquas in

[25] Prov. IV, 27. [26] ibid. [27] Eccle. VII, 17. [28] Isa. LI, 6. [29] I Cor. XV, 41.

(37) Ἀπάγει πάλιν τοῦ δεξιοῦ; Sic Reg. b, et Or. 1. In ed., ἀπάγει τοῦ δεξιοῦ πάλιν.
(38) Δι' ὑπερβολήν. Regg. b et bm δι' ὑπερβολῆς. Mox, ἣ καί. Bas., ἢ καί.
(39) Ὑφαίρεσις. Reg. b., ἀφαίρεσις.
(40) Μηδὲ λαμπρότερος τοῦ φωτός. Hæc desunt in duobus Regg.
(41) Ἐὰν εἰδῶμεν κόσμον. Bill. : « Si modesti et compositi esse curemus. »
(42) Ὁ γάρ. Sic Or. 1. In ed., ὃ γάρ.
(43) Τάξις συνέχει, etc. Reg. b et Or. 1, τάξις οὖν ἔχει καὶ τὰ οὐράνια.
(44) Καί. Deest in Or. 1.
(45) Ἐν κόσμῳ. In nonnullis, εὐκοσμίως.
(46) Καὶ διαστήμασι. Sic duo Regg., Or. 1, Comb. In edit. deest καί.
(47) Καὶ οὐκ ἐπαφῆκεν. Hæc desunt in Or. 1. Sic hunc locum exponit Elias : « Laxavit ventos, ut spirent utiliter, sed non ita laxavit, ut eis facta sit copia supra modum flandi. »
(48) Ἔσπειρεν. Schol. : Πηγὰς καὶ ποταμοὺς, ἴσως καὶ τῶν θαλασσῶν τὰ πελάγη· « Sparsit fontes et fluvios, fortassis et marium æquora. »

nubibus astrinxit, sed non retinuit, verum in totius terræ faciem apte et æquabiliter sparsit : idque non ad exiguum tempus, vel **585** unum aliquem temporis articulum, verum ab ipsis mundi primordiis in finem usque, eamdem viam recto cursu tenentia, et circumeuntia, fixaque simul et motu agitata ; illud vi Verbi et facultate, hoc rei fluxæ et caducæ natura : *Statuit ea in æternum, et in sæculum sæculi : præceptum posuit, et non præteribit* [30]. Illud fixionis et soliditatis : at si quid ortum habuit, aut habiturum est, hoc fluxionis. Atque vigente quidem ordine, stat mundus, id est, universum hoc ; ac ejus pulchritudo, certa et stabilis est. Contra autem, perturbatio et confusio, in aere procellas, in terra motus, in mari exundationes, in urbibus domibusque bella et dissidia, in corporibus morbos, in animis peccata, procreavit. Hæc enim omnia, non pacis nec ordinis, sed confusionis et perturbationis nomina sunt. Quin celebrem quoque illam, atque omnium sermone tritam, et in exspectatione positam labem et corruptionem, haud quidquam, fratres, aliud esse existimemus, quam profusam quamdam et redundantem omnium rerum confusionem ; ut enim ordo constringit, ita perturbatio solvit ac dissipat ; cum videlicet, totam hanc rerum machinam dissolvere, aut in præstantiorem statum commutare, ei visum fuerit, a quo conjuncta, et tanquam vinculis quibusdam constricta est.

A γῆς, εὐτάκτως καὶ ὁμοτίμως· καὶ ταῦτα οὐκ ἐπ' ὀλίγον, οὐδὲ εἰς ἕνα καιρὸν ἢ χρόνον, ἀλλ' ἀπ' ἀρχῆς εἰς τέλος, τὴν αὐτὴν ὁδὸν εὐθυνόμενα καὶ περιπορευόμενα, πεπηγότα τε καὶ κινούμενα, τὸ μὲν τῷ Λόγῳ, τὸ δὲ (49) τῇ ῥεύσει· *Ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται.* Τοῦτο τῆς πήξεως· καὶ εἴ τι γέγονεν, ἢ γεννήσεται (50), τοῦτο τοῦ ῥεύματος (51). Καὶ τάξεως μὲν ἐπικρατούσης, κόσμος, τὸ Πᾶν, καὶ τὸ κάλλος ἀκίνητον. Ἀταξία δὲ καὶ ἀκοσμία, ἐν μὲν ἀέρι τοὺς σκηπτοὺς, ἐν δὲ γῇ τοὺς σεισμοὺς, ἐν δὲ θαλάσσῃ τὰς ἐπικλύσεις (52), ἐν δὲ πόλεσι καὶ οἴκοις πολέμους, ἐν δὲ τοῖς σώμασι τὰς ἀῤῥωστίας, ἐν δὲ ταῖς ψυχαῖς τὰς ἁμαρτίας, ἐκαινοτόμησεν (53). Ταῦτα πάντα οὐ τάξεως, οὐδὲ εἰρήνης, B ἀλλὰ ταραχῆς καὶ ἀταξίας ὀνόματα. Καὶ τὴν θρυλλουμένην δὲ (54) φθορὰν καὶ (55) προσδοκωμένην, μὴ ἄλλο τι, ἀδελφοί, ἢ πλεονασμὸν ἀταξίας εἶναι νομίζωμεν. Συνδεῖ μὲν γὰρ τάξις, λύει δὲ ἀταξία, ὅταν λῦσαι τὸ πᾶν ἢ μεταποιῆσαι παραστῇ τῷ συνδήσαντι.

IX. Ordo cunctis animantibus ortum, et alimentum, ac sedes unicuique aptas et congruentes indixit, et quasi lata lege præscripsit. Ac nec delphinum quisquam arva sulcantem vidit, nec bovem per aquas lubricum iter carpentem ; quemadmodum nec solem noctu decrescentem vel augescentem, nec rursus lunam mortalibus interdiu prælucentem. *Montes excelsi cervis : petra refugium herinaciis. Fecit lunam in tempora, sol cognovit occasum suum* [31]. Simul atque nox terram caligine obduxit, statim homo somno contrahitur, feræ autem libere vagantur, ac pabulum a Creatore concessum quærunt ; simul atque dies illuxit, statim bestiæ congregantur, atque homo ad opus properat. Ita ordine, et juxta naturæ legem atque rationem, nobis invicem cedimus. Addam, quod maximum est, maximeque proprium. Ordo ex mistura, partim ratione prædita, partim rationis experte, hominem, ratione utens animal, construxit ; atque arcano modo, et qui nullis verbis explicari queat, terram cum mente, mentem cum spiritu vinxit. Quin, ut mirabilius **586** aliquid in figmento suo atque opere patraret, idem ipsum et conserva-

Θ'. Τάξις καὶ τοῖς ζώοις ἅπασι γένεσιν, καὶ τροφὴν, καὶ τὰς καταλλήλους ἑκάστῳ (55*) χώρας ἐνομοθέτησε. Καὶ οὔτε δελφῖνά τις εἶδεν αὔλακα τέμνοντα, οὔτε βοῦν δι' ὕδατος ὀλισθαίνοντα· ὥσπερ C οὐδ' ἥλιον ἐν νυκτὶ μειούμενον, ἢ πληρούμενον, οὔτε σελήνην ἐν ἡμέρᾳ πυρσεύουσαν· *ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις, πέτρα καταφυγὴ τοῖς λαγωοῖς* (56). *Ἐποίησε σελήνην εἰς καιρούς· ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ·* νὺξ, καὶ ἄνθρωπος ὕπνῳ συστέλλεται, καὶ τὰ θηρία παῤῥησιάζεται, καὶ ζητεῖ τροφὴν ἕκαστον τὴν διδομένην παρὰ τοῦ κτίσαντος· ἡμέρα, καὶ τὰ θηρία συνάγεται, καὶ ἄνθρωπος ἐπὶ τὴν ἐργασίαν ἐπείγεται· καὶ ἀλλήλοις ὑποχωροῦμεν ἐν τάξει (56*), νόμῳ καὶ λόγῳ φύσεως. Προσθήσω τὸ μέγιστόν τε (57) καὶ οἰκειότατον. Τάξις ἐκ λογικοῦ τε καὶ ἀλόγου κράματος, τὸν ἄνθρωπον (57*), ζῶον λογικὸν, συνεστήσατο· καὶ συνέδησε μυστικῶς τε (58) καὶ ἀῤῥήτως τὸν χοῦν τῷ νοΐ, καὶ τὸν νοῦν τῷ πνεύματι. Καὶ ἵνα θαυματουργήσῃ τι μεῖζον ἐν τῷ ἑαυτοῦ πλά- D σματι, τὸ αὐτὸ καὶ διεσώσατο, καὶ διέλυσε. Τὸ μὲν γὰρ ἐπεισήγαγε (58*), τὸ δὲ ὑπεξήγαγεν (59), ὥσπερ ἐν ῥεύματι, καὶ τῷ θνητῷ τὴν ἀθανασίαν ἐπραγματεύσατο διὰ λύσεως (59*). Αὕτη καὶ τῶν ἀλόγων ἡμᾶς

[30] Psal. CXLVIII, 6. [31] Psal. CIII, 18, 19.

(49) *Τὸ μὲν τῷ Λόγῳ, τὸ δέ.* Sic Reg. b, Coisl. 2, et Or. 1. In ed., τῷ μὲν τῷ Λόγῳ, τῷ δέ, etc. Schol. : Τῷ Λόγῳ τῆς οὐσίας· « Ratione essentiæ, fixa ; ratione fluxionis, seu ortus et interitus, mota. »

(50) *Ἢ γεννήσεται.* Or. 1, καὶ γενήσεται.

(51) *Ῥεύματος.* Coisl. 1, ῥήματος.

(52) *Ἐπικλύσεις.* Bill. : « naufragia. »

(53) *Ἐκαινοτόμησε.* « Quasi res novas moliendo introduxit. »

(54) *Δέ.* Deest in duobus Regg., et Or. 1.

(55) *Καί.* Duo Regg., ἤ.

(55*) *Ἑκάστῳ.* In quibusdam, ἑκάστοις.

(56) *Λαγωοῖς.* « Leporibus. »

(56*) *Ἐν τάξει.* Comb. rejicit ἐν, et vertit : « Ordini, naturæ legi et rationi cedimus. »

(57) *Μέγιστόν τε.* Deest τε in Or. 1.

(57*) *Ἐκ λογικοῦ τε καὶ ἀλόγου κράματος, τὸν ἄνθρωπον.* Hæc desunt in duobus Regg. et Or. 1.

(58) *Μυστικῶς τε.* Deest τε in duobus Regg., et Or. 1.

(58*) *Ἐπεισήγαγε.* Schol. : Τῇ γεννήσει· « Generatione, ortu. »

(59) *Ὑπεξήγαγεν.* Schol. : Τῇ μεταστάσει· « Migratione, » seu, « morte. »

(59*) *Διὰ λύσεως.* Schol. : Ὡς ὁδοῦ οὔσης τῆς λύσεως ἐπὶ τὴν ἀνάστασιν, καὶ τὴν ἐκεῖθεν ἀθανασίαν·

διέστησε, καὶ πόλεις ᾤκισε, καὶ νόμους ἔθετο, καὶ A ἀρετὴν ἐτίμησε, καὶ κακίαν ἐκόλασε, καὶ τέχνας εὕρετο, καὶ συζυγίαν (60) ἡρμόσατο, καὶ τῷ περὶ τὰ γεννώμενα φίλτρῳ τὸν βίον ἡμέρωσε, καὶ μεῖζόν τι τοῦ κάτω πόθου καὶ τοῦ (60*) σαρκικοῦ, τὸν περὶ Θεὸν ἐνιδρύσατο.

vit, et dissolvit. Alterum enim superinduxit, alterum subduxit, non secus atque in aquarum fluxu, corporique mortali immortalitatem per dissolutionem comparavit. Ordo nos a mutis animantibus distinxit, civitates condidit, leges instituit, virtutem honoribus, vitium pœna affecit, artes excogitavit, matrimonia copulavit, ac, per acrem erga susceptos liberos amorem, feram et agrestem vitam ad humanitatem excoluit, et, quod terreno hoc et carnali amore majus est, divinum amorem animis nostris infixit.

Ι'. Καὶ τί δεῖ καθ' ἕκαστον λέγειν; Τάξις, τῶν ὄντων ἐστὶ μήτηρ, καὶ ἀσφάλεια· καὶ τὸ τοῦ Λόγου, μόνη καλῶς ἂν εἴποι, τοῦ πάντα δημιουργήσαντος, εἴ γε (61) λάβοι φωνήν· Ὅτε τὸ πᾶν οὐσιοῦτο τῷ Θεῷ καὶ ὑφίστατο, ἐγὼ ἤμην παρ' αὐτῷ ἁρμόζουσα· ἡνίκα ἡτοίμαζε τὸν ἑαυτοῦ θρόνον ἐπ' ἀνέμων, καὶ B ἰσχυρὰ ἐποίει τὰ ἄνω νέφη· ἡνίκα ἐθεμελίου τὴν γῆν, καὶ ὡς ἀσφαλεῖς ἐτίθει πηγὰς τὰς ὑπ' οὐρανὸν (61*), καὶ τῷ Πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσαν δύναμιν ἐχαρίσατο. Ἀλλ' (οὗ χάριν ταῦτα πάντα διῆλθον, καὶ πρὸς ὃ πάλαι ὁ λόγος ἠπείγετο), τάξις κἂν ταῖς Ἐκκλησίαις, τὸ μὲν εἶναί τι ποίμνιον, τὸ δὲ ποιμένας διώρισε· καὶ τὸ μὲν ἄρχειν, τὸ δὲ ἄρχεσθαι· καὶ τὸ μὲν οἷον εἶναι κεφαλὴν, τὸ δὲ πόδας, τὸ δὲ χεῖρας, τὸ δὲ ὀφθαλμὸν, τὸ δὲ ἄλλο τι τῶν μελῶν τοῦ σώματος, πρὸς τὴν τοῦ παντὸς εὐαρμοστίαν καὶ τὸ συμφέρον, ἢ προεχομένων, ἢ προεχόντων· καὶ, ὥσπερ ἐν τοῖς σώμασιν, οὔτε ἀπέῤῥηκται ἀλλήλων τὰ μέλη, ἀλλ' ἓν σῶμα τὸ πᾶν ἐστιν ἐκ διαφόρων συγκείμενον· οὔτε ταυτὸ (62) πάντων ἐνέργημα, εἰ καὶ ταυτὸ τὸ χρῄζειν (62*) ἀλλήλων εἰς ἀνάγκην C εὐνοίας τε καὶ συννεύσεως (63)· καὶ οὔτε ὀφθαλμὸς βαδίζει, ἀλλ' ὁδηγεῖ· οὔτε πούς προβλέπει, ἀλλὰ μεταβαίνει (63*), καὶ μετατίθησιν· οὔτε γλῶσσα δέχεται φωνὰς, ἀκοῆς γάρ· οὔτε ἀκοὴ φθέγγεται, γλώσσης γάρ· καὶ ῥὶς μὲν, ὀδμῶν (64) αἰσθητήριον· *Λάρυγξ δὲ σῖτα γεύεται*, φησὶν ὁ Ἰώβ· χεὶρ δὲ τοῦ διδόναι καὶ τοῦ λαμβάνειν ὄργανον· νοῦς δὲ τοῖς πᾶσιν ἡγεμὼν, παρ' οὗ τὸ αἰσθάνεσθαι, καὶ εἰς ὃν ἡ αἴσθησις. Οὕτω καὶ παρ' ἡμῖν, τῷ κοινῷ Χριστοῦ σώματι.

XXVI. Nihil fide nostra, fratres, iniquius fingi posset, si in eruditos tantum dicendique facultate ac logicis demonstrationibus præstantiores caderet; popularis autem multitudo, ut auro et argento, aliisque omnibus rebus, quæ hic in pretio habentur, atque a plerisque avidissime expetuntur, sic hac quoque frustraretur; ac Deus id, quod altum et excelsum est, atque ad paucos pertingit, gratum acceptumque haberet; contra, quod propinquius est, nec vulgi captum superat, aspernaretur et rejiceret. Nam ne in moderatiores quidem homines hoc cadit, ut non quales ipsis haberi honores possunt, exigant, sed excellentibus tantum eximiisque delectentur, nedum in Deum; qui, cum multis nominibus admirabilis **597** nobis et suspiciendus occurrat, nihil tamen tam proprium habet, quam omnes beneficiis afficere. Usitata ne spernas, novitatem ne captes, ut nominis splendorem tibi apud vulgus concilies. Erudiat te consilio Salomon: *Melior est*, inquit, *exigua pars cum securitate, quam magna cum infirmitate et incertitudine* [93]. Et, *Melior est pauper ambulans in simplicitate sua* [94] (nam insignis quoque et erudita est hæc parœmia), et qui sermonis ac scientiæ inopia laborat, simplicibusque verbis innititur, atque in illis, tanquam in parva et tenui rate, salutem assequitur, quam fatuus labiisque perversus, qui disputationibus et argumentis inepte atque imperite confidit, ac Christi crucem, rem omni sermone sublimiorem, per disserendi facultatem evacuat, ubi probationis et argumentorum infirmitas veritatem imminuit et labefactat.

ΚϚʹ. Οὐδὲν ἂν ἦν τῆς πίστεως ἡμῶν, ἀδελφοὶ, ἀδικώτερον, εἴ γε εἰς τοὺς σοφοὺς ἔπιπτε μόνον (43), καὶ τοὺς περιττοὺς ἐν λόγῳ, καὶ ταῖς λογικαῖς ἀπο- B δείξεσι· τοὺς πολλοὺς δὲ ἔδει, καθάπερ χρυσοῦ, καὶ ἀργύρου, καὶ τῶν ἄλλων, ὁπόσα τίμια κάτω, καὶ περισπούδαστα τοῖς πολλοῖς, οὕτω δὴ (44) καὶ ταύτης ἀποτυγχάνειν· καὶ τὸ μὲν ὑψηλόν τε καὶ εἰς ὀλίγους φθάνον, φίλον ἦν Θεῷ καὶ οἰκεῖον· τὸ δὲ ἐγγυτέρω, καὶ τοῖς πολλοῖς ἐφικτὸν, ἀπόπτυστον καὶ ἀπόβλητον. Οὐδὲ γὰρ τῶν ἀνθρώπων οἱ μετριώτεροι τοῦτο πάθοιεν ἂν, ὥστε μὴ τὰς κατὰ δύναμιν ἀπαιτεῖν τιμὰς, ἀλλὰ χαίρειν μόνον ταῖς προεχούσαις, μήτιγε δὴ Θεός· οὗ πολλῶν ὄντων ἐφ' οἷς θαυμάζεται, οὐδὲν οὕτως, ὡς τὸ πάντας εὐεργετεῖν, ἰδιώτατον. Μὴ ἀτίμαζε τὸ εἰωθὸς, μὴ θήρευε τὸ καινὸν (45), ἵν' εὐδοκιμήσῃς (46) ἐν τοῖς πλείοσι. *Κρείσσων* (47) *μικρὰ μερὶς μετὰ ἀσφαλείας, ἢ μεγάλη μετὰ σαθρότητος*, παιδευέτω σε τῇ συμβουλῇ Σολομών· καὶ, C *Κρείσσων ἄπορος πορευόμενος ἐν ἀπλότητι* (48) *αὐτοῦ* (μία καὶ αὕτη τῶν παροιμιῶν σοφῶς ἔχουσα), ὁ πένης ἐν λόγῳ καὶ γνώσει, καὶ τοῖς ἁπλοῖς ῥήμασιν ἐπερειδόμενος, καὶ ἐπὶ τούτων ὥσπερ ἐπὶ λεπτῆς σχεδίας διασωζόμενος, ὑπὲρ στρεβλόχειλον ἄφρονα, τὸν ἀποδείξει λόγου θαῤῥοῦντα σὺν ἀμαθίᾳ, καὶ κενοῦντα (49) τὸν σταυρὸν τοῦ Χριστοῦ, πρᾶγμά τι λόγου κρεῖττον, διὰ τῆς ἐν λόγοις δυνάμεως, ἔνθα τὸ ἀσθενὲς τῆς ἀποδείξεως, τῆς ἀληθείας ἐστὶν ἐλάττωσις.

XXVII. Quid in cœlum provolas, cum pedes sis? Quid turrim exstruis, cum iis rebus careas, quæ ad eam perficiendam requiruntur [95]? Quid ipse quoque manu aquam metiris, et cœlum palmo [96], terramque omnem pugillo, elementa magna, et ejusmodi, ut ea Creator solus dimetiri possit? Primum teipsum cognosce: quæ in manibus sunt, intellectu

D ΚΖʹ. Τί πρὸς οὐρανὸν ἀνίπτασαι, πεζὸς ὤν; Τί πύργον οἰκοδομεῖς, τὰ πρὸς ἀπαρτισμὸν οὐκ ἔχων; Τί καὶ σὺ μετρεῖς τῇ χειρὶ τὸ ὕδωρ, καὶ τὸν οὐρανὸν σπιθαμῇ, καὶ πᾶσαν τὴν γῆν δρακὶ, στοιχεῖα μεγάλα, καὶ μόνῳ μετρητὰ τῷ ποιήσαντι; Γνῶθι σαυτὸν πρῶτον· τὰ ἐν χερσὶ κατανόησον· τίς εἶ, καὶ πῶς ἐπλάσθης, καὶ πῶς συνέστης, ἵν' εἰκὼν ἦς (50)

[93] Prov. XVI, 8. [94] Prov. XIX, 1. [95] Luc. XIV, 28. [96] Isa. XL, 12.

(39) *Ταύτης*. Deest in duobus Regg., et Or. 1.

(40) *Ἰησοῦν Χριστόν*. Hæc desunt in duobus Regg., et Or. 1.

(41) *Παντελής*. Or. 1, παντελῶς.

(42) *Σὺ μεῖζόν τι σωτηρίας ζητεῖς*. Sic plerique codd. In ed., σὺ τί μεῖζον σωτηρίας ζητεῖς;

(43) *Μόνον*. Coisl. 1, μόνους.

(44) *Δή*. Deest in Or. 1.

(45) *Τὸ καινόν*. Coisl. 1, τὸ κενόν.

(46) *Εὐδοκιμήσῃς*. Orat. 1, et Combef., εὐδοκιμῇς.

(47) *Κρείσσων*. Sic duo Regg. In ed., κρεῖσσον.

(48) *Ἀπλότητι*. In quibusdam, ταπεινότητι, « humilitate. »

(49) *Κενοῦντα*. Schol.: Κένωσις τοῦ σταυροῦ, τὸ δυνατὸν τοῦ λόγου· « Crucis evacuatio, verbi potentia. » Alludit Gregorius ad hæc Apost. verba I Cor. I, 17, « Non in Sapientia verbi, ut non evacuetur crux Christi. »

(50) *Ἦς*. Sic cod. In ed., ἦ. Mox, κινῆσάν. Or. 1, νικῆσάν.

Θεοῦ, καὶ τῷ χείρονι συνδεθῇς, καὶ τί τὸ κινῆσάν σε, τίς ἡ περὶ σὲ σοφία καὶ τί τῆς φύσεως τὸ μυστήριον· πῶς μετρῇ τόπῳ, καὶ νοῦς οὐχ ὁρίζεται (51), ἀλλ' ἐν ταυτῷ μένων πάντα ἐπέρχεται· πῶς ὄψις ὀλίγη, καὶ ἐπιπλεῖστον φθάνουσα, καὶ πότερον παραδοχή τίς ἐστι τοῦ ὀφθέντος, ἢ πρὸς ἐκεῖνο διάβασις· πῶς τὸ αὐτὸ καὶ κινεῖ (52), καὶ κινεῖται, διὰ βουλήσεως κυβερνώμενον· τίς δαὶ παῦλα κινήσεως· τίς ὁ τῶν αἰσθήσεων μερισμὸς, καὶ πῶς διὰ τούτων ὁ νοῦς ὁμιλεῖ (53) τοῖς ἔξω, καὶ τὰ ἔξωθεν παραδέχεται· πῶς ἀναλαμβάνει τὰ εἴδη· καὶ τίς ἡ τήρησις τοῦ ἀναληφθέντος, ἢ μνήμη· καὶ τίς ἡ τοῦ ἀπελθόντος ἀνάληψις, ἢ ἀνάμνησις· πῶς λόγος νοῦ γέννημα, καὶ γεννᾷ λόγον ἐν ἄλλῳ νοΐ, καὶ πῶς λόγῳ νόημα διαδίδοται (54)· πῶς τρέφεται (55) διὰ ψυχῆς σῶμα, καὶ πῶς ψυχὴ διὰ σώματος κοινωνεῖ πάθους· πῶς πήγνυσι φόβος, καὶ λύει θάρσος (56), καὶ συστέλλει λύπη, καὶ διαχεῖ ἡδονὴ, καὶ τήκει φθόνος, καὶ μετεωρίζει τῦφος, καὶ κουφίζει ἐλπίς· πῶς ἐκμαίνει θυμὸς, καὶ αἰδὼς ἐρυθραίνει δι' αἵματος, ὁ μὲν ζέσαντος, ἡ δὲ ἀναχωρήσαντος· καὶ πῶς οἱ χαρακτῆρες τῶν παθῶν ἐν τοῖς σώμασι· τίς ἡ τοῦ λογισμοῦ προεδρία, καὶ πῶς πᾶσι τούτοις ἐπιστατεῖ καὶ ἡμεροῖ τὰ τῶν παθῶν κινήματα· πῶς αἵματι κρατεῖται καὶ πνοῇ τὸ ἀσώματον· καὶ πῶς ἡ τούτων ἔκλειψις, ψυχῆς ἐστιν ἀναχώρησις. Ταῦτα, ἢ τούτων τι κατανόησον, ὦ ἄνθρωπε· οὔπω γὰρ λέγω φύσιν, ἢ κίνησιν οὐρανοῦ, καὶ τάξιν ἀστέρων, καὶ μίξιν στοιχείων, καὶ ζώων διαφορὰς, καὶ δυνάμεων οὐρανίων ὑποβάσεις (57) καὶ ὑπερθέσεις, καὶ πάντα εἰς ὅσα ὁ δημιουργικὸς (58) λόγος καταμερίζεται, καὶ λόγους προνοίας καὶ διοικήσεως· καὶ τότε οὔπω λέγω, Θάῤῥησον· ἀλλ', Ἔτι φοβήθητι προσβῆναι τοῖς ὑψηλοτέροις, καὶ τοῖς μᾶλλον ὑπὲρ τὴν σὴν δύναμιν.

assequere: quis sis, et quomodo effictus, ita ut simul et imago Dei sis, et deteriori astringaris; quid illud sit, quod tibi motum attulit, quæ in te sapientia eluceat, quod naturæ arcanum: quomodo loco circumscriberis, ac mens nullo limite includitur, sed in eodem loco manens, omnia lustrat ac pervagatur. Quomodo, cum tantillus sit oculus, tam longe pertingit; utrum quod rem visam admittat, an potius quod ad eam transeat: quomodo idem et movet et movetur, ac per voluntatem gubernatur: quæ motus quies, quæ sensuum partitio, quomodo mens eorum opera cum externis versatur, atque externa excipit: quomodo formas recipit · quæ assumptæ rei conservatio, vel memoria: quæ elapsæ recuperatio, vel reminiscentia: quomodo sermo mentis fetus est, atque in alia mente sermonem procreat, et quomodo cogitatio sermone distribuitur: quomodo corpus per animam alitur, et quomodo anima per corpus affectuum particeps fit: quomodo eam timor constringit, præfidentia solvit, mœror contrahit, lætitia diffundit, livor tabe afficit, 598 superbia effert, spes erigit: quomodo iracundia eam in furorem agit, et pudor rubore suffundit; hæc quidem, ebulliente sanguine, hic vero, recedente: quomodo perturbationum signa corporibus imprimuntur; quomodo ratio præsidet, quomodo hæc omnia regit et moderatur, affectuumque motus lenit ac sedat; quomodo a sanguine et spiratione, id, quod corpore vacat, tenetur; quomodo horum defectio, animæ discessio est. Hæc, aut horum aliquid, o homo, cognitione comprehende (nondum enim cœli naturam aut motum, nec siderum ordinem, nec elementorum permistionem, nec animantium discrimina, nec cœlestium virtutum inferiores gradus et sublimiores, atque omnia, in quæ artifex ratio distribuitur, nec denique providentiæ gubernationisque rationes commemoro): ac tum nondum dicam, Aude; verum, Adhuc time ad ea, quæ sublimiora sunt, viresque tuas magis superant, accedere.

ΚΗ'. Μάλιστα μὲν γὰρ (59), γυμνασία τῆς περὶ τὰ μείζω φιλονεικίας, ἅπας λόγος δύσερις καὶ φιλότιμος (60)· καὶ δεῖ, καθάπερ τοὺς παῖδας πλάττομεν ἐν τοῖς πρώτοις ἤθεσιν, ἵνα τὴν ὕστερον μοχθηρίαν φύγωσιν· οὕτω δὴ καὶ (61) τῷ λόγῳ, μηδὲ περὶ τὰ μικρὰ φαίνεσθαι θρασὺν καὶ ἀπαίδευτον, ἵνα μὴ περὶ τὰ μείζω τῇ μελέτῃ καταχρησώμεθα. Ῥᾷον γὰρ ἀπ' ἀρχῆς μὴ ἐνδοῦναι κακίᾳ, καὶ προσιοῦσαν διαφυγεῖν, ἢ προβαίνουσαν ἀνακόψαι καὶ φανῆναι ταύτης ἀνώτερον· ὥσπερ καὶ πέτραν (62) ἀπ' ἀρχῆς ἐρεῖσαι καὶ κατασχεῖν, ἢ φερομένην ἀνώσασθαι (63). Εἰ δὲ ἀπληστότερος εἶ, καὶ κατέχειν τὴν

XXVIII. Ac maxime quidem, ita comparatum est, ut omnis sermo contentiosus et cum ambitione conjunctus, exercitatio quædam sit, qua ad contendendum de rebus gravioris momenti provehamur. Proinde nobis curæ esse debet, ut quemadmodum pueros in primis moribus et prima institutione fingimus, ut insequentis ætatis improbitatem fugiant; ita nos quoque ne in levibus quidem parvique momenti disputationibus, audaciæ atque ineptiæ significationem præbeamus, ne ea tandem diuturna consuetudine in majoribus abutamur. Minoris enim laboris est primum improbitati non cedere, ac eam

(51) *Οὐχ ὁρίζεται.* Sic plerique codd. In ed., οὐ χωρίζεται.

(52) *Καὶ κινεῖ.* Deest καί in Reg. bm.

(53) *Ὁ νοῦς ὁμιλεῖ.* Sic duo Regg., Coisl. 1 et 2, Or. 1, et Comb. In ed. deest, ὁ νοῦς.

(54) *Διαδίδοται.* Duo Regg., δίδοται.

(55) *Τρέφεται.* In nonnullis, στρέφεται, « vertitur, movetur. »

(56) *Θάρσος.* Reg. bm, et Combef., θράσος.

(57) *Ὑποβάσεις.* Sic plerique codd. In ed., καὶ ὑποβάσεις.

(58) *Δημιουργικός.* Reg. b, δημιουργός.

(59) *Γάρ.* Deest in tribus Regg., et Or. 1.

(60) *Φιλότιμος.* Or. 1 ad marg., φιλόνεικος, « contentiosus. »

(61) *Καί.* Reg. b, Gabr., et Comb., κἄν, « quamvis. »

(62) *Πέτραν.* Sic plures Regg. Coisl. 1, et Or. 1. In ed., πέτραις.

(63) *Ἀνώσασθαι.* Coisl. 1, ἀπώσασθαι.

accedentem fugere, quam progressam exscindere, A seque ea superiorem præbere: non secus videlicet ac facilius est petram initio firmare et retinere, quam ruentem sursum retrahere. Sin autem tam immodico et inexplebili disputandi studio flagras, nec morbum sistere ac reprimere potes, hæc meditare, in his esto: ambitionem istam in iis rebus, in quibus periculi nihil subest, effunde.

νόσον ἀδυνατεῖς, ταῦτα μελέτα, ἐν τούτοις ἴσθι· κενούσθω σοι (64) τὸ φιλότιμον ἐν τοῖς ἀκινδύνοις.

XXIX. Quod si hoc repudias, nec linguam freno coercere, animique impetum frangere ac comprimere potes, sed tibi furere atque insanire certum est, ac primis potestatibus minime cedere (nisi tamen iis quoque cognitionis modus est), altiusque **599** omnino assurgere, quam ex utilitate tua sit: at illud saltem tibi impera, ut fratrem non condemnes, nec timiditati impietatis nomen imponas, nec temere ac præcipiti judicio eum condemnes, aut salutem ejus pro desperata habens discedas, qui B animi facilitatem ac morum suavitatem profiteris. Quin potius, hic humilem te præbe, dum licet: hic nullo cum tuo detrimento fratrem tibi antepone, ubi condemnare et contemnere, nihil aliud est, quam a Christo, ac sola spe ejicere, atque exturbare, occultumque triticum, et quidem triticum fortasse te præstantius, una cum zizaniis exscindere[97]. Hanc rationem tene, ut illum quidem corrigas, idque leniter et humane, non ut hostis, nec ut durus et rigidus medicus, nec ut sectionibus tantum et cauteriis adversus morbum grassari scias; teipsum autem, ac tuam infirmitatem agnoscas. Quid enim si lippientibus oculis, aut alio quopiam morbo laborantibus, obscurum solem aspicias? Quid si omnia verti ac sursum deorsumque ferri putes, ipse nau- C sea correptus, aut vino obrutus, ignorantiamque tuam aliis attribuas? Multum diuque ante versandus atque contorquendus est animus, multa ferenda, quam ut alium impietatis damnemus.

ΚΘ'. Οὐ δέχῃ τοῦτο, οὐδὲ ἡ γλῶσσά σου χαλινὸν ἔχει, οὐδὲ κρείττων εἶ τῆς φορᾶς, δεῖ δὲ ἀπονοεῖσθαι πάντως, καὶ ταῖς πρώταις δυνάμεσι μὴ ὑφίεσθαι, εἴπερ μὴ κἀκείναις (65) μέτρον ἐστὶ τῆς γνώσεως, καὶ πλέον (66) εἶναι μέγαν, ἢ ὅσον συμφέρον (67)· σὺ δὲ μὴ κατακρίνῃς τὸν ἀδελφὸν, μηδὲ τὴν δειλίαν ἀσέβειαν ὀνομάσῃς, μηδὲ ἀπέλθῃς προπετῶς καταγνοὺς, ἢ ἀπογνοὺς (68), ὁ τὴν ἐπιείκειαν ὑπισχνούμενος. Ἀλλ' ἐνταῦθά μοι φάνηθι ταπεινὸς, ἕως ἔξεστιν· ἐνταῦθα τὸν ἀδελφὸν προτίμησον, μὴ μετὰ τῆς σεαυτοῦ βλάβης, ἔνθα τὸ κατακρῖναι καὶ ἀτιμάσαι, ἐκβαλεῖν ἐστι Χριστοῦ καὶ τῆς μόνης ἐλπίδος, καὶ τὸν λανθάνοντα σῖτον, καὶ σῖτον ἴσως σου τιμιώτερον, συνεκκόψαι τοῖς ζιζανίοις. Ἀλλὰ τὸ μὲν, ἐκεῖνον διόρθωσαι, καὶ τοῦτο πράως καὶ φιλανθρώπως, μὴ ὡς ἐχθρὸς, μηδὲ ὡς ἀπότομος ἰατρὸς, μηδὲ ὡς (69) ἓν τοῦτο μόνον εἰδὼς τὴν καῦσιν καὶ τὴν τομήν· τὸ δὲ, σεαυτοῦ κατάγνωθι, καὶ τῆς ἀσθενείας τῆς σῆς. Τί γὰρ εἰ λημῶν, ἢ ἄλλο (70) τι πάσχων τὰς ὄψεις, ἀμυδρὸν βλέπεις τὸν ἥλιον; Τί δαὶ εἰ στρέφεσθαί σοι τὸ πᾶν δοκεῖ, ναυτιῶντι τυχὸν, ἢ μεθύοντι, καὶ τὴν σὴν ἄγνοιαν ἑτέρων ὑπολαμβάνεις; Πολλὰ δεῖ στραφῆναι καὶ παθεῖν, πρὶν ἄλλου καταγνῶναι δυσσέβειαν.

XXX. Non idem est stirpem, aut brevem quemdam et caducum florem evellere, atque hominem exscindere. Imago Dei es, et imaginem quoque Dei alloqueris, tuque qui judicas, ipse judicaberis[98]; et quidem alienum servum judicas[99], et quem alius moderatur. Sic fratrem tuum explora, quasi ipse ad eamdem mensuram expendendus. Quocirca, ne cito ac temere membrum seces ac projicias, cum incertum sit, an hac ratione partes quoque sanæ perniciem aliquam contracturæ sint. Verum argue, increpa, obsecra[1]. Habes medicinæ regulam. Christi discipulus es, mitis ac benigni[2], et qui nostras infirmitates portavit[3]. Si primum obluctetur, leniter exspecta: si secundo, ne spem abjicias; nondum enim curationis tempus effluxit; si tertio, be-

Λ'. Οὐκ ἔστιν ἴσον φυτὸν ἐκτεμεῖν, ἢ ἄνθος τι τῶν προσκαίρων, καὶ ἄνθρωπον. Εἰκὼν εἶ Θεοῦ, καὶ εἰκόνι Θεοῦ διαλέγῃ, καὶ κρίνῃ αὐτὸς (71) ὁ κρίνων· καὶ κρίνεις ἀλλότριον οἰκέτην, καὶ ὃν ὁ ἄλλος οἰκονομεῖ. Οὕτω δοκίμαζε τὸν ἀδελφόν σου, ὡς καὶ αὐτὸς ἐν τοῖς αὐτοῖς μέτροις κρινόμενος. Διὰ τοῦτο μὴ ταχέως τέμῃς, μηδὲ ἀλλοτριώσῃς τὸ μέλος, ἄδηλον, εἰ μὴ διὰ τούτου προσλυμανῇ τι (72) τῷ ὑγιαίνοντι· ἀλλὰ νουθέτησον, ἐπιτίμησον, παρακάλεσον. Ἔχεις ἰατρείας κανόνα (73). Χριστοῦ μαθητὴς εἶ, τοῦ πράου καὶ φιλανθρώπου, καὶ τὰς ἀσθενείας ἡμῶν βαστάσαντος. Κἂν τὸ πρῶτον ἀντιθῇ, μακροθύμησον· κἂν τὸ δεύτερον, μὴ ἀπελπίσῃς, ἔτι καιρὸς θεραπείας· κἂν τὸ τρίτον, γενοῦ φιλάνθρωπος D γεωργός· ἔτι τοῦ Δεσπότου δεήθητι, μὴ ἐκκόψαι,

[97] Matth. XIII, 27. [98] Matth. VII, 1. [99] Rom. XIV, 4. [1] II Tim. IV, 2. [2] Matth. XI, 29. [3] Isa. LIII, 4; I Petr. II, 24.

(64) *Σοι*. Reg. b, et Or. 1, σου.

(65) *Εἴπερ μὴ κἀκείναις*, etc. Deest μή in Coisl. 1, aliisque nonnullis. Id fatetur Billius; sed vulgatam lectionem præfert. Elias vero censet Gregorium hic affirmanter pronunciare, et εἴπερ idem sonare, ac ἐπειδήπερ, « quandoquidem. » Hinc, si expungatur particula negativa, μή, locus iste sic verti potest: « siquidem illæ (potestates) certam cognitionis mensuram habent. »

(66) *Πλέον*. Duo Regg., πλεῖον.

(67) *Συμφέρον*. Duo Regg., Coisl. 1 et 2, aliique, συμφέρει.

(68) *Ἢ ἀπογνούς*. Tres Regg., et Orat. 1, καὶ ἀπογνούς.

(69) *Μηδὲ ὡς*. Sic Regius bm. In ed., μὴ ὡς.

(70) *Ἢ ἄλλο*. Sic tres Regg., et Or. 1. In ed., εἰ ἄλλο.

(71) *Καὶ κρίνῃ αὐτός*. Sic plures codd. In ed., κρίνῃ καὶ αὐτός.

(72) *Προσλυμανῇ τι*. Duo Regg., Orat. 1, etc., προσλυμανεῖται.

(73) *Κανόνα*. Reg. bm, κανόνας.

μηδὲ μισῆσαι τὴν ἄκαρπον συκῆν καὶ ἀνόνητον, ἀλλ' ἐπιστρέψαι, καὶ θεραπεῦσαι, καὶ (74) περιβαλεῖν κόπρια, τὴν δι' ἐξαγορεύσεως, καὶ τῆς εἰς τὸ φανερὸν αἰσχύνης, καὶ ἀτιμοτέρας ἀγωγῆς, ἐπανόρθωσιν (75). Τίς οἶδεν, εἰ μεταβαλεῖ, καὶ καρποφορήσει, καὶ θρέψει τὸν Ἰησοῦν ἀπὸ Βηθανίας ἐπανερχόμενον;

ΛΑ'. Ἔνεγκέ τι τῆς τοῦ ἀδελφοῦ δυσωδίας, ἢ οὔσης, ἢ δοκούσης, ὁ τῷ πνευματικῷ μύρῳ συγκεχρισμένος, τῷ συντεθειμένῳ τέχνῃ μυρεψικῇ, ἵνα μεταδῷς τούτῳ τῆς σῆς εὐωδίας. Οὐκ ἔστιν ἐχίδνης ἰὸς (76) ἡ κακία, ἵν' ὁμοῦ τῷ πληγῆναι περιβληθῇς ὀδύναις, ἢ καὶ διαφθαρῇς, καὶ διὰ τοῦτο ᾖ σοι συγγνώμη φεύγοντι (77) τὸ θηρίον, ἢ ἀποκτείνοντι. Ἀλλ' εἰ μὲν εἶ δυνατὸς, κἀκεῖνον θεράπευσον· εἰ δὲ μὴ, τό γε ἀσφαλὲς ἔχεις, ἐν τῷ μηδὲν αὐτὸς (78) τῆς μοχθηρίας μεταλαβεῖν. Ὀσμή τίς ἐστιν ἀηδὴς τὸ ἐκείνου πάθος, ἣν ἀπελάσει τυχὸν τὸ σὸν εὐῶδες ὑπερνικῆσαν. Ταχὺ ἂν ἐδέξω τι τοιοῦτον ὑπὲρ τοῦ ὁμοδούλου καὶ συγγενοῦς, οἷον Παῦλος ὁ ζηλωτὴς, καὶ διανοηθῆναι, καὶ εἰπεῖν ἐτόλμησεν, ἑαυτοῦ, εἰ οἷόν τε, τὸν Ἰσραὴλ ἀντεισαχθῆναι Χριστῷ, διὰ τὸ συμπαθές· ὅς γε καὶ ἐξ ὑπονοίας πολλάκις μόνης, ἀποτέμνεις τὸν ἀδελφόν. Ὃν ἴσως ἐκέρδανας ἂν τῇ χρηστότητι, τοῦτον ἀπολλύεις (79) τῇ θρασύτητι, τὸ σὸν μέλος, ὑπὲρ οὗ Χριστὸς ἀπέθανεν. Εἰ τοίνυν καὶ ἰσχυρὸς εἶ, φησὶν ὁ Παῦλος περὶ βρωμάτων διαλεγόμενος, καὶ θαῤῥεῖς τῷ λόγῳ καὶ τῷ γενναίῳ τῆς πίστεως, ἀλλὰ καὶ τὸν ἀδελφὸν οἰκοδόμησον. Μὴ τῷ βρώματί σου κατάλυε τὸν ὑπὸ Χριστοῦ τῷ κοινῷ πάθει τετιμημένον. Καὶ γὰρ εἰ τὸ πρᾶγμα ἕτερον, ἀλλ' ὅ γε τῆς παραινέσεως λόγος ὁμοίως χρήσιμος.

ΛΒ'. Χρῆν (80) δὲ καὶ νόμον κεῖσθαι παρ' ἡμῖν, καθάπερ τοῖς πάλαι σοφοῖς Ἑβραίων, ἔστιν ἃς τῶν ἱερῶν βίβλων μὴ ἀνεῖσθαι τοῖς νέοις, ὡς οὐ λυσιτελούσας ταῖς ἀστηρίκτοις ἔτι καὶ ἁπαλωτέραις ψυχαῖς· οὕτω καὶ μηδὲ παντὶ (81), μηδὲ πάντοτε, ἀλλ' ἔστιν ὅτε, καὶ οἷς, τὸν περὶ πίστεως συγχωρεῖσθαι λόγον, τοῖς μὴ παντελῶς ὀλιγώροις (82) λέγω, καὶ νωθροῖς τὴν διάνοιαν, ἢ τοῖς μὴ λίαν ἀπλήστοις, καὶ φιλοτίμοις (83), καὶ θερμοτέροις τοῦ δέοντος εἰς εὐσέβειαν· καὶ τοὺς μὲν τάττειν ἐνταῦθα, οὗ μήτε

A benignum illum et humanitate præditum agricolam imitare, cum Domino adhuc age, ne inutilem et infructuosam ficum exscindat[4] atque odio habeat, verum emendet et curet, ac stercus injiciat, hoc est, eam correctionem, quæ per confessionem ac publicam ignominiam, contemptioremque victus rationem efficitur. Quis scit, an mutabitur, ac fructum feret, **600** Jesumque a Bethania redeuntem pascet?

XXXI. Tu, qui spirituali illo unguento arte unguentaria confecto delibutus es, fraterni fetoris nonnihil perfer, sive verus sit fetor ille, sive ita tibi videatur: ut ipse vicissim boni tui odoris illi aliquid impertiaris. Viperæ virus non est improbitas, ut simul atque ictus fueris, doloribus crucieB ris, aut etiam intereas, ob eamque causam tibi, bestiam fugienti, vel interimenti, venia parata sit. Verum, si quidem a te fieri potest, eum quoque morbo libera; sin minus, ipse certe ita demum in tuto versaberis, si improbitatis illius particeps nequaquam factus fueris. Insuavis quidam odor est illius morbus, quem fortasse fragrantia tua vincet atque depellet. Libenter scilicet ac prompte hujusmodi quiddam conservi et cognati tui causa susciperes, quale Paulus ille zelo et æmulatione flagrans, præ commiseratione, non modo cogitare, sed etiam dicere ausus est; nimirum ut, si fieri posset, Israel, in ipsius locum subrogatus, ad Christum introduceretur[5]; cum sola plerumque suspicione ductus, C fratrem præscindas. Quem fortasse lucrari benignitate potuisses, eum audacia tua perimis, membrum tuum, pro quo Christus mortem oppetiit[6]. Proinde, si firmus ac robustus es, ait Paulus de cibis disserens[7], atque ob doctrinam fideique firmitatem confidis: fratrem quoque ut ædifices, cura. Noli cibo tuo eum, quem Christus communi passione honestavit, evertere. Etsi enim res diversa est, consilii tamen admonitionisque ratio peræque utilis est.

XXXII. Ac profecto legem quoque apud nos constitutam esse oportebat, quæ juberet, ut, quemadmodum olim apud sapientes Hebræos, a quibusdam Scripturæ sacræ libris juvenes arcebantur, utpote tenerioribus adhuc minimeque firmis animis haudquaquam profuturis; eodem quoque modo, non quibuslibet, nec semper, sed certo tempore, ac D certis hominibus, de fide disputandi potestas fieret, iis nimirum, qui nec ingenio sunt omnino segni et ignavo; nec rursum iis, qui inexplebili quadam

[4] Luc. XIII, 8. [5] Rom. IX, 3. [6] I Cor. VIII, 12. [7] Rom. XIV, 15.

(74) *Ἐπιστρέψαι, καὶ θεραπεῦσαι, καὶ*, etc. Sic Reg. bm, et Or. 1. In ed., ἐπιστρέψαι, καὶ περιβαλεῖν κόπρια, θεραπεῦσαι τὴν, etc.

(75) *Ἐπανόρθωσιν*. Sic Reg. bm, Coisl. 1 et 2, etc. In ed., ἐπανόρθωσον.

(76) *Ἐχίδνης ἰός*, etc. « Viperæ virus non est improbitas. » Hinc Elias: « Frater tuus non est bellua venenosa, ut præ metu, ne quid mali tibi ab eo accidat, vel fugiendus sit, vel occidendus, quod certe fieret, si eum a pietate, aut ab Ecclesia, tanquam alienum excluderes. »

(77) *Φεύγοντι*. Plures codd., φεύγοντι καὶ ἀποκτείναντι.

(78) *Αὐτός*. Sic tres Regg., Coisl. 1, Comb., etc. In ed., αὐτόν.

(79) *Ἀπολλύεις*. Unus Reg., et duo Colb., ἀπολλύς.

(80) *Χρῆν*. Sic plures Regg., et Colb., Coisl. 2, et Or. 1. Billius autem ad marg. Bas. edit. scripsit, χρῆναι, quod secutus est Morellus. Par. ed.

(81) *Οὕτω καὶ μηδὲ παντί*. Sic tres Regg., Coisl. 1, Or. 1, etc. Prave in ed., οὐ τῷ μὴ παντί.

(82) *Ὀλιγώροις*. Gloss., ἀσθενεστέροις, « imbecillioribus. »

(83) *Φιλοτίμοις*. Gloss., ἤτοι φιλοδόξοις.

aviditate laborant, gloriæque studio ducuntur, atque in pietate **601** ferventiores sunt quam par sit, atque hi quidem illic collocarentur, ubi nec sibi ipsis, nec aliis noxii essent; iis autem, qui in disputationibus modesti, ac vere compositi et temperantes essent, libera disputandi facultas daretur; promiscua vero multitudo ab hac via, et loquacitatis morbo hac tempestate vigente, abducta et aversa, et aliud virtutis genus minus periculosum detrimentum afferret, et insaturabilis aviditas pietatis traduceretur, ubi et segnities minorem labem ac laudem mereretur.

XXXIII. Etenim si, ut *unus Dominus, una fides, unum baptismum, unus Deus, Pater omnium, et per omnia, et in omnibus* [8], ita una quædam esset per disputationem et contemplationem ad salutem via, ut qui ab ea exciderent, iidem a toto quoque aberrarent, atque a Deo, ac spe salutis æternæ præcipites ejicerentur, nihil sane periculosius esset, quam vel hujusmodi consilium dare, vel huic parere. At si, ut in rebus humanis, multa et diversa sunt vitarum genera et instituta, alia majora, alia minora, alia illustriora, alia obscuriora, sic in divinis quoque, non una salutis ratio est, nec una quædam virtutis via, sed plures; atque hujus pervulgati dicti omniumque linguis celebrati, nimirum, multas apud Deum mansiones esse [9], nulla alia causa est, quam quod multæ sint viæ eo ferentes, quarum aliæ periculosiores et splendidiores sint, aliæ abjectiores et tutiores; cur, tutioribus relictis, ad unam hanc nos convertimus, adeo lubricam et periculosam, ac nescio quo ferentem? An idem quidem cibus non omnibus congruet, sed alius alii, pro diversa ætatum et constitutionum ratione; eadem autem vita, aut disputatio cunctis conducet? Hoc ipse quidem non dixerim, nec dicentibus assentiar. Quare si mihi obtemperandum duxeritis, juvenes et senes, præfecti et subditi, monachi et qui in sodalitio vivitis, supervacaneas et inutiles ostentationes valere jubebitis; atque id potius curabitis, ut per morum probitatem, et honestam vitæ rationem, ac sermones periculo vacuos ad Deum appropinquantes, ad alterius sæculi veritatem et contemplationem perveniatis, in Christo Jesu Domino nostro, cui gloria in sæcula sæculorum. Amen.

A ἑαυτοὺς βλάψωσι (84), μήτε ἄλλους ταττόμενοι· καὶ τὴν ἐν λόγοις ἐλευθερίαν ἔχειν τοὺς μετρίους ἐν λόγῳ, καὶ ὡς ἀληθῶς κοσμίους καὶ σώφρονας· τοὺς πολλοὺς δὲ ἀπάγειν (85) τῆς ὁδοῦ ταύτης, καὶ τῆς νῦν κατεχούσης φιλολαλιᾶς καὶ ἀῤῥωστίας, καὶ (86) ἐπ' ἄλλο τι τρέπειν ἀρετῆς εἶδος ἀκινδυνότερον, ἔνθα καὶ τὸ ὀλίγωρον ἧττον βλαβερὸν, καὶ τὸ ἄπληστον εὐσεβέστερον.

ΛΓ'. Εἰ μὲν γὰρ, ὥσπερ *εἷς Κύριος, μία πίστις, ἓν βάπτισμα, εἷς Θεὸς, ὁ Πατὴρ πάντων, καὶ διὰ πάντων, καὶ ἐν πᾶσιν*, οὕτω καὶ μία τις ἦν σωτηρίας ὁδὸς, ἡ διὰ λόγου καὶ θεωρίας, καὶ ταύτης
B ἐκπεσόντας, ἔδει τοῦ παντὸς ἁμαρτεῖν, καὶ ἀποῤῥιφθῆναι (87) Θεοῦ, καὶ τῆς ἐκεῖθεν ἐλπίδος· οὐδὲν ἂν ἦν, οὔτε τοῦ συμβουλεύειν τὰ τοιαῦτα, οὔτε τοῦ πείθεσθαι σφαλερώτερον. Εἰ δὲ, ὥσπερ ἐν τοῖς ἀνθρωπίνοις, πολλαὶ διαφοραὶ βίων καὶ προαιρέσεων, μειζόνων τε καὶ ἡττόνων, λαμπροτέρων καὶ ἀφανεστέρων (88), οὕτω κἀν τοῖς θείοις, οὐχ ἕν τι τὸ σῶζόν ἐστιν, οὐδὲ μία τῆς ἀρετῆς ὁδὸς, ἀλλὰ πλείονες, καὶ τοῦ (89) πολλὰς εἶναι μονὰς παρὰ τῷ Θεῷ, τούτου δὲ (90) τοῦ θρυλλουμένου, κἀν ταῖς πάντων κειμένου γλώσσαις, οὐκ ἄλλο τι ἢ τοῦτο αἴτιον, τὸ πολλὰς εἶναι τὰς ἐκεῖσε φερούσας ὁδοὺς, τὰς μὲν ἐπικινδυνοτέρας τε καὶ λαμπροτέρας, τὰς δὲ ταπεινοτέρας τε καὶ ἀσφαλεστέρας· τί τὰς ἀσφαλεστέρας ἀφέντες, ἐπὶ μίαν ταύτην τρεπόμεθα, τὴν οὕτως ἐπισφαλῆ καὶ ὀλι-
C σθηρὰν, καὶ οὐκ οἶδ' ὅποι (91) φέρουσαν; Ἡ τροφὴ μὲν οὐχ ἡ αὐτὴ πᾶσι κατάλληλος, ἄλλῳ δὲ ἄλλη κατὰ τὴν διαφορὰν καὶ (92) τῶν ἡλικιῶν καὶ τῶν ἕξεων· βίος δὲ ὁ αὐτὸς πᾶσι συμφέρων, ἢ λόγος; Οὐκ ἔγωγε τοῦτο εἴποιμ' ἂν (93), οὐδὲ προσθοίμην τοῖς λέγουσιν. Εἴ τι οὖν ἐμοὶ πείθεσθε, νέοι καὶ γέροντες, ἄρχοντες λαῶν (94) καὶ ἀρχόμενοι, μονασταὶ καὶ μιγάδες, τὰς μὲν περιττὰς καὶ ἀχρήστους φιλοτιμίας χαίρειν ἐάσατε· αὐτοὶ δὲ διὰ βίου, καὶ πολιτείας, καὶ λόγων τῶν ἀκινδυνοτέρων τῷ Θεῷ πλησιάζοντες (95), τεύξεσθε τῆς ἐκεῖθεν ἀληθείας καὶ θεωρίας, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα (96) εἰς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

[8] Ephes. IV, 5, 6. [9] Joan. XIV, 2.

(84) *Βλάψωσι*. Plures codd., βλάψουσι.

(85) *Ἀπάγειν*. In nonnullis, ἀπαγαγόντας.

(86) *Καί*. Deest in pluribus Regg., et Or. 1.

(87) *Ἀποῤῥιφθῆναι*. Reg. bm, et Or. 1, ἀποῤῥιφῆναι.

(88) *Λαμπροτέρων καὶ ἀφανεστέρων*. Plures Regg., et Or. 1, λαμπροτέρων τε καὶ σφαλερωτέρων. Billius ad marg. Bas. ed., quæ habet, σφαλεστέρων, scripsit: « Putamus legendum, ἀφανεστέρων, ut opponatur λαμπροτέροις, quemadmodum τὰ ἥττω τοῖς μείζοσι, quod etiam satis ostendunt quæ sequuntur. »

(89) *Καὶ τοῦ*. Comb., καὶ τό.

D (90) *Τούτου δέ*, etc. Sic Reg. hu, et Or. 1. Sic etiam Billius ad marg. Bas. edit. scripsit. Coisl. 1, τοῦτο δὲ τὸ θρυλλούμενον... κείμενον. In ed., τοῦτο δὴ τοῦ, etc.

(91) *Ὅποι*. Reg. bm, ὅπη.

(92) *Καί*. Deest in tribus Regg., et Or. 1

(93) *Εἴποιμ' ἄν*. Regius bm, συμβουλεύσαιμεν, « suaserim. »

(94) *Λαῶν*. Hanc vocem respuit Combefisius.

(95) *Πλησιάζοντες*. In nonnullis, πλησιάσαντες.

(96) *Ὧ ἡ δόξα*. Plures codices sic desinunt: ᾧ πᾶσα δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν· « cui omnis gloria in sæcula. Amen. »

602 MONITUM IN ORATIONEM XXXIII.

I. Arianorum jactantiam, injurias et cavillationes in hac oratione, oratorie quidem, sed fortiter retundit Gregorius. Quasi ex abrupto sic exorditur : « Ubi tandem sunt, qui paupertatem nobis exprobrant, qui opes suas insolenter jactant, qui Ecclesiam multitudine definiunt, et pusillum gregem aspernantur, qui divinitatem metiuntur, et populum velut ad lancem appendunt? » Hinc ablegatam pacem, et exitiosas domesticarum in fide dissensionum calamitates deplorat; atque Arianorum persecutiones, facinora, cædes et sacrilegia, longa partium enumeratione, percurrens, ostendit quam longissime ipsi a suis et Catholicorum moribus ac lenitate distent. Deinde puerilibus ac ineptis respondet cavillationibus, quibus obtrectatores eum in contemptum adducere conabantur. Objiciebant enim, quod « ex ignobili oppido oriundus esset (n. 6), » quod « nec lepidus, nec urbanus, quod peregrinus et externus (n. 8), » aliaque permulta (n. 11), quæ profecto in adversariorum potius, quam Gregorii contumeliam recidebant. Tum profanam illorum multitudinem cum gregis sui exiguitate conferens, hunc extollit, illos deprimit. « Hi, inquit (n. 15), ædes habent, nos hospitem ; hi templa, nos Deum ; hi populos, nos angelos; hi aurum et argentum, nos repurgatam doctrinam; » quæ omnia merito vanis ac insulsis hæreticorum opibus pretiosiora et præstantiora erant. Nihil ergo mirum, si charissimum gregem, licet exiguum, ampliori præferat; utpote qui hunc facilius conspicere, atque a luporum voracitate tueri ac servare posset. Verum interim prophetico velut afflatus spiritu, non dubitat quin aliquando eum latiorem visurus sit. « Multos enim, » addit (n. 15), « ex his, qui nunc in luporum numero sunt, inter oves, ac fortasse etiam inter pastores recensendos habeo. » Quod vaticinium eventus postea confirmavit. Demum ex baptismi forma, Arianorum et Eunomianorum errores, qui Filium et Spiritum sanctum creatos esse asserebant, coarguens, eleganti ac eximiæ orationi finem imponit.

II. Ex his quæ jam diximus, nemo est qui non fateatur hanc orationem Constantinopoli habitam fuisse anno 380. Plura etiam adhuc ex hac oratione ad id confirmandum colligi possunt. Nondum enim Gothos, a Deo « in solutæ Trinitatis pœnam » collectos et coadunatos (n. 2) debellarat Theodosius. Nondum ecclesiæ erant Catholicis restitutæ, cum agnoscat ipse Gregorius (n. 15), « exiguum adhuc esse gregem et caulam angustam. » Quæ quidem satis indicant annum 380, vel, ut cum Tillemontio loquar [97], illud temporis spatium quod « inter vicesimum Aprilis anni 379 et vicesimum sextum Novembris anni 380 intercedit. » Nulla enim est hac de re inter eruditos controversia. At idem quoque desideraretur animorum consensus, ad dignoscendum quis fuerit ille senex de quo sic loquitur Gregorius (n. 5) : « Hesternam meam victimam posco, senem illum, quem exsilio redeuntem, 603 medio die, media in urbe, saxis excepistis. » Licet enim de isto facto apud scriptores mentio fiat, attamen incertum adhuc quidem est, ad quem senem id certo referri possit. Censet Elias Eusebium Samosatensem hic a Gregorio designari. Hæc revera Theodoretus ac Nicephorus [98] narrant de isto Eusebio, cui « Dolicham ingredienti, mulier quædam Ariana labe maculata, tegulam e superiori ædium parte immisit, ejusque caput obtrivit. » Addunt etiam, quod ab ipso quoque Gregorio observatur, Eusebium morientem, eos qui aderant jurejurando obstrinxisse, ne a muliere pœnas hujus facti ullas exigerent. » Quamvis autem hæc non ignoraret Tillemontius, conjecit tamen vir eruditus [99], « senem illum fuisse Eustathium presbyterum, » a Valente imperatore in oppidum Thraciæ Bizuam relegatum, quod anno 370 Evagrium Constantinopolitanæ Ecclesiæ episcopum præfici curasset. At Socrates et Sozomenus [1], qui Eustathii exsilium referunt, nihil tamen de ipsius in urbem Constantinopolim reditu ac inexspectata morte commemorant. Baronius etiam [2], qui hunc orationis locum sic exscripsit : « Hominem meum posco, quem hesterno die trucidastis, senem illum, quem ab exsilio redeuntem, et huc appellentem, » etc., videtur quidem his ultimis verbis Constantinopolim designare voluisse; sed nihil de isto sene indicavit. Cum igitur historica monumenta Gregorii narrationi optime consonent, nos quoque cum Elia hunc locum de Eusebio Samosatensi intelligendum arbitramur.

(97) T. IX, pag. 728.
(98) Theodoret. *Hist.* lib. v, c. 5 ; Nicephor. *Hist.* lib. xii, c. 5
(99) T. IX, not. xxix, p. 714.
(1) Socr. *Hist.* l. iv. c. 15, p. 226; Sozom. *Hist.* l. vi, c. 15, p. 655.
(2) Anno 380, § vi, p. 411.

ΛΟΓΟΣ ΛΓ'.

Πρὸς Ἀρειανοὺς, καὶ εἰς ἑαυτόν.

A

Α'. Ποῦ ποτέ εἰσιν, οἱ τὴν πενίαν ἡμῖν ὀνειδίζοντες, καὶ τὸν πλοῦτον κομπάζοντες; Οἱ πλήθει τὴν

ORATIO XXXIII [a].

Adversus Arianos, et de seipso.

I. Ubi tandem sunt qui paupertatem nobis exprobrant, opesque suas insolenter jactant? Qui

[a] Alias XXV quæ autem 33 erat, nunc 27. — Habita Constantinopoli circa medium annum 380.

Ecclesiam multitudine definiunt, ac parvum gregem aspernantur? Qui et divinitatem metiuntur, et populum velut ad lancem appendunt? Qui arenam in pretio habent, et mundi lumina contumeliis afficiunt? Qui denique lapides aggerunt, et gemmas contemnunt? Non enim norunt, quod quanto arena stellis copiosior est, et lapides pellucidis lapidibus, tanto vicissim hæc illis puriora et præstantiora sunt. Rursus indignaris? Rursus arma induis? Rursus contumeliam infers? Num nova fides? Parumper, quæso, minas istas comprime, ut loquar. Non injuriam inferemus, sed coarguemus: non minas intendemus, sed exprobrabimus: non feriemus, sed medicinam afferemus. 604 Istudne quoque tibi contumelia videtur? O insignem superbiam! Etiamne hic eum, qui tibi dignitate par est, in servilem ordinem cogis? Verum, si non ita se res habet, fac nostram dicendi libertatem æquo animo feras. Nam et frater cum fratre expostulat, quoties ab eo æqua portione fraudatur.

Ἐκκλησίαν (3) ὁρίζοντες, καὶ τὸ βραχὺ διαπτύοντες ποίμνιον; οἱ καὶ θεότητα μετροῦντες (4), καὶ λαὸν σταθμίζοντες; οἱ τὴν ψάμμον τιμῶντες, καὶ τοὺς φωστῆρας ὑβρίζοντες; οἱ τοὺς κάχληκας θησαυρίζοντες, καὶ τοὺς μαργαρίτας ὑπερορῶντες (5); Οὐ γὰρ ἴσασιν, ὅτι οὐ τοσοῦτον ψάμμος ἀστέρων ἀφθονωτέρα, καὶ λίθων διαυγῶν κάχληκες, ὅσον ταῦτα ἐκείνων καθαρώτερά τε καὶ τιμιώτερα. Πάλιν ἀγανακτεῖς; πάλιν ὁπλίζῃ; πάλιν ὑβρίζεις (6); ἡ καινὴ (7) πίστις; Μικρὸν ἐπίσχες τὴν ἀπειλὴν, ἵνα φθέγξωμαι. Οὐχ ὑβρίσομεν, ἀλλ' ἐλέγξομεν (8)· οὐκ ἀπειλήσομεν, ἀλλ' ὀνειδίσομεν (9)· οὐ πλήξομεν, ἀλλ' ἰατρεύσομεν. Ὕβρις σοι καὶ τοῦτο δοκεῖ; Τῆς ὑπερηφανίας! Κἀνταῦθα δοῦλον ποιεῖς τὸν (10) ὁμότιμον; Εἰ δὲ μὴ, δέξαι μου τὴν παῤῥησίαν. Καὶ ἀδελφὸς ἀδελφὸν ἐλέγχει πλεονεκτούμενος.

II. Visne te verbis illis alloquar, quibus Deus rebellem et obdurum Israelem affatur[10]? *Popule meus, quid feci tibi*, aut quid te læsi, *aut quid tibi molestus fui?* Imo vero ad te, qui contumeliis in me uteris, orationem ipse habebo. Male omnino alii aliorum tempora observamus, ac soluta per sententiæ diversitatem animorum concordia, majori pene audacia et crudelitate nos ipsos mutuo insectamur, quam, qui nunc bello nos lacessunt, barbari, quos Trinitas soluta conjunxit. Quin hoc quoque nomine sceleratiores sumus, quod non exteros exteri, nec ignotos ignoti (quæ res nonnihil etiam calamitatem levat), verum nosipsos mutuo, et quasi domestici domesticos, populamur, et incessimus; aut, si mavis, ejusdem corporis membra, consumimus invicem atque consumimur. Neque id grave et indignum est, quanquam alioqui pergrave; sed quod animis ita comparati sumus, ut imminutionem nostram, accessionem, atque incrementum esse existimemus. Quoniam autem ad hunc modum affecti sumus, atque ad temporum rationem fidem nostram accommodamus, age, tem-

Β'. Βούλει σοι τὰ τοῦ Θεοῦ πρὸς τὸν Ἰσραὴλ φθέγξομαι (11), τραχηλιῶντα καὶ σκληρυνόμενον; *Λαός μου, τί ἐποίησά σοι*, ἢ τί ἠδίκησά σε, *ἢ τί παρηνώχλησά* (12) *σοι*; Μᾶλλον δὲ, πρὸς σέ μοι τὸν ὑβριστὴν ὁ λόγος. Κακῶς μὲν τοὺς ἀλλήλων ἐπιτηροῦμεν καιρούς, καὶ τὸ σύμψυχον (13) τῷ ἑτεροδόξῳ λύσαντες, μικροῦ καὶ τῶν νῦν πολεμούντων ἡμῖν βαρβάρων (14), οὓς ἡ Τριὰς λυομένη συνέστησεν. Γεγόναμεν ἀλλήλοις ἀπανθρωπότεροι καὶ θρασύτεροι, πλὴν ὅσον οὐ ξένοι βάλλομεν ξένους, οὐδὲ ἀλλογλώσσους ἀλλόγλωσσοι (ὃ καὶ βραχεῖα παραμυθία τῆς συμφορᾶς), ἀλλήλους δὲ, καὶ οἷον οἱ τῆς αὐτῆς οἰκίας, φέρομέν τε καὶ ἄγομεν· εἰ βούλει δὲ, τὰ τοῦ αὐτοῦ σώματος μέλη δαπανῶμεν καὶ δαπανώμεθα· καὶ οὐχὶ τοῦτό που δεινὸν (15), καίπερ ὂν τηλικοῦτον, ἀλλ' ὅτι καὶ προσθήκην νομίζομεν τὴν ὑφαίρεσιν. Ἐπεὶ δὲ οὕτως ἔχομεν, καὶ μετὰ τῶν καιρῶν πιστεύομεν, ἀντιθῶμεν τοὺς καιροὺς ἀλλήλοις· σὺ τὸν σὸν βασιλέα, κἀγὼ τοὺς ἐμούς· σὺ τὸν Ἀχαὰβ (16), ἐγὼ τὸν Ἰωσίαν (17). Διήγησαί μοι τὴν σὴν ἐπιείκειαν, κἀγὼ τὴν ἐμὴν θρασύτητα. Μᾶλλον δὲ, τὴν μὲν σὴν, πολλαὶ καὶ βίβλοι καὶ

[10] Mich. VI, 6.

(3) *Ἐκκλησίαν*, etc. Ecclesiæ definitionem ex multitudine deductam irridet Gregorius; non quod vera Christi Ecclesia, locorum et temporum universitate, ac membrorum multitudine, præ aliis societatibus, quæ Ecclesiæ titulo gloriantur, Catholica non sit; sed quia Ariani veram se Constantinopolis Ecclesiam esse jactabant. Risu id magis, quam confutatione dignum erat, cum Regiæ civitatis Orthodoxi, omni pene terrarum orbi, ejusdem communionis et fidei societate, jungerentur.

(4) *Θεότητα μετροῦντες*. Ariani Trinitatis personas in dispares gradus dividebant. Juxta illos, Spiritus sanctus erat « magnus, » Filius « major, » et Pater « maximus. »

(5) *Ὑπερορῶντες*. Or. 1, περιορῶντες. Reg. hu, περιορίζοντες. In quibusdam, ὑπερορίζοντες.

(6) *Πάλιν ὑβρίζεις*. Reg. hu, Or. 1, etc., πάλιν ὕβρις.

(7) *Καινή*. Reg. a, et Coisl. 2, κενή, « vana. »

(8) *Ἐλέγξομεν*. Reg. bm, ἐλέγξωμεν.

(9) *Ὀνειδίσομεν*. Reg. bm, ὀνειδίσωμεν.

(10) *Τόν*. Sic Regg. a, bm. In ed., τό.

(11) *Φθέγξομαι*. Comb., φθέγξωμαι.

(12) *Παρηνώχλησα*. In quibusdam, παρηνόχλησα.

(13) *Τὸ σύμψυχον*. Sic tres Regg., et quatuor Colb. In ed., τὸν σύμψυχον.

(14) *Βαρβάρων*. Gothos, ut arbitramur, intelligit, qui anno 377 Thraciam populati sunt; idque in pœnam solutæ pacis, ac errorum circa sanctissimam Trinitatem.

(15) *Καὶ οὐχὶ τοῦτό που δεινόν*. Sic plures codd. In Or. 1, Par., et Coisl. 1, καὶ οὐχὶ τοῦτό πως. Comb., οὐ τοῦτό πως δεινὸν, εἰ καὶ δεινόν. Prave in ed., καὶ οὐχὶ τοῦ τόπου δεινόν.

(16) *Ἀχαάβ*. Schol.: Οὐαλέντα λέγει· « Valentem dicit. »

(17) *Ἰωσίαν*. Schol.: Θεοδόσιον τὸν Μέγαν οἶμαι λέγειν· « Theodosium Magnum, ut arbitror, intelligit. »

γλῶσσαι φέρουσιν, ἃς καὶ ὁ μέλλων ὑπολήψεται χρόνος, ἐμοὶ δοκεῖν, ἡ ἀθάνατος στήλη τῶν πράξεων· ἐγὼ δὲ τὴν ἐμαυτοῦ διηγήσομαι.

pora cum temporibus committamus. Regem tuum profer: ego proferam meos. Tu Achab: ego Josiam. Tuam mihi humanitatem et mansuetudinem commemora: ego item meam audaciam et importunitatem exponam. Quin potius, tuam quidem inhumanitatem, et multi libri, et linguæ circumferunt, quas etiam posteritas omnis exceptura est, æternam, nisi me opinio fallit, rebus a te gestis ignominiæ notam inustura: meam vero ipse oratione complectar.

Γ'. Τίνα δῆμον ἐπήγαγόν σοι θράσει φερόμενον; Τίνας ὁπλίτας παρέταξα; Τίνα στρατηγὸν θυμῷ ζέοντα (18), καὶ τῶν ἐπιτασσόντων (19) θρασύτερον, καὶ τοῦτον οὐδὲ Χριστιανὸν, ἀλλ' οἰκείαν θρησκείαν προσάγοντα τοῖς ἑαυτοῦ δαίμοσι, τὴν καθ' ἡμῶν ἀσέβειαν; Τίνας εὐχομένους ἐπολιόρκησα, καὶ τὰς χεῖρας πρὸς τὸν Θεὸν αἴροντας; Τίνας ψαλμῳδίας σάλπιγξιν ἔστησα; Τίνων μυστικὸν αἷμα φονικοῖς αἵμασιν ἔμιξα; Τίνων οἰμωγὰς θρήνοις ἔπαυσα, πνευματικὰς ὀλεθρίοις (19*), καὶ δάκρυσι τραγῳδίας, δάκρυα κατανύξεως; Ποῖον (20) προσευχῆς οἶκον πεποίηκα πολυάνδριον; Ποῖα λειτουργικὰ σκεύη, καὶ τοῖς πολλοῖς ἄψαυστα, χερσὶν ἀνόμων ἐξέδωκα, ἢ Ναβουζαρδὰν τῷ ἀρχιμαγείρῳ, ἢ Βαλτάσαρ τῷ κακῶς ἐν τοῖς ἁγίοις τρυφήσαντι, καὶ μέντοι καὶ δίκας εἰσπραχθέντι τῆς ἀπονοίας ἀξίας; Θυσιαστήρια ἠγαπημένα, ὥς φησιν ἡ θεία (21) Γραφὴ, νυνὶ δὲ καθυβρισμένα· ὑμῶν δὲ ποῖον (22) δι' ἡμᾶς κατωρχήσατο μειράκιον ἀσελγὲς, αἰσχρὰ λυγιζόμενον (23), καὶ καμπτόμενον; μᾶλλον δὲ, διὰ τίνος ἐγὼ τοιούτου (24) τὸ μέγα μυστήριον καὶ θεῖον ἐξωρχησάμην (25); Καθέδρα τιμία, καὶ τιμίων ἀνδρῶν ἵδρυμα καὶ ἀνάπαυμα, καὶ πολλοὺς εὐσεβεῖς ἀμείψασα ἱερέας, ἄνωθεν τὰ θεῖα μυσταγωγήσαντας· ἐπὶ δὲ σὲ τίς ἀνέβη δημηγόρος Ἕλλην, καὶ γλῶσσα πονηρὰ, τὰ Χριστιανῶν στηλιτεύουσα; Παρθένων αἰδὼς καὶ σεμνότης, ὄψεις ἀνδρῶν μηδὲ σωφρόνων φέρουσα, σὲ δὲ τίς ἡμῶν ᾔσχυνε καὶ καθύβρισε μέχρι τῶν ἀθεάτων, καὶ ἀσεβῶν ὄψεσι προὔθηκε θέαν ἐλεεινὴν, καὶ τοῦ Σοδομιτικοῦ (26) πυρὸς ἀξίαν; Ἐῶ γὰρ θανάτους λέγειν τῆς αἰσχύνης ἀνεκτοτέρους.

III. Quem populum audacia elatum in te immisi? Quos milites instruxi? Quem belli ducem ira inflammatum, iisque, qui imperabant, atrociorem, ac ne Christianum quidem ipsum, verum suam adversum nos impietatem, tanquam congruentem quemdam cultum dæmonibus suis offerentem? Quosnam precibus operam dantes, manusque ad Deum attollentes, obsidione cinxi? Quas psalmorum cantiones, tubarum **605** clangore compressi? Quorum mysticum sanguinem cum cædium sanguine permiscui? Quos spirituales fletus, emorientium fletibus, et quas pœnitentiæ lacrymas, tragœdiæ lacrymis cohibui? Quam orationis domum in sepulcrum converti? Quæ vasa ministerio sacro destinata, nec vulgi manibus attrectanda, iniquorum manibus dedidi, nempe, vel Nabuzardæ coquorum præfecto [11], vel Baltazaro [12], qui male in sanctis poculis perbacchatus est, atque adeo dignas amentia sua pœnas exsolvit? Altaria chara, ut ait Scriptura [13], nunc autem contumeliæ habita; quisnam impudicus adolescens, turpiter membra torquens ac inflectens, nostra causa vobis insultavit? vel potius, per quem unquam hujusmodi nebulonem ego magnum et divinum mysterium ludibrio habui? O cathedra præclara, et præclarorum virorum sedes ac requies, quæque multos pios sacerdotes, qui jam olim res divinas docuerunt, commutasti; quisnam ethnicus concionator te conscendit, et improba lingua, Christianorum religionem invectiva oratione proscindens? O virginum pudor et castitas, ne pudicorum quidem virorum conspectum ferens, quisnam ex nostris, usque etiam ad eas corporis partes, quas inspicere nefas erat, probro et contumelia vos affecit, atque impiorum oculis miserandum spectaculum proposuit, flammaque Sodomitica vindicandum? Mitto enim cædes hujusmodi probro tolerabiliores.

Δ'. Τίνας ἐπαφήκαμεν θῆρας ἁγίων σώμασιν, ὥς τινες τὴν ἀνθρωπείαν φύσιν (27) δημοσιεύσαντες, ἓν ἐγκαλέσαντες μόνον, τὸ μὴ τῇ ἀσεβείᾳ συνθέσθαι,

IV. Quas feras in sanctorum corpora immisimus, ut nonnulli, qui humanam naturam publicarunt et prostituerunt, hoc unum crimini vertentes, quod

[11] IV Reg. xxv, 11. [12] Dan. v, 3. [13] Ose. viii, 11.

(18) *Ζέοντα*. Reg. bm, ζέσαντα.
(19) *Ἐπιτασσόντων*. Schol.: Βασιλέων ἑτεροδόξων· « Imperatoribus Hæreticis crudeliorem. » Hic designatur Palladius Ægypti rector, qui, juxta Theodoretum, *Hist.* lib. iv, c. 22, post Athanasii obitum, Alexandriæ, ac in tota Ægypto, Catholicos gravissime afflixit.
(19*) *Τίνων οἰμωγὰς θρήνοις ἔπαυσα, πνευματικὰς ὀλεθρίοις*. Sic Regg. bm, hu, et tres Colb. In ed., τίνων οἰμωγὰς ἔπαυσα πνευματικὰς θρήνοις ὀλεθρίοις.
(20) *Ποῖον*. Tres Colb. et Comb., ὑμῶν δὲ ποῖον.
(21) *Θεία*. Deest in Or. 1.
(22) *Ποῖον*. Sic Regg. a, d, Coisl. 1, etc. In ed., ποιῶν.
(23) *Αἰσχρὰ λυγιζόμενον*. Sic plures codd. In Par. ed., αἰσχρὰ λογιζόμενον, quod Billius vertit: « turpiter cantillans. » Nihil tamen de turpi cantu exstat in Petri Alexandrini epistola, apud Theodoretum lib. iv, c. 22, quamvis turpem et obscenam juvenis illius prædicationem memoret.
(24) *Διὰ τίνος ἐγὼ τοιούτου*. Jes., διὰ τίνος τοιούτων.
(25) *Ἐξωρχησάμην*. Sic plures Regg. et Colb., Or. 1, Par., Comb., etc. In ed., ἐξορχησάμενος.
(26) *Σοδομιτικοῦ*. Duo Regg., Σοδομιτῶν.
(27) *Ἀνθρωπείαν φύσιν*. Sic tres Regg., Coisl. 2 et Par. Sic etiam legit Billius. In ed. et uno cod., ἀπάνθρωπον, « crudelem naturam. » Or. 1, ἀπανθρωπείαν. Hæc sensu simpliciori, et absque metaphora, de damnatis ad bestias intelligi possunt.

impiis dogmatibus assentiri, atque ipsorum communione contaminari recusassent, quam velut serpentis virus fugimus, non illam quidem corpus lædentem, verum intimos animæ sinus inficientem? Quibus crimini datum est, quod mortuos, qui feris etiam ipsis venerationi fuerunt, sepultura donassent? Et quidem quale hoc crimen judicatum est? Alio scilicet theatro, atque aliis feris dignum. Quorum episcoporum, inspectantibus discipulis, nec præter lacrymas quidquam opis ipsis afferre valentibus, seniles carnes ferreis ungulis laceratæ sunt: **606** quæ cum Christo suspensæ fuerunt, et per cruciatum victoriam retulerunt, et populum pretioso sanguine asperserunt, ac postremo ad necem abductæ sunt, cum Christo et crucifigendæ, et sepeliendæ, et gloriam adepturæ; cum Christo, inquam, qui per hujusmodi victimas et hostias de mundo triumphavit? Quosnam presbyteros ignis et aqua, elementa contraria, inter se diviserunt, novo et inaudito more navigantibus prælucentes, simulque cum ea navi, in qua e portu solverant, conflagrantes? Quinam (ut majorem nostrorum malorum partem silentio contegam), ab ipsis etiam præfectis, qui ejusmodi officia illis præstabant, crudelitatis accusati sunt? Nam etsi cupiditatibus eorum obsequebantur, at sævum tamen et crudele animi propositum oderant. Illud enim temporis erat, hoc rationis et consilii; illud imperatorii sceleris, hoc animi agnoscentis, quid leges, ex quarum præscripto jus dicendum erat, postularent.

A μηδὲ τῇ κοινωνίᾳ χρανθῆναι, ἣν ὡς ἰὸν ὄφεως φεύγομεν, οὐ σῶμα βλάπτουσαν, τὰ δὲ βάθη μελαίνουσαν τῆς ψυχῆς (28); τίσι καὶ τὸ θάψαι νεκροὺς ἔγκλημα γέγονεν, οὓς καὶ θῆρες ᾐδέσθησαν; καὶ τὸ ἔγκλημα πόσον; Ἄλλου θεάτρου καὶ θηρῶν (29) ἄλλων ἄξιον. Τίνων ἐπισκόπων γηραιαὶ σάρκες τοῖς ὄνυξι κατεξάνθησαν, παρόντων τῶν μυηθέντων (30) καὶ βοηθεῖν οὐκ ἐχόντων, πλὴν τοῦ δακρύειν· μετὰ Χριστοῦ κρεμασθεῖσαι, τῷ παθεῖν νικήσασαι, καὶ τῷ τιμίῳ αἵματι τὸν λαὸν ῥαντίσασαι, καὶ τέλος ἀπαχθεῖσαι τὸν ἐπὶ θάνατον (31), Χριστῷ καὶ συσταυρωθησόμεναι (32), καὶ συνταφησόμεναι, καὶ συνδοξασθησόμεναι, Χριστῷ τῷ τὸν κόσμον νικήσαντι διὰ τοιούτων σφαγίων τε καὶ θυμάτων; Τίνας πρεσβυτέρους ἐναντίαι φύσεις, ὕδωρ καὶ πῦρ, ἐμερίσαντο, πυρσὸν ἄραντας (33) ξένον ἐπὶ θαλάσσης (34), καὶ τῇ νηῒ συμ- B φλεχθέντας ἐφ' ἧς ἀνήχθησαν; Τίνες (ἵνα τὰ πλείω συγκαλύψω τῶν ἡμετέρων (35) κακῶν) καὶ ὑπ' αὐτῶν τῶν ἀρχόντων (36) ἀπανθρωπίαν ἐνεκλήθησαν, τῶν τὰ τοιαῦτα χαριζομένων; Καὶ γὰρ εἰ ταῖς ἐπιθυμίαις ὑπηρέτουν, ἀλλ' οὖν ἐμίσουν τῆς προαιρέσεως τὸ ὠμόν. Τὸ μὲν γὰρ ἦν τοῦ καιροῦ, τὸ δὲ τοῦ λογισμοῦ· καὶ τὸ μὲν τῆς τοῦ βασιλέως παρανομίας, τὸ δὲ τῆς τῶν νόμων (37), οἷς δικάζειν ἐχρῆν, συναισθήσεως.

V. Atque, ut antiquiora commemoremus (ejusdem enim hæc quoque sodalitii sunt), quibusnam, vel mortuorum, vel viventium, manibus præcisis falsum crimen sanctis viris intuli, ut fidem per fraudem et calumniam oppugnarem? Quorum exsilia tanquam beneficia numeravi, ac ne sacrorum quidem philosophorum sacros cœtus veritus sum, in quibus supplices exquirebam; imo contra, illos quoque martyres effeci, virtutis causa periculum subeuntes? Quibusnam ego, cui sermonis petulantia objicitur, scorta immisi, et quidem ejusmodi

C Ε'. Ἢ ἵνα τὰ παλαιότερα λέγωμεν (καὶ ταῦτα γὰρ τῆς αὐτῆς φρατρίας), τίνας περιελὼν χεῖρας, ἢ τεθνηκότων, ἢ ζώντων ἁγίων, κατεψευσάμην, ἵνα τὴν πίστιν πολεμήσω διὰ τῆς ἐπηρείας; Τίνων ἐξορίας ὡς εὐεργεσίας ἠρίθμησα, καὶ οὐδὲ φιλοσόφων ἱερῶν ᾐδέσθην ἱερὰ συστήματα, ὅθεν τοὺς ἱκέτας (38) ἐζήτουν. Τοὐναντίον μὲν οὖν, κἀκείνους ἐποίησα μάρτυρας, ὑπὲρ τοῦ καλοῦ κινδυνεύοντας. Τίσιν ἐπεισήγαγον πόρνας ἀσάρκοις μικροῦ καὶ ἀναίμοσι, τὴν περὶ τῶν λόγων (39) ἀσέλγειαν ἐγκαλούμενος; Τίνας (40) τῶν εὐσεβῶν τῆς πατρίδος ὑπερορίσας, ἀνδρῶν ἀνό-

(28) *Ψυχῆς*. Deest in duobus Regg. et Or. 1.

(29) *Θηρῶν*. Or. 1, θρήνων. « Alio planctu dignum. » Sed ad marg., θηρῶν.

(30) *Τῶν μυηθέντων*. Schol.: Τῶν ὁμοπίστων καὶ ὁμοδόξων· « Ejusdem fidei et doctrinæ. »

(31) *Τὸν ἐπὶ θάνατον*. Tres Regg., Coisl. 1 et Or. 1, τὴν ἐπὶ θανάτῳ.

(32) *Χριστῷ καὶ συσταυρωθησόμεναι*. Sic Sav. et Comb. Deest in ed., καὶ συσταυρωθησόμεναι.

(33) *Ἄραντας*. Tres Regg. et Comb., ἄραντες.

(34) *Ἐπὶ θαλάσσης*. Duo Regg., ὑπὲρ θαλάσσης. In Schol. Colb. legitur: Φασὶ δὲ π' εἶναι τοὺς καέντας, ὧν ἡγοῦντο Οὐρβανος, Θεόδωρος, καὶ Μενέδημος· « Aiunt 80 esse, qui igne absumpti sunt, quorum duces erant Urbanus, Theodorus et Menedemus. » Verum incertum est de quibus presbyteris hic sermo sit. Narrat tamen Socrates in *Hist. trip.* lib. IV, c. 16, presbyteros 80 jussu Valentis a Modesto præfecto in mari concrematos fuisse. Ad hanc sententiam accedit Elias. Billius autem innuit, Gregorium hic alludere ad presbyterum illum, cujus martyrium in or. XXV, n. 10, fuse describitur.

(35) *Ἡμετέρων*. Comb. legit, ὑμετέρων. « Malorum vestrorum, » id est, « malorum quibus nos vexastis, quæ nobis intulistis. »

(36) *Ὑπ' αὐτῶν τῶν ἀρχόντων*. Præfecti, quamvis et ipsi crudeles, et Valentis jussa exsequentes, D nonnunquam tamen ipsius crudelitatem detestabantur.

(37) *Τῶν νόμων*. Or. 1, τῶν ἀνόμων, « impiorum. »

(38) *Ἱκέτας*. « Supplices, » id est, « qui obviam supplicaturi venirent. » Tales enim Ariani monachos existimabant. Agitur hic de vastatione monasteriorum, quam Socrates lib. IV, c. 22, enarrata Lucii Ariani persecutione, ita refert: « Eodem tempore monasteria vexata ab illis, atque exagitata et crudeliter oppugnata sunt. » Cæterum plures Regg. et Colb., ac duo Coisl. habent, ἱκέτας. Sic etiam legit Bill. Gabr. vero, οἰκέτας, « domesticos. » In ed. οἰκείους, « familiares. »

(39) *Περὶ τῶν λόγων*. Reg. a, Or. 1, Par., περὶ τὸν λόγον.

(40) *Τίνας*. Sic tres Regg. et Or. 1. In ed., τίνος.

μων χερσὶ παρέδωκα, ἵν' ὡς θῆρες εἱρχθέντες ἐν ἀφεγγέσιν οἴκοις, καὶ ἀλλήλων διαζευχθέντες (τοῦτο γὰρ δὴ τὸ τῆς τραγῳδίας βαρύτατον), λιμῷ καὶ δίψει κακοπαθήσωσι, τροφὴν μετρούμενοι, καὶ ταύτην διὰ στενῶν τῶν πόρων, καὶ οὐδὲ τοὺς συναλγοῦντας ὁρᾷν ἐώμενοι (41); Καὶ ταῦτα, τίνες (42); Ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος. Οὕτω τιμᾶτε πίστιν ὑμεῖς; οὕτω ξενίζετε; Ἀγνοεῖτε τὰ πλείω τούτων· καὶ λίαν εἰκότως, διὰ τὸ πλῆθος τῶν δραμάτων, καὶ τῆς ἐν τῷ ποιεῖν τρυφῆς· ἀλλὰ τὸ πάσχον μνημονικώτερον. Τί μοι τὰ πόῤῥω λέγειν; Ἀλλά τινες καὶ τοῦ καιροῦ γεγόνασι βιαιότεροι (43), καθάπερ οἱ κατὰ φραγμῶν ὠθούμενοι σύες. Ζητῶ μου τὸ χθὲς ὑμῶν σφάγιον, τὸν γέροντα (44), καὶ Ἀβραμιαῖον πατέρα, ὃν ἐκ τῆς ὑπερορίας ἀχθέντα, λίθοις ἐδεξιώσασθε, μεσούσης ἡμέρας, ἐν μέσῃ πόλει. Ἡμεῖς δὲ καὶ τοὺς φονεῖς, εἰ μὴ φορτικὸν εἰπεῖν, ἐξῃτησάμεθα (45) κινδυνεύοντας. *Ποῖα τούτων ἵλεως ἔσομαί σοι;* φησί που τῆς Γραφῆς ὁ Θεός. Τί τούτων ἐπαινέσω; μᾶλλον δὲ, ἐκ ποίων ὑμᾶς ἀναδήσομαι;

viris, qui carne pene ac sanguine carebant? Quosnam pios viros, patriæ finibus pulsos, hominibus iniquis dedidi, ut tenebricosis domibus ferarum in modum inclusi, atque alii ab aliis disjuncti (quod in tota tragœdia gravissimum erat), fame ac siti laborarent, certam cibi mensuram, eamque per angustas rimas accipientes, ne facta quidem ipsis potestate eos videndi, qui in iisdem doloribus versabantur? Atque hæc, quinam viri? *Quibus dignus non erat mundus* [14]. Sic fidem honori habetis? Sic hospitio excipitis? Majorem **607** horum partem ignoratis; et merito sane propter rerum gestarum multitudinem, miramque in faciendo voluptatem. At is, qui patitur, tenaciori memoria esse solet. Quid autem longinqua colligo? At nonnulli violentiores etiam sese præbuerunt, quam temporis ratio ferre videretur, non secus atque apri, qui per septa quædam magno impetu feruntur. Hesternam meam victimam posco, senem illum, et Abrahamicum patrem, quem ex exsilio redeuntem medio die, media in urbe saxis excepistis. At nos (nisi hoc dictu grave atque invidiosum sit), interemptores etiam ipsos deprecatione nostra periculo mortis liberavimus. *Super quo horum tibi propitius ero?* quodam Scripturæ loco ait Deus [15]. Quid horum laudabo? vel potius, ob quæ corona vos cingam?

γειον. Χριστὸς ἐν σαρκὶ, τρόμῳ καὶ χαρᾷ ἀγαλλιᾶσθε· τρόμῳ, διὰ τὴν ἁμαρτίαν· χαρᾷ, διὰ τὴν ἐλπίδα. Χριστὸς ἐκ Παρθένου· γυναῖκες παρθενεύσατε, ἵνα Χριστοῦ γένησθε μητέρες. Τίς οὐ προσκυνεῖ τὸν ἀπ' ἀρχῆς; τίς οὐ δοξάζει τὸν τελευταῖον;

Β'. Πάλιν τὸ σκότος (82) λύεται, πάλιν τὸ φῶς ὑφίσταται, πάλιν Αἴγυπτος σκότῳ κολάζεται, πάλιν Ἰσραὴλ στύλῳ φωτίζεται. Ὁ λαὸς, ὁ καθήμενος ἐν σκότει τῆς ἀγνοίας, ἰδέτω (83) φῶς μέγα τῆς ἐπιγνώσεως. *Τὰ ἀρχαῖα παρῆλθεν· ἰδοὺ γέγονε τὰ πάντα καινά.* Τὸ γράμμα ὑποχωρεῖ, τὸ πνεῦμα πλεονεκτεῖ, αἱ σκιαὶ παρατρέχουσιν, ἡ ἀλήθεια ἐπεισέρχεται. Ὁ Μελχισεδὲκ (84) συνάγεται· ὁ ἀμήτωρ, ἀπάτωρ γίνεται· ἀμήτωρ τὸ πρότερον, ἀπάτωρ τὸ δεύτερον. Νόμοι φύσεως καταλύονται. Πληρωθῆναι δεῖ τὸν ἄνω κόσμον. Χριστὸς (85) κελεύει· μὴ ἀντιτείνωμεν. *Πάντα τὰ ἔθνη, κροτήσατε χεῖρας, ὅτι παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς καὶ* (86) *ἐδόθη ἡμῖν, οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ* (τῷ γὰρ σταυρῷ συνεπαίρεται), *καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ, μεγάλης βουλῆς*, τῆς τοῦ Πατρὸς, *Ἄγγελος*. Ἰωάννης βοάτω· *Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου.* Κἀγὼ (87) βοήσομαι τῆς ἡμέρας τὴν δύναμιν· Ὁ ἄσαρκος σαρκοῦται, ὁ Λόγος παχύνεται, ὁ ἀόρατος ὁρᾶται, ὁ ἀναφὴς ψηλαφᾶται, ὁ ἄχρονος (88) ἄρχεται, ὁ Υἱὸς τοῦ Θεοῦ Υἱὸς ἀνθρώπου γίνεται, *Ἰησοῦς Χριστὸς, χθὲς καὶ σήμερον, ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας.* Ἰουδαῖοι σκανδαλιζέσθωσαν, Ἕλληνες διαγελάτωσαν, αἱρετικοὶ γλωσσαλγείτωσαν. Τότε πιστεύσουσιν (89), ὅταν ἴδωσιν (90) εἰς οὐρανὸν ἀνερχόμενον· εἰ δὲ μὴ τότε, ἀλλ' ὅταν ἐξ οὐρανῶν ἐρχόμενον, καὶ ὡς κριτὴν καθεζόμενον.

Γ'. Ταῦτα μὲν ὕστερον. Τὰ δὲ νῦν Θεοφάνια, ἡ πανήγυρις, εἴτουν Γενέθλια· λέγεται γὰρ ἀμφότερα, δύο κειμένων προσηγοριῶν ἑνὶ πράγματι. Ἐφάνη γὰρ Θεὸς ἀνθρώποις διὰ γεννήσεως· τὸ μὲν ὢν, καὶ ἀεὶ ὢν ἐκ τοῦ ἀεὶ ὄντος (91), ὑπὲρ αἰτίαν καὶ λόγον (οὐδὲ γὰρ ἦν τοῦ Λόγου λόγος ἀνώτερος)· τὸ δὲ, δι' ἡμᾶς γενόμενος ὕστερον, ἵν' ὁ τὸ εἶναι δοὺς, καὶ τὸ εὖ εἶναι χαρίσηται· μᾶλλον δὲ, ῥεύσαντας ἡμᾶς ἀπὸ τοῦ εὖ εἶναι διὰ κακίαν, πρὸς αὐτὸ (92) πάλιν ἐπαναγάγῃ διὰ σαρκώσεως. Ὄνομα δὲ, τῷ φανῆναι (93) μὲν, Θεοφάνια· τῷ δὲ γεννᾶσθαι, Γενέθλια.

A Christus in carne, tremore et gaudio exsultate; tremore, propter peccatum; gaudio, propter spem. Christus ex Virgine; mulieres, virginitatem colite, ut Christi matres sitis. Quis eum, qui a principio est, non adorat? Quis eum, qui postremus est, non laudat ac celebrat?

II. Rursus tenebræ solvuntur, rursus lux creatur, rursus Ægyptus tenebris vexatur [72], rursus Israel per columnam illuminatur [73]. Populus, qui in ignorantiæ tenebris sedet [74], magnam cognitionis et scientiæ lucem inspiciat. *Vetera transierunt: ecce facta sunt omnia nova* [75]. Littera cedit, spiritus superat, umbræ prætereunt, veritas ingreditur. Melchisedech colligitur: qui sine matre erat, sine patre efficitur; prius quidem sine matre, post autem B sine patre. Naturæ leges evertuntur. Supernum mundum impleri oportet. Christus jubet: ne obsistamus. *Omnes gentes, plaudite manibus* [76], quoniam *parvulus natus est nobis, et filius datus est nobis, cujus principatus super humerum ejus* (cum cruce etenim extollitur), *ac vocatur nomen ejus, magni consilii*, hoc est, paterni, *Angelus* [77]. Clamet Joannes: *Parate viam Domini* [78]. Ego quoque diei hujus vim ac potentiam clamabo; carnis expers incarnatur; Verbum crassescit; invisibilis cernitur; intactilis tangitur; tempore vacans initium sumit; Dei Filius, hominis Filius efficitur, *Jesus Christus heri, et hodie, ipse et in sæcula* [79]. Judæi offendantur, Græci derideant, hæretici linguæ prurigine afficiantur. C Tum credent, cum in cœlum ascendentem viderint: quod si ne tum quidem, at certe cum e cœlo descendentem, atque ut judicem sedentem aspexerint.

III. Verum hæc posterius. Nunc autem Theophania, sive Natalitia, præsens celebritas: utroque enim modo appellatur, duobus scilicet nominibus uni eidemque rei impositis. Deus enim per nativitatem hominibus apparuit, alterum quidem jam exsistens, et quidem sempiterne **665** ex sempiterno, supra causam omnem ac rationem (neque enim causa ulla Verbo superior erat); alterum, nostræ salutis causa, postea factus, ut, qui vitam dederat, idem beatam quoque vitam largiretur; vel potius, ut nos per vitium a beata vita prolapsos, ad eamdem rursus Incarnationem suam revocaret. Theophania igitur ob eam causam hoc festum appellatur, quod apparuerit; Nativitas vero, quod natus sit.

[72] Exod. x, 21. [73] Exod. xiii, 21. [74] Isa. ix, 2. [75] II Cor. v, 17. [76] Psal. xlvi, 1. [77] Isa. ix, 6. [78] Matth. iii, 3. [79] Hebr. xiii, 8.

(82) *Τὸ σκότος.* Per « tenebras » intelligit Gregorius « errorem » et « peccatum; » per « lucem » autem, « veram fidei doctrinam et virtutem. »

(83) *Ἰδέτω*, etc. In Isaia ix, 2, juxta LXX, legitur: Ἴδε τὸ φῶς μέγα· « Vidit lucem magnam. »

(84) *Μελχισεδέκ.* Melchisedech sine patre et sine matre fuit Christi typus. Quod quidem in Christi nativitate completum est. Hinc Aug. tract. 8 *in Joan.* ait: « Christus singulariter natus de patre sine matre, de matre sine patre; sine matre Deus, sine patre homo, » etc.

(85) *Χριστός.* Reg. c, Κύριος, « Dominus. »

(86) *Υἱὸς καί*, etc. Sic LXX et melioris notæ codd. In ed., Υἱός, καί. Quod sic vertit Billius: « Parvu- D lus natus est nobis filius, et datus est nobis. »

(87) *Κἀγώ.* Quinque Regg., ἐγώ.

(88) *Ἄχρονος.* Ἄναρχος legit Nicephorus in *Antirrh. adv. Const. Copronym.* ap. Mai, *Biblioth. nova* V, ii, 65. Edit.

(89) *Πιστεύσουσιν.* Sic sex Regg., Coisl. 2 et Or. 2. In ed., πιστεύουσιν, « credunt. »

(90) *Ἴδωσιν.* Duo Colb. addunt, αὐτόν.

(91) *Ἐκ τοῦ ἀεὶ ὄντος.* Hæc desunt in nonnullis.

(92) *Αὐτό.* Reg. pb, sed recentiori manu, ἑαυτόν.

(93) *Τῷ φανῆναι.* Chrys., τὸ φανῆναι. Mox idem, τὸ δὲ γεννᾶσθαι.

IV. Hoc festum nostrum est, hoc hodierno die A celebramus, Dei nimirum ad homines adventum, ut ad Deum accedamus, aut (id enim aptius dicitur), revertamur; ut, deposito veteri homine, novum induamus; et quemadmodum in veteri Adamo mortui sumus, ita in Christo vivamus, dum nimirum cum Christo et nascimur, et cruci affigimur, et sepelimur, et resurgimus. Pulchra enim in contrarium mutatio mihi subeunda est, ut, quemadmodum ex secundis rebus molestæ venerunt, sic etiam ex molestis lætæ et jucundæ redeant. *Ubi enim abundavit peccatum, superabundavit et gratia* [80]; et, si gustus condemnavit, quanto magis Christi passio justificavit? Quocirca non ut in publicis festis fieri solet, sed divine; non mundane, sed supra mundane; non quæ nostra sunt, sed ejus qui noster B est, vel, ut rectius loquar, ejus qui Dominus est; non quæ infirmitatis sunt, sed quæ curationis; non quæ creationis, sed quæ regenerationis, celebremus.

V. Id autem qua ratione consequemur? Nempe, si nec domus vestibula coronis cingamus, nec choros agitemus, nec vicos ornemus, nec oculum pascamus, nec aurem cantu mulceamus, nec olfactum muliebriter deliniamus, nec gustui lenocinemur, nec tactui gratificemur, promptis, inquam, illis ad vitium viis, et peccati januis, nec delicatis et circumfluentibus vestibus emolliamur, quarum quod pulcherrimum est, nulli usui est, nec gemmarum splendoribus, nec auri fulgoribus, nec colorum artificiis nativam pulchritudinem ementientibus, atque adversus divinam imaginem excogitatis; C nec comessationibus et ebrietatibus [81], quibus cubilia et impudicitias adjuncta esse scio; quandoquidem malorum magistrorum malæ doctrinæ sunt, vel potius, malorum seminum malæ segetes. Ne altos e frondibus toros figamus, ventri umbracula **666** delicata fabricantes. Nec fragrantia vina, nec coquorum lenocinia, nec exquisitissima unguenta in pretio habeamus. Nec terra et mare pretiosum nobis stercus dono offerant (hoc enim honore delicias afficere soleo); nec alius alium intemperantia superare contendamus. Mihi enim intemperantia est, quidquid superfluum est, ususque necessarios excedit; idque esurientibus aliis, atque inopia laborantibus, iis, inquam, qui ex eodem luto et temperamento constant.

VI. Verum hæc gentilibus, ac gentilitiis pompis, D festisque relinquamus: qui etiam iis, quos sacrificiorum nidor oblectat, deorum nomen tribuunt, apteque proinde divinum numen ventre colunt, mali utique malorum dæmonum, et fictores, et sacerdotes, et cultores. At nos, a quibus Verbum adoratur, si quid deliciis dandum est, in sermone deli-

Δ'. Τοῦτό ἐστιν ἡμῖν ἡ πανήγυρις, τοῦτο ἑορτάζομεν σήμερον, ἐπιδημίαν Θεοῦ πρὸς ἀνθρώπους, ἵνα πρὸς Θεὸν ἐνδημήσωμεν (94), ἢ ἐπανέλθωμεν (οὕτω γὰρ εἰπεῖν οἰκειότερον), ἵνα τὸν παλαιὸν ἄνθρωπον ἀποθέμενοι, τὸν νέον ἐνδυσώμεθα· καὶ ὥσπερ ἐν τῷ Ἀδὰμ ἀπεθάνομεν, οὕτως ἐν τῷ Χριστῷ ζήσωμεν, Χριστῷ καὶ συγγεννώμενοι (95), καὶ συσταυρούμενοι, καὶ συνθαπτόμενοι (96), καὶ συνανιστάμενοι. Δεῖ γάρ με παθεῖν τὴν καλὴν ἀντιστροφήν· καὶ ὥσπερ ἐκ τῶν χρηστοτέρων, ἦλθε τὰ λυπηρὰ, οὕτως ἐκ τῶν λυπηρῶν, ἐπανελθεῖν τὰ χρηστότερα. *Οὗ γὰρ ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις*· καὶ εἰ ἡ γεῦσις κατέκρινε, πόσῳ μᾶλλον τὸ Χριστὸν παθεῖν ἐδικαίωσεν; Τοιγαροῦν ἑορτάζωμεν, μὴ πανηγυρικῶς, ἀλλὰ θεϊκῶς· μὴ κοσμικῶς, ἀλλ' ὑπερκοσμίως· μὴ τὰ ἡμέτερα, ἀλλὰ τὰ τοῦ ἡμετέρου, μᾶλλον δὲ τὰ τοῦ Δεσπότου· μὴ τὰ τῆς ἀσθενείας, ἀλλὰ τὰ τῆς ἰατρείας· μὴ τὰ τῆς πλάσεως, ἀλλὰ τὰ τῆς ἀναπλάσεως.

Ε'. Ἔσται δὲ τοῦτο πῶς; Μὴ πρόθυρα στεφανώσωμεν, μὴ χοροὺς συστησώμεθα, μὴ κοσμήσωμεν ἀγυιὰς, μὴ ὀφθαλμὸν ἑστιάσωμεν, μὴ ἀκοὴν καταυλήσωμεν, μὴ ὄσφρησιν ἐκθηλύνωμεν, μὴ γεῦσιν καταπορνεύσωμεν, μὴ ἀφῇ χαρισώμεθα, ταῖς προχείροις εἰς κακίαν ὁδοῖς, καὶ εἰσόδοις τῆς ἁμαρτίας, μὴ ἐσθῆτι μαλακισθῶμεν, ἁπαλῇ τε καὶ περιῤῥεούσῃ, καὶ ἧς τὸ κάλλιστον ἀχρηστία, μὴ λίθων διαυγείαις, μὴ χρυσοῦ περιλάμψεσι, μὴ χρωμάτων σοφίσμασι ψευδομένων τὸ φυσικὸν κάλλος, καὶ κατὰ τῆς εἰκόνος ἐξευρημένων· μὴ κώμοις καὶ μέθαις, οἷς κοίτας καὶ ἀσελγείας οἶδα συνεζευγμένας· ἐπειδὴ κακῶν διδασκάλων κακὰ τὰ μαθήματα, μᾶλλον δὲ πονηρῶν σπερμάτων πονηρὰ τὰ γεώργια. Μὴ στιβάδας ὑψηλὰς πηξώμεθα σκηνοποιοῦντες τῇ γαστρὶ τὰ τῆς θρύψεως. Μὴ τιμήσωμεν οἴνων τοὺς ἀνθοσμίας, ὀψοποιῶν μαγγανείας, μύρων πολυτελείας. Μὴ γῆ καὶ θάλασσα τὴν τιμίαν ἡμῖν κόπρον δωροφορείτωσαν· οὕτω γὰρ ἐγὼ τιμᾶν οἶδα τρυφήν. Μὴ ἄλλος ἄλλον ἀκρασίᾳ νικᾷν σπουδάζωμεν. Ἀκρασία γὰρ ἐμοὶ, πᾶν τὸ περιττὸν καὶ ὑπὲρ τὴν χρείαν· καὶ ταῦτα πεινώντων ἄλλων καὶ δεομένων, τῶν ἐκ τοῦ αὐτοῦ πηλοῦ τε καὶ κράματος.

Ϛ'. Ἀλλὰ ταῦτα μὲν Ἕλλησι παρῶμεν, καὶ Ἑλληνικοῖς κόμποις, καὶ πανηγύρεσιν· οἳ καὶ θεοὺς ὀνομάζουσι (97) κνίσσαις χαίροντας, καὶ ἀκολούθως τὸ θεῖον τῇ γαστρὶ θεραπεύουσι, πονηροὶ πονηρῶν δαιμόνων, καὶ πλάσται, καὶ μυσταγωγοὶ, καὶ μύσται (98) τυγχάνοντες. Ἡμεῖς δὲ, οἷς Λόγος τὸ προσκυνούμενον, κἄν τι δέῃ (99) τρυφᾷν, ἐν λόγῳ (1)

[80] Rom. v, 20. [81] Rom. xiii, 13.

(94) *Ἐνδημήσωμεν.* « Præsentes simus, accedamus. » Sic plerique codd. In ed., ἐκδημήσωμεν, « excedamus. »

(95) *Συγγεννώμενοι.* « Nascimur. » Sic Comb. Sic etiam legit Billius. In ed., συγγενόμενοι, « conversamur. »

(96) *Συνθαπτόμενοι.* Chrys. et Par. addunt, προθύμως, « alacriter. »

(97) *Ὀνομάζουσι.* Or. 1, νομίζουσι, « Deos arbitrantur nidore sacrificiorum delectari. »

(98) *Μυσταγωγοὶ καὶ μύσται.* « Erroris ac dæmonum doctores et discipuli. »

(99) *Δέῃ.* Quatuor Regg., octo Colb., Chrys., δέοι.

(1) *Ἐν λόγῳ.* Coisl. 1, ἐν λόγοις.

τρυφήσωμεν, καὶ θείῳ νόμῳ, καὶ διηγήμασι (2), τοῖς τε ἄλλοις, καὶ ἐξ ὧν (3) ἡ παροῦσα πανήγυρις· ἵν' οἰκεῖον ᾖ (4) τὸ τρυφᾷν, καὶ μὴ πόῤῥω τοῦ συγκαλέσαντος. Ἢ βούλεσθε (καὶ γὰρ ἐγὼ σήμερον ἑστιάτωρ ὑμῖν) ἐγὼ τὸν περὶ τούτων παραθῶ λόγον τοῖς καλοῖς ὑμῖν δαιτυμόσιν, ὡς οἷόν τε δαψιλῶς τε καὶ φιλοτίμως, ἵν' εἰδῆτε, πῶς δύναται τρέφειν ὁ ξένος τοὺς ἐγχωρίους, καὶ τοὺς ἀστικοὺς (5) ὁ ἄγροικος, καὶ τοὺς τρυφῶντας ὁ μὴ τρυφῶν, καὶ τοὺς περιουσίᾳ λαμπροὺς, ὁ πένης τε καὶ ἀνέστιος; Ἄρξομαι δὲ ἐντεῦθεν· καί μοι καθήρασθε, καὶ νοῦν, καὶ ἀκοὴν, καὶ διάνοιαν, ὅσοι τρυφᾶτε τὰ τοιαῦτα· ἐπειδὴ περὶ Θεοῦ, καὶ θεῖος ὁ λόγος· ἵν' ἀπέλθητε τρυφήσαντες (6) ὄντως τὰ μὴ κενούμενα. Ἔσται δὲ ὁ αὐτὸς πληρέστατός τε ἅμα καὶ συντομώτατος· ὡς μήτε τῷ ἐνδεεῖ λυπεῖν, μήτε ἀηδὴς (7) εἶναι διὰ τὸν κόρον.

Ζ'. Θεὸς ἦν μὲν ἀεὶ, καὶ ἔστι, καὶ ἔσται· μᾶλλον δὲ *ἔστιν* ἀεί. Τὸ γὰρ *ἦν*, καὶ *ἔσται*, τοῦ καθ' ἡμᾶς χρόνου τμήματα, καὶ τῆς ῥευστῆς φύσεως· *ὁ δὲ ὢν* ἀεὶ, καὶ τοῦτο αὐτὸς ἑαυτὸν ὀνομάζει, τῷ Μωϋσεῖ χρηματίζων (8) ἐπὶ τοῦ ὄρους. Ὅλον γὰρ ἐν ἑαυτῷ συλλαβὼν, ἔχει τὸ εἶναι, μήτε ἀρξάμενον, μήτε παυσόμενον (9), οἷόν τι πέλαγος οὐσίας ἄπειρον καὶ ἀόριστον, πᾶσαν ὑπερεκπῖπτον ἔννοιαν, καὶ χρόνου καὶ φύσεως· νῷ μόνῳ σκιαγραφούμενος, καὶ τοῦτο (10) λίαν ἀμυδρῶς καὶ μετρίως, οὐκ ἐκ τῶν (11) κατ' αὐτὸν, ἀλλ' ἐκ τῶν περὶ αὐτὸν, ἄλλης ἐξ ἄλλου φαντασίας συλλεγομένης, εἰς ἕν τι τῆς ἀληθείας ἴνδαλμα, πρὶν κρατηθῆναι, φεῦγον, καὶ πρὶν νοηθῆναι, διαδιδράσκον· τοσαῦτα περιλάμπον ἡμῶν τὸ ἡγεμονικὸν, καὶ ταῦτα κεκαθαρμένον, ὅσα καὶ ὄψιν ἀστραπῆς τάχος οὐχ ἱσταμένης. Ἐμοὶ δοκεῖν, ἵνα τῷ ληπτῷ μὲν ἕλκῃ πρὸς ἑαυτὸ (12) (τὸ γὰρ τελέως ἄληπτον, ἀνέλπιστον, καὶ ἀνεπιχείρητον), τῷ δὲ ἀλήπτῳ θαυμάζηται, θαυμαζόμενον δὲ ποθῆται πλέον, ποθούμενον δὲ καθαίρῃ, καθαῖρον δὲ θεοειδεῖς ἀπεργάζηται (13), τοιούτοις δὲ γενομένοις, ὡς οἰκείοις, ἤδη προσομιλῇ, τολμᾷ τι νεανικὸν ὁ λόγος, Θεὸς θεοῖς ἑνούμενός τε καὶ γνωριζόμενος, καὶ τοσοῦτον ἴσως, ὅσον ἤδη γινώσκει τοὺς γινωσκομένους. Ἄπειρον οὖν τὸ θεῖον καὶ δυσθεώρητον· καὶ τοῦτο πάντη καταληπτὸν αὐτοῦ μόνον, ἡ ἀπειρία· κἂν τις οἴηται τῷ ἁπλῆς (14) εἶναι φύσεως, ἢ ὅλον ἄληπτον εἶναι, ἢ τελέως ληπτόν. Τί γὰρ ὃς ἁπλῆς ἐστι φύσεως, ἐπιζητήσωμεν. Οὐ γὰρ δὴ τοῦτο φύσις αὐτῷ ἡ ἁπλό-

ciemur, atque in lege divina, et narrationibus; cum aliis, tum iis præsertim, quæ præsenti festo consentaneæ sunt; ut aptæ, minimeque ab eo, a quo convocati sumus, alienæ sint deliciæ nostræ. An vero placet, ut, quandoquidem hodierno die convivatoris apud vos munere perfungor, vobis, præclaris convivis, sermonem de his rebus, quam fieri poterit, lautissimum et copiosissimum apponam, ut noscatis, quam belle, et indigenas peregrinus, et urbanos rusticus, et deliciis operam dantes homo a deliciis alienus, et opibus claros pauper ac domo carens, alere queat? Hinc autem exordiar: ac vos, quæso, et mentem, et aures, et animum purgatum afferte, quicunque hujusmodi deliciis studetis (quandoquidem quæ de Deo habetur, divina quoque ipsa est oratio); ut deliciis haudquaquam evanescentibus revera affecti discedatis. Erit autem eadem simul et plenissima, et maxime compendiosa; ut nec ob defectum molestiam, nec ob saturitatem tædium afferat.

VII. Deus, et erat semper, et est, et erit: vel, ut rectius loquar, semper *est*. Nam *erat*, et *erit*, nostri temporis, fluxæque naturæ segmenta sunt. Ille autem semper *est*, atque hoc modo seipsum nominat, cum in monte Moysi oraculum edit[82]. Universum enim id, quod est, in se complectitur, nec principium habens, nec **667** finem habiturum, velut pelagus quoddam essentiæ immensum et interminatum, omnem, tum temporis, tum naturæ cogitationem superans; mente sola adumbratus is, et quidem perexigue ac perobscure, non ex his quæ in ipso sunt, sed quæ circa ipsum: alia ex alio collecta specie ad unum quoddam veritatis simulacrum, priusquam teneatur, effugiens, et priusquam intellectu percipiatur, se ipsum fuga proripiens: tantum principem nostri partem, eamque a vitiorum labe purgatam, collustrans, quantum oculorum aciem fulguris celeritas minime consistentis. Hoc autem, mea quidem sententia, idcirco fit, ut quatenus comprehendi potest, nos ad se trahat (quod enim percipi omnino nequit, id nec sperat quisquam, nec assequi conatur); quatenus autem capi non potest, admirationem sui excitet, atque ex ipsa admiratione vehementius expetatur, expetitus purget, purgans autem divinos efficiat, talesque cum redditi sunt, cum iis jam, velut cum familiaribus, consuetudinem habeat (metuo ne hoc audacius a me dictum videri possit), Deus diis unitus et cognitus, ac tantum fortasse, quantum jam eos, qui ipsi noti sunt, cogno-

[82] **Exod. III, 14.**

(2) *Καὶ διηγήμασι.* Sic Regg. bm, ph, Chrys., etc. In ed., καὶ διηγήματι.
(3) *Ἐξ ὧν*, etc. « Ex quibus præsens solemnitas constat; » in qua scilicet agitur de homine creato, lapso et instaurando per mysterium Incarnationis.
(4) *Ἵν' οἰκεῖον ᾖ.* Sic Regg. b, c, o, bm, ph, Chrys., Coisl. 1, Or. 1, etc. In ed., ἵν' οἰκείαν ᾖ.
(5) *Ἀστικούς.* Sic tres Regg. et totidem Colb. ac Or. 1. In ed., ἀστυκούς.
(6) *Τρυφήσαντες.* Comb., τρυφήσοντες.
(7) *Ἀηδής.* Or. 1, ἀηδεῖς.
(8) *Χρηματίζων.* Sic Comb. ex duobus codd. et Bas. In ed., σχηματίζων, « effingens. »
(9) *Ἀρξάμενον ... παυσόμενον.* Or. 1, ἀρξάμενος ... παυσόμενος.
(10) *Τοῦτο.* Sic Reg. ph, etc. In ed., τούτῳ.
(11) *Οὐκ ἐκ τῶν*, etc. « Non ex iis quæ in ipso sunt, sed ex iis quæ sunt circa ipsum, » nempe, « ex creaturis. »
(12) *Ἑαυτό.* Reg. ph, ἑαυτόν.
(13) *Ἀπεργάζηται.* Tres Regg. ἐργάζηται.
(14) *Τῷ ἁπλῆς.* Sic tres Regg. et decem Colb. In ed., τὸ ἁπλῆς.

scit. Immensus igitur et infinitus est Deus, et ad A contemplandum difficilis : atque hoc solum omnino de ipso comprehendi potest, nempe quod immensus, et infinitus sit : etsi quispiam existime., eum, quia simplicis naturæ sit, rationem hanc habere, ut, vel prorsus incomprehensibilis sit, vel prorsus ac perfecte comprehendi queat. Quid enim ille sit, qui naturam simplicem habet, exquiramus. Neque enim simplicitas illi natura est : quandoquidem nec compositis sola compositio.

της· εἴπερ μηδὲ τοῖς συνθέτοις, μόνον τὸ εἶναι συνθέτοις.

VIII. Jam vero, cum immensitas bifariam consideretur, nempe et principii, et finis ratione (nam quod supra hæc est, ac non in his, immensum est); cum in superius profundum mens aspexit, non habens ubi consistat, formisque illis, quas de Deo concipit innitatur, immensum hoc et inextricabile, anarchum, hoc est, principio carens, appellavit : cum autem ad inferiora et posteriora, immortale atque interitus expers; cum vero utrumque contraxit et collegit, æternum. Æternitas enim, nec B tempus, nec temporis pars ulla est (nec enim in mensuram cadit); sed quod nobis tempus est, solis motu definitum, hoc æternis ævum est, nimirum ille quasi temporalis quidam motus, et intervallum, quod simul cum æternis extenditur. Atque hæc nobis **668** in præsentia de Deo dicta sint. Neque enim plura disserere hujus est temporis, quandoquidem nobis hoc loco non de divinitate, sed de œconomia instituta est oratio. Deum porro cum dico, Patrem, et Filium, et Spiritum sanctum dico; nec ultra hæc diffusa divinitate, ne deorum turbam inducamus; nec rursus infra hæc finita et restricta, ne deitatis inopia premi judicemur, vel propter unius principatum in Judaismum, vel C propter deorum multitudinem in gentilismum incidentes. Nam utrobique malum æquale est, tametsi in contrariis reperiatur. Sic nimirum Sancta sanctorum, quæ etiam a seraphinis obteguntur, ac tribus sanctificationibus celebrantur[83], in unam dominationem ac deitatem coeuntibus : auemadmodum et alius quidam ante nos pulcherrime et sublimissime philosophatus est.

Η'. Διχῆ δὲ τοῦ ἀπείρου θεωρουμένου, κατά τε ἀρχὴν καὶ τέλος (τὸ γὰρ ὑπὲρ ταῦτα, καὶ μὴ ἐν τούτοις, ἄπειρον), ὅταν μὲν εἰς τὸν ἄνω βυθὸν (15) ὁ νοῦς ἀποβλέψῃ, οὐκ ἔχων ὅποι στῇ καὶ ἀπερείσηται ταῖς περὶ Θεοῦ φαντασίαις, τὸ ἐνταῦθα ἄπειρον καὶ ἀνέκβατον, ἄναρχον προσηγόρευσεν· ὅταν δὲ εἰς τὰ κάτω (16) καὶ τὰ ἑξῆς, ἀθάνατον καὶ ἀνώλεθρον· ὅταν δὲ συνέλῃ τὸ πᾶν, αἰώνιον. Αἰὼν γὰρ, οὔτε χρόνος, οὔτε χρόνου τι μέρος· οὐδὲ γὰρ μετρητόν· ἀλλ' ὅπερ ἡμῖν (17) ὁ χρόνος, ἡλίου φορᾷ μετρούμενος, τοῦτο τοῖς ἀϊδίοις, αἰὼν, τὸ συμπαρεκτεινόμενον τοῖς οὖσιν, οἷόν τι χρονικὸν κίνημα, καὶ διάστημα. Ταῦτά μοι περὶ Θεοῦ πεφιλοσοφήσθω (18) τανῦν. Οὐδὲ γὰρ ὑπὲρ ταῦτα καιρὸς, ὅτι μὴ θεολογία τὸ προκείμενον ἡμῖν, ἀλλ' οἰκονομία. Θεοῦ δὲ ὅταν εἴπω, λέγω Πατρὸς, καὶ Υἱοῦ, καὶ ἁγίου Πνεύματος· οὔτε ὑπὲρ ταῦτα τῆς θεότητος χεομένης, ἵνα μὴ δῆμον θεῶν εἰσαγάγωμεν· οὔτε ἐντὸς τούτων ὁριζομένης, ἵνα μὴ πενίαν θεότητος καταχριθῶμεν, ἢ διὰ τὴν μοναρχίαν Ἰουδαΐζοντες, ἢ διὰ τὴν ἀφθονίαν Ἑλληνίζοντες. Τὸ γὰρ κακὸν ἐν ἀμφοτέροις ὅμοιον, κἂν ἐν τοῖς ἐναντίοις εὑρίσκηται (19). Οὕτω μὲν οὖν τὰ Ἅγια τῶν ἁγίων, ἃ καὶ τοῖς σεραφὶμ συγκαλύπτεται, καὶ δοξάζεται τρισὶν ἁγιασμοῖς, εἰς μίαν συνιοῦσι κυριότητα καὶ θεότητα· ὃ καὶ ἄλλῳ τινὶ (20) τῶν πρὸ ἡμῶν πεφιλοσόφηται κάλλιστά τε καὶ ὑψηλότατα.

IX. Quoniam autem bonitati nequaquam satis erat sua ipsius solum contemplatione moveri, sed bonum diffundi ac propagari oportebat, ut plura essent, quæ beneficio afficerentur (id enim summæ bonitatis erat), primum angelicas et cœlestes virtutes cogitavit : atque illa cogitatio opus erat, quod Verbo conficiebatur, ac Spiritu explebatur. Atque ita secundi splendores procreati sunt, primi splendoris administri; sive intelligentes spiritus, sive ignem D velut materiæ expertem et incorporeum, sive aliam quamdam naturam, ouam proxime ad has acce-

Θ'. Ἐπεὶ δὲ οὐκ ἤρκει τῇ ἀγαθότητι τοῦτο, τὸ κινεῖσθαι μόνον τῇ ἑαυτῆς θεωρίᾳ, ἀλλ' ἔδει χεθῆναι τὸ ἀγαθὸν καὶ ὁδεῦσαι, ὡς πλείονα εἶναι τὰ εὐεργετούμενα (τοῦτο γὰρ τῆς ἄκρας ἦν ἀγαθότητος), πρῶτον μὲν ἐννοεῖ (21) τὰς ἀγγελικὰς δυνάμεις καὶ οὐρανίους· καὶ τὸ ἐννόημα ἔργον ἦν, Λόγῳ συμπληρούμενον (22), καὶ Πνεύματι τελειούμενον. Καὶ οὕτως ὑπέστησαν λαμπρότητες δεύτεραι, λειτουργοὶ τῆς πρώτης λαμπρότητος· εἴτε νοερὰ πνεύματα, εἴτε πῦρ οἷον ἄϋλον καὶ ἀσώματον, εἴτε τινὰ φύσιν ἄλλην, ὅτι ἐγγυτάτω τῶν εἰρημένων, ταύτας ὑπο-

[83] Isa. VI, 2 seqq.

(15) *Εἰς τὸν ἄνω βυθόν*. Gloss., εἰς τὰ παρελθόντα, « ad præterita. »

(16) *Εἰς τὰ κάτω*. Reg. ph, εἰς τὸν κάτω, nempe, βυθόν. Gloss., εἰς τὰ μέλλοντα, « ad futura. »

(17) *Ὅπερ ἡμῖν*. Reg. c, ὃ παρ' ἡμῖν.

(18) *Πεφιλοσοφήσθω*. Reg. bm, πεφιλοσοφείσθω. Mox, οἰκονομία, « œconomia, » id est, « Incarnatio, » seu, « Nativitas. »

(19) *Εὑρίσκηται*. Comb., εὑρίσκεται.

(20) *Ὃ καὶ ἄλλῳ τινί*, etc. Schol. : Οἶμαι αὐτὸν Ἀθανάσιον λέγειν ἐν τῷ δ' πρὸς τὰς αἱρέσεις, εἴτουν κατὰ Ἀρειανῶν· « Credo Athanasium ab eo significari, in quarto adversus Hæreses, seu, adversus Arianos libro. » Nec aliter sentit Nicetas, quamvis locum non afferat. Budæus vero in commentariis, de quodam Dionysio sic interpretatur : « De hoc magno auctore Dionysio, » inquit, « quicunque ille fuerit, mihi locutus esse videtur Magnus Gregorius, » ἐν τῷ εἰς τὰ Γενέθλια λόγῳ, his verbis : Θεοῦ ὅταν εἴπω, λέγω Πατρός, etc.

(21) *Πρῶτον μὲν ἐννοεῖ*, etc. Schol. : Ὅτι πρὸ παντὸς τοῦ ὁρωμένου τούτου τοῦ κόσμου, ταύτας ὑποστῆναί φησι· « Ait cœlestes virtutes, ante hunc mundum oculis subjectum, fuisse conditas. » Hæc est communis omnium Græcorum opinic

(22) *Λόγῳ συμπληρούμενον*. « Verbo completum, et Spiritu perfectum; » quod Nicetas, « sanctificatum, » exponit.

ληπτέον. Βούλομαι μὲν εἰπεῖν, ὅτι ἀκινήτους πρὸς τὸ κακὸν, καὶ μόνην ἐχούσας τὴν τοῦ καλοῦ κίνησιν, ἅτε περὶ Θεὸν οὔσας, καὶ τὰ πρῶτα ἐκ Θεοῦ λαμπομένας· τὰ γὰρ ἐνταῦθα, δευτέρας ἐλλάμψεως· Πείθει δέ με, μὴ ἀκινήτους, ἀλλὰ δυσκινήτους, καὶ ὑπολαμβάνειν ταύτας, καὶ λέγειν, ὁ διὰ τὴν λαμπρότητα Ἑωσφόρος, σκότος διὰ τὴν ἔπαρσιν καὶ γενόμενος, καὶ λεγόμενος, αἵ τε ὑπ' αὐτὸν ἀποστατικαὶ δυνάμεις, δημιουργοὶ τῆς κακίας, τῇ τοῦ καλοῦ φυγῇ, καὶ ἡμῖν πρόξενοι.

Ι'. Οὕτω μὲν οὖν ὁ νοητὸς αὐτῷ, καὶ διὰ ταῦτα ὑπέστη κόσμος, ὡς ἐμὲ γοῦν περὶ τούτων φιλοσοφῆσαι, μικρῷ λόγῳ τὰ μεγάλα σταθμώμενον. Ἐπεὶ δὲ τὰ πρῶτα καλῶς εἶχεν αὐτῷ, δεύτερον ἐννοεῖ κόσμον ὑλικὸν καὶ ὁρώμενον· καὶ οὗτός ἐστι τὸ ἐξ B οὐρανοῦ καὶ γῆς, καὶ τῶν ἐν μέσῳ σύστημά τε καὶ σύγκριμα, ἐπαινετὸν μὲν τῆς καθ' ἕκαστον εὐφυΐας, ἀξιεπαινετώτερον δὲ τῆς ἐξ ἁπάντων εὐαρμοστίας καὶ συμφωνίας, ἄλλου πρὸς ἄλλο τι καλῶς ἔχοντος, καὶ πάντων πρὸς ἅπαντα, εἰς ἑνὸς κόσμου συμπλήρωσιν· ἵνα δείξῃ, μὴ μόνον οἰκείαν ἑαυτῷ φύσιν, ἀλλὰ καὶ πάντῃ ξένην ὑποστήσασθαι δυνατὸς ὤν. Οἰκεῖον μὲν γὰρ θεότητος, αἱ νοεραὶ φύσεις, καὶ νῷ μόνῳ ληπταί· ξένον δὲ παντάπασιν (23), ὅσαι ὑπὸ τὴν αἴσθησιν, καὶ τούτων αὐτῶν ἔτι πορρωτέρω, ὅσαι παντελῶς ἄψυχοι καὶ ἀκίνητοι· Ἀλλὰ τί τούτων ἡμῖν, τάχα ἂν εἴποι τις τῶν λίαν φιλεόρτων καὶ θερμοτέρων; Κέντει τὸν πῶλον (24) περὶ τὴν νύσσαν. Τὰ τῆς ἑορτῆς ἡμῖν φιλοσόφει, καὶ οἷς προκαθεζόμεθα σήμερον. C Τοῦτο δὴ καὶ ποιήσω, κἂν εἰ μικρὸν ἄνωθεν ἠρξάμην, οὕτω τοῦ πόθου καὶ τοῦ λόγου βιασαμένων (25).

ΙΑ'. Νοῦς μὲν οὖν ἤδη καὶ αἴσθησις (26), οὕτως ἀπ' ἀλλήλων διακριθέντα, τῶν ἰδίων ὅρων ἐντὸς εἱστήκεισαν, καὶ τὸ τοῦ δημιουργοῦ Λόγου μεγαλεῖον ἐν ἑαυτοῖς ἔφερον, σιγῶντες ἐπαινέται τῆς μεγαλουργίας, καὶ διαπρύσιοι κήρυκες. Οὔπω δὲ ἦν κρᾶμα ἐξ ἀμφοτέρων, οὐδέ τις μίξις τῶν ἐναντίων, σοφίας μείζονος γνώρισμα, καὶ τῆς περὶ τὰς φύσεις πολυτελείας· οὐδὲ ὁ πᾶς πλοῦτος τῆς ἀγαθότητος γνώριμος. Τοῦτο δὴ βουληθεὶς ὁ τεχνίτης ἐπιδείξασθαι Λόγος, καὶ ζῶον ἓν ἐξ ἀμφοτέρων, ἀοράτου τε λέγω καὶ ὁρατῆς φύσεως, δημιουργεῖ τὸν ἄνθρωπον· καὶ παρὰ μὲν τῆς ὕλης λαβὼν τὸ σῶμα ἤδη προϋποστάσης, παρ' ἑαυτοῦ δὲ πνοὴν (27) ἐνθεὶς (ὃ D δὴ νοερὰν ψυχὴν καὶ εἰκόνα Θεοῦ οἶδεν ὁ λόγος),

A dentem, eas existimare oportet. Gestit quidem animus dicere ad malum immobiles, atque ad bonum duntaxat agitationem habentes, utpote Deum circumstantes, ac primario Dei fulgore collucentes (hæc enim inferiora secundariæ illuminationis sunt); verum ut non omnino immobiles, sed ægre mobiles existimem ac dicam, mihi persuadet ille ob splendorem Lucifer, qui propter superbiam caligo, et effectus est, et nominatur, ac subjectæ ipsi rebelles potestates, quæ per boni fugam vitium effecerunt, illudque nobis contraxerunt.

X. Sic igitur, atque ob has causas, intellectilis mundus ab eo creatus est, quantum quidem ipse de his rebus philosophari queo, exigua oratione res magnas **669** expendens. Posteaquam autem primas creationis partes præclare constitutas vidit, alterum mundum materia constantem et aspectabilem cogitavit; hunc nimirum ex cœlo et terra, et his rebus, quæ eorum complexu continentur, coagmentationem et concretionem, laudandam illam quidem, ob singularum partium elegantiam, verum laudabiliorem ob eam, quæ ex universis exsistit, concinnitatem atque concordiam, alia re videlicet cum alia quadam pulchre quadrante, atque omnibus cum universis, ad unius mundi ornatum omnibus numeris absolvendum: ut illud ostenderet, se non modo sibiipsi cognatam et propinquam naturam, sed etiam omnino alienam posse procreare. Divinitatis enim propinquæ sunt naturæ mente præditæ, et quæ mente sola percipi possunt: alienæ autem prorsus, quæcunque sub sensus cadunt, hisque ipsis longius adhuc remotæ, quæ anima prorsus et motu carent. Sed quorsum hæc ad nos, dixerit fortasse quispiam ex his, qui festis impensius delectantur, ac fervidiori animo sunt? Equum ad metam stimula. De iis, quæ ad festum attinent, et ob quæ hodie assidemus, philosophare. Hoc equidem faciam, etsi paulo altius exorsus sum, cum desiderium et orationis series ad id cogant.

XI. Enimvero mens jam et sensus, sic inter se discreta, finibus suis se continebant, opificisque Verbi majestatem in seipsis ferebant, taciti laudatores insignis opificii, et celebres præcones. Nondum autem utriusque temperatio ulla erat, aut contrariorum mistura, quæ sublimioris sapientiæ ac circa naturarum creationem varietatis et excellentiæ specimen exhiberet; nec omnes bonitatis divitiæ notæ atque spectatæ erant. Cum igitur artifici Verbo istud ostendere placuisset, animal unum ex utroque, hoc est, ex invisibili ac visibili natura hominem fabricatur; atque a materia, quæ prius jam creata erat, corpus accipiens, a se autem spiraculum inserens (quod quidem intellectualem ani-

(23) *Ξένον δὲ παντάπασιν*, etc. Hæc sic exponit Nicetas: « Naturæ quæ in sensus cadunt, alienæ sunt a Deo ratione naturæ, eo quod nullam cum eo similitudinis rationem habeant. Verum, quantum ad creationis et Providentiæ rationem, nulla natura est a Deo aliena. »

(24) *Κέντει τὸν πῶλον*, etc. Rufinus proverbium istud sic vertit: « Quid hæc ad causam? Quid currus agis extra metam? Illa nobis, quæ ad solemnitatem pertinent, dissere. »

(25) *Οὕτω τοῦ πόθου καὶ τοῦ λόγου βιασαμένων*. « Desiderio, et orationis serie cogentibus. » Hæc a Billio omissa.

(26) *Νοῦς ... καὶ αἴσθησις*. Gregorius, juxta Nicetam, per « mentem » intelligit « angelos; » per « sensum » vero, « mundum, » qui sensu percipitur.

(27) *Πνοήν*. « Spiraculum » Sic tres Regg., quatuor Colb., Coisl. 1, Chrys. Sic etiam legit Billius. In ed., ζωήν, « vitam. »

mam, Deique imaginem Scriptura vocat), velut alterum quemdam mundum, in parvo magnum, in terra collocat, angelum alium, mistum adoratorem, visibilis naturæ spectatorem, intellectilis mysten, eorum quidem, quæ in terra sunt, regem, superis autem subditum, terrenum et cœlestem, caducum et immortalem, visibilem et intelligibilem, medium **670** inter magnitudinem et humilitatem; eumdem, spiritum et carnem; spiritum, propter gratiam; carnem, ob superbiam : illud, ut maneat, ac benefactoris gloriam prædicet; hoc, ut vexetur, ac per vexationes admoneatur, et ob magnitudinem glorians erudiatur atque castigetur; animal hic gubernatum, atque alio demigrans, et, quod mysterii extremum est, per animi ad Deum propensionem divinitatem consequens. Eo enim mihi veritatis ille splendor, quem hic exigue haurimus, tendit, ut Dei claritatem et videam, et sentiam, dignam eo, qui, et constrinxit, et dissolvet, ac rursum sublimius colligabit.

A οἷόν τινα κόσμον δεύτερον, ἐν μικρῷ μέγαν, ἐπὶ τῆς γῆς ἵστησιν, ἄγγελον ἄλλον, προσκυνητὴν μικτὸν, ἐπόπτην τῆς ὁρατῆς κτίσεως, μύστην τῆς νοουμένης, βασιλέα τῶν ἐπὶ γῆς, βασιλευόμενον ἄνωθεν, ἐπίγειον καὶ οὐράνιον, πρόσκαιρον καὶ ἀθάνατον, ὁρατὸν καὶ νοούμενον, μέσον μεγέθους καὶ ταπεινότητος· τὸν αὐτὸν, πνεῦμα καὶ σάρκα· πνεῦμα διὰ τὴν χάριν, σάρκα διὰ τὴν ἔπαρσιν· τὸ μὲν, ἵνα μένῃ καὶ δοξάζῃ τὸν εὐεργέτην· τὸ δὲ, ἵνα πάσχῃ, καὶ πάσχων (28) ὑπομιμνήσκηται καὶ παιδεύηται τῷ μεγέθει φιλοτιμούμενος (29)· ζῶον ἐνταῦθα οἰκονομούμενον, καὶ ἀλλαχοῦ μεθιστάμενον, καὶ πέρας τοῦ μυστηρίου τῇ πρὸς Θεὸν νεύσει θεούμενον. Εἰς τοῦτο γὰρ ἐμοὶ φέρει τὸ μέτριον ἐνταῦθα φέγγος τῆς ἀληθείας, λαμπρότητα Θεοῦ καὶ ἰδεῖν καὶ παθεῖν, ἀξίαν τοῦ καὶ B συνδήσαντος, καὶ λύσοντος (30), καὶ αὖθις συνδήσοντος ὑψηλότερον.

XII. Hunc arbitrii libertate donatum (ut bonum non minus illius esset, qui elegisset, quam ejus, qui semina præbuisset), in paradiso, quicunque tandem erat paradisus ille, collocavit, plantarum immortalium cultorem, hoc est, fortasse divinarum cogitationum, tam simpliciorum, quam perfectiorum, nudum, quantum ad simplicitatem et vitam arte et fuco carentem, atque omnis integumenti et munimenti expertem. Talem enim eum esse conveniebat, qui primum esset creatus. Ac legem, quasi materiam, libero arbitrio tradit. Lex autem illa præceptum erat, quo præscribebatur, tum quibus arboribus ei utendum esset, tum a qua manus abstinendæ. Ea porro erat scientiæ arbor, non illa quidem, aut male a principio consita, aut per invidiam interdicta (ne illuc linguas suas Dei hostes injiciant, nec serpentem imitentur), sed bona quidem, tempestive percepta (contemplationis enim, ut ipse contemplando assequor, hæc arbor erat, ad quam iis solis tutus est ascensus, qui animi habitu perfectiori sunt); haudquaquam autem bona simplicioribus adhuc animis, atque appetitu avidiori præditis; quemadmodum nec perfectus ac solidus cibus iis conducit, qui tenera adhuc sunt ætate lacteque opus habent. Postquam autem diaboli invidia, et mulieris injuria, quam et ut mollior passa est, et ut ad persuadendum accommodatior, admovit (o infirmitatem meam! meam enim duco primi parentis infirmitatem); accepti mandati memoriam abjecit, et ab acerba esca victus est : tum vero simul et a ligno vitæ, et a paradiso, et ab ipso Deo propter peccatum expellitur, et pelliceas tunicas induit, hoc est, fortasse crassiorem carnem, et mortalem ac renitentem; sicque primum suam fœditatem agnoscit, Deoque se abscondit. Illic **671**

ΙΒ'. Τοῦτον (31) ἔθετο μὲν ἐν τῷ παραδείσῳ, ὅστις ποτὲ ἦν ὁ παράδεισος οὗτος, τῷ αὐτεξουσίῳ τιμήσας, ἵν' ᾖ τοῦ ἑλομένου τὸ ἀγαθὸν οὐχ ἧττον ἢ τοῦ παρασχόντος τὰ σπέρματα, φυτῶν ἀθανάτων γεωργὸν, θείων ἐννοιῶν ἴσως, τῶν τε ἁπλουστέρων καὶ τῶν τελειοτέρων, γυμνὸν τῇ ἁπλότητι καὶ ζωῇ τῇ ἀτέχνῳ, καὶ δίχα παντὸς ἐπικαλύμματος καὶ προβλήματος. Τοιοῦτον γὰρ ἔπρεπεν εἶναι τὸν ἀπ' ἀρχῆς. Καὶ δίδωσι νόμον, ὕλην τῷ αὐτεξουσίῳ. Ὁ δὲ νόμος ἦν ἐντολὴ, ὧν τε μεταληπτέον αὐτῷ φυτῶν, καὶ οὗ μὴ προσαπτέον. Τὸ δὲ ἦν τὸ ξύλον τῆς γνώσεως, οὔτε φυτευθὲν ἀπ' ἀρχῆς κακῶς, οὔτε ἀπαγορευθὲν φθονερῶς (μὴ πεμπέτωσαν ἐκεῖ τὰς γλώσσας οἱ θεομάχοι, μηδὲ τὸν ὄφιν μιμείσθωσαν)· ἀλλὰ καλὸν μὲν εὐκαί- C ρως μεταλαμβανόμενον (θεωρία γὰρ ἦν τὸ φυτὸν, ὡς ἡ ἐμὴ θεωρία, ἧς μόνοις ἐπιβαίνειν ἀσφαλὲς τοῖς τὴν ἕξιν τελεωτέροις), οὐ καλὸν δὲ τοῖς ἁπλουστέροις ἔτι, καὶ τὴν ἔφεσιν λιχνοτέροις, ὥσπερ οὐδὲ τροφὴ τελεία λυσιτελὴς τοῖς ἁπαλοῖς ἔτι καὶ δεομένοις γάλακτος. Ἐπεὶ δὲ φθόνῳ διαβόλου, καὶ γυναικὸς ἐπηρείᾳ, ἥν τε ἔπαθεν ὡς ἁπαλωτέρα, καὶ ἣν προσήγαγεν ὡς πιθανωτέρα (φεῦ τῆς ἐμῆς ἀσθενείας! ἐμὴ γὰρ ἡ τοῦ προπάτορος), τῆς μὲν ἐντολῆς ἐπελάθετο τῆς δοθείσης, καὶ ἡττήθη τῆς πικρᾶς γεύσεως· ὁμοῦ δὲ (32) τοῦ τῆς ζωῆς ξύλου, καὶ τοῦ παραδείσου, καὶ τοῦ Θεοῦ, διὰ τὴν κακίαν ἐξόριστος γίνεται, καὶ τοὺς δερματίνους ἀμφιέννυται χιτῶνας, ἴσως τὴν παχυτέραν σάρκα, καὶ θνητὴν, καὶ ἀντίτυπον· καὶ τοῦτο πρῶτον γινώσκει τὴν ἰδίαν αἰσχύνην, καὶ ἀπὸ Θεοῦ D κρύπτεται. Κερδαίνει μέν τι (33) κἀνταῦθα· τὸν θάνατον, καὶ τὸ διακοπῆναι τὴν ἁμαρτίαν, ἵνα μὴ ἀθάνατον ᾖ τὸ κακόν· καὶ γίνεται φιλανθρωπία ἡ τιμωρία. Οὕτω γὰρ ἐγὼ (34) πείθομαι κολάζειν Θεόν

(28) *Πάσχων*. Septem Colb., πάσχον.

(29) *Φιλοτιμούμενος*. Reg. bm, Coisl. 1, Or. 1, Par., φιλοτιμούμενον.

(30) *Λύσοντος*. Sic plures Regg. et Colb. Par. Comb., etc. In ed., λύσαντος.

(31) *Τοῦτον*. Sic tres Regg., novem Colb., Or. 1, Par., Comb. Mendose in ed., τοῦτο.

(32) *Ὁμοῦ δέ*. Sic quinque Regg. In ed., ὁμοῦ τε.

(33) *Μέν τι*. Sic septem Regg., tres Colb. Coisl. 1, etc. In ed., μέν τοι.

(34) *Ἐγώ*. Deest in quinque Reg.

tamen aliquid elucetur; et ipsum aliquid, ipsa mors est, ac peccati præcisio, ne malum immortale esset. Ita pœna ipsa in misericordiam cessit. Sic enim Deum supplicia inferre persuasum habeo.

ΙΓ'. Πολλοῖς δὲ παιδευθεὶς πρότερον, ἀντὶ πολλῶν τῶν ἁμαρτημάτων, ὧν ἡ τῆς κακίας ῥίζα ἐβλάστησε κατὰ διαφόρους αἰτίας καὶ χρόνους, λόγῳ (35), νόμῳ, προφήταις, εὐεργεσίαις, ἀπειλαῖς, πληγαῖς, ὕδασιν, ἐμπρησμοῖς, πολέμοις, νίκαις, ἥτταις, σημείοις ἐξ οὐρανοῦ, σημείοις ἐξ ἀέρος, ἐκ γῆς, ἐκ θαλάττης, ἀνδρῶν, πόλεων, ἐθνῶν ἀνελπίστοις μεταβολαῖς (36), ὑφ' ὧν ἐκτριβῆναι τὴν κακίαν τὸ σπουδαζόμενον ἦν. Τέλος ἰσχυροτέρου δεῖται φαρμάκου ἐπὶ δεινοτέροις τοῖς ἀῤῥωστήμασιν, ἀλληλοφονίαις (37), μοιχείαις, ἐπιορκίαις (38), ἀνδρομανίαις, τὸ πάντων ἔσχατον τῶν κακῶν καὶ πρῶτον, εἰδωλολατρείαις, καὶ τῇ μεταθέσει τῆς προσκυνήσεως ἀπὸ τοῦ πεποιηκότος ἐπὶ τὰ κτίσματα. Ταῦτα ἐπειδὴ μείζονος ἐδεῖτο τοῦ βοηθήματος, μείζονος καὶ τυγχάνει. Τὸ δὲ ἦν αὐτὸς ὁ τοῦ Θεοῦ Λόγος (39), ὁ προαιώνιος, ὁ ἀόρατος, ὁ ἀπερίληπτος, ὁ ἀσώματος, ἡ ἐκ τῆς ἀρχῆς ἀρχή, τὸ ἐκ τοῦ φωτὸς φῶς, ἡ πηγὴ τῆς ζωῆς καὶ τῆς ἀθανασίας, τὸ ἐκμαγεῖον τοῦ ἀρχετύπου κάλλους (40), ἡ μὴ κινουμένη σφραγίς, ἡ ἀπαράλλακτος εἰκών, ὁ τοῦ Πατρὸς ὅρος καὶ λόγος· ἐπὶ τὴν ἰδίαν εἰκόνα χωρεῖ, καὶ σάρκα φορεῖ διὰ τὴν σάρκα, καὶ ψυχῇ νοερᾷ διὰ τὴν ἐμὴν ψυχὴν μίγνυται, τῷ ὁμοίῳ τὸ ὅμοιον ἀνακαθαίρων. Καὶ πάντα γίγνεται (41), πλὴν τῆς ἁμαρτίας, ἄνθρωπος· κυηθεὶς μὲν ἐκ τῆς Παρθένου, καὶ ψυχὴν καὶ σάρκα προκαθαρθείσης τῷ Πνεύματι (ἔδει γὰρ καὶ γέννησιν τιμηθῆναι, καὶ παρθενίαν [42] προτιμηθῆναι)· προελθὼν δὲ Θεὸς μετὰ τῆς προσλήψεως, ἓν ἐκ δύο τῶν ἐναντίων, σαρκὸς καὶ Πνεύματος (43)· ὧν, τὸ μὲν ἐθέωσε, τὸ δὲ ἐθεώθη. Ὢ τῆς καινῆς μίξεως! ὢ τῆς παραδόξου κράσεως! ὁ ὢν γίνεται, καὶ ὁ ἄκτιστος κτίζεται, καὶ ὁ ἀχώρητος χωρεῖται, διὰ μέσης ψυχῆς νοερᾶς μεσιτευούσης θεότητι, καὶ σαρκὸς παχύτητι. Καὶ ὁ πλουτίζων, πτωχεύει· πτωχεύει γὰρ τὴν ἐμὴν σάρκα, ἵν' ἐγὼ πλουτήσω τὴν αὐτοῦ θεότητα. Καὶ ὁ πλήρης, κενοῦται· κενοῦται γὰρ τῆς ἑαυτοῦ δόξης ἐπὶ μικρὸν (44), ἵν' ἐγὼ τῆς ἐκείνου μεταλάβω πληρώσεως. Τίς ὁ πλοῦτος τῆς ἀγαθότητος; Τί τὸ περὶ ἐμὲ τοῦτο (45) μυστήριον; Μετέλαβον τῆς εἰκόνος, καὶ οὐκ ἐφύλαξα· μεταλαμβάνει τῆς ἐμῆς σαρκὸς, ἵνα καὶ τὴν εἰκόνα σώσῃ, καὶ τὴν σάρκα ἀθανατίσῃ (46). Δευτέραν κοινωνεῖ κοινωνίαν, πολὺ τῆς προτέρας παραδοξοτέραν· ὅσῳ τότε μὲν τοῦ κρείττονος μετέδωκε, νῦν δὲ μεταλαμβάνει τοῦ χείρονος. Τοῦτο τοῦ προτέρου θεοειδέστερον· τοῦτο τοῖς νοῦν ἔχουσιν ὑψηλότερον.

XIII. Multis autem prius modis, ob multa peccata, quæ ex vitii radice pullularunt, secundum diversas causas et tempora castigatus, sermone, lege, prophetis, beneficiis, comminationibus, plagis, aquis, incendiis, bellis, victoriis, cladibus, signis e cœlo, signis ex aere, ex terra, ex mari, hominum, urbium, gentium insperatis mutationibus; quæ omnia eo tendebant, ut malitia contereretur. Validiori tamen medicamento propter graviores morbos opus habere cœpit, nimirum ob mutuas cædes, adulteria, perjuria, furiosos masculorum amores, et, quod omnium malorum extremum ac primum est, idolorum cultum, atque adorationis a Creatore ad creaturas translationem. Quæ quoniam majus auxilium requirebant, majus etiam acceperunt. Istud autem erat ipse Dei Filius, ille sæculis antiquior, ille invisibilis, ille incomprehensibilis, ille incorporeus, illud ex principio principium, illud ex lumine lumen, ille fons vitæ et immortalitatis, illa archetypi expressio, illud immotum sigillum, illa per omnia similis imago, ille Patris terminus et ratio, ille, inquam, ad imaginem suam se confert, et carnem ob carnem gerit, et cum intellectuali anima propter animam meam jungitur, ut simile per simile repurget. Atque humana omnia excepto peccato suscipit [84]; conceptus quidem ex Virgine, animo et corpore a Spiritu præpurgata (nam et generationem honore affici, et virginitatem præferri oportebat); progressus autem Deus cum humanitate, unum ex duobus inter se contrariis, carne nimirum et Spiritu; quorum alterum deificavit, alterum deificatum est. O novam mistionem! o admirandam temperationem! Qui est, fit: qui creatus non est, creatur: qui nullo loco contineri potest, per interventum animæ intellectualis, inter divinitatem et carnis crassitiem, continetur. Qui locupletes alios ditat, paupertate afficitur: carnis enim meæ paupertatem subit, ut ego divinitatis ipsius opes consequar. Qui plenus est, exinanitur: sua enim gloria nonnihil exinanitur, ut ego plenitudinis ipsius particeps efficiar. Quænam hæ bonitatis divitiæ? Quodnam me circumstat mysterium? Divinam imaginem accepi, **672** nec custodivi: ille carnis meæ particeps fit, ut, et imagini salutem, et carni immortalitatem afferat. Secundum consortium nobiscum init, et quidem priori longe admirabilius; tum enim id, quod præstantius erat, nobis impertiit; at nunc ipse ejus, quod deterius est, particeps efficitur. Hoc priori illo divinius; hoc apud cordatos et prudentes viros multo sublimius.

[84] Hebr. IV, 15.

(35) *Λόγῳ.* « Sermone, alloquio, et insita nobis ratione. » Sic exponit Nicetas.

(36) *Μεταβολαῖς.* Par., ἐπιβολαῖς.

(37) *Ἀλληλοφονίαις.* Sic codd. in ed., ἀλληλοφωνίαις.

(38) *Ἐπιορκίαις.* Sic codd. Mendose in ed., ἐπιρκίαις.

(39) *Τοῦ Θεοῦ Λόγος.* « Dei Verbum. »

(40) *Κάλλους.* Deest in pluribus codicibus.

(41) *Γίγνεται.* Tres Regg. γίνεται.

(42) *Παρθενίαν.* Or. 1, παρθενείαν.

(43) *Σαρκὸς καὶ Πνεύματος.* « Humanitate et Deitate. »

(44) *Ἐπὶ μικρόν.* Billius: « ad breve tempus. »

(45) *Τοῦτο.* Non agnoscit Combefisius

(46) *Ἀθανατίσῃ.* Reg. c et Coisl. 1, [illegible]τήσῃ.

XIV. Quid ad hæc nobis sycophantæ dicunt, acerbi, inquam, isti divinitatis expensores, rerum laudandarum reprehensores, circa lucem tenebrosi, circa sapientiam imperiti, pro quibus Christus gratis mortuus est, ingratæ creaturæ, diaboli figmenta? Siccine Deo beneficium ut crimen objicis? An propterea parvus est, quia propter te humilis, quia bonus ille Pastor, qui animam suam pro ovibus ponit[85], ad errantem ovem venit, ad montes et colles, in quibus sacrificabas, et vagantem invenit, et inventam iisdem humeris[86], quibus et crucis lignum, sustulit, sublatamque ad supernam vitam reduxit, reductamque eodem, quo eas quæ nunquam a grege aberrarunt, loco numeroque habuit? Quia lucernam, hoc est, carnem suam, accendit, et domum everrit, mundum scilicet a peccato repurgans, et drachmam, hoc est, regiam imaginem vitiosis affectibus obrutam, conquisivit, atque angelos amicos suos, ea inventa, convocat, lætitiæque participes facit, quos etiam œconomiæ suæ conscios habuerat? Quia præviam lucernam splendidissima illa lux sequitur, et vocem Verbum, et pronubum sponsus, Domino peculiarem populum comparantem, ac per aquam ad Spiritum præpurgantem? Hæccine Deo objicis? Atque idcirco eum inferiorem esse censes, quia linteo præcingitur, ac discipulorum pedes abluit[87], optimumque ad sublimitatem iter humilitatem ostendit? Quia propter humi inclinatam animam se dejicit, ut ob peccatum deorsum vergentem secum erigat? Illud autem quin tu item reprehendis, quod cum publicanis, et apud publicanos edit, et publicanos in discipulos convertit[88], ut ipse quoque aliquid lucretur? Quid tandem? Peccatorum salutem; nisi quis forte eo nomine medicum accuset, quod ad morbos se inclinet, fetoremque sustineat, ut sanitatem ægrotis donet: atque eum etiam, qui humanitatis et commiserationis **673** affectu permotus in foveam seipsum demittit, ut prolapsum jumentum[89] juxta legis præscriptum, servet.

ΙΔ'. Πρὸς ταῦτα τί φασιν ἡμῖν οἱ συκοφάνται, οἱ πικροὶ τῆς θεότητος λογισταὶ, οἱ κατήγοροι τῶν ἐπαινουμένων, οἱ σκοτεινοὶ περὶ τὸ φῶς, οἱ περὶ τὴν σοφίαν ἀπαίδευτοι, ὑπὲρ ὧν Χριστὸς δωρεὰν ἀπέθανε, τὰ ἀχάριστα κτίσματα, τὰ τοῦ Πονηροῦ πλάσματα; Τοῦτο ἐγκαλεῖς Θεῷ, τὴν εὐεργεσίαν; Διὰ τοῦτο μικρὸς, ὅτι διὰ σὲ ταπεινός; Ὅτι ἐπὶ τὸ πλανώμενον ἦλθεν ὁ ποιμὴν ὁ καλὸς, ὁ τιθεὶς τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων, ἐπὶ τὰ ὄρη καὶ τοὺς βουνοὺς, ἐφ' ὧν ἐθυσίαζες, καὶ πλανώμενον εὗρε· καὶ εὑρὼν, ἐπὶ τῶν ὤμων ἀνέλαβεν, ἐφ' ὧν καὶ τὸ ξύλον· καὶ λαβὼν, ἐπανήγαγεν ἐπὶ τὴν ἄνω ζωήν· καὶ ἀναγαγὼν, τοῖς μένουσι συνηρίθμησεν; Ὅτι λύχνον ἧψε τὴν ἑαυτοῦ σάρκα, καὶ τὴν οἰκίαν ἐσάρωσε, τῆς ἁμαρτίας τὸν κόσμον ἀποκαθαίρων, καὶ τὴν δραχμὴν ἐζήτησε, τὴν βασιλικὴν εἰκόνα συγκεχωσμένην τοῖς πάθεσι, καὶ συγκαλεῖ τὰς φίλας αὐτῷ δυνάμεις (47) ἐπὶ τῇ τῆς δραχμῆς εὑρέσει, καὶ κοινωνοὺς ποιεῖται τῆς εὐφροσύνης, ἃς καὶ τῆς (48) οἰκονομίας μύστιδας πεποίητο; Ὅτι τῷ προδρόμῳ λύχνῳ τὸ φῶς ἀκολουθεῖ τὸ ὑπέρλαμπρον, καὶ τῇ φωνῇ ὁ Λόγος, καὶ τῷ νυμφαγωγῷ ὁ νυμφίος, κατασκευάζοντι Κυρίῳ λαὸν περιούσιον, καὶ προκαθαίροντι ἐπὶ τὸ Πνεῦμα διὰ τοῦ ὕδατος; Ταῦτα ἐγκαλεῖς τῷ Θεῷ (49); Διὰ ταῦτα ὑπολαμβάνεις χείρονα, ὅτι λεντίῳ διαζώννυται, καὶ νίπτει τοὺς πόδας τῶν μαθητῶν, καὶ δείκνυσιν ἀρίστην ὁδὸν ὑψώσεως, τὴν ταπείνωσιν; Ὅτι διὰ (50) τὴν συγκύπτουσαν χαμαὶ ψυχὴν ταπεινοῦται (51), ἵνα καὶ συνανυψώσῃ τὸ κάτω νεῦον ὑπὸ τῆς ἁμαρτίας; Ἐκεῖνο δὲ πῶς οὐ κατηγορεῖς, ὅτι καὶ μετὰ τελωνῶν ἐσθίει, καὶ παρὰ τελώναις, καὶ μαθητεύει τελώνας, ἵνα καὶ αὐτός τι κερδάνῃ; Τί τοῦτο; Τὴν τῶν ἁμαρτωλῶν σωτηρίαν· εἰ μὴ καὶ τὸν ἰατρὸν αἰτιῷτό τις, ὅτι συγκύπτει ἐπὶ τὰ πάθη, καὶ δυσωδίας ἀνέχεται, ἵνα δῷ τὴν ὑγίειαν (52) τοῖς κάμνουσι· καὶ τὸν ἐπικλινόμενον βόθρῳ διὰ φιλανθρωπίαν, ἵνα τὸ ἐμπεπτωκὸς κτῆνος, κατὰ τὸν νόμον, ἀνασώσηται.

XV. Missus quidem est, verum ut homo (duplici enim natura erat); siquidem, juxta corporis legem, et fatigatus est, et fame ac siti laboravit, et angore affectus est, et lacrymas fudit. Quod si etiam ut Deus, quid propterea? Beneplacitum Patris missionem esse existima, cui sua quoque ascribit, tum ut principium temporis expers honore afficiat, tum ne Dei adversarius esse videatur. Quandoquidem ut traditus fuisse dicitur; ita se ipsum quoque tradidisse scribitur: atque ut a Patre ad vitam revocatus, et ad supera susceptus fuisse; ita seipsum quoque a mortuis excitasse, rursusque in cœlum

ΙΕ'. Ἀπεστάλη μὲν, ἀλλ' ὡς ἄνθρωπος· διπλοῦς γὰρ ἦν· ἐπεὶ καὶ ἐκοπίασε, καὶ ἐπείνησε, καὶ ἐδίψησε, καὶ ἠγωνίασε, καὶ ἐδάκρυσε νόμῳ σώματος (53)· εἰ δὲ καὶ ὡς Θεὸς, τί τοῦτο; Τὴν εὐδοκίαν τοῦ Πατρὸς, ἀποστολὴν εἶναι νόμισον, ἐφ' ὃν ἀναφέρει τὰ ἑαυτοῦ, καὶ ὡς ἀρχὴν τιμῶν ἄχρονον, καὶ τοῦ μὴ δοκεῖν εἶναι ἀντίθεος. Ἐπεὶ καὶ παραδεδόσθαι λέγεται, ἀλλὰ καὶ ἑαυτὸν παραδεδωκέναι γέγραπται· καὶ ἐγηγέρθαι παρὰ τοῦ Πατρὸς, καὶ ἀνειλῆφθαι, ἀλλὰ καὶ ἑαυτὸν ἀνεστακέναι, καὶ ἀνεληλυθέναι πάλιν· ἐκεῖνα τῆς εὐδοκίας, ταῦτα τῆς ἐξουσίας. Σὺ δὲ τὰ μὲν ἐλαττοῦντα λέγεις, τὰ

[85] Joan. x, 11. [86] Luc. xv, 4 sqq. [87] Joan. xiii, 4. [88] Luc. v, 27 sqq. [89] Deut. xxii, 4.

(47) *Φίλας αὐτῷ δυνάμεις.* « Amicas suas virtutes. »

(48) *Ἃς καὶ τῆς*, etc. Gabr.: « quas nec ipsum Incarnationis mysterium latuerat. »

(49) *Τῷ Θεῷ.* Deest τῷ in pluribus.

(50) *Ὅτι διά.* Sic tres Regg., tres Colb., Par., Comb. In eo., τί διά.

(51) *Ταπεινοῦται.* Sic codd. In Par. ed., ταπεινοῦνται.

(52) *Ὑγίειαν.* Comb., ὑγείαν.

(53) *Νόμῳ σώματος.* Colb. b, νόμῳ φύσεως, « lege naturæ. »

ὑψοῦντα δὲ παρατρέχεις· καὶ ὅτι μὲν ἔπαθε, λογίζῃ· ὅτι δὲ ἑκὼν, οὐ προστίθης (54). Οἷα πάσχει καὶ νῦν ὁ Λόγος! Ὑπὸ μὲν τῶν, ὡς Θεὸς, τιμᾶται καὶ συναλείφεται· ὑπὸ δὲ τῶν, ὡς σὰρξ, ἀτιμάζεται καὶ χωρίζεται. Τίσιν ὀργισθῇ πλέον; Μᾶλλον δὲ τίσιν ἀφῇ; Τοῖς συναιροῦσι κακῶς, ἢ τοῖς τέμνουσι; Καὶ γὰρ κἀκείνους διαιρεῖν ἔδει, καὶ τούτους συνάπτειν· τοὺς μὲν τῷ ἀριθμῷ, τοὺς δὲ τῇ θεότητι. Προσκόπτεις τῇ σαρκί; Τοῦτο καὶ Ἰουδαῖοι. Ἦ καὶ Σαμαρείτην ἀποκαλεῖς; καὶ τὸ ἑξῆς σιωπήσομαι. Ἀπιστεῖς τῇ θεότητι; Τοῦτο οὐδὲ οἱ δαίμονες. Ὦ δαιμόνων (55) ἀπιστότερε, καὶ Ἰουδαίων ἀγνωμονέστερε! Ἐκεῖνοι τὴν τοῦ Υἱοῦ προσηγορίαν, ὁμοτιμίας φωνὴν ἐνόμισαν· οὗτοι τὸν ἐλαύνοντα Θεὸν ᾔδεσαν. Ἐπείθοντο γὰρ ἐξ ὧν ἔπασχον. Σὺ δὲ, οὐδὲ (56) τὴν ἰσότητα δέχῃ, οὐδὲ ὁμολογεῖς τὴν θεότητα. Κρεῖττον ἦν σοι περιτετμῆσθαι καὶ δαιμονᾷν, ἵν' εἴπω τι καὶ γελοίως, ἢ ἐν ἀκροβυστίᾳ καὶ ὑγιείᾳ διακεῖσθαι πονηρῶς καὶ ἀθέως.

A ascendisse prædicatur. Illa beneplaciti, hæc potestatis. At tu ea quidem, quæ minuendi vim habent, profers; quæ autem efferendi, præteris: atque id quidem expendis, quod passus sit; quod autem sponte, non adjungis. Proh qualia etiamnum patitur Verbum! Ab aliis ut Deus honoratur atque contrahitur; ab aliis ut caro contemnitur, ac separatur. Utris tandem gravius irascetur? Vel potius, utris plus condonabit, iisne qui male contrahunt, an qui scindunt? Nam et illos dividere, et hos conjungere oportebat: illos, inquam, numero, hos divinitate. Offendis ad carnem? Et Judæi etiam. Num Samaritanum quoque vocas[90] (nam quod sequitur, tacebo)? Deitati fidem abrogas? Hoc ne dæmones quidem ipsi fecerunt. O dæmonibus incredulior, B et Judæis insipientior! Isti quidem Filii nomen, æqualitatis vocem esse censebant: illi autem eum, a quo fugabantur, Deum norant. Illis enim ea, quæ patiebantur, fidem faciebant. At tu, nec æqualitatem admittis, nec divinitatem confiteris. Proinde satius tibi fuerat circumcisum esse, atque a dæmone obsideri, ut ridicule aliquid dicam, quam in præputio et incolumi valetudine, tam prave et impie affici.

ΙϚʹ. Μικρὸν (57) μὲν οὖν ὕστερον ὄψει καὶ καθαιρόμενον Ἰησοῦν ἐν (58) τῷ Ἰορδάνῃ τὴν ἐμὴν κάθαρσιν· μᾶλλον δὲ ἁγνίζοντα τῇ καθάρσει τὰ ὕδατα (οὐ γὰρ δὴ αὐτὸς ἐδεῖτο (59) καθάρσεως, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου), καὶ σχιζομένους τοὺς οὐρανοὺς, καὶ ὑπὸ τοῦ συγγενοῦς Πνεύματος μαρτυρούμενον, καὶ πειραζόμενον, καὶ νικῶντα (60), καὶ ὑπὸ ἀγγέλων ὑπηρετούμενον, καὶ θεραπεύοντα πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν, καὶ ζωοποιοῦντα νεκροὺς (ὡς ὄφελόν γε καὶ σὲ τῇ κακοδοξίᾳ νενεκρωμένον), καὶ δαίμονας ἀπελαύνοντα, τὰ μὲν δι' ἑαυτοῦ, τὰ δὲ διὰ τῶν μαθητῶν, καὶ ἄρτοις ὀλίγοις τρέφοντα μυριάδας, καὶ πεζεύοντα πέλαγος, καὶ προδιδόμενον, καὶ σταυρούμενον, καὶ συσταυροῦντα τὴν ἐμὴν ἁμαρτίαν· ὡς ἀμνὸν προσαγόμενον, καὶ ὡς ἱερέα προσάγοντα, ὡς ἄνθρωπον θαπτόμενον, καὶ ὡς Θεὸν ἐγειρόμενον, εἶτα καὶ ἀνερχόμενον, καὶ ἥξοντα μετὰ τῆς ἑαυτοῦ δόξης. Πόσαι μοι πανηγύρεις καθ' ἕκαστον τῶν τοῦ Χριστοῦ μυστηρίων! Ὧν ἁπάντων κεφάλαιον ἕν, ἡ ἐμὴ τελείωσις καὶ ἀνάπλασις, καὶ πρὸς τὸν πρῶτον Ἀδὰμ ἐπάνοδος.

XVI. Ac quidem paulo post, et Jesum, purgationis meæ causa, in Jordane[91] purgari videbis, vel potius, aquas purgatione sua purificare (neque enim ipse purgatione opus habebat, qui peccata mundi tollit); et cœlos scindi, et cognati Spiritus testimonio celebrari, et tentari, et victoriam referre, et angelorum ministerio uti, et morbos omnes ac C languores **674** curare, et mortuos ad vitam lucemque revocare (quemadmodum utinam te quoque, fidei pravitate mortuum), et dæmones, partim per seipsum, partim etiam per apostolos, in fugam agere, et paucis panibus multa hominum millia nutrire, et pedibus per mare iter facere, et prodi, et in crucem tolli, ac peccatum meum cruci secum affigere: ut agnum offerri, et ut sacerdotem offerre, ut hominem sepultura affici, et ut Deum resurgere, ac postea in cœlum ascendere, tandemque cum gloria sua venturum esse. Papæ, quot mihi festos dies, hæc singula Christi mysteria suppeditant! Quorum omnium unum hoc caput est, atque unus hic scopus, nimirum mea perfectio et instauratio, atque ad primum illum Adamum reditus.

ΙΖʹ. Νυνὶ δέ μοι δέξαι τὴν κύησιν (61), καὶ προσκίρτησον· εἰ καὶ (62) μὴ ὡς Ἰωάννης ἀπὸ γαστρὸς, ἀλλ' ὡς Δαβὶδ ἐπὶ τῇ καταπαύσει τῆς κιβωτοῦ. Καὶ τὴν ἀπογραφὴν αἰδέσθητι, δι' ἣν εἰς οὐρανοὺς ἐγράφης (63)· καὶ τὴν γέννησιν σεβάσθητι, δι' ἣν ἐλύθης τῶν δεσμῶν τῆς γεννήσεως (64)· καὶ τὴν Βηθ-

D XVII. Nunc autem conceptum accipe, ac præsulta: si minus ut Joannes ab utero, at certe ut David ob requiem Arcæ[92]. Descriptionem reverere, propter quam in cœlis ipse describeris: et nativitatem celebra, ob quam nativitatis vinculis solutus es, et parvam illam Bethleem honora, quæ te in

[90] Joan. VIII, 48. [91] Matth. III, 13. [92] II Reg. VI, 14.

(54) *Προστίθης*. Reg. d, προστίθεις.
(55) *Ὦ δαιμόνων*. Sic tres Regg. et tres Colb. In ed., ὦ καὶ δαιμόνων.
(56) *Οὐδέ*. Regg. bm. ph et plures Colb., οὔτε.
(57) *Μικρόν*. « Paulo post. » Id est, duodecimo a Christi nativitate die, in quo ejus baptismi memoria celebratur.
(58) *Ἐν*. Deest in pluribus Regg. et Or. 1.
(59) *Ἐδεῖτο*. Par., δεῖται.
(60) *Καὶ νικῶντα*. Coisl. 1, Or. 1, Comb. addunt, τὸν πειράζοντα, « et de tentatore victoriam referre. »
(61) *Τὴν κύησιν*. « Conceptum, fetum » in utero. Non enim partu effuso, sive Christo nato, exsultavit Joannes, sed priusquam nasceretur. Billius « partum. »
(62) *Εἰ καί*. Tres Regg. et Or. 1, εἴ τοι.
(63) *Ἐγράφης*. Quatuor Regg. et Or. 1, γράφῃ.
(64) *Γεννήσεως*. Regg. c, ἁμαρτίας, « peccati. »

paradisum reduxit : et præsepe adora, propter quod, cum rationis expers esses, a Verbo nutritus es. Cognosce, ut bos, possessorem tuum, Isaias te admonet, et, ut asinus, præsepe domini sui [93]; sive mundus quispiam sis ac legi subjectus, rectamque doctrinam ruminans, atque ad sacrificium idoneus : sive etiam adhuc immundus, ac cibo et sacrificiis inutilis, ethnicæque partis. Cum stella curre, cum Magis dona offer, aurum, thus et myrrham, ut regi, ut Deo, et ut tua causa mortuo. Cum pastoribus Deum laudibus celebra; cum angelis hymnum dicito; cum archangelis choros ducito. Sit cœlestium et terrenarum virtutum communis celebritas. Nam eas quoque hodierno die simul festum celebrare, ac lætitia gestire confido : siquidem hominum Deique amore præditæ sunt, quemadmodum illæ, quas David inducit post passionem, cum Christo simul ascendentes, ac simul occurrentes, seque invicem ad portas attollendas [94] inhortantes.

XVIII. Unum hoc duntaxat ex iis omnibus, quæ circa Christi nativitatem **675** contigerunt, odio habe, ac detestare, nimirum puerorum cædem ab Herode perpetratam. Imo vero hanc quoque venerare, hanc, inquam, coætaneam Christo victimam, quæ pro nova victima mactata est. Si in Ægyptum profugiat, alacri animo te ipsi fugæ comitem adjunge. Præclarum est cum Christo persecutionem patiente fugere. Si diuturniorem in Ægypto moram faciat, ex Ægypto eum voca, qui rite illic adoratur et colitur. Per omnes Christi ætates ac virtutes, ut Christi discipulus, sine reprehensione incede. Purificare, circumcidere, velum a nativitate contractum abscinde. Postea in templo doce, sacrilegos nundinatores ejice : lapidibus, si ita necesse sit, incessi te patere. Lapidatores, mihi crede, falles, ac per medium ipsorum, ut Deus, fugies. Verbum enim lapidibus non feritur. Si ad Herodem adductus fueris, plerumque ne verbum quidem unum respondeas. Silentium tuum magis venerabitur, quam prolixos aliorum sermones. Si flagello cæsus fueris, quæ supersunt, exposce. Fel gusta propter gustum; aceto potare, sputa require, alapas et co-

A λεὲμ τίμησον τὴν μικράν, ἣ σε πρὸς τὸν παράδεισον ἐπανήγαγε· καὶ τὴν φάτνην προσκύνησον, δι' ἣν ἄλογος ὤν, ἐτράφης ὑπὸ τοῦ Λόγου. Γνῶθι, ὡς βοῦς, τὸν κτησάμενον, Ἡσαΐας διακελεύεταί σοι, καὶ, ὡς ὄνος, τὴν φάτνην τοῦ κυρίου αὐτοῦ· εἴτε τῶν καθαρῶν τις εἶ, καὶ ὑπὸ τὸν νόμον, καὶ μηρυκισμὸν ἀναγόντων τοῦ λόγου, καὶ πρὸς θυσίαν ἐπιτηδείων· εἴτε τῶν ἀκαθάρτων τέως, καὶ ἀβρώτων, καὶ ἀθύτων, καὶ τῆς ἐθνικῆς μερίδος. Μετὰ τοῦ ἀστέρος δράμε, καὶ μετὰ Μάγων δωροφόρησον, χρυσὸν, καὶ λίβανον, καὶ σμύρναν, ὡς βασιλεῖ, καὶ ὡς Θεῷ, καὶ ὡς διὰ σὲ νεκρῷ. Μετὰ ποιμένων δόξασον, μετὰ ἀγγέλων ὕμνησον, μετὰ ἀρχαγγέλων χόρευσον (65). Ἔστω κοινὴ πανήγυρις οὐρανίων καὶ ἐπιγείων δυνάμεων. Πείθομαι γὰρ κἀκείνας συναγάλ-
B λεσθαι καὶ συμπανηγυρίζειν σήμερον· εἴπερ εἰσὶ φιλάνθρωποι καὶ φιλόθεοι, ὥσπερ ἃς Δαβὶδ εἰσάγει μετὰ τὸ πάθος συνανιούσας Χριστῷ, καὶ προσυπαντώσας (66), καὶ διακελευομένας ἀλλήλαις τὴν τῶν πυλῶν ἔπαρσιν.

ΙΗ'. Ἓν μίσησον τῶν περὶ τὴν Χριστοῦ γένναν, τὴν Ἡρώδου παιδοκτονίαν· μᾶλλον δὲ καὶ ταύτην αἰδέσθητι, τὴν ἡλικιῶτιν Χριστοῦ θυσίαν, τοῦ καινοῦ (67) σφαγίου προθυομένην. Ἂν εἰς Αἴγυπτον φεύγῃ, προθύμως συμφυγαδεύθητι. Καλὸν τῷ Χριστῷ συμφεύγειν (68) διωκομένῳ. Ἂν ἐν Αἰγύπτῳ βραδύνῃ, κάλεσον αὐτὸν ἐξ Αἰγύπτου, καλῶς ἐκεῖ προσκυνούμενον (69). Διὰ πασῶν ὅδευσον ἀμέμπτως τῶν ἡλικιῶν Χριστοῦ καὶ δυνάμεων, ὡς Χριστοῦ μαθητής.
C Ἁγνίσθητι, περιτμήθητι, περιελοῦ τὸ ἀπὸ γενέσεως κάλυμμα. Μετὰ τοῦτο δίδαξον ἐν τῷ ἱερῷ, τοὺς θεοκαπήλους ἀπέλασον· λιθάσθητι, ἂν τοῦτο δέῃ (70) παθεῖν· λήσῃ τοὺς βάλλοντας, εὖ οἶδα, φεύξῃ καὶ διὰ μέσου αὐτῶν, ὡς Θεός. Ὁ Λόγος γὰρ οὐ λιθάζεται. Ἂν Ἡρώδῃ (71) προσαχθῇς, μηδὲ ἀποκριθῇς τὰ πλείω. Αἰδεσθήσεταί σου καὶ τὴν σιωπὴν πλέον (72) ἢ ἄλλων τοὺς μακροὺς λόγους. Ἂν φραγελλωθῇς (73), καὶ τὰ λειπόμενα ζήτησον. Γεῦσαι χολῆς διὰ τὴν γεῦσιν· ὄξος ποτίσθητι, ζήτησον ἐμπτύσματα, δέξαι ῥαπίσματα, κολαφίσματα· ἀκάνθαις στεφανώθητι, τῷ τραχεῖ τοῦ κατὰ Θεὸν βίου· περιβαλοῦ (74) τὸ κόκκινον, δέξαι κάλαμον, προσκυνήθητι παρὰ τῶν παιζόντων τὴν ἀλήθειαν· τέλος συσταυρώθητι, συν-

[93] Isa. I, 3. [94] Psal. XXIII, 7, 9.

(65) *Μετὰ ἀγγέλων ὕμνησον· μετὰ ἀρχαγγέλων χόρευσον*. Sic tres Regg., decem Colb., Or. 1, Comb. Sic etiam legunt Nicetas et Ruffinus. In ed., μετὰ ἀγγέλων χόρευσον· μετὰ ἀρχαγγέλων ὕμνησον.

(66) *Προσυπαντώσας*. Sic quatuor Regg. et novem Colb. In ed., προσαπαντώσας.

(67) *Τοῦ καινοῦ*, etc. « Pro nova victima. » Hoc profecto nomine infantes martyres celebrantur, quod pro Christo victima cæsi sunt. Hinc optime Nicetas : Ὅτι ἀνῃρέθησαν, καὶ πρὸ αὐτοῦ, καὶ ὑπὲρ αὐτοῦ· « Quod ante ipsum et pro ipso sublati sunt. » Singularis namque innocentium laus ea est, quod odio Christi ab Herode occisi sint, qui, ipsis quidem mortem inferendo, ipsum Christum e vivis tollere volebat. Innocentes igitur hic a Gregorio præcipue considerantur, quasi occisi « pro Christo, » non « ante Christum, » ut vertit Billius. Sic ipse Gregorius, Or. XV, n. 3, de Eleazaro loquens, vo-

D cem hanc προθυόμενος sensu jam exposito accipit. Ait enim : Πρότερον μὲν καὶ προθυόμενος τοῦ λαοῦ, καὶ προσευχόμενος· « Prius quidem pro populo sacrificia et preces adhibens. »

(68) *Συμφεύγειν*. Reg. ph, συμφυγεῖν.

(69) *Κάλεσον αὐτὸν ἐξ Αἰγύπτου, καλῶς ἐκεῖ προσκυνούμενον*. « Voca eum ex Ægypto, rite illic adoratum. » Sic optime Gabr. Nam Gregorius hic Ægyptiorum fidem commendat. Billius vero sic vertit : « Ex Ægypto eum voca. Quod quidem fiet, si eum pulchre atque honorifice illic adoraris. »

(70) *Δέῃ*. Tres Regg. et Or. 1, δέοι.

(71) *Ἡρώδῃ*. Coisl. 1, Πιλάτῳ, « Pilato. »

(72) *Πλέον*. Deest in Or. 1.

(73) *Φραγελλωθῇς*. Sic Or. 1. In ed., φλαγελλωθῇς.

(74) *Περιβαλοῦ*. Sic duo Regg. et undecim Colb. In ed., περιλαβοῦ.

νεκρώθητι, συντάφηθι προθύμως, ἵνα καὶ συναναστῇς, καὶ συνδοξασθῇς, καὶ συμβασιλεύσῃς, Θεὸν ὁρῶν ὅσον ἐστὶ (75), καὶ ὁρώμενος, τὸν ἐν Τριάδι προσκυνούμενόν τε καὶ δοξαζόμενον, ὃν καὶ νῦν τρανοῦσθαι ἡμῖν (76) εὐχόμεθα, ὅσον ἐφικτὸν τοῖς δεσμίοις τῆς σαρκὸς, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας (77). Ἀμήν.

A laphos accipe, fac spinis, hoc est, piæ vitæ asperitate, coroneris. Coccinum induas, arundinem accipias, ab iis, qui veritatem ludibrio habent, adoreris. Denique prompto animo simul crucifigaris, simul moriare, simul sepeliaris, ut simul quoque resurgas, et gloria doneris ac regnes, Deum, quantus est, conspiciens, vicissimque conspectus ab eo, qui in Trinitate adoratur, et glorificatur, quem nunc quoque nobis, quantum carnis vinculo constrictis licet, declarari optamus, in Christo Jesu Domino nostro, cui gloria in sæcula. Amen.

(75) *Ὅσον ἐστί.* Coisl. 1, tres Colb. et Comb., ὅσον ἐστὶν ἐφικτόν, « quantum possibile est. »
(76) *Ἡμῖν.* Sic plures codd. In ed., ὑμῖν.
(77) *Αἰῶνας.* Reg. c et Comb. addunt, τῶν αἰώνων, « sæculorum. »

---

676 MONITUM IN ORATIONES XXXIX ET XL.

I Novum mysterium, sacrum scilicet Christi baptisma, in ista ac sequenti oratione celebrat Gregorius. Quamvis autem prior « in sancta Lumina » inscribatur, non inde tamen concludendum putamus, ut quidam eruditi (78) censuerunt, hanc orationem ad « Luminum, » seu « Purificationis » festum, 2 Februarii in Ecclesia celebratum, referendam esse. Ne verbum quidem in ista oratione reperire est, quod Mariæ purificationem designet. Totus incumbit orator in prædicando Christi baptismate, a quo Luminum festivitas ortum habuit. Ac ne sit ullus hac de re erroris metus, Theologum sic loquentem audiamus (n. 1) : « Sanctus Luminum dies ad quem pervenimus, quemque hodie divino beneficio celebravimus, a Christi mei baptismate originem ducit. » Præterea, ut recte observat Tillemontius (79), baptismus apud Græcos « illuminatio » dicebatur, quod nimirum catechumeni per baptismum a peccati et vitiorum caligine, ad justitiæ et veritatis lucem convolarent. Christus igitur in hac priori oratione a Gregorio prædicatur, ut lux vera illuminans mundum, ac in tenebris etiam lucens. Unde primum catechumenos hortatur, ut, abjectis tenebris, ad puram et perfectam regenerationis lucem per baptismum accedant. Deinde mysterium istud, tam cum nefandis ethnicorum mysteriis, quam cum legalibus Judæorum institutis, ac impiis hæreticorum dogmatibus conferens, illorum omnium doctrinam nostra longe inferiorem demonstrat. Nominatim demum Novatianos exagitat, qui solam agnoscentes purgationem, quæ baptismo comparatur, nequaquam amplius semel post baptismum lapsos ad pœnitentiam admitterent.

II. Quod autem ad alteram orationem, « in sanctum baptisma » inscriptam, attinet, nullum ferme potest esse dubium, quin paratus accesserit Gregorius, ut uno die, unaque conjunctim oratione, totam hanc, tum de Christi, tum de Christianorum baptismate disputationem absolveret. Exorditur enim (n. 1) : « Quoniam heri splendidum Luminum diem celebravimus... hodie de baptismo breviter disseremus ; etenim hesterna luce a nobis oratio paucis expressa fuit, tum quia temporis angustia premebamur, tum quia sermo saturitatem ac fastidium fugiebat. » Hinc merito quidem hæc oratio, velut altera præcedentis orationis pars haberi debet. In priori namque Christus baptismum suscipiens, consideratur ut vera lux illuminans hominem venientem in hunc mundum ; in ista vero consideratur homo, quatenus est a Christo per baptismum illuminatus. In pertractando autem tam ineffabili mysterio, tanta erat rerum copia, ut nequaquam mirum videatur, si Gregorius, quamvis orationis initio se « breviter dicturum » promiserit, fuse tamen de baptismatis excellentia loquatur. Baptismi donum mirifice amplificans, **677** ipsum creationis dono præstantius declarat. Idcirco, modo blande, modo fortiter catechumenos urget, ut prompto et alacri animo ad baptismatis lavacrum accedant ; et prolixiori sermone ostendens quantum sit in mora periculum , varia cunctantium ac procrastinantium argumenta invicte refellit. Ex his autem quæ tum in præcedenti Monito, tum in isto argumento diximus, non male nobis concludendum videtur, orationem « in sancta Lumina » Constantinopoli habitam fuisse 6 Januarii 381, alteram vero «De Baptismate,» die sequenti, id est 7 Januarii ejusdem anni.

(78) Pamelius in annot. in Cyp. ; Gelas. in suo Martyrolog.
(79) T. IX, art. LXV, p. 465.

—

ORATIO XXXIX[a].

In sancta Lumina.

I. Rursum Jesus meus, et rursum mysterium; mysterium non fallax, nec indecorum, nec gentilitii erroris ac temulentiæ (sic enim veneranda illorum mysteria voco, atque etiam, ut arbitror, omnes mente præditi); sed mysterium excelsum et divinum, ac supernum splendorem concilians. Etenim sanctus Luminum dies, ad quem pervenimus, quemque hodie divino beneficio celebravimus, originem quidem a Christi mei baptismate ducit: Christi, inquam, qui est lux vera, illuminans omnem hominem venientem in mundum [95]: meam autem quoque purgationem operatur, ac lumini ei adjumentum affert, quod ab eo sublimitus ab initio acceptum, peccati caligine obduximus atque confudimus.

II. Quocirca divinam vocem audite, mihi quidem hujusmodi rerum et discipulo et magistro, atque utinam etiam vobis vehementer insonantem: *Ego sum lux mundi* [96]. Ac proinde: *Accedite ad eum, et illuminamini, et facies vestræ*, vero lumine consignatæ, *minime confundentur* [97]. Tempus regenerationis; nascamur denuo. Tempus instaurationis; primum Adamum recipiamus. Ne in eo statu, quo sumus, maneamus; verum ad pristinum redeamus. *Lux in tenebris* [98], hoc **678** est in hac vita et carne, *lucet;* ac tenebræ quidem eam persequuntur, sed non comprehendunt, adversaria, inquam, potestas, quæ, dum pro sua impudentia in visibilem Adamum impetum facit, in Deum incurrit, ac superatur; ut nos, abjectis tenebris, ad lucem accedamus, ac deinde lux quoque perfecta efficiamur, a perfecta luce prodeuntes. Videtisne hujus diei gratiam? Videtisne hujus mysterii vim et facultatem? An non a terra in altum sublati estis? An non in cœlo perspicue positi, nostra videlicet voce ac contemplatione in sublime elati? Ac multo etiam magis collocati ac stabiliti eritis, cum Verbum sermoni nostro prosperum cursum dederit.

III. Ecqua talis est legalis atque umbratilis purgatio, quæ per temporarias aspersiones utilitatem affert, ac pollutos per vitulæ cinerem lustrat? Ecquid ejusmodi gentiles celebrant? Quorum ego cæremonias omnes et mysteria, meras nugas esse

ΛΟΓΟΣ ΙΖ'.

A

Εἰς τὰ ἅγια Φῶτα (80).

Α'. Πάλιν Ἰησοῦς ὁ ἐμὸς, καὶ πάλιν μυστήριον· μυστήριον οὐκ ἀπατηλὸν, οὐδ' ἄκοσμον, οὐδὲ τῆς Ἑλληνικῆς πλάνης, καὶ μέθης (οὕτω γὰρ ἐγὼ καλῶ τὰ ἐκείνων σεμνὰ, οἶμαι δὲ, καὶ τῶν εὖ φρονούντων ἕκαστος), ἀλλὰ μυστήριον ὑψηλόν τε καὶ θεῖον, καὶ τῆς ἄνω λαμπρότητος πρόξενον. Ἡ γὰρ ἁγία τῶν Φώτων ἡμέρα, εἰς ἣν ἀφίγμεθα, καὶ ἣν ἑορτάζειν ἠξιώμεθα σήμερον, ἀρχὴν μὲν τὸ τοῦ ἐμοῦ Χριστοῦ βάπτισμα λαμβάνει, τοῦ ἀληθινοῦ φωτὸς, τοῦ φωτίζοντος πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον· ἐνεργεῖ δὲ τὴν ἐμὴν κάθαρσιν, καὶ βοηθεῖ τῷ φωτὶ, ὃ παρ' αὐτοῦ λαβόντες ἄνωθεν ἀπ' ἀρχῆς, ἐκ τῆς ἁμαρτίας ἐζοφώσαμέν τε καὶ συνεχέαμεν.

B

Β'. Τοιγαροῦν ἀκούσατε θείας φωνῆς, ἐμοὶ μὲν καὶ λίαν σφοδρῶς ἐνηχούσης, τῷ μύστῃ καὶ μυσταγωγῷ τῶν τοιούτων, εἴη δὲ καὶ ὑμῖν· *Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου.* Καὶ διὰ τοῦτο, *Προσέλθετε πρὸς αὐτὸν, καὶ φωτίσθητε, καὶ τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ*, τῷ ἀληθινῷ φωτὶ σημειούμενα. Καιρὸς ἀναγεννήσεως· γεννηθῶμεν ἄνωθεν (81). Καιρὸς ἀναπλάσεως· τὸν πρῶτον Ἀδὰμ (82) ἀναλάβωμεν. Μὴ μείνωμεν ὅπερ ἐσμὲν, ἀλλ' ὅπερ ἦμεν γενώμεθα. *Τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει* (83), τῷ βίῳ τούτῳ, καὶ τῷ σαρκίῳ· καὶ ὑπὸ τῆς σκοτίας διώκεται μὲν, οὐ καταλαμβάνεται δὲ, τῆς ἀντικειμένης λέγω δυνάμεως, τῷ φαινομένῳ μὲν Ἀδὰμ προσπηδώσης ἐξ ἀναιδείας, τῷ Θεῷ δὲ περιπιπτούσης καὶ C ἡττωμένης· ἵν' ἡμεῖς τὸ σκότος ἀποθέμενοι, τῷ φωτὶ πλησιάζωμεν (84), εἶτα καὶ φῶς γενώμεθα τέλειον, τελείου φωτὸς γεννήματα. Ὁρᾶτε τῆς ἡμέρας τὴν χάριν; ὁρᾶτε τοῦ μυστηρίου τὴν δύναμιν; οὐκ ἀπὸ γῆς ἤρθητε; οὐκ ἄνω τέθεισθε σαφῶς ὑψωθέντες ὑπὸ τῆς ἡμετέρας φωνῆς καὶ ἀναγωγῆς (85); Καὶ ἔτι μᾶλλον τεθήσεσθε, ἐπειδὰν εὐοδώσῃ (86) τὸν λόγον ὁ Λόγος.

Γ'. Μή τις τοιαύτη κάθαρσις νομικὴ καὶ σκιώδης, προσκαίροις ῥαντίσμασιν ὠφελοῦσα, καὶ σποδῷ δαμάλεως ῥαντίζουσα τοὺς κεκοινωμένους; μή τι τοιοῦτο μυσταγωγοῦσιν Ἕλληνες; ὧν λῆρος ἐμοὶ πᾶσα τελετὴ καὶ μυστήριον, δαιμόνων εὕρημα σκοτεινὸν (87),

[95] Joan. I, 9. [96] Joan. VIII, 12. [97] Psal. XXXIII, 6. [98] Joan. I, 5.

[a] Alias et nunc XXXIX. — Habita Constantinopoli 6 Januarii ann. 381.

(80) *Εἰς τὰ ἅγια Φῶτα.* Sic melioris notæ codices. Reg. ph: Εἰς τὰ ἅγια Ἐπιφάνια. In nonnullis, Θεοφάνια. Or. 1: Λόγος εἰς τὸ ἅγιον Βάπτισμα, καὶ κατὰ δογμάτων Ἑλληνικῶν· « Oratio in sanctum Baptisma, et adversus Græcorum dogmata. » In ed.: Εἰς τὰ ἅγια Φῶτα τῶν Ἐπιφανίων.

(81) *Γεννηθῶμεν ἄνωθεν.* « Nascamur denuo. » Sic Joan. III, 3: Ἐὰν μή τις γεννηθῇ ἄνωθεν· « Nisi quis renatus fuerit denuo. » Sic etiam vertit Nicetas; et Budæus reprehendit eos, qui aliter interpretantur. Billius: « desuper gignamur. »

(82) *Πρῶτον Ἀδάμ.* « Primum Adamum, » qui nimirum in justitia conditus fuerat. « Adamum, » D ante peccatum.

(83) *Φαίνει.* Coisl. 1, φαίνῃ.

(84) *Πλησιάζωμεν.* Duo Regg. et Coisl. 1, πλησιάσωμεν.

(85) *Ἀναγωγῆς.* « Meditatione, contemplatione. » Pro θεωρίας enim ponitur. Bill. in prima ed.: « sublimi Oratione. » In altera vero, « subvectione. » Agitur autem hic de sublimiori Mysterii expositione.

(86) *Εὐοδώσῃ.* Reg. ph, εὐοδώσει.

(87) *Εὕρημα σκοτεινόν.* Duo Regg., εὕρεμα σκοτεινῶν.

A καὶ διανοίας ἀνάπλασμα κακοδαίμονος, χρόνῳ βοηθούμενον, καὶ μύθῳ κλεπτόμενον (88). Ἃ γὰρ ὡς ἀληθῆ προσκυνοῦσιν, ὡς μυθικὰ συγκαλύπτουσιν· δέον, εἰ μὲν ἀληθῆ, μὴ μύθους ὀνομάζεσθαι, ἀλλ' ὅτι μὴ αἰσχρὰ δείκνυσθαι· εἰ δὲ ψευδῆ, μὴ θαυμάζεσθαι, μηδ' οὕτως ἰταμῶς ἐναντιωτάτας ἔχειν δόξας περὶ τοῦ αὐτοῦ πράγματος· ὥσπερ ἐν ἀγορᾷ μειρακίων παίζοντας, ἢ ἀνδρῶν κακοδαιμόνων ὡς ἀληθῶς, ἀλλ' οὐκ ἀνδράσι διαλεγομένους νοῦν ἔχουσι, καὶ Λόγου προσκυνηταῖς· κἂν τὴν ἔντεχνον ταύτην, καὶ ῥυπαρὰν πιθανότητα διαπτύωσιν.

censeo, tenebrosum dæmonum inventum, ac perditæ mentis figmentum, temporis ope ac præsidio fultum, et fabulis furtim obtectum. Nam, quæ ut vera adorant, eadem ut fabulosa obvolvunt et occultant. Oporteret potius, si quidem vera sunt, quæ prædicant, non ea fabulas nuncupare, sed ostendere, quod ab omni turpitudinis obscœnitatisque nota vindicentur: si autem falsa, non ea suspicere, nec ita impudenter de una eademque re maxime oppositas sententias tenere; perinde ac ii, qui in cœtu puerorum ludunt, aut amentium prorsus virorum, non autem cum sapientibus viris, ac Verbi adoratoribus disputant; tametsi artificiosum istud et spurcum verborum lenocinium aspernentur.

Δ'. Οὐ Διὸς ταῦτα γοναὶ (89) καὶ κλοπαὶ, τοῦ Κρητῶν τυράννου, κἂν Ἕλληνες ἀπαρέσκωνται (90)· οὐδὲ Κουρήτων ἦχοι, καὶ κρότοι, καὶ ὀρχήσεις (91) ἔνοπλοι, Θεοῦ κλαίοντος ἠχὴν συγκαλύπτουσαι, ἵνα πατέρα λάθῃ μισότεκνον· δεινὸν γὰρ ἦν ὡς παιδίον κλαυθμυρίζεσθαι, τὸν ὡς λίθον καταποθέντα· οὐδὲ Φρυγῶν (92) ἐκτομαὶ, καὶ αὐλοὶ, καὶ Κορύβαντες (93), καὶ ὅσα περὶ τὴν Ῥέαν ἄνθρωποι μαίνονται, τελοῦντες τῇ μητρὶ τῶν Θεῶν, καὶ τελούμενοι, ὅσα τῇ μητρὶ τῶν τοιούτων εἰκός· οὐδὲ κόρη τις ἡμῖν ἁρπάζεται, καὶ Δημήτηρ (94) πλανᾶται, καὶ Κελεούς τινας ἐπεισάγει, καὶ Τριπτολέμους, καὶ δράκοντας, καὶ τὰ μὲν ποιεῖ, τὰ δὲ πάσχει. Αἰσχύνομαι γὰρ ἡμέρᾳ δοῦναι τὴν (95) νυκτὸς τελετὴν, καὶ ποιεῖν τὴν ἀσχημοσύνην μυστήριον. Οἶδεν Ἐλευσὶς ταῦτα, καὶ οἱ τῶν σιωπωμένων, καὶ σιωπῆς ὄντως ἀξίων ἐπόπται. Οὐδὲ Διόνυσος ταῦτα, καὶ μηρὸς (96), ὠδίνων ἀτελὲς κύημα, ὥσπερ ἄλλο τι κεφαλὴ (97) πρότερον· καὶ Θεὸς ἀνδρόγυνος, καὶ χορὸς μεθυόντων, καὶ στρατὸς ἔκλυτος, καὶ Θηβαίων ἄνοια τοῦτον τιμῶσα, καὶ Σεμέλης κεραυνὸς προσκυνούμενος. Οὐδὲ Ἀφροδίτης πορνικὰ μυστήρια, τῆς αἰσχρῶς, ὡς αὐτοὶ λέγουσι, καὶ γεννωμένης (98) καὶ τιμωμένης. Οὐδὲ Φαλλοί τινες καὶ Ἰθύφαλλοι, αἰσχροὶ καὶ τοῖς σχήμασι καὶ τοῖς πράγμασιν· οὐδὲ Ταύρων (99) ξενοκτονίαι, καὶ Λακωνικῶν (1) ἐφήβων ἐπιβώμιον αἷμα,

IV. Non hæc Jovis partus et furta, illius, inquam, Cretensium tyranni (moleste licet hoc gentiles ferant), nec Curetum soni ac plausus, armatæque saltationes, Dei vagientis clamorem obruentes, ut crudelem patrem effugeret. Grave enim profecto atque indignum erat, eum, qui ut lapis devoratus fuerat, ut infantem ejulare. Nec Phrygum exsectiones, et tibiæ, atque Corybantes, et quæcunque **679** circa Rheam homines furore capti peragunt, ejusmodi sacra Deorum matri obeuntes, atque ipsi vicissim ita initiati, ut par est in talium Deorum parentis mysteriis. Nec puella quædam apud nos rapitur, nec Ceres vagatur, ac Celeos quosdam, et Triptolemos, et dracones inducit, multaque alia et facit, et patitur. Pudet enim me nocturnum sacrum in lucem proferre, ac turpitudinem mysterium facere. Novit hæc Eleusis, atque illi tacitorum, ac profecto silentio dignorum sacrorum spectatores. Nec Bacchus hæc nostra mysteria sunt, nec femur, inchoatum fetum parturiens, quemadmodum caput alium quemdam fetum prius parturierat: nec semivir Deus, et ebriorum chorus, exercitusque mollis et dissolutus, et Thebanorum amentia, hunc colens, ac Semelæ tonitruum adoratum. Nec meretricia Veneris mysteria, turpiter, ut ipsi narrant, et procreatæ, et cultæ: nec Phalli

(88) *Μύθῳ κλεπτόμενον.* « Fabularum involucro sensim auctoritatem et fidem acquisivit apud imprudentes. »

(89) *Διὸς ταῦτα γοναί*, etc. Saturnus, Jovis pater, cum ab oraculo didicisset, ut Græci fabulantur, fore ut ab uno filiorum suorum regno pelleretur, mares omnes, qui ipsi nascebantur, devorabat. Cum igitur Rhea Jovem peperisset, ejus pulchritudine permota, furtim sublatum in Cretam misit, eique Curetes quosdam adjunxit, qui gravem sonum atque armorum crepitum excitarent, ut tali strepitu, infantis dei vagitum et vastum sonum tegere possent, ne forte Saturnus e cœlo vagitum audiens, ipsum quoque devoraret. Lapidem autem fasciis involutum, nati loco, Saturno devorandum reliquit.

(90) *Ἀπαρέσκωνται.* Reg. bm, ἀπαρέσχονται.

(91) *Ὀρχήσεις.* Sic tres Regg., duodecim Colb., etc. In ed., οἰχήσεις.

(92) *Οὐδὲ Φρυγῶν*, etc. In Phrygia, Rheæ delubrum erat, in quo Phryges festum celebrantes genitali membro excidebantur.

(93) *Κορύβαντες.* « Corybantes. » Cybeles, seu Rheæ Sacerdotes, qui tympanis et saltationibus Deæ festa agitabant.

(94) *Δημήτηρ.* Sic Regg. bm, ph. Comb. In ed., Διμήτηρ. Sic vocatur « Ceres, quæ puellam, seu Proserpinam » filiam, a Plutone raptam, per totum orbem vagando conquisivit. Eleusina etiam cognominatur ab Eleusis oppidi nomine, in quo Ceres a Rege Celeo Triptolemi patre liberalissime hospitio excepta est. Quamobrem ei omnem agriculturæ rationem commonstravit.

(95) *Τήν.* Reg. ph, τῆς.

(96) *Μηρός.* Sic tres Regg. et tres Colb. In ed., μηρόν. Alludit ad fabulam Bacchi, qui ex Jovis femore natus fingitur.

(97) *Ἄλλο τι κεφαλή.* Minervam intelligit, e Jovis capite natam, juxta poetas.

(98) *Γεννωμένης.* Tres Colb. et Sav., γενωμένης.

(99) *Οὐδὲ Ταύρων*, etc. Apud Tauros in Scythia, erat delubrum Dianæ consecratum, in quo omnes Græci, qui peregrinando ad ea loca divertebant, immolabantur.

(1) *Καὶ Λακωνικῶν*, etc. Apud Lacædemonios in honorem Dianæ festum celebrabatur, in quo adolescentes verberibus corpus proscindentes, aram sanguine profundebant.

quidem et Ityphalli, formis et actibus obsceni. Nec atrox Taurorum in hospites feritas, nec aræ affusus Spartanorum adolescentum cruor, flagris sese lacerantium, atque hac una in re male viriles animos gerentium, a quibus dea colitur, eaque virgo. Nam iidem, et mollitiem honori habuerunt et audaciam venerati sunt.

V. Jam Pelopis dilaniationem, esurientes deos satiantem, ac sævam et inhumanam hospitalitatem, quo tandem loco pones? Quo item loco horrenda et caliginosa Hecatæ spectra, Trophoniique subterranea ludicra et vaticinia, aut Dodonææ quercus deliramenta, aut Delphicæ tripodis præstigias, aut fatidicos Castalii fontis latices? Quæ omnia hoc unum vaticinari minime potuerunt, nimirum silentium suum. Nec Magorum **680** ars sacrificandi, B atque ex victimarum incisione futurorum præsensio: nec Chaldæorum astrologia et nativitatum observatio, res nostras eodem cum sideribus motu volvens, cum tamen ipsi, nec quid sint, aut futuri sint, cognitum habere queant. Nec Thracum orgia hæc sunt, a quibus et religionem natam esse aiunt: nec Orphei sacra et mysteria, quem Græci sapientiæ nomine adeo suspexerunt, ut etiam lyram, quæ fidium pulsibus omnia pertraheret, ipsi effinxerint. Nec Mithræ justum adversus eos supplicium, qui hujusmodi sacris initiari sustinent. Nec Osiridis lacerationes, alia calamitas, quæ apud Ægyptios colitur. Nec Isidis infortunia, atque hirci Mendesiis ipsis venerabiliores; nec Apidis præsepe, hoc est, vituli, Memphitarum vecordia ad C luxum abutentis. Nec omnes ii honores, quibus Nilum dedecorant, illum, inquam, frugum parentem, ut ipsi prædicant, spicisque copiosum et locupletem, atque ubertatem cubitis metientem.

VI. Mitto enim reptilium et vilium animalculorum honores, ac profusam obscenitatem; quorum privatim quidem sua cuique sacra et festa

A ξαινομένων (2) ταῖς μάστιξι, καὶ τοῦτο μόνον κακῶς ἀνδριζομένων, οἷς τιμᾶται θεὰ, καὶ ταῦτα παρθένος. Οἱ γὰρ αὐτοὶ, καὶ μαλακίαν ἐτίμησαν, καὶ θρασύτητα ἐσεβάσθησαν.

Ε'. Ποῦ δὲ θήσεις τὴν Πέλοπος (3) κρεουργίαν, πεινῶντας θεοὺς ἑστιῶσαν, καὶ φιλοξενίαν πικρὰν καὶ ἀπάνθρωπον; ποῦ δὲ Ἑκάτης (4) τὰ φοβερὰ καὶ σκοτεινὰ φάσματα, καὶ Τροφωνίου (5) κατὰ γῆς παίγνια καὶ μαντεύματα, ἢ Δωδωναίας δρυὸς (6) ληρήματα, ἢ τρίποδος Δελφικοῦ (7) σοφίσματα, ἢ Κασταλίας (8) μαντικὸν πόμα; Τοῦτο μόνον οὐ μαντευσάμενα, τὴν ἑαυτῶν σιωπήν. Οὐδὲ Μάγων (9) θυτική, B καὶ πρόγνωσις ἔντομος· καὶ Χαλδαίων (10) ἀστρονομία καὶ γενεθλιαλογία, τῇ τῶν οὐρανίων κινήσει συμφέρουσα (11) τὰ ἡμέτερα, τῶν μηδὲ ἑαυτοὺς ὅ τί ποτε εἰσὶν, ἢ ἔσονται, γνῶναι δυναμένων· οὐδὲ Θρακῶν ὄργια (12) ταῦτα, παρ' ὧν καὶ τὸ θρησκεύειν, ὡς λόγος· οὐδὲ Ὀρφέως τελεταὶ καὶ μυστήρια, ὃν τοσοῦτον Ἕλληνες ἐπὶ σοφίᾳ ἐθαύμασαν, ὥστε καὶ λύραν αὐτῷ ποιοῦσι, πάντα τοῖς κρούμασιν ἕλκουσαν· οὐδὲ Μίθρου (13) κόλασις ἔνδικος, κατὰ τῶν μυεῖσθαι τὰ τοιαῦτα ἀνεχομένων· οὐδὲ Ὀσίριδος σπαραγμοὶ, ἄλλη συμφορὰ τιμωμένη παρ' Αἰγυπτίοις· οὐδὲ Ἴσιδος (14) ἀτυχήματα, καὶ τράγοι Μενδησίων (15) αἰδεσιμώτεροι, καὶ Ἄπιδος φάτνη, μόσχου κατατρυφῶντος τῆς Μεμφιτῶν εὐηθείας· οὐδ' ὅσα τὸν Νεῖλον ταῖς τιμαῖς καθυβρίζουσι, τὸν καρποδότην, ὡς ἀνυμνοῦσιν C αὐτοὶ, καὶ εὔσταχυν (16), καὶ μετροῦντα τὴν εὐδαιμονίαν τοῖς πήχεσιν.

Ϛ'. Ἐῶ γὰρ λέγειν ἑρπετῶν καὶ κνωδάλων τιμὰς καὶ τὸ τῆς ἀσχημοσύνης φιλότιμον· ὧν καθ' ἕκαστον ἰδίᾳ τις τελετὴ καὶ πανήγυρις (17), καὶ κοινὸν τὸ τῆς

(2) *Ξαινομένων*. Nicetas, quem sequitur Billius, legit, παρ' ἀλλήλων, « invicem; » quamvis desit in codicibus.

(3) *Πέλοπος*, etc. Tantalus deos quondam hospitio excepisse dicitur, filiumque Pelopem mactatum, ac ferventi aqua coctum, iis apposuisse.

(4) *Ποῦ δὲ Ἑκάτης*. Nonnulli per Hecaten, Lunam intelligunt. Alii deam noctu obambulantem, leonum curru vectam, ac serpentibus et draconibus undique cinctam.

(5) *Τροφωνίου*, etc. Trophonius gloriæ cupidus, et deus apud homines haberi cupiens, in subterraneam quamdam specum se abdidit, ibique vitam finivit. Dæmon quidam in ea specu sibi domicilium constituens, seque Trophonium esse mentiens, oraculis homines fallebat.

(6) *Δωδωναίας δρυός*. Dodona, Chaoniæ in Epiro civitas, juxta quam erat Dodonia silva, Jovi sacra, et tota quercubus consita, quæ vocales fuisse dicuntur et oracula reddidisse.

(7) *Τρίποδος Δελφικοῦ*. Delphis in Bœotia, juxta Parnassum montem, erat oraculum toto terrarum orbe celeberrimum, quod, nato Christo, prorsus obmutuit.

(8) *Κασταλίας*. Fons ad Parnassi radicem, Apollini et Musis sacer.

(9) *Μάγων*. Magi, genere Medi sunt. Ili autem animalia mactabant, atque ex jecoris fibris, ipsiusque sanguinis eruptione, futurorum conjecturam faciebant.

(10) *Χαλδαίων*. Chaldæi celebres, utpote qui ex astrorum contemplatione plurima observabant et conjectabant.

(11) *Συμφέρουσα*. Reg. c, Nicet. et Comb., συμπεριφέρουσα.

(12) *Θρακῶν ὄργια*. Thraces primi fuerunt, qui Deos colere didicerunt. Unde θρησκεία, « religio, » a Thracibus nomen duxit. Ipsis etiam Thracibus « Orgia », id est, mysteria et sacra festa tradidit Orpheus.

D (13) *Μίθρου*. « Mithræ, » id est, « Solis, » qui præcipue apud Chaldæos colebatur. Qui ejus sacris initiandi erant, per duodecim suppliciorum genera ducebantur, per famem scilicet, ignem, frigus, aliaque hujusmodi.

(14) *Ὀσίριδος ... Ἴσιδος*. Isis Ægyptiorum dea, prius Io apud poetas vocabatur. Finxit Fabula Isidem a Jove deamatam, in juvencam mutatam fuisse. Juno autem fraude cognita, œstro pellici immisso, summis eam doloribus exagitavit. Tandem pristinæ formæ restituta, in Ægyptum fugit, ubi Osiridi nupsit. Quibus mortuis, Isim et Osiridim inter deos annumerarunt Ægyptii.

(15) *Τράγοι Μενδησίων*, etc. Mendesium urbs est Ægypti, in qua hircus pro deo habebatur.

(16) *Εὔσταχυν*. Sic plerique codd. In ed., ἄσταχυν.

(17) *Πανήγυρις*. Sic quatuor Regg., decem Colb., duo Coisl., Or. 1, etc. In ed., μυστήριον

κακοδαιμονίας ἐφ' ἅπασιν· ὡς εἴπερ ἀσεβεῖν αὐτοὺς A ἔδει πάντως, καὶ τῆς τοῦ Θεοῦ δόξης ἀποπεσεῖν, εἰς εἴδωλα κατενεχθέντας, καὶ τέχνης ἔργα, καὶ χειρῶν πλάσματα, μὴ ἂν ἄλλο τι κατ' αὐτῶν εὔξασθαι τούς γε νοῦν ἔχοντας, ἢ τοιαῦτα σεβασθῆναι, καὶ οὕτω τιμῆσαι, ἵνα τὴν ἀντιμισθίαν, ἣν ἔδει τῆς πλάνης, ὥς φησι Παῦλος, ἀπολαμβάνωσιν, ἐν οἷς σέβονται· οὐ μᾶλλον τιμῶντες, ἢ δι' ἐκείνων (18) ἀτιμαζόμενοι. Βδελυκτοὶ τῆς πλάνης, βδελυκτότεροι τῆς εὐτελείας τῶν προσκυνουμένων καὶ σεβομένων, ἵνα καὶ αὐτῶν τῶν τιμωμένων ὦσιν ἀναισθητότεροι, τοσοῦτον ὑπερβάλλοντες ἀνοίᾳ, ὅσον εὐτελείᾳ τὰ προσκυνούμενα.

erant, communiter tamen omnia ad horrendam perditamque impietatem tendebant; adeo ut, si quidem omnino eos impietate constringi, atque ad simulacra et artis opera manuumque figmenta prolapsos, a Dei gloria dejici oportebat, nihil aliud ipsis cordati homines imprecari possent, quam ut talia venerarentur, talibusque honoribus afficerent, ut erroris mercedem, quam decebat, ut ait Paulus [99], per hujusmodi venerationem reciperent; non magis ea numina per seipsos honorantes, quam ipsi per ea dedecus atque infamiam sibiipsis inurentes. Exsecrabiles quidem illi ob errorem, exsecrabiliores autem ob eorum, quæ venerantur atque adorant, vilitatem; ita ut iis etiam, quæ colunt, stupidiores se præbeant, tantumque ea dementia et stoliditate superent, quantum ab iis, quæ adorant, vilitate superantur.

Ζ'. Ταῦτα μὲν οὖν παιζέτωσαν Ἑλλήνων παῖδες, B καὶ δαίμονες, παρ' ὧν ἐκείνοις ἡ ἄνοια, τὴν τοῦ Θεοῦ τιμὴν εἰς ἑαυτοὺς μεθελκόντων, καὶ ἄλλους ἄλλως κατατεμνόντων εἰς αἰσχρὰς δόξας καὶ φαντασίας, ἀφ' οὗ τοῦ ξύλου τῆς ζωῆς ἐκβαλόντες ἡμᾶς, τῷ ξύλῳ τῆς γνώσεως οὐ κατὰ καιρὸν, οὐδ' ἐπιτηδείως μεταληφθείσης (19), ὡς ἀσθενεστέρους ἤδη κατέδραμον, τὸν ἡγεμόνα νοῦν συναρπάσαντες, καὶ τοῖς πάθεσι θύραν ἀνοίξαντες. Οὐ γὰρ ἔφερον, φύσις ὄντες φθονερὰ καὶ μισάνθρωπος, μᾶλλον δὲ διὰ τὴν ἑαυτῶν κακίαν γενόμενοι, τοὺς κάτω τῶν ἄνω τυχεῖν, αὐτοὶ πεσόντες ἐπὶ γῆς ἄνωθεν, οὐδὲ τοσαύτην μετάστασιν γενέσθαι τῆς δόξης, καὶ τῶν πρώτων φύσεων. Τοῦτό ἐστιν ὁ διωγμὸς τοῦ πλάσματος· διὰ τοῦτο ἡ εἰκὼν τοῦ Θεοῦ καθυβρίσθη· καὶ καθὼς οὐκ ἐδοκιμάσαμεν φυλάξαι τὴν ἐντολὴν, παρεδόθημεν τῇ αὐτονομίᾳ τῆς C πλάνης (20)· καὶ καθὼς ἐπλανήθημεν, ἠτιμάσθημεν ἐν οἷς ἐσεβάσθημεν. Οὐ γὰρ τοῦτο μόνον δεινὸν, τὸ πεποιημένους ἐπ' ἀγαθοῖς ἔργοις (21), εἰς δόξαν καὶ ἔπαινον τοῦ πεποιηκότος, καὶ Θεοῦ μίμησιν, ὅσον ἐφικτὸν, ὁρμητήριον γενέσθαι παντοίων παθῶν, βοσκομένων κακῶς καὶ δαπανώντων τὸν ἐντὸς ἄνθρωπον· ἀλλὰ τὸ (22) καὶ θεοὺς στήσασθαι (23) συνηγόρους τοῖς πάθεσιν, ἵνα μὴ μόνον ἀνεύθυνον τὸ ἁμαρτάνειν, ἀλλὰ καὶ θεῖον νομίζηται, εἰς τοιαύτην καταφεῦγον ἀπολογίαν, τὰ προσκυνούμενα.

VII. Atque hæc quidem ludant gentiles, ac dæmones, a quibus illi in hanc amentiam impelluntur, dum nimirum Dei **681** honorem ad seipsos detorquent, atque in turpes sententias, et rerum species, alios alio modo discindunt, ex quo nos per scientiæ lignum minus tempestive et commode perceptum, vitæ ligno exturbatos, velut jam infirmiores, exagitarunt, gubernatrice mente abrepta, januaque vitiosis animi affectionibus patefacta. Nec enim ferre poterant, cum invidia atque odio adversus hominem suapte natura flagrarent, vel, ut rectius loquar, propter vitium suum in hunc habitum degenerassent, terrenos homines supernis bonis frui, cum ipsi e cœlo in terram corruissent, nec tantam gloriæ, pristinæque ipsorum naturæ mutationem fieri. Idcirco persecutio adversus Dei figmentum excitata est; idcirco Dei imago probro et dedecore affecta. Et quemadmodum mandato parere recusavimus, ita licentiæ erroris traditi sumus; et quemadmodum aberravimus, ita vicissim in iis, quibus cultum et venerationem adhibuimus, probro et ignominia perfusi sumus. Nec enim hoc solum grave et indignum est, quod, cum ad bona opera, in opificis laudem et gloriam, Deique, quantum fas est, imitationem, creati essemus, omnis generis vitiorum, quæ intestinum hominem misere depascunt atque consumunt, sedes et propugnaculum facti sumus; sed etiam quod Deos vitiorum patronos effinximus, ut peccatum, non modo crimine careat, sed etiam divinum censeatur, ad ea videlicet, quæ pro diis adorantur, defensionis causa confugiens.

Η'. Ἡμῖν δὲ ὥσπερ ἐχαρίσθη τὸ φυγοῦσι τὴν δει- D σιδαίμονα πλάνην, μετὰ τῆς ἀληθείας γενέσθαι, καὶ δουλεύειν Θεῷ ζῶντι καὶ ἀληθινῷ, καὶ τὴν κτίσιν ὑπεραναβῆναι, πάντα περάσασιν, ὅσα ὑπὸ χρόνον καὶ πρώτην κίνησιν· οὕτω καὶ εἴδωμεν (24), καὶ φιλοσοφήσωμεν τὰ περὶ Θεοῦ καὶ τὰ θεῖα. Φιλοσοφήσωμεν δὲ, ἀρχόμενοι (25), ὅθεν ἄρχεσθαι ἄμεινον· ἄμει-

VIII. At vero, quemadmodum nobis divino beneficio concessum est, ut, superstitioso errore fuga relicto, a veritate stemus, ac Deo vivo et vero serviamus, et supra creaturam assurgamus, omnia, quæ tempori primæque motioni subjacent, trajicientes; ita etiam faciendum est, ut ea, quæ de Deo, ac divina sunt, cognoscamus, de iisque disse-

[99] Rom. I, 23 sqq.

(18) *Τιμῶντες, ἢ δι' ἐκείνων.* Quinque Regg., tres Colb., duo Coisl., τιμῶντες τὰ σεβάσματα, ἢ δι' ἑαυτῶν. Sic legit Billius.

(19) *Μεταληφθείσης.* Sic quinque Regg., octo Colb., Or. 1 et Bas. ed. Unus Colb. habet, μεταληφθέντι. Sic legit Bill. Prave in Par. ed., μεταληφθέντος.

(20) *Αὐτονομίᾳ τῆς πλάνης.* Bill. : « erroris libertati. »

(21) *Ἐπ' ἀγαθοῖς ἔργοις*, etc. Bill. : « propter bona opera, hoc est, ad opificis laudem, » etc.

(22) *Ἀλλὰ τό.* Comb., ἀλλὰ καὶ τό.

(23) *Στήσασθαι.* « Constituimus. »

(24) *Εἴδωμεν.* Sic Regg. bm, pb, tres Colb., etc. In ed., ἴδωμεν.

(25) *Ἀρχόμενοι.* Deest in duobus Regg. et Or. 1.

ramus. Disseremus autem, hinc, unde satius est, initium ducentes. Hinc porro satius est, unde Salomon nobis legem statuit. *Principium sapientiæ*, inquit, *posside sapientiam* [1]. Quidnam hoc vocat principium sapientiæ? Timorem [2]. Neque enim ea nobis ratio ineunda est, ut a contemplatione auspicantes, in timorem desinamus (effrenata enim contemplatio in præcipitia quoque fortasse nos impulerit); verum ut timoris rudimentis imbuti, et purgati, atque, ut hoc verbo utar, attenuati, in altum efferamur. Ubi enim timor est, illic quoque
682 mandatorum observatio: ubi autem mandatorum observatio, illic etiam carnis, quæ, nubis cujusdam instar, animæ lumen obscurat, nec divini radii splendorem pure intueri sinit, purgatio est. Porro ubi purgatio, illic illuminatio; illuminatio autem, desiderii summa est, iis utique qui maximarum rerum, vel potius maximæ rei, atque adeo magnitudinem omnem superantis, cupiditate flagrant.

A νον δὲ, ὅθεν Σολομὼν ἡμῖν ἐνομοθέτησεν· *Ἀρχὴ σοφίας*, φησὶ, *κτῆσαι* (26) *σοφίαν*· τί τοῦτο λέγων ἀρχὴν σοφίας; Τὸν φόβον. Οὐ γὰρ ἀπὸ θεωρίας ἀρξαμένους, εἰς φόβον χρὴ καταλήγειν (θεωρία γὰρ ἀχαλίνωτος τάχα ἂν καὶ κατὰ κρημνῶν ὤσειεν)· ἀλλὰ φόβῳ στοιχειουμένους, καὶ καθαιρομένους, καὶ, ἵν' οὕτως εἴπω, λεπτυνομένους, εἰς ὕψος αἴρεσθαι. Οὗ γὰρ φόβος, ἐντολῶν τήρησις· οὗ δὲ ἐντολῶν τήρησις, σαρκὸς κάθαρσις, τοῦ ἐπιπροσθοῦντος τῇ ψυχῇ νέφους, καὶ οὐκ ἐῶντος καθαρῶς ἰδεῖν τὴν θείαν ἀκτῖνα· οὗ δὲ κάθαρσις, ἔλλαμψις· ἔλλαμψις δὲ, πόθου πλήρωσις, τοῖς τῶν μεγίστων (27), ἢ τοῦ μεγίστου, ἢ ὑπὲρ τὸ μέγα ἐφιεμένοις.

IX. Quocirca se quemque prius purgare oportet, atque ita demum cum puro consuetudinem habere; ne alioqui nobis idem quod Israeli, accidat, vultus Mosaici gloriam non ferenti, ac propterea velamine opus habenti [3]: aut eodem, quo Manue, modo afficiamur, ac dicamus: *Periimus, mulier, Deum vidimus* [4], cum videlicet Dei species ipsi objecta esset; aut, Petri instar, Jesum a navicula [5] submoveamus, utpote tali præsentia indigni (Petrum autem cum dico, quem virum dico? Eum, qui super fluctus ambulavit). Aut oculorum sensu orbemur, quemadmodum Paulo accidit, cum, priusquam a persecutionibus expiatus esset, colloquium cum eo, quem persequebatur, miscuisset, vel potius, exiguo magni illius luminis splendore perstrictus fuisset [6]: aut denique, ut centurio ille, medicinam ita requiramus, ut tamen laudabili timore perterriti, medicum in ædes nostras non admittamus. Proinde dicat quoque ex nobis quispiam, quandiu nondum purgatur, sed adhuc centurio est, in multos vitii principatum tenens, ac Cæsari, hoc est, mundi principi, eorumque, qui humi volutantur, domino militat: *Non sum dignus, ut intres sub tectum meum* [7]. Cum autem Jesum conspexerit, quamvis spirituali statura parvus, ut Zachæus ille, ac super sycomorum evectus fuerit [8], mortificatis videlicet membris, quæ super terram sunt [9], atque humilitatis corpore superato, tum vero Verbum excipiat, et audiat: *Hodie salus huic domui* [10], salutemque accipiat, ac perfectiores fructus ferat, præclare spargens et effundens, quæ ex telonii lucris male collegerat.

B Θ'. Διὰ τοῦτο καθαρτέον ἑαυτὸν (28) πρῶτον, εἶτα τῷ καθαρῷ προσομιλητέον· εἴπερ μὴ μέλλοιμεν τὸ τοῦ Ἰσραὴλ πείσεσθαι, μὴ φέροντος τὴν δόξαν τοῦ προσώπου Μωσέως, καὶ διὰ τοῦτο δεομένου καλύμματος· ἢ τὸ τοῦ Μανωὲ, καὶ πείσεσθαι, καὶ λέξειν· *Ἀπολώλαμεν, ὦ γύναι, Θεὸν ἑωράκαμεν*, ἐν φαντασίᾳ Θεοῦ γενομένου· ἢ, ὡς Πέτρος, τοῦ πλοίου τὸν Ἰησοῦν ἀποπέμψασθαι, ὡς οὐκ ἄξιοι τοιαύτης ἐπιδημίας. Πέτρον δὲ ὅταν εἴπω, τίνα λέγω; Τὸν κατὰ κυμάτων πεζεύσαντα. Ἢ, ὡς Παῦλος, τὴν ὄψιν πληγήσεσθαι, πρὶν καθαρθῆναι τῶν διωγμῶν, τῷ διωκομένῳ προσομιλήσας, μᾶλλον δὲ βραχείᾳ τοῦ μεγάλου (29) φωτὸς λαμπηδόνι· ἢ, ὡς ὁ ἑκατόνταρχος, τὴν μὲν θεραπείαν ἐπιζητήσειν, τῇ οἰκίᾳ (30) δὲ τὸν θεραπευτὴν οὐκ εἰσδέξασθαι διὰ δειλίαν ἐπαινουμένην.
C Λεγέτω τις καὶ ἡμῶν, ἕως οὔπω καθαίρεται (31), ἀλλ' ἔστιν ἑκατόνταρχος ἔτι, πλειόνων ἐν κακίᾳ κρατῶν, καὶ στρατεύεται Καίσαρι, τῷ κοσμοκράτορι τῶν κάτω συρομένων· *Οὐκ εἰμὶ ἱκανὸς, ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς.* Ὅταν δὲ Ἰησοῦν θεάσηται, καίτοι μικρὸς ὢν τὴν πνευματικὴν ἡλικίαν, ὡς ὁ (32) Ζακχαῖος ἐκεῖνος, καὶ ὑπὲρ τὴν συκομωραίαν ἀρθῇ, νεκρώσας τὰ μέλη τὰ ἐπὶ τῆς γῆς, καὶ ὑπεραναβὰς τὸ σῶμα τῆς ταπεινώσεως, τότε καὶ εἰσδεχέσθω τὸν Λόγον, καὶ ἀκουέτω· *Σήμερον σωτηρία τῷ οἴκῳ τούτῳ*, καὶ λαμβανέτω τὴν σωτηρίαν, καὶ καρποφορείτω τὰ τελεώτερα, σκορπίζων καὶ διαχέων καλῶς, ἃ κακῶς ἐτελώνησεν.

X. Idem enim Verbum, et propter naturam suam indignis formidolosum est, et propter benignitatem capi potest, iis quidem certe, qui in hunc modum fuerint præparati; qui, impuro spiritu depulso, animas agnitione mundarint et exornarint,

D Ι'. Ὁ γὰρ αὐτὸς Λόγος, καὶ φοβερὸς τοῖς οὐκ ἀξίοις διὰ τὴν φύσιν, καὶ χωρητὸς διὰ φιλανθρωπίαν τοῖς οὕτως ηὐτρεπισμένοις (33)· ὅσοι (34) τὸ ἀκάθαρτον καὶ ὑλικὸν πνεῦμα τῶν ψυχῶν ἀπελάσαντες, καὶ τὰς ἑαυτῶν ψυχὰς τῇ ἐπιγνώσει σαρώσαντες καὶ κοσμή-

[1] Prov. IV, 7. [2] Eccli. I, 16. [3] Exod. XXXIV, 30 sqq. [4] Jud. XIII, 22. [5] Luc. V, 8. [6] Act. IX, 4 sqq. [7] Matth. VIII, 8. [8] Luc. XIX, 2 sqq. [9] Coloss. III, 5. [10] Luc. XIX, 9.

(26) *Κτῆσαι*. Bill.: « collige. »
(27) *Τοῖς τῶν μεγίστων*. Schol.: Τὰς τρεῖς ὑποστάσεις διὰ τὸ κατ' οὐσίαν ἓν, καὶ ταυτὸν, καὶ μοναδικὸν τῆς θεότητος· « Tres personas ob essentiæ unitatem, eamdemque ac singularem deitatem. »
(28) *Ἑαυτόν*. Deest in Reg. ph, Or. 1 et aliis.
(29) *Μεγάλου*. Deest in duobus Regg.
(30) *Οἰκίᾳ*. Sic plures Regg. In ed., οἰκείᾳ.
(31) *Καθαίρεται*. In nonnullis, κεκάθαρται.
(32) *Ὡς ὁ*. Sic septem Regg. Deest ὁ in ed.
(33) *Ηὐτρεπισμένοις*. Regg. bm, ph et Colb. 5, εὐτρεπισμένοις.
(34) *Ὅσοι*. Plures Colb., ὡς, οἱ.

σαντες, μηδὲ ἀργὴν, μηδὲ ἄπρακτον εἴασαν, ὥστε μετὰ πλείονος τῆς παρασκευῆς, αὖθις καταληφθῆναι ὑπὸ τῶν ἑπτὰ τῆς κακίας πνευμάτων, ὅσα καὶ τῆς ἀρετῆς ἀπηρίθμηται (τὸ γὰρ δυσμαχώτερον, περισπουδαστότερον)· ἀλλὰ πρὸς τῷ (35) φεύγειν τὴν κακίαν, καὶ τὴν ἀρετὴν ἐργάζονται, ὅλον τὸν (36) Χριστὸν, ἢ ὅτι μάλιστα, ἑαυτοῖς εἰσοικίσαντες, ὥστε μηδενὶ κενῷ τὴν πονηρὰν δύναμιν ὁμιλήσασαν, ἑαυτῆς πάλιν πληρῶσαι, καὶ γενέσθαι τὰ ἔσχατα χείρονα τῶν πρώτων, διὰ τὸ τῆς (37) καταδρομῆς σφοδρότερον, καὶ τὸ τῆς φρουρᾶς ἀσφαλέστερον καὶ δυσαλωτότερον. Ὅταν δὲ πάσῃ φυλακῇ τηρήσαντες τὴν ἑαυτῶν ψυχὴν, καὶ ἀναβάσεις ἐν τῇ καρδίᾳ διαθέμενοι, καὶ νεώσαντες ἑαυτοῖς νεώματα, καὶ σπείραντες εἰς δικαιοσύνην, ὡς Σολομῶντι, καὶ Δαβὶδ, καὶ Ἱερεμίᾳ δοκεῖ, φωτίσωμεν ἑαυτοῖς φῶς γνώσεως· τηνικαῦτα λαλῶμεν Θεοῦ σοφίαν ἐν μυστηρίῳ τὴν ἀποκεκρυμμένην, καὶ τοῖς ἄλλοις ἐκλάμπωμεν. Τέως δὲ καθαιρώμεθα (38) καὶ προτελώμεθα τῷ Λόγῳ, ἵν' ὅτι μάλιστα αὐτοὺς ἡμᾶς εὐεργετῶμεν, θεοειδεῖς ἐργαζόμενοι, καὶ ἥκοντα τὸν Λόγον ὑποδεχόμενοι· οὐ μόνον δὲ, ἀλλὰ καὶ κρατοῦντες, καὶ τοῖς ἄλλοις προφαίνοντες.

ΙΑ'. Ἐπεὶ δὲ ἀνεκαθήραμεν (39) τῷ λόγῳ τὸ θέατρον, φέρε τι περὶ τῆς ἑορτῆς ἤδη φιλοσοφήσωμεν, καὶ συνεορτάσωμεν ταῖς φιλεόρτοις καὶ φιλοθέοις ψυχαῖς. Ἐπεὶ δὲ κεφάλαιον ἑορτῆς μνήμη Θεοῦ, Θεοῦ μνημονεύσωμεν. Καὶ γὰρ τὸν ἐκεῖθεν τῶν ἑορταζόντων ἦχον, ἔνθα εὐφραινομένων πάντων ἡ κατοικία (40), οὐκ ἄλλο τι ἢ τοῦτο εἶναι νομίζω, Θεὸν ὑμνούμενόν τε καὶ δοξαζόμενον τοῖς τῆς ἐκεῖσε πολιτείας ἠξιωμένοις. Εἰ δέ τι τῶν ἤδη προειρημένων ὁ νῦν ἕξει λόγος, θαυμαζέτω μηδείς. Οὐ γὰρ τὰ αὐτὰ καὶ (41) φθέγξομαι μόνον, ἀλλὰ καὶ περὶ τῶν αὐτῶν, φρίττων καὶ γλῶσσαν, καὶ νοῦν (42), καὶ διάνοιαν, ὅταν περὶ Θεοῦ φθέγγωμαι καὶ ὑμῖν ταυτὸ τοῦτο συνευχόμενος τὸ ἐπαινετὸν πάθος καὶ μακάριον. Θεοῦ δὲ ὅταν εἴπω, ἑνὶ φωτὶ περιαστράφθητε καὶ τρισί· τρισὶ μὲν, κατὰ τὰς ἰδιότητας, εἴτουν (43) ὑποστάσεις, εἴ τινι φίλον καλεῖν, εἴτε πρόσωπα (οὐδὲν γὰρ περὶ τῶν ὀνομάτων ζυγομαχήσομεν, ἕως ἂν πρὸς τὴν αὐτὴν ἔννοιαν αἱ συλλαβαὶ φέρωσιν)· ἑνὶ δὲ, κατὰ τὸν τῆς οὐσίας λόγον, εἴτουν θεότητος. Διαιρεῖται γὰρ ἀδιαιρέτως, ἵν' οὕτως εἴπω, καὶ συνάπτεται διῃρημένως. Ἓν γὰρ ἐν τρισὶν (44) ἡ θεότης, καὶ τὰ τρία ἕν· τὰ ἐν οἷς ἡ θεότης, ἢ, τό γε ἀκριβέστερον εἰπεῖν, ἃ ἡ θεότης. Τὰς δὲ ὑπερβολὰς καὶ ἐλλείψεις ἐλλείψω-

nec eas desides et otiosas **683** reliquerint, ita ut cum majori apparatu a septem vitii spiritibus, hoc est, totidem, quot virtutis numerati sunt, rursus occupetur (quod enim difficilius expugnatur, studiosius atque ardentius appetitur); verum ad vitii fugam virtutis cultum adjungunt, totum Christum, vel certe quam maxime, in animi domicilium admittentes, ne prava potestas, vacuum aliquid offendens, domum rursus impleat, ac novissima prioribus deteriora fiant [11], tum propter acriorem ac vehementiorem incursionem, tum propter majorem arcis firmitatem, ejusque expugnandæ difficultatem. Posteaquam autem, anima nostra omni custodia servata [12], atque ascensionibus in corde dispositis [13], novalibusque in nobisipsis innovatis [14], ac denique semine ad justitiam sparso, quemadmodum, et Salomon, et David, et Jeremias admonent, scientiæ lumen nobis excitaverimus; tum demum in mysterio absconditam Dei sapientiam loquamur [15], aliisque præluceamus. Interim vero purgemur, ac Verbo ante initiemur, ut quam præclarissime de nobis ipsis mereamur, Deo similes nosipsos reddentes, ac Verbum veniens suscipientes: nec solum suscipientes, verum etiam retinentes, aliisque præmonstrantes.

XI. Quoniam autem sermone theatrum repurgavimus, age, jam de festo nonnihil disseramus, et cum piis animis festique celebrandi studiosis, diem hunc sacrum celebremus. Et quoniam Dei memoria præcipuum festi caput est, Deum memoria colamus. Nam nec sonum eorum, qui in altero sæculo, in quo lætantium omnium habitatio est [16], festum celebrant, quidquam aliud esse existimo, quam laudes eas, quibus Deus ab illis, qui in rempublicam illam admissi sunt, celebratur. Quod si quid eorum, quæ jam a nobis dicta sunt, hæc oratio habitura est, id nemini mirum videatur. Neque enim eadem solum proloquar, sed de iisdem quoque rebus, et quidem lingua, et mente, et cogitatione horrescens, quoties de Deo sermonem habeo; quem etiam præclarum ac beatum affectum vobis inesse optarim. Deum porro cum dico, uno eodemque triplici lumine perstringamini: triplici quidem, quantum **684** ad proprietates, sive hypostases, si cui hoc verbum magis arridet, sive personas (neque enim de vocabulis dissidebimus, quandiu syllabæ ad eamdem sententiam ferent); uno autem, quantum ad substantiæ, hoc est, Divinitatis rationem. Distinguitur enim indistinctim, ut sic loquar, et

[11] Matth. XII, 45. [12] Prov. IV, 23. [13] Psal. LXXXIII, 6. [14] Jerem. IV, 3. [15] I Cor. II, 7. [16] Psal. LXXXVI, 7.

(35) *Πρὸς τῷ*. Or. 1, Jes., Par., πρὸς τό.
(36) *Τόν*. Deest in tribus Regg. et Or. 1.
(37) *Καὶ τὸ τῆς*. Sic sex Regg., tres Colb. et Or. 1. Deest τό in ed.
(38) *Καθαιρώμεθα*, etc. Budæus: « Expiemus nos, purosque et idoneos reddamus. »
(39) *Ἀνεκαθήραμεν*, etc. Nicetas exponit: « Auditorum animas sermone præparavimus. »
(40) *Πάντων ἡ κατοικία*. Sic sex Regg. et Or. 1. Deest ἡ in ed.
(41) *Καί*. Deest in Regg. bm, ph.
(42) *Καὶ νοῦν*. Hæc desunt in quinque Regg. Alii autem, et quidem optimæ notæ, habent, καὶ ἀκοήν, « et aure. »
(43) *Εἴτουν*. Sic tres Regg., sex Colb. et Or. 1. In ed., ἢ γοῦν.
(44) *Ἓν γὰρ ἐν τρισίν*. Observat hic scholiastes accuratam loquendi rationem Gregorii, qui nunquam Deum, τρία, vel, τὸ ἓν τρία dixerit; sed τὸ ἓν ἐν τρισὶ, καὶ τὰ τρία ἕν, id est, τὰ τρία τὴν θεότητα εἶναι, non e converso, ἓν τὰ τρία.

distinctim connectitur. Unum enim in tribus, divinitas est, et tria unum; ea, inquam, in quibus, divinitas est, vel, ut magis proprie dicam, quæ, divinitas est. Excessus autem ac defectus missos faciamus, nec per unionem confusionem, nec rursus per divisionem sejunctionem efficientes. Æquo enim intervallo a nobis absint, et Sabellii contractio, et Arii divisio, mala ex diametro opposita, et in pietate paria. Quid enim necesse est Deum vel male contrahere, vel in inæqualitatem scindere?

A μεν (45)· οὔτε τὴν ἕνωσιν (46) σύγχυσιν ἐργαζόμενοι, οὔτε τὴν διαίρεσιν, ἀλλοτρίωσιν. Ἀπέστω γὰρ ἡμῶν ἐξ ἴσου, καὶ ἡ Σαβελλίου συναίρεσις, καὶ ἡ Ἀρείου διαίρεσις, τὰ ἐκ διαμέτρου κακὰ, καὶ ὁμότιμα τὴν ἀσέβειαν· τί γὰρ δεῖ Θεὸν, ἢ συναλείφειν κακῶς, ἢ κατατέμνειν εἰς ἀνισότητα;

XII. *Nobis quippe unus Deus Pater, ex quo omnia, et unus Dominus Jesus Christus, per quem omnia*[17], et unus Spiritus sanctus, in quo omnia. In quibus hæ particulæ, *ex quo*, *per quem*, et *in quo*, non naturas secant (alioqui enim propositiones istæ nominumque ordines nunquam immutarentur); verum unius et inconfusæ naturæ proprietates exprimunt. Idque ex eo perspicue constat, quod rursus in unum contrahuntur, si modo quis illud apud eumdem apostolum non neglectim atque oscitanter legat: *Ex ipso, et per ipsum, et in ipso sunt omnia: ipsi gloria in sæcula, Amen*[18]. Pater pater est, et principii expers: neque enim ex ullo est. Filius filius est, ac non principii expers: ex Patre siquidem. Quod si temporis principium accipis, principio etiam caret; neque enim temporum effector tempori subest. Spiritus sanctus vere spiritus est, procedens quidem ex Patre, non tamen filiationis modo, ut nec generationis, verum processionis; liceat enim perspicuitatis causa nova nomina fingere. Neque enim Pater eo ingenitus esse destitit, quia genuit; nec Filius genitus esse desinit, quia ex ingenito est. Quonam enim modo desineret? Nec Spiritus idcirco, vel in Patrem, vel in Filium migrat, quia processit, ac Deus est, etiam si impiis hominibus aliter videatur: proprietas enim moveri non potest. Nam alioqui quonam pacto proprietas maneret, si moveretur et mutaretur? Qui autem ingenituram, et generationem, deorum homonymorum naturas esse statuunt, iidem, **685** credo, Adamum quoque et Seth (quoniam ille, non ex carne, utpote a Deo effictus, hic autem ab Adamo et Eva procreatus est), diversa natura præditos esse contendent. Unus igitur Deus in tribus, et tria unum sunt, ut diximus.

ΙΒʹ. *Ἡμῖν δὲ, εἷς Θεὸς ὁ Πατὴρ, ἐξ οὗ τὰ πάντα, καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα*, καὶ ἓν Πνεῦμα ἅγιον, ἐν ᾧ τὰ πάντα· τοῦ *ἐξ οὗ*, καὶ *δι' οὗ*, καὶ *ἐν ᾧ*, μὴ φύσεις τεμνόντων (οὐδὲ γὰρ ἂν μετέπιπτον αἱ προθέσεις, ἢ αἱ τάξεις τῶν ὀνομάτων), ἀλλὰ χαρακτηριζόντων μιᾶς καὶ ἀσυγχύτου φύ-
B σεως ἰδιότητας. Καὶ τοῦτο δῆλον, ἐξ ὧν εἰς ἓν συνάγονται πάλιν, εἴ τῳ μὴ παρέργως ἐκεῖνο ἀναγινώσκεται (47) παρὰ τῷ αὐτῷ ἀποστόλῳ, τὸ, *Ἐξ αὐτοῦ, καὶ δι' αὐτοῦ, καὶ εἰς αὐτὸν τὰ πάντα· αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν*. Πατὴρ ὁ πατὴρ, καὶ ἄναρχος· οὐ γὰρ ἔκ τινος. Υἱὸς ὁ υἱὸς, καὶ οὐκ ἄναρχος· ἐκ τοῦ Πατρὸς γάρ. Εἰ δὲ τὴν ἀπὸ χρόνου λαμβάνοις ἀρχὴν, καὶ ἄναρχος· ποιητὴς γὰρ χρόνων, οὐχ ὑπὸ χρόνον (48). Πνεῦμα ἅγιον ἀληθῶς τὸ πνεῦμα, προϊὸν μὲν ἐκ τοῦ Πατρὸς, οὐχ υἱικῶς δὲ, οὐδὲ γὰρ γεννητῶς, ἀλλ' ἐκπορευτῶς· εἰ δεῖ τι καὶ καινοτομῆσαι περὶ τὰ ὀνόματα σαφηνείας ἕνεκεν. Οὔτε τοῦ Πατρὸς ἐκστάντος τῆς ἀγεννησίας, διότι γεγέννηκεν· οὔτε τοῦ Υἱοῦ τῆς γεννήσεως, ὅτι ἐκ τοῦ ἀγεννήτου. Πῶς γάρ; οὔτε τοῦ Πνεύματος, ἢ εἰς Πατέρα μετα-
C πίπτοντος, ἢ εἰς Υἱὸν, ὅτι ἐκπεπόρευται, καὶ ὅτι Θεὸς, κἂν μὴ δοκῇ τοῖς ἀθέοις· ἡ γὰρ ἰδιότης ἀκίνητος. Ἢ πῶς ἂν ἰδιότης μένοι, κινουμένη καὶ μεταπίπτουσα; Οἱ δὲ τὴν ἀγεννησίαν, καὶ τὴν γέννησιν φύσεις Θεῶν ὁμωνύμων τιθέμενοι, τάχα ἂν καὶ τὸν Ἀδὰμ, καὶ τὸν Σὴθ (ὅτι ὁ μὲν (49) οὐκ ἀπὸ σαρκός· πλάσμα γάρ· ὁ δὲ ἀπὸ τοῦ Ἀδὰμ καὶ τῆς Εὔας) ἀλλήλων κατὰ τὴν φύσιν ἀλλοτριώσουσιν. Εἷς οὖν Θεὸς ἐν τρισὶ, καὶ τὰ τρία ἕν, ὥσπερ ἔφαμεν.

XIII. Quæ cum ita se habeant, imo cum hoc ita se habeat, atque adorationem nequaquam supernis tantum Spiritibus definitam et circumscriptam esse conveniret, sed et inferos quosdam adoratores esse deceret, ut omnia Dei gloria (quandoquidem Dei omnia sunt) implerentur; eam ob causam homo creatur, divina manu et imagine ornatus. Hunc autem invidia diaboli, atque acerbo peccati gustu, a Deo conditore misere separatum despicere, a Deo alienum erat. Quid igitur fit? Quamque magnum circa nos mysterium designatur? Innovantur

D ΙΓʹ. Ἐπεὶ δὲ οὕτω ταῦτα, ἢ τοῦτο, ἔδει δὲ μὴ τοῖς ἄνω μόνον τὴν προσκύνησιν περιγράφεσθαι, ἀλλ' εἶναί τινας καὶ κάτω προσκυνητὰς, ἵνα πληρωθῇ τὰ πάντα δόξης Θεοῦ, ἐπεὶ καὶ Θεοῦ· καὶ διὰ τοῦτο κτίζεται ἄνθρωπος, χειρὶ Θεοῦ τιμηθεὶς καὶ εἰκόνι. Τοῦτον δὲ φθόνῳ διαβόλου, καὶ πικρᾷ γεύσει τῆς ἁμαρτίας, Θεοῦ τοῦ πεποιηκότος ἐλεεινῶς (50) χωριζόμενον παριδεῖν, οὐ Θεοῦ. Τί γίνεται; καὶ τί τὸ μέγα περὶ ἡμᾶς μυστήριον; Καινοτομοῦνται φύσεις, καὶ Θεὸς ἄνθρωπος γίνεται· καὶ ὁ ἐπιβεβηκὼς ἐπὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ κατὰ ἀνατολὰς τῆς ἰδίας

[17] I Cor. VIII, 6. [18] Rom. XI, 36.

(45) *Ἐλλείψωμεν*. Sic Reg. bm, tres Colb., etc. In ed., ἐλλείψομεν.

(46) *Οὔτε τὴν ἕνωσιν*, etc. « Nec quod unius confundentes, » nimirum, « personas; nec, distinguendo inter se personas, alienas inducamus naturas. »

(47) *Ἀναγινώσκεται*. Reg. ph, et Or. 1, ἀναγινώσκηται.

(48) *Χρόνον*. Reg. ph, χρόνων.

(49) *Ὅτι ὁ μέν*. Sic quatuor Regg., novem Colb., Coisl. 1, Or. 1, etc. Deest ὅτι in ed.

(50) *Ἐλεεινῶς*. Sic quatuor Regg., novem Colb., duo Coisl. et Or. 1. In ed., ἐλεεινόν.

δόξης τε καὶ λαμπρότητος, ἐπὶ δυσμῶν δοξάζεται τῆς ἡμετέρας εὐτελείας καὶ ταπεινότητος, καὶ ὁ Υἱὸς τοῦ Θεοῦ δέχεται καὶ υἱὸς ἀνθρώπου γενέσθαι τε καὶ κληθῆναι· οὐχ ὃ ἦν μεταβαλὼν (ἄτρεπτον (51) γάρ), ἀλλ' ὃ οὐκ ἦν προσλαβὼν (φιλάνθρωπος γάρ), ἵνα χωρηθῇ ὁ ἀχώρητος, διὰ μέσης σαρκὸς, ὁμιλήσας ἡμῖν, ὡς (52) παραπετάσματος· ἐπειδὴ καθαρὰν αὐτοῦ τὴν θεότητα φέρειν, οὐ τῆς ἐν γενέσει καὶ φθορᾷ φύσεως. Διὰ τοῦτο τὰ ἄμικτα μίγνυται· οὐ γενέσει μόνον Θεὸς, οὐδὲ σαρκὶ νοῦς, οὐδὲ χρόνῳ τὸ ἄχρονον, οὐδὲ μέτρῳ τὸ ἀπερίγραπτον· ἀλλὰ καὶ παρθενίᾳ γέννησις, καὶ ἀτιμίᾳ τῷ καὶ τιμῆς ἁπάσης ὑψηλοτέρῳ, καὶ πάθει τὸ ἀπαθὲς, καὶ τῷ φθαρτῷ τὸ ἀθάνατον. Ἐπειδὴ γὰρ ᾤετο ἀήττητος εἶναι τῆς κακίας ὁ σοφιστὴς, θεότητος ἐλπίδι δελεάσας ἡμᾶς, σαρκὸς προβλήματι δελεάζεται· ἵν', ὡς τῷ Ἀδὰμ προσβαλὼν, τῷ Θεῷ περιπέσῃ, καὶ οὕτως ὁ νέος Ἀδὰμ τὸν παλαιὸν ἀνασώσηται, καὶ λυθῇ τὸ κατάκριμα τῆς σαρκὸς, σαρκὶ τοῦ θανάτου θανατωθέντος.

VIII. Quandoquidem autem duabus partibus, hoc est, animo et corpore, constamus, quarum altera in aspectum cadit, altera oculorum sensum fugit: duabus quoque rebus constat baptismus, aqua scilicet et Spiritu, illa visibili et corporeo modo accepta, hoc vero incorporeo et invisibili concurrente: illa typica, hoc vero, et intimos animi fines purgante. Qui primæ nativitati opem et adjumentum ferens, ex veteribus novos, ex humanis divinos efficit, absque igne nos rursus conflat, et absque confractione rursus effingit. Nam ut compendio dicam, nihil aliud esse vim et facultatem baptismi existimare debemus, quam secundæ vitæ ac purioris **698** vivendi rationis pactum cum Deo initum. Ac proinde vel maximo in metu omnes esse, atque omni custodia nostras animas servare debemus, ne mendacio fidem pactumque violasse comperiamur. Nam cum ad mutua hominum pacta firmanda Deus medius adhiberi soleat, quantum, quæso, periculum est, ne fœdera cum Deo ipso contracta perfregisse reperiamur; ac, præter alia peccata, ipsius quoque mendacii apud veritatis tribunal rei peragamur? Idque cum nulla jam posthac altera regeneratio sit, nec instauratio, nec in veterem statum restitutio, quamlibet maxime eam multis cum gemitibus et lacrymis requiramus: quibus licet cicatrix ægre tandem obducatur, ut quidem ipse statuo (obducitur enim, idque persuasum habemus, ac præclare mecum agi putarem, si ipsæ quoque vulnerum notæ delerentur, quandoquidem et ipse misericordia opus habeo); præstat tamen secunda purgatione minime indigere, verum in prima consistere, quæ omnibus communis est, et labore vacua, cunctisque ex æquo patet, tam servis quam heris, tam egentibus quam copiosis, tam abjectis quam sublimibus, tam genere claris quam ignobilibus et obscuris, tam ære alieno obstrictis quam iis qui nihil æris alieni conflarunt, non secus atque aeris haustus, et lucis profusio, et temporum vicissitudines, et rerum creatarum, id est, magni illius omnibusque communis oblectamenti, spectaculum, ac denique æqua fidei portio.

Η'. Διττῶν δὲ ὄντων ἡμῶν, ἐκ ψυχῆς λέγω καὶ σώματος, καὶ τῆς μὲν ὁρατῆς, τῆς δὲ ἀοράτου φύσεως· διττὴ καὶ ἡ κάθαρσις (38), δι' ὕδατός τέ φημι καὶ Πνεύματος, τοῦ μὲν θεωρητῶς τε καὶ σωματικῶς λαμβανομένου, τοῦ δὲ ἀσωμάτως καὶ ἀθεωρήτως συντρέχοντος· καὶ τοῦ μὲν τυπικοῦ, τοῦ δὲ ἀληθινοῦ, καὶ τὰ βάθη καθαίροντος· ὃ τῆς πρώτης γενέσεως ἐπικουρία τυγχάνον, καινοὺς ἀντὶ παλαιῶν, καὶ θεοειδεῖς ἀντὶ τῶν νῦν ὄντων ἐργάζεται, χωρὶς (39) πυρὸς ἀναχωνεῦον, καὶ ἀνακτίζον δίχα συντρίψεως. Εἰ γὰρ δεῖ συντόμως εἰπεῖν, συνθήκας πρὸς Θεὸν δευτέρου βίου καὶ πολιτείας καθαρωτέρας, ὑποληπτέον τὴν τοῦ βαπτίσματος δύναμιν. Ὃ δὴ καὶ μάλιστα φοβητέον, καὶ πάσῃ φυλακῇ (40) τηρητέον τὴν ἑαυτοῦ ψυχὴν ἕκαστον, μὴ ψεῦσται τῆς ὁμολογίας ταύτης φαινώμεθα. Εἰ γὰρ τὰς πρὸς ἀνθρώπους ὁμολογίας ἐμπεδοῖ Θεὸς μέσος παραληφθεὶς, πόσος ὁ κίνδυνος, ὧν πρὸς αὐτὸν ἐθέμεθα τὸν Θεὸν συνθηκῶν, τούτων παραβάτας εὑρίσκεσθαι· καὶ μὴ μόνον τῶν ἄλλων ἁμαρτημάτων, ἀλλὰ καὶ αὐτοῦ τοῦ ψεύδους ὑποδίκους εἶναι τῇ ἀληθείᾳ; Καὶ ταῦτα οὐκ οὔσης δευτέρας ἀναγεννήσεως, οὐδὲ ἀναπλάσεως, οὐδὲ εἰς τὸ ἀρχαῖον ἀποκαταστάσεως, κἂν ὅτι μάλιστα ἐπιζητῶμεν ταύτην ἐν πολλοῖς στεναγμοῖς τε καὶ δάκρυσιν, ἐξ ὧν συνούλωσις μὲν ἔρχεται μόγις κατά γε τὸν ἐμὸν ὅρον καὶ νόμον (ἔρχεται γὰρ καὶ πιστεύομεν· εἰ δὲ καὶ τὰς οὐλὰς ἐξαλείφωμεν [41], ἀγαπῴην ἄν, ἐπειδὴ καὶ αὐτὸς χρῄζω φιλανθρωπίας)· πλὴν μὴ δευτέρας δεηθῆναι καθάρσεως, ἀλλὰ στῆναι μέχρι τῆς πρώτης ἄμεινον, ἣν κοινὴν οἶδα πᾶσι καὶ ἄμοχθον καὶ ὁμότιμον, δούλοις, δεσπόταις, πένησι, πλουσίοις, ταπεινοῖς, ὑψηλοῖς, εὐγενεστέροις, ἀγενεστέροις, ὀφείλουσιν (42), οὐκ ὀφείλουσιν, ὡς ἀέρος πνεῦσιν, καὶ φωτὸς χύσιν, καὶ ὡρῶν ἀλλαγὰς, καὶ κτίσεως θέαν, τοῦ μεγάλου καὶ κοινοῦ πᾶσιν ἡμῖν ἐντρυφήματος, καὶ ἰσομοιρίαν πίστεως (43).

[86] Prov. XVIII, 3.

(37) *Ὃ δὴ λέγεται.* Alludit ad hæc Proverbiorum XVIII, 3, verba: « Impius, cum in profundum malorum venerit, contemnit. »

(38) *Διττὴ καὶ ἡ κάθαρσις.* « Duplex quoque purgatio est, quæ scilicet per aquam, et quæ per Spiritum. » Unde Aug.: « Corpus tangit, et animam abluit. »

(39) *Χωρίς.* Como., δίχα.

(40) *Πάσῃ φυλακῇ.* In Prov. IV, 23, « Omni custodia serva cor tuum. »

(41) *Ἐξαλείφωμεν.* Reg. pb, Coisl. 1 et Comb., ἐξαλείφομεν.

(42) *Ὀφείλουσιν.* Plerique codd., ὄφλουσιν.

(43) *Πίστεως.* « Fidei. » Forte, ut cum doctissimo censore conjiciamus, φύσεως, « naturæ. »

Θ'. Δεινὸν γὰρ ἀντὶ ἰατρείας ἀπονωτέρας, τὴν A ἐπιπονωτέραν ἐργάσασθαι, καὶ ἀποῤῥίψαντας χάριν οἴκτου χρεωστεῖν κόλασιν, καὶ ἀντιμετρεῖν ἁμαρτίᾳ διόρθωσιν. Πόσον γὰρ εἰσοίσομεν δάκρυον, ἵν' ἀντισωθῇ τῇ πηγῇ τοῦ βαπτίσματος; τίς δὲ ὁ ἐγγυητὴς, ὅτι μενεῖ τὴν θεραπείαν τὸ τέλος, ἀλλ' οὐχ ὀφείλοντας ἡμᾶς (44) ἔτι τὸ κριτήριον ὑποδέξεται, καὶ τῆς ἐκεῖσε δεομένους πυρώσεως; Σὺ μὲν δεήσῃ (45) τοῦ Δεσπότου τυχὸν, ὁ καλὸς καὶ φιλάνθρωπος γεωργὸς, ἔτι φείσασθαι τῆς συκῆς, καὶ μήπω ταύτην ἐκτεμεῖν ἐγκαλουμένην τὸ ἄκαρπον, ἀλλὰ συγχωρηθῆναι περιβαλεῖν κόπρια, δάκρυα, στεναγμοὺς, ἀνακλήσεις (46), χαμευνίας, ἀγρυπνίας, τῆξιν ψυχῆς καὶ σώματος, τὴν δι' ἐξαγορεύσεως, καὶ ἀτιμοτέρας ἀγωγῆς ἐπανόρθωσιν· ἄδηλον δὲ, εἰ φείσεται ταύτης ὁ Δεσπότης, B ὡς καταργούσης τὸν τόπον, ἄλλου (47) δεομένου φιλανθρωπίας, καὶ γινομένου χείρονος ἐκ τῆς εἰς τοῦτον μακροθυμίας. Συνταφῶμεν οὖν Χριστῷ διὰ τοῦ βαπτίσματος, ἵνα καὶ συναναστῶμεν· συγκατέλθωμεν, ἵνα καὶ συνυψωθῶμεν· συνανέλθωμεν, ἵνα καὶ συνδοξασθῶμεν.

IX. Grave enim est facilioris medicinæ loco, difficiliorem et molestiorem adhibere, ac projecta misericordiæ gratia, suppliciis seipsum obnoxium reddere, atque ex delicti ratione emendationem æquare. Quantam enim lacrymarum vim impendemus, ut ea cum baptismi fonte exæquari possit? Quis autem sponsor erit, fore, ut vitæ finis curationem exspectet, ac non potius adhuc ære alieno pressos, atque ignis illius ardore opus habentes, tribunal illud suscipiat? Tu quidem fortasse, bone et humane agricola, Dominum supplex rogabis, ut ficulneæ adhuc parcat [87], nec eam sterilitatis accusatam adhuc succidat, verum tibi permittat, ut stercora undique in eam injicias, hoc est, lacrymas, gemitus, preces, chameunias, vigilias, animæ et corporis macerationem, ac denique correctionem eam, quæ ex peccati confessione, contemptiorique **697** vitæ genere exsistit; at incertum est, an Dominus illi parcet, utpote quæ etiam locum otiose occupet, cum interim alius misericordia egeat, atque ob longanimitatem, quæ ipsi exhibetur, deterior fiat. Proinde, cum Christo per baptismum sepeliamur, ut et cum eo resurgamus [88]; cum eo descendamus, ut simul etiam extollamur, cum eo ascendamus, ut simul quoque gloria afficiamur.

Ι'. Ἐάν σοι προσβάλῃ μετὰ τὸ βάπτισμα ὁ τοῦ φωτὸς διώκτης καὶ πειραστὴς (προσβαλεῖ δέ· καὶ γὰρ, καὶ (48) τῷ Λόγῳ, καὶ Θεῷ μου προσέβαλε διὰ τὸ κάλυμμα, τῷ κρυπτῷ φωτὶ διὰ τὸ φαινόμενον), ἔχεις ᾧ νικήσεις· μὴ φοβηθῇς τὸν ἀγῶνα. C Προβαλοῦ τὸ ὕδωρ, προβαλοῦ τὸ Πνεῦμα, ἐν ᾧ πάντα τὰ βέλη τοῦ Πονηροῦ (49) τὰ πεπυρωμένα σβεσθήσεται. Πνεῦμα μὲν ἔστιν, ἀλλὰ διαλύον ὄρη· ὕδωρ μὲν ἔστιν, ἀλλὰ πυρὸς σβεστήριον. Ἐὰν προσβάλῃ (50) τὴν χρείαν (καὶ γὰρ κἀκείνῳ τετόλμηκε), καὶ ζητῇ τοὺς λίθους ἄρτους γενέσθαι, τὸ πεινεῖν (51) ἐπιθέμενος· μὴ ἀγνοήσῃς αὐτοῦ τὰ νοήματα. Δίδαξον ἃ μὴ μεμάθηκε· τὸν λόγον ἀντίθες τὸν ζωτικὸν, ὅς ἐστιν ἐξ οὐρανοῦ πεμπόμενος ἄρτος, καὶ τῷ κόσμῳ τὸ ζῇν χαριζόμενος. Ἐὰν (52) διὰ κενοδοξίας ἐπιβουλεύῃ (53) σοι (καὶ γὰρ ἐκείνῳ [54], ἀνάγων ἐπὶ τὸ τοῦ ἱεροῦ πτερύγιον, καὶ, *Βάλε σεαυτὸν κάτω*, λέγων, εἰς ἐπίδειξιν τῆς θεότητος), μὴ κατενεχθῇς διὰ τῆς ἐπάρσεως. Ἂν τοῦτο (55) λάβῃ, οὐ μέχρι τούτου στήσεται. Ἄπληστός ἐστιν, D εἰς πάντα ἐπέρχεται. Σαίνει μὲν τῷ χρηστῷ (56), τελευτᾷ δὲ εἰς πονηρόν. Οὗτος αὐτοῦ τῆς μάχης ὁ τρόπος. Ἀλλὰ καὶ Γραφῶν ἔμπειρος ὁ λῃστής. Ἐκεῖθεν τὸ, *Γέγραπται*, περὶ τοῦ ἄρτου· ἐντεῦθεν τὸ, *Γέγραπται*, περὶ τῶν ἀγγέλων. *Γέγραπται* γάρ,

X. Si te luminis persecutor et tentator post baptismum adortus fuerit (et certe adorietur; nam et Verbum, et Deum meum, propter carnis velamen oppugnare aggressus est, lumen, inquam, illud absconditum, propter humanitatem quæ in aspectum cadit); habes quo eum superes; ne certamen reformides. Aquam adversus eum oppone, oppone Spiritum, in quo ignita omnia pravi illius tela exstinguentur [89]. Spiritus quidem est, verum qui montes dissolvat. Aqua quidem est, sed quæ ignis exstinguendi vim habeat. Si inopiam tibi proposuerit (nam hoc quoque Christo proponere non dubitavit), ac famem ob oculos ponens, postularit, ut lapides panes fiant [90]; ne illius cogitationes ignores. Doce quæ non didicit; oppone vitalem illum sermonem, qui panis est cœlitus missus, ac mundo vitam largitur [91]. Si tibi per inanem gloriam insidias moliatur (quemadmodum et illi, cum in templi pinnaculum eum sustulit ac dixit: *Projice te deorsum* [92], ut divinitatis specimen edas), ne per animi elationem dejiciaris. Nam si hoc evicerit, nequaquam hic consistet. Inexplebilis est, ad omnia grassatur. Benignitatis quidem specie lenocinatur, verum in malum desinit. Hæc est illius pugnandi ratio. Atque etiam Scripturarum peritus est hic latro. Hinc illud, *Scriptum*

[87] Luc. XIII, 8. [88] Rom. VI, 4. [89] Ephes. VI, 16. [90] Matth. IV, 3. [91] Joan. VI, 33. [92] Matth. IV, 6.

(44) *Ἡμᾶς*. Deest in pluribus Regg. et Colb.
(45) *Δεήσῃ*. Reg. c, δεηθήσῃ.
(46) *Ἀνακλήσεις*. Coisl. 1, ἀνακλίσεις.
(47) *Ἄλλου*. In quibusdam, ἀλλ' οὐ.
(48) *Καί*. Deest in tribus Regg.
(49) *Βέλη τοῦ Πονηροῦ*. Sic quatuor Regg., novem Colb., duo Coisl., etc. Prave in ed., μέλη τοῦ πονηροῦ.
(50) *Προσβάλῃ*. Regg. bm, ph et Comb., προβάλῃ.
(51) *Τὸ πεινεῖν*. Sic Reg. ph et Coisl. 1. In ed., τῷ πεινῆν.
(52) *Ἐάν*. Or. 1 addit, δέ.
(53) *Ἐπιβουλεύῃ*. In nonnullis, ἐπιβουλεύσῃ.
(54) *Καὶ γὰρ ἐκείνῳ*. Sic plures codd. Reg. c, κἀκείνῳ. Nonnulli, κἀκεῖνον. In ed., καὶ γὰρ ἐκεῖνο.
(55) *Τοῦτο*. Reg. ph, τούτου.
(56) *Χρηστῷ*. Tres Colb., Χριστῷ.

est, de pane : hinc istud, *Scriptum est*, de angelis. *Scriptum est enim*, inquit, *quia angelis suis mandavit de te, et in manibus portabunt te* [93]. O vitii sophista ! Quomodo id, quod sequitur, suppressisti ? (Hoc enim probe intelligo, etiamsi ipse reticueris) ; nimirum, quod super aspidem te et basiliscum ascendam, et calcabo super serpentes et scorpiones, Trinitate videlicet septus et communitus. Si per avaritiam te oppugnet, uno temporis momento atque obtutu, regna omnia, velut ad se attinentia, ostendens, atque adorationem a te **698** exigens, ut pauperem contemne. Dic, signaculo fretus : Ipse quoque Dei imago sum : nondum, ut tu, a superna gloria propter superbiam dejectus sum : Christo indutus sum : Christum mihi per baptismum vindicavi : tu me ipse adora. His verbis, mihi crede, ut a Christo primo lumine, ita ab iis, qui ab ipso illuminati sunt, victus ac pudefactus recedet. Hæc beneficia lavacrum affert iis, qui ipsius vim agnoscunt : has iis, qui laudabili fame laborant, epulas proponit.

XI. Baptizemur itaque, ut victoriam assequamur : lustralium aquarum participes simus, quæ et hyssopum extergendi facultate superant, et legalem sanguinem puritate, et vitulæ cinerem sanctitate, inquinatos homines aspergentis [94], ac brevem corporis purgationem afferentis, non autem peccatum prorsus de medio tollentis. Quid enim purgatione iis opus esset, qui semel purgati fuissent ? Baptizemur hodie, ne cras vi aliqua cogamur. Ne beneficium tanquam injuriam differamus ; nec exspectemus ut plura peccata congeramus, quo plura nobis condonentur ; nec Christo, cauponum et negotiatorum ritu, abutamur ; nec graviori sarcina oneremur, quam vires nostræ ferre queant, ne simul cum ipsa navi demergamur, ac gratiam naufragio amittamus ; sicque, dum plura spe atque animo concipimus, omnia perdamus. Ad donum accurre, quandiu mentis adhuc compos es : quandiu nondum es et corpore et animo æger, vel certe sic astantibus videris, etiamsi mente sis integra : quandiu bonum tuum non in aliis situm est, verum in tua ipsius potestate : quandiu lingua non titubat, nec frigore confecta est ; nec, ut nihil amplius dicam, sacræ initiationis pronuntiandæ vim et facultatem amisit : quandiu fidelis effici potes, non hominum opinione et conjectura,

A φησὶν, ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, καὶ ἐπὶ χειρῶν ἀροῦσί σε. Ὦ σοφιστὰ τῆς κακίας (57)· πῶς τὸ ἑξῆς ὑπεκράτησας; Πάνυ γὰρ νοῶ τοῦτο (58), κἂν αὐτὸς ἀποσιωπήσῃς (59)· ὅτι ἐπὶ τὴν ἀσπίδα σε καὶ τὸν βασιλίσκον ἐπιβήσομαι, καὶ καταπατήσω (60) ἐπάνω ὄφεων καὶ σκορπίων, τῇ Τριάδι τετειχισμένος. Ἐὰν ἐξ ἀπληστίας καταπαλαίῃ σε, πάσας ὑποδεικνύων τὰς βασιλείας, ὡς αὐτῷ διαφερούσας, ἐν μιᾷ καιροῦ τε ῥοπῇ καὶ ὄψεως, ἀπαιτῶν τὴν προσκύνησιν· ὡς πένητος καταφρόνησον. Εἰπὲ, τῇ σφραγῖδι θαῤῥήσας· Εἰκών εἰμι καὶ αὐτὸς Θεοῦ· τῆς ἄνω δόξης οὔπω δι' ἔπαρσιν, ὥσπερ σὺ, καταβέβλημαι· Χριστὸν ἐνδέδυμαι· Χριστὸν μεταπεποίημαι τῷ βαπτίσματι· σύ με προσκύνησον. Ἀπελεύσεται, σαφῶς οἶδα (61), B τούτοις ἡττημένος καὶ ᾐσχυμμένος, ὥσπερ ἀπὸ Χριστοῦ τοῦ πρώτου φωτὸς, οὕτω τῶν ἀπ' ἐκείνου πεφωτισμένων. Τοιαῦτα τὸ λουτρὸν τοῖς ᾐσθημένοις αὐτοῦ χαρίζεται· τοιαύτην προτείνει τοῖς καλῶς πεινῶσι τὴν πανδαισίαν.

ΙΑ'. Βαπτισθῶμεν οὖν, ἵνα νικήσωμεν· μετάσχωμεν καθαρσίων ὑδάτων, ὑσσώπου ῥυπτικωτέρων, αἵματος νομικοῦ καθαρωτέρων, σποδοῦ δαμάλεως ἱερωτέρων, ῥαντιζούσης τοὺς κεκοινωμένους, καὶ πρόσκαιρον ἐχούσης σώματος κάθαρσιν, οὐ παντελῆ τῆς ἁμαρτίας ἀναίρεσιν. Τί γὰρ ἔδει καθαίρεσθαι τοὺς ἅπαξ κεκαθαρμένους; Βαπτισθῶμεν σήμερον, ἵνα μὴ αὔριον βιασθῶμεν (62). Καὶ μὴ ἀναβαλώ- C μεθα τὴν εὐεργεσίαν, ὡς ἀδικίαν· μηδὲ ἀναμείνωμεν πλεῖον γενέσθαι κακοὶ, ἵνα πλεῖον (63) συγχωρηθῶμεν· μηδὲ γενώμεθα Χριστοκάπηλοι (64) καὶ Χριστέμποροι (65)· μηδὲ φορτισθῶμεν πλέον (66) ἢ δυνάμεθα φέρειν, ἵνα μὴ αὐτάνδρῳ τῇ νηῒ βαπτισθῶμεν, καὶ τὸ χάρισμα ναυαγήσωμεν, ἀνθ' ὧν τὸ πλεῖον (67) ἠλπίσαμεν, τὸ πᾶν ἀπολέσαντες. Ἕως ἔτι τῶν λογισμῶν κύριος εἶ, πρόσδραμε τῷ δωρήματι· ἕως οὔπω νοσεῖς καὶ τὸ σῶμα καὶ τὴν διάνοιαν, ἢ δοκεῖς (68) οὕτω τοῖς παροῦσι, κἂν σωφρονῇς· ἕως οὐκ ἐπ' ἄλλοις κεῖται τὸ σὸν ἀγαθὸν, ἀλλ' αὐτὸς εἶ τούτου κύριος· ἕως οὐ παράφορος ἡ γλῶσσα, οὐδὲ κατεψυγμένη, οὐδὲ ζημιοῦται, ἵνα μὴ πλεῖόν τι λέγω, τὰ τῆς μυσταγωγίας ῥήματα· ἕως δύνασαι γενέσθαι πιστὸς, οὐκ εἰκαζόμενος, ἀλλ' ὁμολογού- D μενος· οὐκ ἐλεούμενος, ἀλλὰ μακαριζόμενος· ἕως δῆλόν σοι τὸ δῶρον, ἀλλ' οὐκ ἀμφίβολον· καὶ τοῦ

[93] Matth. IV, 6. [94] Hebr. X, 4.

(57) *Ὦ σοφιστὰ τῆς κακίας.* Sic plures codd. Reg. bm, ὡς. In ed., ὁ σοφιστὰ τῆς κακίας. Deest τῆς in duobus Regg.

(58) *Πάνυ γὰρ νοῶ τοῦτο.* Codex Mazar. et Colb. maximus, πάνυ γὰρ ἀγνοῶ τοῦτο. « Maxime et hoc ignoro. » Et ad marg., εἰρωνεία, « Ironice dictum. »

(59) *Ἀποσιωπήσῃς.* In nonnullis, ἀπεσιώπησας.

(60) *Καταπατήσω.* Regg. bm et ph, περιπατήσω.

(61) *Σαφῶς οἶδα.* Sic plerique codd. In ed., σαφῶς εὖ οἶδα.

(62) *Βιασθῶμεν.* « Vi aliqua cogamur, » id est, urgente morbo, vel periculo.

(63) *Πλεῖον.* In nonnullis, πλείονα.

(64) *Χριστοκάπηλοι.* Hi sunt qui « Christum, » id est « baptismum » vendunt, cum per voluptatum illecebras prodentes.

(65) *Χριστέμποροι.* Qui baptismi gratiam pretio redimunt, eamque morbi, vel alicujus periculi occasione acquirunt.

(66) *Πλέον.* Quatuor Regg. et Or. 1, πλεῖον.

(67) *Τὸ πλεῖον.* Deest τό in pluribus codd.

(68) *Ἢ δοκεῖς,* etc. Bill. « Aut his, qui adsunt, ita esse videris, » etc. Bas. exponit : Ὅμως δοκῇς τοῖς ἐφεστῶσι παραπαίειν. « Cum tamen astantibus delirare videaris. Multi enim, » ait Elias, « ex febris æstu insaniam contraxerunt. »

βάθους ἡ χάρις ἅπτεται, ἀλλ' οὐ τὸ σῶμα ἐπιτάφια λούεται· ἕως οὐ δάκρυα περὶ σὲ τῆς ἐξόδου μηνύματα, καὶ ταῦτα εἰς σὴν χάριν τυχὸν ἐπεχόμενα (69), καὶ γυνὴ, καὶ παῖδες τὴν ἐκδημίαν μεθέλκοντες (70), καὶ ζητοῦντες ἐξόδια ῥήματα· ἕως οὐκ ἰατρὸς ἄτεχνος περὶ σὲ, ὥρας σοι χαριζόμενος, ὧν οὐκ ἔστι κύριος, καὶ νεύματι ταλαντεύων τὴν σωτηρίαν, καὶ φιλοσοφῶν περὶ τῆς νόσου μετὰ τὸν θάνατον, ἢ τοὺς μισθοὺς βαρύνων ταῖς ὑποχωρήσεσιν, ἢ τὴν ἀπόγνωσιν αἰνιττόμενος· ἕως οὐ μάχη βαπτιστοῦ καὶ χρηματιστοῦ, τοῦ μὲν, ὅπως ἐφοδιάσῃ φιλονεικοῦντος, τοῦ δὲ, ὅπως γραφῇ κληρονόμος, ἀμφότερα (71) τοῦ καιροῦ μὴ συγχωροῦντος.

A sed argumento certo et explorato; non miserationem movens, sed gratulationem: quandiu perspicuum tibi donum est, non autem obscurum et dubium; ac gratia intimos animæ sinus attingit, non autem corpus funebri aqua abluitur: quandiu non circum te lacrymæ, discessus indices, ac fortasse etiam ipsæ in tui gratiam compressæ, atque uxor et **699** liberi discessum retrahentes, et extrema verba requirentes: quandiu lateri tuo non hæret imperitus medicus, horas tibi largiens, quarum potestas penes eum non est, capitisque nutu salutem velut ad lancem expendens, ac de morbo post mortem disputans, aut recessibus suis mercedem augens, aut deploratum morbum esse significans: quandiu inter eum, qui baptizandi munere fungitur, et quæstuarium nulla pugna est; dum ille morientem viatico instruere, hic hæres scribi contendit, nec utrumque per tempus licet.

ΙΒ'. Τί πυρετὸν ἀναμένεις εὐεργέτην, ἀλλ' οὐ Θεόν; Τί καιρὸν, ἀλλ' οὐ λογισμόν; Τί φίλον ἐπίβουλον, ἀλλ' οὐ πόθον σωτήριον; Τί μὴ τὴν ἐξουσίαν, ἀλλὰ τὴν βίαν; Τί μὴ τὴν ἐλευθερίαν, ἀλλὰ τὴν στενοχωρίαν (72); Τί παρ' ἄλλου δέῃ μαθεῖν τὴν ἔξοδον, ἀλλ' οὐχ ὡς ἤδη παρούσης διανοήσῃ; Τί φάρμακα ἐπιζητεῖς (73), τὰ μηδὲν ὀνήσοντα; Τί κριτικὸν ἱδρῶτα, ἴσως παρεστῶτος τοῦ ἐξοδίου; Σαυτὸν πρὸ τῆς ἀνάγκης ἰάτρευσον· σαυτὸν ἐλέησον, τὸν γνήσιον τῆς ἀσθενείας θεραπευτήν· σαυτῷ προσάγαγε (74) τὸ σωτήριον ὄντως φάρμακον. Ἕως ἐξ οὐρίας πλεῖς, φοβήθητι τὸ ναυάγιον· καὶ ἧττον ναυαγήσεις, τῇ δειλίᾳ βοηθῷ χρώμενος. Πανηγυρισθήτω τὸ δῶρον, ἀλλὰ μὴ θρηνηθήτω· ἐπεργασθήτω τὸ τάλαντον, ἀλλὰ μὴ συγχωσθήτω. Γενέσθω τι μέσον (75) τῆς χάριτος καὶ τῆς ἀναλύσεως, ἵνα μὴ ἐξαλειφθῇ τὰ πονηρὰ γράμματα μόνον, ἀλλὰ καὶ μετεγγραφῇ τὰ βελτίονα· ἵνα μὴ τὸ χάρισμα μόνον ἔχῃς, ἀλλὰ καὶ τὴν ἀντίδοσιν· ἵνα μὴ τὸ πῦρ φύγῃς μόνον, ἀλλὰ καὶ τῆς δόξης κληρονομήσῃς, ἣν τὸ ἐπεργάσασθαι τῷ δώρῳ (76) χαρίζεται. Ἔστι γὰρ τοῖς μὲν μικροψύχοις μέγα, τὸ φυγεῖν βάσανον· τοῖς δὲ μεγαλοψύχοις, τὸ καὶ τυχεῖν ἀντιδόσεως.

B XII. Quid febrim, quæ te beneficio afficiat, exspectas, non autem Deum? Quid tempus, non autem rationem? Quid insidiosum amicum, non autem salutare desiderium? Quid vim potius, quam potestatem? Quid rerum angustiam potius, quam libertatem? Quid opus est, ut de exitu tuo ab alio certior fias, ac non ipse potius de eo, tanquam jam præsenti, cogitas? Quid medicamenta quæris, nihil profutura? Quid criticum sudorem, cum fortasse lethalis adsit? Tibi ipsi, priusquam urgeat necessitas, medere; tui ipsius miserere, qui verus et germanus infirmitatis es medicus; tibi ipsi revera salutare medicamentum adhibe. Dum secundo vento navigas, naufragium time; et tutior a naufragio eris, adjutorem ac socium tibi timorem asciscens. Læte atque C hilariter donum celebretur, non autem defleatur; negotiatione accrescat talentum, non autem terra obruatur. Inter gratiam ac mortem, temporis aliquid intercedat, ut non solum pravæ litteræ deleantur, verum etiam earum loco meliores inscribantur; nec solum gratiam habeas, verum etiam præmium consequaris; nec ignis tantum supplicium effugias, verum etiam gloriæ hæreditatem percipias, quam negotiatio dono adjuncta conciliat. Nam parvis quidem atque abjectis animis amplum ac præclarum videtur, pœnam vitare: at qui magno et excelso animo præditi sunt, ad mercedem quoque aspirant.

ΙΓ'. Τρεῖς γὰρ οἶδα τάξεις τῶν σωζομένων, δουλείαν, μισθαρνίαν, υἱότητα. Εἰ δοῦλος εἶ, τὰς πληγὰς φοβήθητι· εἰ μισθωτὸς, πρὸς τὸ λαβεῖν βλέπε μόνον. Εἰ δὲ ὑπὲρ (77) τούτους, καὶ υἱὸς, ὡς πατέρα αἰδέσθητι. Ἔργασαι τὸ καλὸν, ὅτι καλὸν τῷ πατρὶ πείθεσθαι, κἂν εἰ σοι μηδὲν ἔσεσθαι μέλλοι. Τοῦτο αὐτὸ μισθὸς, τὸ τῷ πατρὶ (78) χαρίζεσθαι.

XIII. Tres enim eorum, qui salutem consequuntur, classes esse scio, servorum videlicet, mercenariorum et filiorum. Si servus es, plagas metue. Sin mercenarius, mercedem duntaxat specta. Sin D autem supra hos assurgis, ac filius es, ut patrem reverere. Bonis operibus stude, quia bonum est patri obtemperare, etiamsi ex ea re nihil quæstus

(69) *Ἐπεχόμενα.* Colb. f et Jes., ἐπιχεόμενα, « profusæ. »

(70) *Ἐκδημίαν μεθέλκοντες.* « Discessum retrahentes, » id est, a baptismate ægrotantis animum avocantes, ut extrema ejus verba excutiant, non tam ægro, quam sibi ipsis consulentes.

(71) *Ἀμφότερα.* In ed. sequitur μή, quod auctoritate codd. delevimus.

(72) *Στενοχωρίαν.* Sic plures codd. In ed., στενωχωρίαν.

(73) *Ἐπιζητεῖς.* Regg. b, c, d, Or. 1, etc., ζητεῖς.

(74) *Προσάγαγε.* Quatuor Regg., πρόσαγε.

(75) *Γενέσθω τι μέσον.* « Inter baptismum et mortem, » inquit Nicetas, « aliquid temporis intercedat; ut non modo sacramentum et peccatorum remissionem, quam affert baptismus, habeas; verum etiam mercedem ac remunerationem accipias, ut qui virtutem excolueris. »

(76) *Τῷ δώρῳ.* Par., τὸ δῶρον.

(77) *Εἰ δὲ ὑπέρ.* Sic quatuor Regg. Deest δέ in ed.

(78) *Τῷ πατρί.* Deest τῷ in tribus Regg. et Or. 1.

ad te rediturum sit. Hoc ipsum merces est, patri obsequi. Quæ utinam ne contemnamus. Absurdum enim **700** fuerit, cum pecunias avide præripias, sanitatem in longius differre atque extrahere; cum corpus præpurges, animæ purgationem in aliud tempus reservare; cum ex hac terrena servitute in libertatem vindicari studeas, supernæ libertatis cupiditate minime tangi; cum studium et diligentiam omnem adhibeas, ut magnificas ædes incolas, aut splendidas vestes geras, nihil curæ suscipere, ut ipse summo pretio dignus sis; cum ad bene de aliis merendum promptus sis, de teipso bene mereri nolle. Et quidem si tibi pretio hoc bonum comparare liceret, nullis omnino pecuniis parceres: nunc autem, quia gratuita misericordia proponitur, idcirco tibi prompta et exporrecta beneficentia et liberalitas contemptum parit. Omne tibi tempus ad ablutionem idoneum est, quandoquidem nullum tempus, mortis periculo vacat. Cum Paulo, id est, cum magna illa voce, ad te clamo: *Ecce nunc tempus acceptabile, ecce nunc dies salutis* [95]. Quo loco particula, *Nunc*, non certum aliquod tempus, sed tempus omne designat. Et rursus: *Surge, qui dormis, et exsurge a mortuis, et illuminabit te Christus* [96], peccati noctem discutiens: quandoquidem in nocte spes mala, ut testatur Isaias [97], ac mane accipi conducibilius est.

A Ὧν ἡμεῖς μὴ καταφρονοῦντες φαινοίμεθα (79). Ὡς ἔστιν ἄτοπον, χρήματα μὲν προαρπάζειν, ὑγείαν (80) δὲ ἀναβάλλεσθαι· καὶ σώματα μὲν προκαθαίρειν, ψυχῆς δὲ κάθαρσιν ταμιεύεσθαι· καὶ τῆς μὲν κάτω δουλείας ἐλευθερίαν ζητεῖν (81), τῆς ἄνω δὲ μὴ ἐφίεσθαι· καὶ ὅπως μὲν οἰκήσεις (82) μεγαλοπρεπῶς, ἢ ἀμφιέσῃ, πᾶσαν ποιεῖσθαι σπουδὴν, ὅπως δὲ αὐτὸς πλείστου ἄξιος ἔσῃ, μηδὲν (83) φροντίζειν· καὶ ἄλλους μὲν εὖ ποιεῖν πρόθυμον εἶναι, σαυτὸν (84) δὲ μὴ βούλεσθαι. Καὶ εἰ μὲν ὤνιον ἦν σοι τὸ ἀγαθὸν, μηδενὸς ἂν φείδεσθαι χρήματος· εἰ δὲ πρόκειται τὸ φιλάνθρωπον, καταφρονεῖς τῷ ἑτοίμῳ τῆς εὐποιΐας. Πᾶς σοι καιρὸς ἐκπλύσεως, ἐπειδὴ πᾶς ἀναλύσεως. Μετὰ Παύλου βοῶ σοι, τῆς μεγάλης φωνῆς· *Ἰδοὺ νῦν καιρὸς εὐπρόσδεκτος, ἰδοὺ νῦν* B *ἡμέρα σωτηρίας*· οὐχ ἕνα καιρὸν, ἀλλὰ πάντα τοῦ *Νῦν* ὁρίζοντος. Καὶ πάλιν· *Ἔγειραι, ὁ καθεύδων, καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει σοι ὁ Χριστὸς*, λύων τὴν νύκτα (85) τῆς ἁμαρτίας· ἐπειδὴ, Ἐν νυκτὶ ἐλπὶς πονηρὰ, κατὰ τὸν Ἡσαΐαν, καὶ τῷ πρωῒ (86) ληφθῆναι λυσιτελέστερον.

XIV. Sere, cum serendi tempus fuerit, et fruges comporta, et horrea solve, cum tempus hoc postularit, et tempestive planta, et uvam maturam detonde, et veris temperie fretus navem e portu solve, rursusque oriente hieme, marique sæviente, fac eam in portum subducas. Quin tibi quoque, et belli, et pacis tempus sit, et matrimonii ineundi, et a matrimonii opere abstinendi, et amicitiæ, et dissidii, si quidem ita necesse sit, atque omnis denique rei, si Salomoni auscultandum est [98]. Auscultandum est autem; utile enim consilium proponit. At vero salutis tuæ negotium semper age, ac quælibet occasio sit tibi tempus suscipiendi baptismatis. Si autem semper hodiernum diem præteriens, crastinum observes, paulatim differendo, non animadvertis te a pravo illo deludi, ut ita fert illius consuetudo. Da mihi præsens, inquit, futurum Deo; mihi juveniles annos, Deo seniles; mihi voluptates, Deo corpus effetum, nullisque usibus aptum. Verum, quanto in periculo versaris? Quot quamque inopinati rerum casus? Vel bellum **701** oppresserit, vel terræ motus obruerit, vel mare exceperit, vel bellua ra-

ΙΔʹ. Σπεῖρε (87) μὲν ὅτε καιρὸς, καὶ συγκόμιζε (88), καὶ λύε τὰς ἀποθήκας, ὅτε τούτου καιρὸς, C καὶ φύτευε καθ' ὥραν, καὶ κειρέσθω σοι βότρυς ὥριμος, καὶ ἀνάγου θαῤῥήσας ἔαρι, καὶ ἄνελκε τὴν ναῦν, πάλιν ἀρχομένου χειμῶνος, καὶ τῆς θαλάσσης ἀγριουμένης. Καὶ πολέμου καιρὸς ἔστω σοι, καὶ εἰρήνης, καὶ γάμου, καὶ τῶν οὐ γάμου, καὶ φιλίας, καὶ διαστάσεως, ἂν ταύτης δεήσῃ, καὶ παντὸς ὅλως πράγματος, εἴ τι τῷ Σολομῶντι πειστέον. Πειστέον (89) δέ· καὶ γὰρ ὠφέλιμος ἡ παραίνεσις. Ἀεὶ δὲ τὴν σωτηρίαν ἐργάζου, καὶ πᾶς ἔστω σοι καιρὸς τοῦ βαπτίσματος ὅρος. Ἐὰν ἀεὶ τὸ σήμερον παρατρέχων, ἐπιτηρῇς τὸ εἰς αὔριον, λανθάνεις (90) ταῖς κατὰ μικρὸν ἀναβολαῖς ὑπὸ τοῦ Πονηροῦ κλεπτόμενος, ὥσπερ (91) ἐκείνου τρόπος. Ἐμοὶ δὸς τὸ παρὸν, Θεῷ τὸ μέλλον· ἐμοὶ τὴν νεότητα, Θεῷ τὸ γῆρας· ἐμοὶ τὰς ἡδονὰς, ἐκείνῳ τὴν ἀχρηστίαν. Ὅσος ὁ D περὶ σὲ κίνδυνος! ὅσα τὰ παρ' ἐλπίδα (92) συμπτώματα! Ἢ πόλεμος παρανάλωσεν, ἢ σεισμὸς συνέχωσεν, ἢ θάλασσα ὑπεδέξατο, ἢ θηρίον ἥρπασεν, ἢ νόσος ἀπώλεσεν, ἢ ψὶξ (93) παραδραμοῦσα, τὸ φαυλότατον (τί γὰρ τοῦ ἀποθανεῖν ἄνθρωπον εὐκολώ-

[95] II Cor. vi, 2. [96] Ephes. v, 14. [97] Isa. xxxviii, 13. [98] Eccle. iii, 1 sqq.

(79) *Φαινοίμεθα*. Regg. bm et ph, φαινώμεθα.
(80) *Ὑγείαν*. Tres Regg., ὑγιείαν.
(81) *Ἐλευθερίαν ζητεῖν*. Par., ἐλευθεριάζειν ζητεῖν.
(82) *Οἰκήσεις*. Tres Regg., octo Colb. et Or. 1, οἰκήσῃς.
(83) *Μηδέν*. Sic quatuor Regg. et decem Colb. In ed., μηδέ.
(84) *Σαυτόν*. Sic quatuor Regg. et duodecim Colb. In Regg. bm et in ed., ἑαυτόν.
(85) *Τὴν νύκτα*. Reg. ph, τὸ σκότος, « tenebras. »
(86) *Τῷ πρωΐ*. Tres Regg., tres Colb. et Or. 1, τὸ πρωΐ.
(87) *Σπεῖρε*. Regg. ph et Par., σπεῖραι.
(88) *Καὶ συγκόμιζε*. Sic quinque Regg. et tres Colb. Deest καί in ed.
(89) *Πειστέον*. Reg. bm, πιστέον.
(90) *Λανθάνεις*. Sic Coisl. 1, Jes. et Gabr. Sic etiam legit Billius. Deest in ed.
(91) *Ὥσπερ*. Regg. b, c, d, ὅσπερ. Regg. ph, ὅπερ. Mox, τὸ μέλλον. Sic codd. Prave in ed., τῷ μέλλον.
(92) *Ἐλπίδα*. Reg. b, ἐλπίδας.
(93) *Ἢ ψίξ*. Budæus, « aut mica aberrans. »

τερον, κἂν μέγα φρονῇς τῇ εἰκόνι;), ἢ πότος (94) πλεονάσας, ἢ ἄνεμος κρημνίσας, ἢ ἵππος συναρπάσας, ἢ φάρμακον (95) ἐκ προνοίας ἐπιβουλεῦσαν, τυχὸν δὲ καὶ ἀντὶ σωτηρίου φανὲν δηλητήριον, ἢ δικαστὴς ἀπάνθρωπος, ἢ δήμιος (96) ἀπαραίτητος, ἢ τι τῶν ὅσα ταχίστην ποιεῖ τὴν μετάστασιν, καὶ βοηθείας ἰσχυροτέραν.

A pueril, vel morbus exstinxerit, vel mica panis, res vilissima, transverse per fauces currens (quid enim hominis interitu facilius, quantumvis ob divinam imaginem glorieris?), vel immodica crapula, vel ventus in præceps agens, vel equus sessorem secum abripiens, vel pharmacum de industria ad insidias comparatum, fortasse etiam pro salutari pestiferum inventum, vel inhumanus judex, vel inexorabilis carnifex, vel denique quidpiam eorum, quæ celerem mortem, atque omni ope et auxilio validiorem, efficiunt.

ΙΕ'. Εἰ δὲ προκαταλάβοις σεαυτὸν τῇ σφραγῖδι, καὶ τὸ μέλλον ἀσφαλίσαιο τῷ καλλίστῳ τῶν βοηθημάτων καὶ στεῤῥοτάτῳ, σημειωθεὶς καὶ ψυχὴν καὶ σῶμα, τῷ χρίσματι καὶ τῷ Πνεύματι, ὡς ὁ (97) Ἰσραὴλ πάλαι τῷ νυκτερινῷ καὶ φυλακτικῷ τῶν πρωτοτόκων αἵματι (98)· τί σοι συμβήσεται, καὶ τί σοι πεπραγμάτευται; Τῶν Παροιμιῶν ἄκουσον· *Ἐὰν γὰρ κάθῃ*, φησὶν, *ἄφοβος ἔσῃ· Ἐὰν δὲ καθεύδῃς, ἡδέως ὑπνώσεις*. Καὶ παρὰ τοῦ Δαβὶδ εὐαγγελίσθητι· *Οὐ φοβηθήσῃ ἀπὸ φόβου νυκτερινοῦ, ἀπὸ συμπτώματος, καὶ δαιμονίου μεσημβρινοῦ*. Τοῦτό σοι καὶ ζῶντι μέγιστον εἰς ἀσφάλειαν. Πρόβατον γὰρ ἐσφραγισμένον οὐ ῥᾳδίως ἐπιβουλεύεται, τὸ δὲ ἀσήμαντον κλέπταις εὐάλωτον· καὶ ἀπελθόντι δεξιὸν ἐντάφιον, ἐσθῆτος λαμπρότερον, χρυσοῦ τιμιώτερον, τάφου μεγαλοπρεπέστερον, ἀγόνων χοῶν εὐσεβέστερον (99), ἀπαργμάτων ὡρίων καιριώτερον, ὧν τοῖς νεκροῖς οἱ νεκροὶ χαρίζονται, νόμον ποιησάμενοι τὴν συνήθειαν. Πάντα οἰχέσθω σοι, πάντα διαρπαζέσθω, χρήματα, κτήματα, θρόνοι, λαμπρότητες, ὅσα τῆς κάτω περιφορᾶς· σὺ δὲ (1) κατάλυσον ἐν ἀσφαλείᾳ τὸν βίον, μηδὲν ζημιωθεὶς (2) τῶν ἐκ Θεοῦ σοι δοθέντων εἰς σωτηρίαν βοηθημάτων.

XV. At si per baptismum teipsum præmunieris, ac pulcherrimo et firmissimo auxilio tibi in futurum caveris, animum scilicet et corpus unctione et Spiritu consignans, quemadmodum olim Israel nocturno illo cruore, qui primigenos tuebatur; quid tibi B accidet, et quod tibi præsidium comparatum erit? Audi Salomonis Proverbia: *Si sederis*, ait, *intrepidus eris; si dormieris, suavem somnum carpes*[99]. Audi etiam quid tibi læti nuntiet David: *Non timebis*, inquit, *a timore nocturno, ab incursu, et dæmonio meridiano*[1]. Hoc tibi et viventi, maximum ad securitatem momentum afferet (pecus enim signata non facile insidiis appetitur, quæ autem minime signata est, a furibus facile capi potest); et vita perfuncto, commodum quoddam, tanquam funebre munus, futurum est, veste splendidius, auro præstantius, tumulo magnificentius, infructuosis libaminibus religiosius, maturorum fructuum primitiis tempestivius, iisque omnibus rebus, quas mortui mortuis largiuntur, consuetudinem pro lege observantes. C Omnia tibi pereant, omnia diripiantur, pecuniæ, prædia, throni, splendores, ac cætera, quæ vagæ atque incertæ hujus vitæ sunt: tu vero secura et tranquilla mente diem ultimum claude, nullo ex omnibus, quæ Dei beneficio tibi ad salutem concessa sunt, auxilio destitutus.

ΙϚ'. Ἀλλὰ φοβῇ, μὴ διαφθείρῃς τὸ χάρισμα, καὶ διὰ τοῦτο ἀναβάλλῃ τὴν κάθαρσιν, ὡς δευτέραν οὐκ ἔχων; Τί δαί; Οὐ φοβῇ, μὴ διώκτῃ καιρῷ κινδυνεύσῃς, καὶ τὸ μέγιστον ὧν ἔχεις, ἀφαιρεθῇς Χριστόν; Ἆρ' οὖν διὰ τοῦτο φεύξῃ καὶ τὸ γενέσθαι Χριστιανός; Ἄπαγε! Οὐχ ὑγιαίνοντος ὁ φόβος (3), παραφρονοῦντος ὁ λογισμός. Ὦ τῆς ἀνευλαβοῦς εὐλαβείας, εἰ δεῖ τοῦτο εἰπεῖν! ὦ τῶν τοῦ πονηροῦ σοφισμάτων! Ὄντως σκότος ἐστὶ, καὶ φῶς ὑποκρίνεται. Ὅταν μηδὲν ἰσχύσῃ φανερῶς πολεμῶν, ἀφανῶς ἐπιβουλεύει.

XVI. At metuis, ne gratiam corrumpas, ac proinde purgationi moram producis, utpote nullam alteram jam ultra habens? **702** Quid autem? Non vereris, ne persecutionis tempore in periculum adducaris, ac Christo, possessione omnium, quas habes, præstantissima, spolieris? Num igitur ob hanc causam a suscipiendo Christianismo refugies? Absit! Non est sani hominis hic metus: desipientis est hæc cogitatio. O incautam, ut ita loquar, cautionem! O ingentes pravi illius versutias! Vere

[99] Prov. III, 24. [1] Psal. XC, 5.

(94) *Πότος*. In nonnullis, et quidem optimæ notæ, ποταμός, «fluvius exundans.» Sic etiam legit Nicetas.

(95) *Ἢ φάρμακον*, etc. Nicetas id exponit de pharmaco consulto temperato, seu veneno, vel de pharmaco ad purgationem quidem et salutem, medicorum opinione, porrecto; verum ipso eventu, exitiale ac lethale invento.

(96) *Ἢ δήμιος*, etc. Nicet. ἢ δῆμος, «vel factio plebis inexorabilis,» qua sæpe contigit, ut viri insignes perierint.

(97) *Ὡς ὁ*. Sic quinque Regg. et novem Colb. Deest ὁ in ed.

(98) *Αἵματι*. Sic plures Regg. et Colb. Or. 1, etc., quorum auctoritate delevimus, καὶ χρίσματι, «et unctionibus,» quæ in ed. immediate sequuntur. Has etiam voces nec Nicetas nec Billius agnoscunt.

D (99) *Ἀγόνων χοῶν εὐσεβέστερον*. Schol. Τῶν τοῖς νεκροῖς διδομένων· «Libamina quæ mortuis offerebantur.» Illa porro constabant vino, melle, lacte et oleo, ac mortuorum sepulcris a parentibus et propinquis infundebantur. Dicuntur «infructuosa,» quod cadaveribus impenderentur. In his autem erat quædam pietas, idque spectat Gregorii comparatio. Billius in notis cum Hervagio, commodius legi ἀγώνων, «certamina» arbitratur, quia scilicet olim varia certamina in funeribus clarissimorum virorum proponebantur. Sed nihil opus est Gregorii similitudinem ad hæc certamina detorquere, ut recte Combefisius contra Billium observat.

(1) *Σὺ δέ*. Reg. ph addit, μοί.

(2) *Ζημιωθείς*. Coisl. 1, ζημιωθῇς.

(3) *Φόβος*. Comb., λόγος, «sermo.»

ille caligo est, et lucem ementitur. Cum aperto marte nihil perficit, insidias obscure tendit; et cum pravus sit, quasi humanus ac bene affectus, consilium dat, ut alterutro certe modo superior omnino discedat, nec ulla ratione ipsius insidias effugiamus. Id quod hic quoque perspicue molitur. Nam cum tibi in animum inducere nequeat, ut baptismum palam aperteque contemnas ac pro nihilo ducas, per fictam cautionem te eo mulctat, ut in eam fraudem, quam metuis, imprudens per metum incidas; et dum times, ne donum corrumpas, ea ipsa de causa ab hoc prorsus excidas. Atque ille quidem hoc ingenio est, nec unquam versutiæ suæ finem statuet, quandiu nos ad cœlum properantes videbit, unde ipse dejectus est. Tu autem, o homo Dei, fac adversarii insidias cognitas habeas. Etenim adversus habentem, et de rebus maximis, certamen initur. Ne hostem in consilium adhibeas; ne fidelis fieri ac nominari parvipendas. Quandiu in catechumenorum numero es, in pietatis vestibulo versaris. Intrare te oportet, atrium pertransire, sancta contueri, in Sancta sanctorum prospicere, cum Trinitate conjungi. Magna sunt ea, ob quæ oppugnaris; magno quoque præsidio opus habes. Quocirca fidei clypeum adversus eum objice. Timet te cum armis dimicantem; ac propterea te charismate spoliat, ut inermem et incautum facilius opprimat. Omnes ætatum gradus, omnia vitæ genera et instituta attingit. Quare omni studio propulsetur.

XVII. Juvenis es? Contra pravos affectus, in acie cum subsidio sta, in Dei phalange nomen profitere, adversus Goliath strenue pugna, mille, vel decies totidem hostes cape, ac tibi subjice. Ita flore ætatis fruere; nec tuam juventutem marcescere sustine, imperfecta **703** fide mortuam et exstinctam. Senilem ætatem agis, nec a necessario præstituto die longe abes? Canos reverere; prudentiam, quæ a te requiritur, pro ea, qua nunc teneris, infirmitate, præsta; paucis his diebus, quos reliquos habes, succurre; purgationem senectuti committe. Quid in effeta senectute atque extremo vitæ spiritu, juvenilis ætatis vitia pertimescis? An tu etiam exspectas, dum mortuus, non jam misericordiam magis, quam tui odium movens, abluaris? An voluptatum reliquias in his vitæ reliquiis expetis? Turpe est, cum ætate consenueris ac defluxeris, libidine tamen te minime consenuisse; sed, vel ea affici, vel eam certe opinionem, per baptismi dilationem, homini-

A Καὶ γίνεται σύμβουλος ὡς χρηστὸς (4), ὢν πονηρός· ἵν' ἑνί γε τῷ τρόπῳ πάντως ἰσχύσῃ, καὶ μηδαμόθεν αὐτοῦ τὴν ἐπιβουλὴν διαφύγωμεν. Ὅπερ οὖν κἀνταῦθα σαφῶς τεχνάζεται. Τὸ γὰρ φανερῶς καταφρονεῖν τοῦ βαπτίσματος πείθειν οὐκ ἔχων, ζημιοῖ σε διὰ τῆς πλαστῆς ἀσφαλείας, ἵν' ὃ φοβῇ γε (5), τοῦτο λάθῃς παθὼν διὰ τοῦ φόβου· καὶ τὸ φθεῖραι τὴν δωρεὰν δεδοικὼς, αὐτῷ τούτῳ (6) τῆς δωρεᾶς ἐκπέσῃς. Ὁ μὲν οὖν τοιοῦτός ἐστι, καὶ οὔποτε παύσεται τῆς ἑαυτοῦ διπλόης, ἕως ἂν βλέπῃ πρὸς οὐρανὸν ἐπειγομένους ἡμᾶς, ὅθεν αὐτὸς ἐκπέπτωκεν (7). Σὺ δὲ, ὦ ἄνθρωπε (8) τοῦ Θεοῦ, γνῶθι τὴν ἐπιβουλὴν τοῦ ἀντικειμένου. Πρὸς γὰρ τὸν ἔχοντα (9), καὶ ὑπὲρ τῶν μεγίστων, ἡ μάχη. Μὴ λάβῃς σύμβουλον τὸν ἐχθρόν· μὴ καταφρονήσῃς τοῦ ἀκοῦσαι καὶ γενέσθαι πιστός.
B Ἕως εἶ κατηχούμενος, ἐν προθύροις εἶ τῆς εὐσεβείας. Εἴσω γενέσθαι σε δεῖ, τὴν αὐλὴν διαβῆναι, τὰ ἅγια κατοπτεῦσαι, εἰς τὰ Ἅγια τῶν ἁγίων παρακύψαι, μετὰ τῆς Τριάδος γενέσθαι. Μεγάλα ἐστὶν ὑπὲρ ὧν πολεμῇ (10)· μεγάλης δεῖ σοι καὶ τῆς ἀσφαλείας. Προβαλοῦ τὸν θυρεὸν τῆς πίστεως. Φοβεῖταί σε μετὰ τοῦ ὅπλου μαχόμενον· καὶ διὰ (11) τοῦτο γυμνοῖ σε τοῦ χαρίσματος, ἵνα κρατήσῃ ῥᾷόν σου ἀόπλου καὶ ἀφυλάκτου. Πάσης ἡλικίας ἅπτεται, πάσης ἰδέας βίου. Διὰ πάντων ἀποκρουσθήτω.

C ΙΖ'. Νέος εἶ; Στῆθι κατὰ τῶν παθῶν μετὰ τῆς συμμαχίας (12), εἰς Θεοῦ παράταξιν ἀριθμήθητι, ἀρίστευσον (13) κατὰ τοῦ Γολιὰθ, λάβε τὰς χιλιάδας, ἢ τὰς μυριάδας. Οὕτω τῆς ἡλικίας ἀπόλαυσον· ἀλλὰ μὴ ἀνάσχῃ μαρανθῆναί σου τὴν νεότητα, τῷ ἀτελεῖ τῆς πίστεως νεκρωθεῖσαν. Γηραιὸς εἶ, καὶ τῆς ἀναγκαίας ἐγγὺς προθεσμίας; τὴν πολιὰν αἰδέσθητι· δὸς ἣν ἀπαιτῇ (14) φρόνησιν, ἀνθ' ἧς νῦν ἔχεις ἀσθενείας· ταῖς ὀλίγαις ἡμέραις βοήθησον· πίστευσον τῷ γήρᾳ τὴν κάθαρσιν. Τί φοβῇ τὰ νεότητος ἐν βαθεῖ γήρᾳ, καὶ ταῖς ἐσχάταις ἀναπνοαῖς; Ἢ καὶ σὺ μένεις, νεκρὸς λουθῆναι, οὐ μᾶλλον ἐλεούμενος, ἢ μισούμενος; Ἢ ποθεῖς τῶν ἡδονῶν τὰ λείψανα (15), βίου λείψανον ὤν; Αἰσχρὸν τὴν μὲν ἡλικίαν παρακμάσαι, μὴ παρακμάσαι δὲ τὴν ἀσέλγειαν· ἀλλ' ἢ πάσχειν
D τοῦτο, ἢ δοκεῖν, διαμέλλοντα (16) πρὸς τὴν κάθαρσιν. Νήπιόν ἐστι σοι; Μὴ λαβέτω καιρὸν ἡ κακία· ἐκ βρέφους ἁγιασθήτω, ἐξ ὀνύχων καθιερωθήτω τῷ Πνεύματι. Σὺ (17) δέδοικας τὴν σφραγῖδα διὰ τὸ τῆς

(4) *Ὡς χρηστός.* Sic Reg. bm Coisl. 1 et Comb. Deest ὡς in ed.

(5) *Φοβῇ γε.* Deest γε in sex Regg.

(6) *Αὐτῷ τούτῳ.* Sic plures Regg. et Colb. In ed., αὐτὸ τοῦτο.

(7) *Ἐκπέπτωκε.* Regg. a et bm, ἔπεσεν.

(8) *Ὦ ἄνθρωπε.* Sic tres Regg. et tres Colb. Deest ὦ in ed.

(9) *Πρὸς γὰρ τὸν ἔχοντα.* Forte legendum, ἐχθραίνοντα, « inimicum » quamvis Nicetas innuat, hæc verba, πρὸς γὰρ τὸν ἔχοντα ἕρπει ὁ φθόνος, « habentem enim invidia persequitur, » ex Sophocle in *Ajacis* tragœdia, a Gregorio mutuata fuisse.

(10) *Πολεμῇ.* Reg. bm, πολεμεῖ.

(11) *Καὶ διά.* Sic quatuor Regg., etc. In ed. deest, καί.

(12) *Μετὰ τῆς συμμαχίας.* « Cum subsidio, » nempe, baptismatis. Bill., « Cum auxiliaribus copiis. » Minus apte quidem; David enim, non « auxiliaribus copiis, » sed Dei præcipue auxilio munitus, pugnavit adversus Goliath. Ea certe Gregorii mens est, ut Christianus baptismatis auxilio fretus, adversus diabolum in acie stet.

(13) *Ἀρίστευσον.* Sic quinque Regg., Coisl. 1 et Or. 1. In ed., ἀρίστευε.

(14) *Ἀπαιτῇ.* Regg. bm, ph et Or. 1, ἀπαιτεῖ.

(15) *Τὰ λείψανα.* Sic quatuor Regg. Deest τά in ed.

(16) *Διαμέλλοντα.* Comb., ἐμβραδύνοντα.

(17) *Σύ.* Coisl. 1, σὺ δέ.

φύσεως ἀσθενές· ὡς μικρόψυχος ἡ μήτηρ (18), καὶ ὀλιγόπιστος! Ἡ Ἄννα δὲ, καὶ πρὶν ἢ (19) γεννηθῆναι τὸν Σαμουὴλ, καθυπέσχετο τῷ Θεῷ, καὶ γεννηθέντα, ἱερὸν εὐθὺς ποιεῖ, καὶ τῇ ἱερατικῇ στολῇ συνανέτρεψεν, οὐ τὸ ἀνθρώπινον φοβηθεῖσα, τῷ δὲ Θεῷ πιστεύσασα. Οὐδὲν δεῖ σοι περιαμμάτων καὶ ἐπασμάτων, οἷς ὁ πονηρὸς συνεισέρχεται, κλέπτων εἰς ἑαυτὸν ἀπὸ τοῦ Θεοῦ τὸ σέβας, ἐν τοῖς κουφοτέροις. Δὸς αὐτῷ τὴν Τριάδα, τὸ μέγα καὶ καλὸν φυλακτήριον.

ΙΗ'. Τί ἔτι; Παρθενίαν ἀσκεῖς; Τῇ (20) καθάρσει σφραγίσθητι· ταύτην ποίησαι (21) τοῦ βίου κοινωνὸν, καὶ συνόμιλον· αὕτη (22) ῥυθμιζέτω σοι, καὶ βίον, καὶ λόγον, πᾶν μέλος, πᾶν κίνημα, πᾶσαν αἴσθησιν. Τίμησον αὐτὴν, ἵνα σε κοσμήσῃ, ἵνα δῷ τῇ σῇ κεφαλῇ στέφανον χαρίτων, στεφάνῳ δὲ τρυφῆς ὑπερασπίσῃ (23) σου. Δέδεσαι γάμῳ; Καὶ τῇ σφραγῖδι συνδέθητι· ταύτην συνοίκισον σεαυτῷ τῆς σωφροσύνης φύλακα· πόσων (24) εὐνούχων οἴει, πόσων θυρωρῶν οὖσαν ἀσφαλεστέραν; Οὔπω σαρκὶ συνεζεύχθης (25): μὴ φοβηθῇς τὴν τελείωσιν. Καθαρὸς εἶ, καὶ μετὰ τὸν γάμον· ἐμὸς ὁ κίνδυνος, ἐγὼ τούτου συναρμοστής, ἐγὼ νυμφοστόλος. Οὐ γὰρ, ἐπεὶ (26) ἡ παρθενία τιμιωτέρα, ἐν τοῖς ἀτίμοις ὁ γάμος. Μιμήσομαι Χριστὸν, τὸν καθαρὸν νυμφαγωγὸν, καὶ νυμφίον, ὃς καὶ θαυματουργεῖ γάμῳ, καὶ τιμᾷ συζυγίαν τῇ παρουσίᾳ. Μόνον ἔστω γάμος καθαρὸς (27), καὶ πόθοις ῥυπαροῖς ἀνεπίμικτος. Ἓν αἰτῶ μόνον· λάβε παρὰ τοῦ δώρου τὴν ἀσφάλειαν, καὶ δὸς τῷ δώρῳ τὴν ἁγνείαν κατὰ καιρὸν, ἕως εὐχῆς πρόκειται προθεσμία, καὶ ἀσχολίας (28) τιμιωτέρα, καὶ ταύτην ἐκ κοινῆς ὁμολογίας καὶ συναινέσεως. Οὐ γὰρ νομοθετοῦμεν, ἀλλὰ παραινοῦμεν, καὶ τῶν σῶν τι λαβεῖν ὑπὲρ σοῦ βουλόμεθα, καὶ τῆς κοινῆς ὑμῶν ἀσφαλείας ἕνεκεν (29). Ἐν κεφαλαίῳ δὲ εἰπεῖν, οὐκ ἔστιν οὐ βίος, οὐκ ἐπιτήδευμα, ᾧ μὴ τοῦτο λυσιτελέστερον. Δέξαι, ὁ ἐν ἐξουσίᾳ (30), τὸν χαλινόν· ὁ ἐν δουλείᾳ, τὴν ἰσοτιμίαν· ὁ ἀθυμῶν, τὴν παραμυθίαν· ὁ ἐν εὐθυμίᾳ, τὴν παιδαγωγίαν, ὁ πένης, τὸν ἄσυλον πλοῦτον· ὁ εὐπορῶν, τὴν καλὴν ὧν ἔχεις οἰκονομίαν. Μηδὲν σοφίσῃ, μηδὲν τεχνάσῃ κατὰ τῆς σεαυτοῦ (31) σωτηρίας. Κἂν γὰρ τοὺς ἄλλους παραλογιζώμεθα,

A bus præbere. Infans tibi est? Ne occasionem improbitas arripiat: ab infantia sanctificetur, ab ipsis unguiculis Spiritui consecretur. At propter naturæ imbecillitatem sigillum metuis? Quam imbecillis animi mater es pusillæque fidei! Anna vero Samuelem, prius etiam quam procreatus esset, Deo vovit; atque in lucem editum statim consecravit, ac cum sacerdotali stola educavit[2], nihil humani verita, sed Deo fidem habens. Nihil tibi amuletis, nec incantamentis opus est, quibuscum pravus ille in leviorum hominum animos simul irrepit, venerationem Deo debitam furtim ad se transferens. Trinitatem ipsi da, magnum, inquam, illud et pulchrum amuletum.

XVIII. Quid præterea? Virginitatem colis? Baptismo consignare: hunc tibi vitæ socium et fami- B liarem ascisce. Hic tibi, et vitam, et verba moderetur, omnia membra, omnes animi motus, omnes sensus. Honore eum complectere, ut te ornet, capitique tuo gratiarum coronam nectat[3], et corona deliciarum te protegat. Matrimonii vinculis astrictus es? Baptismo quoque constringere: hunc tibi contubernalem adjunge pudicitiæ custodem, innumeris eunuchis et janitoribus tutiorem. Nondum carni copulatus es? Ne baptismi perfectionem extimescas. Purus ac mundus es, inito etiam matrimonio; in me hoc periculum recipio, ego harum nuptiarum conglutinator, ego auspex. Nec enim, quia honoratior est virginitas, idcirco turpe et ignominiosum est matrimonium. Christum C imitabor, purum, inquam, illum pronubum et sponsum, qui et miraculum in nuptiis edit, et **704** conjugium præsentia sua honestat[4]. In id tantum incumbe, ut purum sit matrimonium, atque ab obscenarum cupiditatum contagione liberum. Hoc unum posco; a dono securitatem accipe, ac vicissim istud dono repende, ut certo tempore, quandiu scilicet assignatum fuerit orationi tempus, omni negotio præstabilius, a re uxoria abstineas, idque ex communi pacto et consensu. Non enim legem sancimus, sed consilium damus; ac quidpiam eorum, quæ tua sunt, ad utilitatem tuam communemque utriusque vestrum securitatem, accipere volumus. Ut autem in summa dicam, nullum vitæ genus est, nullum studium et institutum, cui non hoc conduci- D bilius sit. Qui conditione libera gaudes, frenum ac-

[2] I Reg. I, 11 sqq. [3] Eccli. XXXII, 3. [4] Joan. II, 1 sqq.

(18) *Μικρόψυχος ἡ μήτηρ*. Plures Regg., μικρόψυχος εἶ μήτηρ.
(19) *Πρὶν ἤ*. Deest ἤ in pluribus codd.
(20) *Τῇ*. Reg. ph, καὶ τῇ.
(21) *Ποίησαι*. Duo Regg., ποίησον.
(22) *Αὕτη*. Nempe, κάθαρσις, « lavacrum vitam tibi et sermones componat. »
(23) *Ὑπερασπίσῃ*. Savil., ὑπερασπιεῖ, « proteget. »
(24) *Πόσων*, etc. « Quot putas eunuchis, quot janitoribus tutiorem? »
(25) *Συνεζεύχθης*. Comb., συνεδέθης.
(26) *Ἐπεί*. Quinque Regg. et Or. 1, εἰ.
(27) *Καθαρός*. Reg bm, Chrys. et Or. 1, λαμπρός, « splendidum matrimonium. »
(28) *Ἀσχολίας*. Coisl. 1, ἀσχολία.
(29) *Ἕνεκεν*. Deest in tribus Regg., Coisl. 1 et Or. 1.
(30) *Ὁ ἐν ἐξουσίᾳ*. Bill. « Qui in potestate et imperio es. » Quantum conjicere possumus, non agitur hic de iis qui imperio potiuntur, sed de iis qui conditione « libera, » gaudent, seu, qui sui juris sunt, quibus opponuntur, qui conditione « servili » premuntur, juxta illud Apost. ad Galat. III, 28, « Non est servus neque liber; omnes enim vos unum estis in Christo Jesu. »
(31) *Σεαυτοῦ*. Quatuor Regg., tres Colb. et Or. 1, σῆς. « Nihil adversus animæ tuæ, » etc. Id est, nihil callidioris consilii adversus tuam ipsius salutem excogita, fingens scilicet te propter baptismi reverentiam procrastinatione uti, cum revera eam differendi sacramenti causam habeas, ut liberius tuis indulgeas voluptatibus. Nam quamvis alios fefellerimus, conscientiæ tamen nostræ fucum facere non poterimus.

cipe; qui servili premeris, æqualem honoris gradum; qui in mœrore versaris, solatium; qui læto atque hilari es animo, disciplinam; qui rerum inopia laboras, opes tutas, nec direptioni obnoxias; qui divitiis affluis, præclaram facultatum tuarum administrationem. Nihil adversus animæ tuæ salutem captiose comminiscere, nihil machinare. Nam licet aliis fucum faciamus, nobis quidem ipsis nunquam poterimus. Ac profecto adversus seipsum ludere, admodum periculosum et stolidum est.

XIX. At in media hominum frequentia versaris, ac publicarum rerum cura et administratione inquinaris: atque idcirco metuis, ne misericordia, quam per baptismum consecutus es, depereat? Simplici oratione tecum agam. Forum quoque ipsum, si fieri potest, cum pulchro comitatu fuge, aquilæ, vel, ut magis apposite dicam, columbæ pennis tibi ipsi impositis. (Quid enim tibi cum Cæsare, aut Cæsaris rebus?) Atque ita fuge, ut non ante conquiescas, quam eo perveneris, ubi nec peccatum est, nec infuscatio, nec serpens in via mordens, piosque tuos gressus impediens. Abripe animam tuam ex hoc mundo; fuge Sodomam; incendium fuge; irretorto oculo gradere, ne in salis lapidem concrescas. In montem salutis causa te confer, ne simul corripiaris. Quod si jam occupatus es, ac necessariis vinculis astrictus, ita tecum ipse disputa, vel ego potius tecum disputabo. Præstat quidem, et bonum consequi, et purgationem tueri ac conservare: verum si utrumque non datur, illud certe præstat,
705 in rerum publicarum administratione nonnihil interdum sordium contraxisse, quam omnino a gratia excidere: quemadmodum scilicet a patre et hero quandoque objurgari satius est, quam domo ejici: et exiguo splendore perstringi, quam prorsus obscurari. Prudentum porro et cordatorum virorum est, ut in bonis meliora et excellentiora, ita in malis minora et leviora eligere. Quocirca ne tantopere purgationem formides. Ea enim, quæ recte et cum laude gerimus, a justo et benigno rerum nostrarum judice semper ad vitæ nostræ studia atque instituta, tanquam ad amussim quamdam, exiguntur. Atque ita plerumque accidit, ut qui in civili vita et in medio posita, aliquid honeste et ex virtute fecerit, in meliori causa sit, quam qui a publicis muneribus feriatus, officio suo non usquequaque perfunctus fuerit: quemadmodum, ut mea fert opinio, mirabilius est hominem compedibus vinctum nonnihil progredi, quam nullo onere impeditum, currere: mirabilius item, cum, qui per cœnum incedat, leviter aspergi, quam eum, qui pura via iter faciat, purum ab omni macula manere. Argumento est Raab meretrix, cui, alioqui parum laudatæ, hospitalitas sola justitiæ laudem attulit; et publicanus, quem una tantum humilitas extulit, nullo alio nomine commendatum; ut tibi documento sit, ne de tua salute temere desperes.

XX. Verum, dicet quispiam, quid mihi ex ea re accesserit, si per baptismum præoccupatus fuero, atque omnes vitæ suavitates mihi ipsi ob hujusmodi celeritatem præclusero, cum voluptatibus interim indulgere liceat, atque ita demum gratiam assequi?

A ἡμᾶς γε αὐτοὺς οὐ δυνησόμεθα· ὡς τό γε καθ' ἑαυτοῦ παίζειν, λίαν ἐπισφαλὲς καὶ ἀνόητον.

ΙΘ'. Ἀλλ' ἐν μέσῳ στρέφῃ, καὶ μολύνῃ τοῖς δημοσίοις· καὶ δεινόν, εἴ σοι δαπανηθήσεσθαι τὸ φιλάνθρωπον; Ἁπλοῦς ὁ λόγος· Εἰ μὲν οἷόν τε, φύγε καὶ τὴν ἀγορὰν μετὰ τῆς καλῆς συνοδίας, πτέρυγας ἀετοῦ σεαυτῷ περιθείς, ἢ περιστερᾶς, ἵν' οἰκειότερον εἴπω (τί γάρ σοι καὶ Καίσαρι, ἢ τοῖς Καίσαρος;). Ἕως οὗ καταπαύσῃς (32), οὗ μὴ ἔστιν ἁμαρτία, μηδὲ μελάνωσις, μηδὲ δάκνων ὄφις ἐφ' ὁδοῦ, κωλύων
B σου τὰ κατὰ Θεὸν διαβήματα. Ἅρπασον τὴν σεαυτοῦ (33) ψυχὴν ἐκ τοῦ κόσμου· φύγε Σόδομα· φύγε τὸν ἐμπρησμόν· ὅδευσον ἀμεταστρεπτί, μὴ παγῇς λίθος ἁλός· εἰς τὸ ὄρος σώζου, μὴ συμπαραληφθῇς. Εἰ δὲ προκατέχῃ (34), καὶ δέδεσαι δεσμοῖς ἀναγκαίοις, ἐκεῖνο σεαυτῷ διαλέχθητι, μᾶλλον δὲ σοὶ αὐτὸς διαλεχθήσομαι· Κρεῖσσον μὲν καὶ τυχεῖν (35) τοῦ ἀγαθοῦ, καὶ φυλάσσειν τὴν κάθαρσιν· εἰ δὲ ἀμφότερα μὲν ἐνδέχεται, κρεῖσσόν ποτε μικρὰ μολυνθῆναι τοῖς σοῖς δημοσίοις, ἢ παντάπασιν ἐκπεσεῖν τῆς χάριτος· ὥσπερ, οἶμαι, κρεῖσσον ἐπιτιμηθῆναί τι παρὰ πατρὸς καὶ δεσπότου, ἢ ἀπωσθῆναι· καὶ μικρὸν αὐγάζεσθαι, ἢ παντελῶς σκοτίζεσθαι. Σωφρόνων δέ, ὥσπερ τῶν ἀγαθῶν τὰ μείζω καὶ τελεώτερα, οὕτω καὶ (36) τῶν κακῶν αἱρεῖσθαι τὰ ἐλάττω τε καὶ
C κουφότερα. Διὰ τοῦτο μὴ λίαν φοβηθῇς τὴν κάθαρσιν. Κρίνεται γὰρ ἀεὶ μετὰ τῶν ἐπιτηδευμάτων τὸ κατορθούμενον, παρὰ τοῦ δικαίου καὶ φιλανθρώπου τῶν ἡμετέρων κριτοῦ. Καὶ μικρὸν κατορθώσας πολλάκις ὁ ἐν τῷ μέσῳ, πλέον (37) ἔσχε τοῦ ἐν ἐλευθερίᾳ μὴ τὸ πᾶν κατορθώσαντος· ὥσπερ, οἶμαι, παραδοξότερον ἐν πέδαις μικρὰ προβαίνειν, ἢ τρέχειν μηδενὶ βαρούμενον· καὶ διὰ βορβόρου μικρὰ ῥαντίζεσθαι, ἢ καθαρὸν εἶναι διὰ καθαρᾶς ὁδοῦ φερόμενον. Τεκμήριον δὲ τοῦ λόγου, καὶ Ῥαὰβ τὴν πόρνην ἓν ἐδικαίωσε μόνον (38), ἡ φιλοξενία, τἄλλα οὐκ ἐπαινουμένην· καὶ τὸν τελώνην ἓν ὕψωσεν, ἡ ταπείνωσις, οὐδὲν ἄλλο μαρτυρηθέντα· ἵνα σὺ μάθῃς, σεαυτοῦ μὴ ῥᾳδίως (39) ἀπογινώσκειν.

D Κ'. Ἀλλὰ τί μοι πλέον, φησί, προκατασχεθέντι διὰ τοῦ βαπτίσματος, καὶ τὸ τερπνὸν τοῦ ζῆν ἐμαυτῷ διὰ τοῦ τάχους ἀποκλείσαντι, ἐνὸν ἐφεῖναι ταῖς ἡδοναῖς, καὶ τηνικαῦτα τυχεῖν τῆς χάριτος; Οὐδὲ γὰρ τοῖς ἐν τῷ ἀμπελῶνι προκεκμηκόσιν ὑπῆρξέ τι

(32) *Καταπαύσῃς*. Duo Regg., καταπαύσεις. Coisl. 1 et Jes., καταλύσῃς.
(33) *Σεαυτοῦ*. In nonnullis, ἑαυτοῦ.
(34) *Προκατέχῃ*. Or. 1, προκατέχεις.
(35) *Καὶ τυχεῖν*. Sic sex Regg. et tres Colb. Deest καί in ed.
(36) *Οὕτω καί*. Sic Reg. ph et Comb. Deest καί in ed.
(37) *Πλέον*. Quatuor Regg., πλεῖον.
(38) *Ἓν ἐδικαίωσε μόνον*. « Unum solum, » nempe, « hospitalitas. » Sic tres Regg. et tredecim Colb. In ed., ἐνεδικαίωσε μόνον.
(39) *Μὴ ῥᾳδίως*. Sic tres Regg. In ed., ῥᾳδίως μή.

ligentia recuperetur. Magnum tibi ad ea, quæ cupis, assequenda et retinenda, subsidium attulerint vigiliæ, jejunia, chameuniæ, orationes, lacrymæ, commiseratio erga pauperes, largitio. His rebus, partim pro iis, quæ accepisti, gratias age, partim etiam ea tuere ac custodi. Habes beneficium, quod te multorum mandatorum submoneat: ne contemptim prætereas. Pauper accessit? In mentem tibi veniat, ex quam gravi paupertate ad quantas divitias provectus es. Pane carens, aut potu, atque etiam fortasse Lazarus quispiam ad domus tuæ fores provolutus [32]? Moveat te mystica mensa, ad quam accessisti; panis ille, cujus particeps factus es; calix ille, quem accepisti, cum Christi passionibus initiareris. Peregrinus ad genua tua procubuit, domo carens, advena? Per hunc eum excipe, qui propter te peregrinatus est, idque in propriis, quique per gratiam ad te immigravit, teque ad cœleste domicilium pertraxit. Zachæum imitare [33], illum, inquam, heri publicanum, hodie magnificum: facultates omnes tuas ingredienti Christo offer ut, licet corporali statura pusillus, animo tamen evcharis, Christum egregie conspicatus. Ægrotus prostat, ac saucius? Moveat te sanitas tua, et vulnera, quibus te Christus liberavit. *Si videris nudum, operi eum* [34], tuum incorruptionis indumentum, hoc est Christum, honore prosequens: *Quotquot enim in Christum baptizati sumus, Christum induimus* [35]. Si debitorem nactus sis, ad pedes tuos sese abjicientem, syngrapham omnem, tam justam, quam injustam, rescinde [36]. Decem illa talentorum millia, quæ tibi Christus remisit, in memoriam revoca. Noli te acerbum minoris debiti exactorem præbere, et quidem conservis, cum tibi a Domino major summa condonata sit, ne humanitatis quoque illius, quam tibi in exemplum propositam haudquaquam imitatus es, pœnæ a te expetantur.

νίαι, προσευχαὶ, δάκρυον, οἶκτος τῶν δεομένων, μετάδοσις. Τοῦτό σοι γενέσθω (47), ὧν τετύχηκας, εὐχαριστήριόν τε ἅμα καὶ φυλακτήριον. Ἔχεις πολλῶν ἐντολῶν ὑπόμνημα, τὴν εὐεργεσίαν· μὴ παραδράμῃς. Πένης προσῆλθε; μνήσθητι πόσον (48) πτωχεύων, πόσον ἐπλούτησας. Ἄρτου δεόμενος, ἢ πόματος, Λάζαρος ἴσως τις ἄλλος τοῖς σοῖς πυλῶσι προσερριμμένος; Αἰδέσθητι τὴν μυστικὴν τράπεζαν, ᾗ προσῆλθες· τὸν ἄρτον, οὗ μετείληφας· τὸ ποτήριον, οὗ κεκοινώνηκας τοῖς Χριστοῦ (49) πάθεσι τελειούμενος. Ξένος προσέπεσεν, ἄοικος, παρεπίδημος; Ὑπόδεξαι διὰ τούτου τὸν διὰ σὲ ξενιτεύσαντα, καὶ ταῦτα ἐν τοῖς ἰδίοις (50), καὶ εἰσοικισθέντα σοι διὰ τῆς χάριτος, καὶ πρὸς τὴν ἄνω κατοικίαν ἑλκύσαντα. Γενοῦ Ζακχαῖος, ὁ χθὲς τελώνης, καὶ σήμερον μεγαλόψυχος· πάντα τῇ εἰσόδῳ τοῦ (51) Χριστοῦ καρποφόρησον, ἵνα μέγας (52) ἀναφανῇς, κἂν μικρὸς ᾖς τὴν σωματικὴν ἡλικίαν, καλῶς Χριστὸν θεασάμενος. Ἄῤῥωστος πρόκειται καὶ τραυματίας; τὴν σὴν ὑγίειαν (53) αἰδέσθητι, καὶ τὰ τραύματα, ὧν σε Χριστὸς ἠλευθέρωσεν. *Ἐὰν ἴδῃς γυμνὸν, περίβαλε*, τὸ σὸν τιμῶν ἔνδυμα τῆς ἀφθαρσίας· Χριστὸς δὲ (54) τοῦτό ἐστιν· *Ἐπειδὴ ὅσοι εἰς Χριστὸν ἐβαπτίσθημεν, Χριστὸν ἐνδεδύμεθα.* Ἐὰν χρεωφειλέτην λάβῃς προσπίπτοντα, πᾶσαν συγγραφὴν ἄδικον καὶ (55) δικαίαν διάσπασον. Μνήσθητι τῶν μυρίων ταλάντων, ὧν σοι Χριστὸς ἐχαρίσατο. Μὴ γένῃ πράκτωρ πικρὸς τοῦ ἐλάττονος χρέους. Καὶ ταῦτα τίσι; Τοῖς ὁμοδούλοις, ὁ τὸ πλέον (56) παρὰ τοῦ Δεσπότου συγχωρηθεὶς, μὴ καὶ τῆς ἐκείνου φιλανθρωπίας ὑπόσχῃς δίκην, ἣν οὐκ ἐμιμήσω λαβὼν ὑπόδειγμα.

XXXII. Sic te compara, ut lavacrum non modo corpus, sed imaginem quoque abluat: non modo peccata eluat, sed mores etiam emendet: non modo pristinas vitæ sordes abstergat, verum fontem quoque ipsum expurget: non hoc **717** tantum in animo tibi insculpat, ut bona honeste acquiras; sed ut etiam bene parta amittas, aut, quod levissimum est, male parta deponas. Quid enim tibi profuerit, ita peccati veniam impetrasse, ut tamen ei, quem læseris, damnum non sarciatur; cum tu duplici scelere constrictus tenearis, altero, quia sceleratis artibus facultates tuas auxisti, altero, quia partas

ΛΒ'. Γενέσθω σοι τὸ λουτρὸν, μὴ τοῦ σώματος μόνον (57), ἀλλὰ καὶ τῆς εἰκόνος· μὴ τῶν ἁμαρτημάτων ἔκπλυσις (58) μόνον, ἀλλὰ καὶ τοῦ τρόπου διόρθωσις· μὴ τὸν προλαβόντα (59) βόρβορον ἀποκλυζέτω μόνον, ἀλλὰ καὶ τὴν πηγὴν καθαιρέτω· μὴ τὸ καλῶς κτᾶσθαι τυπούτω μόνον, ἀλλὰ καὶ τὸ καλῶς ἀποκτᾶσθαι, ἢ, τό γε κουφότατον, τὸ κακῶς κτηθὲν ἀποτίθεσθαι. Τί γὰρ ὄφελος σοὶ μὲν συγχωρηθῆναι τὴν ἁμαρτίαν, τῷ δὲ ἠδικημένῳ μὴ λυθῆναι τὴν παρὰ σοῦ ζημίαν· δύο σοι κακῶν ὄντων, τοῦ τε κτήσασθαι μὴ δικαίως, καὶ τοῦ τὸ κτηθὲν (60) κατέχεσθαι; Τοῦ μὲν ἄφεσιν ἔλαβες, τὸ δὲ σήμερον ἀδικεῖς. Σήμερον γὰρ

[32] Luc. XVI, 20 sqq. [33] Luc. XIX, 2 sqq. [34] Isa. LVIII, 7. [35] Galat. III, 27. [36] Matth. XVIII, 26.

(47) *Γενέσθω.* Regg. bm et ph, γινέσθω.
(48) *Πόσον.* Coisl. 1, πόσων. Mox etiam, πόσων.
(49) *Τοῖς Χριστοῦ.* Sic quinque Regg., etc. In ed., τοῦ Χριστοῦ. Mox, ξένος. Sic Coisl. 2. In ed., ὁ ξένος.
(50) *Ἐν τοῖς ἰδίοις.* « In propriis. » Sic Vulgata. Billius, « in suis regionibus. »
(51) *Τοῦ.* Deest in quinque Regg.
(52) *Μέγας.* Sic plures optimæ notæ codd. In ed., μέγα.
(53) *Ὑγίειαν.* Reg. bm, ὑγείαν.
(54) *Δέ.* Deest in tribus Regg.
(55) *Καί.* Reg. bm, ἢ. Reg. ph, ἢ καί.
(56) *Πλέον.* Regg. b, c, d, πλεῖον.
(57) *Μόνον.* Tres Regg., Coisl. 1 et Comb. addunt, ἔκπλυσις. « Non corporis tantum ablutio sit, sed animæ, » sive « imaginis. »
(58) *Ἁμαρτημάτων ἔκπλυσις.* Tres Regg., Coisl. 1 et Combef., ἁμαρτημάτων λύσις, « delictorum solutio. »
(59) *Προλαβόντα.* Quatuor Regg., novem Colbert., duo Coisl. et Or. 1, προελθόντα, « præteritas sordes. »
(60) *Τὸ κτηθέν.* Sic plerique codd. In quibusdam tamen, et in ed., τὰ κτηθέντα.

ἐστι παρὰ σοὶ τὸ ἀλλότριον· καὶ οὐκ ἀνῃρέθη τὸ ἁμάρτημα, τῷ χρόνῳ δὲ διεκόπη. Τὸ μὲν πρὸ τοῦ βαπτίσματος τολμηθὲν, τὸ δὲ μένον μετὰ τὸ βάπτισμα· τῶν γὰρ ἡμαρτημένων, οὐ τῶν ἁμαρτανομένων τὸ λουτρὸν ἔχει συγχώρησιν. Δεῖ δὲ μὴ σοφισθῆναι τὸν καθαρμὸν, ἀλλ' ἐνσημανθῆναι· λαμπρυνθῆναί σε τελείως, ἀλλὰ μὴ χρωσθῆναι· μηδὲ ἐπικάλυψιν τῶν ἁμαρτιῶν, ἀλλ' ἀπαλλαγὴν ἔχειν τὸ χάρισμα. *Μακάριοι, ὧν ἀφέθησαν αἱ ἀνομίαι·* τοῦτο τῆς παντελοῦς καθάρσεως· *καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι·* τοῦτο τῶν οὔπω τὸ βάθος καθηραμένων. *Μακάριος ἀνὴρ, ᾧ οὐ μὴ λογίσηται Κύριος ἁμαρτίαν·* τρίτη τις αὕτη τάξις τῶν ἁμαρτανομένων· ὧν ἡ μὲν πρᾶξις οὐκ (61) ἐπαινετὴ, τὸ δὲ τῆς γνώμης ἀνεύθυνον.

A opes retines? Ita, quamvis illa tibi noxa condonata sit, hac tamen hodierno die adhuc implicaris. Hodie enim apud te aliena res est; ideoque minime sublatum et exstinctum est peccatum, sed tempore solum intercisum. Illud quidem ante baptismum perpetratum est, istud vero post baptismum manet. Lavacrum enim admissorum peccatorum veniam habet, non eorum, quæ admittuntur. Porro non fucanda est purgatio, sed imprimenda; tibique hoc agendum, ut plene ac perfecte splendescas, non ut leviter atque in superficiem illinaris; ut gratia non peccata tantum obducat, sed ab iis omnino te vindicet. *Beati, quorum remissæ sunt iniquitates:* hoc plenæ et cumulatæ purgationis est; *et quorum tecta sunt peccata* [37]: hoc iis congruit, quorum intimæ animi partes nondum purgatæ sunt. *Beatus vir, cui non imputavit Dominus peccatum* [38]: tertia quædam hæc est peccantium classis; quorum scilicet, tametsi actio minime laudabilis est, mens tamen culpa et crimine vacat.

ΛΓ'. Τί οὖν φημι, καὶ τίς ὁ ἐμὸς λόγος; χθὲς ἦσθα Χαναναία ψυχὴ, καὶ διὰ τῆς (62) ἁμαρτίας συγκύπτουσα· σήμερον ἀνωρθώθης ὑπὸ τοῦ Λόγου. Μὴ συγκύψῃς πάλιν, καὶ εἰς γῆν κλιθῇς (63), ὥσπερ κύφωνι (64) παρὰ τοῦ πονηροῦ βαρηθεῖσα, καὶ δυσανάκλητον ἔχῃς (65) τὴν ταπεινότητα. Χθὲς ἐξηραίνου θάλλουσα τῇ αἱμοῤῥοίᾳ (ἐπήγαζες γὰρ τὴν φοινικὴν (66) ἁμαρτίαν)· σήμερον ἀνέθηλας (67) ξηρανθεῖσα. Ἥψω γὰρ τῶν Χριστοῦ κρασπέδων, καὶ τὴν ῥύσιν ἔστησας. Φύλασσέ μοι τὴν κάθαρσιν, μὴ πάλιν αἱμοῤῥοήσῃς, καὶ οὐκ ἰσχύσῃς (68) λαβέσθαι Χριστοῦ, ἵνα κλέψῃς τὴν σωτηρίαν. Οὐ γὰρ πολλάκις φιλεῖ Χριστὸς κλεπτόμενος, καὶ εἰ λίαν ἐστὶ φιλάνθρωπος. Χθὲς ἐπὶ κλίνης ἔῤῥιψο παρειμένος καὶ λελυμένος, καὶ οὐκ εἶχες ἄνθρωπον, ἵνα, ὅταν ταραχθῇ τὸ ὕδωρ, βάλλῃ (69) σε εἰς τὴν κολυμβήθραν· σήμερον εὗρες ἄνθρωπον, τὸν αὐτὸν καὶ Θεὸν, μᾶλλον δὲ, Θεὸν καὶ ἄνθρωπον (70). Ἤρθης ἀπὸ τοῦ κραββάτου (71), μᾶλλον δὲ ἦρας τὸν κράββατον, καὶ ἐστηλίτευσας τὴν εὐεργεσίαν· μὴ πάλιν ἐπὶ κραββάτου ῥιφῇς ἁμαρτήσας, τῆς κακῆς (72) τοῦ σώματος ἀναπαύσεως παρειμένου ταῖς ἡδοναῖς· ἀλλ' ὡς ἔχεις (73), βάδιζε μεμνημένος τῆς ἐντολῆς· *Ἰδοὺ ὑγιὴς γέγονας· μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένηται,* κακῷ φανέντι μετὰ τὴν εὐποιΐαν. *Λάζαρε, δεῦρο ἔξω,* ἤκουσας τῆς μεγάλης φωνῆς ἐν τάφῳ κείμενος (τί γὰρ τοῦ Λόγου μεγαλοφωνότερον;) καὶ προῆλθες, οὐ τετραήμερος νεκρὸς, ἀλλὰ πολυήμερος, τῷ τριημέρῳ συναναστὰς, καὶ τῶν ἐνταφίων δεσμῶν ἐξελύθης. Μὴ νεκρωθῇς πάλιν, καὶ γένῃ μετὰ τῶν

B XXXIII. Quid igitur dico, et quo mea spectat oratio? Heri Chananæa anima eras [38*], et per peccatum in terram inclinata [39]: hodie a Verbo erecta es. Ne rursus curveris, ac, velut ligneo collari a diabolo depressa, in terram propendeas, atque ita afficiaris, ut vix erigi et assurgere queas. Heri sanguinis profluvio tabescebas [40]; rubrum enim et cruentum peccatum ex te manabat; hodie siccato profluvio ad pristinum florem rediisti. Contacta quippe vestis Christi fimbria, fluxum compressisti. Fac purgationem serves, ne alioqui sanguinis defluvio rursus labores, Christumque jam, surripiendæ salutis causa, prehendere nequeas. Neque enim Christus sæpius sibi aliquid surripi amat, tametsi mire benignus et facilis. Heri in lecto jacebas, C corpore fractus et solutus, nec hominem præsto habebas, qui, cum turbaretur aqua, te in piscinam injiceret [41]; hodie **718** nactus es hominem, eumdemque Deum, vel ut rectius loquar, Deum et hominem. Elatus es e grabato, imo grabatum exstulisti, ac beneficium acceptum, velut in columna incisum, omnibus spectandum proposuisti. Cave, ne admisso peccato rursus in grabato, id est, in pessima corporis voluptatibus fracti quiete, jaceas. Verum, ut es, proficiscere, præcepti hujus memor: *Ecce sanus factus es; jam noli peccare, ne deterius aliquid tibi accidat* [42], si post acceptum beneficium malus inveniaris. Magnam hanc vocem, *Lazare, veni foras* [43], in sepulcro jacens audisti (quid enim Verbi voce præstantius?) Ac prodiisti, non quatriduo, sed multis

[37] Psal. xxxi, 1. [38] ibid. 2. [38*] Matth. xv, 22. [39] Luc. xiii, 11. [40] Luc. viii, 43 sqq. [41] Joan. v, 7. [42] ibid. 14. [43] Joan. xi, 43

(61) *Οὐκ.* Sic quinque Regg. In ed., οὐδέ.
(62) *Διὰ τῆς.* Coisl. 1, διὰ τάς.
(63) *Κλιθῇς.* Sic plures codd. In nonnullis, κλιθεὶς. In ed., κριθῇς.
(64) *Κύφωνι.* Schol.: Δεσμωτηρίῳ κυρτώματι· « Carceralibus numellis. » Hesychius et Suidas id intelligunt de « ligneo collari, » δεσμὸς ξύλινος, unde dicitur, δεδέσθω ἐν κύφωνι, « vinciatur in ligneo collari. » Non igitur recte Billius, « catenis ferreis. »
(65) *Ἔχῃς.* Reg. c et Or. 1, ἕξεις.
(66) *Φοινικήν.* Sic tres Regg. et tres Colb. In D ed., φωνικήν.
(67) *Ἀνέθηλας.* Bas. ed., ἀνέθαλλες.
(68) *Ἰσχύσῃς.* Sic quinque Regg., tres Colb. et Or. 1. In ed., ἰσχύσεις.
(69) *Βάλλῃ.* Quatuor Regg., βαλῇ.
(70) *Καὶ ἄνθρωπον.* Sic Regg. bm et ph. Deest καί in ed.
(71) *Κραββάτου.* In pluribus scribitur, κραβάτου.
(72) *Τῆς κακῆς.* In nonnullis, κακίστης.
(73) *Ὡς ἔχεις.* « Ut es, » id est, inquit Nicetas, « sanus et incolumis. »

diebus mortuus, cum triduano illo simul ad vitam rediens, atque funebribus vinculis solutus es. Cave, ne rursus emoriaris, iisque, qui in sepulcris habitant [44], aggregeris, ac peccatorum tuorum funibus constringaris; cum incertum sit, an rursus e sepulcro ad vitam excitaberis, usque ad postremam illam et communem resurrectionem, quæ, quidquid factum est, ad judicium adducet, non jam ut curetur, sed ut judicetur, rationemque eorum reddat, quæ recte vel male coacervarit.

κατοικούντων ἐν τάφοις, μηδὲ κατασφιγγῇς (74) ταῖς σειραῖς τῶν οἰκείων ἁμαρτημάτων· ἄδηλον ὄν, εἰ πάλιν ἐξαναστήσῃ τῶν τάφων, μέχρι τῆς τελευταίας καὶ κοινῆς ἀναστάσεως, ἢ πᾶν τὸ ποίημα ἄξει εἰς κρίσιν, οὐ θεραπευθησόμενον, ἀλλὰ κριθησόμενον, καὶ λόγον ὑφέξον, ὧν εὖ ἢ κακῶς ἐθησαύρισεν.

XXXIV. Si lepra, hoc est deformi pravitate, prius infectus eras, ac deinde abrasa ejectaque hac vitiosa materia, salvam et incolumem imaginem recepisti, purgationem mihi, sacerdoti tuo, ostende [45], ut cognoscam, quantum ea legalem purgationem antecellat. Novem illis ingratis ne te adjungas, verum decimum tibi imitandum propone; qui, quanquam Samaritanus esset, alios tamen grati animi officio vicit. Da operam, ne mala vitiligo rursus erumpat, atque ita afficiaris, ut corporis tui vitio vix ulla medicina possit adhiberi. Nuper avaritia et tenacitas manum tuam siccabat [46]; hodie eam largitio et beneficentia extendat. Præclara ægræ manus curatio est, dispergere, dare pauperibus, ea, quibus circumfluimus, ubertim exhaurire, quoad fundum quoque ipsum attigerimus (fortasse ex eo quoque alimentum tibi manabit, velut olim Sarephthanæ, ac præsertim si Eliam alueris [47]); egregias opes existimare, inopia propter Christum, qui nostra causa paupertatem subiit, laborare. Si surdus ac mutus eras [48], auribus tuis Verbum insonet; vel potius eum, qui insonuit, retine. Ne **719** ad Domini disciplinam et admonitionem, quemadmodum aspis ad incantationes, occlusas aures habeas. Si cæcus [49], et luminis expers, illumina oculos tuos, ne unquam in mortem obdormias [50]. In Domini lumine lumen perspice [51], in Spiritu Dei Filium intuere, trinum inquam, illud et simplex atque indivisum lumen. Si Christum totum admiseris, universas ipsius curationes, quibus sigillatim unusquisque ad sanitatem revocatus est, in animam tuam congeres. Illud modo caveas, ne gratiæ mensuram ignores, neve tibi somno dedito, ac male securo, zizania hostis superseminet [52]. Illud modo provideas, ne, puritate tua diaboli invidiam subiens, te ipsum rursus per peccatum miserabilem reddas. Illud modo videas, ne propter bonum opus effusiori lætitia gestiens, atque immodice elatus corruas, dum in altum efferris. Illud modo cures, ut purgationem summo studio excolere nunquam intermittas, ascensiones in corde tuo disponens [53]; atque acceptam Dei beneficio et gratia veniam, cura et diligentia tuearis; ut peccatorum quidem tuorum remissio a Deo proficiscatur, verum remissionis conservatio, ex te quoque sit.

ΛΔ'. Εἰ λέπραν ἔβρυες τέως τὴν ἄμορφον πονηρίαν, ἀπεξέσθης δὲ τῆς κακῆς ὕλης, καὶ τὴν εἰκόνα σώαν ἀπέλαβες, δεῖξον ἐμοὶ τῷ ἱερεῖ σου τὴν κάθαρσιν, ἵνα γνῶ (75), πόσον τῆς νομικῆς αὕτη τιμιωτέρα. Γενοῦ μὴ τῶν ἐννέα τῶν ἀχαρίστων, ἀλλὰ τὸν δέκατον μίμησαι· καὶ γὰρ εἰ Σαμαρείτης ἦν, ἀλλὰ τῶν ἄλλων εὐγνωμονέστερος. Ἀσφάλισαι, μὴ πάλιν κακῶς ἐξανθήσῃς, καὶ δυσθεράπευτον ἕξεις (76) τὴν ἀνωμαλίαν τοῦ σώματος. Πρώην ἐξήραινέ (77) σου τὴν χεῖρα μικρολογία καὶ φειδωλία· σήμερον ἐκτεινάτω μετάδοσις καὶ φιλανθρωπία. Καλὴ θεραπεία χειρὸς ἀῤῥωστούσης, σκορπίζειν, διδόναι τοῖς πένησιν, ἐξαντλεῖν ὧν ἔχομεν δαψιλῶς, μέχρις ἂν καὶ τοῦ πυθμένος ἀψώμεθα (ἴσως καὶ οὗτος πηγάσει σοι τροφὴν, καθάπερ τῇ Σαραφθίᾳ, καὶ μάλιστα εἰ τύχοις (78) Ἠλίαν τρέφουσα), καλὴν εὐπορίαν εἰδέναι, τὸ διὰ Χριστὸν ἀπορεῖν, τὸν δι' ἡμᾶς πτωχεύσαντα. Εἰ κωφὸς ἦσθα καὶ ἄλαλος, ὁ Λόγος ἐνηχησάτω σοι· μᾶλλον δὲ κάτασχε τὸν ἐνηχήσαντα. Μὴ κλείσῃς τὰ ὦτα πρὸς παιδείαν Κυρίου καὶ νουθεσίαν, ὡς ἀσπὶς πρὸς ἐπᾴσματα. Εἰ τυφλὸς καὶ ἀφώτιστος, φώτισον τοὺς ὀφθαλμούς σου, μή ποτε ὑπνώσῃς εἰς θάνατον. Ἐν τῷ φωτὶ Κυρίου θέασαι φῶς, ἐν τῷ Πνεύματι τοῦ Θεοῦ τὸν Υἱὸν αὐγάσθητι, τὸ τρισσὸν φῶς καὶ ἀμέριστον. Ἐὰν ὅλον εἰσδέξῃ τὸν Λόγον, πάσας τὰς Χριστοῦ θεραπείας ἐπὶ τὴν σεαυτοῦ συνάξεις ψυχὴν, ἃς κατὰ μέρος ἕκαστος τεθεράπευται. Μόνον μὴ ἀγνοήσῃς τὸ μέτρον τῆς χάριτος· μόνον μὴ καθεύδοντί σοι καὶ ἀμεριμνοῦντι κακῶς ἐπισπείρῃ ὁ ἐχθρὸς τὰ ζιζάνια· μόνον ἐπίφθονος τῷ πονηρῷ γεγονὼς διὰ τὴν καθαρότητα, μὴ πάλιν σεαυτὸν ἐλεεινὸν καταστήσῃς διὰ τῆς ἁμαρτίας· μόνον μὴ τῷ ἀγαθῷ περιχαρεὶς (79), καὶ ὑψωθεὶς ἄμετρα, καταπέσῃς ἐν τῷ ἐπαρθῆναι· μόνον ἀεὶ φιλοπόνει τὴν κάθαρσιν, ἀναβάσεις ἐν τῇ καρδίᾳ τιθέμενος (80)· καὶ ἧς ἔτυχες κατὰ δωρεὰν ἀφέσεως, ταύτην ἐπιμελείᾳ συντήρησον· ἵνα τὸ μὲν ἀφεθῆναί σοι παρὰ Θεοῦ, τὸ δὲ συντηρηθῆναι, καὶ παρὰ σοῦ γένηται (81).

[44] Psal. LXVII, 7. [45] Luc. XVII, 12 sqq. [46] Luc. VI, 6. [47] III Reg. XVII, 9. [48] Marc. VII, 32. [49] Luc. XVIII, 35. [50] Psal. XII, 4. [51] Psal. XXXV, 10. [52] Matth. XIII, 25. [53] Psal. LXXXIII, 6.

(74) *Κατασφιγγῇς*. Sic quatuor Regg., Or. 1, etc. In ed., κατασφιγχθῇς.

(75) *Γνῶ*. Coisl. 1, γνῷς.

(76) *Ἕξεις*. Duo Regg., ἔχῃς

(77) *Ἐξήραινε*. Reg. ph et Basilien. edit., ἐξήρανε.

(78) *Τύχοις*. In nonnullis, τυχῇς.

(79) *Περιχαρείς*. Reg. bm, περιχαρῇς.

(80) *Τιθέμενος*. Reg. bm, ἐπιτιθέμενος.

(81) *Καὶ παρὰ σοῦ γένηται*. Deest καὶ in Reg. ph. Billius in prima editione: « tibi ex parte ascribatur. » In secunda: « tum (tua) quoque aliqua ex parte sit. » Nihil necesse erat addere, « aliqua ex parte. » Non enim Deus nos salvat sine nobis. Prima gratia sine nobis; altera non prorsus sine nobis, sed etiam a nobis.

ΛΕ'. Γενήσεται δὲ πῶς; Ἀεὶ τῆς παραβολῆς ἐκείνης μέμνησο, καὶ σεαυτῷ βοηθήσεις ἄριστά τε καὶ τελεώτατα. Ἐξῆλθεν ἀπὸ σοῦ τὸ ἀκάθαρτον καὶ ὑλικὸν πνεῦμα, διωχθὲν τῷ βαπτίσματι. Οὐ φέρει τὸν διωγμόν· οὐ δέχεται (82) ἄοικον εἶναι καὶ ἀνέστιον. Πορεύεται δι' ἀνύδρων τόπων, καὶ ξηρῶν θείας ἐπιῤῥοῆς· ἐκεῖ φιλοχωρῆσαι βούλεται· πλανᾶται ζητοῦν ἀνάπαυσιν, οὐχ εὑρίσκει· βεβαπτισμέναις ἐντυγχάνει ψυχαῖς, ὧν τὴν κακίαν τὸ λουτρὸν ἐξέκλυσεν· φοβεῖται τὸ ὕδωρ· ἐμπνίγεται τῇ καθάρσει, καθάπερ ὁ Λεγεὼν τῇ θαλάσσῃ. Πάλιν ὑποστρέφει πρὸς τὸν (83) οἶκον, ὅθεν ἀνεχώρησεν. Ἀναίσχυντόν ἐστι, φιλόνεικόν ἐστι, προσβάλλει πάλιν, πειρᾶται πάλιν. Ἐὰν μὲν εὕρῃ Χριστὸν εἰσοικισθέντα, καὶ πληρώσαντα τὴν χώραν ἣν αὐτὸς ἐκένωσεν· ἀπεκρούσθη πάλιν, ἀπῆλθεν ἄπρακτον, ἐλεεινὸν (84) ἐγένετο τῆς περιπλανήσεως. Ἐὰν δὲ σεσαρωμένον καὶ κεκοσμημένον τὸν ἐν σοὶ τόπον εὕρῃ, κενὸν καὶ ἄπρακτον, ἕτοιμον ἐπίσης πρὸς ὑποδοχὴν τοῦδε ἢ τοῦδε τοῦ προκαταλαβόντος, εἰσεπήδησεν, εἰσῳκίσθη μετὰ πλείονος τῆς παρασκευῆς, καὶ γίνεται (85) τὰ ἔσχατα χείρονα τῶν προτέρων (86), ὅσῳ τότε μὲν ἐλπὶς ἦν διορθώσεώς τε καὶ ἀσφαλείας (87)· νῦν δὲ πρόδηλος ἡ κακία, τῇ φυγῇ τοῦ καλοῦ τὸ πονηρὸν ἕλκουσα· καὶ διὰ τοῦτο βεβαιοτέρα (88) τῷ οἰκήτορι ἡ κατάσχεσις.

XXXV. Quomodo autem id assequeris? Fac tibi parabola illa semper in animo hæreat, et tibi optime ac præstantissime consulueris. Excessit a te impurus et crassus spiritus, per baptismum ejectus ac profligatus. Disrumpitur se in fugam conjectum; non patitur se domo et tecto carere; ambulat per loca inaquosa, divinoque rore minime perfusa; illic commorari gestit; vagatur, quærens requiem, non invenit [54]; animas baptismo consignatas offendit, quarum vitia lotione obruta sunt; aquam perhorrescit; lustricis undis, non secus ac Legio marinis, suffocatur [55]. Rursus, in domum, e qua recesserat, revertitur. Impudens est, pervicax est, rursus impetum facit, rursus tentat. Ac si quidem Christum in ea inhabitantem invenerit, et locum quem vacuum reliquerat, ab eo impletum; rursus propellitur et propulsatur, infectis rebus discedit, oberrationisque nomine miser et calamitosus exsistit. Sin autem animæ tuæ sedem, scopis quidem mundatam et ornatam, cæterum vacuam et inertem, atque ad hunc aut illum excipiendum, uter tandem prior invaserit, æque comparatam repererit, in eam insiliet, **720** et cum majori apparatu immigrabit, fientque novissima tanto pejora prioribus, quanto quidem tum emendationis et præsidii a baptismate spes erat: nunc autem perspicua et manifesta est pravitas, per boni fugam malum attrahens; ob idque firmior jam et stabilior habitatori possessio.

ΛϚ'. Πάλιν ὑπομνήσω σε τῶν φωτισμῶν, καὶ πολλάκις ἐκ τῶν θείων λογίων τούτους ἀναλεγόμενος. Αὐτός τε γὰρ ἡδίων ἔσομαι τῇ τούτων μνήμῃ, (τί γὰρ φωτὸς ἥδύτερον, τοῖς φωτὸς (89) γευσαμένοις;) καὶ σὲ περιαστράψω τοῖς λεγομένοις. *Φῶς μὲν ἀνέτειλε τῷ δικαίῳ*, καὶ ἡ τούτου σύζυγος εὐφροσύνη· *Φῶς* δὲ *δικαίοις διὰ παντός*. *Φωτίζεις* δὲ *σὺ θαυμαστῶς ἀπὸ ὀρέων αἰωνίων*, πρὸς τὸν Θεὸν λέγεται· ἀγγελικῶν, οἶμαι, δυνάμεων, αἳ συνεργοῦσιν ἡμῖν πρὸς τὰ κρείττονα. *Κύριος* δὲ *φωτισμός μου, καὶ σωτήρ μου· τίνα φοβηθήσομαι;* Τοῦ Δαβὶδ ἤκουσας λέγοντος· καὶ ποτὲ μὲν αἰτοῦντος (90) ἐξαποσταλῆναι τὸ φῶς αὐτῷ καὶ τὴν ἀλήθειαν· ποτὲ δὲ εὐχαριστοῦντος, ὅτι καὶ (91) τούτου μετείληφεν, ἐν τῷ σημειωθῆναι τὸ τοῦ Θεοῦ φῶς ἐπ' αὐτὸν, τουτέστιν ἐνσημανθῆναι καὶ γνωρισθῆναι (92) τὰ σημεῖα τῆς δεδομένης (93) ἐλλάμψεως. Ἓν μόνον φῶς φύγωμεν, τὸ τοῦ πικροῦ πυρὸς ἔκγονον. Μὴ πορευθῶμεν (94) τῷ φωτὶ τοῦ πυρὸς ἡμῶν, καὶ τῇ φλογὶ ᾗ ἐξεκαύσαμεν. Οἶδα γὰρ πῦρ (95) καθαρτήριον, ὃ Χριστὸς

XXXVI. Rursus enimvero, ac sæpius tibi Luminum memoriam refricabo, ex litterarum sacrarum monumentis ea colligens. Nam et ipse iis commemorandis exhilarescam. (Quid enim lumine dulcius et jucundius, his qui lumen degustarunt?) Et oculos tuos his verbis perstringam: *Lux orta est justo*, et huic conjuncta *lætitia* [56]; et *Lux justis omni tempore* [57]. Quin etiam quidam Deum ad hunc modum affatur: *Illuminas tu mirabiliter a montibus æternis* [58.88]; hoc est, ut opinione assequor, ab angelicis virtutibus, quæ nobis ad optima quæque adjumento sunt. Jam Davidem quoque his verbis utentem audis: *Dominus illuminatio mea*, et *Salvator meus*, *quem timebo* [89]? Qui etiam nunc sibi lucem et veritatem emitti postulat [90]; nunc ob eam sibi impertitam gratias agit, cum lumen Dei super se signatum esse ait [91], hoc est, impressa et cognita esse datæ illuminationis signa. Unum illud lumen fugiamus, quod ex sævo igne nascitur. Ne in ignis nostri lumine ambulemus, et in flamma quam accendimus.

[54] Luc. xi, 24 sqq. [55] Marc. v, 9 sqq. [56] Psal. xcvi, 11. [57] Isa. lx, 19. [58.88] Psal. lxxv, 5. [89] Psal. xxvi, 1. [90] Psal. xlii, 3. [91] Psal. iv, 7.

(82) *Δέχεται.* Reg. Maz., καταδέχεται.
(83) *Πρὸς τόν.* In nonnullis, εἰς τόν.
(84) *Ἄπρακτον, ἐλεεινόν.* Sic duo Colb. et Coisl. 1. In ed., ἄπρακτος, ἐλεεινός.
(85) *Καὶ γίνεται.* Sic plures Regg. et Comb. Deest καί in ed.
(86) *Προτέρων.* In nonnullis, πρώτων.
(87) *Ἀσφαλείας.* Jes., ἐπιμελείας.
(88) *Βεβαιότερα.* Coisl. 1 addit, πῶς.
(89) *Φωτός.* Deest in Par.
(90) *Αἰτοῦντος.* Sic tres Regg., etc. In ed. et quibusdam codd., ἐξαιτοῦντος.
(91) *Ὅτι καί.* Sic plures Regg., etc. Deest καί in ed.
(92) *Γνωρισθῆναι.* Reg. ph, γνωσθῆναι.
(93) *Δεδομένης.* Sic sex Regg. In ed., διδομένης.
(94) *Μὴ πορευθῶμεν*, etc. Alludit ad Isaiæ verba l, 11: « Ambulate in lumine ignis vestri, et in flammis quas succendistis. »
(95) *Οἶδα γὰρ πῦρ.* Sic Regg. bm, ph et Comb. Deest γάρ in ed.

Ignem etiam purgantem novi, ad quem mittendum A Christus in terram venit [92], qui et ipse mystice ignis appellatur. Hujus porro ignis ea vis est, ut crassiorem materiam, ac vitiosam animi affectionem absumat, eumque proinde celerrime Christus accendi vult. Cupit enim nos quamprimum beneficio affici; utpote qui nobis quoque ignis carbones auxilii causa porrigat. Est alter ignis non purgans, sed scelerum vindex; sive Sodomiticus ille [93], quem sulphure et procella permistum [94], Deus in peccatores omnes fundit; sive ille, qui diabolo ejusque angelis paratus est [95]; sive etiam ille, qui ante faciem Domini procedit, et in circuitu inimicos ejus inflammat [96]; sive denique ille omnibus his formidabilior; qui cum insomni illo verme conjunctus est, nec unquam exstinguitur, verum in sceleratorum hominum **721** B pœnam perennis est et sempiternus. Hi enim omnes eam vim habent, ut perdant ac deleant; nisi tamen hoc quoque loco quispiam ignem mitiorem, et ut Deo vindice dignum est, intelligendum putet.

XXXVII. Quemadmodum porro duplex ignis genus est, ita duplex quoque lumen est: alterum, quo princeps animi nostri pars illustratur, ac nostri secundum Deum gressus reguntur; alterum, fallax et curiosum, veroque lumini oppositum, atque interim tamen illius speciem præ se ferens, ut nos externa specie fallat, et in fraudem impellat. Hoc, et caligo est, et meridies esse videtur, id est, clarissima luminis pars. Sic enim illud Scripturæ audio, iis qui semper in meridianis tenebris fugiunt [97]. Hoc, et nox est, et splendor existimatur, his utique, qui deliciis et voluptatum illecebris corrupti sunt. Quid enim ait David! Nox me miserum circumstabat, et nesciebam: delicias enim lumen esse arbitrabar [98]. Atque illi quidem tales sunt, animoque ita affecti: C nos vero scientiæ lumen nobisipsis excitemus; quod quidem nobis hac ratione continget, si *ad justitiam seminemus* [99], et vitæ fructum vindemiemus (actio quippe contemplationem parit); ut cum alia, tum hoc quoque, nempe quod verum lumen, quod rursus fictum et ementitum sit, intelligamus, nec in malum, tanquam in bonum, per imprudentiam labamur. Lumen efficiamur, ut discipuli a magno Lumine vocati sunt, his verbis: *Vos estis lux mundi* [1]. Efficiamur luminaria in mundo, verbum vitæ sustinentes, hoc est, vitalis aliis hominibus vis et facultas. Arripiamus deitatem, arripiamus primum et puris- D simum Lumen. Ad ipsius splendorem incedamus, priusquam pedes nostri ad tenebrosos et hostiles

A ἦλθε βαλεῖν ἐπὶ τῆς γῆς (96), πῦρ καὶ αὐτὸς ἀναγωγῆς λόγοις (97) καλούμενος. Ἀναλωτικὸν τοῦτο τῆς ὕλης καὶ τῆς πονηρᾶς ἐστιν ἕξεως, ὃ καὶ ἀναφθῆναι τάχιστα βούλεται. Ποθεῖ γὰρ τῆς εὐεργεσίας τὸ τάχος· ἐπεὶ καὶ πυρὸς ἄνθρακας δίδωσιν ἡμῖν εἰς βοήθειαν. Οἶδα καὶ πῦρ οὐ καθαρτήριον, ἀλλὰ καὶ (98) κολαστήριον· εἴτε καὶ Σοδομιτικὸν, ὃ πᾶσιν ἁμαρτωλοῖς ἐπιβρέχει θείῳ καὶ καταιγίδι μιγνύμενον· εἴτε τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ· εἴτε ὃ πρὸ προσώπου Κυρίου πορεύεται, καὶ φλογιεῖ κύκλῳ τοὺς ἐχθροὺς αὐτοῦ· καὶ τὸ (99) τούτων ἔτι φοβερώτερον· ὃ τῷ ἀκοιμήτῳ σκώληκι (1) συντέτακται, μὴ σβεννύμενον, ἀλλὰ διαιωνίζον (2) τοῖς πονηροῖς. Πάντα γὰρ ταῦτα τῆς ἀφανιστικῆς ἐστι δυνάμεως· εἰ μή τῳ φίλον κἀνταῦθα B νοεῖν τοῦτο φιλανθρωπότερον (3), καὶ τοῦ κολάζοντος ἐπαξίως.

ΛΖ'. Ὥσπερ δὲ πῦρ οἶδα διπλοῦν, οὕτω καὶ φῶς· τὸ μὲν, τὴν τοῦ ἡγεμονικοῦ λαμπάδα, κατευθῦνον ἡμῖν τὰ κατὰ Θεὸν διαβήματα· τὸ δὲ, ἀπατηλὸν καὶ περίεργον, καὶ τοῦ ἀληθινοῦ φωτὸς ἀντίθετον, ἐκεῖνο (4) εἶναι ὑποκρινόμενον, ἵνα κλέπτῃ τῷ φαινομένῳ· τοῦτο καὶ σκοτία ἐστὶ, καὶ μεσημβρία δοκεῖ, τὸ τοῦ φωτὸς ἀκμαιότατον. Οὕτως ἀκούω τοῖς διαπαντὸς ἐν μεσημβρινῇ σκοτίᾳ φεύγουσι. Τοῦτο καὶ νύξ ἐστι, καὶ φωτισμὸς νομίζεται (5) τοῖς ὑπὸ τῆς τρυφῆς διεφθαρμένοις. Τί γάρ φησιν ὁ Δαβίδ; Νὺξ ἦν περὶ ἐμὲ τὸν δείλαιον καὶ ἠγνόουν· φωτισμὸν γὰρ εἶναι τὴν τρυφὴν ὑπελάμβανον. Ἀλλ' ἐκεῖνοι μὲν τοιοῦτοι, καὶ οὕτως ἔχοντες· ἡμεῖς δὲ φωτίσωμεν ἑαυτοῖς φῶς γνώσεως· ἔσται δὲ τοῦτο, C ἐκ τοῦ σπείρειν εἰς δικαιοσύνην, καὶ τρυγᾷν καρπὸν ζωῆς (πρᾶξις γὰρ, θεωρίας πρόξενος), ἵνα τά τε ἄλλα καὶ τοῦτο μάθωμεν, τί μὲν τὸ ἀληθινὸν φῶς, τί δὲ τὸ ψευδόμενον, καὶ μὴ λάθωμεν περιπεσόντες, ὡς καλῷ, τῷ χείρονι. Γενώμεθα φῶς, ὥσπερ οἱ μαθηταὶ παρὰ τοῦ μεγάλου Φωτὸς ἤκουσαν, *Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου*, λέγοντος. Γενώμεθα φωστῆρες ἐν κόσμῳ, λόγον ζωῆς ἐπέχοντες, τουτέστι ζωτικὴ τοῖς ἄλλοις δύναμις. Λαβώμεθα θεότητος, λαβώμεθα τοῦ πρώτου καὶ ἀκραιφνεστάτου Φωτός. Ὁδεύσωμεν πρὸς τὴν λάμψιν αὐτοῦ, πρὸ τοῦ προσκόψαι τοὺς πόδας ἡμῶν ἐπ' ὄρη σκοτεινὰ καὶ πολέμια. D Ἕως ἡμέρα ἐστὶν, *ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατήσωμεν, μὴ κώμοις καὶ μέθαις, μὴ κοίταις καὶ ἀσελγείαις*, ἃ νυκτός ἐστι κλέμματα.

[92] Luc. XII, 49. [93] Gen. XIX, 24. [94] Psal. X, 7. [95] Matth. XXV, 41. [96] Psal. XCVI, 3. [97] Isa. V, 20. [98] Psal. CXXXVIII, 11, seqq. [99] Ose. X, 12. [1] Matth. V, 14.

(96) *Ἐπὶ τῆς γῆς*. Tres Regg. et Or. 1, ἐπὶ τὴν γῆν.

(97) *Ἀναγωγῆς λόγοις*. « Anagogice, » id est « mystice. »

(98) *Ἀλλὰ καί*. Sic duo Regg. Deest καί in ed.

(99) *Καὶ τό*. Sic sex Regg., tres Colb. et Comb. Deest τό in ed.

(1) *Ἀκοιμήτῳ σκώληκι*. Alludit ad hæc verba Isaiæ, LXVI, 24, vel Marc. IX, 43: « Vermis eorum non moritur. »

(2) *Διαιωνίζον*. Sic duo Coisl., etc. In ed., διαιωνίζων.

(3) *Φιλανθρωπότερον*. « Ignem mitiorem, » qui videlicet non perdat ac deleat, ut Sodomiticus, et qui reprobis destinatus est; sed qui malos in tempore ulciscatur, et a peccatis emundet. De quo Aug. « Hic ure, hic seca, modo in æternum parcas. »

(4) *Ἐκεῖνο*. Sic Par. et Hervag. In ed., ἐκεῖνον.

(5) *Νομίζεται*. In Reg. bm, γρ. ὀνομάζεται, « nominatur. »

montes offendant. Quandiu dies est, *sicut in die honeste ambulemus non in comessationibus et ebrietatibus, non in cubilibus et impudicitiis* [2], quæ noctis furta sunt.

ΛΗ'. Πᾶν μέλος καθαρισθῶμεν (6), ἀδελφοί, πᾶσαν A ἁγνίσωμεν αἴσθησιν· μηδὲν ἀτελὲς ἡμῖν ἔστω, μηδὲ τῆς πρώτης γενέσεως, μηδὲν ἀφώτιστον καταλείπωμεν (7). Φωτισθῶμεν τὸν ὀφθαλμὸν, ἵν' ὀρθὰ βλέπωμεν, καὶ μηδὲν εἴδωλον πορνικὸν ἐν ἡμῖν αὐτοῖς φέρωμεν (8) ἐκ φιλοπόνου θέας καὶ περιέργου. Κἂν γὰρ τῷ πάθει μὴ προσκυνήσωμεν, ἀλλὰ τὴν ψυχὴν ἐμολύνθημεν. Εἴ τις δοκὸς ἐν ἡμῖν, εἴ τι κάρφος, ἀνακαθαίρωμεν· ἵνα καὶ τὰ τῶν ἄλλων ὁρᾷν δυνώμεθα. Φωτισθῶμεν ἀκοὴν, φωτισθῶμεν γλῶσσαν· ἵνα ἀκούσωμεν, τί λαλήσει Κύριος ὁ Θεὸς, καὶ ἀκουστὸν ἡμῖν γένηται τὸ πρωϊνὸν ἔλεος, καὶ ἀκουτισθῶμεν ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀκοαῖς θείαις ἐνηχουμένην· ἵνα μὴ ὦμεν μάχαιρα ὀξεῖα, μηδὲ ξυρὸν ἠκονημένον, μηδὲ ὑπὸ τὴν γλῶσσαν στρέφωμεν κόπον καὶ πόνον, ἀλλὰ λαλῶμεν Θεοῦ σοφίαν ἐν μυστηρίῳ, τὴν B ἀποκεκρυμμένην, τὰς πυρίνας γλώσσας αἰδούμενοι. Ἰαθῶμεν ὄσφρησιν, (9) ἵνα μὴ θηλυνώμεθα, μηδὲ ἀντὶ ὀσμῆς (10) ἡδείας κονιορτώμεθα· ἀλλ' ὀσφραινώμεθα (11), τοῦ ἐκκενωθέντος δι' ἡμᾶς μύρου πνευματικῶς ἀντιλαμβανόμενοι, καὶ τοσοῦτον ἐξ αὐτοῦ ποιούμενοι καὶ μεταποιούμενοι, ὥστε καὶ αὐτῶν (12) ἡμῶν ὀσφραίνεσθαι ὀσμὴν εὐωδίας. Καθαρθῶμεν ἀφὴν, γεῦσιν, λάρυγγα, μὴ μαλακῶς ἐπαφώμενοι, καὶ λειότησι χαίροντες, ἀλλὰ τὸν σαρκωθέντα δι' ἡμᾶς Λόγον ψηλαφῶντες, ὡς ἄξιον, καὶ Θωμᾶν κατὰ τοῦτο μιμούμενοι· μὴ χυμοῖς καὶ ὄψοις γαργαλιζόμενοι, τοῖς ἀδελφοῖς τῶν πικροτέρων (13) γαργαλισμῶν, ἀλλὰ γευόμενοι καὶ γινώσκοντες, ὅτι χρηστὸς ὁ Κύριος τὴν κρείττω γεῦσιν καὶ μένουσαν· μηδὲ μικρὰ (14) τὸν πικρὸν καὶ ἀχάριστον ἀγωγὸν ἀνα- C ψύχοντες, τὸν παραπέμποντα, καὶ οὐ κατέχοντα τὸ διδόμενον, ἀλλὰ τοῖς γλυκυτέροις μέλιτος λόγοις τοῦτον εὐφραίνοντες.

XXXVIII. Omnibus membris purificemur, fratres, omnes sensus purgemus; nihil in nobis sit imperfectum, nihil quod primam nativitatem oleat, nihil denique luminis expers relinquamus. Illuminemur oculis, ut recte cernamus, nec meretricium ullum et obscenum simulacrum, ex studioso et curioso aspectu conflatum, in nobis circumferamus; alioqui enim, etiamsi libidinem non adoremus, **722** anima tamen ipsa sordes contraxerit. Si qua in nobis trabes, si qua festuca, eam evellamus; ut et aliorum trabes et festucas perspicere queamus. Illuminemur auribus, illuminemur lingua : partim ut, quid loquatur Dominus Deus [3], audiamus, et auditam faciat nobis mane misericordiam suam [4], atque exsultatio illa, et lætitia, quæ sanctis et divinis auribus insonat, auditui nostro infundatur : partim ne gladius acutus [5], aut novacula acuta [6] simus, ac sub lingua laborem et dolorem [7] versemus, sed Dei sapientiam in mysterio, quæ abscondita est, loquamur [8], igneas linguas reveriti. Olfactu curemur, ut ne effeminemur, suavisque odoris loco, pulvere conspergamur; verum unguentum illud, nostra causa effusum, odoremur, spirituali modo illud percipientes, atque ab eo ita efformati, et commutati, ut ex nobis quoque suavis odor affletur. Purgemur tactu, gustu, faucibus, non molliter tangentes, nec rebus lævibus et politis gaudentes, sed Verbum, salutis nostræ causa incarnatum, ut decet, attrectantes, ac Thomam hac in re imitantes; nec succis cupediisque titillati, acriorum titillationum fratribus, sed gustantes et agnoscentes, quoniam suavis est Dominus [9], præstantiori gustu ac permanente; nec denique acerbas illas et ingratas fauces, quæ id, quod datur, transmittunt, nec unquam retinent, paululum recreantes, sed divinis sermonibus, qui melle dulciores sunt [10], eas oblectantes.

ΛΘ'. Καὶ πρὸς τοῖς εἰρημένοις ἔτι (15) καλὸν, τὴν κεφαλὴν καθαιρομένους, ὡς καθαίρεται κεφαλὴ, τὸ τῶν αἰσθήσεων ἐργαστήριον, κρατεῖν τὴν Χριστοῦ κεφαλὴν (16), ἐξ ἧς πᾶν τὸ σῶμα συναρμολογεῖται καὶ συμβιβάζεται· καὶ τὴν ὑπεραίρουσαν ἡμῶν ἁμαρτίαν κάτω βάλλειν, ὑπεραιρομένην τῷ κρείττονι. Καλὸν καὶ ὦμον ἁγιάζεσθαι καὶ καθαίρεσθαι, ἵνα δυνηθῇ τὸν σταυρὸν αἴρειν Χριστοῦ, μὴ παντὶ ῥᾳδίως

XXXIX. Præclarum insuper fuerit, purgato capite, ut pars ea, quæ sensuum domicilium et officina est, purgari solet, Christi caput, ex quo corpus omne construitur [11] et conglutinatur, tenere; ac peccatum, supra nos sese efferens, atque in præstantiorem nostri partem imperium sibi arrogans, consternare. Præclarum etiam humeris sanctificari ac purgari, ut Christi crucem tollere queant, quam

[2] Rom. XIII, 13. [3] Psal. LXXXIV, 9. [4] Psal. CXLII, 8. [5] Psal. LVI, 5. [6] Psal. LI, 4. [7] Psal. X, 7. [8] I Cor. II, 7. [9] Psal. XXXIII, 9. [10] Psal. XVIII, 11. [11] Coloss. II, 19.

(6) *Καθαρισθῶμεν*. In nonnullis, καθαρίσωμεν. « Omnia membra purificemus. » D

(7) *Καταλείπωμεν*. Plures Regg. et Comb., καταλίπωμεν.

(8) *Φέρωμεν*. Comb., περιφέρωμεν. Ita videtur legisse Bill.

(9) *Ὄσφρησιν*. Sic plerique codd. In ed., ὄσφησιν.

(10) *Ἀντὶ ὀσμῆς*. Sic quatuor Regg., Coisl. 1, Par., Comb., etc. Sic etiam legit Billius. In ed., ἀντὶ τιμῆς, « honoris loco. »

(11) *Ὀσφραινώμεθα*. Tres Regg., Coisl. 1, Or. 1 et Jes., εὐφραινώμεθα, « lætemur. »

(12) *Αὐτῶν*. Regg. ph, septem Colb. et Comb., αὐτόν. « Ut et ipsum (unguentum) ex nobis suavi odore affletur. »

(13) *Τοῖς ἀδελφοῖς τῶν πικροτέρων*. Sic omnes codd. In ed. desunt τοῖς ἀδελφοῖς.

(14) *Μικρά*. Hanc vocem delevit Billius in ed. Bas.

(15) *Εἰρημένοις ἔτι*. Sic plures Regg. et Colb. Sic Coisl. 1, Or. 1, etc. Deest ἔτι in ed.

(16) *Χριστοῦ κεφαλήν*, etc. Comb., Χριστὸν, « Christum, qui, » ut optime exponit Nicetas, « caput est, et principatum habet in mystico Ecclesiæ corpore, et caput nostrum est. »

non facile quilibet ferre potest. Præclarum item manibus et pedibus lustrari : illæ nempe, ut in omni loco puræ attollantur, Christique disciplinam, ne irascatur Dominus, apprehendant [12], ac per opera divinum sermonem sibi creditum probent, quemadmodum ille qui datus est, in manu cujusdam prophetæ [13]. his autem, ne ad fundendum **723** sanguinem [14] præcipites ruant, atque ad vitium cursu ferantur; verum ad Evangelium, supernæque vocationis [15] palmam prompti ac parati sint, Christumque abluentem atque purgantem suscipiant. Quod si qua ventris quoque illius, qui cibos e Verbo procedentes capit ac distribuit, perpurgandi ratio est, præclarum etiam fuerit cavere, ne cum luxu et diffluentibus cibis Deum efficiamus; quin potius illum accuratissime purgemus et extenuemus, ut Verbum Domini intimo sinu suscipiat, ac pro peccante Israele in honesto et laudabili dolore versetur. Jam cordi quoque et intestinis honorem haberi comperio. Hoc mihi David persuadet, cum cor mundum in seipso creari, ac Spiritum rectum in visceribus innovari [16], postulat. Quibus verbis, ut opinor, ea animæ facultas, qua cogitamus, atque hujus motus aut cogitationes significantur.

A αἰρόμενον. Καλὸν καὶ τὰς χεῖρας τελειοῦσθαι, καὶ τοὺς πόδας· τὰς μὲν, ὡς ἐν παντὶ τόπῳ ὁσίας (17) αἴρεσθαι, καὶ δράσσεσθαι τῆς Χριστοῦ παιδείας, μή ποτε ὀργισθῇ Κύριος, καὶ πιστεύεσθαι λόγον διὰ τοῦ πρακτικοῦ, ὡς τὸν ἐν τῇ χειρὶ τοῦδε τοῦ προφήτου (18) δεδομένον· τοὺς δὲ, μὴ ὀξεῖς εἶναι πρὸς τὸ ἐκχέειν αἷμα, μηδὲ εἰς κακίαν τρέχοντας· ἀλλ' ἑτοίμους εἰς τὸ Εὐαγγέλιον, καὶ πρὸς τὸ βραβεῖον τῆς ἄνω κλήσεως, καὶ Χριστὸν ὑπονίπτοντα καὶ καθαίροντα δέχεσθαι. Εἴ τις ἐστὶ καὶ κοιλίας κάθαρσις, χωρητικῆς (19) καὶ ἀναδοτικῆς τῶν ἐκ τοῦ Λόγου τροφῶν (20), καλὸν καὶ ταύτην μὴ θεοποιεῖν ἐκ τρυφῆς καὶ τῆς καταργουμένης βρώσεως· ἀλλὰ καθαίρειν ὅτι μάλιστα, καὶ ποιεῖν λεπτοτέραν, ὥστε τὸν Λόγον Κυρίου ἐν μέσῃ δέχεσθαι, καὶ ἀλγεῖν καλῶς
B ὑπὲρ τοῦ Ἰσραὴλ πταίοντος. Εὑρίσκω καὶ τὴν καρδίαν καὶ τὰ ἐντὸς (21), τιμῆς ἀξιούμενα. Πείθει με τοῦτο Δαβὶδ, καρδίαν καθαρὰν ζητῶν ἐν ἑαυτῷ κτίζεσθαι, καὶ Πνεῦμα εὐθὲς ἐν τοῖς ἐγκάτοις ἐγκαινίζεσθαι. Τὸ διανοητικὸν, οἶμαι, τούτῳ (22) δηλῶν, καὶ τὰ τούτου κινήματα, ἢ διανοήματα.

XL. Quid lumbi? Quid renes? Nam ne hoc quidem prætereundum est. Attingat hæc quoque purgatio. Sint lumbi nostri succincti, ac per continentiam restricti, quemadmodum Israeli olim, ex legis præscripto [17], pascha comedenti. Nemo enim pure ac perfecte ex Ægypto excedit, nec exterminatorem fugit, nisi hæc domuerit ac frenaverit. Renes autem laudabilem immutationem sentiant, vim totam appetitus ad Deum transferentes, ut dicere queamus : *Domine, ante te omne desiderium meum* [18]. Et, *Diem hominis non desideravi* [19]. Viros etenim spiritualium desideriorum [20] nos esse convenit. Nam ita demum draconem illum, cujus vires maxima ex parte in umbilico et lumbis sitæ sunt, oppresserimus, exstincta videlicet eversaque ea potentia, quam in his partibus obtinet. Nec vero tibi mirandum accidat, quod minus honestis corporis partibus uberiorem honorem [21] tribuo, eas sermone mortificans et castigans, atque adversus materiam stans in procinctu. Omnia membra, quæ sunt super terram, Deo demus, omnia consecremus; non autem fibram solum hepatis, non renes cum adipe,

ΜΓ'. Τί δὲ ἡ ὀσφύς; Τί δὲ οἱ νεφροί; Μηδὲ γὰρ τοῦτο παρέλθωμεν. Ἁπτέσθω καὶ τούτων ἡ κάθαρσις· ἔστωσαν ἡμῶν (23) αἱ ὀσφύες περιεζωσμέναι, καὶ ἀνεσταλμέναι (24) δι' ἐγκρατείας, ὥσπερ τῷ Ἰσραὴλ πάλαι, κατὰ τὸν νόμον, τοῦ πάσχα μεταλαμβάνοντι (25). Οὐδεὶς γὰρ καθαρῶς Αἴγυπτον ἐξέρχε-
C ται, οὐδὲ φεύγει τὸν ὀλοθρεύοντα, μὴ ταῦτα παιδαγωγήσας. Οἱ δὲ τὴν καλὴν ἀλλοίωσιν ἀλλοιούσθωσαν, ὅλον τὸ ἐπιθυμητικὸν πρὸς Θεὸν μεταφέροντες, ὥστε δύνασθαι λέγειν· *Κύριε, ἐναντίον σου πᾶσα ἡ ἐπιθυμία μου*· καὶ, *Ἡμέραν ἀνθρώπου οὐκ ἐπεθύμησα*. Δεῖ γὰρ γενέσθαι ἄνδρα ἐπιθυμιῶν τῶν τοῦ Πνεύματος. Οὕτως ἂν ἡμῖν (26) καὶ ὁ τὸ πλεῖστον τῆς ἰσχύος ἐπὶ τοῦ ὀμφαλοῦ καὶ τῆς ὀσφύος φέρων δράκων καταλυθείη, τῆς περὶ ταῦτα δυναστείας αὐτῷ νεκρωθείσης. Μὴ θαυμάσῃς δὲ, εἰ καὶ τοῖς ἀσχήμοσιν ἡμῶν, τιμὴν περισσοτέραν τίθημι (27), λόγῳ νεκρῶν ταῦτα καὶ σωφρονίζων, καὶ κατὰ τῆς ὕλης ἱστάμενος. Πάντα δῶμεν Θεῷ τὰ μέλη ἐπὶ τῆς γῆς, πάντα καθιερώσωμεν. Μὴ λοβὸν ἥπατος, μηδὲ νεφροὺς μετὰ
D τῆς πιμελῆς, μηδὲ τὸ (28) μέρος τοῦ σώματος, μηδὲ τὸ καὶ τό. Διὰ τί γὰρ τὰ ἄλλα ἡμῖν ἀτιμαστέα; Ὅλους δὲ

[12] Psal. II, 12. [13] Jerem. L, 1. [14] Psal. XIII, 3. [15] Philipp. III, 14. [16] Psal. L, 12. [17] Exod. XII, 11. [18] Psal. XXXVII, 10. [19] Jerem. XVII, 16. [20] Dan. IX, 23. [21] I Cor. XII, 23.

(17) *Ὁσίας*. Coisl. 1, ὁσίως.
(18) *Τοῦδε τοῦ προφήτου*. Basilius addit, εἴτουν τοῦ Μαλαχίου· οὕτως γὰρ ἑρμηνεύεται, « sive Malachiæ; sic enim interpretatur. » Vult igitur Basilius Gregorium allusisse ad hæc verba Malachiæ, c. 1, 1. « Onus verbi Domini Israel in manu Malachiæ. » Aggeus etiam sic exorditur, c. 1, 1. « Factum est verbum Domini in manu Aggæi prophetæ. »
(19) *Χωρητικῆς*. Nonnulli addunt, τε.
(20) *Τοῦ Λόγου τροφῶν*. « Cibos e Verbo procedentes. » Sic vertendum putamus ex consequentibus, ubi agitur « de Verbo Domini; » quamvis Nicetas id intelligat « de cogitationibus, » τῶν νοημάτων, et Billius « de mente, » sic vertens : « quod si qua ventris quoque illius, qui mentis cibos capit ac distribuit, » etc.
(21) *Ἐντός*. Coisl. 1, ἐνδόσθια.
(22) *Τούτῳ*. Quinque Regg., etc., οὕτω.
(23) *Ἡμῶν*. In nonnullis, ὑμῶν.
(24) *Ἀνεσταλμέναι*. Unus codex addit : καὶ οἱ λύχνοι καιόμενοι δι' ἐγκράτειαν· « et lucernæ ardentes per continentiam. »
(25) *Τῷ Ἰσραὴλ... μεταλαμβάνοντι*. Bas. ed., τοῦ Ἰσραὴλ... μεταλαμβάνοντος.
(26) *Ἡμῖν*. Sic quinque Regg., novem Colb. et Comb. In ed., ὑμῖν.
(27) *Τίθημι*. Duo Colb., Bas., Hervag. et Paulus, 1 Cor. XII, 23, περιτίθημι.
(28) *Μηδὲ τό*. Comb., μηδέ τι.

ἡμᾶς αὐτοὺς ἀνενέγκωμεν· γενώμεθα ὁλοκαυτώματα λογικά, θύματα τέλεια· μηδὲ τὸν βραχίονα μόνον, μηδὲ τὸ στηθύνιον μόνον, ἀφαίρεμα (29) ἱερατικὸν ποιώμεθα (30) (μικρὸν γὰρ τοῦτο)· ἀλλ' ὅλους διδόντες ἡμᾶς αὐτοὺς, ὅλους ἀντιλαμβάνωμεν· ἐπειδὴ τοῦτό ἐστι λαβεῖν καθαρῶς, τὸ τῷ Θεῷ δοθῆναι, καὶ ἱερουργῆσαι τὴν ἡμῶν αὐτῶν σωτηρίαν (31).

A non partem quamdam corporis, non hoc, aut illud. Cur enim alia contemnamus? Verum nos totos offeramus. Simus holocausta ratione prædita, victimæ perfectæ; nec brachium solum, aut pectusculum 724 sacerdoti attribuamus; nimis enim parvum hoc fuerit; verum nos ipsos totos Deo in munus offeramus, ut nos totos recipiamus; quandoquidem hoc est plane accipere, Deo donatum esse, et quasi rem sacram salutem nostram operari.

ΜΑ'. Ἐπὶ πᾶσι, καὶ πρὸ πάντων, φύλασσέ μοι τὴν καλὴν παρακαταθήκην, ᾗ ζῶ (32) καὶ πολιτεύομαι, ἣν καὶ συνέκδημον λάβοιμι, μεθ' ἧς καὶ ἀλγεινὰ πάντα φέρω, καὶ τερπνὸν ἅπαν (33) διαπτύω, τὴν εἰς Πατέρα, καὶ Υἱὸν, καὶ ἅγιον Πνεῦμα ὁμολογίαν. Ταύτην πιστεύω σοι σήμερον· ταύτῃ καὶ συμβαπτίσω καὶ συνανάξω (34) σε. Ταύτην δίδωμι παντὸς τοῦ βίου κοινωνὸν καὶ προστάτιν (35), τὴν μίαν θεότητά τε καὶ δύναμιν ἐν τοῖς τρισὶν εὑρισκομένην ἑνικῶς, καὶ τὰ τρία συλλαμβάνουσαν μεριστῶς· οὔτε ἀνώμαλον οὐσίαις ἢ φύσεσιν, οὔτε αὐξομένην (36), ἢ μειουμένην ὑπερβολαῖς καὶ ὑφέσεσι, πάντοθεν ἴσην, τὴν αὐτὴν πάντοθεν, ὡς ἓν οὐρανοῦ κάλλος καὶ μέγεθος· τριῶν ἀπείρων ἄπειρον συμφυΐαν, Θεὸν ἕκαστον καθ' ἑαυτὸ θεωρούμενον, ὡς Πατέρα καὶ Υἱὸν, ὡς Υἱὸν καὶ τὸ ἅγιον Πνεῦμα (37), φυλασσομένης ἑκάστῳ τῆς ἰδιότητος. Θεὸν τὰ τρία σὺν ἀλλήλοις νοούμενα, ἐκεῖνο διὰ τὴν ὁμοουσιότητα, τοῦτο διὰ τὴν μοναρχίαν. Οὐ φθάνω τὸ ἓν νοῆσαι, καὶ τοῖς τρισὶ περιλάμπομαι· οὐ φθάνω τὰ τρία διελεῖν, καὶ εἰς τὸ ἓν ἀναφέρομαι (38). Ὅταν ἕν τι τῶν τριῶν φαντασθῶ, τοῦτο νομίζω τὸ πᾶν, καὶ τὴν ὄψιν πεπλήρωμαι, καὶ τὸ πλεῖον διέφυγεν. Οὐκ ἔχω τὸ μέγεθος τούτου καταλαβεῖν, ἵνα δῶ τὸ πλεῖον τῷ λειπομένῳ. Ὅταν τὰ τρία συνέλω τῇ θεωρίᾳ, μίαν ὁρῶ λαμπάδα, οὐκ ἔχων διελεῖν ἢ μετρῆσαι τὸ φῶς ἑνιζόμενον.

XLI. Præter hæc omnia, imo ante hæc omnia, bonum depositum custodi[22], cui vivo, et pro quo milito, et quod utinam me ex hac vita discedentem comitetur, cum quo et omnes vitæ molestias perfero, et jucunditates omnes contemno ac pro nihilo duco; fidem, inquam, et confessionem in Patrem, et Filium, et Spi- B ritum sanctum. Hanc tibi hodierno die committo; cum hac te, et lustricis aquis immergam, et in altum extraham. Hanc tibi do totius vitæ sociam, et patronam, unam deitatem et potentiam, quæ in tribus conjunctim invenitur, et tria divisim comprehendit, nec substantiis aut naturis inæqualis est, nec præstantiis aut submissionibus augetur vel minuitur, sed undequaque æqualis est, undequaque eadem, non secus ac una cœli pulchritudo et magnitudo: trium infinitorum infinitam conjunctionem, Deum unumquemque, si separatim consideretur, ut Patrem sic Filium, ut Filium sic et Spiritum sanctum, servata sua cuique proprietate: Deum rursus tria hæc, si simul cogitentur; illud, propter C eamdem essentiam: hoc, propter unum principatum. Vix unum animo concepi, cum statim tribus circumfulgeo. Vix tria distinguere incipio, cum ad unum reducor. Si unum quodpiam trium appareat, id totum mihi esse videtur, atque implentur oculi, majorque etiam pars oculorum aciem fugit. Hujus magnitudinem comprehendere nequeo, ut ei, quod reliquum est, plus tribuam. Quod si rursus tria hæc animi consideratione contraxero, unum splendorem cerno, utpote qui lumen unitum distinguere aut dimetiri nequeam.

ΜΒ'. Φοβῇ σὺ γέννησιν, ἵνα μή τι πάθῃ Θεὸς, ὁ μὴ πάσχων; Ἐγὼ φοβοῦμαι τὴν κτίσιν, ἵνα μὴ Θεὸν ἀπολέσω διὰ τῆς ὕβρεως, καὶ τῆς ἀδίκου (39) κατατομῆς, ἢ τὸν Υἱὸν τέμνων ἀπὸ τοῦ Πατρὸς, ἢ ἀπὸ τοῦ Υἱοῦ τὴν οὐσίαν τοῦ Πνεύματος. Τὸ γὰρ παράδοξον, ὅτι μὴ κτίσις ἐπάγεται μόνον Θεῷ παρὰ τοῖς κακῶς θεότητα ταλαντεύουσιν, ἀλλὰ καὶ αὐτὴ πάλιν ἡ κτίσις εἰς ἑαυτὴν τέμνε-

XLII. Num tu generationem metuis, ne quid patiatur Deus, qui ab omni perpessione alienus est? Ego contra creationem metuo, ne per contumeliam D et iniquam 725 sectionem Deus mihi pereat, si vel Filium a Patre, vel Spiritus essentiam a Filio distraxero. Nam, quod mirum et absurdum est, non modo creatura Deo ab iis inducitur, qui deitatem male trutinant, verum ipsa quoque creatura in

[22] II Tim. I, 14.

(29) Ἀφαίρεμα. Schol. Ἀνάθημα, δῶρον, ξένιον, « munus, » seu « donum, quod Deo vel hospiti datur. »

(30) Ποιώμεθα. Bas., ποιησώμεθα.

(31) Ἱερουργῆσαι τὴν ἡμῶν αὐτῶν σωτηρίαν, « quasi rem sacram salutem nostram operari. » Paulus, Rom. XV, 16, habet ἱερουργοῦντα τὸ Εὐαγγέλιον, « sanctificans Evangelium; » id est, « quasi rem sacram Evangelium pertractans. » Billius: « eique salutem suam velut sacrificium quoddam obtulisse. »

(32) Ἧ ζῶ, etc. Billius: « cui vivo et munere meo fungor. »

(33) Ἅπαν. Deest in nonnullis. In aliis, πάν.

(34) Συνανάξω. Sic tres Regg., plures Colb., Coisl. 2, etc. Prave in ed. Par., συναύξω.

(35) Προστάτιν. Or. 1, προστάτην.

(36) Οὔτε αὐξομένην. Plures Regg. et Colb., οὔτε δὲ αὐξανομένην.

(37) Τὸ ἅγιον Πνεῦμα. Quinque Regg., τὸ Πνεῦμα τὸ ἅγιον.

(38) Εἰς τὸ ἓν ἀναφέρομαι. Bill. « ad unum statim sublimis feror. » Hanc interpretationem respuendam putamus, quia supponit « unum » in Deo esse « trino » sublimius.

(39) Καὶ τῆς ἀδίκου. Sic sex Regg., etc. Deest τῆς in ed.

seipsam iterum secatur. Quemadmodum enim humiles et abjecti homines Filium a Patre sejungunt, atque inferiori loco ponunt; sic Spiritum rursus a Filio separant, inferioremque faciunt : ita ut, per novam hanc theologiam, et Deo, et creaturæ, contumelia infertur. Nihil, o viri, in Trinitate servum est, nec creatum, nec adventitium, ut ex cujusdam docti viri sermone accepi. *Si adhuc hominibus placerem, Christi servus non essem*, inquit divinus Apostolus [23]. Si adhuc creatum aliquid adorarem, aut in rei creatæ nomine baptizarer, divinitatem minime consequerer, nec primam procreationem in melius immutarem. Quid ad eos dicam, qui Astartem adorant, aut Chamos, Sidoniorum idolum, aut sideris formam, Dei quidem paulo majoris, apud idololatras illos, sed tamen facti atque creati, cum ipse, aut hos duos, in quorum nomine baptizatus sum, non adorem, aut conservos adorem? Conservi enim utique erunt, utcunque nobis aliquantulum honore præstent; quandoquidem inter conservos quoque discrimen et præstantia reperitur.

XLIII. Cupio Patrem majorem dicere, ex quo id æquales habent, quod æquales sunt, et quod sunt. Hoc enim ab omnibus mihi concedetur. Verum, principium vereor, ne minorum principium illud faciam, ac per hujusmodi prælationem contumelia afficiam. Neque enim Patri gloria est, eorum, quæ ex ipso sunt, depressio. Ac præterea inexplebilem tuam aviditatem suspectam habeo, ne, arrepta hac voce, *major*, naturam seces, atque hac voce ad omnia abutaris. Non enim hæc dictio, *major*, ad naturam, sed ad causam referenda est. Neque enim quidquam eorum, quæ eamdem substantiam habent, substantia majus aut minus est. Cupio Filium, ut Filium, Spiritui anteferre; sed mihi hoc non permittit baptismus, per Spiritum sanctum me perficiens. At enim vereris, ne tibi Tritheiæ crimen impingatur? Habe tu tibi hoc bonum, hanc, **726** inquam, in tribus conjunctionem; certamen ad me transmitte. Sine me navis exstructorem esse, tu nave utere. Quod si alius est navis exstructor, domus architectum me accipe; tu animo habita, etsi nihil laboris exantlasti. Non minus prospere navigabis, aut domum habitabis, quam ego, qui hæc fabricatus sum, quamvis in iis nihil elaboraveris. En quo animi candore tecum ago! En Spiritus benignitatem! Meum sit bellum : tua sit palma. Ego telis feriar : tu tranquillus et pacatus sede, propugna-

A ται. Ὥσπερ τοῦ Πατρὸς ὑποστέλλεται ὁ Υἱὸς (40) τοῖς ταπεινοῖς καὶ κάτω κειμένοις, οὕτως ὑποστελλομένης πάλιν καὶ ἀπὸ τοῦ Υἱοῦ τῆς ἀξίας τοῦ Πνεύματος· ὡς ἂν καὶ Θεὸς, καὶ κτίσις ὑβρίζηται τῇ καινῇ (41) ταύτῃ θεολογίᾳ. Οὐδὲν τῆς Τριάδος, ὦ οὗτοι, δοῦλον, οὐδὲ (42) κτιστὸν, οὐδὲ ἐπείσακτον, ἤκουσα (43) τῶν σοφῶν τινος λέγοντος. *Εἰ ἔτι* (44) *ἀνθρώποις ἤρεσκον, Χριστοῦ δοῦλος οὐκ ἂν ἤμην*, φησὶν ὁ θεῖος ἀπόστολος. Εἰ ἔτι κτίσματι προσεκύνουν, ἢ εἰς κτίσμα ἐβαπτιζόμην, οὐκ ἂν ἐθεούμην, οὐδὲ τὴν πρώτην μετεποιούμην γέννησιν. Τί φήσω πρὸς τοὺς τὴν Ἀστάρτην προσκυνοῦντας, ἢ τὸ Χαμὼς βδέλυγμα Σιδωνίων, ἢ τοῦ ἄστρου τὸν τύπον, τοῦ μικρὸν ὑπὲρ ταῦτα Θεοῦ τοῖς εἰδωλολάτραις, πλὴν κτίσματος καὶ ποιήματος· αὐτὸς, ἢ μὴ B προσκυνῶν τὰ δύο, εἰς ἃ συμβεβάπτισμαι, ἢ προσκυνῶν τὰ ὁμόδουλα (45); Ὁμόδουλα γὰρ, καὶ εἰ μικρὸν τιμιώτερα· ἐπεὶ καὶ ἐν ὁμοδούλοις ἐστί τις διαφορὰ καὶ προτίμησις.

ΜΓ'. Θέλω τὸν Πατέρα μείζω (46) εἰπεῖν, ἐξ οὗ καὶ τὸ ἴσοις (47) εἶναι, τοῖς ἴσοις ἐστὶ, καὶ τὸ εἶναι. Τοῦτο γὰρ παρὰ πάντων δοθήσεται. Καὶ δέδοικα τὴν ἀρχὴν, μὴ ἐλαττόνων ἀρχὴν ποιήσω, καὶ καθυβρίσω διὰ τῆς προτιμήσεως· οὐ γὰρ δόξα τῷ ἐξ οὗ ἡ τῶν ἐξ αὐτοῦ ταπείνωσις. Πρὸς δὲ καὶ ὑφορῶμαι τὴν σὴν ἀπληστίαν (48), μὴ τὸ *μεῖζον* λαβὼν διχοτομήσῃς τὴν φύσιν, κατὰ πάντα τῷ μείζονι χρώμενος. Οὐ γὰρ κατὰ τὴν φύσιν τὸ *μεῖζον*, τὴν αἰτίαν δέ. Οὐδὲν γὰρ C τῶν ὁμοουσίων τῇ οὐσίᾳ μεῖζον ἢ ἔλαττον. Θέλω τὸν Υἱὸν προτιμῆσαι τοῦ Πνεύματος, ὡς Υἱόν· καὶ οὐ συγχωρεῖ (49) τὸ βάπτισμα τελειοῦν με διὰ τοῦ Πνεύματος. Ἀλλὰ δέδοικας, μὴ τριθεΐαν ὀνειδισθῇς; Ἔχε σὺ τὸ ἀγαθὸν, τὴν ἐν τοῖς τρισὶν ἕνωσιν· ἐμοὶ τὴν μάχην παράπεμψον. Ἔασόν με ναυπηγὸν εἶναι, σὺ χρῶ τῇ νηΐ. Καὶ εἰ ναυπηγός ἐστιν ἕτερος, ἐμὲ λάβε τῆς οἰκίας ἀρχιτέκτονα· σὺ ταύτην οἴκει μετὰ (50) ἀσφαλείας, καὶ εἰ μηδὲν ἐμόχθησας. Οὐχ ἧττον εὐπλοήσεις, ἢ οἰκήσεις τὴν οἰκίαν, ἐμοῦ τοῦ ταῦτα κατασκευάσαντος, εἰ καὶ μηδὲν περὶ ταῦτα πεφιλοπόνηκας. Ὁρᾷς τὴν εὐγνωμοσύνην ὅση; ὁρᾷς τοῦ (51) Πνεύματος τὴν χρηστότητα; Ἐμὸς ὁ πόλεμος, ἔστω σὸν τὸ ἐκνίκημα. Ἐγὼ βαλλοίμην, σὺ δὲ D εἰρήνευε, τῷ προπολεμοῦντι συνευχόμενος· χεῖρα δίδου (52) διὰ τῆς πίστεως. Ἔχω τρεῖς λίθους οἷς σφενδονήσω τὸν ἀλλόφυλον. Ἔχω τρεῖς ἐμπνεύσεις, κατὰ τοῦ υἱοῦ τῆς Σαραφθίας, αἷς ζωοποιήσω νε-

[23] Galat. I,10.

(40) *Ὁ Υἱός*. Sic quinque Regg., etc. Deest ὁ in ed.
(41) *Καινῇ*. Coisl. 1 et Jes., κενῇ, « inani, vana. »
(42) *Οὐδέ*. Plurimi codd., οὔτε.
(43) *Ἤκουσα*, etc. Reg. ph, ἤκουσας, « accepisti, audivisti. » Schol. Τὸν Θαυματουργὸν Γρηγόριον ἐν Ἀποκαλύψει· « Gregorium Thaumaturgum in Apocalypsi. » Id confirmatur a Basilio Scholiasta, qui ait : Οὗτος γὰρ ἐν Ἀποκαλύψει ταῦτά φησι· « Ipse enim hæc dicit in Apocalypsi. »
(44) *Εἰ ἔτι*. Sic codd. Prave in ed., εἴ τι.
(45) *Ὁμόδουλα*. Sic plures codd. In ed., δοῦλα.
(46) *Μείζω*. Or. 1 et alii, μείζονα. Nonnulli addunt, τοῦ Υἱοῦ, « Filio majorem. »
(47) *Ἴσοις*. Reg. ph, ἴσον.
(48) *Ἀπληστίαν*. Reg. bm, ἀπληστείαν.
(49) *Συγχωρεῖ*. Regg. bm, ph et alii addunt, μοι. Or. 1, ἐγχωρεῖ μοι.
(50) *Μετά*. Or. 1 addit, τῆς.
(51) *Τοῦ*. Deest in Bas. et Hervag.
(52) *Δίδου*. Bas., διδούς.

νεκρωμένους. Ἔγω τρεῖς (53) ἐπικλύσεις κατὰ τῶν σχιδάκων, αἷς καθιερώσω τὴν θυσίαν, ὕδατι πῦρ ἐγείρων, τὸ παραδοξότατον· καὶ τοὺς προφήτας καταβαλῶ τῆς αἰσχύνης (54), μυστηρίου δυνάμει χρώμενος.

torem tuum precibus juvans; manum per fidem porrige. Tres lapides habeo [24], quibus Philistæum funda petam et percutiam. Tres adversus Sarephthanæ filium insufflationes habeo [25], quibus homines morte sublatos ad vitam revocem. Tres adversus assulas proluviones habeo [26], quibus victimam consecrabo, aqua scilicet ignem excitans, quod quidem maxime mirandum est; atque ignominiosos prophetas mysterii viribus prosternam.

ΜΔ'. Τί μοι δεῖ μακροτέρων λόγων; Διδασκαλίας γὰρ ὁ καιρὸς (55), οὐκ ἀντιλογίας. *Μαρτύρομαι ἐνώπιον τοῦ* (56) *Θεοῦ καὶ τῶν ἐκλεκτῶν ἀγγέλων*, μετὰ ταύτης βαπτισθήσῃ τῆς πίστεως. Εἰ μὲν ἄλλως ἐγγέγραψαι, ἢ ὡς ὁ ἐμὸς ἀπαιτεῖ λόγος, δεῦρο, καὶ μετεγγράφηθι. Ἐγὼ τούτων οὐκ ἀφυὴς καλλιγράφος, γράφων ἃ γέγραμμαι, καὶ διδάσκων ἃ καὶ μεμάθηκα, καὶ τετήρηκα ἐξ ἀρχῆς εἰς τήνδε τὴν πολιάν. Ἐμὸς ὁ κίνδυνος, ἐμὸν καὶ τὸ γέρας, τοῦ τῆς σῆς ψυχῆς οἰκονόμου, καὶ τελειοῦντός σε διὰ τοῦ βαπτίσματος. Εἰ δὲ οὕτως ἔχεις, καὶ καλοῖς ἐνεσημάνθης τοῖς γράμμασι, φύλασσέ μοι τὰ γεγραμμένα, ἐν καιροῖς τρεπτοῖς ἄτρεπτος μένων περὶ ἀτρέπτου πράγματος. Μίμησαι τὸν Πιλᾶτον ἐπὶ τὸ κρεῖττον, κακῶς γράφοντα, καλῶς γεγραμμένος (57). Εἰπὲ τοῖς μεταπείθουσί σε· *Ὃ γέγραφα, γέγραφα.* Καὶ γὰρ ἂν αἰσχυνοίμην, εἰ, τοῦ κακοῦ μένοντος ἀκλινοῦς, τὸ καλὸν ῥᾷστα μετακλίνοιτο (58)· δέον εὐμετακινήτους μὲν εἶναι πρὸς τὸ κρεῖττον ἀπὸ τοῦ χείρονος, ἀκινήτους δὲ πρὸς τὸ χεῖρον ἀπὸ τοῦ βελτίονος. Εἰ οὕτως βαπτίζῃ, καὶ κατὰ ταύτην τὴν μαθητείαν, *Ἰδοὺ τὰ χείλη μου οὐ μὴ κωλύσω*, ἰδοὺ κίχρημι τὰς χεῖρας τῷ Πνεύματι. Ταχύνωμεν τὴν σωτηρίαν, ἀναστῶμεν ἐπὶ τὸ βάπτισμα· σφύζει τὸ Πνεῦμα, πρόθυμος ὁ τελειωτής, τὸ δῶρον ἕτοιμον. Εἰ δὲ σκάζεις ἔτι, καὶ μὴ καταδέχῃ τὸ τέλειον τῆς θεότητος, ζήτει σὸν βαπτιστήν, ἢ καταβαπτιστήν. Ἐμοὶ δὲ οὐ σχολὴ τέμνειν θεότητα, καὶ νεκρόν σε ποιεῖν ἐν καιρῷ τῆς ἀναγεννήσεως· ἵνα μήτε τὸ χάρισμα ἔχῃς, μήτε τὴν ἐλπίδα τῆς χάριτος, ἐν ὀλίγῳ ναυαγήσας τὴν σωτηρίαν. Ὡς ὅ τι ἂν ὑφέλῃς τῶν τριῶν τῆς θεότητος, τὸ πᾶν ἔσῃ καθῃρηκώς, καὶ σεαυτῷ τὴν τελείωσιν (59).

XLIV. Quid longiori oratione opus est? Doctrinæ etenim hoc tempus est, non altercationis et disputationis. *Testificor coram Deo et electis angelis*, quod cum hac fide baptizaberis. Si alio modo inscriptus es, quam mea doctrina exposcit, veni ac transcribere. Ego horum non inscitus atque ineptus sum scriptor, scribens ea quæ mihi inscripta sunt, et docens quæ didici, atque a prima ætate ad hanc usque canitiem servavi. Meum sit periculum, meum quoque præmium, qui animæ tuæ sum dispensator, ac per baptismum te perficio. Sin autem ita te habes, ac pulchris litteris notatus atque inustus es, quæ scripta sunt serva, in obnoxiis mutationi temporibus circa rem minime mutabilem immutabilis manens. Tu, qui recte conscriptus es, Pilatum, qui male scripserat, in meliorem partem imitare. Dic iis, qui te a sententia deducere student: *Quod scripsi, scripsi* [27]. Puderet enim me profecto, si, cum malum stabile ac firmum maneat, bonum contra facile in deterius flecteretur; cum nos ita comparatos esse vitæ ratione oporteat, ut a vitio quidem ad virtutem facili motu impellamur, a virtute autem ad vitium nullo modo incitemur. Si cum hac sententia et doctrina ad baptismum accedis, *ecce labia mea non prohibebo* [28], ecce manus meas Spiritui commodo. Salutem acceleremus, **727** ad baptismum exsurgamus; exsilit Spiritus, præsto est initiator, in promptu est baptismus. Sin vero adhuc claudicas, nec Deitatis perfectionem suscipis, quære qui te tingat, vel in malam rem tingat. Mihi enim non vacat Deitatem secare, atque in regenerationis tempore tibi mortem inferre; ut sic nec gratiam habeas, nec gratiæ spem, salute nimirum brevi tempore naufragio amissa. Si cui enim ex his tribus divinitatem detraxeris, totum everteris, tibique ipsi perfectionem ademeris.

ΜΕ'. Ἀλλ' οὔπω τύπος οὐδεὶς ἐν τῇ σῇ ψυχῇ, οὔτε χείρονος (60) γράμματος, οὐδὲ βελτίονος· σήμερον δέ σε γραφῆναι δεήσει, καὶ παρ' ἡμῶν (61) τυπωθῆναι πρὸς τελειότητα; Εἴσω τῆς νεφέλης χωρήσωμεν· δός μοι τὰς πλάκας τῆς σῆς καρδίας· γίνομαί σοι Μωσῆς, εἰ καὶ τολμηρὸν εἰπεῖν· ἐγγράφω δακτύλῳ Θεοῦ νέαν δεκάλογον· ἐννοάσω σύντομον σωτηρίαν.

XLV. At nondum ulla in animo tuo, vel melior, vel deterior littera impressa est; verum hodierno die inscribi te oportet, atque a nobis ad perfectionem informari? Nubem ingrediamur; da mihi pectoris tui tabulas; Moyses tibi ero, etsi hoc insolentius a me dictum videri queat; Dei digito novum Decalogum inscribam; compendiosam salutis

[24] I Reg. XVII, 40. [25] III Reg. XVII, 21. [26] III Reg. XVIII, 34. [27] Joan. XIX, 22. [28] Psal. XXXIX, 10.

(53) *Ἔχω τρεῖς*, etc. « Adversus assulas habeo tres proluviones; » hoc est, ut exponit Nicetas, « tres baptismi demersiones. » Billius: « Tres adversus ligna proluviones habeo. »

(54) *Τοὺς προφήτας... αἰσχύνης.* « Prophetas confusionis. » Nobilius et Vulgata: « Prophetas Baal. »

(55) *Ὁ καιρός.* Reg. d, ὁ παρὼν καιρός, « præsens tempus. »

(56) *Τοῦ.* Deest in Regg. bm, ph, etc.

(57) *Καλῶς γεγραμμένος.* « Recte conscriptus. » Hinc sane colligendum videtur, aut fidei formulam ex integro conscriptam, aut sane a baptizandis esse subsignatam.

(58) *Μετακλίνοιτο.* Bas., κλίνοιτο.

(59) *Ὡς ὅ... τὴν τελείωσιν.* Hæc et interjecta desunt in Reg. bm.

(60) *Οὔτε χείρονος.* Sic quatuor Regg. et Or. 1. In ed., οὐ χείρονος.

(61) *Καὶ παρ' ἡμῶν.* Sic sex Regg., plures Colb., Or. 1, Par., etc. Deest καί in ed.

doctrinam insculpam. Quod si qua bellua hæretica, et a ratione aversa sit, inferiori loco maneat; aut periculum erit, ne veritatis doctrina tanquam lapidibus obruatur. Baptizabo te, docens, in nomine Patris, et Filii, et Spiritus sancti. Nomen porro unum tribus commune, Deitas. Intelliges, tum ex ipsa rerum specie, tum ex verbis ipsis, te omnem impietatem rejicere, et cum tota Deitate conjungi. Crede, mundum universum, tam qui oculis cernitur, quam qui oculorum obtutum fugit, a Deo ex nihilo creatum esse, et Creatoris providentia gubernari, foreque aliquando, ut in præstantiorem statum immutetur. Crede, nullam mali essentiam esse, nec regnum, aut principii expers, aut a se ipso subsistens, aut a Deo creatum, sed nostrum opus hoc esse, et Pravi illius, malum ex incuria et socordia ad nos irrepsisse, non autem a Creatore. Crede, Dei Filium, Verbum illud omnibus sæculis antiquius, atque citra ullum temporis principium, et incorporeo modo a Patre genitum, hunc, inquam, Dei Filium, extremis diebus, hominis quoque filium tua causa factum esse, arcano modo, ac sine ulla spurcitie ex Virgine Maria progressum (nihil enim spurcum, ubi **728** Deus est, et cujus beneficio et opera salus paratur); totum hominem, eumdem et Deum, pro toto homine læso ut, tota peccati condemnatione rescissa, tibi toti salutem afferat; impatibilem divinitate, patibilem assumptæ humanitatis ratione; tantum hominem propter te effectum, quantum tu propter illum Deus efficeris; hunc propter iniquitates nostras ad mortem ductum, in crucem sublatum, et sepultura affectum fuisse (hactenus scilicet, ut mortem gustaret), tertio demum die ad vitam rediisse, atque in cœlos ascendisse, ut te humi jacentem secum ducat; ac denique gloriosum et illustrem rediturum, ut de vivis ac mortuis judicium ferat; non jam illum quidem carneum, nec corpore tamen vacantem, sed augustius diviniusque corpus habentem; qualeque ipse solus novit ut, et ab his qui eum pupugerunt [29], videatur, et Deus, omnis molis et crassitiei expers, maneat. Crede præterea resurrectionem, judicium, mercedem ad justam Dei lancem exigendam. Hanc porro iis, qui animo et mente purgati fuerint, lucem esse, hoc est, Deum*, sese cuique, pro purita-

A Εἰ δέ τι θηρίον αἱρετικὸν καὶ ἀλόγιστον, κάτω μεινάτω (62)· ἢ κινδυνεύσει λιθοβολούμενον τῷ λόγῳ τῆς ἀληθείας. Βαπτίσω σε μαθητεύων, εἰς ὄνομα Πατρὸς, καὶ Υἱοῦ, καὶ ἁγίου Πνεύματος. Ὄνομα δὲ κοινὸν τῶν τριῶν ἓν (63), ἡ Θεότης. Γνώσῃ καὶ τοῖς σχήμασι (64) καὶ τοῖς ῥήμασιν, ὡς ὅλην ἀποπέμπῃ τὴν ἀθεΐαν, οὕτως ὅλῃ θεότητι συντασσόμενος. Πίστευε, τὸν σύμπαντα κόσμον, ὅσος τε ὁρατὸς, καὶ ὅσος ἀόρατος, ἐξ οὐκ ὄντων παρὰ Θεοῦ γενόμενον, καὶ προνοίᾳ τοῦ ποιήσαντος διοικούμενον, δέξασθαι (65) τὴν εἰς τὸ κρεῖττον μεταβολήν. Πίστευε, μὴ οὐσίαν εἶναί (66) τινα τοῦ κακοῦ, μήτε βασιλείαν, ἢ ἄναρχον, ἢ παρ' ἑαυτῆς ὑποστᾶσαν, ἢ παρὰ τοῦ Θεοῦ γενομένην, ἀλλ' ἡμέτερον ἔργον εἶναι τοῦτο καὶ τοῦ πονηροῦ, ἐκ τῆς ἀπροσεξίας ἐπεισελθὸν ἡμῖν, ἀλλ' B οὐχὶ τοῦ κτίσαντος. Πίστευε, τὸν Υἱὸν τοῦ Θεοῦ, τὸν προαιώνιον Λόγον, τὸν γεννηθέντα ἐκ τοῦ Πατρὸς ἀχρόνως καὶ ἀσωμάτως, τοῦτον ἐπ' ἐσχάτων τῶν ἡμερῶν, γεγενῆσθαι (67) διὰ σὲ καὶ Υἱὸν ἀνθρώπου, ἐκ τῆς Παρθένου προελθόντα Μαρίας, ἀῤῥήτως καὶ ἀρυπάρως (οὐδὲν γὰρ ῥυπαρὸν οὗ Θεὸς, καὶ δι' οὗ σωτηρία [68]), ὅλον ἄνθρωπον, τὸν αὐτὸν καὶ Θεὸν, ὑπὲρ ὅλου τοῦ πεπονθότος, ἵνα ὅλῳ σοι τὴν σωτηρίαν χαρίσηται, ὅλον τὸ κατάκριμα λύσας τῆς ἁμαρτίας· ἀπαθῆ θεότητι, παθητὸν τῷ (69) προσλήμματι· τοσοῦτον ἄνθρωπον διὰ σὲ, ὅσον σὺ γίνῃ δι' ἐκεῖνον Θεός· τοῦτον ὑπὲρ τῶν ἀνομιῶν ἦχθαι εἰς θάνατον, σταυρωθέντα τε (70) καὶ ταφέντα, ὅσον θανάτου γεύσασθαι, καὶ ἀναστάντα τριήμερον, ἀνεληλυθέναι εἰς τοὺς οὐρανοὺς, ἵνα σε συναγάγῃ κάτω κείμενον· C ἥξειν τε (71) πάλιν μετὰ τῆς ἐνδόξου αὐτοῦ παρουσίας, κρίνοντα ζῶντας καὶ νεκρούς· οὐκ ἔτι μὲν σάρκα, οὐκ ἀσώματον δὲ, οἷς αὐτὸς οἶδε λόγοις, θεοειδεστέρου σώματος, ἵνα καὶ ὀφθῇ ὑπὸ τῶν ἐκκεντησάντων, καὶ μείνῃ Θεὸς ἔξω παχύτητος. Δέχου πρὸς τούτοις ἀνάστασιν, κρίσιν, ἀνταπόδοσιν τοῖς δικαίοις τοῦ Θεοῦ σταθμοῖς. Ταύτην δὲ εἶναι φῶς τοῖς κεκαθαρμένοις τὴν διάνοιαν, τουτέστι Θεὸν ὁρώμενόν τε καὶ γινωσκόμενον, κατὰ τὴν ἀναλογίαν τῆς καθαρότητος, ὃ δὴ καὶ βασιλείαν οὐρανῶν ὀνομάζομεν· σκότος δὲ τοῖς τυφλώττουσι τὸ ἡγεμονικὸν, τουτέστιν ἀλλοτρίωσιν Θεοῦ κατὰ τὴν ἀναλογίαν τῆς ἐντεῦθεν ἀμβλυωπίας. Δέκατον (72), ἐργάζου τὸ ἀγαθὸν ἐπὶ τούτῳ τῷ θεμελίῳ τῶν δογμάτων· ἐπειδὴ, *Πίστις* D *χωρὶς ἔργων νεκρὰ*, ὡς ἔργα δίχα πίστεως. Ἔχεις

[29] Apoc. I, 7.

(62) *Κάτω μεινάτω.* Reg. pn, καταμεινάτω.
(63) *Ὄνομα δὲ κοινὸν τῶν τριῶν ἕν.* Reg. Mazar., Ὄνομα τῶν τριῶν, ἡ θεότης.
(64) *Σχήμασι.* Duo codd., πράγμασι. Porro per vocem σχήμασι, Gregorius, ut opinor, significat ritum externum ac baptismi cæremonias, quas sic describit Nicetas: Γυμνούμενος, καὶ ἀποστρεφόμενος ἐπὶ δυσμὰς, καὶ ἄνω τὰς χεῖρας ἔχων, ἀρνήσεις τὸν Σατανᾶν· καὶ ὁμολογήσεις σὸν Θεὸν, στρεφόμενος πρὸς ἀνατολὰς, καὶ κάτω τὰς χεῖρας ἔχων· « Vestibus nudatus, corporeque ad occasum inversus, ac manus erectas habens, Satanam abjurabis; rursusque ad orientem te convertens, manusque depressas habens, Deum tuum confitebere. »
(65) *Δέξασθαι.* Billius legit, δέξεσθαι. Ita scripsit ad marg. Bas. ed. Placet hæc lectio Combefisio, quæ utique, licet codicum auctoritate destituta, melior videtur.
(66) *Οὐσίαν εἶναι.* Sic plerique codd. In ed., εἶναι ponitur post κακοῦ.
(67) *Γεγενῆσθαι.* Sic plures Regg. codd. Sic legunt Nicetas et Bill. In ed., γεγεννῆσθαι, « natum esse; » quæ lectio magis arridet Combefisio.
(68) *Σωτηρία.* Sic duo Coisl., etc. In Par. ed., σωτηρίαν.
(69) *Παθητὸν τῷ.* Sic tres Regg., Or. 1, Comb. Deest τῷ in ed.
(70) *Σταυρωθέντα τε.* Sic plures codd. Deest τε in ed.
(71) *Ἥξειν τε.* Sic Regg. bm, ph, etc. In ed., ἥξειν δέ.
(72) *Δέκατον.* Sic codd. In Par. ed., δεκτόν.

τοῦ μυστηρίου τὰ ἔκφορα, καὶ ταῖς τῶν πολλῶν ἀκοαῖς οὐκ ἀπόῤῥητα (73). Τὰ δὲ ἄλλα (74) εἴσω μαθήσῃ, τῆς Τριάδος χαριζομένης, ἃ καὶ κρύψεις παρὰ σεαυτῷ σφραγῖδι κρατούμενα.

tis ratione, spectandum cognoscendumque præbentem, id quod regnum quoque cœlorum appellamus; iis contra, qui animi cæcitate laborant, tenebras esse, hoc est, abalienationem atque aversionem a Deo, pro hebetudinis ac cæcutientiæ modo, qua quisque in hac vita affectus fuerit. Decimo ac postremo loco, super hoc dogmatum fundamento bona opera exstrue; quandoquidem *fides sine operibus mortua est* [30], quemadmodum et opera, si fides absit. Habes quæ de mysterio foras exportare, atque ad vulgi aures efferre licet. Cætera intus, Trinitate largiente, addisces, quæ etiam ipsa apud teipsum tegas, velut ea quæ sub sigillo tenentur.

ΜϚ'. Πλὴν ἐκεῖνο εὐαγγελίζομαί σοι (75). Ἡ στάσις, ἣν αὐτίκα στήσῃ μετὰ τὸ βάπτισμα πρὸ τοῦ μεγάλου βήματος, τῆς ἐκεῖθεν (76) δόξης ἐστὶ προχάραγμα. Ἡ ψαλμῳδία, μεθ' ἧς δεχθήσῃ, τῆς ἐκεῖθεν ὑμνῳδίας προοίμιον. Αἱ λαμπάδες, ἅσπερ ἀνάψεις, τῆς ἐκεῖθεν φωταγωγίας μυστήριον, μεθ' ἧς ἀπαντήσομεν (77) τῷ νυμφίῳ φαιδραὶ καὶ παρθένοι ψυχαὶ, φαιδραῖς ταῖς λαμπάσι τῆς πίστεως, μήτε καθεύδουσαι διὰ ῥαθυμίαν, ἵνα μὴ λάθῃ παρὼν ἀδοκήτως ὁ προσδοκώμενος, μήτε ἄτροφοι, καὶ ἀνέλαιοι, καὶ καλῶν ἔργων ἐπιδεεῖς, ἵνα μὴ τοῦ νυμφῶνος ἐκπέσωμεν. Ὁρῶ γὰρ τὸ πάθος, ὡς ἐλεεινόν. Ὁ μὲν παρέσται, ἀπαιτούσης τῆς κραυγῆς τὴν ἀπάντησιν· αἱ δὲ ἀπαντήσονται, ὅσαι φρόνιμοι, μετὰ λαμπροῦ τοῦ φωτὸς, καὶ δαψιλεστέρας τῆς τούτου τροφῆς· αἱ δὲ ταραχθήσονται ζητοῦσαι τὸ ἔλαιον οὐκ ἐν καιρῷ παρὰ τῶν ἐχόντων. Ὁ δὲ εἰσελεύσεται δρομαῖος· αἱ δὲ συνεισελεύσονται· αἱ δὲ ἀποκλεισθήσονται, τὸν τοῦ εἰσελθεῖν καιρὸν εἰς τὸ παρασκευάσασθαι δαπανήσασαι, καὶ πολλὰ μετακλαύσονται, ὀψὲ μαθοῦσαι τὴν ζημίαν τῆς ῥαθυμίας, ὅταν μηκέτι ὁ νυμφὼν αὐταῖς εἰσιτητὸς ᾖ, καὶ πολλὰ δεομέναις, ὃν κακῶς ἑαυταῖς ἀπέκλεισαν (78)· ἄλλον τρόπον μιμησάμεναι τοὺς ὑστεροῦντας τοῦ γάμου, ὃν ὁ καλὸς πατὴρ ἑστιᾷ τῷ καλῷ νυμφίῳ, διὰ τὴν γυναῖκα τὴν νεόνυμφον, ἢ διὰ τὸν ἀγρὸν τὸν νεώνητον, ἢ τὸ ζεῦγος τῶν βοῶν, ἃ κακῶς ἐκτήσαντο, διὰ τῶν μικρῶν τὰ μείζονα ζημιούμενοι. Οὐδεὶς γὰρ ἐκεῖ τῶν ὑπεροπτικῶν καὶ ῥαθύμων, οὐδὲ τῶν ῥυπαρῶς (79), ἀλλ' οὐ νυμφικῶς ἐστολισμένων, κἂν ἐντεῦθεν ἑαυτὸν ἀξιώσῃ (80) τῆς ἐκεῖθεν λαμπροφορίας, καὶ λαθὼν ἑαυτὸν παρενείρῃ, κεναῖς ἐλπίσιν ἐξαπατώμενος. Εἶτα τί; Ὅταν ἔνδον γενώμεθα, εἴσω οἶδεν ὁ νυμφίος ἃ διδάξει, καὶ ἃ συνέσται ταῖς συνεισελθούσαις ψυχαῖς. Συνέσται δὲ, ὡς οἶμαι, διδάσκων τὰ τελεώτερά τε καὶ καθαρώτερα· ὧν καὶ ἡμεῖς μεταλάβοιμεν, οἵ τε διδάσκοντες τὸν λόγον καὶ οἱ μανθάνοντες, ἐν αὐτῷ Χριστῷ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος (81) εἰς τοὺς αἰῶνας (82). Ἀμήν.

XLVI. Cæterum illud ex me intelligas velim. Statio hæc, qua confestim a baptismo ante magnum sacrarium stabis, futuræ vitæ gloriam præsignat. Psalmorum cantus, cum quo accipieris, illius hymnodiæ præludium est. Lampades, quas accendes, illius luminum gestationis figuram gerunt, cum qua splendidæ et virgines animæ, splendidis fidei lampadibus, Christo sponso obviam prodibimus, nec per ignaviam et socordiam dormientes, ne, inscientibus nobis, is, cujus adventus exspectatur, inopinato adsit, nec alimento et oleo, **729** bonisque operibus carentes, ne a nuptiali thalamo excludamur. Prospicio enim animo tristem et miseram calamitatem. Aderit ille, cum clamor exortus, ut ei obviam procedatur, exiget : hæ quidem, quotquot prudentes sunt animæ, cum splendido lumine, et uberiori ejus alimonia ipsi occurrent; cæteræ autem in magna perturbatione erunt, oleum ab iis quibus suppetit, intempestive quærentes. Ille porro festinanter ingredietur : prudentes autem simul introibunt; fatuæ vero, quæ tempus illud, quo ingrediendum erit, in lampadum adornatione consumpserunt, ab ingressu arcebuntur, multumque et graviter ingemiscent, damnum negligentia sua desidiaque contractum sero intelligentes, cum jam ipsis, quamlibet obnixe petentibus atque obsecrantibus, nequaquam ultra ad nuptialem thalamum aditus patebit, quem sibi ipsis male præcluserunt [31]; alio quodam modo illos imitatæ, qui nuptiis, quas bonus ille pater bono sponso celebrat, interesse recusant, vel propter uxorem recens ductam, vel propter agrum nuper emptum, vel propter par boum [32], quæ male acquisierunt, per exiguarum leviumque rerum studium majoribus bonis sese multantes. Nec enim illic cuiquam superbo et arroganti homini locus est, nec segni et inerti, nec sordida nuptiisque indigna veste contecto, etiamsi in hac vita splendore illo dignum se censuerit, furtimque se aliis inseruerit, inani spe

[30] Jac. II, 20. [31] Matth. XXV, 1 sqq. [32] Luc. XIV, 18 sqq.

(73) *Ἀπόῤῥητα.* Sic codd. Prave in Par. ed., ἀπόῤῥηται.
(74) *Τὰ δὲ ἄλλα.* Deest δὲ in pluribus Regg. et Or. 1. In nonnullis, τ' ἄλλα δέ.
(75) *Σοι.* Plures Regg., Orat. 1 et Combefis., σε.
(76) *Ἐκεῖθεν.* Quinque Regg., ἐκεῖσε.
(77) *Ἀπαντήσομεν.* Coisl 1, ἀπαντήσοιμεν.
(78) *Ἀπέκλεισαν.* « Præcluserunt. » Sic Billius in prima ed., vel, si mavis, « excluserunt. » In secunda vero, « incluserunt. »
(79) *Τῶν ῥυπαρῶς.* Coisl. 1 et Or. 1, τῶν ῥυπαρῶν.
(80) *Ἑαυτὸν ἀξιώσῃ*, etc. Nicetas sic exponit : « Etsi vestem illam splendidam ac nuptialem sibi arrogaverit, ac seipsum cum ornate splendideque vestitis admiscuerit. » Supplevit, recte quidem, λαμπροφοροῦσι.
(81) *Καὶ τὸ κράτος.* Hæc desunt in tribus Regg. et Or. 1.
(82) *Αἰῶνας.* Reg. unum addit, τῶν αἰώνων « sæculorum. »

animum lactans. Quid postea? Cum eo ingressi fuerimus, tum novit sponsus quæ docebit, et quo modo cum animabus iis, quæ ingredientem comitatæ fuerint, versabitur. Cum iis porro, ut quidem opinor, versabitur excellentiora et puriora mysteria docens; quorum utinam ipsi quoque participes fiamus, tam qui hæc docemus, quam qui discitis, in ipso Christo Domino nostro, cui gloria et imperium in sæcula. Amen.

---

730 MONITUM IN ORATIONEM XLI.

I. Festum Pentecostes, et a Christo promissi Spiritus sancti adventum, in hac eximia oratione, quæ ab Augustino (83) et Eulogio Alexandrino (84) laudatur, pertractandum suscipit Gregorius. Primum (n. 1) Catholicos hortatur, ut, in festivitatum celebrationibus, alienos se præbeant a Judæorum et gentilium more; quorum alii ad « solam litteram, » seu, ad externam legis superficiem attendunt; alii vero « vitiosis deorum suorum affectionibus, » suam quoque festorum agendorum rationem accommodant. Variis deinde exemplis ostendit (n. 2), quanto in honore fuerit apud veteres, ac præcipue apud Hebræos, « septenarius numerus, » ex quo festum Pentecostes nominis originem duxit. Hæc quidem, quamvis paucis pertractata, considerari tamen possunt velut prima orationis pars. In altera vero parte, novo præliandi genere utens, manus cum Macedonianis conserit, ipsisque Spiritus sancti divinitatem, præcipuas ejus in toto terrarum orbe operationes recensendo, invicte demonstrat. Eos enim, non vehementiori stylo, ut in theologicis orationibus vidimus, sed blande ac modeste compellat. « O viri, inquit (n. 7), spiritualiter ac fraterna charitate inter nos hanc controversiam transigamus. Vim divinitatis ac potentiam nobis date, et nos vicissim divinitatis vocem concedemus... Trinitatem unius Deitatis esse fateamini (n. 8), aut, si magis placet, unius naturæ.... Non enim victoriam ambimus, sed ut fratres, quorum disjunctione cruciamur, ad nos redeant, laboramus. » Tum illorum abstinentiam, hospitalitatem, modestiam, morum puritatem, aliaque id genus, ita effusiori animi affectu celebrat (n. 8), ut pro eorum salute « anathema quoque esse » vehementer exoptet. Denique, sublimiter et erudite pertractatis iis omnibus, quæ Spiritus sancti divinitatem firmare et stabilire possunt, auditores excitat, ut spirituali modo spirituale mysterium peragant.

II. Hanc orationem credimus cum Tillemontio (85) habitam fuisse die Pentecostes anni 381, ac proinde 16 Maii, cum Pascha hoc anno celebratum reperiamus 28 Martii. Eam autem, non Nazianzi, sed Constantinopoli pronuntiatam affirmat codex Colbertinus 4242, in quo sic legitur: Ἐῤῥέθη ἐν Κωνσταντινουπόλει. Idem asserunt scholiastæ vetustiores. Et certe, minime Nazianzi, ubi nulli erant hæretici, sed potius Constantinopoli, in qua per multos annos invaluerat hæreticorum furor, sperare poterat Gregorius noster, se Spiritus sancti divinitatis futurum martyrem. Nam fuse enumeratis variis prodigiis, quæ Spiritus sanctus in patriarchis et prophetis operatus fuerat, statim subjungit (n. 14): « Hic (Spiritus) me quoque hodierno die præfidentem et audacem præconem reddit. Si nihil propterea perpessurus sum, Deo sit gratia; si autem perpessurus, sit quoque Deo gratia: alterum, ut iis, qui nobis infesti sunt, parcat, et a peccato liberet; alterum, ut nos sanctificet, hoc nimirum evangelici ministerii præmium consecutos, ut cruentam mortem subeamus. » Quibus verbis, **731** Constantinopolim designari conjicimus. Quamvis autem « cruenta morte » non sit defunctus Gregorius, irrita tamen non omnino fuere ipsius vota. In se enim, ob libere prædicatam Filii ac Spiritus sancti divinitatem, hæreticorum præcipue odia excitavit; nec piissimi imperatoris Theodosii patrocinium eum ab invidiæ telis et ictibus defendere potuit. Imo eo crevit hæreticorum rabies, ut Gregorius, ni divino fuisset mirabiliter protectus clypeo, ipse, veræ doctrinæ victima, sicarii manu occubuisset. Hinc merito de illo dicendum, quod si martyrii palma non fuerit reipsa laureatus, animi tamen affectu, martyrii quoddam genus subierit, quod forsan alteri non impar videri potest.

(83) Aug. *De dono pers.*, c. XIX, n. 49.
(84) Phot. c. CCXXVII, p. 772.
(85) T. IX, p. 463.

ORATIO XLI.

Ejusdem in Pentecosten.

A

I. De hoc festo pauca disseramus, ut spirituali modo festum diem agitemus. Aliud namque alii

ΛΟΓΟΣ ΜΑ'[a].

Τοῦ αὐτοῦ (86) *εἰς τὴν Πεντηκοστήν.*

Α'. Περὶ τῆς ἑορτῆς βραχέα φιλοσοφήσωμεν (87), ἵνα πνευματικῶς ἑορτάσωμεν. Ἄλλη μὲν γὰρ ἄλλῳ

[a] Alias XLIV; quæ autem 41 erat, nunc 1. — Habita Constantinopoli in festo Pentecostes anni 381.
(86) *Τοῦ αὐτοῦ*, etc. Sic plures Regg., plures Colb. et Par. Unus Reg. addit, καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, « et in Spiritum sanctum. » Alter codex habet: Τοῦ αὐτοῦ ὁμιλία εἰς τὴν Πεντηκοστήν. In ed. Εἰς τὴν ἁγίαν Πεντηκοστήν.
(87) *Φιλοσοφήσωμεν.* Nicet., φιλοσοφήσομεν.

A πανήγυρις· τῷ δὲ θεραπευτῇ τοῦ Λόγου λόγος, καὶ λόγων (88) ὁ τῷ καιρῷ προσφορώτατος. Καὶ οὐδὲν οὕτως εὐφραίνει καλὸν τῶν φιλοκάλων οὐδένα, ὡς τὸ πανηγυρίζειν πνευματικῶς τὸν φιλέορτον. Σκοπῶμεν δὲ οὕτως· Ἑορτάζει καὶ Ἰουδαῖος, ἀλλὰ κατὰ τὸ γράμμα· τὸν γὰρ σωματικὸν διώκων νόμον, εἰς τὸν πνευματικὸν νόμον οὐκ ἔφθασεν. Ἑορτάζει καὶ Ἕλλην, ἀλλὰ κατὰ τὸ σῶμα (89), καὶ τοὺς ἑαυτοῦ θεούς τε καὶ δαίμονας· ὧν οἱ μὲν εἰσὶ παθῶν δημιουργοὶ κατ' αὐτοὺς ἐκείνους, οἱ δὲ ἐκ παθῶν ἐτιμήθησαν. Διὰ τοῦτο ἐμπαθὲς αὐτῶν καὶ τὸ ἑορτάζειν· ἵν' ᾖ τιμὴ Θεοῦ τὸ ἁμαρτάνειν, πρὸς ὃν καταφεύγει τὸ πάθος, ὡς σεμνολόγημα. Ἑορτάζομεν (90) καὶ ἡμεῖς, ἀλλ' ὡς δοκεῖ τῷ Πνεύματι. Δοκεῖ δὲ, ἢ λέγοντάς τι τῶν δεόντων, ἢ πράττοντας. B Καὶ τοῦτό ἐστι τὸ ἑορτάζειν ἡμῶν, ψυχῇ τι θησαυρίσαι τῶν ἑστώτων καὶ κρατουμένων, ἀλλὰ μὴ τῶν ὑποχωρούντων καὶ λυομένων, καὶ μικρὰ σαινόντων τὴν αἴσθησιν, τὰ πλείω δὲ, λυμαινομένων τε καὶ βλαπτόντων, κατά γε τὸν ἐμὸν λόγον. Ἀρκετὸν γὰρ (91) τῷ σώματι ἡ κακία αὐτοῦ. Τί δὲ δεῖ τῇ φλογὶ πλείονος ὕλης, ἢ τῷ θηρίῳ δαψιλεστέρας τροφῆς, ἵνα μᾶλλον δυσκάθεκτον γένηται (92), καὶ τοῦ λογισμοῦ βιαιότερον;

festum est: Verbi autem cultori, sermo; et ex sermonibus, is, qui tempori maxime congruit. Nec ulla pulchritudo perinde pulchritudinis amantem oblectat, ut festorum amantem spiritualis celebrandorum festorum ratio. Sic autem consideremus: Festos dies Judæus etiam agit, verum juxta litteram; legem enim corpoream consectans, ad spiritualem legem non pervenit. Festos quoque dies gentilis agit, verum juxta corpus, deosque suos et dæmones; quorum alii vitiosarum affectionum effectores atque architecti sunt, quemadmodum ipsimet asserunt, alii ex vitiosis affectionibus honorem consecuti sunt. Quamobrem modus etiam ille, quo festa celebrant, cum vitiosis affectionibus conjunctus est; ut hoc ipsum quod peccant, in Dei honorem cedat, ad quem vitium, quasi res quædam honesta et prædicanda, confugit. Festos dies nos quoque agitamus, verum ut Spiritui gratum est. Gratum est porro, eam a nobis rationem iniri, ut eorum, quæ ad festum pertinent, vel aliquid dicamus vel agamus. Nec feriari nostrum quidquam est aliud, quam animæ aliquid eorum aggerere, quæ firma et stabilia sunt, ac tenentur, non ea autem quæ suffugiunt et dilabuntur, leviterque duntaxat sensum demulcent, magna vero ex parte, meo quidem judicio, et labefactant, et noxam inferunt. Sufficit enim corpori malitia sua [33]. Quid flammæ ampliore materia opus est, aut belluæ **732** copiosiori alimento, ut effrenatior, ac ratione violentior reddatur?

Β'. Διὰ ταῦτα μὲν οὖν ἑορταστέον πνευματικῶς. C Ἀρχὴ δὲ τοῦ λόγου (ῥητέον γὰρ, καὶ εἰ μικρόν τι παρεκβατικώτερος ἡμῖν ὁ λόγος, καὶ φιλοπονητέον τοῖς φιλολόγοις, ἵν' ὥσπερ ἥδυσμά τι τῇ πανηγύρει συγκαταμίξωμεν)· Τὴν ἑβδομάδα τιμῶσιν Ἑβραίων παῖδες, ἐκ τῆς Μωϋσέως νομοθεσίας, ὥσπερ οἱ Πυθαγορικοὶ (93) τὴν τετρακτὺν ὕστερον, ἣν δὴ (94) καὶ ὅρκον πεποίηνται· καὶ τὴν ὀγδοάδα καὶ τριακάδα, οἱ ἀπὸ Σίμωνος, καὶ Μαρκίωνος, οἷς δὴ καὶ ἰσαρίθμους τινὰς Αἰῶνας ἐπονομάζουσι, καὶ τιμῶσιν. Οὐκ οἶδα μὲν οἷστισι λόγοις ἀναλογίας, ἢ κατὰ τίνα τοῦ ἀριθμοῦ τούτου δύναμιν, τιμῶσι δ' οὖν. Τὸ μὲν πρόδηλον, ὅτι ἐν ἓξ ἡμέραις ὁ Θεὸς τὴν ὕλην ὑποστήσας τε καὶ μορφώσας, καὶ διακοσμήσας παντοίοις εἴδεσι καὶ συγκρίμασι, καὶ τὸν νῦν ὁρώμενον τοῦτον κόσμον ποιήσας, D τῇ ἑβδόμῃ κατέπαυσεν (95) ἀπὸ τῶν ἔργων, ὡς δηλοῖ καὶ ἡ τοῦ Σαββάτου προσηγορία (96), *κατάπαυσιν* Ἑβραϊκῶς σημαίνουσα. Εἰ δέ τις καὶ ὑψηλότερος περὶ ταῦτα λόγος, ἄλλοι φιλοσοφείτωσαν. Ἡ τιμὴ δὲ αὐτοῖς, οὐκ ἐν ἡμέραις μόνον, ἀλλὰ καὶ εἰς ἐνιαυτοὺς φθάνουσα. Ἡ μὲν οὖν τῶν

II. Quocirca nobis spiritualiter feriandum est. Orationis porro exordium erit hujusmodi (liceat enim hinc auspicari, etiamsi ab instituto argumento hic sermo nonnihil digredi videatur, atque in studiosorum gratiam elaborare, ut velut condimentum quoddam hujus diei solemnitati admisceamus): Septenarium numerum, ex legis Mosaicæ præscripto, Hebræi in honore habent, quemadmodum postea Pythagorei quaternarium, per quem etiam jurare consueverant; atque octonarium et tricenarium Simoniani ac Marcionitæ, quibus etiam et parem Æonum numerum assignant et colunt. Et quidem, qua proportionis ratione, aut propter quam hujus numeri vim ac potentiam, cum in pretio habeant, haud scio, sed tamen habent. Quanquam ea perspicua causa afferri potest, quod cum Deus sex dierum spatio materiam produxisset et informasset, atque omnis generis speciebus et commistionibus exornasset, mundumque hunc, quem nunc cernimus, condidisset [34], septimo die ab operibus conquievit [35], velut ipsum quoque Sabbati nomen indicat, *quietem* Hebræa lingua si-

[33] Matth. vi, 34. [34] Gen. i, 1 sqq. [35] Gen. ii, 2.

(88) *Λόγων*. Savil., λόγος.
(89) *Κατὰ τὸ σῶμα*. Nicetas sic exponit: « Secundum corporeos animi motus, et voluptates, ac secundum obscenos affectus eorum, qui ab ipsis pro diis coluntur, a nobis autem pro dæmonibus habentur. »
(90) *Ἑορτάζομεν*. Reg. bm, ἑορτάζωμεν.
(91) *Γάρ*. Deest in Reg. ph.
(92) *Γένηται*. Coisl. 1 addit, τὸ κακόν, « malum. »
(93) *Οἱ Πυθαγορικοί*. Sic tres Regg., quatuor Colb., Or. 1, etc. Deest οἱ in ed.
(94) *Δή*. Deest in Reg. bm et Or. 1.
(95) *Κατέπαυσεν*. Regg. bm, ph, aliique plures, καταπαύει.
(96) *Ἡ τοῦ Σαββάτου προσηγορία*. « Ipsum Sabbati nomen. » In Hebræa lingua שבת significat « quievit, » ex quo derivatur vox Sabbatum, id est, « quies. »

gnificans. Quod si circa hæc sublimior quædam est ratio, alii eam explicent. Porro hic honor apud eos, non in diebus tantum est, sed ad annos quoque porrigitur. Ac dierum quidem honor, Sabbatum est [36]; hoc declarat, quod apud ipsos in perpetuo honore est; cui etiam fermenti sublatio atque submotio pari dierum numero respondet. Annorum autem honor, septenarius ille remissionis annus [37]. Nec vero in hebdomadis solum, sed etiam in hebdomadarum hebdomadis, in diebus juxta atque annis. Enimvero dierum hebdomades Pentecosten pariunt, sanctum diem apud illos nuncupatum : annorum autem septimanæ, Jubileum annum sicut ipsi nominant, æque, tum terræ remissionem, tum servorum manumissionem obtinentem, et prædiorum emptores possessione sua excedere cogentem [38]. Nam hæc natio, non modo frugum et primogenitorum, sed dierum etiam et annorum primitias Deo consecrat. Eo cultu venerabilis septenarius numerus, Pentecostes cultum una secum invexit. Septenarius enim in seipsum ductus, quinquagenarium gignit, uno die excepto, quem ex futuro sæculo assumpsimus, octavum eumdem et primum; vel, ut rectius loquar, unum **733** et sempiternum. Illic enim præsens animarum nostrarum Sabbatismus desinat necesse est, ut detur pars, illis septem, et illis octo [39], quemadmodum jam nonnulli majorum nostrorum hunc Salomonis locum exposuerunt.

A ἡμερῶν, τὸ Σάββατον, τοῦτο δηλοῖ τὸ (97) συνεχῶς παρ' αὐτοῖς τιμώμενον, καθὸ καὶ ἡ τῆς ζύμης ἄρσις ἰσάριθμος· ἡ δὲ τῶν ἐτῶν, ὁ ἑβδοματικὸς ἐνιαυτὸς τῆς ἀφέσεως. Καὶ οὐκ ἐν ἑβδομάσι μόνον, ἀλλὰ καὶ ἐν ἑβδομάσιν ἑβδομάδων, ὁμοίως ἔν τε ἡμέραις καὶ ἔτεσιν. Αἱ μὲν οὖν τῶν ἡμερῶν ἑβδομάδες γεννῶσι τὴν Πεντηκοστὴν, κλητὴν ἁγίαν παρ' αὐτοῖς ἡμέραν· αἱ δὲ τῶν ἐτῶν, τὸν Ἰωβυλαῖον (98) παρ' αὐτοῖς ὀνομαζόμενον, ὁμοίως γῆς τε ἄφεσιν ἔχοντα, καὶ δούλων ἐλευθερίαν, καὶ κτήσεων ὠνητῶν ἀναχώρησιν. Καθιεροῦσι γὰρ, οὐ γεννημάτων (99) μόνον, οὐδὲ πρωτοτόκων, ἀλλ' ἤδη καὶ ἡμερῶν καὶ ἐτῶν ἀπαρχὰς τῷ Θεῷ τοῦτο τὸ γένος. Οὕτως ὁ ἑπτὰ τιμώμενος ἀριθμὸς τὴν τιμὴν τῆς Πεντηκοστῆς συνεισήγαγεν. Ὁ γὰρ ἑπτὰ B ἐπὶ ἑαυτὸν συντιθέμενος, γεννᾷ τὸν πεντήκοντα, μιᾶς δεούσης ἡμέρας, ἣν ἐκ τοῦ μέλλοντος αἰῶνος προσειλήφαμεν, ὀγδόην τε οὖσαν τὴν αὐτὴν καὶ πρώτην, μᾶλλον δὲ μίαν καὶ ἀκατάλυτον. Δεῖ γὰρ ἐκεῖσε καταλῆξαι τὸν ἐνταῦθα Σαββατισμὸν τῶν ψυχῶν, ὡς δοθῆναι μερίδα, τοῖς ἑπτὰ (1), καί γε τοῖς ὀκτὼ, καθὼς ἤδη τινὲς τῶν πρὸ ἡμῶν τὸ Σολομώντειον (2) ἐξειλήφασι.

III. Quanquam autem de septenarii honore multa sint nobis Scripturæ testimonia, pauca tamen e multis producere satis erit. Septem itaque pretiosi Spiritus nominantur. Isaias enim, ut opinor, Spiritus operationes, Spiritus appellare solet [40]. Eloquia item Domini, juxta Davidem, septuplum purgata sunt [41]. Ac justus a necessitatibus sexies liberatur [42], in septimo autem ne quidem percutitur. Peccatori autem, non septies tantum, sed septuagies etiam septies noxa remittitur [43]. Ac rursum ex adversa parte (nam improbitatis quoque pœna laudabilis est), de Cain quidem septies supplicium sumitur [44], hoc est, fraternæ cædis ab eo pœnæ repetuntur; de Lamech autem septuagies septies [45], quia, post legem et condemnationem, cædem perpetravit. Eodem pertinet, quod de pravis vicinis scriptum est, eos septuplum in sinum suum recipere [46]; quod etiam de septem columnis [47], quibus Sapientiæ domus nititur; quod de totidem oculis, quibus Zorobabelis lapis ornatur [48]. Quin etiam,

C Γ'. Τῆς δὲ τοῦ (3) ἑπτὰ τιμῆς, πολλὰ μὲν τὰ μαρτύρια, ὀλίγα δὲ ἐκ πολλῶν ἡμῖν ἀρκέσει. Ὡς ἑπτὰ (4) μὲν ὀνομαζόμενα τίμια Πνεύματα. Τὰς γὰρ ἐνεργείας, οἶμαι, τοῦ Πνεύματος, Πνεύματα φίλον τῷ Ἡσαΐᾳ καλεῖν. Κεκαθαρμένα δὲ τὰ λόγια τοῦ Κυρίου, κατὰ τὸν Δαβὶδ, ἑπταπλασίως. Καὶ ὁ μὲν δίκαιος, ἑξάκις μὲν (5) ἐξ ἀναγκῶν ἐξαιρούμενος, ἐν δὲ τῷ ἑβδόμῳ μηδὲ πλησσόμενος. Ὁ δὲ ἁμαρτωλὸς, οὐχ ἑπτάκις μόνον, ἀλλὰ καὶ ἑβδομηκοντάκις ἑπτὰ συγχωρούμενος. Καὶ μέντοι πάλιν ἐκ τῶν ἐναντίων (ἐπαινετὴ γὰρ καὶ [6] ἡ τῆς κακίας κόλασις), Κάϊν μὲν ἐκδικούμενος ἑπτάκις, τουτέστι δίκας ἀποτιννύμενος τῆς ἀδελφοκτονίας· ὁ δὲ Λάμεχ ἑβδομηκοντάκις ἑπτὰ, ὅτι φονεὺς ἦν μετὰ τὸν νόμον καὶ τὸ κατάκριμα. D Οἱ δὲ πονηροὶ γείτονες ἑπταπλασίονα εἰς τὸν κόλπον αὐτῶν (7) ἀπολαμβάνοντες· ἑπτὰ δὲ στύλοις ὁ τῆς Σοφίας οἶκος ὑπερειδόμενος· τοσούτοις δὲ ὀφθαλμοῖς ὁ τοῦ Ζοροβάβελ λίθος κοσμούμενος. Ἑπτάκις δὲ τῆς ἡμέρας ὁ Θεὸς αἰνούμενος. Καὶ μὴν

[36] Exod. xvi, 26. [37] Levit. xxv, 4. [38] ibid. 8 sqq. [39] Eccle. xi, 2. [40] Isa. xi, 2. [41] Psal. xi, 7. [42] Job v, 19. [43] Matth. xviii, 21, 22. [44] Gen. iv, 15. [45] ibid. 24. [46] Psal. lxxviii, 12. [47] Prov. ix, 1. [48] Zach. iii, 9.

(97) *Τοῦτο δηλοῖ τό.* Tres Regg., nonnulli Colb., Or. 1, Comb. et Bas., τοῦτο δὴ τό. Sic etiam legerat Billius.

(98) *Ἰωβυλαῖον.* Quinque Regg., Ἰωβηλαῖον.

(99) *Γεννημάτων.* Plures Regg., γενημάτων.

(1) *Τοῖς ἑπτά*, etc. Hæc de Eccles. xi, 2, mutuata sunt a Gregorio; et a Patribus explanata, præsertim ab Ambrosio, lib. v *in Luc.*, c. vi.

(2) *Σολομώντειον.* Savil., Σολομοντίον.

(3) *Τῆς δὲ τοῦ.* Reg. bm et Pass., τῆς μὲν οὖν.

(4) *Ὡς ἑπτά*, etc. « Ut septem venerandi Spiritus. » « Non quod, » inquit Nicetas, « septem sint Spiritus; unus enim est Spiritus sanctus; sed divinas omnes actiones quæ ipsi insunt, Spiritus, ut opinor, appellat propheta. »

(5) *Ἑξάκις μέν.* Deest μέν in Reg. ph et Savil. Alludit Gregorius ad hæc Jobi, v, 19, « In sex tribulationibus liberabit te, et in septima non tanget te malum. »

(6) *Γὰρ καί.* Sic quatuor Regg. et novem Colb. Deest καί in ed.

(7) *Αὐτῶν.* Deest in pluribus Regg. Alludit ad hæc psal. lxxviii, 12 : « Redde vicinis nostris septuplum in sinu eorum. »

καὶ στεῖρα τίκτουσα ἑπτὰ (8), τὸν τέλειον ἀριθμὸν, ἡ τῆς ἀτελοῦς (9) ἐν τέκνοις ἀντίθετος.

Δ'. Εἰ δὲ δεῖ καὶ τὰς παλαιὰς ἱστορίας σκοπεῖν, ἐννοῶ μὲν τὸν ἕβδομον ἐν προγόνοις Ἐνὼχ, τῇ μεταθέσει τετιμημένον. Ἐννοῶ δὲ τὸν εἰκοστὸν πρῶτον Ἀβραὰμ, τῇ πατριαρχίᾳ δεδοξασμένον, μυστηρίου προσθήκῃ μείζονος. Τρισσουμένη γὰρ ἡ ἑβδομὰς (10) τὸν ἀριθμὸν τοῦτον ἐργάζεται. Τολμήσειε δ' ἄν τις τῶν πάντα νεανικῶν, καὶ ἐπὶ τὸν νέον Ἀδὰμ ἐλθεῖν, τὸν Θεόν μου καὶ Κύριον Ἰησοῦν Χριστὸν, ἀπὸ τοῦ παλαιοῦ καὶ τοῦ ὑπὸ τὴν ἁμαρτίαν Ἀδὰμ, ἑβδομηκοστὸν ἕβδομον ἀριθμούμενον, κατὰ τὴν τοῦ Λουκᾶ γενεαλογίαν ἀναποδίζουσαν. Ἐννοῶ δὲ καὶ τὰς ἑπτὰ σάλπιγγας Ἰησοῦ τοῦ Ναυῆ, καὶ περιόδους τοσαύτας, καὶ ἡμέρας, καὶ ἱερέας, ἐξ ὧν τὰ Ἱεριχούντια τείχη κατασείεται. Ὡς δὲ καὶ τὴν ἑβδόμην ἀναστροφὴν (11), ὥσπερ δὲ μυστικὴν τὴν τρισσὴν ἐμφύσησιν (12) Ἠλίου τοῦ προφήτου, τῷ τῆς Σαραφθίας χήρας υἱῷ τὸ ζῆν ἐμπνεύσασαν (13), καὶ τοῦ αὐτοῦ τὴν ἰσάριθμον κατὰ τῶν σχιδάκων ἐπίκλυσιν, ἡνίκα πυρὶ θεοπέμπτῳ τὴν θυσίαν ἀνήλωσε (14), καὶ τοὺς τῆς αἰσχύνης προφήτας κατέκρινε, τὸ ἴσον οὐ δυνηθέντας ἐκ τῆς προκλήσεως (15). Οὕτω δὲ καὶ τὴν ἑβδόμην κατασκοπὴν τοῦ νέφους τῷ παιδαρίῳ προστεταγμένην, Ἐλισσαίου τε τὴν ἴσην διάκαμψιν (16) ἐπὶ τὸν παῖδα τῆς Σουναμίτιδος (17), τὴν πνοὴν ζωπυρίσασαν (18). Τοῦ δὲ αὐτοῦ, οἶμαι, δόγματος (ἵνα μὴ λέγω τὴν ἑπτάκαυλον καὶ ἑπτάλυχνον τοῦ ναοῦ λυχνίαν) ἐν ἑπτὰ μὲν ἡμέραις ὁ ἱερεὺς τελειούμενος, ἐν ἑπτὰ δὲ ὁ λεπρὸς καθαιρόμενος, ἐν τοσαύταις δὲ ὁ ναὸς ἐγκαινιζόμενος. Ἑβδομηκοστῷ δὲ ἔτει ὁ λαὸς ἐκ τῆς αἰχμαλωσίας ἐπαναγόμενος, ἵν' ὅπερ ἐστὶν ἐν μονάσι, τοῦτο ἐν δεκάσι γένηται, καὶ ἀριθμῷ τελειοτέρῳ (19) τὸ τῆς ἑβδομάδος τιμηθῇ μυστήριον. Τί μοι τὰ πόῤῥω λέγειν; Ἰησοῦς αὐτὸς, ἡ καθαρὰ τελείωσις, οἶδε τρέφειν μὲν ἐν ἐρήμῳ καὶ πέντε ἄρτοις πεντακισχιλίους, οἶδε δὲ καὶ ἑπτὰ (20) τετρακισχιλίους. Καὶ τὰ μετὰ τὸν κόρον λείψανα, ἐκεῖ μὲν δώδεκα κόφινοι, ἐνταῦθα δὲ σπυρίδες ἑπτά·

septies in die laudatur Deus [49]. Atque adeo sterilis septem filios [50], qui perfectus est numerus, parit, illa, inquam, quæ imperfectæ in filiis opposita erat.

IV. Quod si veteres etiam historias considerare oportet, animadverto septimum inter primævos homines Enoch translationis honore affectum [51]. Animadverto item vicesimum primum Abraham patriarchatu ornatum, mysterii majoris accessione [52]. Septenarius enim, ter in se ductus, numerum hunc efficit. Ausit autem fortasse quispiam, juvenili animi impetu fervens, ad novum quoque Adamum venire, Deum, inquam, meum, et Dominum Jesum Christum [53], qui, juxta retrogradam Lucæ descriptionem, a veteri et sub peccato constituto Adamo, septuagesimus septimus numeratur. Tum septem illas Jesu filii Navo tubas mecum reputo, totidemque **734** circuitus, et dies, et sacerdotes a quibus muri Jericho quatiuntur [54]. Consimili modo septenam Eliæ prophetæ conversionem, mysticamque illam triplicem insufflationem [55], qua Sarephtanæ viduæ filio vita inspirata est, ejusdemque numero parem super assulas proluvionem, tum cum igne divinitus immisso sacrificium assumpsit, atque infames prophetas, qui, ab eo provocati, idem facere nequiverant, obtruncavit [56]. Quo etiam in genere ponenda est septenaria illa nubis speculatio puerulo imperata [57], et æqualis Elisei circum Sunamitidis filium inflexio, qua vitalis halitus suscitatus est [58]. Ad eamdem quoque, ni fallor, doctrinam pertinet (ut septem hastilibus et lucernis instructum templi candelabrum præteream [59]), quod, et sacerdos septem diebus initiatur [60], et septem item leprosus purgatur [61], ac totidem diebus templum dedicatur [62]. Eodem denique referendum, quod septuagesimo anno populus ex captivitate reducitur [63], ut quam vim in unitatibus hic numerus habet, eamdem quoque in decadibus habeat, ac perfectiori numero septenarii mysterium honoretur. Quid autem longinqua colligo? Jesus ipse, qui pura perfectio est, quinque panibus in deserto quinque hominum millia nutrire novit [64], ac rursus septem panibus quatuor millia [65]. Atque sa-

[49] Psal. CXVIII, 164. [50] I Reg. II, 5. [51] Gen. V, 24. [52] Gen. XII, 1 sqq. [53] Luc. III, 23. [54] Jos. VI, 3 sqq. [55] III Reg. XVII, 18 sqq. [56] III Reg. XVIII, 34 sqq. [57] ibid. 43 sqq. [58] IV Reg. IV, 35. [59] Exod. XXV, 31. [60] Levit. VIII, 33; Exod. XXIX, 30. [61] Levit. XIV, 38 sqq. [62] III Reg. VIII, 65. [63] Jerem. XXV, 11; XXIX, 10. [64] Matth. XIV, 19. [65] Matth. XV, 34.

(8) *Τίκτουσα ἑπτά.* « Peperit septem; » nempe Samuelem, qui matri suæ fuit instar numerosæ prolis.

(9) *Τῆς ἀτελοῦς.* « Imperfectæ, » id est, « Phenennæ. »

(10) *Γὰρ ἡ ἑβδομάς.* Sic Regg. bm, ph, Coisl. 1, Or. 1, Par., Savil., Comb., etc. In ed., γὰρ ἑβδόμη ἑβδομάς.

(11) *Ἑβδόμην ἀναστροφήν.* « Septenam Eliæ incurvationem. » Non legitur septies se incurvasse Eliam super puerum Sarephtanæ viduæ, ut eum a morte revocaret: ait enim Scriptura, III Reg. XVII, 21, « Et expandit se, atque mensus est super puerum tribus vicibus. »

(12) *Ὥσπερ δὲ μυστικὴν τὴν τρισσὴν ἐμφύσησιν.* Hæc desunt in pluribus codd.

(13) *Τὸ ζῆν ἐμπνεύσασαν.* Jes., τὴν ζωὴν ἐμπνεύσασαν.

(14) *Ἀνήλωσε.* Quatuor Regg. et Jes., ἀνάλωσε.

(15) *Προκλήσεως.* Reg. bm, προσκλήσεως

(16) *Ἴσην διάκαμψιν.* « Æqualis inflexio, » seu, « septenaria incurvatio. » Non ait Scriptura, IV Reg. IV, 35, Eliseum se septies incurvasse super puerum, sed ait tantum, « puerum septies oscitasse. »

(17) *Σουναμίτιδος.* Quatuor Regg., etc., Σουμανίτιδος.

(18) *Ζωπυρίσασαν.* Novem Colb., Coisl. 1, Or. 1, etc., ζωπυρήσασαν. In nonnullis, ζωπυρίσαντα.

(19) *Τελειωτέρῳ.* Regg. bm et ph, τελειοτέρῳ.

(20) *Καὶ ἑπτά.* Sic Regg. bm, ph, Pass., Savil., etc. Deest καὶ in edit.

turitatis reliquiæ, illic quidem duodecim cophini, hic autem septem sportæ : neutrum, opinor, temere, nec aliter, quam Spiritu dignum erat. Quin per te quoque ipse Scripturas pervolvens, multos numeros observaveris, qui profundius aliquid habeant, quam quod prima fronte præ se ferunt. Quod autem præsenti tempori commodissimum est, ob has fortasse, vel his proximas, vel etiam sublimiores quasdam, ac diviniores rationes, Pentecostes diem Hebræi colunt, ac nos item colimus ; quemadmodum et nonnullos alios Hebraicos ritus observamus, qui apud illos quidem typice celebrabantur, a nobis autem mystice peraguntur. Cum hæc a nobis de die dicta sint, ad ea quæ sequuntur progrediamur.

735 V. Pentecosten celebramus, ac Spiritus adventum, et præstitutum pollicitationi exsequendæ diem, spei que impletionem. Ac, bone Deus, quantum est hoc mysterium ! Quam magnum et venerandum ! Corporea Christi finem habent, vel, ut rectius dicam, ea, quæ ad corporeum ipsius adventum spectabant ; vereor enim dicere res ad corpus pertinentes, quoad mihi cujusdam oratio persuaserit, præclarius esse corpus deposuisse. Spiritus autem actiones initium sumunt. Quænam porro ea erant, quæ ad Christum spectabant ? Virgo, nativitas, præsepe, incunabula, angeli divinam gloriam prædicantes, pastores accurrentes, stellæ cursus, Magorum adoratio, et munerum oblatio, infantium cædes ab Herode patrata, ipse in Ægyptum fugiens, ex Ægypto rediens, circumcisus, baptizatus, supernum testimonium consecutus, tentatus, lapidibus propter nos impetitus, utpote quibus afflictionis pro fide ac recta doctrina subeundæ exemplum dari oportebat, proditus, clavis affixus, sepultus, vitæ restitutus, ascendens ; quorum nunc etiam plurima patitur : ab impiis quidem, ea, quæ ignominiam habent, pro sua quoque lenitate patienter tolerat : a piis autem et Christi amore præditis, ea, quæ cum honore conjuncta sunt. Atque ut illis iram, eodem modo nobis quoque benignitatem differt ; hoc fortasse consilio, ut et illis pœnitentiæ spatium concedat, et desiderium nostrum exploret ; num scilicet in calamitatibus et certaminibus pietatis causa susceptis, animis frangemur : quemadmodum jam olim divinæ dispensationis et impervestigabi-

A οὐδέτερον αλόγως, οἶμαι, οὐδὲ ἀναξίως τοῦ Πνεύματος. Καὶ σὺ δ' ἂν κατὰ σαυτὸν ἀναλεγόμενος, πολλοὺς τηρήσαις ἀριθμοὺς, ἔχοντάς τι τοῦ φαινομένου βαθύτερον. Ὃ δὲ τῷ παρόντι καιρῷ χρησιμώτατον, ὅτι κατὰ τούτους ἴσως τοὺς λόγους, ἢ ὅτι ἐγγύτατα (21) τούτων, ἢ καὶ θειοτέρους τινὰς, τιμῶσι μὲν Ἑβραῖοι τὴν Πεντηκοστὴν ἡμέραν, τιμῶμεν δὲ καὶ ἡμεῖς· ὥσπερ ἐστὶ καὶ ἄλλα τινὰ (22) τῶν Ἑβραϊκῶν, τυπικῶς μὲν παρ' ἐκείνοις (23) τελούμενα, μυστικῶς δὲ ἡμῖν ἀποκαθιστάμενα. Τοσαῦτα περὶ τῆς ἡμέρας προδιαλεχθέντες, ἐπὶ τὸ ἑξῆς τοῦ λόγου προΐωμεν.

E'. Πεντηκοστὴν ἑορτάζομεν, καὶ Πνεύματος B ἐπιδημίαν (24), καὶ προθεσμίαν ἐπαγγελίας, καὶ ἐλπίδος συμπλήρωσιν. Καὶ τὸ μυστήριον ὅσον! ὡς μέγα τε καὶ σεβάσμιον (25) ! Τὰ μὲν δὴ (26) σωματικὰ τοῦ Χριστοῦ πέρας ἔχει, μᾶλλον δὲ τὰ τῆς σωματικῆς ἐνδημίας (27)· ὀκνῶ γὰρ εἰπεῖν τὰ τοῦ σώματος, ἕως ἂν μηδεὶς πείθῃ (28) με λόγος, ὅτι κάλλιον ἀπεσκευάσθαι τοῦ σώματος (29). Τὰ δὲ τοῦ Πνεύματος ἄρχεται. Τίνα δὲ ἦν τὰ τοῦ Χριστοῦ ; Παρθένος, γέννησις, φάτνη, σπαργάνωσις, ἄγγελοι δοξάζοντες, ποιμένες προστρέχοντες, ἀστέρος (30) δρόμος, μάγων προσκύνησις καὶ δωροφορία, Ἡρώδου παιδοφονία, φεύγων Ἰησοῦς εἰς Αἴγυπτον, ἐπανιὼν ἐξ Αἰγύπτου, περιτεμνόμενος, βαπτιζόμενος, μαρτυρούμενος ἄνωθεν, πειραζόμενος, λιθαζόμενος (31) δι' ἡμᾶς, οἷς τύπον C ἔδει δοθῆναι τῆς ὑπὲρ τοῦ λόγου κακοπαθείας, προδιδόμενος, προσηλούμενος, θαπτόμενος, ἀνιστάμενος, ἀνερχόμενος, ὧν καὶ νῦν πάσχει πολλά· παρὰ μὲν τῶν μισοχρίστων, τὰ τῆς ἀτιμίας καὶ φέρει (μακρόθυμος γάρ)· παρὰ δὲ τῶν φιλοχρίστων, τὰ τῆς ἐπιτιμίας. Καὶ ἀναβάλλεται, ὥσπερ ἐκείνοις τὴν ὀργὴν, οὕτως ἡμῖν τὴν χρηστότητα· τοῖς μὲν ἴσως μετανοίας διδοὺς καιρὸν, ἡμῶν δὲ δοκιμάζων τὸν πόθον, εἰ μὴ ἐκκακοῦμεν (32) ἐν ταῖς θλίψεσι καὶ τοῖς ὑπὲρ εὐσεβείας ἀγῶσιν· ὥσπερ (33) ἄνωθεν θείας οἰκονομίας λόγος, καὶ τῶν ἀνεφίκτων αὐτοῦ κριμάτων, οἷς εὐθύνει σοφῶς τὰ ἡμέτερα. Τὰ μὲν δὴ Χριστοῦ τοιαῦτα· καὶ τὰ ἑξῆς ὀψόμεθα ἐνδοξότερα, καὶ ὀφθείημεν. Τὰ δὲ τοῦ Πνεύματος, παρέστω μοι τὸ Πνεῦμα, καὶ διδότω λόγον, ὅσον καὶ βούλομαι· εἰ δὲ μὴ τοσοῦτον, D ἀλλ' (34) ὅσος γε τῷ καιρῷ σύμμετρος. Πάντως δὲ

(21) *Ἐγγύτατα*. Coisl. 2 et Savil., ἐγγυτάτω.

(22) *Ἐστὶ καὶ ἄλλα τινά*. Sic plures optimæ notæ codd. In ed., ἐστί τινα ἃ καὶ ἄλλα.

(23) *Παρ' ἐκείνοις*. « Apud illos quidem figurate celebrabantur ; a nobis autem, re figurata in mysterio exhibita, peraguntur. » Sic tres Regg., decem Colb., Pass., etc. In ed., γὰρ ἐκείνοις. Bill. in prima ed. : « Apud illos quidem figura tenus celebratos (ritus), a nobis autem mystice restitutos et perfectos. » Nicetas : « A nobis autem mystice et vero restituuntur et perficiuntur. Quo in genere est illorum circumcisio et noster baptismus, illorum Pascha, agnus sensibilis, et nostrum Pascha, Christus. »

(24) *Ἐπιδημίαν*. Plures optimæ notæ codd., ἐνδημίαν, « Spiritus præsentiam. »

(25) *Σεβάσμιον*. In nonnullis, θαυμάσιον.

(26) *Τὰ μὲν δή*. Sic Reg. ph. Alii, τὰ μὲν οὖν. Deest δή in ed.

(27) *Ἐνδημίας*. Sic quatuor Regg., Oxon., etc. In ed., ἐκδημίας, « discessum. »

(28) *Πείθῃ*. Duo Colb., πείθει. « Quoad mihi cujuspiam oratio persuaserit. Nunquam autem persuadebit, » inquit Nicetas. Hic Gregorius perstringit Origenem, qui animas corpore detineri docebat, nec nisi eo exutas nativam assequi perfectionem.

(29) *Τοῦ σώματος*. Tres Regg., Coisl. 1, Or. 1, etc., τῷ σώματι.

(30) *Ἀστέρος*. Savil., ἀστέρων.

(31) *Λιθαζόμενος*. Sic codd. Prave in ed., λιπαζόμενος.

(32) *Ἐκκακοῦμεν*. Sic plures Regg., Coisl. 1, Par. In nonnullis, ἐκκακῶμεν. In ed., ἐκκαμοῦμεν, « succumbamus. »

(33) *Ὥσπερ*. Comb., ὅσπερ.

(34) *Ἀλλ'*. Deest in quinque Regg., Or. 1 et Savil.

παρέσται δεσποτικῶς, ἀλλ' οὐ δουλικῶς, οὐδὲ ἀναμένον ἐπίταγμα, ὥς τινες οἴονται. Πνεῖ γὰρ ὅπου θέλει, καὶ ἐφ' οὓς (35) βούλεται, καὶ ἡνίκα, καὶ ὅσον. Οὕτως ἡμεῖς καὶ νοεῖν καὶ λέγειν ἐμπνεόμεθα περὶ (36) τοῦ Πνεύματος.

lium ipsius judiciorum, quibus res nostras sapienter moderatur, est ratio. Atque hujusmodi quidem sunt, quæ ad Christum pertinent; et quæ postea sequentur, splendidiora conspiciemus, utinamque et ipsi conspiciamur. Ad Spiritus autem mysteria explicanda, Spiritus ipse mihi adsit, tantamque dicendi facultatem tribuat, quantam cupio : aut si non tantam, at certe quæ huic festi celebritati par sit. Ac profecto aderit heriliter, non serviliter, nec jussum atque imperium, ut quibusdam videtur, exspectans. Spirat enim ubi vult, et super quos vult, et quando, et quantum. Ex divino nobis est afflatu, ut sic de Spiritu sentiamus et loquamur.

Ϛ'. Τὸ Πνεῦμα τὸ ἅγιον οἱ μὲν εἰς κτίσμα κατάγοντες (37), ὑβρισταὶ, καὶ δοῦλοι κακοὶ, καὶ κακῶν κάκιστοι. Δούλων γὰρ κακῶν, ἀθετεῖν δεσποτείαν, καὶ ἐπανίστασθαι κυριότητι, καὶ ὁμόδουλον ποιεῖν ἑαυτοῖς τὸ ἐλεύθερον. Οἱ δὲ Θεὸν νομίζοντες, ἔνθεοι καὶ λαμπροὶ τὴν διάνοιαν. Οἱ δὲ καὶ ὀνομάζοντες, εἰ μὲν εὐγνώμοσιν, ὑψηλοί· εἰ δὲ ταπεινοῖς, οὐκ οἰκονομικοί· πηλῷ μαργαρίτην πιστεύοντες, καὶ ἀκοῇ σαθρᾷ βροντῆς ἦχον, καὶ ὀφθαλμοῖς ἀσθενεστέροις ἥλιον, καὶ τροφὴν στερεὰν τοῖς ἔτι γάλα ποτιζομένοις (38)· δέον κατὰ μικρὸν προάγειν (39) αὐτοὺς εἰς τὸ ἔμπροσθεν, καὶ προβιβάζειν τοῖς ὑψηλοτέροις, φωτὶ φῶς χαριζομένους, καὶ ἀληθείᾳ προξενοῦντας ἀλήθειαν· διὸ καὶ ἡμεῖς τὸν τελειότερον τέως (40) ἀφέντες λόγον (οὔπω γὰρ καιρὸς), οὕτως αὐτοῖς διαλεξόμεθα.

736 VI. Qui Spiritum sanctum in rerum creatarum ordinem dejiciunt, contumeliosi sunt et mali servi, atque adeo malorum pessimi. Malorum enim servorum est, imperium rejicere, et adversus dominationem insurgere, atque id, quod liberum est, in eamdem secum servitutis classem redigere. Qui autem Deum eum censent, divini profecto viri sunt, ac splendido animo præditi. Qui vero etiam appellant, si quidem apud viros probos, sublimes et excelsi sunt : sin autem apud abjectos et humi provolutos, haud satis prudenter agunt; utpote qui luto margaritam, et imbecillæ auri tonitrui sonum, et solem infirmis oculis, et lacte adhuc utentibus solidum cibum committant; cum eos paulatim ad ulteriora promovere, atque ad sublimiora provehere conveniat, lumini lumen largiendo, ac veritati veritatem conciliando. Quocirca nos quoque, perfectiori interim sermone misso facto (nondum enim tempus id postulat), ad hunc modum cum ipsis disseremus.

Ζ'. Εἰ μὲν οὐδὲ ἄκτιστον, ὦ οὗτοι, ὁμολογεῖτε τὸ Πνεῦμα τὸ ἅγιον, οὐδὲ ἄχρονον, τοῦ ἐναντίου πνεύματος σαφῶς ἡ ἐνέργεια· δότε γὰρ τῷ ζήλῳ τι καὶ παρατολμῆσαι μικρόν. Εἰ δὲ τοσοῦτον γοῦν ὑγιαίνετε, ὥστε τὴν πρόδηλον φεύγειν ἀσέβειαν, καὶ τῆς δουλείας ἔξω τιθέναι τὸ καὶ ἡμᾶς (41) ποιοῦν ἐλευθέρους, τὸ ἑξῆς αὐτοὶ σκέψασθε, μετὰ τοῦ ἁγίου Πνεύματος, καὶ ἡμῶν. Πείθομαι γὰρ πως τούτου μετέχειν ὑμᾶς, καὶ ὡς οἰκείοις ἤδη συνδιασκέψομαι (42). Ἢ δότε μοι τὸ μέσον τῆς δουλείας (43), καὶ τῆς δεσποτείας, ἵν' ἐκεῖ θῶ τὴν ἀξίαν τοῦ Πνεύματος· ἢ τὴν δουλείαν φεύγοντες, οὐκ ἄδηλον, ὅποι τάξετε τὸ ζητούμενον (44). Ἀλλὰ ταῖς συλλαβαῖς δυσχεραίνετε, καὶ προσπταίετε τῇ φωνῇ, καὶ λίθος προσκόμματος ὑμῖν τοῦτο γίνεται, καὶ πέτρα σκανδάλου, ἐπεὶ καὶ Χριστὸς τισίν. Ἀνθρώπινον τὸ πάθος. Συμβῶμεν ἀλλήλοις πνευματικῶς. Γενώμεθα φιλάδελφοι μᾶλλον, ἢ φίλαυτοι. Δότε τὴν δύναμιν τῆς θεότητος, καὶ δώσομεν ὑμῖν (45) τῆς φωνῆς τὴν συγχώρησιν· ὁμο-

VII. Si quidem, o viri, nec increatum, nec temporis expertem Spiritum sanctum creditis, spiritu adversario haud dubie afflamini : dabitis enim veniam, si zelo commotus, asperius aliquod verbum extulero. Quod si hactenus saltem recte sentitis, ac belle valetis, ut manifestam impietatem fugiatis, atque eum, qui nos quoque liberos efficit, a servili ordine eximatis, quod sequitur, una cum Spiritu sancto ac nobis, expendite. Vos quippe quadamtenus ipsius participes esse confido, ac jam velut cum nostris simul rem considerabo. Aut mihi aliquid, quod inter servitutem et dominationem interjectum sit, date, ut illic Spiritus dignitatem collocem : aut, cum servitutis nomen fugiatis, non obscurum erit, quo loco atque ordine id, quod exquiritur, ponetis. At syllabas moleste fertis, atque ad vocem impingitis, lapisque offensionis et petra scandali hoc vobis efficitur [66], nec mirum, cum Christus quoque nonnullis scandalo fuerit. Humanus

[66] Isa. VIII, 14 ; Rom. IX, 33.

(35) *Ἐφ' οὕς*. Reg. d. ad marg., ἐφ' ὅσους.
(36) *Περί*. Sic plerique melioris notæ codd. In Par. ed., παρά. « Sic nos, Spiritu afflati, et cogitamus et loquimur. »
(37) *Κατάγοντες*. In nonnullis, καταβάλλοντες. Ita olim legebatur in Regg. bm et ph. Sed nunc, altera manu, ut in editis.
(38) *Γάλα ποτιζομένοις*. In quibusdam, γαλακτιζομένοις.
(39) *Προάγειν*. Sic magno consensu codices. In ed., προσάγειν.
(40) *Τελειότερον τέως*. Sic quinque Regg., sex Colb., Or. 1 et Pass. Deest τέως in edit.
(41) *Ἡμᾶς*. Sic Nicetas. Sic etiam legit Billius. In ed., ὑμᾶς.
(42) *Συνδιασκέψομαι*. Sic Regg. bm, ph, Savil., etc. Comb., συνδιασκεψόμεθα. In ed., συνδιασκέψωμαι.
(43) *Τῆς δουλείας*. Deest τῆς, sicut et mox ante δεσποτείας, in pluribus Regg.
(44) *Ὅποι τάξετε τὸ ζητούμενον*. Sav., ὅπῃ. Deest τό in Coisl. 1. « Quod quæritur, » nempe « Spiritus, » de quo quæstio est.
(45) *Δώσομεν ὑμῖν*, etc. « Dabimus vobis vocis veniam; nequaquam, » ut ait Nicetas, « eam a vobis exigentes. »

is quidem affectus. Verum spiritualiter inter nos hanc controversiam transigamus : fraternæ potius charitatis studium, quam nostri amorem præ nobis feramus. Vim divinitatis ac potentiam nobis date, et nos vicissim divinitatis vocem vobis concedemus. Naturam aliis vocibus, quibus plus 737 tribuitis, confiteamini; ac vos, ut infirmos curabimus, nonnulla vobis grata et jucunda suffurantes. Etenim turpe quidem illud est, turpe, inquam, ac perabsurdum, cum animo valeatis, circa vocis sonum jejunos et minutos vos præbere, ac thesaurum occultare, quasi aliis cum invidentes, aut metuentes, ne linguam quoque vestram sanctificetis; turpius autem nobis est, eodem vitio teneri, quod vobis objicimus, atque, cum vestram de minutis rebus contentionem damnemus, minute etiam de litteris disputare.

A λογήσατε τὴν φύσιν ἐν ἄλλαις φωναῖς, αἷς αἰδεῖσθε μᾶλλον (46)· καὶ ὡς ἀσθενεῖς ὑμᾶς ἰατρεύσομεν (47)· ἔστιν ἃ καὶ τῶν πρὸς ἡδονὴν παρακλέψαντες. Αἰσχρὸν μὲν γὰρ, αἰσχρὸν, καὶ ἱκανῶς ἄλογον, κατὰ ψυχὴν ἐῤῥωμένους (48), μικρολογεῖσθαι περὶ τὸν ἦχον, καὶ κρύπτειν τὸν θησαυρὸν, ὥσπερ ἄλλοις βασκαίνοντας, ἢ μὴ (49) καὶ τὴν γλῶσσαν ἁγιάσητε δεδοικότας· αἴσχιον δὲ ἡμῖν ὃ ἐγκαλοῦμεν παθεῖν, καὶ μικρολογίαν καταγινώσκοντας, αὐτοὺς μικρολογεῖσθαι περὶ τὰ γράμματα.

VIII. Trinitatem, o viri, unius Deitatis esse fateamini, aut, si magis placet, unius naturæ; atque hanc vocem, *Deus*, a Spiritu vobis postulabimus. Dabit enim profecto secundum, qui primum dedit, idque potissimum, si id de quo pugnatur, spiritualis quædam timiditas fuerit, non autem diabolica contentio. Atque, ut apertius et compendiosius loquar, sic inter nos agamus, ut nec vos, sublimioris vocis causa, nos in crimen vocetis (nec enim invidia et reprehensione premi debet hujusmodi ascensus); nec nos vicissim eam vocem, cujus modo capaces estis, vobis objiciemus, quandiu alio itinere ad idem hospitium feremini. Non enim victoriam ambimus, sed, ut fratres, quorum disjunctione cruciamur, ad nos redeant, laboramus. Atque hæc ad vos dicta sint, apud quos vitale quidpiam reperimus, quippe qui sane atque integre de Filio sentiatis; quorum, cum vitam mirifice probemus, doctrinam tamen non omni ex parte laudamus; qui cum ea, quæ sunt Spiritus, habeatis, Spiritum quoque insuper assumite, ut non solum certetis, sed etiam legitime, cum hinc quoque coronæ decus comparetur. Hoc vobis morum et vitæ præmium detur, ut Spiritum plene perfecteque confiteamini, ac nobiscum, imo etiam ante nos, quantum æquum est, prædicetis. Atque etiam majus quiddam vestra causa dicere, illudque Apostoli proloqui non dubitabo. Adeo vos amplector atque exosculor; adeo concinnam hanc vestram et compositam vestem revereor, et contractum ex continentia colorem, et sacros hos cœtus, et venerandam virginitatem ac purgationem, et noctes, quas in psalmorum cantione insomnes transigitis, et

B Η'. Μιᾶς Θεότητος, ὦ οὗτοι, τὴν Τριάδα ὁμολογήσατε, εἰ δὲ βούλεσθε, μιᾶς φύσεως· καὶ τὴν Θεὸς φωνὴν παρὰ τοῦ Πνεύματος ὑμῖν αἰτήσομεν. Δώσει γὰρ, εὖ οἶδα, ὁ τὸ πρῶτον δοὺς, καὶ τὸ δεύτερον, καὶ μάλιστα, εἰ δειλία τις εἴη πνευματικὴ, καὶ μὴ (50) ἔνστασις διαβολικὴ, τὸ μαχόμενον. Ἔτι σαφέστερον εἴπω καὶ συντομώτερον· Μήτε ὑμεῖς (51) ἡμᾶς εὐθύνητε τῆς ὑψηλοτέρας φωνῆς (φθόνος γὰρ οὐδεὶς ἀναβάσεως), οὔτε ἡμεῖς τὴν ἐφικτὴν τέως ὑμῖν ἐγκαλέσομεν (52), ἕως ἂν καὶ δι' ἄλλης ὁδοῦ πρὸς τὸ αὐτὸ φέρησθε καταγώγιον. Οὐ γὰρ νικῆσαι ζητοῦμεν, ἀλλὰ προσλαβεῖν ἀδελφοὺς, ὧν τῷ χωρισμῷ σπαρασσόμεθα. Ταῦτα ὑμῖν, παρ' οἷς τι καὶ ζωτικὸν εὑρίσκομεν, τοῖς περὶ τὸν Υἱὸν ὑγιαίνουσιν· ὧν τὸν βίον θαυμάζοντες, οὐκ ἐπαινοῦμεν πάντη (53) τὸν λόγον· C οἱ τὰ τοῦ Πνεύματος ἔχοντες, καὶ τὸ Πνεῦμα προσλάβετε, ἵνα μὴ ἀθλῆτε μόνον, ἀλλὰ καὶ νομίμως, ἐξ οὗ καὶ ὁ στέφανος. Οὗτος ὑμῖν δοθείη τῆς πολιτείας μισθὸς, ὁμολογῆσαι τὸ Πνεῦμα τελείως, καὶ κηρύξαι σὺν ἡμῖν τε καὶ πρὸ ἡμῶν ὅσον ἄξιον. Τολμῶ τι καὶ μεῖζον ὑπὲρ ὑμῶν, τὸ τοῦ Ἀποστόλου φθέγξασθαι. Τοσοῦτον ὑμῶν περιέχομαι, καὶ τοσοῦτον ὑμῶν αἰδοῦμαι (54) τὴν εὔκοσμον ταύτην στολὴν, καὶ τὸ χρῶμα τῆς ἐγκρατείας, καὶ τὰ ἱερὰ ταῦτα συστήματα, καὶ τὴν σεμνὴν παρθενίαν καὶ κάθαρσιν, καὶ τὴν πάννυχον ψαλμῳδίαν, καὶ τὸ φιλόπτωχον, καὶ φιλάδελφον, καὶ φιλόξενον, ὥστε καὶ ἀνάθεμα εἶναι ἀπὸ Χριστοῦ, καὶ παθεῖν τι, ὡς κατάκριτος, δέχομαι· μόνον εἰ σταίητε μεθ' ἡμῶν, καὶ κοινῇ τὴν Τριάδα δοξάσαιμεν. D Περὶ γὰρ τῶν ἄλλων, τί χρὴ καὶ (55) λέγειν, σαφῶς τεθνηκότων (οὓς Χριστοῦ μόνου [56] ἐγεῖραι, τοῦ ζωοποιοῦντος τοὺς νεκροὺς [57] κατὰ τὴν αὐτοῦ

(46) *Αἷς αἰδεῖσθε μᾶλλον.* « Quibus plus tribuitis; » id est, inquit Nicetas, « quas magis honoratis ac veneramini. »

(47) *Ἰατρεύσομεν.* « Curabimus, » more medicorum, qui dulcia quædam indulgent, ut ægri medicamina admittant, nonnulla etiam grata furtim elargientes.

(48) *Κατὰ ψυχὴν ἐῤῥωμένους.* Bill. : « cum animo optime valeatis. » Non certe « optime » animo valebant quos alloquitur Gregorius.

(49) *Ἢ μή.* Sav., εἰ μή. Mox, δεδοικότος. Sic codd. In Par. ed., δεδοικότα.

(50) *Καὶ μή.* Sic plures Regg. et Colb., Or. 1, etc. In ed., ἀλλὰ μή.

(51) *Ὑμεῖς.* Deest in pluribus Regg. et Colb., in Coisl. 1, Or. 1, etc.

(52) *Ἐγκαλέσομεν.* Reg. bm, ἐγκαλέσωμεν.

(53) *Πάντη.* Deest in Regg. bm, pb, etc.

(54) *Τοσοῦτον ὑμῶν αἰδοῦμαι.* Macedonianos hic alloquitur, qui revera, licet de Spiritu sancto non recte sentirent, plurima tamen modestiæ, abstinentiæ, charitatis aliarumque virtutum exempla dabant.

(55) *Καί.* Deest in Regg. bm, pb.

(56) *Μόνου.* Sic Regg. bm, pb, aliique plures. In ed., μόνον.

(57) *Τοὺς νεκρούς.* Sic quatuor Regg., quatuor Colb., Or. 1, Pass. Deest τοὺς in edit.

δύναμιν,• οἳ κακῶς (58) τῷ τόπῳ χωρίζονται, τῷ A λόγῳ συνδεδεμένοι, καὶ τοσοῦτον πρὸς ἀλλήλους ζυγομαχοῦσιν, ὅσον ὀφθαλμοὶ διάστροφοι, τὸ ἓν βλέποντες, καὶ οὐ τῇ ὄψει, τῇ θέσει δὲ στασιάζοντες· εἴ γε καὶ διαστροφὴν αὐτοῖς ἐγκλητέον, ἀλλὰ μὴ τύφλωσιν; Ἐπεὶ δὲ μετρίως ἐθέμην τὰ πρὸς ὑμᾶς, φίλοι, καὶ πρὸς τὸ Πνεῦμα πάλιν ἐπανέλθωμεν· οἶμαι δὲ καὶ ὑμεῖς ἤδη συνέψεσθε.

propensum in pauperes, et fratres, et hospites studium atque amorem, ut anathema etiam a Christo **738** esse [67], ac nonnihil, ut damnatus, perpeti non recusem; modo nobiscum adjungamini, communibusque animis Trinitatem celebremus. Nam quid de aliis dicam, perspicue mortuis (quos ad vitam revocare, Christi solius est, qui sua potentia mortuos vivificat); qui loco male atque improbe distrahuntur, cum doctrinæ vinculo constricti sint, tantumque inter se contendunt, quantum distorti oculi, unam eamdemque rem cernentes, ac non obtutu, sed situ duntaxat inter se dissidentes; si tamen illis distortio et perversitas, non autem cæcitas objicienda est? Postquam autem ad vos utcunque disserui, agedum, ad Spiritum jam ipsum redeamus; ac vos jam, ut opinor, dicentem sequemini.

Θ'. Τὸ Πνεῦμα τὸ ἅγιον ἦν μὲν ἀεὶ, καὶ ἔστι, καὶ ἔσται, οὔτε ἀρξάμενον, οὔτε παυσόμενον, ἀλλ' ἀεὶ B Πατρὶ καὶ Υἱῷ συντεταγμένον (59), καὶ συναριθμούμενον· οὐδὲ γὰρ ἔπρεπεν ἐλλείπειν ποτὲ, ἢ Υἱὸν Πατρὶ, ἢ Πνεῦμα Υἱῷ. Τῷ μεγίστῳ γὰρ ἂν ἦν ἄδοξος ἡ θεότης, ὥσπερ ἐκ μεταμελείας ἐλθοῦσα εἰς συμπλήρωσιν τελειότητος. Ἦν οὖν ἀεὶ μεταληπτὸν, οὐ μεταληπτικόν· τελειοῦν, οὐ τελειούμενον· πληροῦν, οὐ πληρούμενον· ἁγιάζον, οὐχ ἁγιαζόμενον· θεοῦν, οὐ θεούμενον· αὐτὸ ἑαυτῷ ταυτὸν ἀεὶ, καὶ οἷς συντέτακται· ἀόρατον, ἄχρονον, ἀχώρητον, ἀναλλοίωτον, ἄποιον, ἄποσον, ἀνείδεον, ἀναφὲς, αὐτοκίνητον, ἀεικίνητον, αὐτεξούσιον, αὐτοδύναμον, παντοδύναμον (εἰ καὶ πρὸς τὴν πρώτην αἰτίαν, ὥσπερ τὰ τοῦ Μονογενοῦς ἅπαντα, οὕτω δὴ καὶ τὰ τοῦ Πνεύματος ἀναπέμπεται)· ζωὴ, καὶ ζωοποιόν· φῶς, καὶ χορηγὸν φωτός· αὐτοαγαθὸν, καὶ πηγὴ ἀγαθότητος· C Πνεῦμα εὐθὲς, ἡγεμονικὸν, κύριον, ἀποστέλλον, ἀφορίζον, ναοποιοῦν ἑαυτῷ, ὁδηγοῦν, ἐνεργοῦν ὡς βούλεται, διαιροῦν χαρίσματα· Πνεῦμα υἱοθεσίας, ἀληθείας, σοφίας, συνέσεως, γνώσεως, εὐσεβείας, βουλῆς, ἰσχύος, φόβου, τῶν ἀπηριθμημένων (60)· δι' οὗ Πατὴρ γινώσκεται (61), καὶ Υἱὸς δοξάζεται, καὶ παρ' ὧν μόνων γινώσκεται, μία σύνταξις, λατρεία μία, προσκύνησις, δύναμις, τελειότης, ἁγιασμός. Τί μοι μακρολογεῖν; Πάντα ὅσα ὁ Πατὴρ, τοῦ Υἱοῦ, πλὴν τῆς (62) ἀγεννησίας. Πάντα ὅσα ὁ Υἱὸς, τοῦ Πνεύματος, πλὴν τῆς γεννήσεως. Ταῦτα δὲ οὐκ οὐσίας ἀφορίζει, κατά γε τὸν ἐμὸν λόγον, περὶ οὐσίαν δὲ ἀφορίζεται.

IX. Spiritus sanctus semper quidem erat, et est, et erit, nec ullo ortu generatus, nec finem habiturus, sed semper cum Patre et Filio conjunctus, atque connumeratus: nec enim conveniebat ut vel Pater Filio, vel Filius Spiritu sancto unquam careret. Nam alioqui maximum divinitati dedecus conflaretur, ut quæ ad perfectionem tanquam ex pœnitentia venisset. Erat igitur semper perceptibilis, non particeps; perficiens, non ab alio perfectus; explens, non expletus; sanctificans, non sanctificatus; deificans, non deificatus: ipse semper, et secum, et cum iis, quibus adjunctus est, idem et æqualis; invisibilis, temporis expers, nullo loco inclusus, immutabilis; qualitate, quantitate, forma et tactu carens, seipsum movens, ac sempiternum motum habens, arbitrii liber, per se potens, omnipotens (tametsi ad primam causam, ut omnia ea quæ Unigeniti sunt, ita etiam quæ Spiritus sancti sunt, referantur); vita, et vivificans; lux, et lucis largitor; bonitas ipsa, et fons bonitatis; Spiritus rectus, principalis, dominus, mittens, segregans, templum sibi exstruens, viam præmonstrans, arbitratu suo operans, gratiasque dividens; Spiritus adoptionis, veritatis, sapientiæ, intellectus, scientiæ, pietatis, consilii, fortitudinis [68], timoris, quemadmodum numerantur; per quem Pater cognoscitur, et Filius glorificatur, et a quibus solis ipse cognoscitur, una classis, unus cultus, una adoratio, potentia, perfectio, sanctitas. Quid pluribus verbis opus est? Omnia, quæcunque Pater habet, sunt Filii, præterquam **739** quod ingenitus non est. Omnia quæcunque Filius, Spiritus sancti sunt, si generationem exceperis. Hæc porro substantiam non secernunt, ut quidem ipse sentio, verum circa substantiam secernuntur.

Ι'. Ὠδίνεις τὰς ἀντιθέσεις (63); ἐγὼ δὲ τοῦ λόγου D τὸν δρόμον. Τίμησον τὴν ἡμέραν τοῦ Πνεύματος· ἐπίσχες μικρὸν τὴν γλῶτταν, εἰ δυνατόν. Περὶ ἄλλων γλωσσῶν ὁ λόγος· ταύτας αἰδέσθητι, ἢ φοβήθητι,

X. Parturis objectiones? At ego orationis cursum. Diem Spiritui sacrum honori habe; linguam paululum, si fieri potest, comprime. De aliis linguis sermo nobis institutus est; has venerare, aut

[67] Rom. IX, 3. [68] Isa. XI, 12.

(58) *Οἳ κακῶς*, etc. Ruf., « qui male loco discedunt, cum perfidia consonent. »

(59) *Συντεταγμένον*. Regg. n, c, Cypr. et Par. addunt, καὶ συνημμένον. « Quibuscum ejusdem est ordinis, iisque conjunctus et connumeratus. »

(60) *Τῶν ἀπηριθμημένων*. Nicetas addit, παρὰ τῷ Ἡσαΐᾳ, « qui apud Isaiam numerati sunt. » Sic passim loquuntur Patres. Minus recte Billius: « Quemadmodum superius commemoravimus. » Nihil enim superius commemoratum est. Gregorius refert quæ de Christo vaticinans Isaias enumeravit, nempe, « et requievit super eum Spiritus sapientiæ, » etc.

(61) *Γινώσκεται*. Tres Colb et Pass., γνωρίζεται.

(62) *Τῆς*. Deest in plerisque codd. tum ante ἀγεννησίας, tum ante γεννήσεως.

(63) *Τὰς ἀντιθέσεις*. Bill. ad marg., ἀντιλογίας, « refutationes. »

metue, utpote quæ cum igne appareant. Hodie A doceamus; cras argute et artificiose disseremus. Hodie festum agamus; cras inhoneste et indecore nos geremus. Hæc mystice, illa theatrice; hæc ecclesiis, illa foro; hæc sobriis, illa temulentis; hæc serio agentium sunt, illa adversus Spiritum ludentium. Posteaquam autem aliena submovimus, age, nostra componamus.

XI. Primum igitur Spiritus sanctus in angelicis, et cœlestibus virtutibus, iisque, quæ post Deum primæ sunt, eumque circumstant, vim suam exercebat. Neque enim aliunde perfectionem et splendorem habent, idque præterea, ut ad malum ægre, vel nullo prorsus modo moveri queant, quam a Spiritu sancto. Deinde in Patribus et prophetis, quorum alii Deum per imaginem viderunt, aut co- B gnoverunt, alii autem etiam res futuras præsciverunt, impressam nimirum per Spiritum sanctum principem animi partem habentes, et cum futuris tanquam cum præsentibus versantes. Hujusmodi quippe Spiritus vis ac potentia est. Tum in Christi discipulis (Christum enim prætermitto, cui aderat, non ut operans, sed ut æqualem comitans); iisque trifariam, prout ipsorum captus ferebat, tribusque temporibus: nempe, antequam Christus per Passionem glorificatus esset: postquam per Resurrectionem glorificatus fuit: ac denique post ejus ad cœlos Ascensionem, sive restitutionem, sive quocunque alio nomine res ea sit appellanda. Hoc autem perspicue ostendit, tum prima illa morbo- C rum spirituumque depulsio, quæ scilicet non absque Spiritus numine fiebat; tum illa post confectum salutis nostræ **740** negotium insufflatio, quæ divinioris proculdubio inspirationis specimen habebat; tum postremo præsens hæc ignearum linguarum divisio, quam etiam solemni festo celebramus. Verum primo quidem, obscure; deinde, expressius; nunc vero, perfectius, utpote qui non jam operatione sola præsens sit, ut prius, sed essentiali, ut sic loquar, modo adsit, simulque versetur. Nam cum Filius corpoream nobiscum consuetudinem habuisset, Spiritum quoque corporeo modo cerni conveniebat; et cum Christus ad sese reversus esset, eum ad nos descendere et quidem ita, ut et, tanquam Dominus, veniret, et, tanquam Deo nequaquam oppositus, mitteretur. Etenim hujusmodi voces non minus concordiam declarant, quam naturam distrahunt.

μετὰ πυρὸς ὁρωμένας (64). Σήμερον δογματίσωμεν (65), αὔριον τεχνολογήσωμεν· σήμερον ἑορτάσωμεν, αὔριον ἀσχημονήσωμεν. Ταῦτα μυστικῶς, ἐκεῖνα θεατρικῶς· ταῦτα ταῖς ἐκκλησίαις, ἐκεῖνα ταῖς ἀγοραῖς· ταῦτα τοῖς νήφουσιν, ἐκεῖνα τοῖς μεθύουσιν· ταῦτα σπουδαζόντων, ἐκεῖνα παιζόντων κατὰ τοῦ Πνεύματος. Ἐπεὶ δὲ ἀπεσκευασάμεθα τὸ ἀλλότριον, φέρε, καταρτίσωμεν (66) τὸ ἡμέτερον.

ΙΑ'. Τοῦτο ἐνήργει, πρότερον μὲν ἐν ταῖς ἀγγελικαῖς καὶ οὐρανίοις (67) δυνάμεσι, καὶ ὅσαι πρῶται μετὰ Θεὸν, καὶ περὶ Θεόν. Οὐ γὰρ ἄλλοθεν αὐταῖς ἡ τελείωσις καὶ ἡ ἔλλαμψις, καὶ τὸ πρὸς κακίαν δυσκίνητον, ἢ ἀκίνητον, ἢ παρὰ τοῦ ἁγίου Πνεύματος. Ἔπειτα ἐν τοῖς Πατράσι, καὶ ἐν τοῖς προφήταις, ὧν οἱ μὲν ἐφαντάσθησαν Θεὸν, ἢ ἔγνωσαν, οἱ δὲ καὶ τὸ μέλλον προέγνωσαν τυπούμενοι τῷ Πνεύματι τὸ ἡγεμονικὸν, καὶ ὡς παροῦσι συνόντες τοῖς ἐσομένοις. Τοιαύτη γὰρ ἡ τοῦ Πνεύματος δύναμις. Ἔπειτα ἐν τοῖς Χριστοῦ μαθηταῖς (ἐῶ γὰρ Χριστὸν εἰπεῖν, ᾧ παρῆν, οὐχ ὡς ἐνεργοῦν, ἀλλ' ὡς ὁμοτίμῳ συμπαρομαρτοῦν)· καὶ τούτοις τρισσῶς, καθ' ὅσον οἷοί τε ἦσαν χωρεῖν, καὶ κατὰ καιροὺς τρεῖς· πρὶν δοξασθῆναι Χριστὸν τῷ Πάθει· μετὰ τὸ δοξασθῆναι τῇ Ἀναστάσει (68)· μετὰ τὴν εἰς οὐρανοὺς Ἀνάβασιν, ἢ ἀποκατάστασιν, ἢ ὅ τι χρὴ λέγειν. Δηλοῖ δὲ ἡ πρώτη τῶν νόσων, καὶ ἡ τῶν πνευμάτων κάθαρσις, οὐκ ἄνευ Πνεύματος δηλαδὴ γενομένη· καὶ τὸ μετὰ τὴν οἰκονομίαν ἐμφύσημα, σαφῶς ὂν ἔμπνευσις θειοτέρα· καὶ ὁ νῦν μερισμὸς τῶν πυρίνων γλωσσῶν, ὃ καὶ πανηγυρίζομεν (69). Ἀλλὰ τὸ μὲν πρῶτον, ἀμυδρῶς· τὸ δὲ δεύτερον, ἐκτυπώτερον· τὸ δὲ νῦν, τελεώτερον, οὐκ ἔτι ἐνεργείᾳ παρὸν, ὡς (70) πρότερον, οὐσιωδῶς δὲ, ὡς ἂν εἴποι τις, συγγινόμενόν τε καὶ συμπολιτευόμενον. Ἔπρεπε γὰρ, Υἱοῦ σωματικῶς ἡμῖν ὁμιλήσαντος, καὶ αὐτὸ φανῆναι σωματικῶς· καὶ Χριστοῦ πρὸς ἑαυτὸν ἐπανελθόντος, ἐκεῖνο πρὸς ἡμᾶς κατελθεῖν· ἐρχόμενον μὲν ὡς Κύριον, πεμπόμενον δὲ ὡς οὐκ ἀντίθεον. Αἱ γὰρ τοιαῦται φωναὶ οὐχ ἧττον τὴν ὁμόνοιαν δηλοῦσιν, ἢ φύσεις (71) χωρίζουσιν.

XII. Idcirco, post Christum quidem accedit, ne D Paracletus nobis desit: *Alius* autem, ut tu honoris æqualitatem cogites. Quod enim ait, *alius*, alium,

ΙΒ'. Διὰ τοῦτο, μετὰ Χριστὸν μὲν, ἵνα Παράκλητος ἡμῖν μὴ λείπῃ· *Ἄλλος* δὲ, ἵνα σὺ τὴν ὁμοτιμίαν (72) ἐνθυμηθῇς. Τὸ γὰρ, *ἄλλος*, ἄλλος οἷος (73)

(64) *Ὁρωμένας*. Unus Colb., ὁρμωμένας. « Utpote cum igne prolapsas. » Bill. « Ut quæ conspiciantur. »

(65) *Δογματίσωμεν*. Billius in prima ed. « Hodie fidei dogmata proponamus. » Id est, ut exponit Nicetas, « fideliter doctrina de Spiritu sancto, quam Scriptura nobis offert, utamur; cras autem artificiose disseremus, et ab honesto et decoro recedemus; id est, argute et sophistice, et ex dialecticæ artis legibus et methodo disputationem instituemus. » Addit Nicetas: « Hæc verba, » doceamus et festum agamus, « consulendi animo dicuntur; hæc autem, » artificiose disseremus et ab honesto et decoro recedemus, « sunt ironice loquentis, atque hujusmodi res aversantis. Unde et turpitudinem et temulentiam eas vocat, atque ad forum et theatra rejicit. »

(66) *Καταρτίσωμεν*. « Componamus. » Sic magno consensu codd. In ed., καταρτύσωμεν, « instruamus. »

(67) *Οὐρανίοις*. Regg. bm, ph, Or. 1, Savil., οὐρανίαις.

(68) *Τῇ Ἀναστάσει*. Sic plures Regg., novem Colb., Coisl. 1, etc. Deest τῇ in ed.

(69) *Ὃ καὶ πανηγυρίζομεν*. Or. 1, ᾧ καὶ πανηγυρίζομεν. « Cui etiam festum diem consecramus. »

(70) *Ὡς*. Pass. addit, τό.

(71) *Φύσεις*. Sic plures Regg., octo Colb., Coisl. 2, etc. In ed., φύσιν.

(72) *Ὁμοτιμίαν*. Quinque Regg., decem Colb., etc., ἰσοτιμίαν.

(73) *Ἄλλος οἷος*. « Alium, qualis ego sum. » Sic Coisl. 1, Nicet. et Comb. Deest οἷος in ed.

ἐγὼ, καθίσταται. Τοῦτο δὲ συνδεσποτείας, ἀλλ' οὐκ ἀτιμίας ὄνομα. Τὸ γὰρ, *ἄλλος*, οὐκ ἐπὶ τῶν ἀλλοτρίων, ἀλλ' ἐπὶ τῶν ὁμοουσίων οἶδα λεγόμενον. Ἐν γλώσσαις δὲ, διὰ τὴν πρὸς τὸν Λόγον οἰκείωσιν. Πυρίναις δὲ, ζητῶ πότερον διὰ τὴν κάθαρσιν (οἶδε γὰρ ὁ λόγος ἡμῶν καὶ πῦρ καθαρτήριον, ὡς πανταχόθεν [74] βουλομένοις ὑπάρχει μαθεῖν)· ἢ διὰ τὴν οὐσίαν. Πῦρ γὰρ ὁ Θεὸς ἡμῶν, καὶ πῦρ καταναλίσκον τὴν μοχθηρίαν, κἂν πάλιν ἀγανακτῇς τῷ ὁμοουσίῳ στενοχωρούμενος. Μεριζομέναις δὲ, διὰ τὸ τῶν χαρισμάτων διάφορον· καθεζομέναις δὲ, διὰ τὸ βασιλικὸν, καὶ τὴν ἐν τοῖς (75) ἁγίοις ἀνάπαυσιν· ἐπεὶ καὶ Θεοῦ θρόνος τὰ χερουβίμ. Ἐν ὑπερῴῳ δὲ (εἰ μή τῳ περιεργότερος εἶναι δοκῶ τοῦ δέοντος), διὰ τὴν ἀνάβασιν τῶν δεξομένων, καὶ τὴν χαμόθεν ἔπαρσιν· ἐπεὶ καὶ ὕδασι θείοις ὑπερῷά τινα στεγάζεται, δι' ὧν ὑμνεῖται Θεός. Καὶ Ἰησοῦς αὐτὸς ἐν ὑπερῴῳ τοῦ μυστηρίου κοινωνεῖ τοῖς τὰ ὑψηλότερα τελουμένοις, ἵνα ἐκεῖνο παραδειχθῇ, ὅτι τὸ μέν τι καταβῆναι δεῖ Θεὸν πρὸς ἡμᾶς, ὃ καὶ πρότερον ἐπὶ Μωϋσέως οἶδα γενόμενον, τὸ δὲ ἡμᾶς ἀναβῆναι, καὶ οὕτω γενέσθαι (76) κοινωνίαν Θεοῦ πρὸς ἀνθρώπους, τῆς ἀξίας συγκιρναμένης. Ἕως δ' ἂν ἑκάτερον ἐπὶ τῆς ἰδίας μένῃ, τὸ μὲν περιωπῆς (77), τὸ δὲ ταπεινώσεως, ἄμικτος ἡ ἀγαθότης, καὶ τὸ φιλάνθρωπον ἀκοινώνητον· καὶ χάσμα (78) ἐν μέσῳ μέγα καὶ ἀδιάβατον, οὐ τὸν πλούσιον τοῦ Λαζάρου μόνον, καὶ τῶν ὀρεκτῶν Ἀβραὰμ κόλπων διεῖργον, τὴν δὲ γενητὴν φύσιν καὶ ῥέουσαν, τῆς ἀγενήτου (79) καὶ ἑστηκυίας.

A qualis ego sum, constituit. Hoc porro nomen parem imperii gradum indicat, non ignominiam. Vox enim, *alius*, non de alienis, sed de iis, quorum eadem substantia est, usurpatur. Jam vero in linguis apparet, propter cognationem eam, quam cum Verbo habet. Cur autem in linguis igneis [69]? Utrum propter purgationem (ignis autem purgantis Scriptura meminit, quemadmodum cuivis discere promptum est); an vero propter essentiam? Deus enim noster ignis est [70], et quidem ignis improbitatem absumens, discrucieris rursum licet propter consubstantialem in angustias redactus. Atque in dispertitis quidem linguis apparet [71], ob gratiarum diversitatem; sedentibus autem [72], propter regiæ dignitatis excellentiam, ejusque super sanctos requiem; quandoquidem Deus quoque pro throno cherubinos habet [73]. In cœnaculo vero [74] (nisi forte curiosius quam par sit, ista persequi videor), propter eorum qui accepturi sunt, ascensionem, atque a terra subvectionem: nam et cœnacula quædam divinis aquis, a quibus Dei quoque laudes celebrantur, tegi audivimus [75]. Atque ipse Jesus, cum sublimioribus rebus discipulos initiaret, mysterium ipsis in cœnaculo impertit [76], ut illud indicetur, et Deum ad nos descendere oportere, quemadmodum olim in Moyse contigisse scimus [77], et nos ad eum ascendere, sicque Deum cum hominibus consortium inire, **741** dignitate commista. Quandiu autem uterque in propriis manserit, Deus scilicet in sua specula, et homo in humilitate sua, nec bonitas miscebitur, nec benignitas communicabitur; sed erit magnum et inextricabile chaos interjectum [78], non modo divitem a Lazaro, et expetendo illo Abrahæ sinu dirimens, verum etiam procreatam et fluxam atque caducam naturam, ab increata et stabili.

ΙΓ'. Τουτο ἐκηρύχθη μὲν ὑπὸ τῶν προφητῶν, ὡς ἐν τῷ (80), *Πνεῦμα Κυρίου ἐπ' ἐμέ* (81)· καὶ, *Ἀναπαύσεται ἐπ' αὐτὸν ἑπτὰ Πνεύματα*· καὶ, *Κατέβη Πνεῦμα Κυρίου* (82), *καὶ ὡδήγησεν αὐτούς*· καὶ, Πνεῦμα ἐπιστήμης ἐμπλῆσαν Βεσελεὴλ τὸν ἀρχιτέκτονα τῆς σκηνῆς· καὶ, Πνεῦμα παροξυνόμενον· καὶ, Πνεῦμα ἐξᾶραν Ἠλίαν ἐν ἅρματι, καὶ ζητηθὲν παρὰ Ἐλισσαίου διπλάσιον· καὶ, πνεύματι ἀγαθῷ καὶ ἡγεμονικῷ Δαβὶδ ὁδηγούμενός τε καὶ στηριζόμενος. Ἐπηγγέλθη δὲ, ὑπὸ μὲν Ἰωὴλ πρότερον· *Καὶ ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις, λέγοντος· Ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα*

C XIII. Hic a prophetis quidem prædicatus est, quemadmodum ex his Scripturæ locis patet: *Spiritus Domini super me* [79]: et, *Requiescent super eum Spiritus septem* [80]: item, *Descendit Spiritus Domini, et deduxit eos* [81]: ad hæc, Spiritus scientiæ a quo Beseleel, tabernaculi architectus, impletus est [82]: ac præterea, Spiritus ad iracundiam provocatus [83]: insuper, Spiritus qui Eliam in curru extulit, ac duplex ab Eliseo postulatus est [84]: adde spiritum bonum et principalem [85], quo David deducitur et confirmatur. Promissus autem est; prius

D quidem a Joele his verbis utente: *Et erit in no-*

[69] Act. II, 3 sqq. [70] Deut. IV, 24. [71] Act. II, 3. [72] ibid. [73] Isa. XXXVII, 16. [74] Act. I, 13. [75] II Reg. XVIII, 33; Act. IX, 37. [76] Luc. XXII, 22 sqq. [77] Exod. III, 2. [78] Luc. XVI, 26. [79] Isa. LXI, 1. [80] Isa. XI, 2. [81] Isa. LXIII, 14. [82] Exod. XXXV, 30 sqq. [83] Isa. LXIII, 10. [84] IV Reg. II, 9 sqq. [85] Psal. L, 14.

(74) *Πανταχόθεν*. Regg. bm, pb, decem Colb., etc., πολλαχόθεν.

(75) *Ἐν τοῖς*. Reg. pb et sex Colb., ἐπὶ τοῖς.

(76) *Καὶ οὕτω γενέσθαι*, etc. Nicet. Συγκιρνωμένου τοῦ θείου ἀξιώματος τῇ εὐτελείᾳ· « Divina majestate se nostræ vilitati commiscente. » Non bene Billius: « sicque inter Deum et homines consortium iniri, utriusque videlicet dignitate inter se commista; » quasi aliqua esset hominis dignitas cum Deo collata.

(77) *Περιωπῆς*. Sic Bas. ed. et Comb. Alii, περιοπῆς, male. Edit.

(78) *Χάσμα*, etc. « Vorago, hiatus magnus et impermeabilis. » Plures codices hoc ordine legunt: χάσμα μέγα ἐν μέσῳ.

(79) *Γενητὴν... ἀγενήτου*. Sic plerique optimæ notæ codd. In ed., γεννητὴν... ἀγεννήτου.

(80) *Ὡς ἐν τῷ*. Sic Regg. et Colb. plures. In nonnullis, ὡς ἐν τό. In ed., ἕως ἐν τῷ.

(81) *Ἐπ' ἐμέ*. Nonnulli codd. addunt, οὗ εἵνεκεν ἔχρισέ με. « Propterea unxit me. » Sic etiam legerat Billius.

(82) *Πνεῦμα Κυρίου*. In quibusdam, παρὰ Κυρίου.

vissimis diebus : *Effundam de Spiritu meo super omnem carnem* (scilicet fide præditam), *et super filios vestros et super filias vestras* [86], et quæ sequuntur ; postea autem ab ipso quoque Jesu, qui, ut a Spiritu glorificatur [87], ita vicissim quoque ipsum glorificat; quemadmodum et Patrem glorificat, et a Patre glorificatur [88]. Et hæc quidem promissio, quam larga et copiosa est, fore ut in æternum permaneat [89]; sive nunc cum his qui per tempus digni erunt; sive in posterum cum his, qui alterius ævi bonis digni habebuntur; posteaquam videlicet ipsum per honestam et præclaram vitæ rationem integrum servaverimus, ac non hactenus amiserimus, quatenus in peccatum prolapsi fuerimus

A (δηλαδὴ τὴν πιστεύουσαν [83]), *καὶ ἐπὶ τοὺς υἱοὺς ὑμῶν, καὶ ἐπὶ τὰς θυγατέρας ὑμῶν*, καὶ τὰ ἑξῆς· ὑπὸ δὲ Ἰησοῦ καὶ ὕστερον, δοξαζομένου τε καὶ ἀντιδοξάζοντος, ὡς τὸν Πατέρα, καὶ ὑπὸ τοῦ Πατρός. Καὶ ἡ ἐπαγγελία, ὡς δαψιλὴς, συνδιαιωνίζειν (84) καὶ συμπαραμενεῖν, εἴτουν νῦν τοῖς κατὰ καιρὸν (85) ἀξίοις, εἴτε ὕστερον τοῖς τῶν ἐκεῖσε ἀξιουμένοις, ὅταν ὁλόκληρον αὐτὸ τῇ πολιτείᾳ φυλάξωμεν, ἀλλὰ μὴ τοσοῦτον ἀποβάλωμεν, καθ' ὅσον ἂν ἁμαρτάνωμεν.

XIV. Hic Spiritus cum Filio quidem rerum creationem et resurrectionem fabricatur. Suadeat tibi istud : *Verbo Domini cœli firmati sunt, et Spiritu oris ejus omnis virtus eorum* [90]; et, *Spiritus divinus, qui fecit me : Flatus omnipotentis, qui docet me* [91]; et rursus, *Emittes Spiritum tuum et creabuntur, et renovabis faciem terræ* [92]. Est etiam ille spiritualis regenerationis auctor. Hujus rei tibi fidem faciat, quod Christus ait : *Neminem regnum videre aut accipere posse, nisi qui per Spiritum desuper renatus fuerit* [93], ac per diurnam et lucidam **742** creationem, qua per sese quisque fingitur, a priori generatione, quæ noctis arcanum est, purificatus fuerit. Hic Spiritus, utpote sapientissimus, atque hominum amantissimus, si pastorem nactus fuerit, psaltem efficit, pravos spiritus incantantem, atque Israelis regem designat [94]. Si caprarium moros vellicantem, prophetam reddit. Davidem [95] et Amos [96] cogita. Si adolescentem pulchræ indolis acceperit, presbyterorum judicem constituit, idque supra quam ætatis ratio ferre videtur. Testis est Daniel [97], qui leones in lacu superavit. Si piscatores invenerit, Christo irretit, ut orbem universum sermonis retibus complectantur. Petrum mihi atque Andream accipe, tonitruique filios [98], qui spiritualia intonuerunt. Si publicanos, ad discipulatum elucratur, atque animarum negotiatores efficit. Testis Matthæus [99], heri publicanus, hodie evangelista. Si feroces persecutores, zelum commutat, ac Paulos pro Saulis facit, nec minus pios reddit, quam impios offenderat [1]. Hic et lenitatis est Spiritus; et tamen in eos, qui peccant, incitatur. Proinde lenem ipsum et clementem, non autem iracundum experiamur, dignitatem ipsius confitentes, ac blasphemiam fugientes, nec eum implacabiliter irascen-

ΙΔ'. Τοῦτο τὸ Πνεῦμα συνδημιουργεῖ μὲν Υἱῷ καὶ τὴν κτίσιν καὶ τὴν ἀνάστασιν. Καὶ πειθέτω σε τὸ, B *Τῷ Λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ Πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν· Πνεῦμά τε θεῖον τὸ ποιῆσάν με· Πνοὴ δὲ παντοκράτορος ἡ διδάσκουσά με·* καὶ πάλιν· *Ἐξαποστελεῖς τὸ Πνεῦμά σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς.* Δημιουργεῖ δὲ (86) τὴν πνευματικὴν ἀναγέννησιν· καὶ πειθέτω σε τὸ, *Μηδένα δύνασθαι τὴν βασιλείαν ἰδεῖν ἢ λαβεῖν, ὅς τις μὴ ἄνωθεν ἐγεννήθη Πνεύματι*, καὶ τὴν προτέραν ἐκαθαρίσθη γέννησιν, ἣ νυκτός ἐστι μυστήριον, ἡμερινῇ καὶ φωτεινῇ διαπλάσει, ἣν καθ' ἑαυτὸν (87) ἕκαστος διαπλάττεται. Τοῦτο τὸ Πνεῦμα (σοφώτατον γὰρ καὶ φιλανθρωπότατον), ἂν ποιμένα λάβῃ, ψάλτην ποιεῖ, πνευμάτων πονηρῶν κατεπᾴδοντα, καὶ βασιλέα τοῦ Ἰσραὴλ ἀναδείκνυσιν C (88). Ἐὰν αἰπόλον συκάμινα κνίζοντα, προφήτην ἐργάζεται. Τὸν Δαβὶδ καὶ τὸν Ἀμὼς ἐνθυμήθητι. Ἐὰν μειράκιον εὐφυὲς λάβῃ, πρεσβυτέρων ποιεῖ κριτὴν καὶ παρ' ἡλικίαν. Μαρτυρεῖ Δανιὴλ, ὁ νικήσας ἐν λάκκῳ λέοντας. Ἐὰν ἁλιέας εὕρῃ, σαγηνεύει Χριστῷ, κόσμον ὅλον τῇ τοῦ λόγου πλοκῇ συλλαμβάνοντας. Πέτρον λάβε μοι, καὶ Ἀνδρέαν, καὶ τοὺς υἱοὺς τῆς βροντῆς, τὰ πνευματικὰ βροντήσαντας. Ἐὰν τελώνας, εἰς μαθητείαν κερδαίνει, καὶ ψυχῶν ἐμπόρους δημιουργεῖ. Φησὶ Ματθαῖος, ὁ χθὲς τελώνης, καὶ σήμερον εὐαγγελιστής. Ἐὰν διώκτας θερμοὺς, τὸν ζῆλον μετατίθησι, καὶ ποιεῖ Παύλους ἀντὶ Σαύλων, καὶ τοσοῦτον εἰς εὐσέβειαν, ὅσον εἰς κακίαν κατέλαβεν. Τοῦτο καὶ Πνεῦμά ἐστι πραότητος· καὶ παροξύνεται τοῖς ἁμαρτάνουσιν. Τοιγαροῦν D πειραθῶμεν ὡς πράου, καὶ μὴ ὀργίλου, τὴν ἀξίαν ὁμολογοῦντες, καὶ τὸ βλάσφημον (89) φεύγοντες, καὶ μὴ βουληθῶμεν ἰδεῖν ὀργιζόμενον ἀσυγχώρητα. Τοῦτο κἀμὲ ποιεῖ σήμερον ὑμῖν τολμηρὸν κήρυκα· εἰ μὲν

[86] Joel II, 28. [87] Joan. XVI, 14. [88] Joan. VIII, 54. [89] Joan. XIV, 16. [90] Psal. XXXII, 6. [91] Job XXXIII, 4. [92] Psal. CIII, 30. [93] Joan. III, 5. [94] I Reg. XVI, 12 sqq. [95] ibid. 11. [96] Amos I, 1. [97] Dan. XIII, 45. [98] Matth. IV, 18-21. [99] Matth. IX, 9. [1] Act. VIII, 3 sqq.

(83) *Πιστεύουσαν*. Regg. bm, ph, etc., πιστεύσασαν.

(84) *Συνδιαιωνίζειν*. Sic Regg. bm, ph, Coisl. 1, etc. In ed., συνδιαιωνίσει.

(85) *Κατὰ καιρόν*. « Pro tempore, per tempus. » Minus apte Bill. « ad tempus, » quasi Spiritus gratia ex se « ad tempus » sit.

(86) *Δημιουργεῖ δέ*. Sic plures Regg. et Colb., Comb., etc. Deest δέ in ed.

(87) *Ἣν καθ' ἑαυτόν*, etc. « Suopte proposito animique voluntate, » ut ait Nicetas. « Nam baptismi regeneratio libera, » etc.

(88) *Ἀναδείκνυσιν*. Duo Colb. et Jes. addunt : Ἐὰν νέον ἐκ ποιμένων, ἀριστέα κατ' ἀλλοφύλων ἐργάζεται. Ἔχεις τὴν κατὰ τοῦ Γολιὰθ νίκην τοῦ Δαβὶδ μαρτυροῦσαν τῷ λόγῳ· « Si ex pastoribus juvenem, extraneis præstantiorem efficit. Testis est victoria quam David adversus Goliath reportavit. » Verum Nicetas ista non agnoscit, nec Rufinus

(89) *Βλάσφημον*. Pass., βλασφημεῖν.

οὖν (90) οὐδὲν πεισόμενον, τῷ Θεῷ χάρις· εἰ δὲ πεισόμενον, καὶ οὕτω χάρις· τὸ μὲν, ἵνα φείσηται τῶν μισούντων ἡμᾶς· τὸ δὲ, ἵν' ἡμᾶς ἁγιάσῃ, μισθὸν τοῦτον (91) λαβόντας τῆς ἱερουργίας τοῦ Εὐαγγελίου, τὸ τελειωθῆναι δι' αἵματος.

tem videre in animum inducamus. Hic me quoque hodierno die prælidentem et audacem præconem reddit : si nihil propterea perpessurus sum, Deo sit gratia; si autem perpessurus, sic quoque Deo gratia : alterum, ut iis, qui nobis infesti sunt, parcat : alterum, ut nos sanctificet, hoc videlicet evangelici ministerii præmium consecutos, ut cruenta morte perfungamur.

ΙΕ'. Ἐλάλουν μὲν οὖν ξέναις γλώσσαις, καὶ οὐ πατρίοις (92), καὶ τὸ θαῦμα μέγα, λόγος ὑπὸ τῶν οὐ μαθόντων λαλούμενος· καὶ τὸ σημεῖον (93) τοῖς ἀπίστοις, οὐ τοῖς πιστεύουσιν, ἵν' ᾖ τῶν ἀπίστων κατήγορον, καθὼς γέγραπται· *Ὅτι ἐν ἑτερογλώσσοις* (94), *καὶ ἐν χείλεσιν ἑτέροις, λαλήσω τῷ λαῷ τούτῳ, καὶ οὐδ' οὕτως εἰσακούσονταί μου* (95), *λέγει Κύριος*. Ἤκουον δέ. Μικρὸν ἐνταῦθα ἐπίσχες, καὶ διαπόρησον, πῶς διαιρήσεις τὸν λόγον. Ἔχει γάρ τι ἀμφίβολον ἡ λέξις (96), τῇ στιγμῇ διαιρούμενον. Ἆρα γὰρ ἤκουον ταῖς ἑαυτῶν διαλέκτοις ἕκαστος (97), ὡς φέρε εἰπεῖν, μίαν μὲν ἐξηχεῖσθαι φωνὴν, πολλὰς δὲ ἀκούεσθαι, οὕτω κτυπουμένου τοῦ ἀέρος, καὶ, ἵν' εἴπω σαφέστερον, τῆς φωνῆς φωνῶν γινομένων (98)· ἢ τὸ μὲν, *Ἤκουον*, ἀναπαυστέον, τὸ δὲ, *Λαλούντων ταῖς ἰδίαις φωναῖς*, τῷ ἑξῆς προσθετέον, ἵν' ᾖ, *Λαλούντων φωναῖς*, ταῖς ἰδίαις τῶν ἀκουόντων, ὅπερ γίνεται, *ἀλλοτρίαις*· καθὰ καὶ (99) μᾶλλον τίθεμαι. Ἐκείνως μὲν γὰρ τῶν ἀκουόντων ἂν εἴη μᾶλλον, ἢ τῶν λεγόντων, τὸ θαῦμα· οὕτω δὲ τῶν λεγόντων· οἳ καὶ μέθην καταγινώσκονται, δῆλον ὡς αὐτοὶ θαυματουργοῦντες περὶ τὰς φωνὰς τῷ Πνεύματι.

XV. At vero linguis externis, non autem vernaculis, apostoli loquebantur [2], singularique miraculo sermo ab his, qui non didicerant, proferebatur; signumque illud infidelibus erat, non fidelibus, ut infidelium accusator esset, sicut scriptum est : *Quoniam in aliis linguis, et in labiis aliis, loquar populo huic, nec sic exaudient me, dicit Dominus* [3]. Audiebant **743** autem. Verum hic paululum consiste, atque ambige quo modo distinguenda sit oratio. Textus enim nonnullam ambiguitatem habet, interpunctione dirimendam. Utrum enim audiebant sua quisque dialecto, ita ut, verbi gratia, vox quidem una emitteretur, multæ autem audirentur, sic videlicet pulsato ac perstrepente aere, pluribusque vocibus, et, ut magis perspicue dicam, ex una voce effectis : an potius in hoc verbo, *Audiebant*, punctum statuendum est; atque hæc verba, *Loquentes suis linguis* [4], cum his, quæ sequuntur, jungenda sunt, ut sic legatur, *loquentes linguis*, propriis scilicet audientium, hoc est, *externis*; qui etiam sensus mihi magis arridet. Nam in primo quidem sensu, eorum potius, qui audiebant, quam qui verba faciebant, hoc miraculum fuerit; in isto autem, eorum qui loquebantur; utpote qui etiam temulentiæ insimulantur, haud dubie, quia ipsi Spiritus operatione novum quoddam miraculum circa voces designabant.

ΙϚ'. Πλὴν ἐπαινετὴ μὲν καὶ ἡ παλαιὰ διαίρεσις τῶν φωνῶν (ἡνίκα τὸν πύργον ᾠκοδόμουν οἱ κακῶς καὶ ἀθέως ὁμοφωνοῦντες, ὥσπερ καὶ τῶν νῦν τολμῶσί τινες)· τῇ γὰρ τῆς φωνῆς διαστάσει συνδιαλυθὲν τὸ ὁμόγνωμον, τὴν ἐγχείρησιν ἔλυσεν· ἀξιεπαινετωτέρα δὲ ἡ νῦν θαυματουργουμένη. Ἀπὸ γὰρ ἑνὸς Πνεύματος εἰς πολλοὺς χυθεῖσα (1), εἰς μίαν ἁρμονίαν πάλιν συνάγεται. Καὶ ἔστι διαφορὰ χαρισμάτων, ἄλλου (2) δεομένη χαρίσματος, πρὸς διάκρισιν τοῦ (3) βελτίονος· ἐπειδὴ πᾶσαι τὸ ἐπαινετὸν ἔχουσι. Καλὴ δ' ἂν κἀκείνη λέγοιτο, περὶ ἧς Δαβὶδ λέγει· *Καταπόντισον, Κύριε, καὶ καταδίελε τὰς*

XVI. Quanquam autem laudabilis quoque fuit vetus illa linguarum divisio (cum scilicet male atque impie inter se concordes erant, qui turrim exstruebant [5], quemadmodum nunc quoque quidam facere non verentur), dissoluta simul, cum linguarum divortio, animorum concordia, susceptum negotium abrupit; laudabilior tamen est ea, quæ nunc insigni miraculo patratur. Ab uno enim Spiritu in multos diffusa, ad unum concentum rursus connectitur. Atque gratiarum diversitas est, alia gratia opus habens, ad discernendum quænam sit præstantior; quandoquidem nulla est, quæ laude

[2] Act. II 4. [3] Isa. XXVIII, 11; I Cor. XIV 21. [4] Act. II, 6. [5] Gen. XI, 1 sqq.

(90) *Οὖν*. Deest in Or. 1.
(91) *Τοῦτον*. Sic Regg. bm, ph et Savil. In ed., τοῦτο.
(92) *Πατρίοις*. Sic sex Regg., quatuor Colb., duo Coisl., Par., etc. Mendose in ed., μετρίοις.
(93) *Τὸ σημεῖον*. Apostolus, I Cor. XIV, 22, ait : « Linguæ in signum sunt, non fidelibus, sed infidelibus. »
(94) *Ἐν ἑτερογλώσσοις*, etc. Chrysostomus hæc verba Isaiæ tribuit. Habet enim Isa. XXVIII, 11 : Διὰ φαυλισμὸν χειλέων, διὰ γλώσσης ἑτέρας, ὅτι λαλήσουσι τῷ λαῷ τούτῳ. Quod Vulgata sic vertit : « In loquela enim labii, et lingua altera, loquetur ad populum istum. » Legitur etiam I Cor. XIV, 21 : Ἐν τῷ νόμῳ γέγραπται· Ἐν ἑτερογλώσσοις, καὶ ἐν χείλεσιν ἑτέροις λαλήσω τῷ λαῷ τούτῳ· « In Lege scriptum est : Quoniam in aliis linguis et labiis aliis loquar populo huic. » Alludit Apostolus ad Isaiæ contextum jam citatum. Mirum igitur videtur, Nicetam de verbis istis pronuntiasse : « Apud Isaiam non reperiuntur... vel malitiose submota sunt, vel per oblivionem transmissa. »
(95) *Μου*. Deest in Reg. ph.
(96) *Ἡ λέξις*. Deest in Or. 1.
(97) *Ἕκαστος*. Sic plures codd. In ed., ἕκαστοι.
(98) *Γινομένων*. Savil. et Comb., γινομένης.
(99) *Καθὰ καί*. Jes., ᾧ καί.
(1) *Χυθεῖσα*. Plures Regg. et Colb., χεθεῖσα.
(2) *Ἄλλου*. Reg. bm, ἀλλ' οὐ. Intelligit Gregorius « linguarum » donum, quod alio, nempe « interpretationis » dono, opus habet
(3) *Τοῦ*. Reg. bm, Par., Pass., τῆς.

careat. Quin præclara quoque illa divisio dici possit, de qua loquitur David : *Præcipita, Domine, et divide linguas eorum* [6]. Quid ita? Quoniam dilexerunt omnia verba præcipitationis, linguam dolosam [7]; tantum non aperte hujusce loci ac tempestatis linguas accusans, quæ divinitatem scindunt. Ac de his quidem hactenus.

γλώσσας αὐτῶν. Διατί; Ὅτι ἠγάπησαν πάντα τὰ ῥήματα καταποντισμοῦ γλῶσσαν δολίαν· μόνον οὐχὶ (4) φανερῶς τὰς ἐνταῦθα γλωσσας καταιτιώμενος, αἳ θεότητα τέμνουσιν. Ταῦτα μὲν οὖν ἐπὶ τοσοῦτον.

XVII. Quoniam autem habitantibus Jerusalem religiosissimis Judæis, Parthis, Medis et Elamitis, Ægyptiis et Libycis, Cretensibus et Arabibus, Mesopotamitis et Cappadocibus meis, linguæ loquebantur, atque ex omni gente, quæ sub cœlo est, Judæis, illic (si cui sic cogitare placet) congregatis, operæ pretium fuerit videre, tum quinam hi erant, tum cujus captivitatis. Nam illa Ægyptiaca et 744 Babylonica, præterquam quod circumscripta et certo loco definita erat, jam etiam olim per captivorum reditum soluta fuerat. Illa autem Romana, qua temeritatis et audaciæ adversus salutis auctorem pœna expetebatur, nondum acciderat, sed imminebat. Relinquitur igitur, ut hanc captivitatem Antiochicam esse censeamus, iis temporibus non multo antiquiorem. Quod si cui hæc expositio minus probatur ut curiosius alieniusque petita (neque enim captivitatem hanc veterem esse, neque in multas orbis partes diffusam); ac probabiliorem quærit, illud fortasse rectius fuerit existimare, quod cum sæpe, atque a multis, hæc natio exsilii causa solum vertere coacta sit, quemadmodum Esdras litterarum monumentis prodidit, aliæ quidem tribus in patriam restitutæ fuerint, aliæ vero in exsilio relictæ; quibus, ut verisimile est in multas nationes dispersis, tum temporis quidam adfuerint, et Spiritus miraculi D.rticipes exstiterint.

ΙΖ'. Ἐπεὶ δὲ τοῖς κατοικοῦσιν Ἱερουσαλὴμ εὐλαβεστάτοις Ἰουδαίοις, Πάρθοις, καὶ Μήδοις, καὶ Ἐλαμίταις, Αἰγυπτίοις, καὶ Λίβυσι, Κρησί τε καὶ Ἄραψι, Μεσοποταμίταις τε καὶ τοῖς ἐμοῖς Καππαδόκαις, ἐλάλουν αἱ γλῶσσαι, καὶ τοῖς ἐκ παντὸς ἔθνους τῶν ὑπὸ τὸν οὐρανὸν Ἰουδαίοις (εἴ τῳ φίλον οὕτω νοεῖν), ἐκεῖσε συνειλεγμένοις, ἄξιον ἰδεῖν, τίνες (5) ἦσαν οὗτοι, καὶ τῆς ποίας αἰχμαλωσίας. Ἡ μὲν γὰρ εἰς Αἴγυπτον καὶ Βαβυλῶνα περίγραπτός (6) τε ἦν, καὶ πάλαι τῇ ἐπανόδῳ λέλυτο. Ἡ δὲ ὑπὸ Ῥωμαίων οὔπω γεγένητο, ἔμελλε δὲ, εἴσπραξις οὖσα τῆς κατὰ τοῦ Σωτῆρος θρασύτητος. Λείπεται δὴ τὴν ὑπ' Ἀντιόχου ταύτην ὑπολαμβάνειν, οὐ πολὺ τούτων οὖσαν τῶν καιρῶν πρεσβυτέραν. Εἰ δέ τις ταύτην μὲν οὐ προσίεται τὴν ἐξήγησιν, ὡς περιεργοτέραν (οὔτε γὰρ παλαιὰν εἶναι τὴν αἰχμαλωσίαν, οὔτ' ἐπὶ πολὺ τῆς οἰκουμένης χεθεῖσαν), ζητεῖ δὲ τὴν πιθανωτέραν, ἐκεῖνο ἴσως ὑπολαβεῖν (7) ἄμεινον, ὅτι πολλάκις, καὶ ὑπὸ πλειόνων, τοῦ ἔθνους μεταναστάντος, ὡς τῷ Ἔσδρᾳ ἱστόρηται, αἱ μὲν τῶν φυλῶν ἀνεσώθησαν, αἱ δὲ ὑπελείφθησαν· ὧν εἰκὸς διασπαρεισῶν εἰς ἔθνη πλείονα, τηνικαῦτα παρεῖναί τινας, καὶ μετέχειν τοῦ θαύματος.

XVIII. Atque hæc a nobis perpensa et considerata sint, quæ etiam ejusmodi esse arbitramur, ut doctrinæ studiosi, ea pro superfluis supervacaneisque nequaquam habituri sint. Quod si quis aliud quidpiam ad hujus diei solemnitatem contulerit, nobis quoque id collegerit. Sed jam concio quidem solvenda est (satis enim longe se porrexit oratio); festi autem celebratio nunquam abrumpenda. Quin potius festum agendum est, nunc quidem corporeo quoque modo, paulo post autem omnino spirituali; illic nimirum, ubi rationes harum rerum purius apertiusque cognoscemus, in ipso Verbo, et Deo, et Domino nostro Jesu Christo, vero eorum, qui salutem consequuntur, festo et exsultatione; cum quo gloria et veneratio Patri cum sancto Spiritu, nunc et in sæcula sæculorum. Amen.

ΙΗ'. Καὶ ταῦτα προεξήτασται τοῖς φιλομαθέσιν, ἴσως οὐ περιέργως (8). Καὶ ὅτι ἂν ἄλλο συνεισφέρῃ (9) τις εἰς τὴν παροῦσαν ἡμέραν, καὶ ἡμῖν τοῦτο ἔσται συνειλοχώς (10). Ἡμῖν δὲ τὸν μὲν σύλλογον ἤδη διαλυτέον (ἱκανὸς γὰρ ὁ λόγος), τὴν δὲ πανήγυριν οὐδέποτε. Ἀλλ' ἑορταστέον (11), νῦν μὲν (12) καὶ σωματικῶς, μικρὸν δὲ ὕστερον ὅλον πνευματικῶς· ἔνθα καὶ τοὺς λόγους τούτων εἰσόμεθα καθαρώτερον καὶ σαφέστερον, ἐν αὐτῷ τῷ Λόγῳ, καὶ Θεῷ, καὶ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ, τῇ ἀληθινῇ τῶν σωζομένων ἑορτῇ, καὶ ἀγαλλιάσει· μεθ' οὗ ἡ δόξα καὶ τὸ σέβας τῷ Πατρὶ, σὺν τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ (13) εἰς τοὺς αἰῶνας τῶν αἰώνων (14). Ἀμήν.

[6] Psal. LIV, 10. [7] Psal. LI, 6.

(4) *Μόνον οὐχί*. Sic Coisl. 1, Jes., Savil., Pass., etc. In ed., μονονού.

(5) *Τίνες*. Plures codd. addunt τε. In aliis, δέ.

(6) *Περίγραπτος*. Savil., περιγράπτη.

(7) *Ὑπολαβεῖν*. Reg. ph et Or. 1, ὑπολ..βάνειν.

(8) *Οὐ περιέργως*. Nicet. : « non superflue. »

(9) *Ἂν ἄλλο συνεισφέρῃ*. Sic plures Regg. et Coisl. 1. In ed, ἂν συμφέρῃ.

(10) *Συνειλοχώς*. Sic Bas., Savil. et Pass. In ed, συνειληχώς.

(11) *Ἑορταστέον*. Pass. addit, ἡμῖν, « festum nobis agendum est. »

(12) *Μέν*. Deest in Or. 1.

(13) *Καί*. Nonnulli addunt, ἀεί, « semper. »

(14) *Τῶν αἰώνων*. « Sæculorum. » Sic Reg. ph et Coisl. 2. Deest in ed

745 MONITUM IN ORATIONEM XLII.

I. Jam medio circiter Maio anni 381 plerique Orientales episcopi, ad concilium a Theodosio imperatore vocati, Constantinopolim advenerant. Damnata primum in synodo Maximi Cynici ordinatione, Gregorius, licet clamans et reluctans, unanimi Patrum suffragio Constantinopolitanæ Ecclesiæ præficitur. Non multo post moritur Meletius, Antiochenæ sedis antistes, vir sanctitate et doctrina conspicuus, qui paulo ante, concordiæ magis, quam propriæ utilitati consulens, Paulinum una secum in episcopali sede collocari permiserat, ea tamen lege, ut, exstincto altero, alter solus Antiochenæ sedis episcopus agnosceretur. Verum post Meletii mortem, juniores præsules litem hac de re movere cœperunt, et de eligendo successore, magno cum tumultu, in synodo tractare aggressi sunt. Gregorius vero, pacis et æquitatis studiosissimus, quique, defuncto Meletio, primas in concilio tenebat, ad saniorem mentem blandis sermonibus turbarum artifices revocare conatur. Ob omnium oculos ponit, quanta Ecclesiæ mala pepererit præcedens Antiochenum schisma, cujus causa Oriens simul et Occidens in duas jam adversas partes miserabiliter scissi fuerant, et quam graviora adhuc imminerent, si præsul alter Meletii loco subrogaretur. Eos igitur amanter hortatur, ut Paulinum jam senio gravatum, solum absque collega sedere sinant, ac deinde, cum iste e vita excesserit, alterum more majorum eligant. At irrita plane fuere illius vota; imo Gregorium obnixe rogant amici, ut cæteris assentiatur; quod perhorrescens Theologus, secum tandem abdicandi consilium iniit, ac de synodo recessit. Interea Constantinopolim adveniunt Ægyptii ac Macedones episcopi, qui minus Gregorio quam Orientalibus præsulibus infensi, ipsius electoribus negotium facessunt, quod, contra Ecclesiæ leges et canones, Gregorium jam Sasimorum episcopum Constantinopolitanæ Ecclesiæ præfecissent, aliaque permulta moventes, majus discordiarum incendium excitarunt. In tanta rerum confusione, Gregorius, solitudinis amore flagrans, ac « veluti generosus quidam equus, ut ipse loquitur (15), vinculorum, quibus adhuc tenebatur, impatiens, » arrepta dissidiorum occasione, in mediam prosiliens synodum, plura, quæ carmine de vita sua (16) intexuit, præfatus, sese, ut alter Jonas, ad sedandam tempestatem offert, ac discedendi facultatem exposcit. Turbatis ad tale propositum episcopis, quidve agerent incertis, licet nondum consentientibus, evasit Gregorius, eamdem discedendi licentiam ab imperatore petiturus. Quam ubi obtinuit, hanc subinde præclarissimam ac celeberrimam orationem coram centum quinquaginta episcopis, universo clero ac toto fidelium grege habuit.

II. In hac autem oratione, « quæ, » ut loquitur Baronius, « siccis oculis legi non potest, » Constantinopolitanæ Ecclesiæ supremum vale dicturus accedit orator. Primum concilii Patres modeste compellat, ac leviter **746** indicans, eos sane, non errantem ovem in viam reducturos, sed pastorem peregre agentem invisuros, accessisse, administrationis suæ ac doctrinæ rationem reddere, judiciumque publice apud omnes subire non erubescit. Quamobrem gregem sibi creditum contestatur, ut, si falsa loquatur, coarguat; sin autem vera, testimonio suo confirmet. Deinde tragica oratione describit, quo in statu Constantinopolitanum gregem repererit, cum illius regimen sibi fuit commendatum. « Hic grex, inquit (n. 2), exiguus erat et imperfectus, ac ne grex quidem, sed parvum quoddam ac tenue gregis vestigium, incompositus, pastore carens, nullis inclusus terminis, nec caula cinctus, oberrans in montibus et speluncis, huc illuc dispersus atque disjectus. » Harum calamitatum causas, ad Christianorum flagitia, ad crudelia præcedentium imperatorum edicta, ad hæreticorum invidiam et persecutiones refert; qui omnes ita Dei benignitatem ad iracundiam provocaverant, ut parum abfuerit, quin totus Christianus orbis in pristinas tenebras, multo sane nona Ægyptiaca plaga graviores, mergeretur. Sed talia fando, horrescit Gregorii mens, ac ideo tam flebile spectaculum ab auditorum oculis retrahit, ut totus in celebranda Dei bonitate et misericordia immoretur. Hinc hæreticos objurgat, qui, numerosa prole inflati, pusillum Gregorii gregem superbe aspernabantur. Ostendit, quam perexiguis incrementis Constantinopolitanæ Ecclesiæ grex, instar populi Israelitici, ad hanc perfectionem, quæ obtrectatorum ora premit, mirabiliter evectus sit; nec dubitat quin, Dei auxilio, altius etiam progrediatur. « Multo enim mirabilius est, inquit (n. 6), quod ex tantillo ad tantam magnitudinem pervenerit, quam ut, ex eo statu, quo nunc est, ad summum splendoris gloriæque gradum provehatur, » quod scilicet Deus, non copiosam impietatem aut infinitum pulverem, sed electionis vasa computet. Hunc igitur electum gregem, veritatis pabulo enutritum, curis omnibus conservatum, concilii Patribus, velut præstantissimum donum, offert Gregorius; eosque rogat, ut oculos per circuitum tollant, et videant venerabilem presbyterorum cœtum, diaconorum modestiam, lectorum concinnitatem, totiusque plebis discendi studium, quibus, veluti floribus, gloriæ coronam, ipsorum ornaturam caput, intexuit.

(15) Carm. *De vita sua*, vers. 1818 sqq.

(16) Ibid., vers. 1838 sqq.

III. Quamvis sola Constantinopolitani gregis præsentia et inspectio, maximum, ac velut in columna insculptum, tanti pastoris doctrinæ apud concilii Patres esset argumentum, nihilominus tamen fidem suam circa sanctissimam Trinitatem apertius declarare non dubitat Theologus, ut agnoscant præsules, ac judicent, utrum merito necne ipsi invideatur. Patris igitur, et Filii, et Spiritus sancti divinitatem, non multis quidem, sed luce clarioribus argumentis demonstrat. Venenatos Sabellii Ariique errores obiter carpit; et ipse, media ac regia incedens via, Trinitatem in unitate, et unitatem in Trinitate profitetur. Observat tamen Filii generationem et Spiritus sancti processionem, nec intellectu comprehendi, nec ullis verbis explicari posse, atque contendit, temere adversus divinitatem insurgere, quisquis eas curiosius scrutari præsumit. Tum, eo utens argumento, quo Samuel olim apud Israelitas [8], iterum gregem suum contestatur, num in aliqua re infidelem Christi dispensatorem sese exhibuerit, num illius **747** damno, privatæ utilitati consuluerit, num eum molestia affecerit. At cum illius agendi ratio, tam in administrando quam in docendo, omnis prorsus vitii ac reprehensionis expers reperiatur, bonæ dispensationis præmium a concilii Patribus efflagitat. « Levate nos, inquit (n. 20), diuturnis laboribus fessos, ac recreate. Moveat vos hæc canities nostra. Alium subrogate, qui voce non inerudita, qui puris sit manibus, ac curas ecclesiasticas vobiscum simul perferre possit... Cernite hoc corpus meum, senio scilicet, morbo et labore confectum. » Eosdem obtestatur per ipsam Trinitatem, quam colunt, ut votis non abnuant, sed ipsi missionis libellum præstent. Hoc unum tantum exposcit, ut successorem eligant, qui æmulationem potius quam misericordiam moveat; ac de sufficiendi pastoris dotibus pauca præfatus, extremum tandem vale Anastasiæ suæ, magno S. Sophiæ templo cæterisque sacris illius urbis ædibus dicit. Valedicit etiam ipsi episcopali cathedræ, pontificum concilio, sacerdotum cœtui, ac reliquis deinceps Ecclesiæ ministris, monachis, virginibus, conjugatis, viduis, pauperibus, imperatoribus, aulicis, Orienti simul et Occidenti, « pro quibus, inquit, et a quibus oppugnamur. » Demum exclamans ait : « Valete, angeli hujus Ecclesiæ præsides; vale, Trinitas sancta, meditatio mea et decus meum. His velim serveris, et hos serves, meum scilicet hunc populum. Et vos, filioli, depositum, quæso, custodite : mementote lapidationum mearum, » etc.

IV. Hic siluit Theologus, manu deinceps et atramento pugnaturus; nec amplius tanti veritatis præconis vox Constantinopoli personuit. Longius forsan quam par erat, hanc analyticam synopsim, protraxisse videbimur; sed plurimum nobis arrisere, tum ornatissimæ hujus orationis argumentum et sublimitas, tum præclarissimum istud ac inauditum Gregorii factum, quod Sozomenus admirationis quam maxime dignum merito judicavit. « Mihi quidem, inquit (17), sapientissimum hunc virum, tum ob alia multa, tum maxime in hoc negotio mirari subit. Nam neque fastu elatus est propter facundiam, nec inanis gloriæ studio ei Ecclesiæ præsidere concupivit, quam pene exstinctam et mortuam ipse regendam susceperat; sed reposcentibus (melius dixisset, consentientibus) episcopis depositum reddidit; nihil de multis laboribus suis conquestus, nihil de periculis quæ, adversus hæreses decertans, subierat. » Et certe hac in re eximia humilitatis, modestiæ et charitatis specimina præbuit Gregorius; unde posteris pretiosissimam sui memoriam summo jure reliquit. Existimasse videtur Baronius hanc orationem pronuntiatam fuisse antequam ab imperatore Theologus discedendi licentiam postulasset. Verum huic sententiæ non favet communis eruditorum opinio. Ipsi etiam Bollandistæ ei manifeste contradicunt. « Ea est, inquiunt (18), oratio tricesima secunda, [nunc quadragesima secunda,] quam præcessit congressus cum imperatore, sine cujus licentia non potuisset hanc tam solemnem abdicationem facere. » Idem sentit Tillemontius (19). Præterea tunc temporis Constantinopoli degebat pius imperator, qui Gregorium benigne exceperat, eumque suffragio suo in Constantinopolitanam sedem ab episcopis evectum, magno plausu confirmarat. Nullatenus igitur Gregorio licuisset ante discedere, quam ipsius discessum probasset Theodosius. Ac mirum sane videri potest, quod tam **748** cito Gregorii votis annuerit. Hinc certo constat Gregorium, Theodosii consensu munitum, istud ultimum vale Constantinopoli pronuntiasse labente Junio anni 381. Perseverabat adhuc synodus. Nam, ut manifestum est ex epistola synodica (20), septimo Idus Julii ejusdem anni ad Theodosium data, Nectarius, post Gregorii discessum, a concilii Patribus Constantinopolitanæ Ecclesiæ præfectus est.

[8] I Reg. XII, 2 sqq.

(17) *Hist.* lib. VII, c. 7, p. 712.
(18) *Act. SS.* ad 9 Maii, p. 420, col. 2.
(19) T. IX, pag. 483.
(20) *Concil.*, t. II, pag. 946.

ΛΟΓΟΣ ΜΒ.

Συντακτήριος (21), *εἰς τὴν τῶν ρν' ἐπισκόπων παρουσίαν* (22). A

Α'. Πῶς ὑμῖν τὰ ἡμέτερα, ὦ φίλοι ποιμένες καὶ συμποιμένες· ὧν ὡραῖοι μὲν οἱ πόδες, εὐαγγελιζομένων εἰρήνην καὶ ἀγαθὰ, μεθ' ὧν ἐληλύθατε· ὡραῖοι δὲ τὰ πρὸς ἡμᾶς, οἷς εἰς καιρὸν ἐληλύθατε, οὐχ ἵνα πρόβατον πλανώμενον ἐπιστρέψητε, ἀλλ' ἵνα ποιμένα ἔκδημον (23) ἐπισκέψησθε; Πῶς τὰ τῆς ἐκδημίας ὑμῖν ἔχει τῆς ἡμετέρας; καὶ τίς ὁ ταύτης καρπὸς, μᾶλλον δὲ, τοῦ ἐν ἡμῖν Πνεύματος, ᾧ κινούμεθά τε ἀεὶ, καὶ νῦν κεκινήμεθα, μηδὲν ἴδιον ἔχειν ἐπιθυμοῦντες, μήτ' ἴσως ἔχοντες; Ἆρά γε συνίετε παρ' ὑμῶν αὐτῶν, καὶ καταμανθάνετε, καὶ λογισταὶ τῶν ἡμετέρων ἐστὲ χρηστότεροι; ἢ δεῖ, καθάπερ τοὺς στρατηγίας, ἢ δημαγωγίας, ἢ διοικήσεως χρημάτων λόγον ἀπαιτουμένους (24), δημοσίᾳ καὶ αὐτοὺς ὑποσχεῖν ὑμῖν τὰς εὐθύνας, ὧν διῳκήκαμεν; B Οὐ γὰρ αἰσχυνόμεθα κρινόμενοι, ὅτι καὶ κρίνομεν ἐν τῷ μέρει, καὶ μετὰ τῆς αὐτῆς ἀγάπης ἀμφότερα. Παλαιὸς δὲ ὁ νόμος· ἐπεὶ καὶ Παῦλος τοῖς ἀποστόλοις ἐκοινοῦτο τὸ Εὐαγγέλιον· οὐχ ἵνα φιλοτιμήσηται (πόῤῥω γὰρ τὸ Πνεῦμα πάσης φιλοτιμίας), ἀλλ' ἵν', ἢ βεβαιωθῇ τὸ κατορθούμενον, ἢ διορθωθῇ τὸ ὑστερούμενον, εἰ ἄρα τι καὶ τοιοῦτον ἦν ἐν τοῖς ὑπ' ἐκείνου λεγομένοις, ἢ πραττομένοις, ὡς αὐτὸς παραδηλοῖ περὶ ἑαυτοῦ γράφων· *Ἐπειδὴ καὶ πνεύματα προφητῶν προφήταις ὑποτάσσεται*, κατὰ τὴν εὐταξίαν (25) τοῦ πάντα καλῶς οἰκονομοῦντος καὶ διαιροῦντος Πνεύματος. Εἰ δὲ ἐκεῖνος μὲν ἰδίᾳ καί τισιν, ἐγὼ δὲ δημοσίᾳ καὶ πᾶσιν ὑπέχω λόγον, μηδὲν θαυμάσητε. C Καὶ γὰρ χρήζω μᾶλλον ὠφεληθῆναι τῇ τῶν ἐλέγχων ἐλευθερίᾳ, ἤπερ ἐκεῖνος, εἴ τι φαινοίμην ἐλλείπων τοῦ δέοντος, μή πως εἰς κενὸν τρέχω, ἢ ἔδραμον. Καὶ οὐκ ἔστιν ἄλλως ἀπολογήσασθαι (26), ἢ ἐν εἰδόσι τοὺς λόγους ποιούμενον.

Β'. Τίς οὖν ἡ ἀπολογία; Καὶ εἰ μὲν ψευδὴς, ἐλέγξατε· εἰ δὲ ἀληθὴς, μαρτυρήσατε ὑμεῖς, ὑπὲρ ὧν, καὶ ἐν οἷς ὁ λόγος. Ὑμεῖς γάρ μοι καὶ ἀπολογία, καὶ D

ORATIO XLII[a].

Supremum vale, coram centum quinquaginta episcopis.

I. Quo pacto res nostræ vobis se habere videntur, o chari pastores et collegæ; quorum et speciosi pedes sunt, annuntiantium pacem et bona [9], quibuscum huc venistis; et, quantum ad nos attinet, speciosi, utpote, ad quos opportune vos contulistis, non ut errantem ovem in viam reducatis, verum ut pastorem peregrinum invisatis? Quo pacto peregrinatio nostra judicio vestro se habet? Et quis hujus fructus [10], vel, ut rectius loquar, Spiritus in nobis habitantis [11], quo et semper movemur [12], et nunc moti sumus, nihil proprium habere cupientes, nec fortasse habentes? Utrum tandem per vosmetipsos intelligitis, et percipitis, ac benigniores rerum nostrarum censores estis? An contra nobis faciendum est, ut, quemadmodum qui militaris imperii, aut gubernationis popularis, aut pecuniarum administrationis rationem exposcuntur, sic nos quoque eorum, quæ a nobis administrata sunt, rationes publice vobis reddamus? Nec enim subire judicium erubescimus; quandoquidem etiam vicissim judicamus, atque utrumque cum pari charitate. Vetus autem hæc lex est. Nam etiam Paulus Evangelium cum apostolis communicabat [13]; non ut ambitiose se ostentaret; procul enim ab omni gloriæ cupiditate remotus est Spiritus; sed ut, vel confirmaretur quod recte et cum laude gerebat, vel corrigeretur quod officio deerat; si quid tamen hujusmodi erat in iis, quæ ab eo dicebantur, vel agebantur, quemadmodum ipse ostendit, cum de seipso ad hunc modum scribit: *Quoniam et spiritus prophetarum prophetis subjiciuntur* [14], juxta constitutum Spiritus ordinem, **749** qui omnia recte dispensat et dividit. Quod si ille quidem privatim et apud quosdam, ego autem publice et apud omnes judicium subeo, ne id vobis mirandum accidat. Nam ego ea, quæ ex libera reprehensione percipitur, utilitate magis opus habeo, quam ille, si qua in re officii partes deseruisse videar, ne alioqui frustra curram, aut cucurrerim [15]. Nec vero aliter defensionis munus recte suscipi potest, quam si apud eos, quibus administrationis meæ ratio cognita est, sermo habeatur.

II. Quæ igitur est nostra defensio? Ac si quidem falsa, coarguite; si autem vera, testimonio vestro confirmate, vos, inquam, quorum causa, et

[9] Isa. LII, 7; Rom. X, 15. [10] Galat. V, 22. [11] II Tim. I, 14. [12] Act. XVII, 28. [13] Galat. II, 2. [14] I Cor. XIV, 32. [15] Galat. II, 2.

[a] Alias XXXII, quæ autem 42 erat, nunc 43.

(21) *Συντακτήριος*. Hæc vox, ut exponit Nicetas, idem sonat, ac ἀποχαιρετικός, id est, si loqui fas est, « valedictoria oratio. » In hac enim oratione Constantinopolitanæ plebi supremum vale dicit Gregorius, et ab episcopis centum quinquaginta in concilio coadunatis discedendi facultatem efflagitat. Quod ipsi concessum est. Reg. Henrici codex habet συνακτήριος, pro συντακτήριος. Utraque vox deest in pluribus codd.

(22) *Παρουσίαν*. Duo Colb. addunt, ἐν τῷ μαρτυρίῳ τῆς ἁγίας Ἀναστασίας λεχθείς, « ad tumulum sanctæ Anastasiæ dicta. »

(23) *Ἔκδημον*. Plures codd., συνέκδημον, quod sequitur Billius, et vertit: « peregre, ut vos, agentem. » Nicetas: τὸν ἀπόδημον τῆς πατρίδος ποιμένα· « pastorem a patria peregrinantem. »

(24) *Ἀπαιτουμένους*. In quibusdam, ἀπέχοντας, « recipientes. »

(25) *Κατὰ τὴν εὐταξίαν*, etc. Bill.: « juxta Spiritus constitutionem. » Comb.: « juxta Spiritus disciplinam. »

(26) *Ἀπολογήσασθαι*. Reg. ph. addit, δικαίως, « juste, merito. »

apud quos hæc habetur oratio. Vos enim mihi estis defensio, et testes, et gloriæ corona [16], ut ego quoque ex Apostoli verbis aliquid audacter usurpem. Hic grex exiguus quondam erat et imperfectus, quantum quidem oculorum sensu judicari poterat, ac ne grex quidem, sed parvum quoddam et tenue gregis vestigium, aut reliquiæ, incompositus, pastore carens, nullis terminis inclusus, nec pascui liberi jus habens, nec caula cinctus, oberrans in montibus, in speluncis et cavernis terræ [17], huc illuc dispersus atque disjectus, eoque redactus, ut, qua quamque ovem sors tulisset, contegeretur ac pabularetur, præclareque secum agi duceret, si salutem suam subriperet; non secus videlicet ac grex ille, quem leones expulerunt, aut tempestas dissolvit, aut caligo dissipavit; quem et prophetæ lugent, populi Israelitici gentibus traditi calamitatem adumbrantes; et nos etiam luximus, quandiu luctuoso statu res nostræ fuerunt. Nam ipsi quoque revera expulsi et projecti fuimus, atque in montes omnes et colles ob pastoris inopiam dispersi; ac dira quædam tempestas Ecclesiam invasit, et horrendæ belluæ in nos impetum fecerunt, quæ ne nunc quidem, reddita serenitate, nobis parcunt; verum, qua sunt impudentia, potentiores etiam et atrociores, quam tempus ferat, se præbent; atque tristis quædam caligo cuncta occupavit et contexit, multo sane nona illa Ægyptiorum plaga [18], hoc est, palpabilibus tenebris, gravior, præ qua pene nec alii alios videre potuimus.

750 III. Atque, ut aliquid, quod majorem commiserationem redoleat, dicam, eo scilicet, qui nos afflixit, tanquam parente, fretus: *Abraham nescivit nos, et Israel ignoravit nos: at tu Pater noster es* [19]: in te oculos conjicimus; præter te alium non novimus; nomen tuum invocamus. *Propterea causam dicam*, inquit Jeremias, *cæterum judicia loquar ad te* [20]. *Facti sumus ut a principio, cum non imperares nobis* [21], et oblitus es testamenti sancti tui, ac misericordias tuas nobis occlusisti. Propterea opprobrium facti sumus dilecto tuo; nos, inquam, Trinitatis adoratores, perfecti perfectæ divinitatis clientes et supplices; nec eo audaciæ prorumpentes, ut quidquam eorum, quæ supra nos sunt, ad nos detrahamus et dejiciamus; nec ita superbi et arrogantes, ut, quod impiæ linguæ ac

μάρτυρες, καὶ καυχήσεως στέφανος, ἵνα τολμήσω κἀγώ τι τῶν τοῦ Ἀποστόλου νεανιεύσασθαι (27). Τοῦτο τὸ ποίμνιον ἦν, ὅτε μικρόν τε καὶ ἀτελὲς ἦν, ὅσον ἐπὶ τοῖς ὁρωμένοις, καὶ οὐδὲ ποίμνιον, ἀλλὰ ποίμνης τι μικρὸν ἴχνος, ἢ λείψανον, ἀσύντακτον (28), καὶ ἀνεπίσκοπον, καὶ ἀόριστον, μήτε νομὴν ἐλευθέραν ἔχον, μήτε μάνδρᾳ περιεχόμενον, πλανώμενον ἐν ὄρεσι, καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς, ἄλλο ἀλλαχοῦ διεσπαρμένον τε καὶ διεῤῥιμμένον, ὡς ἕκαστον ἔτυχε σκεπόμενον (29), ἢ νεμόμενον, καὶ διακλέπτον ἀγαπητικῶς (30) τὴν ἑαυτοῦ σωτηρίαν· οἷον ἐκεῖνο τὸ ποίμνιον, ὃ λέοντες ἐξῶσαν, ἢ ζάλη διέλυσεν, ἢ σκοτόμαινα διεσκέδασεν· ὃ θρηνοῦσι μὲν προφῆται (31), τοῖς τοῦ Ἰσραὴλ ἀπεικάζοντες πάθεσι, παραδεδομένου (32) τοῖς ἔθνεσιν· ἐθρηνήσαμεν (33) δὲ καὶ ἡμεῖς, ἐφ' ὅσον θρήνων ἐπράττομεν ἄξια. Τῷ ὄντι γὰρ καὶ ἡμεῖς ἐξώσθημεν καὶ ἀπεῤῥίφημεν, καὶ ἐπὶ πᾶν ὄρος καὶ βουνὸν διεσπάρημεν, ὡς ἐν ἐρημίᾳ ποιμένος (34)· καί πονηρός τις χειμὼν κατέσχε τὴν Ἐκκλησίαν, καὶ δεινοὶ θῆρες ἐπιπεπτώκασιν, οἱ μηδὲ νῦν μετὰ τὴν αἰθρίαν ἡμῶν φειδόμενοι· ἀλλ' ἀναισχυντοῦντες (35) εἶναι, καὶ τοῦ καιροῦ δυνατώτεροι· καὶ σκυθρωπή τις σκοτόμαινα ἐπέλαβε πάντα καὶ συνεκάλυψε, πολὺ τῆς ἐνάτης τῶν Αἰγυπτίων πληγῆς βαρυτέρα, τοῦ ψηλαφητοῦ λέγω σκότους, ὑφ' οὗ μικροῦ δεῖν μηδὲ ἀλλήλους ἰδεῖν ἐδυνήθημεν (36).

Γ'. Καὶ, ἵν' εἴπω τι συμπαθέστερον (37), ὡς πατρὶ τῷ παραδεδωκότι θαῤῥήσας· *Ἀβραὰμ οὐκ ἔγνω ἡμᾶς, καὶ Ἰσραὴλ οὐκ ἐπέγνω ἡμᾶς· ἀλλὰ σὺ Πατὴρ ἡμῶν εἶ*· καὶ πρὸς σὲ βλέπομεν· ἐκτὸς σοῦ ἄλλον οὐκ οἴδαμεν· τὸ ὄνομά σου ὀνομάζομεν. *Διὰ τοῦτο ἀπολογήσομαι, πλὴν κρίματα λαλήσω πρὸς σὲ*, φησὶν Ἱερεμίας, *ἐγενόμεθα ὡς τὸ ἀπ' ἀρχῆς, ὅτε οὐκ ἦρξας ἡμῶν*, καὶ ἐπελάθου διαθήκης ἁγίας σου, καὶ ἀπέκλεισας ἀφ' ἡμῶν τὰ ἐλέη (38) σου. Διὰ τοῦτο ἐγενήθημεν ὄνειδος τῷ ἀγαπητῷ σου, οἱ τῆς Τριάδος προσκυνηταὶ, οἱ τέλειοι τῆς τελείας θεότητος πρόσφυγες· καὶ μὴ τολμῶντές τι τῶν ὑπὲρ ἡμᾶς εἰς ἡμᾶς κατάγειν (39)· μηδὲ τοσοῦτον ἐπαίρεσθαι κατὰ τὰς ἀθέους γλώσσας καὶ θεομάχους, ὥστε τὴν δεσποτείαν ποιεῖν ὁμόδουλον· ἀλλὰ παρεδόθημεν δηλαδὴ διὰ τὰς ἄλλας (40) ἁμαρτίας ἡμῶν, καὶ τὸ μὴ

[16] I Thess. II, 19. [17] Hebr. XI, 38. [18] Exod. X, 21. [19] Isa. LXIII, 16. [20] Jerem. XII, 1. [21] Isa. LXIII, 19.

(27) *Νεανιεύσασθαι*. Or. 2, παῤῥησιάσασθαι, « cum fiducia loqui. »

(28) *Ἀσύντακτον*. Reg. ph, ἀσύνακτον.

(29) *Σκεπόμενον*. « Contegeretur. » Sic Reg. ph, Coisl. 2, Or. 2, etc. Nicetas exponit, κρυπτόμενον, « absconderetur. » In ed., σκοπούμενον, quod vertit Bill.: « regeretur. »

(30) *Διακλέπτον ἀγαπητικῶς*. Sic unus Colb., Gabr., Comb. Sic etiam videtur legisse Nicetas. Deest ἀγαπητικῶς in ed.

(31) *Προφῆται*. In sacro textu Ezech. XXXIV, 12, ποιμένες, « pastores. »

(32) *Παραδεδομένου*. Sic plures codd. In ed., παραδεχομένου.

(33) *Ἐθρηνήσαμεν*. Sic Or. 2 et Comb. In ed., ἐθρηνεύσαμεν.

(34) *Ὡς ἐν ἐρημίᾳ ποιμένος*. Or. 2, ὡς ἐν ἐρημίᾳ ποιμένες, « quasi in vastitate dispersi pastores. »

(35) *Ἀναισχυντοῦντες*. Hic significare videtur Gregorius hæreticorum impudentiam ad id audaciæ prorupisse, ut, ne quidem a pio imperatore Theodosio, comprimi possit.

(36) *Ἐδυνήθημεν*. Tres Colb. et Comb., ἠδυνήθημεν.

(37) *Συμπαθέστερον*. Par., συντομώτερον, « brevius. »

(38) *Τὰ ἐλέη*. In nonnullis, τὸ ἔλεος.

(39) *Κατάγειν*. In quibusdam, καταγαγεῖν.

(40) *Ἄλλας*. In nonnullis, πολλάς, « multa. »

ἀξίως τῶν ἐντολῶν σου ἀναστραφῆναι· ἀλλ' ὀπίσω τῆς διανοίας ἡμῶν τῆς πονηρᾶς (41) πορευθῆναι. Διὰ τί γὰρ ἕτερον ἀνδράσιν ἀδικωτάτοις καὶ πονηροτάτοις παρὰ πάντας τοὺς κατοικοῦντας τὴν γῆν; Ὁ πρῶτος (42) Ναβουχοδονόσορ ἐξέθλιψεν ἡμᾶς, ὁ μετὰ Χριστὸν κατὰ Χριστοῦ μανεὶς, καὶ διὰ τοῦτο μισήσας Χριστὸν, ὅτι δι' αὐτοῦ σέσωστο· καὶ τῶν ἱερῶν βίβλων τὰς ἀθέους θυσίας ἀντιλαβών. *Κατέφαγέ με, ἐμερίσατό* (43) *με, ἐκάλυψέ με σκότος λεπτὸν*, ἵνα μὴ ἀποστῶ, μηδὲ θρηνῶν, τῆς Γραφῆς. *Εἰ μὴ ὅτι Κύριος ἐβοήθησέ μοι*, καὶ χερσὶν ἀνόμων δικαίως αὐτὸν παρέδωκεν (44), ἐκτοπίσας εἰς Πέρσας, (οἷα τὰ τοῦ Θεοῦ (45) κρίματα!) καὶ ὁ ἐκ αἱμάτων ἀνοσίων αἷμα ἐχέθη δίκαιον, ἐνταῦθα μόνον οὐδὲ μακροθυμῆσαι ἀνασχομένης (46) τῆς δίκης, *παραβραχὺ παρῴκησε τῷ ᾅδῃ ἡ ψυχή μου*. Ὁ δεύτερος, οὐδὲν (47) ἐκείνου φιλανθρωπότερος, ὅτι μὴ καὶ βαρύτερος, ὅσῳ τοῦ (48) Χριστοῦ φέρων ὄνομα, ψευδόχριστος ἦν, καὶ Χριστιανοῖς βάρος ὁμοῦ τε καὶ ὄνειδος (49), οἷς καὶ τὸ ποιεῖν ἄθεον, καὶ τὸ πάσχειν ἄδοξον· τῷ μηδὲ ἀδικεῖσθαι δοκεῖν, μηδὲ τὸ μεγαλοπρεπὲς ὄνομα τῷ πάσχειν προσεῖναι (50) τὴν μαρτυρίαν· ἀλλὰ κἀνταῦθα κλέπτεσθαι τὴν ἀλήθειαν, πάσχοντας ὡς Χριστιανοὺς, ὡς ἀσεβεῖς κολάζεσθαι. Οἴμοι, ὅτι ἐπλουτήσαμεν ἐν τοῖς κακοῖς, *ὅτι πῦρ κατέφαγε τὰ ὡραῖα τῆς οἰκουμένης. Τὰ κατάλοιπα τῆς κάμπης κατέφαγεν ἡ ἀκρὶς, καὶ τὰ κατάλοιπα τῆς ἀκρίδος κατέφαγεν ἡ ἐρυσίβη*· εἶτα ὁ βροῦχος, εἶτα οὐκ οἶδ' ὅ τι πρὸς τούτοις, καὶ (51) ἄλλο ἐπ' ἄλλῳ κακῷ φυόμενον. Τί ἄν τις ἐκτραγῳδοίη πάντα τὰ τοῦ καιροῦ κακὰ, καὶ τὴν τότε κατασχοῦσαν ἡμᾶς, εἴτε εἴσπραξιν χρὴ λέγειν, εἴτε δοκιμασίαν καὶ πύρωσιν; Πλὴν ὅτι διήλθομεν διὰ πυρὸς καὶ ὕδατος, καὶ προήλθομεν εἰς ἀναψυχὴν εὐδοκίᾳ τοῦ σώζοντος Θεοῦ.

Δ'. Ἀλλ' ὅ μοι λέγειν (52) ἀπ' ἀρχῆς ὁ λόγος ὥρμητο· τοῦτο τὸ γεώργιον ἦν, ὅτε μικρόν τε καὶ πενιχρὸν ἦν, καὶ (53) οὐχ ὅπως Θεοῦ, τοῦ τὸν κόσμον ὅλον γεωργήσαντός τε καὶ γεωργοῦντος τοῖς καλοῖς τῆς εὐσεβείας σπέρμασί τε καὶ δόγμασιν, ἀλλ' οὐδὲ πένητος ἑνὸς τῶν ἐνδεῶν καὶ μετρίων, ὥς γε ἐδόκει· ἀλλ' οὐδὲ (54) γεώργιον ὅλως, οὐδὲ ἀποθήκης, οὐδὲ ἅλω τυχὸν, οὐδὲ δρεπάνης ἄξιον· οὐδὲ θημῶν (55), οὐδὲ δράγματα, ἢ δράγματα μικρά τε καὶ ἄωρα, καὶ οἷα τὰ ἐκ δωμάτων, μήτε χεῖρα πληροῦντα τοῦ

Deitatis hostes faciunt, dominium in servilem ordinem nobiscum redigamus; sed scilicet propter alia scelera nostra, et quia non, ut mandatis tuis dignum erat, vitæ nostræ rationes instituimus; verum post pravam nostram mentem et cogitationem ambulavimus. Quænam enim alia causa proferri potest, cur hominibus iniquissimis, atque omnium, quos terra fert, sceleratissimis dediti sumus? Primus Nabuchodonosor nos obtrivit, ille, inquam, qui post Christum adversus Christum furore flagravit, atque ob eam causam Christum invisum habuit, quia per eum salutem consecutus fuerat; ac sacros libros cum impiis sacrificiis commutavit. *Devoravit me, in partes distraxit me* [22] : *contexerunt me tenebræ tenues* [23], ut, ne lugens quidem, a verbis Scripturæ recedam. *Nisi quia Dominus adjuvit me* [24], atque ipsum (qualia Dei judicia!) in Persidem ejectum, iniquorum manibus, ut merebatur, tradidisset, imo sceleratus cruor in ultionem innoxii sanguinis juste effusus fuisset (hic solum justitia quidem longanimitate uti non sustinuit), *propemodum habitasset in inferno anima mea* [25]. Secundus nihilo humanior illo fuit, imo eo etiam acerbior, quod Christi nomen ferens, pseudochristus erat, Christianisque onus simul et dedecus, quibus et facere impium, et pati inglorium erat; quod ne injuriam quidem accipere viderentur, nec illustre martyrii nomen cruciatibus accederet; verum hic quoque fucus veritati fieret, ut qui tanquam Christiani patiebantur, tanquam impii cruciatu afficerentur. Heu me! quia **751** in malis divites et copiosi exstitimus, *quia ignis speciosa terræ comedit* [26]. *Residuum erucæ comedit locusta, et residuum locustæ comedit rubigo* [26*]; tum bruchus, ac postea nescio quod aliud atque aliud malum subinde exoriens. Quid autem omnia illius temporis mala tragica oratione prosequi attinet, eamque, quæ tum nos invasit, sive pœnam dicere convenit, sive explorationem ac purgationem? Cæterum *transivimus per ignem et aquam* [27], ac benigna Salvatoris voluntate in refrigerium prodiimus.

IV. Enimvero, ut eo se, unde digressa est, oratio referat: hæc seges parva quondam et inops erat, ac non modo Deo, qui pulchris pietatis seminibus et doctrinis totum orbem terrarum excoluit, atque excolit, sed ne paupere quidem, ac tenui homunculo digna, ut quidem videbatur: imo nec seges omnino, nec horreis, nec area fortasse, nec falce digna: nec etiam acervi, nec manipuli, aut certe parvi et immaturi, et quales sunt tectorum, nec messoris manum implentes, nec eorum, qui per-

[22] Jer. LI, 34. [23] Psal. LIV, 6. [24] Psal. XCIII, 17. [25] ibid. [26] Joel I, 19. [26*] ibid. 4. [27] Psal. LXV, 12.

(41) *Πονηρᾶς*. Deest in Or. 2.
(42) *Ὁ πρῶτος*. Julianum imperatorem intelligit.
(43) *Ἐμερίσατο*. In quibusdam, ἐμέρισε.
(44) *Παρέδωκεν*. Or 2, παραδέδωκεν.
(45) *Τὰ τοῦ Θεοῦ*. Sic quinque Regg. Deest τοῦ in ed.
(46) *Ἀνασχομένης*. In aliis, ἀνεχομένης.
(47) *Οὐδέν*. Sic plures codd. In ed., οὐδέ.
(48) *Ὅσῳ τοῦ*. Reg. bm et tres Colb., ὅσῳ τό.
(49) *Χριστιανοῖς βάρος ὁμοῦ τε καὶ ὄνειδος*. Sic Reg. bm, aliique plures. In ed., Χρ. ὄνειδος.
(50) *Ὄνομα τῷ πάσχειν προσεῖναι*. Sic Regg. bm, ph, Par. et Gabr. Deest τῷ πάσχειν in ed.
(51) *Καί*. Rejicit Combefisius.
(52) *Ὅ μοι λέγειν*. Sic plerique codd. In ed., ὃ μὴ λέγειν.
(53) *Καί*. Deest in nonnullis.
(54) *Ἀλλ' οὐδέ*. Sic plerique codd. Deest ἀλλά in ed.
(55) *Θημῶν*. Reg. bm, θημονιῶν.

transeunt, benedictionem illicientes [28]. Talis seges, tantilla messis nostra erat; magna tamen, et spicis copiosa, et pinguis, apud eum, qui abscondita intuetur, et tali agricola digna habebatur illa, quam animarum valles multiplicant, cum recta doctrina excoluntur; quamvis nec in vulgus nota esset, nec in unum cogeretur, sed paulatim colligeretur, non secus ac stipula in messe, et racemulus in vindemia, cum nullus est botrus [29]. Quin illa quoque, et quidem admodum tempestive, mihi videor adjecturus, ut ficum præmaturam in deserto Israelem inveni [30], et ut unum aut alterum acinum in immaturo botro maturum, Domini quidem benedictione servatum [31], ac primitiis consecratum, adhuc tamen parvum et rarum, nec os comedentis implentem: atque etiam, ut signiferum lignum in colle, et malum navis in monte [32], aut si quid aliud est singulare, nec multis conspicuum. Atque hæc quidem pristina nostra paupertas et mœstitia fuit.

V. Ex quo autem tempore Deus, qui pauperem facit et ditat, qui mortificat et **752** vivificat [33], qui sola voluntate omnia facit atque immutat, qui ex nocte diem facit, ex hieme ver, ex tempestate tranquillitatem [34], ex siccitate pluviam [35]; idque plerumque unius justi, diuturna persecutione vexati precibus permotus; qui denique mansuetos in altum suscipit, ac peccatores usque ad terram humiliat [36], illud secum dixit: *Videns vidi afflictionem Israelis* [37]: nec luto, nec laterum conficiendorum labore diutius opprimentur; ac locutus visitavit, et visitans salutem attulit, populumque suum eduxit in manu potenti et brachio excelso, in manu Moysis et Aaron electorum suorum [38]. Quid fit, et quid mirum perpetratur? Ea nimirum, quæ memoriæ prodita, et litterarum monumentis commendata circumferuntur. Nam ut miracula in via edita, magnumque illum strepitum taceam, ac rem uno verbo complectar; Joseph unus in Ægyptum proficiscitur [39], ac sexcenta hominum millia non multo post ex Ægypto excedunt [40]. Quid hoc admirabilius aut illustrius divinæ magnificentiæ argumentum, cum ex rebus perditis ac deploratis, iter secundis aperire voluerit? Promissionis terra per unum hominem odio habitum sorte distribuitur, atque is, qui venditus fuerat, gentes sedibus pellit, ipseque in gentem magnam constituitur, ac parva illa pro-

θερίζοντος (56), μήτε τῶν παριόντων εὐλογίαν προκαλούμενα. Τοιοῦτον ἡμῶν τὸ γεώργιον, τοσοῦτον τὸ θέρος· μέγα μὲν, καὶ εὔσταχυ, καὶ πῖον τῷ θεωρητῇ τῶν κρυπτῶν, καὶ τοιούτου γεωργοῦ πρέπον εἶναι, ὃ πληθύνουσι κοιλάδες ψυχῶν καλῶς τῷ λόγῳ γεωργουμένων (57)· οὐ μὴν γνωριζόμενον τοῖς πολλοῖς, οὐδὲ εἰς ἓν συναγόμενον, ἀλλὰ κατὰ μικρὸν συλλεγόμενον, ὡς καλάμη (58) ἐν ἀμητῷ, καὶ ὡς ἐπιφυλλὶς ἐν τρυγητῷ, μὴ ὑπάρχοντος βότρυος. Προσθήσειν μοι δοκῶ κἀκεῖνα, καὶ λίαν κατὰ καιρὸν; ὡς συκῆν (59) ἐν ἐρήμῳ εὗρον τὸν Ἰσραὴλ, καὶ ὡς ῥᾶγα μίαν (60) ἢ δευτέραν ὥριμον ἐν ἀώρῳ τῷ βότρυϊ, εὐλογίαν μὲν Κυρίου τετηρημένην, καὶ ἀπαρχὴν καθιερωμένην, πλὴν ὀλίγην ἔτι καὶ σπάνιον, καὶ οὐ πληροῦσαν στόμα ἔσθοντος (61)· καὶ ὡς σημαίαν ἐπὶ βουνοῦ, καὶ ὡς ἱστὸν ἐπ' ὄρους, ἢ εἴ τι ἄλλο τῶν μοναδικῶν τε καὶ οὐ πλείοσι θεωρουμένων. Ταῦτα μὲν τὰ τῆς προτέρας πενίας καὶ κατηφείας.

Ε'. Ἀφ' οὗ δὲ ὁ πτωχίζων καὶ πλουτίζων Θεὸς, ὁ θανατῶν καὶ ζωογονῶν, ὁ ποιῶν πάντα καὶ μετασκευάζων μόνῳ τῷ βούλεσθαι, ὁ ποιῶν ἐκ μὲν νυκτὸς ἡμέραν, ἐκ δὲ χειμῶνος ἔαρ, ἐκ δὲ ζάλης γαλήνην, ἐκ δὲ αὐχμῶν ἐπομβρίαν· καὶ τοῦτο δι' ἑνὸς δικαίου πολλάκις εὐχὴν ἐπὶ πολὺ διωχθέντος· ὁ ἀναλαμβάνων πραεῖς εἰς ὕψος, καὶ ταπεινῶν ἁμαρτωλοὺς ἕως γῆς, ἐκεῖνο πρὸς αὐτὸν (62) εἶπεν· *Ἰδὼν εἶδον τὴν κάκωσιν τοῦ Ἰσραὴλ* (63)· καὶ οὐ μὴ προσθῶσιν ἔτι τῷ πηλῷ καὶ τῇ πλινθείᾳ ταλαιπωρεῖν· καὶ εἰπὼν, ἐπεσκέψατο, καὶ ἐπισκεψάμενος ἔσωσε, *καὶ ἐξήγαγε, τὸν λαὸν αὐτοῦ ἐν χειρὶ κραταιῷ* (64), *καὶ ἐν βραχίονι ὑψηλῷ ἐν χειρὶ Μωσῆ καὶ Ἀαρὼν* (65) τῶν ἐκλεκτῶν αὐτοῦ. Τί γίνεται, καὶ τί θαυματουργεῖται; Ἃ βίβλοι καὶ μνῆμαι φέρουσιν. Ἐκτὸς γὰρ τῶν κατὰ τὴν ὁδὸν θαυμασίων, καὶ τῆς μεγάλης ἐκείνης βομβήσεως, ἵν' εἴπω τι συντομώτατον, Ἰωσὴφ εἰς Αἴγυπτον εἷς, καὶ μυριάδες ἑξήκοντα μετ' ὀλίγον (66) ἐξ Αἰγύπτου. Τί τούτου θαυμασιώτερον, ἢ μεῖζον τῆς τοῦ Θεοῦ μεγαλονοίας τεκμήριον, ὅταν ἐκ τῶν ἀπόρων θέλῃ πόρον δοῦναι τοῖς πράγμασι; καὶ γῆ τῆς ἐπαγγελίας κληροδοτεῖται δι' ἑνὸς μισηθέντος, καὶ ὁ πραθεὶς ἔθνη μεθίστησι, καὶ εἰς ἔθνος καθίσταται μέγα, καὶ ἡ μικρὰ παραφυὰς ἐκείνη, ἄμπελος εὐκληματοῦσα γίνεται, καὶ τοσαύτη, ὡς ἐπεμβαίνειν μὲν ποταμοῖς, ἐκτείνεσθαι δὲ μέχρι θαλάσσης, ἐξ ὁρίων (67) εἰς ὅρια πλατυνομένην (68), καλύπτειν δὲ

[28] Psal. CXXVIII, 6 seqq. [29] Mich. VII, 1. [30] Ose. IX, 10. [31] Isa. LXV, 8. [32] Isa. XXX, 17. [33] I Reg. II, 6. [34] Amos V, 8. [35] III Reg. XVIII, 45. [36] Psal. CXLVI, 6. [37] Exod. III, 7. [38] Psal. CXXXV, 11; LXXVI, 21. [39] Gen. XXXVII, 28. [40] Exod. XII, 37.

(56) *Τοῦ θερίζοντος*. Sic codd. In Par. ed., ὁρίζοντος.
(57) *Γεωργουμένων*. In nonnullis, γεωργούμεναι.
(58) *Καλάμη*. Reg. bm, καλάμην.
(59) *Ὡς συκῆν*. Tres Regg., Or. 2, etc., ὡς σκοπὸν, « ut scopum. » Ose. IX, 10: ὡς σκοπὸν ἐν συκῇ πρώιμον· « ut scopum in ficu temporaneum. »
(60) *Ῥᾶγα μίαν*. Sic plerique codd. Reg. bm, ῥῶγα μίαν. In Isa. LXV, 8: Ὃν τρόπον εὑρεθήσεται ἡ ῥὼξ ἐν τῷ βότρυϊ· « Quomodo invenietur acinum in botro. » In ed. conjunctim, ῥαγαμίαν.
(61) *Ἔσθοντος*. In nonnullis, ἐσθίοντος.
(62) *Αὐτόν*. Duo Regg., quatuor Colb. et Or. 2, ἑαυτόν. Mox, εἶπεν. Reg. bm, εἰπών.
(63) *Τοῦ Ἰσραήλ*. Or. 2, τοῦ λαοῦ μοῦ, « populi mei. »
(64) *Κραταιῷ*. Coisl. 2 et Or. 2, κραταιᾷ.
(65) *Ἐν χειρὶ Μωσῆ καὶ Ἀαρών*. Schol.: Ἑαυτὸν αἰνίττεται καὶ μέγαν Βασίλειον· « Significat seipsum et magnum Basilium. » Non probamus scholiastæ sententiam. Id certe alienissimum est a Gregorii mente.
(66) *Μετ' ὀλίγον*. Reg. bm, μετὰ μικρόν.
(67) *Ἐξ ὁρίων*, etc. Bill. « a montibus ad montes. »
(68) *Πλατυνομένην*. Tres Regg., πλατυνομένη.

ὄρη τῷ ὕψει τῆς δόξης, κέδρων δὲ ὑπεραίρεσθαι, καὶ ταῦτα τῶν τοῦ Θεοῦ ἅτινα δὴ τὰ ὄρη ταῦτα, καὶ ἄστινας τὰς κέδρους ὑποληπτέον.

A pago vinea lata et palmitibus abundans efficitur, in eamque magnitudinem evadit, ut et supra fluvios ascendat, et usque ad mare extendatur, et a finibus ad fines dilatetur [41], et gloriæ sublimitate montes operiat, et cedrorum magnitudinem superet, et quidem cedros Dei quicunque tandem montes illi, et quæcunque cedri existimandæ sunt.

ς'. Τοιοῦτόν ποτε τοῦτο τὸ ποίμνιον, καὶ τοιοῦτον νῦν, οὕτως εὐεκτοῦν τε καὶ πλατυνόμενον· εἰ δὲ μήπω τελείως (69), ἀλλ' εἰς τοῦτό γε ταῖς κατὰ μέρος (70) ὁδεῦον προσθήκαις· προφητεύω δὲ (71), ὅτι καὶ ὁδεῦσον. Τοῦτό μοι τὸ Πνεῦμα προλέγει τὸ ἅγιον, εἴ τι προφητικὸς ἐγὼ, καὶ βλέπων τὰ ἔμπροσθεν· καὶ ἅμα τοῖς προλαβοῦσιν ἔχω θαῤῥεῖν (72), καὶ λογισμῷ γινώσκειν, ὡς λόγου σύντροφος. Πολὺ γὰρ παραδοξότερον, ἐξ ἐκείνου τοσαύτην γενέσθαι, ἢ τὴν νῦν οὖσαν εἰς ἄκρον προελθεῖν λαμπρότητος. Ἐξ οὗ γὰρ συνάγεσθαι ἤρξατο παρὰ τοῦ ζωογονοῦντος τοὺς νεκροὺς, ὀστᾶ πρὸς ὀστᾶ, καὶ ἁρμονία πρὸς ἁρμονίαν, καὶ τοῖς ξηροῖς (73) ἐδόθη Πνεῦμα ζωῆς καὶ παλιγγενεσίας, πᾶσαν, εὖ οἶδα, πληρωθῆναι δεῖ τὴν ἀνάστασιν· ὥστε *μὴ ὑψούσθωσαν ἐν ἑαυτοῖς οἱ παραπικραίνοντες*· μηδὲ σκιὰν κρατοῦντες, ἢ ἐνύπνιον ἐξεγειρομένων (74), ἢ αὔρας διαπνεούσας, ἢ νηὸς ἴχνη καθ' ὕδατος, ἔχειν τι νομιζέτωσαν. *Ὀλολυζέτω* (75) *πίτυς, ὅτι πέπτωκε κέδρος*. Τοῖς τῶν ἄλλων κακοῖς παιδευέσθωσαν, καὶ μανθανέτωσαν, ὅτι οὐκ εἰς τέλος ἐπιλησθήσεται ὁ πτωχός· οὐδὲ ἀνέξεται, μὴ ἐν ἐκστάσει διακόψαι κεφαλὰς δυναστῶν, ὡς ὁ Ἀμβακοὺμ φησιν, ἡ διακοπτομένη (76) θεότης, καὶ διαιρουμένη κακῶς εἴς τε τὸ ἄρχον καὶ τὸ ἀρχόμενον· ὡς ἂν μάλιστα καὶ θεότης ὑβρισθείη καταγομένη, καὶ βαρηθείη κτίσις ὁμοτιμίᾳ θεότητος.

VI. Talis quondam hic grex erat, talisque rursum nunc, tamque succulentus, lateque se porrigens; ac si nondum perfectionem assecutus, ad eam tamen quotidianis incrementis progrediens, atque etiam, ut auguror, progressurus. Hoc mihi prædicit Spiritus sanctus, si quid vaticinandi arte valeo, futuraque prospicio. Ac simul ex iis, quæ præcesserunt, spem non dubiam concipio, atque ratiocinatione id percipio, utpote rationis alumnus. B Multo enim mirabilius est, quod ex tantillo ad tantam magnitudinem pervenerit, quam ut ex eo statu, quo nunc est, ad summum splendoris gloriæque gradum provehatur. Posteaquam enim semel ab eo, qui mortuos **753** ad vitam revocat, ossa cum ossibus, et commissuræ cum commissuris jungi cœperunt, ac aridis ossibus Spiritus vitæ et regenerationis datus est [42], resurrectionem perfecte expleri necesse est: ac proinde, *qui exasperant, non exaltentur in semetipsis* [43]; nec umbram, aut somnium exsurgentium [44], aut auram perflantem, aut navis vestigia aquis impressa tenentes, quidquam se habere existiment. *Ululet pinus, quia cecidit cedrus* [45]. Ex aliorum malis documentum sibi C capiant, ac discant, pauperem nequaquam in finem usque oblivioni fore [46]; nec Divinitatem sese diutius cohibituram, quin procerum capita, ut Habacuc loquitur [47], cum stupore dissecet, utpote quæ ipsa quoque dissecta sit, et male divisa in id quod præest, et quod subest; ut sic maxime, et Deitas contumelia afficiatur, in creaturarum ordinem redacta, et res creatæ graventur, Deitati honore adæquatæ.

Ζ'. Δοκῶ μοι κἀκείνης ἀκούειν τῆς φωνῆς, παρὰ τοῦ συνάγοντος τοὺς συντετριμμένους, καὶ τοὺς πεπιεσμένους εἰσδεχομένου· *Πλάτυνον τὰ σχοινίσματά σου ἔτι· ἐκπέτασον εἰς τὰ δεξιὰ καὶ εἰς τὰ ἀριστερά· πῆξον, τῶν αὐλαιῶν μὴ φείσῃ*. Ἐγὼ παραδέδωκά σε, καὶ ἐγὼ βοηθήσω σοι. Ἐν θυμῷ μικρῷ ἐπάταξά σε, καὶ ἐν ἐλέει αἰωνίῳ δοξάσω σε. Μεῖζον τὸ μέτρον τῆς φιλανθρωπίας, ὑπὲρ τὸ μέτρον τῆς παιδαγωγίας. Ἐκεῖνα, διὰ τὴν πονηρίαν· ταῦτα, διὰ τὴν Τριάδα (77) προσκυνουμένην. Ἐκεῖνα, διὰ τὴν κάθαρσιν· ταῦτα, διὰ τὴν ἐμὴν δόξαν· ὃς *Δοξάζω τοὺς δοξάζοντας, καὶ παραζηλῶ τοὺς παραζηλοῦντας. Ἰδοὺ ταῦτα ἐσφράγισται παρ' ἐμοὶ*, καὶ οὗτος ἄλυτος νόμος ἀντιμετρήσεως. Σὺ δέ μοι περιείχου τῶν τοίχων, καὶ τῶν πλακῶν, καὶ τῆς κε-

VII. Quin illam quoque ejus, qui contritos colligit, et oppressos ad se recipit, vocem mihi audire videor: *Dilata adhuc locum funiculorum tuorum: extende ad dextram et ad sinistram: fige, atriis ne parcas* [48]. Ego tradidi te, et ego auxiliabor tibi. In parva ira percussi te, in sempiterna autem misericordia glorificabo te. Major est mensura benignitatis, quam mensura correptionis. Priora illa, propter flagitia; hæc, propter Trinitatem adoratam. Illa, ob purgationem; D hæc, ob gloriam meam; utpote qui *glorifico glorificantes me* [49], *et ad iram provoco provocantes me* [50]. *Ecce hæc signata sunt apud me* [51], atque hæc remunerationis inviolabilis lex est. At tu parietes, et tabulas, et scite atque eleganter incisos lapides, et longas porticus et ambulacra avide complectebaris, atque

[41] Psal. LXXXIX, 19 seqq. [42] Ezech. XXXVII, 7, 10. [43] Psal. LXV, 7. [44] Psal. LXXII, 20. [45] Zach. XI, 2. [46] Psal. IX, 19. [47] Habac. III, 13. [48] Isa. LIV, 2. [49] I Reg. II, 30. [50] Deut. XXXII, 21. [51] ibid. 34.

(69) *Τελείως*. Duo Regg. et Or. 2, τελέως, « perfecte. »

(70) *Μέρος*. Savil., μικρόν, « parvis incrementis. »

(71) *Προφητεύω δέ*. Sic duo Regg., tres Colb., duo Coisl., etc. Sic legit Bill. In ed., καὶ προφητεύσω δέ.

(72) *Θαῤῥεῖν*. Regg. bm, ph, θαρσεῖν.

(73) *Τοῖς ξηροῖς*. « Aridis ossibus. » Sic Nicetas. Bill. : « siccis rebus. »

(74) *Ἐξεγειρομένων*. Sic Reg. bm, duo Coisl., Or. 2, Comb. Sic etiam legit Bill. In ed., ἐξαγειρομένων, « congregantium. »

(75) *Ὀλολυζέτω*, etc. « Ululet pinus, » id est, prolapsis majoribus hæreticis, minores lugeant.

(76) *Ἡ διακοπτομένη*. Sic duo Coisl. In ed., ἢ διακοπτομένη.

(77) *Διὰ τὴν Τριάδα*, etc. « Propter Trinitatem adoratam, » id est, « propter Trinitatis cultum. »

auro fulgebas, et collucebas, illudque partim aquæ instar spargebas, partim quasi arenam aggerebas; nimirum ignorans, præstantiorem esse fidem sub dio degentem, quam copiosam et magnificam impietatem, ac tres in nomine Domini congregatos [52], plures apud Deum censeri, quam multos divinitatem abnegantes. An tu universos etiam Chananæos Abrahamo uni antepones [53]? An Sodomitas uni Lot [54]? An Madianitas Moysi [55]? Peregrinis, inquam, his et hospitibus? Quid? An trecentos illos viros [56], qui cum Gedeone lamberunt; tot hominum millibus, qui terga verterunt, inferiores esse contendes? An Abrahæ vernaculos [57], numero haud 754 multo plures, multis illis regibus, atque innumerabilibus copiis, quas, quamvis ipsi pauci essent, persecuti tamen sunt atque fugarunt? Illud autem quomodo intelligendum esse censes: *Si fuerit numerus filiorum Israel ut arena maris, reliquiæ salvæ fient* [58]? Quo item modo illud: *Reliqui mihi septem millia virorum, qui non flexerunt genu ante Baal* [59]? Non est ita, non, inquam, ita est. *Non in pluribus beneplacitum est Deo* [60].

VIII. Tu quidem myriades numeras, at Deus eos, qui salutem consequuntur; tu infinitum pulverem, ego electionis vasa. Nihil enim apud Deum ita amplum et magnificum est, ut doctrina perpurgata, et anima veritatis dogmatibus instructa atque perfecta. Etenim Deo quidem, qui omnia creavit, et a quo omnia, et in quem omnia [61], nullum satis dignum munus offerri potest; non modo si unius hominis opus et divitiæ in eam rem impendantur, sed neque si, omnibus omnium hominum operibus et facultatibus in unum cumulatis, eum quispiam honore afficere velit. *Nonne cœlum et terram ego impleo? dicit Dominus* [62]. Et: *Qualem domum ædificabitis mihi? Aut quis locus requietis meæ* [63]? Quoniam autem infra ipsius dignitatem nobis necessario subsistendum est, quod secundum est, pietatem a vobis postulo, communes illas apud me, ac æquales divitias quibus etiam fortasse splendidissimum quemque superabit, qui gravi inopia premitur, si animi magnitudine præstet. Voluntatis enim est hæc liberalitas et munificentia, non opum et copiarum. Accipiam quidem hæc quoque, ne dubitetis, de manibus vestris. Calcare aulam meam non adjicietis, sed calcabunt eam pedes mansuetorum [64], qui recte atque sincere me agnoverunt, Verbumque meum Unigenitum, et Spiritum sanctum. Quousque montem sanctum meum hæreditate possidebitis? Quousque arca apud Philisthæos? Nunc autem aliquantulum adhuc in alienis luxu-

A κομψευμένης ψηφῖδος, καὶ τῶν μακρῶν δρόμων καὶ περιδρόμων, καὶ χρυσῷ κατελάμπου καὶ περιελάμπου, τὸν μὲν, ὡς ὕδωρ ἔσπειρες, τὸν δὲ, ὡς ἄμμον ἐθησαύριζες· ἀγνοῶν, ὅτι κρείσσων (78) ὕπαιθρος πίστις πολυτελοῦς ἀσεβείας, καὶ πλέους Θεῷ τρεῖς συνηγμένοι ἐν ὀνόματι Κυρίου, πολλῶν μυριάδων (79) ἀρνουμένων Θεότητα. Ἢ καὶ τοὺς Χαναναίους ἅπαντας προτιμήσεις ἑνὸς τοῦ Ἀβραάμ; ἢ καὶ τοὺς (80) Σοδομίτας ἑνὸς τοῦ Λώτ; ἢ καὶ Μαδιηναίους Μωσέως, τῶν παροίκων καὶ ξένων; Τί δαὶ τοὺς μετὰ Γεδεὼν τριακοσίους, τοὺς λάμψαντας ἀνδρικῶς (81), τῶν ἀποστραφεισῶν χιλιάδων (82); τί δαὶ τοὺς οἰκογενεῖς Ἀβραάμ, τοὺς μικρὸν ὑπὲρ τούτους τῷ ἀριθμῷ τῶν πολλῶν βασιλέων, καὶ τῶν τοῦ στρατοῦ μυριάδων, ἃς, καίπερ ὄντες ὀλίγοι, κατεδίωξαν καὶ ἐτρέB ψαντο; ἐκεῖνο δὲ πῶς νοεῖς, ὅτι *Ἐὰν γένηται ὁ ἀριθμὸς τῶν υἱῶν Ἰσραὴλ ὡς ἡ ἄμμος* (83) *τῆς θαλάσσης, τὸ κατάλειμμα σωθήσεται*; τί δαὶ τὸ, *Κατέλιπον ἐμαυτῷ ἑπτακισχιλίους ἄνδρας, οἵτινες οὐκ ἔκαμψαν γόνυ τῇ Βάαλ*; οὐκ ἔστι τοῦτο, οὐκ ἔστιν. *Οὐκ ἐν τοῖς πλείοσιν εὐδόκησεν ὁ Θεός.*

Η'. Σὺ μὲν ἀριθμεῖς τὰς μυριάδας, Θεὸς δὲ τοὺς σωζομένους· καὶ σὺ μὲν τὸν ἀμέτρητον χοῦν, ἐγὼ δὲ τὰ σκεύη τῆς ἐκλογῆς. Οὐδὲν γὰρ οὕτω Θεῷ μεγαλοπρεπὲς ὡς λόγος κεκαθαρμένος, καὶ ψυχὴ τελεία τοῖς τῆς ἀληθείας δόγμασιν. Ἄξιον μὲν γὰρ οὐδέν ἐστι τοῦ τὰ πάντα πεποιηκότος, καὶ παρ' οὗ τὰ πάντα, καὶ εἰς ὃν τὰ πάντα, δοῦναι Θεῷ καὶ C προσενεγκεῖν· μὴ ὅτι μιᾶς χειρὸς ἔργον ἢ περιουσίας, ἀλλ' οὐδ' εἰ πᾶσάν τις τὴν ἐν ἀνθρώποις εὐπορίαν ἢ χεῖρα εἰς ἓν συνενεγκὼν, τιμῆσαι θελήσειεν. *Οὐχὶ τὸν οὐρανὸν καὶ τὴν γῆν ἐγὼ πληρῶ; λέγει Κύριος*· καὶ, *Ποῖον οἶκον οἰκοδομήσετέ μοι; ἢ τίς τόπος τῆς καταπαύσεώς μου*; ἐπεὶ δὲ τῆς ἀξίας διαμαρτεῖν ἀναγκαῖον, ὃ δεύτερόν ἐστιν, αἰτῶ παρ' ὑμῶν τὴν εὐσέβειαν, τὸν κοινὸν πλοῦτον ἐμοὶ καὶ ὁμότιμον, ἐν ᾧ τυχὸν ὑπερβαλεῖται καὶ τὸν λίαν λαμπρὸν ὁ πάνυ πένης, ἂν ᾖ μεγαλόψυχος. Προαιρέσεως γὰρ, οὐκ εὐπορίας ἡ τοιαύτη φιλοτιμία. Λήψομαι μὲν (84) καὶ ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν, εὖ ἴστε. Πατεῖν τὴν αὐλήν μου οὐ προσθήσεσθε, ἀλλὰ πατήσουσιν αὐτὴν πόδες πραέων, τῶν ἐπεγνωκότων ἐμὲ, καὶ τὸν μονογενῆ μου Λόγον, καὶ D τὸ Πνεῦμα τὸ ἅγιον ὑγιῶς καὶ γνησίως. Μέχρι τίνος κληρονομήσετε τὸ ὄρος τὸ ἅγιόν μου; μέχρι τίνος ἡ κιβωτὸς παρὰ τοῖς ἀλλοφύλοις; Νῦν δὲ μικρὸν ἔτι ἐντρυφήσατε τοῖς ἀλλοτρίοις, καὶ τοῦ βούλεσθαι ἀπολαύσατε. Ὅτι ὃν τρόπον ἐβουλεύσασθε τοῦ ἀπώσασθαί με, κἀγὼ ἀπώσομαι ὑμᾶς, λέγει Κύριος παντοκράτωρ.

[52] Matth. XVIII, 20. [53] Gen. XII, 6 sqq. [54] Gen. XIX, 1 sqq. [55] Exod. II, 15. [56] Judic. VII, 5. [57] Gen. XIV, 14. [58] Isa. X, 22; Rom. IX, 27. [59] III Reg. XIX, 18; Rom. XI, 4. [60] I Cor. X, 5. [61] I Cor. VIII, 6. [62] Jer. XXIII, 24. [63] Isa. LXVI, 1. [64] Isa. XVI, 10; XXVI, 6.

(78) *Κρείσσων*. Or. 2, κρεῖσσον.
(79) *Πολλῶν μυριάδων*. Sic Reg. bm, quatuor Colb. et Par. Deest μυριάδων in ed.
(80) *Τούς*. Deest in quatuor Regg. et Or. 2.
(81) *Ἀνδρικῶς*. « Forti ac virili proposito. »
(82) *Χιλιάδων*. Sex Colb., μυριάδων.
(83) *Ὡς ἡ ἄμμος*. Or. 2, ὡσεὶ ἄμμος.
(84) *Λήψομαι μέν*. In nonnullis, λήψομαι γάρ. « Hæc accipiam. » Alludit ad ecclesias, quas Ariani occupaverant

riate, ac libidinem vestram explete. Quemadmodum enim me repellendi consilium cepistis, sic ego quoque vos repellam, dicit Dominus omnipotens [65].

Θ'. Ταῦτα καὶ ἀκούειν λέγοντος ἐδόκουν, καὶ ποι- A οῦντος αἰσθάνεσθαι· καὶ ἔτι πρὸς τούτοις, πρὸς μὲν τὸν λαὸν βοῶντος, τὸν ἐξ ὀλίγου πολὺν ἤδη, καὶ συγκείμενον ἱκανῶς ἐκ διεσπαρμένου, καὶ ἐξ ἐλεουμένου (85) τυχὸν καὶ ἐπίφθονον. *Πορεύεσθε διὰ τῶν πυλῶν μου, καὶ πλατύνεσθε.* Μὴ διαπαντὸς δεῖ κάμνειν ὑμᾶς ἐν σκηναῖς κατοικοῦντας, καὶ τοὺς θλίβοντας ὑμᾶς ὑπερευφραίνεσθαι; Πρὸς δὲ τοὺς ἐφεστῶτας ἀγγέλους (πείθομαι γὰρ ἄλλους ἄλλης προστατεῖν Ἐκκλησίας, ὡς Ἰωάννης (86) διδάσκει με διὰ τῆς ἀποκαλύψεως)· *Ὁδοποιήσατε τῷ λαῷ μου, καὶ τοὺς λίθους ἐκ τῆς ὁδοῦ διαῤῥίψατε*, ἵνα μηδὲν ᾖ σκῶλον, μηδὲ κώλυμα τῷ λαῷ τῆς θείας ὁδοῦ καὶ εἰσόδου· νῦν μὲν ἐπὶ (87) τὰ χειροποίητα, μικρὸν δὲ ὕστερον ἐπὶ τὴν ἄνω Ἱερουσαλὴμ, καὶ τὰ ἐκεῖσε Ἅγια τῶν ἁγίων, ἃ τέλος οἶδα τῆς ἐνταῦθα B κακοπαθείας καὶ συντονίας τοῖς καλῶς ὁδεύουσιν. Ἐν οἷς ἐστε καὶ ὑμεῖς, κλητοὶ ἅγιοι, λαὸς περιούσιος, βασίλειον ἱεράτευμα, σχοίνισμα (88) Κυρίου τὸ κράτιστον, ἀπὸ σταγόνος ποταμὸς ὅλος, ἀπὸ σπινθῆρος λαμπὰς οὐράνιος (89), ἀπὸ κόκκου νάπυος (90) δένδρον, πτηνῶν ἀνάπαυμα.

IX. Hæc, et loquentem audire, et facientem sentire mihi videbar; atque insuper ad populum clamantem, ad hunc, inquam, ex parvo magnum jam et copiosum, et ex disperso satis jam coadunatum, et ex miserabili fortassis invidiosum : **755** *Incedite per portas meas, et dilatamini* [66]. An vos in perpetua ærumna versari oportet, in tentoriis commorantes, eosque, qui vos opprimunt, immodica lætitia efferri? Tum etiam ad angelos, quibus hujus urbis cura commissa est, his verbis utentem (nec enim mihi dubium est, quin alii aliarum Ecclesiarum præsides ac patroni sint, quemadmodum in Apocalypsi Joannes me docet [67]) : *Sternite viam populo meo, lapidesque e via projicite* [68], ne quod offendiculum aut impedimentum exsistat quod divinum populi mei iter atque ingressum remoretur, nunc quidem ad manufacta templa, paulo post autem ad supernam Jerusalem, atque illa Sancta sanctorum, quæ ærumnarum hujus vitæ contentionisque animi finem esse scio, iis, qui rectum iter tenent. Quo in numero vos quoque estis, vocati sancti [69], populus eximius, regale sacerdotium [70], funiculus Domini fortissimus, a gutta fluvius integer, a scintilla flamma sublimis, et in cœlum tendens, a sinapis grano arbor [71], avium requies.

Ι'. Τούτους δωροφοροῦμεν ὑμῖν, ὦ φίλοι ποιμένες (91), τούτους προσάγομεν, τούτοις δεξιούμεθα τοὺς ἡμετέρους φίλους, καὶ ξένους, καὶ συνεκδήμους. Τούτων οὐδὲν κάλλιον προσενεγκεῖν εἴχομεν (92) ὑμῖν, οὐδὲ λαμπρότερον, ὧν ἔχομεν τὸ μεῖζον ἐπιζη- C τήσαντες· ἵν' εἰδῆτε καὶ ξένους ὄντας ἡμᾶς καὶ οὐκ ἐνδεεῖς· ἀλλὰ πτωχοὺς μὲν, πολλοὺς δὲ πλουτίζοντας. Ταῦτα εἰ μὲν μικρὰ καὶ οὐδενὸς ἄξια λόγου (93), πεισθῆναι βούλομαι, τίνα τὰ μείζω καὶ λόγου πλείονος. Εἰ γὰρ τὸ πόλιν τῆς οἰκουμένης ὀφθαλμὸν, γῆς καὶ θαλάσσης ὅτι κράτιστον, ἑῴας τε καὶ ἑσπερίου λήξεως οἷον σύνδεσμον, εἰς ἣν τὰ πανταχόθεν ἄκρα συντρέχει, καὶ ὅθεν ἄρχεται, ὡς ἀπὸ (94) ἐμπορίου κοινοῦ τῆς πίστεως· εἰ τὸ ταύτην στηρίξαι τε καὶ σθενῶσαι (95) τοῖς ὑγιαίνουσι λόγοις, τῶν οὐ μεγάλων, καὶ ταῦτα, τοσαύταις δονουμένην γλώσσαις, καὶ οὕτω πανταχόθεν, σχολῇ γ' ἂν ἄλλο τι φανείη μέγα καὶ σπουδῆς ἄξιον. Εἰ δὲ τῶν ἐπαινουμένων (96) (δότε τι καὶ ἡμῖν τῆς ἐπὶ τούτοις φιλοτιμίας), καὶ αὐτοὶ μερίδα τινὰ τοῖς δρωμένοις τούτοις συνεισηνέγκαμεν.

X. Hos vobis largimur, chari pastores, hos offerimus, his amicos nostros et hospites ac peregrinationis socios excipimus. His nihil pulchrius et illustrius habemus, quod vobis offeramus, cum id, quod in bonis nostris præstantissimum est, exquisissemus; ut intelligatis, nos, licet externos ac peregrinos, inopia tamen minime laborare; verum pauperes quidem esse, sed multos locupletare [72]. Quæ si parva nulloque in pretio habenda sunt, lubens sane audierim quænam majora sint, atque amplioris pretii. Etenim, si civitatem, orbis oculum, terra marique potentissimam, orientalis atque occiduæ oræ velut nodum et vinculum, ad quam extremi totius terræ fines concurrunt, et a qua, velut a communi fidei emporio, incipiunt; si hanc, inquam, civitatem salutifera doctrina fulciisse ac firmasse haud magnum atque amplum censeri debet, idque cum tot linguis omni ex parte agitaretur, vix certe aliud quidquam magnum ac studio dignum D videri poterit. Si autem præclarum ac laudabile

[65] Ose. IV, 6. [66] Isa. LXII, 10. [67] Apoc. II, 1. [68] Isa. LXII, 10; LVII, 14. [69] Rom I, 6. [70] I Petr. II, 9. [71] Matth. XIII, 31. [72] II Cor. VI, 10.

(85) *Ἐξ ἐλεουμένου.* In quibusdam, ἐξηλεημένου.

(86) *Ὡς Ἰωάννης.* Angeli, de quibus loquitur Joannes, sunt episcopi.

(87) *Νῦν μὲν ἐπί*, etc. Tunc scilicet, ob edictum a Theodosio 10 Januarii 381 promulgatum, Catholici, pulsis hæreticis, Ecclesias occupabant.

(88) *Σχοίνισμα*, etc. « Funiculus Domini fortissimus, » id est, « pars, » seu « hæreditas Domini præstantissima. »

(89) *Λαμπὰς οὐράνιος.* Nicetas exponit, πυρσὸς μέγας καὶ ἀέριος, « flamma ingens accensa et in aerem sublata. »

(90) *Νάπυος.* Reg. ph et Or. 2, σινάπυος.

(91) *Ποιμένες.* Gabr. et Bill. addunt, καὶ συμποιμένες, « et collegæ. »

(92) *Εἴχομεν.* Sic tres Regg., quatuor Colb. et Or. 2. In ed., ἔχομεν.

(93) *Οὐδενὸς ἄξια λόγου.* Sic plerique codd. Deest ἄξια in ed

(94) *Ὡς ἀπό.* Sic Reg. bm. Deest ἀπό in ed.

(95) *Σθενῶσαι.* Duo Colb., Gabr., aliique nonnulli, ἐνδυναμῶσαι, « confortasse. »

(96) *Ἐπαινουμένων.* Reg. bm, Or. 1, Gabr., Comb. addunt, καὶ τιμωμένων.

existimandum est (liceat mihi quoque per vos nonnihil hoc nomine gloriari), aliquam ipsi quoque partem his, quæ videtis, contulimus.

XI. Tolle per circuitum oculos tuos, 756 et A vide, quisquis es, qui doctrinæ nostræ censuram facis. Vide textam hanc gloriæ coronam, pro mercenariis Ephraim, et corona contumeliæ [73]. Vide presbyterorum concilium, canitie et prudentia ornatorum, diaconorum modestiam, non procul ab eodem Spiritu remotorum, lectorum concinnitatem, plebis discendi studium, tam in viris, quam in feminis, virtutis honore paribus: ac rursus virorum, tam in philosophis, quam in simplicioribus, omnibus divinarum rerum sapientia præditis; tam in præfectis, quam in subditis, hic videlicet omnibus recte subjectis; tam in militibus, quam in nobilibus, ac studiosis et litteratis, omnibus Dei militibus, cætera quidem placidis et mansuetis, pro Spiritu autem bellicosis, omnibus superiorem senatum B honore afficientibus (ad quem non vilis et abjecta littera, sed vivificans Spiritus aditum aperit), omnibus vere doctis et eruditis, ac Verbi cultoribus; tum etiam feminis, tam quæ in matrimonii jugo Deo magis quam carni astrictæ sunt, quam quæ nuptiarum expertes et liberæ, Deo sua omnia consecrarunt; ac denique tam in juvenibus, quam in senibus, quorum alii ad senectutem præclare gradiuntur, alii vim adhibentes ad comparandam immortalitatem, per meliores spes animo conceptas renovantur.

ΙΑ'. Ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου, καὶ ἴδε, πᾶς ὁ τῶν ἐμῶν λόγων ἐξεταστής. Ἴδε τὸν στέφανον τὸν πλακέντα τῆς δόξης, ἀντὶ τῶν μισθωτῶν Ἐφραῒμ, καὶ τοῦ στεφάνου (97) τῆς ὕβρεως. Ἴδε πρεσβυτέρων συνέδριον, πολιᾷ καὶ συνέσει τετιμημένων (98), διακόνων εὐταξίαν, οὐ πόῤῥω τοῦ αὐτοῦ Πνεύματος, ἀναγνωστῶν εὐκοσμίαν, λαοῦ φιλομάθειαν, ὅσον ἐν ἀνδράσιν, ὅσον ἐν γυναιξὶ, τὴν ἀρετὴν ὁμοτίμοις· καὶ ἀνδρῶν, ὅσον ἐν φιλοσόφοις, ὅσον ἐν ἁπλουστέροις, πᾶσι σοφοῖς τὰ θεῖα· ὅσον ἐν ἄρχουσιν, ὅσον ἐν ἀρχομένοις, ἐνταῦθα πᾶσι καλῶς ἀρχομένοις· ὅσον ἐν στρατιώταις, ὅσον ἐν εὐγενέσιν, ὅσον ἐν λόγοις καὶ περὶ λόγους, πᾶσι Θεοῦ στρατιώταις, ἡμέροις τἄλλα (99), πολεμικοῖς ὑπὲρ Πνεύματος (1), πᾶσι τὴν ἄνω τιμῶσι σύγκλητον (εἰς ἣν οὐ τὸ γράμμα εἰσάγει τὸ πεζὸν, ἀλλὰ τὸ ζωοποιοῦν Πνεῦμα), ἅπασι λογίοις ὡς ἀληθῶς, καὶ τοῦ ὄντως Λόγου θεραπευταῖς· καὶ γυναικῶν, ὅσον ὑπὸ ζυγὸν, Θεῷ μᾶλλον ἢ σαρκὶ συνδεδεμένον (2), ὅσον ἄζυγον καὶ ἐλεύθερον, Θεῷ τὸ πᾶν καθιερωμένον· ὅσον ἐν νέοις, ὅσον ἐν γέρουσιν, ὧν τὸ μὲν ἐπὶ γῆρας καλῶς ὁδεύει, τὸ δὲ βιάζεται μεῖναι ἀθάνατον, ταῖς κρείττοσι τῶν ἐλπίδων ἀνακαινούμενον.

XII. Hujus coronæ (quod loquor, non secundum Dominum loquor, sed tamen loquar), textoribus nonnihil ipse quoque adjumento fui. Horum quispiam sermonum quoque nostrorum opus est; non C eorum quos temere jactavimus, sed, quos amore complexi sumus; nec meretriciorum (ut quidam nos proscindens dixit, homo, et sermone, et moribus meretriciis), verum admodum etiam gravium et pudicorum. Horum quispiam mei quoque Spiritus fetus ac fructus est, quemadmodum Spiritus eos, qui animum a corpore abduxerunt, gignere consuevit. Hujus rei non dubito quin candidissimos quosque vestrum testes habiturus sim, aut etiam omnes, quandoquidem labore nostro omnes exculti estis: et Trinitatis confessio, sola est merces, quam a vobis expeto. Non enim aliud quidquam quærimus, aut quæsivimus. Virtutem enim mercedis expertem esse oportet, ut virtus maneat, nihil sibi præter bonum ipsum proponens.

ΙΒ'. Τούτου τοῦ στεφάνου (ὃ λαλῶ, οὐ κατὰ Κύριον λαλῶ, λαλήσω δὲ ὅμως) κἀγώ τι συνεβαλόμην (3) τοῖς πλέκουσι. Τούτων τις καὶ τῶν ἐμῶν λόγων ἔργον, οὐχ οὓς ἐῤῥίψαμεν, ἀλλ' οὓς ἠγαπήσαμεν· οὐδὲ τῶν πορνικῶν, ὥς τις ἔφη διασύρων ἡμᾶς τῶν πόρνων καὶ λόγον καὶ τρόπον, ἀλλὰ καὶ λίαν σωφρόνων. Τούτων τις καὶ τοῦ ἐμοῦ Πνεύματος γέννημα καὶ καρπὸς, ὡς γεννᾷν οἶδε Πνεῦμα τοὺς ἀπανισταμένους σώματος (4). Μαρτυρήσουσιν (5), εὖ οἶδ' ὅτι, καὶ ὑμῶν οἱ εὐγνώμονες, ἢ καὶ πάντες, ἐπεὶ καὶ πάντας ἐγεωργήσαμεν· καὶ μισθὸς, ἡ ὁμολογία μόνη. Οὐ γὰρ ἄλλο τι ἐπιζητοῦμεν, ἢ ἐζητήσαμεν (6). Ἄμισθος γὰρ ἡ ἀρετὴ, ἵνα καὶ ἀρετὴ μείνῃ, πρὸς τὸ καλὸν μόνον βλέπουσα.

XIII. Vultis juvenilius aliquid adjiciamus? Videtisne D adversarias linguas 757 mitescentes, atque eos, qui Divinitati bellum indixerunt, nihil jam turbarum nobis facessentes? Id quoque Spiritus, id quoque agriculturæ nostræ est. Non enim sine disciplina docemus, nec adversarios contumeliis et

ΙΓ'. Βούλεσθε προσθῶμέν (7) τι καὶ νεανικώτερον; Ὁρᾶτε τὰς ἐναντίας γλώσσας ἡμερουμένας, καὶ τοὺς θεότητι πολεμοῦντας ἡμῖν ἡσυχάζοντας; Καὶ τοῦτο τοῦ Πνεύματος, καὶ τοῦτο τῆς γεωργίας τῆς ἡμετέρας. Οὐ γὰρ ἀπαιδεύτως παιδεύομεν, οὐδὲ ταῖς ὕβρεσι βάλλομεν, ὅπερ πάσχουσιν οἱ πολλοὶ, μὴ τῷ

[73] Isa. XXVIII, 1.

(97) *Τοῦ στεφάνου*. Bas., τοὺς στεφάνους. Alludit Gregorius ad hæc verba Isaiæ XXVIII, 1: « Væ coronæ superbiæ ebriis Ephraim. »
(98) *Τετιμημένων*. Or. 2 et Comb., τετιμημένον, « ornatum. »
(99) *Τἄλλα*. In Coisl. 1, τ' ἄλλα.
(1) *Πνεύματος*. Reg. bm, τοῦ Πνεύματος.
(2) *Συνδεδεμένον*. Sic nonnulli codd. In ed., συνδεδεμένων.
(3) *Συνεβαλόμην*. Tillem., συνελαβόμην.
(4) *Σώματος*. In quibusdam, τοῦ σώματος.
(5) *Μαρτυρήσουσιν, εὖ οἶδα*. Sic plures codd. Alii, μαρτυρήσωσιν. In pluribus etiam deest εὖ.
(6) *Ἐζητήσαμεν*. In nonnullis, ἐπεζητήσαμεν.
(7) *Προσθῶμεν*. Reg. bm, προσθῶ.

λόγῳ μαχόμενοι, τοῖς δὲ λέγουσι, καὶ τὴν ἀσθένειαν ἔστιν ὅτε τῶν λογισμῶν ταῖς ὕβρεσι συγκαλύπτοντες· ὥσπερ τὰς σηπίας λόγος ἐμεῖν τὸ μέλαν πρὸ ἑαυτῶν, ἵνα τοὺς θηρεύοντας διαφύγωσιν, ἢ τῷ λανθάνειν θηράσωσιν (8). Ἀλλὰ τὸ περὶ Χριστοῦ πολεμεῖν δείκνυμεν, ἐν τῷ μάχεσθαι κατὰ Χριστὸν, τὸν εἰρηνικόν τε καὶ πρᾶον, καὶ τὰς ἀσθενείας ἡμῶν βαστάσαντα. Οὔτε εἰρηνεύομεν κατὰ τοῦ λόγου τῆς ἀληθείας, ὑφιέντες τι διὰ δόξαν ἐπιεικείας· οὐ γὰρ κακῶς τὸ καλὸν θηρεύομεν· καὶ εἰρηνεύομεν ἐννόμως μαχόμενοι, καὶ εἴσω τῶν ἡμετέρων ὅρων (9), καὶ κανόνων τοῦ Πνεύματος. Περὶ μὲν οὖν τούτων οὕτω γινώσκω, καὶ νόμον τίθημι πᾶσι τοῖς ψυχῶν οἰκονόμοις, καὶ τοῦ λόγου ταμίαις (10)· μήτε τῷ σκληρῷ τραχύνειν, μήτε τῷ ὑπεσταλμένῳ κατεπαίρειν· ἀλλ' εὐλόγους εἶναι περὶ τὸν λόγον, μηδετέρῳ τὸ μέτρον ὑπερβαίνοντας.

conviciis incessimus, quemadmodum plerique faciunt, non cum sermone, sed cum loquentibus confligentes, ac rationum et argumentorum infirmitatem maledictis interdum obtegentes; non aliter ac sepias atramentum ante se vomere aiunt, ut piscatores effugiant, aut ipsæ latendo venentur. Verum nos pro Christo bellum gerere hoc argumento planum facimus, quod secundum Christum, qui mitis ac pacatus est [74], atque infirmitates nostras portavit [75], dimicamus. Nec enim, veræ doctrinæ detrimento, paci studemus, nonnihil remittentes, ut facilitatis et mansuetudinis famam colligamus; non enim quod bonum est male aucupamur: et rursum pacem colimus, legitime pugnantes, atque intra limites nostros Spiritusque regulam nosmet continentes. Ac de his quidem ita sentio, cunctisque animarum dispensatoribus rectæque doctrinæ arbitris legem statuo; ut nec per duritiam hominum animos exasperent, nec per submissionem elatos et insolentes efficiant; sed ut prudenter et consulte in fidei causa se gerant, nec in horum alterutro mediocritatem excedant.

ΙΔ'. Δεῖ δὲ ἴσως ποθοῦσιν ὑμῖν καὶ τὸν τῆς πίστεως αὐτῆς ἐπιδείξασθαι λόγον, ἥτις ποτέ ἐστιν ἡ καθ' ἡμᾶς. Ἐγώ τε γὰρ ἁγιασθήσομαι τῷ συνεχεῖ τῆς μνήμης· ὅ τε λαὸς οὗτος ὀνήσεται, χαίρων, εἴπερ (11) ἄλλῳ τινὶ, τοῖς τοιούτοις λόγοις· καὶ ὑμεῖς ἐπιγνώσεσθε, εἰ μὴ μάτην φθονούμεθα (12), τῇ φανερώσει τῆς ἀληθείας, τοῖς μὲν ἁμιλλώμενοι, τοὺς δὲ φθάνοντες (13). Ὥσπερ γὰρ τῶν βρυχίων (14) ὑδάτων, τὰ μὲν ἐν βάθει κρύπτεται παντελῶς, τὰ δὲ παφλάζει στενοχωρούμενα, καὶ τὴν ἔκρηξιν ὑπισχνεῖται μὲν ταῖς ἀκοαῖς, μέλλει δὲ ἔτι, τὰ δὲ καὶ ἀναῤῥήγνυται· οὕτω καὶ τῶν φιλοσοφούντων (15) περὶ Θεοῦ, ἵνα μὴ λέγω τοὺς παντελῶς ἀγνώμονας, οἱ μὲν πάντη κρύφιον καὶ λανθάνουσαν ἔχουσιν ἐν ἑαυτοῖς (16) τὴν εὐσέβειαν· οἱ δὲ τῆς ὠδῖνος ἐγγὺς, ὅσοι τὸ μὲν ἀσεβὲς φεύγουσι, τὸ δὲ εὐσεβὲς οὐ παῤῥησιάζονται, εἴτε οἰκονομίᾳ τινὶ χρώμενοι περὶ τὸν λόγον, εἴτε δειλίᾳ πρὸς τοῦτο καταφεύγουσιν· ἀλλὰ τὴν μὲν διάνοιαν ὑγιαίνουσιν, ὥς φασι, τὸν λαὸν δὲ οὐχ ὑγιάζουσιν, ὥσπερ ἑαυτῶν οὐκ ἄλλων προστασίαν ἐγχειρισθέντες· οἱ δὲ καὶ δημοσιεύουσι τὸν θησαυρὸν, οὐ στέγοντες τὴν ὠδῖνα τῆς εὐσεβείας, οὐδὲ τὸ μόνοι σώζεσθαι σωτηρίαν νομίζοντες, εἰ μὴ καὶ ἄλλοις τὸ καλὸν ὑπερβλύσειεν. Μεθ' ὧν ἐγὼ ταττοίμην, ἢ οἵτινες μετ' ἐμοῦ τὴν καλὴν τόλμαν τολμῶντες ὁμολογεῖν τὴν εὐσέβειαν.

XIV. Sed jam fortasse operæ pretium est ipsius quoque fidei doctrinam, quæcunque tandem illa apud nos est, cupientibus vobis indicare. Nam, et ipse per commemorationis assiduitatem sanctitate afficiar: et populus hic utilitatem consequetur, ex hujusmodi sermonibus, si qua alia ex re, mirificam voluptatem capiens: et vos agnoscetis, an non frustra nobis invideatur, dum in manifestanda veritate, illos quidem æquare, alios vero antevertere contendimus. Quemadmodum enim subterraneæ aquæ, partim in imo prorsus occultantur; partim in angustias redactæ ebulliunt, atque eruptionem jamjam quidem auribus pollicentur, cæterum adhuc morantur; partim denique in altum erumpunt: ad eumdem modum eorum, qui de Deo philosophantur (ut eos, qui omnino improbi ac perfidi sunt, missos faciam), alii abditam omnino atque occultam sibi ipsis pietatem habent; alii a partus doloribus non longe absunt, ii nimirum, qui impietatem **758** quidem fugiunt, sed pietatem libero atque intrepido animo minime prædicant, sive consilio quodam in fidei doctrina utentes, sive ob metum atque ignaviam eo confugientes; verum animo quidem et mente sani sunt, ut affirmant, cæterum plebis sanitati minime consulunt, perinde atque ipsi sese, non item alios, suæ curæ ac fidei commissos habeant; alii vero thesaurum quoque in medium proferunt, pietatis fetum, parturientium instar, retinere nequeuntes, nec, quod soli ipsi salutem consequantur, salutem existimantes, nisi

[74] Matth. xi, 29. [75] Isa. liii, 4.

(8) *Ἢ τῷ λανθάνειν θηράσωσιν.* « Aut ipsæ latendo venentur; » ac sic escam rapiant; cui ipsæ venatu insidiantur. Billius legit, τὸ λανθάνειν, ac reddit : « aut conspectum sui eis (piscatoribus) eripiant. »

(9) *Ὅρων.* Plures codd., νόμων. In quibusdam, ὅρων, καὶ νόμων, καὶ κανόνων. « Intra limites, et leges, et regulas.

(10) *Λόγου ταμίαις.* « Verbi ministris, » quibus erogandæ doctrinæ munus commissum est.

(11) *Εἴπερ.* Duo Regg. et tres Colb., ἤπερ.

(12) *Φθονούμεθα.* Reg. bm, ἐφθονούμεθα.

(13) *Φθάνοντες.* Or, 2, φθάνοντας.

(14) *Βρυχίων.* In quibusdam, ὑποβρυχίων.

(15) *Φιλοσοφούντων.* Hæc exponit Nicetas, quasi de omnibus in universum Christianis a Gregorio dicta. Verum de pastoribus ac præfectis ecclesiasticis tantum dicta esse liquido constat, et cuique legenti manifestum est.

(16) *Ἐν ἑαυτοῖς.* Sic permulti codd. Deest ἐν in edit.

in alios quoque bonum hoc redundet. Quo in numero utinam ipse collocer, ac si qui mecum laudabili audacia præditi, et piam doctrinam profiteri non verentur!

XV. Atque unum quidem, idque breve, doctrinæ A nostræ argumentum, ac velut in columna insculptum, omnibusque notum, est hic populus, adeo verus ac sincerus Trinitatis adorator, ut ab hac potius vita divelli se passurus sit, quam ut trium horum aliquid a divinitate disjungat. eadem omnes fidei sententia præditi, eodem zelo flagrantes, una et eadem fidei doctrina, et inter se, et nobiscum, et cum Trinitate conjuncti atque connexi. Ut autem brevi singula percurram, quod principii expers est, et principium, et id quod cum principio est, unus est Deus. Nec vero, principio carere, ejus, quod principio caret, natura est; aut etiam ingenitum esse. Nullius enim rei natura ex eo declaratur, quod dicamus, quid non sit, sed quid sit. Est enim ejus, quod est, positio; non autem ejus, quod non B est, sublatio: nec principium, eo quod principium est, ab eo, quod principio caret, dirimitur; non enim principium ipsi natura est, quemadmodum nec illi, quod principii expers sit. Circa naturam enim hæc considerantur, non autem natura ipsa sunt. Eodem modo id, quod cum principii experte, et cum principio est, nihil omnino est aliud, quam quod illa. Nomen autem principii experti, Pater: principio, Filius: ei autem, quod cum principio est, Spiritus sanctus. Una autem his tribus natura

III. Cæterum, nullo modo culpandus Gregorius, si quasdam huic charitatis officio moras attulerit, cum, ut ipse loquitur (n. 2), « pulchre coacti, nec sine Dei numine forsan peregre profecti, in veræ doctrinæ periclitantis negotio interim occupati fuerimus. » Quam excusationem ipsimet Basilio in cœlis probandam sibi pollicetur; quippe qui, cum nihil « nisi veritatem, nisi salutarem doctrinam spiraverit, » eam periclitantem defendi potius malit, quam se funebri oratione ab amico celebrari. Hinc non immerito censent eruditi, hanc orationem dictam fuisse post ipsius e Constantinopolitana sede abdicationem, in celeberrima Cæsariensis ecclesiæ concione, mense Augusto vel Septembri anni 381.

(20) T. IX, p. 511.

(21) *Arg. hujus Or.*

ΛΟΓΟΣ ΜΓ′.

Εἰς τὸν μέγαν (22) *Βασίλειον, ἐπίσκοπον Καισαρείας Καππαδοκίας, ἐπιτάφιος.* A

Α′. Ἔμελλεν ἄρα (23), πολλὰς ἡμῖν ὑποθέσεις τῶν λόγων ἀεὶ προτιθεὶς (24) ὁ μέγας Βασίλειος (καὶ γὰρ ἐφιλοτιμεῖτο τοῖς ἐμοῖς λόγοις, ὡς οὔπω τοῖς ἑαυτοῦ τῶν πάντων οὐδεὶς), ἑαυτὸν νῦν ἡμῖν (25) προθήσειν, ὑπόθεσιν ἀγώνων μεγίστην τοῖς περὶ λόγους (26) ἐσπουδακόσιν. Οἶμαι γὰρ, εἴ τις τῆς ἐν λόγοις δυνάμεως πεῖραν ποιούμενος, ἔπειτα πρὸς μέτρον κρῖναι ταύτην θελήσειε, μίαν ἐκ πασῶν ὑπόθεσιν προστησάμενος, καθάπερ οἱ ζωγράφοι τοὺς ἀρχετύπους πίνακας, ταύτην ἂν ὑφελὼν μόνην, ὡς λόγου κρείττονα, τῶν ἄλλων ἑλέσθαι τὴν πρώτην. Τοσοῦτον ἔργον ἡ τοῦ ἀνδρὸς εὐφημία, μὴ ὅτι γε ἡμῖν τοῖς πάλαι πᾶν τὸ φιλότιμον καταλύσασιν· ἀλλὰ καὶ οἷς βίος ἐστὶν ὁ λόγος, ἓν τοῦτο ἐσπουδακόσι καὶ μόνον, ταῖς τοιαύ- B ταις (27) ἐνευδοκιμεῖν ὑποθέσεσιν. Ἔχω μὲν οὕτω

ORATIO XLIII[a].

770 *Funebris oratio in laudem Basilii Magni Cæsareæ in Cappadocia episcopi* [a].

I. Hoc profecto supererat, ut, cum magnus ille Basilius multa nobis orationum argumenta proposuisset (sic enim meis orationibus gloriabatur, ut nemo unquam omnium perinde suis), seipsum nunc nobis proponeret, argumentum certaminum omnium maximum, iis, qui litteris et eloquentiæ operam dederunt. Nam existimo, si quis suam in dicendo facultatem experiri, eamque postea velut ad normam exigere vellet, materiam unam ex omnibus sibi proponens, quemadmodum pictores eas tabulas, ex quibus exempla petunt, eum, hac sola submota, velut oratoriam omnem vim superante, cæterarum primam quamque delecturum. Tam arduum opus est hujus viri encomium, non nobis solum, qui jam olim omne gloriæ studium deposuimus; verum

[a] Alias 20. Quæ autem 43 erat, nunc 44. — Habita Cæsareæ circa mensem Augustum vel Septembrem anni 381.

(22) *Εἰς τὸν μέγαν*, etc. Sic plures codices. In quibusdam, εἰς τὸν ἅγιον, etc. In aliis, sicut in editis, desunt τὸν μέγαν, et, τὸν ἅγιον.

(23) *Ἔμελλεν ἄρα.* Ita prorsus Lucianus in philosophi Demonactis laudem exorsus : Ἔμελλεν ἄρα μηδὲ ὁ καθ' ἡμᾶς βίος, etc. Unde Muretus, penultimo variarum lectionum libro, ait : « Fortasse a vero non longe aberraturus sit, si quis sanctissimum eumdemque eloquentissimum virum a summe impio, sed culto tamen ac polito scriptore aliquid sumpsisse credat. »

(24) *Προτιθείς.* Regg. a, c, d, προθείς.

(25) *Ἡμῖν.* Sic Regg. a, c, d, bm, etc. Deest in edit.

(26) *Περὶ λόγους.* Pass., περὶ λόγων.

(27) *Ταῖς τοιαύταις.* In nonnullis, τὸ τοιαύταις.

etiam illis, quibus vita est oratio, quique etiam in id unum operam suam contulerunt, ut hujusmodi argumentis, nominis sui famam celebrent. Hæc de re quidem sic existimo, et, ut mihi persuadeo, admodum recte. Cæterum nescio, qua tandem alia in re sermonibus uti queam, si nunc iis minime usus fuero; aut quid ipse gratius facere possim, vel mihi, vel iis qui virtutem laudibus efferunt, vel ipsis denique sermonibus, quam si hujus viri laudes prædicem. Ita enim me primum ipse velut ære quodam alieno utcunque liberavero. Debetur quippe, ut si quid aliud, viris, cum cætera egregiis, tum in dicendo copiosis, oratio. Deinde, illos simul, et voluptate afficiet hic sermo, et ad virtutis studium exstimulabit. Quarum enim rerum laudes novi, earum quoque haud dubie incrementa explorata habeo; nec quidquam omnino est, quod non hac ratione augeatur. Postremo, quod ad sermones attinet, utrovis modo res præclare se habitura est. Nam si ad ipsius dignitatem et meritum propius accesserint, vim suam et **771** facultatem ostendent; sin autem ab illius præstantia longe abfuerint (quod omnino iis, qui eum laudare instituerint, accidere necesse est), re ipsa se succubuisse declarabunt, eumque de cujus laudibus agitur, omnem vim orationis superare.

A περὶ τούτων, καὶ, ὡς ἐμαυτὸν πείθω, λίαν ὀρθῶς. Οὐκ οἶδα δὲ, εἰς ὅ τι ἂν ἄλλο χρησαίμην τοῖς λόγοις, μὴ νῦν χρησάμενος· ἢ ὅ τί ποτ' ἂν μᾶλλον ἢ (28) ἐμαυτῷ χαρισαίμην, ἢ τοῖς ἀρετῆς (29) ἐπαινέταις, ἢ τοῖς λόγοις αὐτοῖς, ἢ τὸν ἄνδρα τοῦτον θαυμάσας. Ἐμοί τε γὰρ ἔσται τοῦτο χρέος ἱκανῶς ἀφωσιωμένον. Χρέος δὲ, εἴπερ ἄλλο τι, τοῖς ἀγαθοῖς τά τε ἄλλα καὶ περὶ τὸν λόγον, ὁ λόγος. Ἐκείνοις θ' ἅμα μὲν ἡδονὴ γένοιτο, καὶ ἅμα παράκλησις εἰς ἀρετὴν, ὁ λόγος. Ὧν γὰρ τοὺς ἐπαίνους (30) οἶδα, τούτων σαφῶς καὶ τὰς ἐπιδόσεις· ἐπ' οὐδενὸς οὖν τῶν ἁπάντων, οὐκ ἔστιν ἐφ' ὅτῳ οὐχὶ τῶν ἁπάντων. Τοῖς τε λόγοις αὐτοῖς ἀμφοτέρωθεν ἂν ἔχοι τὸ πρᾶγμα καλῶς. Εἰ μὲν ἐγγὺς ἔλθοιεν τῆς ἀξίας, τὴν ἑαυτῶν ἐπιδεδειγμένοις δύναμιν· εἰ δὲ πλεῖστον ἀπολειφθεῖεν (ὃ πᾶσα παθεῖν B ἀνάγκη τοῖς ἐκεῖνον ἐγκωμιάζουσιν), ἔργῳ δεδηλωκόσι τὴν ἧτταν, καὶ τὸ κρεῖττον (31) ἢ κατὰ λόγου δύναμιν εἶναι τὸν εὐφημούμενον.

II. Hæc quidem sunt, quæ me ad dicendum, et ad suscipiendum hoc certamen impulerunt. Quod si multo serius, quam tempus postulabat, ac post tot alios, qui res illius privatim publiceque laudibus ornarunt, ad hoc munus accessi, nemini mirum videatur. Verum ignoscat mihi, velim, divina anima, mihique, et nunc, et ante veneranda. Quemadmodum autem omnino, cum apud nos ageret, multa mea errata pro amicitiæ jure ac præstantiori lege corrigebat (non enim dicere vereor, quod cunctis esset lex et norma virtutis); sic nunc quoque supra nos positus, facilem se mihi ac exorabilem præbebit. Ignoscant etiam, quæso, quicunque ex vobis ferventiores illius laudatores sunt; si qui tamen alii aliis ferventiores sunt, ac non potius omnes hac una in re, hoc est, in ipsius laude et prædicatione, pares sumus. Non enim negligentia et contemptu officium prætermisimus; absit enim, ut aut virtutem, aut amicitiæ officium usque adeo negligamus, nec quod hoc laudationis munus cuiquam alii potius, quam nobis convenire arbitremur. Sed primum, ut verum fatear, sermonem habere detrectabam, quemadmodum qui ad sacra accedunt, priusquam vocem animumque perpurgassem.

Β'. Ἃ μὲν οὖν πεποίηκέ μοι τὸν λόγον, καὶ δι' ἃ τὸν ἀγῶνα τοῦτον ἐνεστησάμην, ταῦτά ἐστιν. Εἰ δὲ τοσοῦτον ἀπήντηκα τοῦ καιροῦ δεύτερος, καὶ μετὰ τοσούτους ἐπαινέτας, ἰδίᾳ τε καὶ δημοσίᾳ τὰ ἐκείνου σεμνύναντας (32), μηδεὶς θαυμαζέτω. Ἀλλὰ συγγινωσκέτω μὲν ἡ θεία ἡ ψυχὴ, καὶ πάντ' ἐμοὶ σεβασμία καὶ νῦν καὶ πρότερον. Πάντως δὲ ὡς σὺν ἡμῖν C ὢν, ἐπηνώρθου πολλὰ τῶν ἐμῶν, ὅρῳ τε φιλίας καὶ νόμῳ κρείττονι (οὐ γὰρ αἰσχύνομαι τοῦτο λέγειν, ὅτι καὶ πᾶσι νόμος ἦν ἀρετῆς)· οὕτω καὶ ὑπὲρ ἡμᾶς γενόμενος, συγγνώμων ἔσται τοῖς ἡμετέροις. Συγγινωσκέτωσαν δὲ καὶ ὑμῶν ὅσοι θερμότεροι τοῦ ἀνδρὸς ἐπαινέται· εἴπερ τίς ἐστιν ἄλλου (33) θερμότερος, ἀλλὰ μὴ τοῦτο μόνον πάντες ὁμότιμοι τὴν τοῦ ἀνδρὸς εὐφημίαν. Οὐ γὰρ ὀλιγωρίᾳ (34) τὸ εἰκὸς ἐνελίπομεν (35)· μή ποτε τοσοῦτον ἀμελήσαιμεν (36), ἢ ἀρετῆς, ἢ τοῦ φιλικοῦ καθήκοντος· οὐδὲ τῷ νομίζειν ἄλλοις μᾶλλον ἡμῶν προσήκειν τὸν ἔπαινον. Ἀλλὰ πρῶτον μὲν ὤκνουν τὸν λόγον, εἰρήσεται γὰρ τἀληθὲς, ὥσπερ οἱ τοῖς ἱεροῖς (37) προσιόντες, πρὶν καθαρθῆναι καὶ φωνὴν καὶ διάνοιαν. Ἔπειτα, οὐκ D ἀγνοοῦντας μὲν, ὑπομνήσω δ' οὖν ὅμως, ὧν μεταξὺ (38) περὶ τὸν ἀληθῆ λόγον ἠσχολήμεθα κινδυνεύοντα, καλῶς βιασθέντες, καὶ κατὰ Θεὸν ἴσως ἐκ-

(28) *Μᾶλλον ἤ*. Sic Regg. bm, ph, Pass., etc. Deest ἢ in ed.

(29) *Ἀρετῆς*. Comb., τῆς ἀρετῆς.

(30) *Ὧν γὰρ τοὺς ἐπαίνους*, etc. Obscura profecto sententia. Hanc Nicetas sic exponit: « Quarum rerum laudes celebrantur, eas quoque progressum et incrementum accipere compertum habeo. In nulla igitur re ex omnibus aliter accidit, quin incrementum, ex eo quod laudetur, accipiat. » Conjicimus Gregorium hic indicare, quod, quo magis quidquam, sive virtus, sive vitium, sive alia res, laudatur, eo magis ipsius amor et desiderium in auditorum animis infigatur. Unde generatim dicendum, quod quidquid laudatur, ipsa laudatione, incrementa accipere necesse sit.

(31) *Κρεῖττον*. Regg. a, c, d, sex Colb., Chrys., etc., κρείττω.

(32) *Σεμνύναντας*. Reg. a et Comb., σεμνύνοντας.

(33) *Ἄλλου*. Comb., ἄλλος ἄλλου.

(34) *Ὀλιγωρίᾳ*. In quibusdam, ῥᾳθυμίᾳ

(35) *Ἐνελίπομεν*. Sic Or. 2. In ed., ἐνελείπομεν.

(36) *Ἀμελήσαιμεν*. Reg. c, ἀμελησαίμην.

(37) *Οἱ τοῖς ἱεροῖς*. « Qui ad templa accedunt. » Apud Orientales, ad sacrarum ædium porticus, fontes et phialæ præsto erant, ut accedentes possent sordes extergere.

(38) *Ὧν μεταξύ*. Schol. Ἔοικε τὸν παρόντα λόγον, μετὰ τὸ κατελθεῖν ἀπὸ τῆς Κωνσταντινουπόλεως, ἐκδεδωκέναι· « Videtur hanc orationem, postquam Constantinopolim reliquit, edidisse. »

A δημοι γεγονότες, καὶ οὐδ' ἀπὸ γνώμης ἐκείνῳ τῷ γενναίῳ τῆς ἀληθείας ἀγωνιστῇ, καὶ μηδὲν ἕτερον ἀναπνεύσαντι, ὅτι μὴ λόγον εὐσεβῆ καὶ κόσμου παντὸς σωτήριον. Τὰ γὰρ τοῦ σώματος ἴσως οὐδὲ θαῤῥῆσαι χρὴ λέγειν ἀνδρὶ γενναίῳ καὶ ὑπὲρ τὸ σῶμα, πρὶν ἐνθένδε μεταναστῇ (39), καὶ μηδὲν ἀξιοῦντι τῶν τῆς ψυχῆς καλῶν ὑπὸ τοῦ δεσμοῦ (40) παραβλάπτεσθαι. Τὰ μὲν δὴ τῆς ἀπολογίας ἐνταῦθα κείσθω. Καὶ γὰρ οὐδὲ μακροτέρας οἶμαι ταύτης δεήσειν ἡμῖν, πρὸς ἐκεῖνόν γε ποιουμένοις τὸν λόγον (41), καὶ τοὺς εἰδότας σαφῶς τὰ ἡμέτερα. Ἤδη δὲ πρὸς αὐτὴν ἡμῖν ἰτέον τὴν εὐφημίαν, αὐτὸν προστησαμένοις (42) τοῦ λόγου τὸν ἐκείνου Θεόν· μὴ καθυβρίσαι τὸν ἄνδρα τοῖς ἐγκωμίοις, μηδὲ πολὺ δεύτερον τῶν ἄλλων ἐλθεῖν· κἂν ἐκείνου πάντες ἴσον ἀπολειπώμεθα, καθάπερ οὐρανοῦ καὶ ἡλιακῆς ἀκτῖνος, οἱ πρὸς αὐτὰ βλέποντες. B

Γ'. Εἰ μὲν οὖν ἑώρων αὐτὸν γένει καὶ τοῖς ἐκ γένους φιλοτιμούμενον, ἤ τινι τῶν μικρῶν ὅλως, καὶ οἷς οἱ χαμαὶ βλέποντες (43), ἄλλος ἂν ἡρώων ὤφθη κατάλογος. Ὅσα τῶν ὑπὲρ ἐκεῖνον τοῖς χρόνοις ἐκείνῳ συνεισενεγκεῖν (44) εἴχομεν! Καὶ οὐδ' ἂν ταῖς ἱστορίαις παρήκαμεν ἔχειν τι πλέον ἡμῶν· ἐκεῖνό γε πλέον ἔχοντες πάντως, τὸ μὴ πλάσμασι, μηδὲ μύθοις, αὐτοῖς δὲ τοῖς πράγμασι καλλωπίζεσθαι, καὶ ὧν πολλοὶ μάρτυρες. Πολλὰ μὲν γὰρ ὁ Πόντος ἡμῖν ἐκ τοῦ πατρὸς προβάλλει τὰ διηγήματα, καὶ οὐδενὸς C ἐλάττω τῶν πάλαι περὶ αὐτὸν θαυμάτων, ὧν πλήρης (45) πᾶσα συγγραφή τε καὶ ποίησις· πολλὰ δὲ τὸ ἐμὸν ἔδαφος τοῦτο, οἱ σεμνοὶ Καππαδόκαι, τὸ μηδὲν ἧττον κουροτρόφον (46), ἢ εὔιππον. Ὅθεν τῷ πατρῴῳ γένει τὸ μητρῷον ἡμεῖς ἀντανίσχομεν. Στρατηγίαι τε καὶ δημαγωγίαι, καὶ κράτος ἐν βασιλείοις αὐλαῖς· ἔτι δὲ, περιουσίαι, καὶ θρόνων ὕψη, καὶ τιμαὶ δημόσιαι, καὶ λόγων λαμπρότητες, τίνων, ἢ πλείους, ἢ μείζους; Ὧν ἡμῖν εἰ βουλομένοις εἰπεῖν ἐξῆν, οὐδὲν ἂν ἦσαν (47) ἡμῖν οἱ Πελοπίδαι (48), καὶ Κεκροπίδαι (49), καὶ οἱ Ἀλκμαίωνες (50), Αἰακίδαι (51)

Deinde, tametsi enim id non ignoretis, in memoriam tamen vobis revocabo, in veræ doctrinæ periclitantis negotio interim occupati fuimus, pulchre coacti, nec sine Dei numine fortasse peregre profecti, nec præter voluntatem ac consilium eximii illius veritatis propugnatoris, quique nil unquam aliud quam piam orbique universo salutarem doctrinam spiravit. Nam de corporis mei imbecillitate forsan ne sermonem quidem facere audendum est, ad strenuum virum, corporeque, etiam antequam hinc migraret, sublimiorem, ac illud asserentem, nihil ex animæ bonis a vinculo impediri. Atque hic excusatio nostra finem habeat. Neque enim longiore alia mihi opus fore arbitror, cum sim duntaxat apud eum, ceterosque, quibus res nostræ probe cognitæ sunt et exploratæ, locuturus. Jam igitur ad laudationem nobis accedendum **772** est, illius Deum orationi nostræ præficientibus; ne nostris laudibus huic viro dedecus inferamus, ab iisque, qui jam in hoc argumento versati sunt, longo intervallo prætereamur; quanquam fortasse omnes ab illo pari intervallo distemus, non secus atque a cœlo solisque radiis, qui ea contuentur.

III. Enimvero si eum genere, ac generis splendore gloriari perspicerem, aut ulla re ex iis, quæ omnino parvæ sunt, et quibus ii, qui humi defixos oculos habent, efferri solent, alius utique heroum catalogus appareret. Quanta a majoribus illius ad eum ornandum accipere possemus! Nec historiis quidem quidquam hac parte cederemus; hoc certe nomine superiores futuri, quod non commentitiis fictisque narrationibus, sed rebus ipsis, quarum multi testes sunt, ornaremur. Multa enim nobis narratu digna ex paterno latere Pontus suppeditat, et quidem priscis suis prodigiis, quibus, et historicorum, et poetarum volumina plena sunt, nequaquam inferiora: multo etiam veneranda hæc mea patria Cappadocia, non minus juvenum, quam equorum bona nutrix. Unde paterno generi materni generis splendorem opponimus. Quorumnam autem et militaria imperia, et populorum gubernationes, et in imperatorum aulis potentia et auctoritas; ac præterea, opes, et excelsi throni, et publici honores, ac sermonum splendores, vel plures, vel majores exsti-

(39) *Μεταναστῇ*. In nonnullis, μεταναστῆναι.

(40) *Ὑπὸ τοῦ δεσμοῦ*. « A vinculo, » id est, « a corpore. » Gregorius plerumque morbis fractus, ægerrime ferebat, se non posse omnibus officiis defungi.

(41) *Ποιουμένοις τὸν λόγον*. Sic plures codd. In ed. deest τὸν λόγον, et pro ποιουμένοις, legitur, ποιούμενος.

(42) *Προστησαμένοις*. In quibusdam, προστησομένοις.

(43) *Καὶ οἷς οἱ χαμαὶ βλέποντες*. Sic quatuor Regg., quinque Colb., Chrys., Or. 2, Par., Pass., etc. In ed., καὶ ὅσων οἱ χαμαὶ βαίνοντες, « et quotquot super terram gradiuntur. »

(44) *Συνεισενεγκεῖν*. Sic plures Regg. In ed., συνεσενεγκεῖν.

(45) *Ὧν πλήρης*, etc. De rebus, quæ in Ponto gesta fuerant, ut observat Nicetas, historiam edidere Xenophon et Polybius; Apollonius vero poema conscripsit.

(46) *Κουροτρόφον*. « Alludit, » inquit Nicetas, « ad istud Homeri *Odyss.* IX, vers. 27: Τρηχεῖ', ἀλλ' ἀγαθὴ κουροτρόφος· Aspera, sed bona juvenum nutrix. » Hic observandum, quod Basilii pater e Ponto erat oriundus, ejusque mater e Cappadocia. D

(47) *Οὐδὲν ἂν ἦσαν*. Sic Regg. a, c, duo Coisl., plures Colb., Or. 2 et Pass. Deest ἦσαν in ed. et in aliis nonnullis codd.

(48) *Πελοπίδαι*. « Pelopidæ. » Sic dicti a Pelope, qui Tantali Phrygiæ regis filius fuit; et ipse rex, Græciæ regionem nomine Apia, Peloponesum nominavit.

(49) *Κεκροπίδαι*. « Cecropidæ » genus traxerunt a Cecrope Athenarum rege, qui magnopere Atticam exornavit, et ad Ægyptiacæ linguæ cognitionem, utpote ex Ægypto ortus, Græcæ quoque peritiam adjunxit.

(50) *Ἀλκμαίωνες*. « Alcmæon » Atheniensis Pisistrati tyrannide civitatem oppressam in libertatem vindicavit; unde Alcmæones.

(51) *Αἰακίδαι*. « Æacidæ » sic vocati ab Æaco Jovis filio, singulari justitiæ laude prædito.

A terunt? Quæ nobis, si arbitratu nostro commemorare liceret, nihil essent Pelopidæ, nec Cecropidæ, nec Alcmæones, nec Æacidæ, nec Heraclidæ, nec alii quibus nihil est sublimius; qui quidem, cum nihil proprium habeant quod aperte prædicent, ad obscura confugiunt, dæmones videlicet quosdam, et deos, ac fabulas, majoribus suis attribuentes, quorum ea est ratio, ut quod in ipsis maxime speciosum et illustre est, fide careat; quod autem creditur, probrum et contumelia sit.

τε καὶ Ἡρακλεῖδαι (52), καὶ ὧν οὐδὲν ὑψηλότερον· οἵτινες ἐκ τῶν οἰκείων φανερῶς εἰπεῖν οὐκ ἔχοντες, ἐπὶ τὸ ἀφανὲς καταφεύγουσι, δαίμονας δή τινας, καὶ θεοὺς, καὶ μύθους τοῖς προγόνοις ἐπιφημίζοντες, ὧν τὸ σεμνότατον ἀπιστία, καὶ ὕβρις τὸ πιστευόμενον (53).

IV. Quoniam autem de eo viro mihi oratio 773 instituta est, qui nobilitatem viritim expendi vult, nec, cum formæ atque colores, et equi, tam nobilissimi, quam abjectissimi ex seipsis explorari soleant, nos contra per ea, quæ extra nos posita sunt, depingi, posteaquam unum aut alterum ex iis, quæ a majoribus ipse habuit, quæque, et ipsius vitæ conveniunt, et maximam ei, si commemorentur, voluptatem B allatura sunt, exposuero, ad ipsum confestim me convertam. Aliarum quidem familiarum, vel etiam sigillatim cujuslibet hominis, alia sunt insignia, et narrationes, vel majores, vel minores, quæ, instar paternæ cujusdam hæreditatis, vel longinquius, vel propinquius exorsæ, ad posteros devolvuntur: huic autem utriusque generis decus pietas fuit, quemadmodum nunc oratio declarabit.

Δ'. Ἐπειδὴ δὲ ὑπὲρ ἀνδρὸς ἡμῖν ὁ λόγος, κατ' ἄνδρα κρίνεσθαι τὴν εὐγένειαν (54) ἀξιοῦντος, καὶ μὴ, τὰς μὲν μορφὰς, καὶ τὰς χρόας ἐξ ἑαυτῶν δοκιμάζεσθαι, καὶ τῶν ἵππων τοὺς εὐγενεστάτους ἢ ἀτιμοτάτους, ἡμᾶς δὲ ζωγραφεῖσθαι τοῖς ἔξωθεν, ἓν ἢ δύο τῶν ἐξ ἀρχῆς ὑπαρχόντων αὐτῷ, καὶ ταῦτα οἰκεῖα τῷ ἐκείνου βίῳ, καὶ οἷς ἂν μάλιστα ἥσθείη λεγομένοις, εἰπὼν, ἐπ' αὐτὸν καὶ δὴ τρέψομαι. Ἄλλου μὲν οὖν ἄλλο τι γνώρισμα καὶ διήγημα, καὶ γένους, καὶ τοῦ καθέκαστον, ἢ μικρὸν ἢ μεῖζον, καθάπερ τις κλῆρος πατρῷος, ἢ πόῤῥωθεν, ἢ ἐγγύθεν ἠργμένος, κάτεισιν εἰς τοὺς ὕστερον· τούτῳ δὲ γενοῖν τοῖν (55) ἀμφοτέροιν τὸ εὐσεβὲς ἐπίσημον, δηλώσει δὲ (56) νῦν ὁ λόγος.

V. Persecutio erat, et quidem persecutionum omnium atrocissima maximeque horrenda; iis loquor, quibus Maximini persecutio nota est, qui, cum post multos, qui paulo ante exstiterant, ingruisset, hoc effecit, ut omnes humani ac faciles fuisse viderentur, ingenti nimirum ipse audacia furens, atque impietatis principatum consequi summo C studio contendens. Hunc athletarum quidem nostrorum permulti superarunt, et ad mortem usque decertantes, et pene usque ad mortem; hactenus videlicet relicti, ut victoriæ suæ superstites essent, nec cum ipsis certaminibus abscederent, sed aliis, virtutis aliptæ, vivi martyres, spirantes columnæ, tacitaque præconia relinquerentur, cum multis autem aliis, et quidem celebribus, paterni etiam illius avi, quibus, cum omne pietatis genus coluissent, eximiam tempestas illa coronidem invexit. Etenim illi quidem animo ita constituti et comparati erant, ut ea omnia facile perpessuri, ob quæ Christus eos, qui ipsius certamen nostra causa susceptum imitantur, corona donat.

Ε'. Διωγμὸς ἦν, καὶ διωγμῶν ὁ φρικωδέστατος καὶ βαρύτατος· εἰδόσι λέγω τὸν Μαξιμίνου, ὃς πολλοῖς τοῖς (57) ἐγγύθεν γενομένοις ἐπιφυεὶς, πάντας φιλανθρώπους ἀπέδειξε, θράσει τε πολλῷ ῥέων, καὶ φιλονεικῶν τὸ τῆς ἀσεβείας κράτος (58) ἀναδήσασθαι. Τοῦτον πολλοὶ μὲν ὑπερέσχον τῶν ἡμετέρων ἀγωνιστῶν, καὶ μέχρι θανάτου διηγωνισμένοι, καὶ πρὸ θανάτου μικρόν· τοσοῦτον ἀπολειφθέντες, ὅσον ἐπιβιῶναι τῇ νίκῃ, καὶ μὴ συναπελθεῖν τοῖς παλαίσμασιν, ἀλλ' ὑπολειφθῆναι τοῖς ἄλλοις ἀλεῖπται (59) τῆς ἀρετῆς, ζῶντες μάρτυρες, ἔμπνοοι στῆλαι, σιγῶντα κηρύγματα, σὺν πολλοῖς δὲ τοῖς ἀριθμουμένοις καὶ οἱ πρὸς πατρὸς τούτῳ πατέρες, οἷς πᾶσαν ἀσκήσασιν εὐσεβείας ὁδὸν, καλὴν ἐπήνεγκεν ὁ καιρὸς ἐκεῖνος τὴν κορωνίδα. Παρασκευῆς μὲν γὰρ οὕτως εἶχον καὶ γνώμης, ὡς πάντα ῥᾳδίως οἴσοντες, ἐξ ὧν στεφανοῖ Χριστὸς τοὺς τὴν ἐκείνου μιμησαμένους ὑπὲρ ἡμῶν ἄθλησιν.

VI. Verum quoniam certamen quoque legitimum D ipsis esse oportebat (lex autem martyrii hæc est, ut, nec nos ultro ad certamen accedamus, hac nimirum ratione tum persecutoribus, tum imbecillioribus athletis consulentes, nec, cum præsentes sumus,

ς'. Ἐπεὶ δὲ νόμιμον αὐτοῖς ἔδει καὶ τὸν ἀγῶνα γενέσθαι (νόμος δὲ μαρτυρίας, μήτε ἐθελοντὰς πρὸς τὸν ἀγῶνα χωρεῖν, φειδοῖ τῶν διωκόντων καὶ τῶν ἀσθενεστέρων, μήτε παρόντας ἀναδύεσθαι· τὸ μὲν γὰρ θράσους, τὸ δὲ ἀνανδρίας (60) ἐστίν· καὶ (61)

(52) *Ἡρακλεῖδαι.* « Heraclidæ. » Sic dicti Herculis posteri.
(53) *Πιστευόμενον.* Tres Regg. et Pass., πιστευομένων.
(54) *Εὐγένειαν.* Pass., εὐσέβειαν, « pietatem. »
(55) *Τούτῳ δὲ γενοῖν τοῖν.* Sic plures codd. Coisl. 1, τούτῳ δὲ τοῖν γενοῖν τοῖν ἀμφοτέροιν. In ed., τῷ δὲ γονοῖν ἀμφοτέροιν.
(56) *Δέ.* Nonnulli addunt, καί.
(57) *Τοῖς.* Deest in Regg. d, ph.
(58) *Κράτος.* Coisl. 2 aliique plures addunt, αὐτός.
(59) *Ἀλεῖπται.* « Aliptæ, » id est, « cohortatores. » Mox, σιγῶντα κηρύγματα, « tacita præconia, » quia non sermonibus, sed membrorum lacerationibus pietatem prædicabant.
(60) *Ἀνανδρίας.* In nonnullis, ἀνανδρείας. « Præclarum est, » inquit Origenes comment. *in Joan.*, « non
(61) *Καί.* Tres Regg., κἄν.

τούτῳ τιμῶντες ἐκεῖνοι τὸν νομοθέτην), τί μηχανῶνται (62); Μᾶλλον δὲ, πρὸς τί φέρονται παρὰ τῆς πάντα τὰ ἐκείνων ἀγούσης προνοίας; Ἐπί τινα τῶν Ποντικῶν ὀρῶν λόχμην (πολλαὶ δὲ αὗται παρ' αὐτοῖς εἰσι καὶ βαθεῖαι, καὶ ἐπιπλεῖστον διήκουσαι) καταφεύγουσι, λίαν ὀλίγοις χρώμενοι, καὶ τῆς φυγῆς συνεργοῖς, καὶ τῆς τροφῆς ὑπηρέταις. Ἄλλοι μὲν οὖν θαυμαζέτωσαν τὸ τοῦ χρόνου μῆκος (καὶ γὰρ ἐπὶ πλεῖστον αὐτοῖς, ὥς φασι, τὸ τῆς φυγῆς παρετάθη, ἔτος που ἕβδομον, καὶ μικρόν τι πρός), τό τε τῆς διαίτης σώμασιν εὖ γεγονόσι στενόν τε καὶ παρηλλαγμένον, ὡς τὸ εἰκός· καὶ τὸ ὑπαιθρίοις (63) κρυμοῖς, καὶ θάλπεσι, καὶ ὄμβροις ταλαιπωρεῖν· ἥ τε ἄφιλος ἐρημία, καὶ τὸ ἀκοινώνητόν τε καὶ ἄμικτον· ὅσον εἰς κακοπάθειαν τοῖς ὑπὸ πολλῶν δορυφορουμένοις καὶ τιμωμένοις; Ἐγὼ δὲ, ὃ τούτων μεῖζόν ἐστι καὶ παραδοξότερον, λέξων ἔρχομαι· ἀπιστήσει δ' οὐδεὶς, ἢ ὅστις οὐδὲν μέγα οἴεται τοὺς ὑπὲρ Χριστοῦ διωγμοὺς καὶ κινδύνους, κακῶς γινώσκων καὶ λίαν ἐπικινδύνως.

A certamen detrectemus; illud quippe temerarii ac præcipitis est animi, hoc timidi et ignavi; in hac quoque re legislatorem honore afficientes), quid moliuntur? Vel potius, quonam a divina providentia, **774** quæ omnia eorum gubernabat, feruntur? Ad quamdam Ponticorum montium silvam (illic autem permultæ sunt et profundæ ac longe se porrigentes) cum paucis admodum, tam fugæ comitibus, quam cibi ministris, confugiunt. Admirentur hic quidem alii temporis diuturnitatem (nam in annum pene septimum, atque aliquando amplius, protractum illis exsilium fuisse narrant), et vivendi rationem corporibus generosis angustam et insolentem, ut verisimile est; illudque item, quod sub dio agentes, algoribus, caloribus, pluviis divexarentur; B ac denique amicis, atque hominum commercio et societate destitutam solitudinem; quæ res, quam gravis et ærumnosa iis fuisse putanda est, qui a multis stipari atque honore affici solebant? Ego autem, quod his majus et admirabilius est, exponam; nec mihi quisquam fidem abrogabit, nisi qui nihil magnum esse existimarit persecutiones et pericula Christi causa suscepta, prave utique et admodum periculose judicans.

Ζ'. Ἐπόθουν τι καὶ τῶν πρὸς ἡδονὴν οἱ γεννάδαι (64), τῷ χρόνῳ κάμνοντες, καὶ τῶν ἀναγκαίων ὄντες ἐπικορεῖς (65)· καὶ τὰ μὲν τοῦ Ἰσραὴλ οὐκ ἐφθέγξαντο (οὐ γὰρ ἦσαν γογγυσταὶ κατὰ τοὺς ἐκείνους (66) ἐν τῇ ἐρήμῳ ταλαιπωροῦντας (67) μετὰ τὴν ἐξ Αἰγύπτου φυγὴν, ὡς ἄρα βελτίων Αἴγυπτος αὐτοῖς εἴη τῆς ἐρημίας, πολλὴν τῶν λεβήτων καὶ τῶν κρεῶν (68) χορηγοῦσα τὴν ἀφθονίαν, τῶν τε ἄλλων, ὅσα ἐκεῖσε ἀπέλιπον· ἡ γὰρ πλινθεία καὶ ὁ πηλὸς οὐδὲν ἦν αὐτοῖς τότε διὰ τὴν ἄνοιαν), ἄλλα δὲ ὡς εὐσεβέστερα, καὶ πιστότερα. Τί γάρ ἐστιν, ἔλεγον, τῶν ἀπίστων, εἰ ὁ τῶν θαυμασίων Θεὸς, ὁ θρέψας πλουσίως ἐν ἐρήμῳ ξένον λαὸν, καὶ φυγάδα, ὥστε καὶ ἄρτον ὀμβρῆσαι, καὶ βλύσαι ὄρνιθας, τρέφων οὐ τοῖς ἀναγκαίοις μόνον, ἀλλὰ καὶ τοῖς περιττοῖς· εἰ ὁ τεμὼν θάλασσαν, καὶ στήσας ἥλιον, καὶ ποταμὸν ἀνακόψας, καὶ τἄλλα δὴ ὑπειπόντες, ὅσα πεποίηκε (φιλεῖ γὰρ ἐν τοῖς τοιούτοις φιλιστορεῖν (69) ἡ ψυχὴ, καὶ πολλοῖς θαύμασιν ἀνυμνεῖν τὸν Θεόν)· οὗτος, ἐπῆγον, καὶ ἡμᾶς θρέψειε σήμερον τοῖς τῆς τρυφῆς τοὺς τῆς εὐσεβείας (70) ἀγωνιστάς; Πολλοὶ μὲν θῆρες τὰς τῶν πλουσίων διαφυγόντες τραπέζας, ἅπερ ἦν ποτε καὶ ἡμῖν, τοῖς ὄρεσι τούτοις ἐμφωλεύουσι· πολλοὶ δὲ ὄρνιθες τῶν ἐδωδίμων τοὺς ποθοῦντας ἡμᾶς ὑπερίπτανται, ὧν τί μὴ θηράσιμόν (71) σοι θελήσαντι μόνον; Ταῦτ' ἔλεγον, καὶ ἡ θήρα παρῆν, ὄψον αὐτόματον, ἀπραγμάτευτος πανδαισία, ἔλαφοι τῶν λόφων

VII. Suaviores quasdam epulas egregii viri exoptabant, ut qui temporis longinquitate laborarent, ac necessariorum ciborum fastidium contraxissent. Nec idcirco tamen Israelitarum sermonibus utebantur (non enim queruli et murmuratores erant, ut illi, cum, post fugam ex Ægypto, ærumnis in deserto premerentur[85]; nimirum solitudine meliorem C sibi atque optabiliorem Ægyptum esse rati, ut qui amplissimam ollarum et carnium, aliarumque omnium rerum, quas illic reliquerant, copiam ipsis subministraret; nec enim jam, qua dementia erant, gravis ipsis laterum confectio et lutum esse videbatur); verum alia, quæ majorem pietatem ac fidem redolebant, loquebantur. Quid enim, aiebant, fieri hoc nequit, ut Deus ille miraculorum, qui peregrinum et fugitivum populum adeo large et copiose in deserto aluit[86], ut et panem, et aves tanquam ex fonte profunderet, non solum necessariis, sed etiam superfluis cibis eum nutriens; qui mare scidit[87], solis cursum compressit[88], fluvium inhibuit[89], aliaque deinde subjungentes, quæcunque ab D eo gesta fuerant (solet enim in hujusmodi rebus animus veteres historias libenter persequi, ac Dei gloriam ex multis miraculis celebrare); idem ipse Deus, inferebant, nos quoque pietatis athletas hodierno die lautioribus obsoniis pascat? Multæ feræ divitum mensis, quales quondam **775** nobis erant,

[85] Exod. XVI, 2 sqq. [86] ibid. 13. [87] Exod. XIV, 21. [88] Jos. III, 16. [89] Jos. X, 12.

« non recusare confessionem, nec dubitare mori pro veritate. Non minus tamen hoc etiam præclarum est, non dare causam tali periculo... non solum quod incertus nobis est ejus eventus; verum etiam ne causa simus, cur scelestiores sint majoribusque peccatis se contaminent. »

(62) *Μηχανῶνται.* Or. 2, μηχάνονται.

(63) *Ὑπαιθρίοις.* Sic plures Regg., duo Coisl., Or. 2, etc. In ed., ὑπαιθρίους.

(64) *Γεννάδαι.* Sic Regg. a, c, d, decem Colb., Pass. et Jes. In ed., γεννάδας.

(65) *Ἐπικορεῖς.* Plures codd., διακορεῖς.

(66) *Κατὰ τοὺς ἐκείνους.* Sic sex Regg., octo Colb., etc. Deest τοὺς in ed.

(67) *Ταλαιπωροῦντας.* Comb., ταλαιπωρήσαντας.

(68) *Καὶ τῶν κ.* Sic Regg. a, ph. Deest τῶν in ed.

(69) *Φιλιστορεῖν.* Coisl. 1, πολυΐστωρ εἶναι. Pas., πολυϊστορεῖναι.

(70) *Τοὺς τῆς εὐσεβείας.* Sic plures codd. Deest τῆς in ed.

(71) *Ὧν τί μὴ θηράσιμον.* Sic omnes codd. Mendose in ed., ὧν τί μοι θηράσιμον.

fuga elapsæ in his montibus delitescunt; multæ A esculentæ aves supra nos, qui eas expetimus, volitant: quorum quid omnino est, quod te, vel solum annuente, non facile capi possit? Hæc eorum verba erant: ac præda verborum comes erat, obsonium ultro oblatum, convivium nullo labore instructum, cervi e tumulis repente apparentes. Quam proceri! Quam pingues! Quam ad cædem prompti et alacres! Propemodum eos conjiceres, quod non citius vocati essent, moleste ferre. Illi capitum nutu alliciebant, hi sequebantur. Quo insectante, et cogente? Nemine. Quibus equis? Quibus canibus? Quo latratu, aut clamore, aut juvenum studio, viarum exitus, ut venationis leges ferunt, occupantium? Orationis tantum justæque petitionis vinculo constricti. Quis, vel nostra, vel omnium, qui unquam fuerunt, memoria, talem venationem ac prædam cognovit?

ποθὲν ὑπερφανέντες ἀθρόως. Ὡς μὲν εὐμεγέθεις! ὡς δὲ πίονες! ὡς δὲ πρόθυμοι πρὸς σφαγήν! Μονονουχὶ καὶ τοῦτο εἰκάζειν ἦν, ὅτι μὴ (72) τάχιον ἐκλήθησαν, ἐδυσχέραινον. Οἱ μὲν εἷλκον τοῖς νεύμασιν, οἱ δὲ ἤγοντο. Τίνος διώκοντος ἢ συναναγκάζοντος; Οὐδενός. Τίνων ἱππέων; Ποίων (73) κυνῶν; Τίνος ὑλακῆς, ἢ κραυγῆς, ἢ νέων προκαταλαβόντων τὰς διεξόδους τοῖς θήρας νόμοις; Εὐχῆς δέσμιοι καὶ δικαίας αἰτήσεως. Τίς ἔγνω τοιοῦτον θήραμα τῶν νῦν, ἢ τῶν πώποτε;

VIII. O rem admirandam! Ipsi prædæ suæ arbitri B erant. Quidquid placebat, voluntate tantum tenebatur; quod supererat, ad silvas in secundam mensam relegabatur. Coqui extemporales, cœna exquisita, convivæ grati, præsens miraculum tanquam præludium quoddam rerum in spe positarum habentes. Ex quo etiam ad eam dimicationem, ob quam hæc illis præsto erant, alacriores reddebantur. Ac talia quidem sunt, quæ narranda susceperam. Tu vero Dianas tuas, et Oriones, et Actæones, infelices illos venatores, mihi narra; tu, inquam, qui me persequeris, fabulasque admiraris, ac cervam virgini substitutam; si quid tantum ad laudem et gloriam tibi suppetit, ut interim narrationem hanc minime fabulosam esse donemus. Quæ deinceps sequuntur, quam turpia sunt! Quæ enim C hujus commutationis utilitas, si ea de causa virginem e periculo extrahat, ut hospitibus necem afferre doceatur, et inhumanitatem pro humanitate rependere condiscat? Atque hoc hactenus, ex multis unum, ac pro multis, mea quidem sententia. Quod etiam ipsum non eo commemoravi, ut ei cumulum aliquem gloriæ afferam (nam nec mare fluviis, qui in ipsum influunt, opus habet, etiamsi plurimi maximique influant: nec is, quem nunc laudamus, his, qui ad ipsius encomium aliquid erogent); verum, ut ostendam, quibus ille ortus majoribus, **776** in quos velut in exemplar respiciens, quanto longius jaculatus sit. Nam si aliis magnum est aliquid a majoribus ad gloriam accepisse, majus profecto ipsi est majoribus suis laudis cumulum ex se adjecisse, velut fluctu reciprocante.

Η'. Ὢ τοῦ θαύματος! Αὐτοὶ τοῦ θηράματος ἦσαν ταμίαι. Ὅσον φίλον, εἴχετο θελήμασι (74) μόνον· ὅσον περιττὸν, ἀπεπέμφθη ταῖς λόχμαις εἰς δευτέραν τράπεζαν. Οἱ ὀψοποιοὶ σχέδιοι, τὸ δεῖπνον εὐπρεπὲς (75), οἱ δαιτύμονες εὐχάριστοι, προοίμιον ἔχοντες ἤδη τῶν ἐλπιζομένων, τὸ παρὸν θαῦμα. Ἐξ οὗ καὶ πρὸς τὴν ἄθλησιν, ὑπὲρ ἧς ταῦτα ἦν αὐτοῖς, ἐγίνοντο προθυμότεροι. Τοιαῦτα τὰ ἐμὰ διηγήματα. Σὺ δέ μοι λέγε τὰς Ἐλαφηβόλους (76) σου, καὶ τοὺς Ὠρίωνας, καὶ τοὺς Ἀκταίωνας, τοὺς κακοδαίμονας θηρευτὰς, ὁ ἐμὸς διώκτης, ὁ τοὺς μύθους θαυμάζων, καὶ τὴν ἀντιδοθεῖσαν ἔλαφον τῆς παρθένου (77), εἴ τι τοσοῦτον εἰς φιλοτιμίαν ἔστι σοι, κἂν δῶμεν μὴ μῦθον εἶναι τὸ ἱστορούμενον (78). Ὡς τά γε ἑξῆς τοῦ λόγου, καὶ λίαν αἰσχρά. Τί γὰρ ὄφελος τῆς ἀντιδόσεως, εἰ σώζει παρθένον, ἵνα ξενοκτονεῖν διδαχθῇ, ἀπανθρωπίαν μαθοῦσα φιλανθρωπίας ἀντίδοσιν; Τοῦτο μὲν οὖν τοσοῦτον ἐκ πολλῶν ἓν, καὶ ἀντὶ πολλῶν, ὡς ὁ ἐμὸς (79) λόγος. Καὶ τοῦτο διῆλθον, οὐχ ἵν' ἐκείνῳ προσθῶ τι τῆς εὐδοξίας (οὔτε γὰρ θάλασσα δεῖται τῶν εἰσρεόντων εἰς αὐτὴν ποταμῶν, κἂν εἰσρέωσιν ὅτι πλεῖστοι καὶ μέγιστοι, οὔτε τῶν εἰσοισόντων τι πρὸς εὐφημίαν, ὁ νῦν ἐπαινούμενος)· ἀλλ' ἵν' ἐπιδείξαιμι, οἵων (80) αὐτῷ τῶν ἐξαρχῆς ὑπαρχόντων, καὶ πρὸς ὃ παράδειγμα βλέπων, ὅσον ὑπερηκόντισεν (81). Εἰ γὰρ μέγα τοῖς ἄλλοις τὸ προσλαβεῖν τι παρὰ τῶν ἄνωθεν εἰς φιλοτιμίαν, μεῖζον ἐκείνῳ τὸ προσθεῖναι (82) τοῖς ἄνω παρ' ἑαυτοῦ, καθάπερ (83) ῥεύματος ἀνατρέχοντος.

IX. Quanquam autem conjugii parentum ipsius, D quod non minus virtutis, quam corporum erat,

Θ'. Τῆς δὲ τῶν πατέρων συζυγίας, οὐχ ἧττον κατὰ τὸ τῆς ἀρετῆς ὁμότιμον, ἢ καὶ τὰ σώματα (84), πολλὸ

(72) *Ὅτι μή*. Reg. ph, ὅτι εἰ μή. Et in Or. 2, ὡς εἰ μή.

(73) *Ποίων*. In nonnullis, τίνων.

(74) *Θελήμασι*. Regg. a, c, d, Coisl. 1, Or. 2, etc., θελήσασι.

(75) *Εὐπρεπές*. Regg. c, d et decem Colb., εὐτρεπές, « parata. » Sic legit Billius.

(76) *Ἐλαφηβόλους*. « Dianas. » Dicta est Ἐλαφηβόλος Diana, quasi cervos scite figens, aut certo ictu feriens. Hæc Orioni et Actæoni irata, alterum a scorpione percutiendum, alterum suismet manibus dilacerandum objecit.

(77) *Ἀντιδοθεῖσαν ἔλαφον τῆς παρθένου*. « Substitutam virgini cervam. » Iphigenia Agamemnonis filia, cum Dianæ in sacrificium esset oblata, Diana miseratione permota, ipsius loco cervam substituit. Quæ postea Dianæ sacerdos facta, hospitibus manus inferre, hominesque ipsi immolare didicit.

(78) *Τὸ ἱστορούμενον*. Sic Regg. a, c, d, bm, ph et Pass. Deest τό in ed.

(79) *Ὁ ἐμός*. Sic Regg. a, c, d, bm, ph, Or. 2 et Pass. Deest ὁ in ed.

(80) *Οἵων*, etc. Bill.: « quibus ornamentis ab initio præditus, et in quod exemplar intuens, » etc.

(81) *Ὑπερηκόντισεν*. Or. 2, ὑπερκόντησεν.

(82) *Προσθεῖναι*. Or. 2, προσθῆναι.

(83) *Καθάπερ*. In quibusdam, ὡς.

(84) *Ἢ καὶ τὰ σώματα*. In nonnullis, ἢ κατὰ σώματα.

μὲν καὶ ἄλλα γνωρίσματα. πτωχοτροφίαι, ξενοδοχίαι, ψυχῆς κάθαρσις ἐξ ἐγκρατείας, ἀπόμοιρα κτήσεως Θεῷ καθιερωθείσης (πρᾶγμα οὔπω τότε πολλοῖς σπουδαζόμενον, ὥσπερ νῦν αὐξηθέν τε καὶ τιμηθὲν ἐκ τῶν πρώτων ὑποδειγμάτων [85]), τά τε ἄλλα, ὅσα Πόντῳ (86) καὶ Καππαδόκαις μερισαμένοις ἤρκεσε πολλῶν πληροῦν ἀκοάς· ἐμοὶ δὲ μέγιστον δοκεῖ καὶ περιφανέστατον ἡ εὐτεκνία. Τοὺς γὰρ αὐτοὺς πολύπαιδας καὶ καλλίπαιδας, μῦθοι μὲν ἴσως ἔχουσιν· ἡμῖν δὲ τούτους ἡ πεῖρα παρέστησε, τοιούτους μὲν αὐτοὺς γεγονότας, ὥστε εἰ καὶ μὴ τοιούτων ἦσαν πατέρες, ἑαυτοῖς εἰς εὐδοξίαν ἀρκεῖν· τοιούτων δὲ πεφηνότες πατέρες (87), ὥστε εἰ καὶ μὴ (88) αὐτοὶ τοσοῦτον (89) ἦσαν εἰς ἀρετὴν, πάντας ὑπεραίρειν τῇ εὐτεκνίᾳ. Ἕνα μὲν γὰρ ἢ δύο γενέσθαι τῶν ἐπαινουμένων, κἂν τῇ φύσει δοίη τις· ἡ δὲ διὰ πάντων ἀκρότης, σαφὲς τῶν ἀγαγόντων ἐγκώμιον. Δηλοῖ δὲ ὁ μακαριστὸς τῶν ἱερέων καὶ τῶν παρθένων ἀριθμὸς, καὶ τῶν ἐν γάμῳ, μηδὲν τῇ συζυγίᾳ βλαβῆναι (90) βιασαμένων, πρὸς τὴν ἴσην τῆς ἀρετῆς εὐδοκίμησιν, ἀλλὰ βίων (91) αἱρέσεις μᾶλλον, ἢ πολιτείας ταῦτα ποιησαμένων.

multa quoque alia insignia sunt, nimirum, pauperum alendorum, atque hospitum excipiendorum studium, animæ purgatio per continentiam, bonorum portio Deo consecrata (quæ res nondum tunc multis studio erat, ut nunc ex primis exemplis adaucta et culta est), aliaque omnia, quæ inter Pontum et Cappadoces divisa, multorum auribus implendis suffecerunt; mihi tamen maximum et clarissimum esse videtur felicitas in liberis. Nam qui simul et multos, et probos atque honestos filios habuerint, in fabulis fortasse reperias: hos autem experientia ipsa nobis exhibuit, ut qui tales quidem ipsi fuerint, ut, etiamsi talium liberorum parentes haudquaquam exstitissent, sibi ipsis tamen ad nominis claritatem sufficere potuissent; rursum autem ejusmodi filios in lucem extulerint, ut, etiamsi ipsi non tanta virtute fuissent, omnes tamen sobolis felicitate superaturi essent. Nam cum unus aut duo cum laude vivunt, id tale est, ut naturæ ascribi queat; at undique perfecta et ad summum provecta omnium virtus, iis plane, a quibus editi et educati sunt, assignari debet. Quod quidem liquido demonstrat ille felicitatis nomine prædicandus sacerdotum et virginum numerus, eorumque, qui in matrimonio eam vim sibi adhibuerunt, ut nihil impedimento esset, quominus parem virtutis gloriam assequerentur; atque illud effecerunt, ut hæc generum vitæ potius, quam rationis vivendi electiones essent.

Γ'. Τίς οὐκ οἶδε τὸν τούτου πατέρα, Βασίλειον, τὸ μέγα παρὰ πᾶσιν ὄνομα, ὃς πατρικῆς εὐχῆς ἔτυχεν, ἵνα μὴ λέγω μόνος, εἴπερ τις ἀνθρώπων; Παντὸς γὰρ κρατῶν ἀρετῇ, παρὰ τοῦ παιδὸς κωλύεται μόνου τὸ πρωτεῖον ἔχειν. Τίς Ἐμμελίαν (92), τὴν ὅπερ ἐγένετο προκληθεῖσαν, ἢ γενομένην ὃ προεκλήθη· τὴν τῆς ἐμμελείας ὄντως φερώνυμον, ἢ τοῦτο ἐν γυναιξὶν ὤφθη, εἰ δεῖ συντόμως εἰπεῖν, ὅπερ ἐν ἀνδράσιν ἐκεῖνος. Ὥστ' εἴπερ ἔδει δουλεύσοντα (93) πάντως τῇ φύσει τὸν νῦν εὐφημούμενον (94) ἀνθρώποις δοθῆναι, ὥσπερ τινὰ τῶν πάλαι (95) παρὰ Θεοῦ δεδομένων εἰς κοινὸν ὄφελος, μήτε ἐξ ἄλλων μᾶλλον ἁρμόζειν, ἢ ἐκείνων τοῦτον γενέσθαι, μήτε ἐκείνοις ἑτέρου μᾶλλον ἢ τοῦδε πατράσιν ὀναμασθῆναι· ὅπερ οὖν καλῶς ποιοῦν καὶ συνέδραμεν. Ἐπεὶ δὲ τὰς ἀπαρχὰς τῶν ἐπαίνων νόμῳ θείῳ πειθόμενοι, ὃς πατράσι (96) κελεύει πᾶσαν νέμειν τιμὴν, τοῖς μνημονευθεῖσιν ἀποδεδώκαμεν, ἐπ' αὐτὸν ἴωμεν ἤδη, τοσοῦτον εἰπόντες, ὃ καὶ πᾶσιν ἂν οἶμαι δόξειεν ἀληθῶς λέγεσθαι τοῖς ἐκεῖνον ἐπισταμένοις, ὅτι μόνης ἡμῖν ἔδει τῆς ἐκεί-

X. Eccui Basilius, Basilii nostri pater, incognitus est, vir magni apud omnes nominis, qui paterni voti compos factus est, si quis unquam alius, ne dicam solus? Cum enim reliquos omnes virtute superarit, a solo filio primas obtinere prohibetur. Eccui **777** Emmelia, quæ id prius appellata est, quod postea fuit; aut id fuit, quod prius nuncupata fuerat; illa, inquam, merito ἐμμελείας, id est, *concinnitatis*, nomen ferens, quæ, ut uno verbo dicam, hoc inter mulieres fuit, quod ille inter viros; ut, si quidem eum, cujus laudes illustrandas suscepimus, ad servitutem naturæ obeundam, mortalibus dari oportebat, velut quempiam ex priscis illis viris, qui ad publicam utilitatem divino beneficio concessi sunt, neque huic ex aliis potius, quam ex his gigni conveniret, neque illis rursus cujusquam alterius potius, quam hujus parentes nominari. Quæ duæ res percommode concurrerunt. Posteaquam autem legi divinæ obtemperantes, quæ honorem omnem parentibus haberi jubet, iis, quorum men-

(85) *Ὑποδειγμάτων*. Pass., παραδειγμάτων.

(86) *Ὅσα Πόντῳ*, etc. Basilii parentes tam eximia pietatis munificentiæ et charitatis exempla, tum in Ponto, tum apud Cappadoces præstiterant, ut regiones illæ de illorum laudibus continuo personarent. Quod quidem monumentum honorificentissimum est, ac ipso marmore pretiosius.

(87) *Πεφηνότες πατέρες*. Chrys. et Coisl. 1, πεφηνότας πατέρας. Pass., πεφυκότας πατέρας.

(88) *Εἰ καὶ μή*. Regg. c, d et Pass., εἰ μὴ καί.

(89) *Τοσοῦτον*. Chrys. et Par., τοσοῦτοι.

(90) *Βλαβῆναι*. Duo Coisl., παραβλαβῆναι.

(91) *Ἀλλὰ βίων*, etc. Ostendit hic Gregorius sacerdotium, cœlibatum et matrimonium, vitæ quidem genere et instituto inter se differre, non item rationе vitæ gerendæ. Diversæ viæ sunt, quibus omnes pariter ad virtutis scopum tendere debent. Multos enim liberos procreaverat Basilii pater, quorum alii virginitatem, alii matrimonium amplexi, ad parem virtutis ac pietatis gloriam pervenerunt, et, ut loquitur Tillemontius, tom. IX, art. 4, pag. 7, « inter illos generis vitæ, non sanctitatis discrimen exstitit. »

(92) *Ἐμμελίαν*. In nonnullis, Ἐμμέλειαν. « Emmelia, » Basilii mater.

(93) *Δουλεύσοντα*. Pass., δουλεύσαντα.

(94) *Εὐφημούμενον*. Reg. d, ἐπαινούμενον.

(95) *Τῶν πάλαι*. Sic Regg. a, c, d, bm, ph, Coisl. 1 et 2, Or. 2, etc. In ed., τῶν παλαιῶν πάλαι

(96) *Ὃς πατράσι*. Sic quinque Regg. In ed., πατράσι.

tionem fecimus, primitias laudum persolvimus, ad A ipsam jam orationem conferamus, hoc tantum præfati, quod neminem fore puto, qui non verissime a me dici existimet, qui modo illum noverit, nobis in eo laudando atque ornando sola ipsius voce opus esse. Idem enim ipse, et splendida est materia iis, qui laudationis munus aggrediuntur, et solus pro eximia sua dicendi facultate huic materiæ par. At pulchritudinis quidem, et roboris, et magnitudinis laudem, quibus plerosque delectari conspicio, volentibus relinquemus; non quod in his etiam quoquam eorum, qui res parvas in pretio habent, et circa corpus volutantur, inferior esset, cum adhuc ætate floreret, ac nondum philosophia carnem domuisset; sed ne idem nobis, quod imperitioribus B athletis, usu veniat, qui, profusis in vana minimeque necessaria colluctatione viribus, in seriis postea certaminibus, quibus victoria comparatur, ac præconis voce cuipiam corona tribuitur, inferiores reperiuntur. Ea vero, quæ nec dictu superflua nec ab orationis scopo aliena fore videntur, laudanda suscipiam.

νου φωνῆς ἐκεῖνον ἐγκωμιάζουσιν. Ὁ γὰρ αὐτὸς ὑπόθεσίς τε λαμπρὰ τοῖς ἐπαινοῦσι, καὶ μόνος τῇ τοῦ λόγου δυνάμει τῆς ὑποθέσεως ἄξιος. Κάλλους μὲν δὴ, καὶ ῥώμης, καὶ μεγέθους, οἷς τοὺς (97) πολλοὺς ὁρῶ χαίροντας, τοῖς βουλομένοις παραχωρήσομεν (98)· οὐχ ὅτι κἀν τούτοις ἔλαττόν τινος ἠνέγκατο τῶν μικρολόγων, καὶ περὶ τὸ σῶμα καλινδουμένων, ἕως ἦν ἔτι νέος, καὶ οὔπω φιλοσοφία τῶν σαρκῶν κατεκράτησεν· ἀλλ' ἵνα μὴ ταὐτὸν (99) πάθω (1) τοῖς ἀπειροτέροις τῶν ἀθλητῶν, οἳ τὴν ἰσχὺν ἐν τοῖς εἰκῇ παλαιομένοις (2) καὶ παρέργοις κενώσαντες, ἥττους ἐν τοῖς καιρίοις εὑρίσκονται, καὶ τοῖς ἐξ ὧν τὸ νικᾷν ὑπάρχει, καὶ στεφανίτας ἀναγορεύεσθαι. Ἃ δὲ οὐδαμῶς (3) ἂν εἰπὼν οἶμαι περιττὸς (4) δόξειν, οὐδὲ ἔξω τοῦ σκοποῦ βάλλειν τὸν λόγον, ταῦτ' ἐπαινέσομαι.

XI. Illud autem inter omnes sanæ mentis homines constare arbitror, eruditionem inter humana bona principem locum tenere; non de hac nostra solum ac nobiliore loquor, quæ, contempto omni sermonis lepore atque ornatu, saluti uni, atque earum rerum, quæ ratione atque animo intelliguntur, **778** pulchritudini arctissime hæret; sed etiam de externa, quam plerique Christiani, pravo quodam judicio, ut insidiosam et periculosam, ac procul a Deo avertentem, aspernantur. Quemadmodum enim cœlum, terram, aerem, ac quæque eorum complexu coercentur, non ideo contemnere debemus, quia nonnulli scelerate acceperunt, pro Deo ea quæ Dei sunt venerantes; quin potius, quidquid, tum ad vitam, tum ad animi oblectationem usui est, decer- C pentes, quidquid periculosum est, fugimus; non res creatas adversus Creatorem, ut stulti faciunt, concitantes, sed ex rebus conditis Conditorem agnoscentes [90], atque omnem intellectum, ut Apostoli verbis utar [91], Christo captivum submittentes: quemadmodum insuper, nec ignis, nec cibus, nec ferrum, nec res ulla alia suapte natura, vel maxime utilis est, vel maxime noxia, verum ut iis, qui utuntur, placet; atque adeo e reptilibus bestiis quasdam interdum salutaribus medicamentis admiscemus: eodem nos quoque modo ex litteris illis et disciplinis, id sane, quod in inquirenda rerum na- D

ΙΑ'. Οἶμαι δὲ πᾶσιν ἀνωμολογῆσθαι (5) τὸν νοῦν (6) ἐχόντων, παίδευσιν τῶν παρ' ἡμῖν ἀγαθῶν εἶναι τὸ πρῶτον· οὐ ταύτην μόνην (7) τὴν εὐγενεστέραν, καὶ ἡμετέραν, ἢ πᾶν (8) τὸ ἐν λόγοις κομψὸν καὶ φιλότιμον ἀτιμάζουσα, μόνης ἔχεται τῆς σωτηρίας, καὶ τοῦ κάλλους τῶν νοουμένων· ἀλλὰ καὶ τὴν ἔξωθεν, ἣν οἱ πολλοὶ Χριστιανῶν (9) διαπτύουσιν, ὡς ἐπίβουλον καὶ σφαλερὰν, καὶ Θεοῦ πόῤῥω βάλλουσαν, κακῶς εἰδότες. Ὥσπερ γὰρ οὐρανὸν, καὶ γῆν, καὶ ἀέρα, καὶ ὅσα τούτων, οὐκ ἐπειδὴ κακῶς τινες ἐξειλήφασιν, ἀντὶ Θεοῦ τὰ τοῦ Θεοῦ σέβοντες, διὰ τοῦτο περιφρονητέον· ἀλλ' ὅσον χρήσιμον αὐτῶν καρπούμενοι πρός τε ζωὴν καὶ ἀπόλαυσιν, ὅσον ἐπικίνδυνον διαφεύγομεν (10)· οὐ τῷ Κτίστῃ τὴν κτίσιν ἐπανιστάντες κατὰ τοὺς ἄφρονας, ἀλλ' ἐκ τῶν δημιουργημάτων τὸν Δημιουργὸν καταλαμβάνοντες, καὶ, ὅ φησιν ὁ θεῖος Ἀπόστολος, αἰχμαλωτίζοντες πᾶν νόημα εἰς Χριστόν· ὡς δὲ καὶ πυρὸς, καὶ τροφῆς, καὶ σιδήρου, καὶ τῶν ἄλλων, οὐδὲν καθ' ἑαυτὸ χρησιμώτατον ἴσμεν, ἢ βλαβερώτατον, ἀλλ' ὅπως ἂν δοκῇ τοῖς χρωμένοις (11)· ἤδη δὲ καὶ τῶν ἑρπυστικῶν (12) θηρίων ἔστιν, ἃ τοῖς πρὸς σωτηρίαν φαρμάκοις συνεκεράσαμεν· οὕτω καὶ (13) τούτων, τὸ μὲν ἐξεταστικόν τε καὶ θεωρητικὸν, ἐδεξάμεθα· ὅσον δὲ εἰς δαίμονας φέρει, καὶ πλάνην, καὶ ἀπωλείας βυθὸν, διεπτύσαμεν· ὅτι μὴ κἀκ τούτων πρὸς θεοσέβειαν ὠφελήμεθα (14), ἐκ τοῦ χείρονος τὸ κρεῖττον καταμαθόντες (15), καὶ τὴν

[90] Sap. XIII, 5. [91] II Cor. X, 5.

(97) *Οἷς τούς*. Sic Regg. a, c, d, bm, ph, Or. 2 et Comb. Prave in ed. Par., ὅτι τούς.

(98) *Παραχωρήσομεν*. Regg. bm et ph, παραχωρήσωμεν.

(99) *Μὴ ταὐτόν*. Sic Regg. a, c, d, ph, Coisl. 1 et Or. 2. In ed., μήτ' αὐτόν.

(1) *Πάθω*. Coisl. 2, πάθωμεν.

(2) *Παλαιομένοις*. In nonnullis, παλαιουμένοις.

(3) *Ἃ δὲ οὐδαμῶς*. Or. 2, ὃ δ' οὐδαμῶς.

(4) *Περιττός*. Reg. ph addit, εἶναι.

(5) *Ἀνωμολογῆσθαι*. Sic recte unus Reg. et Coisl. 2. In ed., ἂν ὡμολογῆσθαι.

(6) *Τὸν νοῦν*. Or. 2, τῶν νοῦν.

(7) *Μόνην*. Or. 2, μόνον.

(8) *Ἡμετέραν, ἢ πᾶν*. Sic duo Regg. et duo Coisl. In nonnullis, ἡμετέραν, ἥτις πᾶν. In ed., ἡμετέραν, ἢ πᾶν.

(9) *Πολλοὶ Χριστιανῶν*. In quibusdam, πολλοὶ τῶν, etc.

(10) *Διαφεύγομεν*. Sic quinque Regg., Or. 2 et Comb. In ed., διαφεύγωμεν.

(11) *Χρωμένοις*. Coisl. 1 et Pass. addunt, οὕτως ἔδοξεν ἔχειν, « sic se videntur habere. »

(12) *Ἑρπυστικῶν*. Regg. bm, ph, ἑρπηστικῶν.

(13) *Οὕτω καί*. Reg. ph, οὕτω δὴ καί.

(14) *Ὠφελήμεθα*. Pass., ὠφελούμεθα.

(15) *Καταμαθόντες*. Reg. bm, καταμανθάνοντες. Or. 2, καταλαμβάνοντες, « deprehendentes. »

ἀσθένειαν ἐκείνων, ἰσχὺν τοῦ καθ' ἡμᾶς λόγου πεποιημένοι (16). Οὔκουν ἀτιμαστέον τὴν παίδευσιν, ὅτι τοῦτο δοκεῖ τισιν· ἀλλὰ σκαιοὺς καὶ ἀπαιδεύτους ὑποληπτέον τοὺς οὕτως ἔχοντας, οἳ βούλοιντ' ἂν ἅπαντας εἶναι καθ' ἑαυτοὺς, ἵν' ἐν τῷ κοινῷ τὸ κατ' αὐτοὺς κρύπτηται, καὶ τοὺς τῆς ἀπαιδευσίας ἐλέγχους διαδιδράσκωσιν. Ἐπεὶ δὲ τοῦτο ὑπεθέμεθα καὶ ἀνωμολογησάμεθα, φέρε, τὰ κατ' αὐτὸν (17) θεωρήσωμεν.

ΙΒ'. Τὰ μὲν δὴ πρῶτα τῆς ἡλικίας ὑπὸ τῷ μεγάλῳ πατρὶ, ὃν κοινὸν παιδευτὴν ἀρετῆς ὁ Πόντος τηνικαῦτα προὐβάλλετο, σπαργανοῦται καὶ διαπλάττεται πλάσιν (18) τὴν ἀρίστην τε καὶ καθαρωτάτην, ἣν ἡμερινὴν ὁ θεῖος Δαβὶδ καλῶς ὀνομάζει, καὶ τῆς νυκτερινῆς ἀντίθετον. Ὑπὸ δὴ τούτῳ, καὶ βίον καὶ λόγον συναυξανομένους τε καὶ συνανιόντας ἀλλήλοις, ὁ θαυμάσιος ἐκπαιδεύεται· οὐ Θετταλικόν τι καὶ ὄρειον ἄντρον αὐχῶν, ὡς ἀρετῆς ἐργαστήριον, οὐδέ τινα Κένταυρον (19) ἀλαζόνα τῶν κατ' αὐτὸν (20) ἡρώων διδάσκαλον, οὐδὲ πτῶκας βάλλειν, ἢ κατατρέχειν νεβρῶν, ἢ θηρεύειν ἐλάφους ὑπ' αὐτοῦ διδασκόμενος, ἢ τὰ πολεμικὰ κράτιστος εἶναι, ἢ πωλοδαμνεῖν ἄριστα, τῷ αὐτῷ πώλῳ καὶ διδασκάλῳ χρώμενος, ἢ μυελοῖς ἐλάφων τε καὶ λεόντων τοῖς μυθικοῖς ἐκτρεφόμενος· ἀλλὰ τὴν ἐγκύκλιον παίδευσιν παιδευόμενος, καὶ θεοσέβειαν ἐξασκούμενος, καὶ, συνελόντι φάναι, πρὸς τὴν μέλλουσαν τελειότητα διὰ τῶν ἐξ ἀρχῆς μαθημάτων ἀγόμενος. Οἱ μὲν γὰρ, ἢ βίον μόνον (21), ἢ λόγον κατωρθωκότες, τῷ ἑτέρῳ δὲ λείποντες, οὐδὲν τῶν ἑτεροφθάλμων ἐμοὶ δοκεῖν (22) διαφέρουσιν, οἷς μεγάλη μὲν ἡ ζημία, μεῖζον δὲ τὸ αἶσχος ὁρῶσι καὶ ὁρωμένοις. Οἷς δὲ κατ' ἀμφότερα εὐδοκιμεῖν ὑπάρχει, καὶ εἶναι περιδεξίοις, τούτοις καὶ τὸ εἶναι (23) τελείοις, καὶ βιοτεύειν μετὰ τῆς ἐκεῖθεν μακαριότητος. Ὅπερ οὖν ἐκείνῳ συμβέβηκεν εὖ ποιοῦν (24) οἴκοθεν ἔχοντι τῆς ἀρετῆς τὸ παράδειγμα, πρὸς ὃ βλέπων εὐθὺς ἄριστος ἦν. Ὥσπερ τοὺς πώλους καὶ τοὺς μόσχους ὁρῶμεν, ὁμοῦ τῇ γενέσει ταῖς μητράσιν ἑαυτῶν παρασκαίροντας· οὕτω καὶ αὐτὸς τῷ πατρὶ παραθέων ἐγγύθεν ἐν πωλικῷ τῷ φρυάγματι, καὶ τῶν ἄκρων τῆς ἀρετῆς κινημάτων, οὐ παραπολὺ λειπόμενος· εἰ βούλει δὲ, κἂν τῇ

tura et contemplatione versatur, suscepimus; quidquid autem ad dæmones, et errorem, et exitii voraginem ducit, respuimus. Imo etiam ab eo ad Dei cultum adjuti sumus, nimirum ex deteriori, id, quod præstantius est, cognoscentes, atque doctrinam nostram illorum imbecillitate fulcientes. Quamobrem, non idcirco eruditio contemnenda est, quod ita quibusdam videatur; quin potius, stulti atque imperiti habendi sunt, qui hoc existimant, quique omnes sui similes esse cupiant, ut privata eorum inscitia sub communi delitcat, nec quisquam ipsorum imperitiam prodat et coarguat. Hoc igitur posito atque pro confesso habito, age, Basilii vitam contemplemur.

XII. Prima igitur ætate sub magno patre, quem communem virtutis magistrum eo tempore Pontus proponebat, velut fasciis involvitur, atque optimo illo purissimoque figmento, quod David diurnum pulchre vocat [92], nocturnoque oppositum effingitur. Sub hoc igitur, et vita simul, et sermone pariter augescentibus, atque in altum assurgentibus, egregius adolescens eruditur; non Thessalicum et montanum **779** quoddam antrum, quasi virtutis scholam et officinam, jactans, nec arrogantem quemdam Centaurum, heroum sui temporis præceptorem, nec ab eo artem percipit, qua lepores sagittis configat, vel hinnulos cursu insequatur, vel cervos venetur, vel in rebus bellicis excellat, vel feroces equos optime domet, eodem videlicet et equo utens et magistro, nec fabulosis cervorum ac leonum medullis nutritur; sed liberales artes docetur, atque ad Dei cultum excolitur, et, ut uno verbo complectar, per primas ac pueriles disciplinas ad futuram perfectionem ducitur. Nam, qui vel solos mores, vel solam doctrinam consecuti sunt, ab altera vero deseruntur, ii mihi nihil a luscis differre videntur, quibus cum magnum detrimentum sit, tum vero major turpitudo, sive alios cernant, sive ab aliis cernantur. At quibus utraque laude excellere, ac velut ambidextris esse contigit, hi nimirum omnibus numeris absoluti sunt, ac cum alterius vitæ beatitudine vitam agunt. Quod quidem illi, ut par erat, contigit, quippe qui domesticum haberet virtutis exemplar, in quod oculorum aciem intendens, statim optimus erat. Et quemadmodum equorum pullos, ac vitulos, simul atque in lucem prodierunt, matribus suis assultare videmus; sic ille patrem

[92] Psal. CXXXVIII, 16.

(16) *Πεποιημένοι*. Reg. d, ποιησάμενοι, et ad marg. ut in ed.

(17) *Τὰ κατ' αὐτόν*. « Hanc hujus vitæ partem, » quæ litteras et eruditionem spectat, « contemplemur. » Etenim de his hic agitur.

(18) *Πλάσιν*. Juxta Nicetam, per illud figmentum intelligitur baptisma, vel potius mores; quod figmentum David ps. CXXXVIII, 16, « diurnum » vocat, dicens : « Die, » vel « per diem, » vel « in die formabuntur. » Sic enim legendum ex Græco textu, ἡμέρας· non « dies formabuntur, » ut in Vulgata.

(19) *Κένταυρον*. Chiron Centaurus, Achillem in disciplinam acceptum, et equinæ suæ parti impositum, jaculari, ac lepores et hinnulos ferire docebat. Eum lactis loco, cervorum ac leonum medullis nutriebat; unde dictus est « Achilles, » quod communis et usitati cibi, qui χιλός dicitur, expers fuerit.

(20) *Κατ' αὐτόν*. Sic Regg. bm, ph, duo Coisl., Or. 2, Par., etc. In ed., κατ' αὐτῶν.

(21) *Ἢ βίον μόνον*. Deest μόνον in Chrys. In Pass. desunt ἢ et μόνον.

(22) *Δοκεῖν*. Pass., δοκεῖ.

(23) *Τούτοις καὶ τὸ εἶναι*, etc. « Qui utramque laudem, » inquit Nicetas, « doctrinæ scilicet et vitæ est assecutus, is perfectus est : ac deinceps jam cum alterius sæculi beatitudine vitam traducit, qua puritate et contemplatione pollet. »

(24) *Εὖ ποιοῦν*. In nonnullis, εὖ ποιεῖν, etc. « Virtutis exemplar habens, quo domi præclare imbueretur. »

σκιαγραφίᾳ τὸ μέλλον τῆς ἀρετῆς (25) κάλλος ὑποσημαίνων, καὶ πρὸ τοῦ καιροῦ τῆς ἀκριβείας, τὰ τῆς ἀκριβείας προχαραττόμενος.

cum equino et generoso impetu e propinquo affectabatur, nec a summis virtutis illius agitationibus longo intervallo distabat; aut, si mavis, in ipsa quoque virtutis adumbratione, futuræ virtutis pulchritudinem subindicabat, atque accuratioris vitæ notas ante accuratioris vitæ tempus præferebat.

ΙΓ'. Ἐπεὶ δὲ ἱκανῶς εἶχε τῆς ἐνταῦθα παιδεύσεως, ἔδει δ' αὐτὸν μηδὲν τῶν καλῶν διαφυγεῖν, μηδὲ τῷ φιλοπόνῳ τῆς μελίσσης ἀπολειφθῆναι, συλλεγούσης ἐκ παντὸς ἄνθους τὰ χρησιμώτατα, ἐπὶ τὴν Καισαρέων πόλιν (26) ἐπείγεται, τῶν τῇδε μεθέξων παιδευτηρίων· ταύτην δὲ λέγω τὴν περιφανῆ τε καὶ ἡμετέραν (ἐπεὶ καὶ τῶν ἐμῶν λόγων αὕτη καθηγεμὼν καὶ διδάσκαλος), τὴν οὐχ ἧττον λόγων μητρόπολιν, ἢ τῶν πόλεων ὧν ὑπέρκειται, καὶ καθ' ὧν ἔχει τὴν δυναστείαν· ἣν εἴ τις τοῦ ἐν λόγοις κράτους ἀποστερήσειεν ἀφῃρηκὼς ἔσται αὐτὸ τὸ κάλλιστόν τε καὶ ἰδικώτατον (27). Ἄλλαι μὲν γὰρ τῶν πόλεων ἄλλοις ἀγάλλονται καλλωπίσμασιν, ἢ παλαιοῖς, ἢ νέοις, ὅπως ἂν οἶμαι, τῶν διηγημάτων ἔχωσιν, ἢ τῶν ὁρωμένων· τῇ δὲ, λόγοι τὸ γνώρισμα, ὥσπερ ἐν τοῖς ὅπλοις ἢ τοῖς δράμασι τὰ ἐπίσημα. Τὰ δὲ ἑξῆς αὐτοὶ διηγείσθωσαν, οἱ καὶ παιδεύσαντες τὸν ἄνδρα παρ' ἑαυτοῖς, καὶ τῆς παιδεύσεως ἀπολαύσαντες· ὅσος μὲν ἦν διδασκάλοις, ὅσος δὲ ἥλιξι, τοῖς μὲν παρεκτεινόμενος, τοὺς δὲ ὑπεραίρων κατὰ πᾶν εἶδος παιδεύσεως· ὅσον κλέος ἐντὸς ὀλίγου χρόνου παρὰ πᾶσιν ἠνέγκατο, καὶ τοῖς ἐκ τοῦ δήμου, καὶ τοῖς πρώτοις τῆς πόλεως· μείζω μὲν τῆς ἡλικίας τὴν παίδευσιν, μείζω δὲ τῆς παιδεύσεως τὴν τοῦ ἤθους πῆξιν ἐπιδεικνύμενος· ῥήτωρ ἐν ῥήτορσι, καὶ πρὸ τῶν (28) σοφιστικῶν θρόνων· φιλόσοφος ἐν φιλοσόφοις, καὶ πρὸ τῶν ἐν φιλοσοφίᾳ δογμάτων· τὸ μέγιστον, ἱερεὺς Χριστιανοῖς, καὶ πρὸ τῆς ἱερωσύνης· τοσοῦτον ἦν αὐτῷ τὸ παρὰ πάντων συγκεχωρηκὸς ἐν ἅπασιν. Τῷ δὲ λόγοι μὲν τὸ πάρεργον ἦσαν, τοσοῦτον ἐξ αὐτῶν δρεπομένῳ, ὅσον εἰς τὴν καθ' ἡμᾶς φιλοσοφίαν συνεργοὺς ἔχειν· ἐπειδὴ δεῖ καὶ τῆς ἐν τούτοις δυνάμεως πρὸς τὴν τῶν νοουμένων δήλωσιν· κίνημα γὰρ ναρκώντων (29) ἐστὶ, νοῦς ἀνεκλάλητος. Φιλοσοφία δὲ ἡ σπουδὴ (30), καὶ τὸ ῥαγῆναι κόσμου, καὶ μετὰ Θεοῦ γενέσθαι τοῖς κάτω τὰ ἄνω πραγματευόμενον, καὶ τοῖς ἀστάτοις καὶ ῥέουσι τὰ ἑστῶτα καὶ μένοντα κατακτώμενον (31).

XIII. Illic porro cum satis uberem doctrinam collegisset, nec rei cujusquam honestæ ignarum et expertem eum esse oporteret, nec ab apicula, quæ ex quibuslibet floribus utilissima quæque decerpit, labore ac diligentia superari, Cæsaream, ut scholarum urbis illius particeps esset, contendit; hanc, inquam, illustrem civitatem, et nostram (nam meorum quoque studiorum dux et magistra exstitit), non minus litterarum atque doctrinæ, quam urbium, **780** quibus præcellit et dominatur, metropolim; quam si quis doctrinæ palma spoliaverit, rem omnium pulcherrimam ipsique maxime propriam eripuerit. Nam cum aliæ civitates aliis ornamentis, vel antiquis, vel novis glorientur, prout, opinor, vel historiis, vel rebus quibusdam visendis ornatæ sunt; hanc contra, ut arma vel tragœdias notæ quædam atque insignia, sic litterarum gloria nobilitat, illustremque reddit. Jam quæ sequuntur, ii exponant, qui et eum apud se erudierunt, et fructum ex ipsius eruditione ceperunt; quantus videlicet magistris, quantus æqualibus esset, illos nimirum æquans, hos omni doctrinæ genere superans; quantam apud omnes tum plebeios, tum civitatis primarios gloriam brevi tempore assecutus fuerit; majorem quidem quam illa ætas ferebat, eruditionem, majorem rursus eruditione morum constantiam et gravitatem ostendens; rhetor inter rhetores, etiam ante sophisticam exhedram; philosophus inter philosophos, etiam ante philosophiæ decreta: et, quod maximum est, sacerdos Christianis, etiam ante initum sacerdotium; tantum ipsi omnes in omnibus rebus concedebant. Ipsi porro eloquentiæ studium, accessionis duntaxat, ac velut corollarii cujusdam rationem habebat, hoc tantum scilicet ex ipsa fructus decerpenti, quantum auxilii, ut ea ad nostram philosophiam uteretur; quandoquidem ad explicanda animi sensa ipsius vis ac facultas requiritur. Mens enim, quæ id, quod sentit, verbis exprimere nequit, hominum torpore laborantium incessui haudquaquam dissimilis est. At vero serium et præcipuum illius studium in eo versabatur, ut veræ philosophiæ operam daret, seseque a mundi contagione abrumperet, Deoque adjungeret, ac per terrena, supera lucraretur, et per fluxa et fragilia, ea, quæ firma et æterna sunt, compararet.

(25) *Τῆς ἀρετῆς*. Pass., τῆς μορφῆς, « formæ. »

(26) *Καισαρέων πόλιν*. Billius ad Marg. « Cæsaream Palæstinæ intelligit. » In eamdem sententiam inclinat Tillemontius. Verum Nicetas aliique eruditi « Cæsaream Cappadociæ » intelligunt. Pro ista opinione pugnant etiam novissimi operum S. Basilii editores, ac pluribus et firmissimis argumentis probant, Basilium et Gregorium, studiorum causa, primum « Cæsaream Cappadociæ » advenisse. Deinde, juxta eosdem editores, Basilius « Constantinopolim » mittitur, et Gregorius « Cæsaream Palæstinæ, ob artis oratoriæ amorem, » ut ipse loquitur, or. VII, n. 6. Vide *Basilii vitam*, ed. Par. an. 1730, tom. III, n. VI, pag. 40, ubi quæstio hæc optime pertractata videtur.

(27) *Ἰδικώτατον*. Reg. d et Or. 2 ad marg., ἰδιαίτατον. Nicetas hunc locum sic legit : ἔσται τὸ κάλλιστον αὐτῆς τε καὶ ἰδιαίτατον.

(28) *Καὶ πρὸ τῶν*, etc. Sam. Petit. Miscel. lib. IV, c. 1, p. 10, sic legit : Ῥήτωρ ἐν ῥήτορσι, καὶ πρώτων σοφιστικῶν θρόνων· φιλόσοφος ἐν φιλοσόφοις, καὶ πρώτων ἐν φιλοσοφίᾳ δογμάτων· τὸ μέγιστον, ἱερεὺς ἐν Χριστιανοῖς, καὶ πρώτης ἱερωσύνης.

(29) *Ναρκώντων*. Sic Coisl. 2, Nicet., Bas., Combef. In ed., ναρκόντων.

(30) *Σπουδή*. Nicet., ἀρετή, « virtus. »

(31) *Κατακτώμενον*. Pass., κτώμενον.

ΙΔ'. Ἐντεῦθεν ἐπὶ τὸ Βυζάντιον, τὴν προκαθεζομένην τῆς Ἑῴας πόλιν (καὶ γὰρ ηὐδοκίμει σοφιστῶν τε καὶ φιλοσόφων τοῖς τελειοτάτοις, ὧν ἐν βραχεῖ χρόνῳ τὰ κράτιστα συνελέξατο τάχει τε καὶ μεγέθει (32) φύσεως)· ἐντεῦθεν, ἐπὶ τὸ τῶν λόγων ἔδαφος τὰς Ἀθήνας ὑπὸ τοῦ Θεοῦ πέμπεται, καὶ τῆς καλῆς περὶ τὴν παίδευσιν ἀπληστίας· Ἀθήνας τὰς χρυσᾶς ὄντως ἐμοὶ, καὶ τῶν καλῶν προξένους, εἴπερ τινί. Ἐκεῖναι γάρ μοι τὸν ἄνδρα τοῦτον ἐγνώρισαν τελειότερον, οὐδὲ πρὶν ἀγνοούμενον· καὶ λόγους ἐπιζητῶν, εὐδαιμονίαν ἐκομισάμην· καὶ τρόπον ἕτερον ταυτὸ (33) πέπονθα τῷ Σαοὺλ, ὃς τὰς ὄνους τοῦ πατρὸς ἐπιζητῶν, βασιλείαν εὕρατο (34), μεῖζον τοῦ ἔργου τὸ πάρεργον ἐμπορευσάμενος. Τὸ μὲν δὴ μέχρι τούτων (35) εὔδρομος ἡμῖν (36) ὁ λόγος, καὶ διὰ λείας τῆς ὁδοῦ φέρων, καὶ ἄγαν εὐπόρου, καὶ βασιλικῆς ὄντως τῶν τοῦ (37) ἀνδρὸς ἐγκωμίων· τὸ δ' ἐντεῦθεν, οὐκ οἶδ' ὅ τι τῷ λόγῳ χρήσωμαι, καὶ ποῖ τράπωμαι (38)· ἔχει γάρ τι καὶ πρόσαντες ἡμῖν ὁ λόγος. Πόθῳ μὲν γὰρ ἐνταῦθα τοῦ λόγου γενόμενος, καὶ τοῦ καιροῦ τούτου λαβόμενος, καὶ τῶν κατ' ἐμαυτόν τι προσθεῖναι τοῖς εἰρημένοις, καὶ μικρόν τι προσδιατρῖψαι τῷ διηγήματι, ὅθεν τε καὶ ὅπως ἡμῖν, κἀκ τίνος τῆς ἀρχῆς συνέστη τὸ τῆς φιλίας, εἴτουν συμπνοίας καὶ συμφυΐας, εἰ χρὴ προσειπεῖν οἰκειότερον. Φιλεῖ γὰρ οὔτε ὄψις ῥᾳδίως ἀναχωρεῖν τῶν τερπνῶν θεαμάτων, κἂν ἀφέλκῃ τις βίᾳ, πρὸς αὐτὰ (39) πάλιν φέρεσθαι· οὔτε λόγος τῶν ἡδίστων διηγημάτων. Δέδοικα δὲ τὸ φορτικὸν τῆς ἐγχειρήσεως. Πειράσομαι μὲν οὖν, ὡς οἷόν τε μετρίως, τοῦτο ποιεῖν. Ἂν δ' ἄρα τι καὶ βιαζώμεθα ὑπὸ τοῦ πόθου, συγγνώμη τῷ πάθει, πάντων παθῶν ὄντι δικαιοτάτῳ, καὶ ὃ μὴ παθεῖν ἡ ζημία τοῖς γε νοῦν ἔχουσιν.

A XIV. Hinc Byzantium, urbem totius Orientis principatum tenentem, venit (excellentissimis enim oratoribus philosophisque florebat, quorum brevi optima quæque ingenii celeritate ac magnitudine collegit); atque inde Athenas, hoc est, litterarum sedem ac domicilium, a Deo, atque inexplebili simul et præclara doctrinæ cupiditate mittitur; Athenas, inquam, mihi vere aureas ac, si cuiquam alii, bonorum procuratrices. Nam illæ mihi hominem, non illum quidem ante ignotum, sed tamen plenius noscendum præbuerunt : ac doctrinam exquirens, beatitudinem reperi; mihique dispari modo idem quod Sauli **781** accidit, qui patris asinas quærens, regnum invenit [93], plusque in ea re, quam obiter agebat, quam in ea, quæ præcipue ipsi curæ B erat, lucrifecit. Jam nobis quidem hactenus plana, et facili ac vere regia laudum illius via prosperum cursum oratio tenuit : nunc autem quam dicendi rationem sequar, aut, quo me vertam, nescio; habet enim mihi arduum aliquid hic sermo. Huc enim oratione progressus, atque hanc occasionem nactus, rerum etiam mearum aliquid adjungere, paululumque in hac narratione immorari gestio, atque unde, et quo modo, ac quibus ex initiis conflata inter nos amicitia, sive, ut congruentius loquar, animorum conspiratio et naturæ conjunctio fuerit, explicare. Quemadmodum enim oculi a jucundis spectaculis non facile recedunt, ac si quis per vim eos retrahat, eodem rursus feruntur; sic nec sermo a rerum suavissimarum commemoratione. Sed in hoc C conatu metuendam mihi difficultatem esse conspicio. Adnitar itaque, ut, quam parcissime potero, id faciam. Quod si nos forte amoris et cupiditatis æstus modum excedere coegerit, affectui nostro, quæso, ignoscite, affectuum omnium justissimo, et quidem certe, qui sana atque integra mente sunt.

ΙΕ'. Εἶχον ἡμᾶς Ἀθῆναι, καθάπερ τι ῥεῦμα ποτάμιον, ἀπὸ μιᾶς σχισθέντας πηγῆς τῆς πατρίδος, εἰς διάφορον ὑπερορίαν κατ' ἔρωτα τῆς παιδεύσεως, καὶ πάλιν εἰς τὸ αὐτὸ (40) συνελθόντας, ὥσπερ ἀπὸ συνθήματος, οὕτω Θεοῦ κινήσαντος. Εἶχον δὲ μικρῷ (41) μὲν ἐμὲ πρότερον· τὸν δ' εὐθὺς μετ' ἐμὲ, μετὰ πολλῆς προσδεχθέντα (42) καὶ περιφανοῦς τῆς ἐλπίδος. Καὶ γὰρ ἐν πολλῶν γλώσσαις ἔκειτο πρὶν ἐπιστῆ· καὶ μέγα ἑκάστοις ἦν προκαταλαβεῖν τὸ σπουδαζόμενον. Οὐδὲν δὲ οἷον καὶ ἥδυσμά τι προσθεῖναι τῷ λόγῳ μικρὸν ἀφήγημα, τοῖς μὲν εἰδόσιν, ὑπόμνησιν, τοῖς δὲ ἀγνοοῦσι, διδασκαλίαν. Σοφιστομανοῦσιν Ἀθήνησι τῶν νέων οἱ πλεῖστοι καὶ ἀφρονέστεροι· οὐ τῶν ἀγεννῶν μόνον καὶ τῶν ἀνωνύμων, ἀλλ' ἤδη καὶ τῶν εὖ γεγονότων καὶ περιφανεστέρων, ἅτε πλῆθος σύμμικτον ὄντες, καὶ νέοι, καὶ δυσκάθεκτοι ταῖς ὁρμαῖς (43). Ὅπερ οὖν πάσχοντας ἔστιν ἰδεῖν, περὶ τὰς

XV. Habebant nos Athenæ, velut fluxum quemdam fluminis, ex eodem patriæ fonte in diversas regiones doctrinæ cupiditate dissectos, rursumque, velut ex composito, Deo videlicet ita impellente, coeuntes. Ac me quidem aliquanto ante habebant; illum autem haud multo post, et quidem cum mirifica et luculenta spe exspectatum. Etenim in multorum linguis versabatur, antequam advenisset; nec quisquam erat, qui non præclare secum agi putaret, D si id, quod summo studio expetebat, prior occuparet. Nec vero alienum erit narratiunculam unam, condimenti cujusdam vice, orationi adjungere, ut scientibus quidem memoriam renovet, ignorantibus autem documento sit. Insano quodam erga sophistas studio Athenis tenentur quam plurimi et stolidissimi adolescentes; non modo ignobiles et obscuri, sed nobiles etiam et illustres, ut qui miscella-

[93] I Reg. IX, 3 sqq.

(32) *Μεγέθει*. Reg. ph et Or. 2. μεγέθη.
(33) *Ταυτό*. Regg. c, ph, ταυτόν.
(34) *Εὕρατο*. Tres Regg. et Or. 2, εὕρετο.
(35) *Τούτων*. Reg. ph. τούτου
(36) *Ἡμῖν*. Deest in Reg. a.
(37) *Ὄντως τῶν τοῦ*. Sic quatuor Regg., Coisl. 1, Or. 2, etc. Deest τῶν in ed
(38) *Χρήσωμαι. . . τράπωμαι*. Or. 2 et Comb., χρήσομαι. . . τράπομαι.
(39) *Αὐτά*. Reg. ph, ἑαυτά.
(40) *Τὸ αὐτό*. Reg. ph, ταυτόν.
(41) *Μικρῷ*. Or. 2, μικρόν.
(42) *Προσδεχθέντα*. Reg. c, εἰσδεχθέντα.
(43) *Ταῖς ὁρμαῖς*. Reg. Cypr., τὴν ὁρμήν.

nea quædam multitudo sint, et juvenes, et ita effecti, ut eorum impetus vix reprimi possint. Quod igitur in equestribus certaminibus iis accidere videmus, qui equis et **782** spectaculis oblectantur; exsiliunt enim, clamant, pulverem in cœlum mittunt, sedentes habenas moderantur, aerem verberant, equos digitis, quasi scuticis, in alterum atque alterum latus subinde jungunt, cum nihil horum in ipsorum potestate situm sit : facile inter se aurigas, equos, equorum stationes, certaminis duces permutant; idque quinam tandem? Pauperes plerumque atque inopia laborantes, et quibus ne in unum quidem diem victus suppetit : hoc ipsis quoque plane circa præceptores suos, aliosque ejusdem artis professores, eorumque æmulos accidit; in hoc nimirum elaborantibus, ut et plures ipsi sint, et illos opera sua locupletiores efficiant. Atque ea res vehementer absurda et prodigiosa est. Præoccupantur urbes, viæ, portus, montium cacumina, campi, solitudines, omnes denique Atticæ ac reliquæ Græciæ partes, atque adeo incolarum maxima pars, nam et illos in partes ac studia distractos habent.

ἀντιθέτους ἱπποδρομίας, τοὺς φιλίππους τε καὶ φιλοθεάμονας· πηδῶσι, βοῶσιν, οὐρανῷ πέμπουσι κόνιν, ἡνιοχοῦσι καθήμενοι, παίουσι τὸν ἀέρα (44), τοὺς ἵππους δὴ τοῖς δακτύλοις, ὡς μάστιξι (45), ζευγνύουσι, μεταζευγνύουσιν, οὐδενὸς ὄντες κύριοι· ἀντιδιδόασιν ἀλλήλοις ῥᾳδίως ἡνιόχους, ἵππους, ἱπποστασίας, στρατηγούς. Καὶ ταῦτα τίνες; Οἱ πένητες πολλάκις καὶ ἄποροι, καὶ μηδ' ἂν εἰς μίαν ἡμέραν τροφῆς εὐπορήσαντες (46)· τοῦτο καὶ αὐτοὶ πάσχουσιν ἀτέχνως περὶ τοὺς ἑαυτῶν διδασκάλους, καὶ ἀντιτέχνους, ὅπως πλείους τε ὦσιν αὐτοὶ, κἀκείνους εὐπορωτέρους ποιῶσι δι' ἑαυτῶν σπουδὴν ἔχοντες· καὶ τὸ πρᾶγμά ἐστιν ἐπιεικῶς ἄτοπον καὶ δαιμόνιον. Προκαταλαμβάνονται πόλεις, ὁδοὶ, λιμένες, ὀρῶν ἄκρα, πεδία, ἐσχατιαὶ, οὐδὲν ὅ τι μὴ τῆς Ἀττικῆς μέρος, ἢ τῆς λοιπῆς Ἑλλάδος, αὐτῶν τῶν (47) οἰκητόρων οἱ πλεῖστοι· καὶ γὰρ τούτους μεμερισμένους ταῖς σπουδαῖς ἔχουσιν.

XVI. Cum autem juvenis quispiam accesserit, atque in eorum, a quibus captus est, manus et potestatem venerit (venit autem, vel sponte, vel coactus); tum Attica hæc illis consuetudo est, ludusque rei seriæ admistus : Primum, apud eorum aliquem, qui priores ipsum arripuerint, hospitio accipitur, vel amicorum, vel propinquorum, vel qui ejusdem sunt patriæ, vel qui sophistices artem apprime callent, ac lucra magistris conciliant, eoque nomine apud eos summo honore ac pretio sunt; quandoquidem illis mercedis loco est, habere qui ipsorum commodis studeant. Deinde, a quolibet cavillis lacessitur; quod quidem, ni fallor, eo faciunt, ut eorum, qui nuper advenerunt, fastum reprimant, atque a principio ipsos in potestate redigant. Lacessitur autem : ab aliis, audacius; ab aliis, urbanius, prout ille, vel rusticis et ineptis est moribus, vel urbanitate præditus. Atque id ignaris quidem horrendum valde et inhumanum videtur, iis autem perquam jucundum et suave, qui hoc prius norunt. Amplior enim est hæc minarum ostentatio, quam **783** res ipsa. Tum per forum ad balneum cum pompa deducitur. Pompa autem hoc modo se habet : Qui deducendi juvenis munere funguntur, ordine collocati, atque æquis spatiis

ιϛ'. Ἐπεὶ δ' ἂν οὖν τις ἐπιστῇ τῶν νέων, καὶ ἐν χερσὶ γένηται τῶν ἑλόντων (48) (γίνεται δὲ, ἢ βιασθεὶς, ἢ ἑκὼν), νόμος οὗτός ἐστιν αὐτοῖς Ἀττικὸς (49), καὶ παιδιὰ σπουδῇ σύμμικτος· Πρῶτον μὲν ξεναγεῖται παρά τινι τῶν προειληφότων, ἢ φίλων, ἢ συγγενῶν, ἢ τῶν ἐκ τῆς αὐτῆς πατρίδος, ἢ τῶν ὅσοι περιττοὶ τὰ σοφιστικὰ, καὶ προσαγωγοὶ τῶν λημμάτων, κἀντεῦθεν μάλιστα διὰ τιμῆς ἐκείνοις· ἐπεὶ καὶ τοῦτο μισθός ἐστιν αὐτοῖς τῶν σπουδαστῶν τυγχάνειν (50). Ἔπειτα ἐρεσχελεῖται παρὰ τοῦ βουλομένου παντός· βούλεται δὲ αὐτοῖς, οἶμαι, τοῦτο τῶν νεηλύδων συστέλλειν (51) τὸ φρόνημα, καὶ ὑπὸ χεῖρα σφῶν ἀπ' ἀρχῆς ἄγειν. Ἐρεσχελεῖται δὲ, παρὰ μὲν τῶν, θρασύτερον· παρὰ δὲ τῶν, λογικώτερον, ὅπως ἂν ἀγροικίας, ἢ ἀστειότητος ἔχῃ. Καὶ τὸ πρᾶγμα, τοῖς μὲν ἀγνοοῦσι λίαν φοβερὸν (52) καὶ ἀνήμερον, τοῖς δὲ προειδόσι καὶ μάλα ἡδὺ καὶ φιλάνθρωπον. Πλείων γάρ ἐστιν ἡ ἔνδειξις, ἢ τὸ ἔργον τῶν ἀπειλουμένων. Ἔπειτα πομπεύει διὰ τῆς ἀγορᾶς, ἐπὶ τὸ λουτρὸν προαγόμενος. Ἡ πομπὴ δέ· Διατάξαντες ἑαυτοὺς στοιχηδὸν κατὰ συζυγίαν ἐκ διαστήματος, οἱ τελοῦντες τῷ νέῳ τὴν πρόοδον, ἐπὶ τὸ λουτρὸν προπέμπουσιν. Ἐπειδὰν δὲ πλησιάσωσι (53), βοῇ τε πολλῇ καὶ ἐξάλμασι χρώμενοι, καθάπερ ἐνθουσιῶντες (κελεύει δὲ ἡ βοὴ, μὴ προβαίνειν, ἀλλ' ἵστασθαι, ὡς

(44) *Παίουσι τὸν ἀέρα*, etc. Nicetas hunc locum sic exponit ac distinguit : Ἀντὶ τοῦ παίειν τοὺς ἵππους ταῖς μάστιξι, τὸν ἀέρα παίουσιν τοῖς δακτύλοις· « Aerem digitis verberant, cum equos scuticis verberare non possint. » Id totum refertur, non ad certantes, sed ad certaminum spectatores, quibus cum non liceat equos scuticis verberare, aut habenas moderari, tamen vel clamando, vel digitis, seu manibus plaudendo, sæpe aurigarum conatus ac molitiones frangunt, et equorum impetum deturbant.

(45) *Ὡς μάστιξι*. Deest in Reg., Cypr. Bill. « Stimulis, » quam interpretationem non probat Combefisius, quod ad metaphoram inepta sit, nec voci Græcæ respondeat.

(46) *Εὐπορήσαντες*. Regg. bm, ph. et Or. 2, εὐπορήσοντες.

(47) *Τῶν*. Deest in Reg. a.

(48) *Ἑλόντων*. Sic Regg. a, c, d, duo Coisl., or. 2 et Comb. In ed., ἐχόντων.

(49) *Ἀττικός*. Par., Ἀττικοῖς. Moris Attici mentionem faciunt Cyrus Theodorus, et Eunapius in vita Proæresii.

(50) *Σπουδαστῶν τυγχάνειν*. In nonnullis, σπουδαστῶν περὶ ταῦτα ἐντυγχάνειν.

(51) *Συστέλλειν*. Reg. c, καταστέλλειν. Bill. « ut novitiorum animos contrahant. »

(52) *Λίαν φοβερόν*, etc. Cyrus Theodorus sic in hanc consuetudinem lusit : Ναὶ, ναὶ, τὸ λουτρὸν τοῖς Ἀθήνησι ξένοις, ὡς πλῆκτρον! ὡς φόβητρον! ὡς καινὴ θέα! « Balneum profecto apud Athenienses, quam metuendum, quam formidolosum hospitibus, quam novum spectaculum! »

(53) *Πλησιάσωσι*. Sic Or. 2. In ed., πλησιάζωσι.

τοῦ λουτροῦ σφᾶς οὐ παραδεχομένου)· καὶ ἅμα τῶν θυρῶν ἀρασσομένων, πατάγῳ τὸν νέον φοβήσαντες, εἶτα τὴν εἴσοδον συγχωρήσαντες, οὕτως ἤδη τὴν ἐλευθερίαν διδόασιν, ὁμότιμον ἐκ τοῦ λουτροῦ, καὶ ὡς αὐτῶν ἕνα δεχόμενοι· καὶ τοῦτό ἐστιν αὐτοῖς τῆς τελετῆς (54) τὸ τερπνότατον, ἡ ταχίστη τῶν λυπούντων ἀπαλλαγὴ καὶ κατάλυσις. Τότε τοίνυν ἐγὼ τὸν ἐμὸν (55) καὶ μέγαν Βασίλειον, οὐκ αὐτὸς δι' αἰδοῦς ἦγον μόνον (56), τό τε τοῦ ἤθους στάσιμον καθορῶν, καὶ τὸ ἐν λόγοις καίριον, ἀλλὰ καὶ τοὺς ἄλλους ἔπειθον ὁμοίως ἔχειν, ὅσοι τῶν νέων ἀγνοοῦντες τὸν ἄνδρα ἐτύγχανον. Τοῖς γὰρ πολλοῖς εὐθὺς αἰδέσιμος ἦν, ἀκοῇ προκατειλημμένος (57). Ἐξ οὗ τί γίνεται; Μόνος σχεδὸν (58) τῶν ἐπιδημούντων, τὸν κοινὸν διέφυγε νόμον, κρείττονος ἢ κατὰ νέηλυν ἀξιωθεὶς τῆς (59) τιμῆς.

A distincti, bini cum ad balneum antecedunt. Cum autem propius accesserint, quasi fanatico furore correpti, clamorem ingentem cum saltitatione tollentes (hic autem clamor, ne ulterius progrediantur, vetat, sed ut insistant, tanquam eos balneum minime admittat); simulque pulsatis januis, cum per strepitum juveni metum incusserint, postea concesso ingressu, ita demum eum in libertatem asserunt; atque a balneo redeuntem deinceps ut æqualem ac sodalem accipiunt; atque hoc ipsis est totius hujusce cæremoniæ jucundissimum, nimirum celerrima vexantium discessio ac cœtus solutio. Tunc igitur meum magnumque Basilium, non ipse solum veneratione prosequebar, quod illius tum in moribus gravitatem, tum in sermonibus maturitatem B et prudentiam conspicerem; sed aliis etiam, quibus non perinde cognitus erat, ut idem facerent, persuadebam. Nam apud multos statim in veneratione erat, ut qui fama et auditione jam eum præcepissent. Ex quo quid contigit? Ipse solus fere ex omnibus, qui studiorum causa Athenas veniebant, communi lege solutus est, majorem utique honorem, quam tironis conditio ferre videbatur, consecutus.

ΙΖ'. Τοῦτο ὑμῖν τῆς φιλίας προοίμιον· ἐντεῦθεν ὁ τῆς συναφείας σπινθήρ· οὕτως ἐπ' ἀλλήλοις ἐτρώθημεν. Ἔπειτα συνηνέχθη τι καὶ τοιοῦτον· οὐδὲ γὰρ τοῦτο παραλιπεῖν ἄξιον· Οὐχ ἁπλοῦν γένος εὑρίσκω τοὺς Ἀρμενίους, ἀλλὰ καὶ λίαν κρυπτόν τι καὶ ὕφαλον. Τότε τοίνυν τῶν ἐκ πλείονος αὐτῷ συνήθων καὶ φίλων τινὲς, ἔτ' ἐκ τοῦ πατρὸς (60) καὶ τῆς ἄνωθεν ἑταιρίας (καὶ γὰρ ἐκείνης τῆς διατριβῆς ὄντες ἐτύγχανον), προσιόντες αὐτῷ μετὰ φιλικοῦ πλάσματος (φθόνος δὲ ἦν, οὐκ εὔνοια τὸ προσάγον), ἐπηρώτων τε αὐτὸν, φιλονείκως μᾶλλον ἢ λογικῶς, καὶ ὑποκλίνειν ἑαυτοῖς ἐπειρῶντο διὰ τῆς πρώτης ἐπιχειρήσεως, τήν τε ἄνωθεν τοῦ ἀνδρὸς εὐφυΐαν εἰδότες, καὶ τὴν τότε τιμὴν οὐ φέροντες. Δεινὸν (61) γὰρ εἶναι, εἰ προειληφότες τοὺς τρίβωνας, καὶ (62) λαρυγγίζειν (63) προμελετήσαντες, μὴ πλέον ἔχοιεν τοῦ ξένου τε καὶ νεήλυδος. Ἐγὼ δὲ ὁ φιλαθήναιος καὶ μάταιος (οὐ γὰρ ᾐσθόμην τοῦ φθόνου, πιστεύων τῷ πλάσματι), ἤδη κλινομένων αὐτῶν, καὶ τὰ νῶτα μεταβαλλόντων (καὶ γὰρ ἐζηλοτύπουν τὸ τῶν Ἀθηνῶν κλέος ἐν ἐκείνοις καταλυθῆναι, καὶ τάχιστα περιφρονηθῆναι), ὑπήρειδόν τε τοὺς νεανίας ἐπανάγων τὸν λόγον, καὶ τὴν παρ' ἐμαυτοῦ ῥοπὴν χαριζόμενος (δύναται δὲ καὶ ἡ μικρὰ προσθήκη τὸ πᾶν ἐν τοιούτοις), *ἴσας ὑσμίνη* (64) *τὰς κεφαλὰς*, τὸ τοῦ λόγου, κατέστησα. Ὡς δὲ τὸ τῆς διαλέξεως ἔγνων ἀπόῤῥητον, οὐδὲ καθεκτὸν ἔτι τυγχάνον, ἀλλὰ σαφῶς ἤδη παρα-

XVII. Hoc nobis amicitiæ præludium: hinc necessitudinis igniculus: sic mutuo amore sauciati sumus. Postea hujusmodi quoque quiddam accidit; nam ne hoc quidem prætermitti debet: Haud simplicem et apertam nationem Armenios esse invenio, quin potius, admodum tectam et simulatam. Tum ergo nonnulli jam olim cum ipso familiaritate et amicitia conjuncti, tum adhuc ex patre, tum ex veteri sodalitio (nam in illa schola instituti fuerant), C ad ipsum per amicitiæ speciem accedentes (invidia autem, non benevolentia ducebantur), contentiosis potius, quam doctis et argutis quæstionibus eum urgebant, ac primo impetu sibi subjicere conabantur, tum quod egregiam ipsius indolem jampridem nossent, tum quod honorem tunc ipsi præstitum permoleste ferrent. Grave enim minimeque ferendum esse judicabant, eos, qui philosophica pallia priores induissent, atque **784** in funditandis verbis operam ante posuissent, extero et tironi nequaquam anteferri. Ego autem, ille Athenarum amans ac stultus (non enim invidiam senseram, frontis involucro fidem habens, Athenarum gloriam in ipsis oppressam et celerrime contemptam indigno animo ferens), succumbentes jam adoD lescentes, et terga vertentes, reducta disputatione suffulciebam, atque auxilii mei momentum ipsis largiens (in hujusmodi porro rebus vel perexigua

(54) *Τελετῆς*. Sic Regg. a, c, d, Coisl. 2, Pass. et Comb. In ed., τελευτῆς, « finis, mors. »

(55) *Τὸν ἐμόν*. Regg. a, c, d, Coisl. 2, Or. 2 et Pass. addunt, σοφόν τε, « et sapientem. »

(56) *Μόνον*. Pass., μόνος.

(57) *Προκατειλημμένος*. Reg. bm et Pass., προκατειλημμένοις.

(58) *Μόνος σχεδόν*. Eadem sic testatur Cyrus Theodorus: Ἀλλ' ἄχρι ταῦτα τοῦ σοφοῦ Βασιλείου μόνου φυγόντος τοὺς νεηλύδων νόμους· « Hæc usque ad sapientem Basilium, qui solus tironum lege liberatus fuit. »

(59) *Ἀξιωθεὶς τῆς*, etc. Sic Regg. a, c, d, Or. 2 et Comb. Deest τῆς in ed.

(60) *Ἔτ' ἐκ τοῦ πατρός*. Coisl. 1, εἴτ' ἐκ τοῦ πατρός. Nicet., ἔκ τε τοῦ πατρός. « Qui quondam, in ipsius patris schola, Basilii fuerant condiscipuli. »

(61) *Δεινόν*. Sic Regg. a et bm. In ed., δεινῶν.

(62) *Τρίβωνας, καί*. Sic quatuor Regg., Or. 2 et Comb. In ed. deest καί.

(63) *Λαρυγγίζειν*. Nicetas hanc vocem exponit: κομψῶς λέγειν· « ornate dicere. »

(64) *Ἴσας ὑσμίνη*, etc. Istud ex Homero, *Iliad.* XI, vers. 71, desumptum, ut significet « æquam et ancipitem pugnam. »

accessio quidvis potest), *æquaia*, ut ille ait [94], *prælii capita* constitui. At ubi disputationis arcanum intellexi, quod jam ne contineri quidem poterat, sed perspicue sese prodebat, repente mutatus, remigationem ad puppim converti, ab illius partibus stans, ambiguamque victoriam reddidi. Qua ex re (ut erat ingenio in primis acuto) magnam statim voluptatem cepit, atque alacritate perfusus, ut cum Homericis verbis omnino describam, strenuos illos juvenes disputatione perturbatos insectabatur; nec ante argumentationibus eos ferire destitit, quam prorsus in fugam convertisset, victoriamque haud dubiam adeptus fuisset. Hæc altera nobis amicitiæ, non jam scintilla, sed fax clara et sublimis accenditur.

A γυμνούμενον, ἐξαίφνης μεταβαλὼν, πρύμναν τε (65) ἐκρουσάμην, ἐκείνῳ θέμενος, καὶ ἑτεραλκέα τὴν νίκην (66) ἐποίησα. Ὁ δὲ ἥσθη (67) τε αὐτίκα τῷ γενομένῳ (καὶ γὰρ ἦν ἀγχίνους, εἰ καί τις ἄλλος), καὶ προθυμίας πλησθεὶς, ἵνα τελέως (68) αὐτὸν καθομηρίσω, ἔφεπε κλονέων τῷ λόγῳ τοὺς γεννάδας ἐκείνους, καὶ παίων συλλογισμοῖς, οὐ πρὶν ἀνῆκεν, ἢ τελέως τρέψασθαι, καὶ τὸ κράτος καθαρῶς ἀναδήσασθαι. Οὗτος δεύτερος ἡμῖν τῆς φιλίας, οὐκ ἔτι σπινθὴρ, ἀλλ' ἤδη πυρσὸς ἀνάπτεται περιφανὴς καὶ ἀέριος.

XVIII. Atque illi quidem sic infecto negotio discesserunt, tum suam temeritatem multum incusantes, tum insidiarum nomine tantam in me indignationem concipientes, ut etiam apertas mihi inimicitias indicerent, ac proditionem objicerent, non modo eorum, sed ipsarum quoque Athenarum; quoniam primo impetu ab uno homine confutati atque ignominia affecti fuerant, et quidem ejusmodi, qui ne fiduciæ etiam tempus habebat. Ipse contra (humanus enim affectus est, cum, magnis quibusdam rebus spe conceptis, in eas subito incidimus, opinione nostra inferiores eas videre), ipse ejusdem quoque affectus periculum faciens, mœrebat, angebatur, non habebat quod sibi de adventu suo gratularetur. Quærebat quod spe sibi effinxerat; inanem felicitatem Athenas nominabat. Hæc quidem ille: ego autem maximam mœroris partem ipsi adimebam, tum argumentis congrediens, tum rationibus eum mulcens; cum, ut res erat, nec hominis mores statim, **785** sed diuturno tempore, ac perfectissima familiaritate, vitæque consuetudine, percipi, nec eruditionem iis, qui periculum ipsius faciunt, ex paucis argumentis ac brevi agnosci, dicerem. Hinc eum ad animi tranquillitatem revocavi, ac benevolentiæ specimen simul præbens et accipiens, arctioribus vinculis mecum astrinxi.

B ΙΗ'. Οἱ μὲν οὖν οὕτως ἀπῆλθον ἄπρακτοι, πολλὰ μὲν τῆς προπετείας ἑαυτοῖς (69) καταμεμψάμενοι, πολλὰ δὲ τῆς ἐπιβουλῆς ἐμοὶ δυσχεράναντες, ὡς καὶ φανερὰν ἔχθραν ὁμολογῆσαι, καὶ προδοσίαν ἐπικαλεῖν, οὐκ ἐκείνων μόνον (70), ἀλλὰ καὶ αὐτῶν Ἀθηνῶν· ὡς διὰ τῆς πρώτης πείρας ἐληλεγμένων, καὶ ᾐσχυμμένων ὑφ' ἑνὸς ἀνδρὸς, καὶ ταῦτα μηδὲ τοῦ θαρρεῖν καιρὸν ἔχοντος. Ὁ δὲ (καὶ γὰρ ἀνθρώπινον τὸ πάθος, ὅταν μεγάλα ἐλπίσαντες ἀθρόως τοῖς ἐλπισθεῖσιν (71) ἐντύχωμεν, ἐλάττω τῆς δόξης ὁρᾷν (72) τὰ φαινόμενα), τοῦτο καὶ αὐτὸς πάσχων, ἐσκυθρώπαζεν, ἐδυσφόρει, τῆς ἐπιδημίας ἑαυτὸν ἐπαινεῖν οὐκ εἶχεν. Ἐζήτει τὸ ἐλπισθέν· κενὴν μακαρίαν τὰς Ἀθήνας ὠνόμαζεν. Ὁ μὲν δὴ ταῦτα· ἐγὼ δὲ τῆς λύπης ἀφῄρουν τὸ πλεῖστον, καὶ λογικῶς συγγινόμενος, C καὶ κατεπᾴδων τοῖς λογισμοῖς· καὶ, ὅπερ ἦν ἀληθὲς, οὔτε ἦθος ἀνδρὸς εὐθὺς ἁλωτὸν εἶναι, λέγων, ὅτι μὴ χρόνῳ πολλῷ καὶ συνουσίᾳ τελεωτέρᾳ (73), οὔτε παίδευσιν τοῖς πειρωμένοις, ἐξ ὀλίγων τε καὶ ἐν ὀλίγῳ (74) γνωρίζεσθαι. Ὅθεν ἐπανῆγον αὐτὸν εἰς τὸ εὔθυμον, καὶ πεῖραν διδοὺς καὶ λαμβάνων, πλέον ἐμαυτῷ συνέδησα.

XIX. Ut autem temporis progressu desiderium nostrum mutuo inter nos confessi sumus, ac philosophiam id esse quod a nobis expeteretur, tum vero jam uterque alteri quidvis eramus, contubernales, convictores, concordes, unum idemque spectantes, ferventius quotidie ac firmius desiderium nobis invicem colligentes. Etenim corporum amo-

ΙΘ'. Ὡς δὲ, προϊόντος τοῦ χρόνου, τὸν πόθον ἀλλήλοις καθωμολογήσαμεν, καὶ φιλοσοφίαν (75) εἶναι τὸ σπουδαζόμενον, τηνικαῦτα ἤδη τὰ πάντα ἦμεν ἀλλήλοις, ὁμόστεγοι, ὁμοδίαιτοι, συμφυεῖς, τὸ ἓν D βλέποντες, ἀεὶ τὸν πόθον ἀλλήλοις συναύξοντες (76) θερμότερόν τε καὶ βεβαιότερον (77). Οἱ μὲν γὰρ τῶν σωμάτων ἔρωτες, ἐπειδὴ ῥεόντων εἰσὶ, καὶ

[94] Hom. *Iliad.* XI, vers. 72.

(65) *Πρύμναν τε*, etc. Proverbium de iis qui cursum reflectunt, qui consilium in diversum mutant, et partes, quas prius tuebantur, deserunt.

(66) *Ἑτεραλκέα τὴν νίκην*, etc. Sic recte Nicetas exponit: « ut ad Basilium vergeret victoria meo suffragio effeci. » Hanc esse Gregorii mentem Budæus agnoscit. Cum enim pro Armenis stando Gregorius æqualem fecisset pugnæ capita; ubi primum « sese Basilio adjunxit, » θέμενος αὐτῷ, victoriam ipsi tribuit, quam Armenis favendo ancipitem fecerat.

(67) *Ὁ δὲ ἥσθη*. « Lætatus est. » Duo Regg., ᾔσθη, et ad unius codicis marg., ᾔσθετο, « persensit. »

(68) *Τελέως*. Reg. ph, τελείως.

(69) *Ἑαυτοῖς*. Duo Regg., ἑαυτούς.

(70) *Μόνον*. Reg. a, μόνων.

(71) *Ἐλπισθεῖσιν*. Sic codd. In ed., ἐπισθεῖσιν.

(72) *Ὁρᾷν*. Sic plerique ac optimæ notæ codd. In ed., ὁρῶντες.

(73) *Τελεωτέρᾳ*. Or. 2, Par., Pass., τελεωτάτη.

(74) *Ἐν ὀλίγῳ*. Sic Or. 2, Par. et Pass. Deest ἐν in ed.

(75) *Καὶ φιλοσοφίαν*. Coisl. 1, καὶ τὸ φιλοσοφίαν. Nicetas: τὴν ἄσκησιν τῶν καλῶν· « virtutum » seu « vitæ religiosæ exercitationem » interpretatur. Qua acceptione Gregorius « ascetas » philosophos appellat.

(76) *Συναύξοντες*. In quibusdam, συναυξάνοντες. Bas., συνάγοντες.

(77) *Βεβαιότερον*. Reg. c, βιαιότερον

ῥέουσιν ἴσα καὶ ἠρινοῖς ἄνθεσιν. Οὔτε γὰρ φλὸξ μένει, τῆς ὕλης δαπανηθείσης (78). ἀλλὰ τῷ ἀνάπτοντι συναπέρχεται, οὔτε πόθος ὑφίσταται (79), μαραινομένου τοῦ ὑπεκκαύματος. Οἱ δὲ κατὰ Θεόν τε καὶ σώφρονες, ἐπειδὴ πράγματος ἑστῶτός εἰσι, διὰ τοῦτο καὶ μονιμώτεροι, καὶ ὅσῳ πλέον (80) αὐτοῖς τὸ κάλλος φαντάζεται, τοσούτῳ μᾶλλον ἑαυτῷ τε καὶ ἀλλήλοις συνδεῖ τοὺς τῶν αὐτῶν ἐραστάς. Οὗτος τοῦ ὑπὲρ ἡμᾶς ἔρωτος νόμος (81). Αἰσθάνομαι μὲν οὖν ἔξω τοῦ καιροῦ καὶ τοῦ μέτρου φερόμενος, καὶ οὐκ οἶδ' ὅπως εἰς τούτους ἐμπίπτω τοὺς λόγους, οὐκ ἔχω δ' ὅπως ἐμαυτὸν ἐπίσχω τοῦ διηγήματος. Ἀεὶ γάρ μοι τὸ παρεθὲν ἀναγκαῖον φαίνεται, καὶ κρεῖττον τοῦ προληφθέντος. Κἄν μέ τις ἀπάγῃ τοῦ πρόσω τυραννικῶς, τὸ τῶν πολυπόδων πείσομαι, ὧν τῆς θαλάμης ἐξελκομένων, προσέξονται ταῖς κοτύλαις αἱ B πέτραι, καὶ οὐ πρὶν ἀφεθήσονται, ἢ παρ' ἀλλήλων τι προσλαβεῖν ἐκ τῆς βίας. Εἰ μὲν οὖν συγχωρήσοι (82) τις, ἔχω τὸ ζητούμενον· εἰ δὲ μὴ, παρ' ἐμαυτοῦ λήψομαι.

Κ'. Οὕτω δὴ τὰ πρὸς ἀλλήλους ἔχοντες, καὶ τοιαύτας ὑποστήσαντες εὐτειχεῖ (83) θαλάμῳ χρυσέας κίονας (84), ὅ φησι Πίνδαρος, οὕτως ᾔειμεν εἰς τὸ πρόσω, Θεῷ καὶ πόθῳ συνεργοῖς χρώμενοι. Ὢ! πῶς ἀδακρυτὶ τὴν τούτων ἐνέγκω μνήμην; Ἴσαι μὲν ἐλπίδες ἦγον ἡμᾶς, πράγματος ἐπιφθονωτάτου, τῶν λόγων· φθόνος δὲ ἀπῆν, ζῆλος δὲ ἐσπουδάζετο. Ἀγὼν δὲ ἀμφοτέροις, οὐχ ὅστις αὐτὸς τὸ πρωτεῖον C ἔχοι (85), ἀλλ' ὅπως τῷ ἑτέρῳ τούτου παραχωρήσειεν· τὸ γὰρ ἀλλήλων εὐδόκιμον ἴδιον ἐποιούμεθα. Μία μὲν ἀμφοτέροις ἐδόκει ψυχὴ, δύο σώματα φέρουσα. Καὶ εἰ τὸ πάντα ἐν πᾶσι κεῖσθαι, μὴ πειστέον (86) τοῖς λέγουσιν· ἀλλ' ἡμῖν γε πειστέον (87), ὡς ἐν ἀλλήλοις, καὶ παρ' ἀλλήλοις ἐκείμεθα. Ἓν δ' ἀμφοτέροις ἔργον, ἡ ἀρετὴ, καὶ τὸ ζῆν πρὸς τὰς μελλούσας ἐλπίδας, πρὶν ἐνθένδε ἀπελθεῖν, ἐνθένδε μεθισταμένοις. Πρὸς ὃ βλέποντες, καὶ βίον καὶ πρᾶξιν ἅπασαν ἀπηυθύνομεν, παρά τε τῆς ἐντολῆς οὕτως ἀγόμενοι, καὶ ἀλλήλοις τὴν ἀρετὴν παραθήγοντες· καὶ, εἰ μὴ μέγα ἐμοὶ τοῦτο εἰπεῖν, κανόνες ὄντες ἀλλήλοις καὶ στάθμαι, οἷς τὸ εὐθὲς (88), καὶ μὴ, διακρίνεται. Ἑταίρων τε γὰρ ὡμιλοῦμεν, οὐ τοῖς ἀσελγεστάτοις, D ἀλλὰ τοῖς σωφρονεστάτοις· οὐδὲ τοῖς μαχιμωτάτοις, ἀλλὰ τοῖς εἰρηνικωτάτοις, καὶ οἷς συνεῖναι λυσιτελέστατον· εἰδότες, ὅτι κακίας ῥᾷον μετα-

A res, quia rerum fluxarum sunt, fluunt quoque ipsi, non secus ac veris flores. Nam nec flamma, consumpta materia, remanet, sed una cum ea exstinguitur, nec desiderium, marcescente fomite, subsistit. At pudici et Deo grati amores, quandoquidem rei stabilis et firmæ sunt, propterea diuturniores etiam sunt; quantoque major pulchritudinis species ipsis objicitur, tanto etiam arctius, et secum, et inter se, earumdem rerum amatores devinciunt. Hæc quippe superni amoris lex est. Equidem me, extra tempus, et extra modum, præcipitem ferri sentio; nec quonam modo in hos sermones incidam scio; nec rursus quonam pacto meipsum ab hujusmodi narratione reprimere queam. Mihi enim, id quod prætermissum est, necessarium semper B videtur, præstantiusque eo quod prius arripui. Quod si quis me vi abducere tentet, ne ulterius progrediar, idem mihi, quod polypis, accidet, quorum acetabulis, cum e cubilibus extrahuntur, petræ adhærescunt, nec prius divelluntur, quam ex illa vi quidpiam utrinque acceperint. Proinde si quis mihi hoc concesserit, habeo quod quæro; sin minus, a meipso accipiam.

XX. Cum igitur hoc inter nos animo essemus talesque valido thalamo, ut est apud Pindarum [95], aureas columnas subjecissemus, ita demum porro progrediebamur, Deo et desiderio adjutoribus utentes. Heu! Quomodo harum rerum mentionem 786 sine lacrymis faciam? Par spes doctrinæ, hoc est, rei omnium invidiosissimæ, nos ducebat; et C tamen aberat invidia, æmulatio autem in pretio habebatur. Hoc utrique certamen, non uter primas ferret, sed uter alteri eas concederet; uterque enim alterius gloriam pro sua ducebat. Una utrique anima videbatur, duo corpora ferens. Quod si fides iis minime habenda est, qui omnia in omnibus sita esse dicunt; at nobis certe credendum est, quod uterque in altero et apud alterum siti eramus. Unum utrique opus et studium, virtus erat, et ad futuras spes vivere, nosque ita comparare, ut, ante discessum ex hac vita, hinc migraremus. Quod quidem nobis ob oculos ponentes, vitam actionesque omnes nostras dirigebamus, tum divini præcepti ductum sequentes, tum alter alteri virtutis studium exacuentes; D atque, nisi hoc arrogantius dicere videar, uterque alteri norma et amussis eramus, qua rectum a pravo discernitur. Non enim cum sodalium nostrorum petulantissimis et impudicissimis, sed cum

[95] Pind. *Olymp.*, od. VI, vers. 1.

(78) *Δαπανηθείσης*. Reg. c, δαπανωμένης.
(79) *Ὑφίσταται*. Reg. ph, ἵσταται.
(80) *Καὶ ὅσῳ πλέον*, etc. « Quanto magis pulchritudo menti objicitur. » Nimirum « anima et virtus, » ut exponit Nicetas.
(81) *Οὗτος τοῦ ὑπὲρ ἡμᾶς ἔρωτος νόμος*. Nicet., Ὁ τοῦ πνευματικοῦ καὶ ἡμετέρου ἔρωτος νόμος, « amoris spiritualis et nostri lex, » quasi philosophici et Christiani.
(82) *Συγχωρήσοι*. Reg. ph, συγχωρήσει.
(83) *Εὐτειχεῖ*. Sic Regg. a, c, d, bm, undecim Colb., Pindar., etc. In ed., εὐτυχεῖ, « felici, fortunato. »
(84) *Χρυσέας κίονας*. Sic tres Regg. et tres Colb. In ed., χρυσέως κίονας. Juxta Pindarum, *Olymp.* od. VI, « aureæ columnæ præclari cujusque instituti initia sunt. »
(85) *Ἔχοι*. In quibusdam, ἔχει.
(86) *Μὴ πειστέον*. Reg. bm, μὴ πιστέον. Gregorius hic carpit Anaxagoram, qui « omnia in omnibus esse » docuit; cui licet fides habenda non esset, sibi tamen Gregorius vult haberi, cum se in Basilio, et Basilium in se esse, profitetur.
(87) *Πειστέον*. Reg. bm et Comb., πιστέον.
(88) *Εὐθές*. Coisl. 1, εὐθύ.

castissimis consuetudinem habebamus; nec cum pugnacissimis, sed cum pacatissimis, iisque, quorum consuetudo maximos fructus afferebat; illud nimirum exploratum habentes, facilius esse vitium contrahere, quam virtutem impertiri; quemadmodum etiam facilius esse morbo alieno infici, quam sanitatem largiri. Disciplinis porro, non tam jucundissimis, quam optimis oblectabamur; nam hinc quoque, vel ad virtutem, vel ad vitium, juvenes informantur.

XXI. Duæ nobis viæ notæ erant: altera prima et præstantior; secunda altera, et inferioris pretii: illa quidem ad sacras ædes nostras, et ad doctores, qui illic erant, ferebat; hæc autem ad externos præceptores. Cæteras omnes, quæ ad festa, spectacula, celebres conventus, epulas, ducebant, æquo ac libenti animo aliis reliqueramus. Nihil enim, mea quidem sententia, magni faciendum est, quod ad recte honesteque vivendum nihil affert, nec sui studiosos meliores reddit. Jam cum aliis alia quædam cognomenta sint, vel a parentibus accepta, vel ex seipsis, hoc est, ex propriis vitæ studiis institutisque comparata: nobis contra, magna res et magnum nomen erat, Christianos et esse, et nominari; atque ea re magis efferebamur, quam Gyges palæ annuli conversione, si quidem hoc fabulosum non esset, per quam Lydiorum tyrannidem **787** occupavit: aut Midas auro, quod ipsi interitum accersivit, cum voti sui compos factus, nihil præter aurum possideret; quæ et ipsa Phrygia est fabula. Nam quid Hyperborei Abaridis sagittam, aut Argivum Pegasum dicam, quibus non tantum erat per aerem ferri, quantum nobis mutua opera et simul ad Deum attolli? Atque, ut rem in pauca contraham, pestiferæ quidem aliis, quantum ad animæ salutem attinet, Athenæ sunt (nec enim id a piis viris temere existimatur); malis namque opibus, hoc est, idolis, supra reliquam omnem Græciam affluunt, difficileque factu est, non simul cum eorum laudatoribus et patronis in errorem abripi; nobis autem nihil detrimenti ab iis allatum est, utpote qui animo communiti et obsepti eramus. Quin potius, quod vix credibile est, hinc ad fidem confirmati sumus, ipsorum fraudem et imposturam agnoscentes, atque illic dæmones contemnentes, ubi dæmones admiratione afficiuntur. Quod si quis est, aut esse creditur, fluvius, per mare dulcis fluens, aut animal in igne, quo omnia consumuntur, saliens, hoc ipsi inter omnes æquales ac coætaneos eramus.

A λαβεῖν, ἢ ἀρετῆς μεταδοῦναι· ἐπεὶ καὶ νόσου μετασχεῖν μᾶλλον, ἢ ὑγίειαν (89) χαρίσασθαι. Μαθημάτων δὲ οὐ τοῖς ἡδίστοις πλέον, ἢ τοῖς καλλίστοις ἐχαίρομεν· ἐπειδὴ κἀντεῦθεν ἔστιν, ἢ πρὸς ἀρετὴν τυποῦσθαι τοὺς νέους, ἢ πρὸς κακίαν.

ΚΑ'. Δύο μὲν ἐγνωρίζοντο ἡμῖν ὁδοί· ἡ μὲν πρώτη καὶ τιμιωτέρα, ἡ δὲ δευτέρα καὶ οὐ τοῦ ἴσου λόγου· ἥ τε πρὸς τοὺς ἱεροὺς ἡμῶν οἴκους, καὶ τοὺς ἐκεῖσε διδασκάλους φέρουσα, καὶ ἡ πρὸς τοὺς ἔξωθεν παιδευτάς. Τὰς ἄλλας δὲ τοῖς βουλομένοις παρήκαμεν, ἑορτὰς, θέατρα, πανηγύρεις, συμπόσια. Οὐδὲν γὰρ, οἶμαι, τίμιον, ὃ μὴ πρὸς ἀρετὴν φέρει, B μηδὲ ποιεῖ βελτίους τοὺς περὶ αὐτὸ (90) σπουδάζοντας. Ἄλλοις μὲν οὖν ἄλλαι προσηγορίαι τινές εἰσιν, ἢ πατρόθεν, ἢ οἴκοθεν, ἐκ τῶν ἰδίων ἐπιτηδευμάτων, ἢ πράξεων (91)· ἡμῖν δὲ τὸ μέγα πρᾶγμα καὶ ὄνομα, Χριστιανοὺς (92) καὶ εἶναι, καὶ ὀνομάζεσθαι· ᾧ πλέον ἐφρονοῦμεν, ἢ τῇ στροφῇ τῆς σφενδόνης ὁ Γύγης (93), εἴπερ μὴ μῦθος ἦν, ἐξ ἧς Λυδῶν ἐτυράννησεν· ἢ τῷ χρυσῷ ποτε Μίδας (94), δι' ὃν (95) ἀπώλετο ἐπιτυχὼν τῆς εὐχῆς, καὶ πάντα χρυσὸν κτησάμενος· ἄλλος οὗτος Φρύγιος μῦθος. Τὸν γὰρ Ἀβάριδος ὀϊστὸν (96) τί ἂν λέγοιμι τοῦ Ὑπερβορέου, ἢ τὸν Ἀργεῖον Πήγασον (97), οἷς οὐ τοσοῦτον ἦν τὸ δι' ἀέρος φέρεσθαι, ὅσον ἡμῖν τὸ πρὸς Θεὸν αἴρεσθαι δι' ἀλλήλων, καὶ σὺν ἀλλήλοις; Εἴπω τι C συντομώτερον· Βλαβεραὶ (98) μὲν τοῖς ἄλλοις Ἀθῆναι, τὰ εἰς ψυχὴν (οὐ γὰρ φαύλως τοῦτο ὑπολαμβάνεται τοῖς εὐσεβεστέροις)· καὶ γὰρ πλουτοῦσι τὸν κακὸν πλοῦτον, εἴδωλα (99), μᾶλλον τῆς ἄλλης Ἑλλάδος, καὶ χαλεπὸν μὴ συναρπασθῆναι τοῖς τούτων ἐπαινέταις καὶ συνηγόροις· ἡμῖν δ' οὐδεμία παρὰ τούτων ζημία, τὴν διάνοιαν πεπυκνωμένοις καὶ πεφραγμένοις. Τοὐναντίον μὲν οὖν, εἴ τι χρὴ καὶ παράδοξον εἰπεῖν, εἰς τὴν πίστιν ἐντεῦθεν ἐβεβαιώθημεν, καταμαθόντες αὐτῶν τὸ ἀπατηλὸν καὶ κίβδηλον, ἐνταῦθα δαιμόνων καταφρονήσαντες, οὗ θαυμάζονται δαίμονες. Καὶ εἴ τίς ἐστιν, ἢ πιστεύεται ποταμὸς (1), δι' ἅλμης ῥέων γλυκὺς, ἢ ζῶον ἐν πυρὶ σκαῖρον (2), ᾧ τὰ πάντα ἁλίσκεται, τοῦτο ἦμεν ἡμεῖς ἐν πᾶσι τοῖς ἥλιξι.

(89) *Ὑγίειαν*. Reg. bm, ὑγείαν.
(90) *Περὶ αὐτό*. Pass., πρὸς τὸ αὐτό.
(91) *Ἢ πράξεων*. Pass., καὶ πράξεων.
(92) *Χριστιανούς*. Duo Regg., Coisl. 2 et Pass., Χριστιανοῖς.
(93) *Γύγης*. Plato *De republ.* II, et Cicero *De offic.* III, narrant, « Gygem » invenisse annulum, cujus palam cum ad se converteret, a nemine conspici poterat, eaque arte Lydiorum regnum occupasse.
(94) *Μίδας*. « Midas » cum optasset, ut quidquid tangeret, in aurum verteretur, ejus voti compos factus, fame periit, quod cibi omnes quos attrectaret, in aurum commutarentur.
(95) *Δι' ὅν*. Sic omnes codd. In ed., δι' ὧν.
(96) *Ἀβάριδος ὀϊστόν*. Narrant poetæ hunc Abaridem ab Apolline, cui servierat, sagittam accepisse, cujus opera Græciam peragrabat, ac oracula edebat.

D (97) *Ἀργεῖον Πήγασον*. « Argivum Pegasum. » Sic dictus equus, qui alatus fingitur, et in Helicona evolans, et ungula terram feriens, Hypocrenen fontem aperuit. Cum ei Bellerophon insidens, vellet in cœlum ascendere, Pegasus, excusso sessore, evolavit et inter sidera collocatus est.
(98) *Βλαβεραί*. Sic duo Coisl., etc. In ed., βλαβερά. Mox ὑπολαμβάνεται. Regg. a, bm, ὑπολαμβάνονται.
(99) *Εἴδωλα*. Sic melioris notæ codd. In ed., τὰ εἴδωλα.
(1) *Ποταμός*. « Alpheus » Arcadiæ fluvius
(2) *Ζῶον ἐν πυρὶ σκαῖρον*. « Animal in igne saliens. » Schol.: ἡ σαλαμάνδρα· « salamandra, » quæ in ignem injecta, non tantum non læditur, sed ipsum etiam ignem exstinguit, si Plinio fides habeatur, lib. X, c. 66.

A KΒ'. Καὶ τὸ κάλλιστον, ὅτι καὶ φρατρία τις περὶ ἡμᾶς οὐκ ἀγεννὴς ἦν, ὑπ' ἐκείνῳ καθηγεμόνι παιδευομένη καὶ ἀγομένη, καὶ τοῖς αὐτοῖς χαίρουσα· εἰ καὶ πεζοὶ παρὰ Λύδιον ἅρμα (3) ἐθέομεν, τὸν ἐκείνου δρόμον καὶ τρόπον· ἐξ ὧν ὑπῆρχεν ἡμῖν ἐπισήμοις μὲν εἶναι παρὰ τοῖς ἡμετέροις παιδευταῖς καὶ συμπράκτορσιν, ἐπισήμοις δὲ παρὰ τῇ Ἑλλάδι πάσῃ, καὶ ταύτης μάλιστα τοῖς γνωριμωτάτοις. Ἤδη δὲ καὶ μέχρι τῆς ὑπερορίας προήλθομεν, ὡς σαφὲς γέγονεν ἐκ πλειόνων τῶν ταῦτα διηγουμένων. Παρὰ τοσούτοις μὲν γὰρ οἱ ἡμέτεροι παιδευταὶ, παρ' ὅσοις Ἀθῆναι (4)· παρὰ τοσούτοις (5) δὲ ἡμεῖς, παρ' ὅσοις οἱ παιδευταὶ, συνακουόμενοί τε ἀλλήλοις καὶ συλλαλούμενοι, καὶ ξυνωρὶς οὐκ ἀνώνυμος, καὶ ὄντες παρ' αὐτοῖς, καὶ ἀκούοντες. Οὐδὲν τοιοῦτον αὐτοῖς B οἱ Ὀρέσται (6) καὶ οἱ Πυλάδαι· οὐδὲν οἱ Μολιονίδαι (7), τῆς Ὁμηρικῆς δέλτου τὸ θαῦμα, οὓς κοινωνία συμφορῶν ἐγνώρισε, καὶ τὸ καλῶς ἅρμα ἐλαύνειν, μεριζομένους ἐν ταυτῷ ἡνίας καὶ μάστιγας. Ἀλλὰ γὰρ ἔλαθον ἐμαυτὸν, εἰς τοὺς ἐμοὺς ὑπαχθεὶς (8) ἐπαίνους, ὁ μηδὲ παρ' ἑτέρου ποτὲ τοῦτο δεξάμενος (9). Καὶ θαυμαστὸν οὐδὲν, εἰ κἀνταῦθα τῆς ἐκείνου φιλίας τι παραπέλαυσα, ὥσπερ ζῶντος εἰς ἀρετὴν, οὕτω μεταστάντος εἰς εὐφημίαν. Ἀλλ' ἐπὶ τὴν νύσσαν (10) ἐπαναγέσθω πάλιν ἡμῖν ὁ λόγος.

XXII. Illud autem præclarissimum, quod circa nos quoddam non ignobile sodalitium erat, præceptorem illum habens, ac ducem sequens, iisdemque rebus gaudens; quamvis alioqui pedites, ut vetus habet proverbium, ad Lydium currum, hoc est, illius cursum et mores, curreremus; ex quo id nobis contigit, ut, non solum apud præceptores et socios, sed etiam apud universam Græciam, ac præsertim clarissimos quosque Græciæ viros, clari atque illustres essemus. Quin etiam, ultra Græciæ fines processimus, ut ex multis hæc commemorantibus perspicuum factum est. Nam præceptores quidem nostri apud tot homines celebres erant, apud quot Athenæ: ac nos item, apud quot homines de præceptoribus nostris, apud totidem de nobis B etiam, et audiebatur, et prædicabatur, ac par quoddam non obscurum et incelebre apud eos, 783 et eramus, et dicebamur. Nec vero quidquam ejusmodi apud eos erant Orestes et Pylades, nec Molionidæ illi, Homerico versu celebrati, quos calamitatum societas, atque ars egregie aurigandi nobilitavit, eodem tempore habenas et flagrum inter se partientes. At enim imprudens ipse in meas laudes prolapsus sum, quas ne ab alio quidem unquam prædicari sustinui. Nec mirum videri debet, si hic quoque fructum aliquem ex illius amicitia obiter cepi; nam quemadmodum, cum viveret, ad virtutem, ita, cum vita excessit, ad laudem et commendationem mihi prodest. Verum ad metam rursum nobis reducenda est oratio.

KΓ'. Τίς μὲν οὕτω πολιὸς ἦν τὴν σύνεσιν (11), C καὶ πρὸ τῆς πολιᾶς; ἐπειδὴ τούτῳ (12) καὶ Σολομὼν τὸ γῆρας ὁρίζεται. Τίς δὲ οὕτως αἰδέσιμος, ἢ παλαιοῖς, ἢ νέοις, μὴ ὅτι τῶν κατὰ τὸν αὐτὸν ἡμῖν χρόνον, ἀλλὰ καὶ τῶν πλεῖστον προειληφότων; τίς μὲν ἧττον ἐδεῖτο λόγων (13), διὰ τὸν τρόπον; τίς δὲ μᾶλλον μετέσχε λόγου, καὶ μετὰ τοῦ τρόπου; ποῖον μὲν εἶδος οὐκ ἐπῆλθε παιδεύσεως; μᾶλλον δὲ, ποῖον οὐ μεθ' ὑπερβολῆς ὡς μόνον; Οὕτω μὲν (14) ἅπαντα διελθὼν, ὡς οὐδεὶς ἕν· οὕτω δὲ εἰς ἄκρον ἕκαστον, ὡς τῶν ἄλλων οὐδέν. Σπουδὴ γὰρ εὐφυΐᾳ συνέδραμεν, ἐξ ὧν ἐπιστῆμαι καὶ τέχναι τὸ κράτος ἔχουσιν (15). Ἥκιστα μὲν τάχους φύσεως διὰ τόνον (16) δεόμενος, ἥκιστα δὲ τόνου διὰ τάχος (17)· οὕτω δ'

XXIII. Quis prudentia perinde canus erat, etiam ante canitiem? Quandoquidem hac re senectutem Salomon quoque definivit [96]. Quis, vel senibus, vel juvenibus æque venerabilis, non de nostræ tantum memoriæ viris loquor, sed de iis etiam, qui longo ante tempore vixerunt? Quis doctrina propter mores minus eguit? Quis tamen uberiorem doctrinam cum moribus conjunxit? Quod disciplinæ genus est, in quo versatus non sit, atque ita eximie versatus, quasi in eo solo elaborasset? Sic nimirum omnia complexus, ut ne unum quidem quisquam, singula rursus ita ad summum, quasi nihil aliud præterea didicisset. Ad ingenii enim solertiam studium accedebat, ex quibus imperium scientiis et artibus

[96] Sap. IV, 8.

(3) *Παρὰ Λύδιον ἅρμα.* Tanta erat Lydiorum curruum celeritas, ut nullo modo anteverti possent. Hinc proverbium, quo notantur, qui cum multo præstantioribus contendunt.

(4) *Ἀθῆναι.* Pass. addit, ἠκούοντο, « audiebantur. »

(5) *Τοσούτοις.* Sic plures Regg., duo Coisl., Or. 2, Par., Pass., etc. In ed., τοιούτοις.

(6) *Οἱ Ὀρέσται*, etc. « Orestes et Pylades » tanto amore inter se complexi sunt, ut, mortuo Pylade, una cum eo Orestes in infernum descenderit.

(7) *Μολιονίδαι.* « Molionidæ » gemini fratres erant tum corporibus, tum artibus. Gregorius eos a matre « Molionidas » vocat; Homerus vero, *Iliad.* XI, vers. 749, et XXIII, vers. 638, a patre Actoridas appellat. Quod errandi occasionem præbuit Nonno, qui, contra Gregorii mentem, per Molionidas, Otum D et Ephialtem, duos magnæ proceritatis gigantes intellexit.

(8) *Ὑπαχθεις.* Or. 2, ἐπαχθείς.

(9) *Δεξάμενος.* Pass., καταδεξάμενος.

(10) *Νύσσαν.* Sic duo Coisl., etc. In ed., νῆσσαν.

(11) *Τίς μὲν οὕτω πολιὸς ἦν τὴν σύνεσιν.* Sic plures Regg., Or. 2, Par., etc. In ed., Τίς οὕτω πολιὸς μὲν τὴν σύνεσιν.

(12) *Τούτῳ.* Plures Regg. et Comb., τοῦτο.

(13) *Λόγων.* Pass., λόγου.

(14) *Οὕτω μέν.* Or. 2 et Pass. addunt, οὖν.

(15) *Τὸ κράτος ἔχουσι.* Nicetas : Κατορθοῦνται, καὶ τὴν ἰσχὺν ἔχουσιν· « Quibus scientiæ et artes comparantur, ac vim obtinent.

(16) *Τόνον.* Or. 2 et Pass., τὸν τόνον

(17) *Τάχος.* Or. 2 et Pass., τὸ τάχος

A ἀμφότερα συλλαβὼν, καὶ εἰς ἓν ἀγαγὼν, ὥστε ἄδηλον εἶναι, ποτέρῳ τούτων ἐκεῖνος θαυμασιώτερος. Τίς μὲν ῥητορικὴν τοσοῦτος, τὴν πυρὸς μένος πνέουσαν (18), εἰ καὶ τὸ ἦθος αὐτῷ μὴ κατὰ ῥήτορας ἦν; τίς δὲ γραμματικὴν, ἣ γλῶσσαν ἐξελληνίζει, καὶ ἱστορίαν (19) συνάγει, καὶ μέτροις ἐπιστατεῖ, καὶ νομοθετεῖ ποιήμασιν; τίς δὲ φιλοσοφίαν, τὴν ὄντως ὑψηλήν τε καὶ ἄνω βαίνουσαν, ὅση τε πρακτικὴ καὶ θεωρητικὴ, ὅση τε περὶ τὰς λογικὰς ἀποδείξεις καὶ ἀντιθέσεις ἔχει (20) καὶ τὰ παλαίσματα, ἣν δὴ (21) διαλεκτικὴν ὀνομάζουσιν· ὡς ῥᾷον εἶναι τοὺς λαβυρίνθους (22) διεξελθεῖν, ἢ τὰς ἐκείνου τῶν λόγων ἄρκυς διαφυγεῖν, εἰ τούτου δεήσειεν; Ἀστρονομίας δὲ, καὶ γεωμετρίας, καὶ ἀριθμῶν ἀναλογίας τοσοῦτον λαβὼν, ὅσον μὴ κλονεῖσθαι τοῖς περὶ ταῦτα κομψοῖς· τὸ B περιττὸν διέπτυσεν, ὡς ἄχρηστον τοῖς εὐσεβεῖν ἐθέλουσιν· ὥστε μᾶλλον μὲν τὸ αἱρεθὲν τοῦ παρεθέντος ἐξεῖναι θαυμάζειν, μᾶλλον δὲ τοῦ αἱρεθέντος τὸ παρεθέν. Ἰατρικὴν μὲν γὰρ καὶ ἡ τοῦ σώματος ἀῤῥωστία, καὶ νοσοκομία (23), φιλοσοφίας καὶ φιλοπονίας οὖσαν καρπὸν, ἀναγκαίαν αὐτῷ πεποιήκασιν· ὅθεν ἀρξάμενος, εἰς ἕξιν τῆς τέχνης ἀφίκετο· καὶ ταύτης, οὐχ ὅση περὶ τὸ φαινόμενον ἔχει καὶ κάτω (24) κείμενον, ἀλλ' ὅσον δογματικὸν καὶ φιλόσοφον. Ἀλλὰ τί ταῦτα, καίπερ τηλικαῦτα τυγχάνοντα, πρὸς τὴν ἐν τῷ ἤθει τοῦ ἀνδρὸς παίδευσιν; Λῆρος τοῖς τοῦ ἀνδρὸς πεπειραμένοις ὁ Μίνως (25) ἐκεῖνος, καὶ ὁ Ῥαδάμανθυς, οὓς ἀσφοδελῶν λειμώνων καὶ Ἠλυσίων (26) πεδίων ἠξίωσαν Ἕλληνες, ἐν φαντασίᾳ τοῦ καθ' ἡμᾶς παραδείσου γενόμενοι, ἐκ τῶν C Μωσαϊκῶν, οἶμαι, βιβλίων (27) καὶ ἡμετέρων, εἰ καὶ περὶ τὴν κλῆσίν τι διηνέχθησαν, ἐν ἄλλοις ὀνόμασι τοῦτο παραδηλώσαντες.

comparatur. Qui cum celeritate naturæ propter laborem et contentionem minime opus haberet, quemadmodum nec labore propter ingenii magnitudinem; sic tamen utrumque conjunxerat, ut non satis liqueret, utro nomine admirabilior esset. Quis in rhetorica, illa, inquam, vim ignis spirante, cum eo comparandus, tametsi illius mores a rhetorum moribus dissiderent? Quis in grammatica, quæ linguam ad Græcismum format, historias colligit, metris præest, carminibus leges præscribit? Quis in philosophia, excelsa proculdubio scientia, et sursum gradiente, sive eam partem spectes, quæ in actione et speculatione posita est, sive eam, quæ in logicis demonstrationibus aut oppositionibus et concertationibus **789** versatur, quam *Dialecticam* vocant; in qua adeo excelluit, ut iis, qui cum eo disputabant, facilius esset e labyrinthis sese extricare, quam argumentorum ejus laqueos effugere, si quando res ita postularet? Jam vero astronomiam, geometriam, numerorum proportiones hactenus didicisse contentus, ut non ab iis, qui in hujusmodi rebus sciti et eruditi sunt exagitaretur; quidquid supererat, ut pietatis cultoribus infrugiferum, contempsit, adeo ut, et quod elegit, magis admirari ac prædicare liceat, quam quod reliquit, et rursus, id quod reliquit, majori laude efferre, quam quod elegit. Nam medicinam, quæ philosophiæ et laboris atque industriæ fructus est, corporis morbus, ac morbi curatio, necessariam ipsi reddiderat; unde exorsus, ad artis habitum tandem pervenit. Eam porro artis partem intelligo, non quæ circa perspicua oculisque subjecta et humilia versatur, sed quæ in doctrina et philosophia consistit. Sed quid hæc, tametsi magna et præclara, si cum morum illius doctrina conferantur? Qui virtutis ipsius periculum fecerunt, Minoem illum ac Rhadamanthum pro nugis habent, quos pratis asphodelo refertis, et campis Elysiis Græci donandos duxerunt, paradisi videlicet nostri speciem quamdam animo intuentes, atque ex Mosaicis, ut opinor, nostrisque libris, tametsi in nomine nonnihil discreparint, aliis tamen vocabulis hoc ipsum indicantes.

ΚΔ'. Εἶχε μὲν οὖν (28) οὕτω ταῦτα, καὶ πλήρης παιδεύσεως ἡ φορτὶς (29), ὡς γοῦν ἐφικτὸν ἀνθρωπίνῃ φύσει (τὸ γὰρ ἐπέκεινα Γαδείρων (30) οὐ περατόν)· ἔδει δὲ λοιπὸν ἐπανόδου καὶ βίου τελεωτέρου, καὶ τοῦ λαβέσθαι τῶν ἐλπιζομένων ἡμῖν καὶ συγκειμένων. Παρῆν ἡ τῆς ἐκδημίας ἡμέρα, καὶ ὅσα τῆς

XXIV. Atque hæc ita se habebant, eratque doctrinæ mercibus onusta navis, quantum quidem humanæ naturæ assequi datur; neque enim ultra Gades transmeare cuiquam concessum est; ac jam faciendum nobis erat, ut in patriam rediremus, perfectiusque vitæ genus ordiremur, resque spe

(18) *Πνέουσαν*. Quatuor Regg. et Or. 2, πνείουσαν. Homerus *Iliad.* VI, vers. 182, de Chimæra verba faciens, his utitur verbis, quæ ad rhetoricam traduxit Gregorius.

(19) *Ἱστορίαν*. In nonnullis, ἱστορίας.

(20) *Καὶ . . . ἔχει*. Regg. d, bm, ph et Pass., ἢ... ἔχει.

(21) *Ἣν δή*. Comb. resecat, δή.

(22) *Λαβυρίνθους*. « In Creta insula, » inquit Nonnus, « mons est, in eoque antrum quoddam, cujus aditus et exitus admodum difficilis atque arduus erat, in quod Minotaurus injectus dicitur. Quoniam ergo ex labyrintho sese extricare difficile est, idcirco hanc vocem ad eas quæstiones Gregorius accommodavit, e quibus elabendi nulla est ratio. »

(23) *Νοσοκομία*. Reg. c, νοσοκομεῖα. Potest in- D telligi de leprosorum domo, quam Cæsareæ exstruxerat Basilius.

(24) *Κάτω*. Reg. ph, ἄνω, « sursum. »

(25) *Ὁ Μίνως*, etc. « Minos » rex Cretæ, et Rhadamanthus Lyciæ rex, ob singularem justitiam a Plutone inferorum judices constituti, ut narrant poetæ.

(26) *Ἠλυσίων*. Dictus est hic locus Elysius, quasi ἀλύσιος, vel, ἀπολύσιος τῆς κολάσεως, quod « a pœna solvat. » Hæc fuit, juxta poetas, beatorum requies et habitatio.

(27) *Βιβλίων*. Quatuor Regg. et Or. 2, βίβλων.

(28) *Οὖν*. Deest in Reg. bm et Or. 2.

(29) *Φορτίς*. Reg. ph. φροντίς, « cura, sollicitudo. »

(30) *Γαδείρων*. « Gades » locus est inter Hispaniam et Africam, ubi mare permeabile esse negavit antiquitas. Unde ductum est istud adagium.

(23) *Ἐμὸν λέγω*. Sic Regg. c, d, ph, Coisl. –, Or. 2, Pass. Deest λέγω in ed.
(24) *Ἐκλελοιπώς*. Pass., λελοιπώς.
(25) *Θαρσήσας*. Regg. c, ph et Or. 2, θαῤῥήσας.
(26) *Φορείῳ*. Reg. bm, φορίῳ.

auxilio fretus. Atque ut rem in pauca conferam, vehiculo, non secus ac mortuus feretro, impositus, juvenis redit, firmus ac valens, oculos erectos habens, a manuum **800** impositione et unctione, addo etiam, et ab illius, qui ungebatur, capite, roboratus. Hoc igitur ad priscas narrationes accedat, quod labor sanitatem affert, et animi alacritas mortuos excitat, et exsilit senectus Spiritu delibuta.

τῆς χρίσεως, οὐ πολὺ δὲ εἰπεῖν, ὅτι καὶ τῆς κεφαλῆς τοῦ χρισθέντος. Τοῦτο προσκείσθω τοῖς παλαιοῖς διηγήμασιν, ὅτι πόνος ὑγείαν (27) χαρίζεται, καὶ προθυμία νεκροὺς ἀνίστησι. καὶ πηδᾷ γῆρας χρισθὲν (28) τῷ Πνεύματι.

XXXVIII. Cum autem primariæ sedis honore ita affectus fuisset, ut par erat eos, qui ita vixerant, eamque gratiam consecuti fuerant, ac talem apud homines existimationem obtinebant; minime commisit, ut ulla in re postea, vel philosophiæ suæ, vel eorum, qui hoc munus ipsi crediderant, spei, dedecori esset. Quin potius, quantum alios prius, tantum quotidie seipsum vincebat, optime utique ac sapientissime de his rebus sentiens. Sic enim existimabat, privati quidem hominis virtutem in eo consistere, ut vitio careat, aut quoquo modo probitatem colat; principem autem et antistitem, ac præsertim hujusmodi imperium gerentem, improbitatis notam effugere non posse, nisi multum antecellat, ac melior in dies exsistat, paremque dignitati suæ ac throno virtutem afferat. Vix enim esse, ut in summo positus, medium assequatur, ac per exuberantem virtutis amplitudinem, vulgus ad mediocritatem pertrahat. Imo vero, ut rectius de his rebus disseram, quod ego in Salvatore prospicio (atque etiam, ut opinor, sapientiorum quilibet), quo tempore nobiscum exstitit, secundum id quod supra nos, et nostrum erat, formatus, hoc quoque hic contigisse animadverto. Proficiebat enim, inquit, ut ætate, ita etiam sapientia et gratia [13]; non quod hæc in illo incrementum caperent; quid enim eo, quod a principio perfectum erat, perfectius esse possit? sed quod hæc paulatim detegerentur et elucerent. Eodem modo Basilii virtutem eo tempore, non incrementum, sed majorem operationem accepisse arbitror, cum ipsi nimirum potestas uberiorem materiam suppeditaret.

ΛΗ'. Οὕτω δὲ τῆς προεδρίας ἀξιωθεὶς, ὡς, τοὺς τοιούτους μὲν γεγονότας, τοιαύτης δὲ χάριτος τετυχηκότας, οὕτω δὲ ὑπειλημμένους, εἰκός· οὐ κατήσχυνεν οὐδενὶ τῶν ἑξῆς, ἢ τὴν ἑαυτοῦ φιλοσοφίαν, ἢ τὰς τῶν πεπιστευκότων ἐλπίδας· ἀλλὰ τοσοῦτον ἑαυτὸν ὑπερβάλλων ἀεὶ, ὅσον πρὸ τούτου τοὺς ἄλλους ἐδείκνυτο, κάλλιστά τε καὶ φιλοσοφώτατα περὶ τούτων διανοούμενος. Ἡγεῖτο γὰρ, ἰδιώτου μὲν ἀρετὴν εἶναι, τὸ μὴ κακὸν εἶναι, ἢ τι καὶ πως ἀγαθόν. Ἄρχοντος δὲ καὶ προστάτου κακίαν, καὶ μάλιστα τὴν τοιαύτην ἀρχὴν, τὸ μὴ πολὺ τῶν πολλῶν προέχειν, μηδὲ ἀεὶ κρείττω φαίνεσθαι, μηδὲ συμμετρεῖν τῇ ἀξίᾳ καὶ τῷ θρόνῳ τὴν ἀρετήν. Μόγις (29) γὰρ εἶναι τῷ ἄκρῳ τοῦ μέσου κατατυγχάνειν, καὶ τῷ περιόντι τῆς ἀρετῆς ἕλξειν τοὺς πολλοὺς εἰς τὸ μέτριον· μᾶλλον δὲ, ἵνα τι φιλοσοφήσω περὶ τούτων ἄμεινον, ὅπερ ἐπὶ τοῦ Σωτῆρος ἐγὼ θεωρῶ, οἶμαι δὲ καὶ τῶν σοφωτέρων ἕκαστος, ἡνίκα μεθ' ἡμῶν ἐγένετο, μορφωθεὶς (30) τὸ ὑπὲρ ἡμᾶς καὶ ἡμέτερον, τοῦτο κἀνταῦθα συμβεβηκέναι λογίζομαι. Ἐκεῖνός τε γὰρ προέκοπτε, φησὶν, ὥσπερ ἡλικίᾳ, οὕτω δὴ καὶ σοφίᾳ καὶ χάριτι· οὐ τῷ ταῦτα λαμβάνειν αὔξησιν, (τί γὰρ τοῦ ἀπ' ἀρχῆς τελείου γένοιτ' ἂν τελεώτερον;) ἀλλὰ τῷ κατὰ μικρὸν ταῦτα παραγυμνοῦσθαι καὶ παρεκφαίνεσθαι. Τήν τε τοῦ ἀνδρὸς ἀρετὴν, οὐχὶ προσθήκην, ἀλλ' ἐργασίαν οἶμαι μείζω τηνικαῦτα λαμβάνειν, ὕλῃ πλείονι τῇ ἐξουσίᾳ χρωμένην.

XXXIX. Ac primum quidem illud omnibus perspicuum facit, munus id, quo affectus fuerat, non humano favore, sed divino beneficio ipsi contigisse. Id autem ex nobis quoque liquido constabit. Qualia enim mecum circa illud tempus philosophabatur? Nam cum aliis omnibus dubium non esset, quin, cum id contigisset, statim **801** accurrerem, maximaque animi voluptate perfunderer (id quod fortasse alius quispiam fecisset), ac cum eo imperium potius partirer, quam supparem auctoritatem ac potentiam haberem, idque ex amicitia nostra conjectarent; ego tamen, cum in omnibus rebus arrogantiæ suspicionem, ut si quis alius, fugiens,

ΛΘ'. Πρῶτον μὲν ἐκεῖνο πᾶσι ποιεῖ φανερὸν, ὡς οὐκ ἀνθρωπίνης χάριτος ἦν αὐτῷ ἔργον, ἀλλὰ Θεοῦ δῶρον τὸ δεδομένον· δηλώσει δὲ καὶ τὸ ἡμέτερον. Οἷα γάρ μοι φιλοσοφοῦντι περὶ τὸν καιρὸν ἐκεῖνον συνεφιλοσόφει! Τῶν γὰρ ἄλλων ἁπάντων οἰομένων καὶ προσδραμεῖσθαί με τῷ γεγονότι, καὶ περιχαρήσεσθαι (ὅπερ ἑτέρου (31) καὶ παθεῖν ἴσως ἦν), καὶ συνδιανεμεῖσθαι (32) τὴν ἀρχὴν μᾶλλον ἢ παραδυναστεύειν, καὶ τῇ φιλίᾳ τοῦτο τεκμαιρομένων· ἐπειδὴ τὸ φορτικὸν φεύγων ἐγὼ, καὶ γὰρ ἐν ἅπασιν, εἴπερ ἄλλος τις, καὶ ἅμα τοῦ καιροῦ τὸ ἐπίφθονον, ἄλλως τε καὶ τῶν κατ' αὐτὸν (33) ὠδινόντων ἔτι καὶ ταρασσομένων, οἴκοι κατέμεινα, βίᾳ χαλινώσας τὸν πόθον. Μέμφεται

[13] Luc. II, 52.

(27) Ὑγείαν. Or. 2, ὑγιείαν.

(28) *Πηδᾷ γῆρας χρισθέν.* Reg. bm : πηδᾷ γῆρας χρησθέν. Sic etiam legit Billius in vetustissimo codice, quam lectionem probat Combefisius. Si cui hæc lectio placuerit, ita reddere potest : « Exsilit senectus, quæ se Spiritui utendam præbuerit. » Hæc est enim vis verbi κίχρημι, χρήζω, « commodo, utendum præbeo. » Quin Schol. Reg. bm hæc habet, quæ in suo codice legisse testatur Billius : Καὶ ἀλλαχοῦ ὁ αὐτός φησιν· Ἰδοὺ κίχρημι τὰς χεῖρας τῷ Πνεύματι· « Et alibi ipse ait : Ecce manus meas Spiritui commendo. »

(29) *Μόγις.* Sex Regg. et Or. 2, μόλις.

(30) *Μορφωθείς*, etc. « Formam indutus, quæ et nobis superior, et nostra erat. » Id est, ut exponit Nicetas, similis nobis, iisdemque, præter peccatum, obnoxius.

(31) *Ἑτέρου.* In nonnullis, ἕτερον

(32) *Συνδιανεμεῖσθαι.* Nonnulli addunt με.

(33) *Κατ' αὐτόν.* Sic Regg. bm, ph, Coisl. 1, Or. 2, Jes. et Comb. In ed., κατ' αὐτῶν.

μὲν, συγγινώσκει δέ. Καὶ μετὰ τοῦτο ἐπιστάντα μὲν, A τὴν δὲ τῆς καθέδρας τιμὴν οὐ δεξάμενον, τῆς αὐτῆς ἕνεκεν αἰτίας, οὐδὲ τὴν τῶν πρεσβυτέρων προτίμησιν, οὔτε ἐμέμψατο, καὶ προσεπῄνεσεν, εὖ ποιῶν· τῦφον κατηγορηθῆναι μᾶλλον ὑπ' ὀλίγων ἑλόμενος, τῶν ταύτην ἀγνοησάντων τὴν οἰκονομίαν, ἤ τι πρᾶξαι τῷ λόγῳ καὶ τοῖς αὐτοῦ βουλεύμασιν ἐναντίον. Καίτοι, πῶς ἂν μᾶλλον ἔδειξεν ἄνθρωπος πάσης θωπείας καὶ κολακείας κρείττω τὴν ψυχὴν ἔχων, καὶ πρὸς ἓν μόνον βλέπων, τὸν τοῦ καλοῦ νόμον, ἢ περὶ ἡμῶν οὕτω διανοηθεὶς, οὓς ἐν πρώτοις τῶν ἑαυτοῦ φίλων καὶ συνήθων ἐγνώρισεν;

ac simul temporis illius invidiam vitans, præsertim cum res ejus nondum pacatæ essent, ac adhuc turbarentur, desiderio meo frenum injeci, domique me continui. Quo nomine mecum quidem ille expostulavit, cæterum veniam dedit. Ac postea, cum ad eum venissem, atque eadem de causa cathedræ honorem, insignioremque inter presbyteros honoris locum recusassem, non modo meum hoc factum non incusavit, sed etiam, ut debuit, comprobavit; atque a nonnullis, qui rationis ipsius ignari erant, fastus insimulari maluit, quam aliquid facere, quod rationi consiliisque suis adversaretur. At certe, quonam modo luculentius specimen edere potuisset animi ab omni adulatione et assentatione alieni, solamque honesti legem intuentis, quam ita de nobis, quos in præcipuorum amicorum et familiarium loco numeroque habuit, constituens?

Μ'. Ἔπειτα, τὸ στασιάζον πρὸς ἑαυτὸν μαλάσσει, B καὶ θεραπεύει λόγοις ἰατρικῆς μεγαλόφρονος. Οὐ γὰρ θωπευτικῶς, οὐδὲ ἀνελευθέρως τοῦτο ποιεῖ, ἀλλὰ καὶ λίαν νεανικῶς καὶ μεγαλοπρεπῶς, ὡς ἄν τις οὐ τὸ παρὸν σκοπῶν μόνον, ἀλλὰ καὶ τὴν μέλλουσαν εὐπείθειαν οἰκονομῶν. Ὁρῶν γὰρ (34) τὸ μὲν ἁπαλὸν, ἔκλυτον καὶ μαλακίζον, τὸ δὲ αὐστηρὸν, τραχῦνον καὶ ἀπαυθαδιάζον (35), ἀμφοτέροις βοηθεῖ δι' ἀλλήλων· ἐπιεικείᾳ μὲν τὸ ἀντιτυπὲς, στεῤῥότητι δὲ τὸ ἁπαλὸν κερασάμενος· ὀλίγα μὲν λόγου προσδεηθεὶς, ἔργῳ δὲ τὰ πλείω συνηθεὶς πρὸς τὴν θεραπείαν· οὐ τέχνῃ δουλούμενος, ἀλλ' εὐνοίᾳ σφετεριζόμενος· οὐ δυναστείᾳ (36) προσχρώμενος, ἀλλὰ τῷ δύνασθαι μὲν, φείδεσθαι δὲ προσαγόμενος. Τὸ δὲ (37) μέγιστον, τῷ πάντας ἡττᾶσθαι τῆς αὐτοῦ διανοίας, καὶ ἀπρόσιτον εἰδέναι τὴν ἀρετήν· καὶ μίαν μὲν ἑαυτοῖς (38) σωτη- C ρίαν ἡγεῖσθαι, τὸ μετ' ἐκείνου τε καὶ ὑπ' ἐκείνῳ τετάχθαι, ἕνα δὲ κίνδυνον, τὸ προσκρούειν ἐκείνῳ, καὶ ἀλλοτρίωσιν ἀπὸ Θεοῦ νομίζειν τὴν ἀπ' ἐκείνου διάστασιν· οὕτως ἑκόντες ὑπεχώρησαν (39) καὶ ἡττήθησαν (40), καὶ ὡς ἤχῳ βροντῆς ὑπεκλίθησαν, ἄλλος ἄλλον εἰς ἀπολογίαν προφθάνοντες, καὶ τὸ μέτρον τῆς ἀπεχθείας εἰς μέτρον μετενεγκόντες εὐνοίας, καὶ τῆς εἰς ἀρετὴν ἐπιδόσεως, ἣν δὴ μόνην ἀπολογίαν ἰσχυροτάτην ηὕρισκον (41)· πλὴν εἴ τις (42) διὰ κακίαν ἀνίατον ἠμελήθη καὶ παρεῤῥίφη (43), ἵν' αὐτὸς ἐν ἑαυτῷ συντριβῇ καὶ καταναλωθῇ, καθάπερ ἰὸς σιδήρῳ συνδαπανώμενος.

XL. Deinde, eos, qui ab ipso dissidebant, emollit, ac sublimis et excelsæ medicinæ rationibus curat. Non enim adulatorie ac serviliter, sed perquam fortiter et magnifice hoc facit, ut qui non præsentis solum temporis rationem haberet, sed etiam futuram obedientiam procuraret. Nam cum perspiceret, subditorum animos mollitie enervari, et nimia austeritate asperos atque contumaces reddi, utrique malo per alterum medetur, duritiam nimirum mansuetudine et facilitate, mollitiem autem gravitate atque animi firmitate temperans; sermone ad animarum curationem haud multum indigens, opere quam plurima perficiens; non callido artificio homines subigens, sed benevolentia sibi concilians; nec imperii potestate utens, sed per indulgentiam, quam in potestate adhibebat, eos alliciens. Quod autem maximi momenti est, omnes mentis acumine ipsi cedebant, eamque ipsius virtutem esse norant, ut ad eam nemo aspirare posset; atque unam hanc demum sibi salutem esse arbitrabantur, si cum ipso, et sub ipso, sese collocarent, unum vero **802** et certissimum periculum, si in ipsius offensionem incurrerent; ab eo etiam disjungi, nihil aliud esse judicabant, quam a Deo abalienari: sic ultro cesserunt, ac manus dederunt, et quasi ad tonitrui sonum sese submiserunt, alius alium ad ipsi satisfaciendum antevertentes, conceptamque prius adversus ipsum odii vim, in non minorem benevolentiæ vim, ac virtutis incrementum (quam quidem unam firmissimam ipsi satisfaciendi rationem inveniebant) commutantes; præterquam si quis ob deploratam improbitatem neglectus ac projectus est, ut ipse in seipso contereretur atque consumeretur, non secus ac rubigo simul cum ferro consumi solet.

ΜΑ'. Ἐπεὶ δὲ τὰ οἴκοι κατὰ νοῦν εἶχεν αὐτῷ, καὶ D ὡς οὐκ ἄν τις ᾠήθη τῶν ἀπίστων κἀκεῖνον ἠγνοηκό-

XLI. Postquam autem res ipsius domesticæ ex animi sententia constitutæ sunt, et quemadmodum

(34) *Ὁρῶν γάρ*, etc. Nicetas ex Demosthene refert, plerosque in mansuetudine quidem humiles et abjectos, in gravitate autem arrogantes et contumaces haberi. Hanc Demosthenis sententiam in interpretatione sua amplectitur Billius. Fatetur tamen Gregorii verba non incommode posse transitive accipi. Addimus et accipienda esse.

(35) *Ἀπαυθαδιάζον*. Plures Regg. ac Colb., αὐθαδιάζον. Regg. bm et Pass., αὐθαδίζον.

(36) *Δυναστείᾳ*. Reg. pb, Or. 2 et Pass., δυναστείαις.

(37) *Τὸ δέ*. Sic Regg. a, bm, pb, Or. 2, etc. Deest δέ in ed.

(38) *Ἑαυτοῖς*. Tres Regg., αὐτοῖς.

(39) *Ὑπεχώρησαν*. Comb. addit καλῶς.

(40) *Καὶ ἡττήθησαν*. Hæc desunt in Reg. c.

(41) *Ηὕρισκον*. Regg. c, d, pb, εὕρισκον.

(42) *Πλὴν εἴ τις*. Regg. c, d, Chrys., Or. 2 et Comb., εἰ μή τις.

(43) *Παρεῤῥίφη*. Reg. c, ἀπεῤῥίφη.

nemo fide carens, virtutisque illius ignarus, unquam arbitratus esset, majus quidpiam et sublimius animo agitare incipit. Nam cum alii omnes id tantummodo, quod ante pedes est, videant, suaque ut in tuto sint, laborent (si tamen id satis tutum esse potest), nec ulterius progrediantur, nec magni aliquid et strenui, vel cogitatione complecti, vel efficere queant; ipse contra, tametsi cæteris in rebus moderatus esset, in his tamen modum haudquaquam tenet; verum sublato in altum capite, mentisque oculis quoquoversum jactatis, omnes eas orbis partes, quas salutifera Christi doctrina pervagata est, comprehendit. Cum autem videret, magnam illam Dei hæreditatem, ipsiusque doctrina et legibus, atque cruciatibus acquisitam, gentem illam sanctam, regium illud sacerdotium [14], male se habere, atque in sexcentas opiniones et errores distractum esse: atque vineam illam, quæ ex Ægypto, hoc est, ex impia et caliginosa ignorantia, translata et transplantata fuerat [15], quæque ad tam immensam pulchritudinem et magnitudinem pervenerat, ut terram universam operiret, ac supra montes et cedros assurgeret; hanc, inquam, a pravo et agresti apro, id est, a diabolo, labefactatam et pervastatam [16]; haudquaquam satis esse judicavit, si hanc calamitatem tacite deploraret, manusque ad Deum duntaxat tolleret, ab eoque, ut urgentia mala depelleret, precibus contenderet, ipse vero interea dormiret; verum faciendum sibi quoque putavit, ut opem quamdam afferret, ac de suo aliquid erogaret.

A των, περινοεῖ τι (44) τῇ διανοίᾳ μεῖζον καὶ ὑψηλότερον. Τῶν γὰρ ἄλλων ἁπάντων τὸ ἐν ποσὶ μόνον ὁρώντων, καὶ τὸ κατ' αὐτοὺς (45) ὅπως ἀσφαλῶς ἕξει λογιζομένων, εἴπερ τοῦτο ἀσφαλὲς, περαιτέρω δ' οὐ προϊόντων, οὐδέ τι μέγα καὶ νεανικὸν, ἢ ἐννοῆσαι, ἢ καταπράξασθαι δυναμένων· καίτοι τἄλλα μέτριος ὢν, ἐν τούτοις οὐ μετριάζει· ἀλλ' ὑψοῦ τὴν κεφαλὴν διάρας, καὶ κύκλῳ τὸ τῆς ψυχῆς ὄμμα περιαγαγὼν, πᾶσαν εἴσω ποιεῖται τὴν οἰκουμένην, ὅσην ὁ σωτήριος λόγος ἐπέδραμεν. Ὁρῶν δὲ τὸν μέγαν τοῦ Θεοῦ κλῆρον, καὶ τοῖς αὐτοῦ λόγοις, καὶ νόμοις, καὶ πάθεσι περιποιηθέντα, τὸ ἅγιον ἔθνος, τὸ βασίλειον ἱεράτευμα, κακῶς διακείμενον, εἴς τε μυρίας δόξας καὶ πλάνας διεσπασμένον (46)· καὶ τὴν ἐξ Αἰγύπτου μετηρμένην καὶ μεταπεφυτευμένην ἄμπελον, ἐκ τῆς B ἀθέου καὶ σκοτεινῆς ἀγνοίας εἰς κάλλος τε καὶ μέγεθος ἄπειρον προελθοῦσαν, ὡς καλύψαι πᾶσαν τὴν γῆν, καὶ ὀρῶν καὶ κέδρων ὑπερεκτείνεσθαι· ταύτην (47) πονηρῷ καὶ ἀγρίῳ συΐ, τῷ διαβόλῳ, λελυμασμένην· οὐκ αὔταρκες ὑπολαμβάνει θρηνεῖν ἡσυχῇ τὸ πάθος, καὶ πρὸς Θεὸν μόνον αἴρειν (48) τὰς χεῖρας, καὶ παρ' ἐκείνου τῶν κατεχόντων κακῶν λύσιν ζητεῖν, αὐτὸς δὲ καθεύδειν· ἀλλά τι καὶ βοηθεῖν, καὶ παρ' ἑαυτοῦ συνεισφέρειν ᾤετο δεῖν.

XLII. Quid enim hac calamitate tristius, cum satius esset, ut is, qui sursum spectat, **803** operam in rem publicam conferret? Uno etenim homine recte aut male se gerente, nihil hinc reipublicæ portendi; at republica hoc aut illo modo se habente, singulos etiam eodem modo affici necesse esse. Hæc igitur ille publici commodi procurator et antistes secum reputans atque perpendens (quandoquidem tinea ossium est cor sensu præditum, ut Salomoni [17] et veritati placet; atque ut indolentia læta est et hilaris, ita commiseratio tristis et acerba, pectusque conficit diuturna cogitatio); idcirco mœrebat, angebatur, convulnerabatur, idem ipsi, quod Jonæ [18], quod Davidi, usu veniebat, animum despondebat, nec, aut somnum oculis, aut dormitationem palpebris concedebat [19]: quidquid carnium supererat, curis absumebat, quoad huic malo remedium invenisset; divinam et humanam opem, quæ publicum incendium comprimeret, offusamque nobis caliginem discuteret, implorabat.

C ΜΒ'. Τί γὰρ εἶναι τῆς συμφορᾶς ταύτης ἀνιαρότερον, ὑπὲρ δὲ τοῦ κοινοῦ χρῆναι μᾶλλον σπουδάζειν (49) τὸν ἄνω βλέποντα; Ἑνὸς μὲν γὰρ (50) εὖ πράττοντος, ἢ κακῶς, οὐδὲν τῷ κοινῷ τοῦτο ἐπισημαίνειν· τοῦ κοινοῦ δὲ οὕτως ἢ ἐκείνως ἔχοντος, καὶ τὸν καθ' ἕκαστον ὁμοίως ἔχειν, πᾶσαν εἶναι ἀνάγκην. Ταῦτ' οὖν ἐννοῶν καὶ σκοπῶν ἐκεῖνος (51), ὁ τοῦ κοινοῦ κηδεμὼν καὶ προστάτης (ἐπειδὴ σὴς ὀστέων καρδία αἰσθητική, ὡς Σολομῶντι καὶ τῇ ἀληθείᾳ δοκεῖ· καὶ τὸ μὲν ἀνάλγητον, εὔθυμον· τὸ δὲ συμπαθὲς, λυπηρόν· καὶ τῆξις καρδίας, ἔμμονος λογισμὸς), διὰ τοῦτο ἐσφάδαζεν, ἠνιᾶτο, κατετιτρώσκετο, ἔπασχε τὸ Ἰωνᾶ, τὸ Δαβίδ, ἀπελέγετο τὴν ψυχὴν, οὐκ ἐδίδου ὕπνον τοῖς ὀφθαλμοῖς, οὐδὲ νυσταγμὸν τοῖς βλεφάροις· προσεδαπάνα τὸ λειπόμενον τῶν σαρκῶν D ταῖς φροντίσιν, ἕως εὕρῃ τοῦ κακοῦ λύσιν· ἐπιζητεῖ θείαν βοήθειαν, ἢ ἀνθρωπίνην (52), ἥτις στήσει τὸν κοινὸν ἐμπρησμὸν, καὶ τὴν ἐπέχουσαν ἡμᾶς σκοτόμαιναν.

XLIII. Atque illud quidem unum valde salutiferum excogitat. Nam cum seipsum, quantum fieri

ΜΓ'. Ἓν μὲν οὖν ἐκεῖνο ἐπινοεῖ καὶ λίαν σωτήριον· Συναγαγὼν ἑαυτὸν, ὡς οἷόν τε ἦν, καὶ συγ-

[14] I Petr. II, 9. [15] Psal. LXXIX 9. [16] ibid. 14. [17] Prov. XIV, 30. [18] Jon. IV, 9. [19] Psal. CXXXI, 4.

(44) *Τι*. In nonnullis, ἔτι.

(45) *Κατ' αὐτούς*. Sic plures codd. In ed., καθ' αὑτούς.

(46) *Διεσπασμένον*. Pass., διεσπαρμένον.

(47) *Ταύτην*. In ed. sequitur δέ, quod auctoritate codd. delevimus.

(48) *Μόνον αἴρειν*. Sic Regg. a, bm et ph. In ed., αἴρειν μόνον.

(49) *Ὑπὲρ δὲ τοῦ κοινοῦ χρῆναι μᾶλλον σπουδάζειν*. Sic Regg. a, d, duo Coisl., Or. 2, et Comb. In ed.: ὑπὲρ δὲ τοῦ μᾶλλον χρῆναι σπουδάζειν, quod sic vertit Billius: « Aut pro qua tandem re magis elaborandum ei qui sursum spectat? »

(50) *Ἑνὸς μὲν γάρ*. Gabr. addit ἀνδρός.

(51) *Ἐννοῶν καὶ σκοπῶν ἐκεῖνος*. Sic plures Regg. et Or. 2. In ed., ἐννοῶν ἐκεῖνος, καὶ σκοπῶν.

(52) *Ἢ ἀνθρωπίνην*. Reg. hu et Par., οὐκ ἀνθρωπίνην. In nonnullis deest ἤ.

κλείσας τῷ πνεύματι, καὶ πάντας μὲν ἀνθρωπίνους λογισμοὺς κινήσας, πᾶν δὲ τῶν Γραφῶν (53) βάθος ἀναλεξάμενος, λογογραφεῖ τὴν εὐσέβειαν, καὶ ἀντιθέτοις πάλαις καὶ μάχαις τὸ πολὺ τῶν αἱρετικῶν ἀποκρούεται θράσος· τοὺς μὲν καὶ εἰς χεῖρας ἰόντας, ἀγχεμάχοις ὅπλοις τοῖς ἀπὸ γλώσσης καταστρεφόμενος· τοὺς δὲ πόῤῥωθεν, βάλλων τοξεύμασι τοῖς ἐκ μέλανος, οὐδὲν ἀτιμοτέρου (54) τῶν ἐν ταῖς πλαξὶ χαραγμάτων· οὐδὲ ἑνὶ τῆς Ἰουδαίας ἔθνει, καὶ μικρῷ τούτῳ, νομοθετοῦντος περὶ βρωμάτων, καὶ πωμάτων, καὶ προσκαίρων θυσιῶν, καὶ σαρκὸς καθαρσίων· ἀλλὰ παντὶ (55) γένει καὶ μέρει τῆς οἰκουμένης, περὶ τοῦ λόγου τῆς ἀληθείας, ἐξ οὗ καὶ τὸ σώζεσθαι περιγίνεται. Δεύτερον δὲ (καὶ γὰρ ὁμοίως ἀτελὴς ἄλογος πρᾶξις, καὶ λόγος ἄπρακτος), προσετίθει τῷ λόγῳ καὶ τὴν ἐκ τοῦ πράττειν ἐπικουρίαν· τοῖς μὲν ἐπιδημῶν, πρὸς δὲ τοὺς πρεσβεύων, τοὺς δὲ καλῶν (56), νουθετῶν, ἐλέγχων, ἐπιτιμῶν, ἀπειλῶν, ὀνειδίζων, προπολεμῶν ἐθνῶν, πόλεων, τῶν καθ' ἕκαστον, πᾶν εἶδος ἐπινοῶν σωτηρίας, πανταχόθεν ἰώμενος· ὁ Βεσελεὴλ ἐκεῖνος, ὁ τῆς θείας ἀρχιτέκτων σκηνῆς, πάσῃ πρὸς τὸ ἔργον ὕλῃ καὶ τέχνῃ χρώμενος, καὶ πάντα πλέκων εἰς κάλλους ἑνὸς περιουσίαν καὶ ἁρμονίαν.

A poterat, collegisset, et cum spiritu conclusisset, atque et omnes humanos sensus excitasset, et altissima quæque Scripturæ loca pervolvisset, piam doctrinam litteris consignat, adversariisque colluctationibus et præliis ingentem hæreticorum audaciam frangit ac propulsat; eos quidem, qui manus conferre ausi fuerant, armis linguæ cominus contundens; eos autem, qui procul ab eo dissiti erant, sagittis ex atramento confectis feriens, nihilo inferiore iis litteris, quæ in tabulis insculptæ sunt: nec uni tantum et exiguæ Judæorum nationi de cibis et potionibus, et caducis sacrificiis, carnisque purgationibus [20]; sed omnibus hominibus, atque omnibus orbis partibus, de veritatis doctrina, ex qua salus comparatur, leges statuente. Deinde,
B quoniam æque imperfecta res est, actio sermone destituta, et sermo ab actione remotus, idcirco actionis subsidium sermoni adjungebat, alios nimirum adiens, ad alios legationem mittens; alios accersens, admonens, arguens, increpans [21], minis insectans, probris incessens, pro gentibus, pro urbibus, pro singulis etiam hominibus certamen suscipiens, omne salutis genus excogitans, undecunque medicinam morbo adhibens; Beseleel ille, ille, inquam, divini fabricator tabernaculi [22], materiam omnem et artem ad opificium accommodans, **804** atque omnia contexens, ad eximiam quamdam unius operis pulchritudinem et concinnitatem.

ΜΔ'. Τί τἄλλα χρὴ λέγειν; Ἀλλ' ἧκεν αὖθις ἡμῖν (57) ὁ χριστομάχος βασιλεὺς, καὶ τῆς πίστεως τύραννος, μετὰ πλείονος τῆς ἀσεβείας καὶ θερμοτέρας τῆς παρατάξεως, ὡς πρὸς ἀνταγωνιστὴν ἰσχυρότερον ὄντος αὐτῷ τοῦ λόγου, κατὰ τὸ ἀκάθαρτον ἐκεῖνο πνεῦμα καὶ πονηρὸν, ὃ τοῦ ἀνθρώπου λυθὲν καὶ περιπλανηθὲν, πρὸς τὸν αὐτὸν ἀναστρέφει (58) μετὰ πλειόνων πνευμάτων εἰσοικισθησόμενον, ὥσπερ ἐν τοῖς Εὐαγγελίοις ἠκούσαμεν. Τούτου γίνεται μιμητὴς (59) ἐκεῖνος, ὁμοῦ τε τὴν προτέραν ἧτταν ἀνακαλεσόμενος, καὶ προσθήσων τι τοῖς πρώτοις (60) παλαίσμασι. Δεινὸν γὰρ εἶναι καὶ σχέτλιον (61), πολλῶν μὲν ἐθνῶν ἐπάρχοντα, πολλῆς δὲ δόξης ἠξιωμένον, πάντας δὲ τοὺς κύκλῳ καταστρεψάμενον τῷ κράτει τῆς ἀσεβείας, καὶ χειρωσάμενον πᾶν τὸ προστυχὸν, ἑνὸς ἀνδρὸς, καὶ μιᾶς πόλεως ἥττω (62) ὀφθῆναι, καὶ γέλωτα ὀφλεῖν, οὐ τοῖς ἄγουσι μόνον αὐτὸν προστάταις τῆς ἀθεΐας, ἀλλὰ καὶ πᾶσιν ἀνθρώποις, ὡς ὑπελάμβανε.

XLIV. Quid alia dicere necesse est? Verum enimvero Christi hostis imperator, et fidei tyrannus,
C cum majori impietate, ac ferventiori acie, utpote cum potentiori adversario rem habiturus, ad nos iterum venit, impuri ac pravi illius spiritus in modum, qui ex hominis corpore pulsus, diuque vagatus, ad eumdem rursus cum majori spirituum agmine habitaturus redit, quemadmodum in Evangelio habetur [23]. Hujus ille imitatorem se præbet, tum ut cladem prius acceptam sarciret, tum ut prioribus palæstris aliquid adderet. Indignum enim et miserum esse existimabat, cum multas gentes imperio teneret, magnamque gloriam consecutus esset, ac finitimos omnes impietatis robore atque potentia domuisset, ditionique suæ, quidquid obvium habuerat, subjecisset, ab uno homine, unaque civitate superari, nec solum impietatis patronis, a quibus
D ducebatur, sed etiam omnibus mortalibus, ut ipsius opinio ferebat, risui esse.

ΜΕ'. Τὸν μὲν δὴ Περσῶν βασιλέα φασὶν, ἐπειδή ποτε κατὰ τῆς Ἑλλάδος ἐστράτευε (63), πᾶν μὲν γένος ἀνθρώπων ἐπ' αὐτοὺς ἐλαύνων, παντὶ δὲ ζέων θυμῷ καὶ φρονήματι, οὐ ταύτῃ μόνον ἐπαίρεσθαι,

XLV. Persarum quidem regem narrant, cum infinitam quondam hominum cujusvis nationis multitudinem secum ducens, atque iracundia et audacia fervens, in Græciam expeditionem faceret, non eo

[20] Hebr. IX, 9. [21] II Tim. IV, 2. [22] Exod. XXXI, 2 sqq. [23] Luc. XI, 24 sqq.

(53) *Πᾶν δὲ τῶν Γραφῶν*, etc. « Cum omnem Scripturarum profunditatem scrutatus esset: cum altos omnes Scripturarum sensus decerpsisset. »
(54) *Ἀτιμοτέρου*. Reg. c et Comb., ἀτιμοτέροις.
(55) *Ἀλλὰ παντί*. Sic tres Regg., Or. 2 et Comb. In ed., ἀλλὰ καὶ παντί.
(56) *Καλῶν*. Pass., παρακαλῶν.
(57) *Αὖθις ἡμῖν*. Sic tres Regg. In ed., ἡμῖν αὖθις.
(58) *Ἀναστρέφει*. Reg. ph, ἀντεπιστρέφει.
(59) *Μιμητής*. « Imitator. » Sic omnes fere codd. In ed., μαθητής, « discipulus. » Pass. ad marg. habet: Οὐάλεντα λέγω· « Valentem dico. »
(60) *Πρώτοις*. Deest in Reg. ph. In aliis, προτέροις.
(61) *Σχέτλιον*. Schol. Reg. bm, χαλεπόν. « Perniciosum, grave, difficile. »
(62) *Ἧττω*. Sic legendum, vel ἥττονα, ut in Or. 2. In ed. et in nonnullis codd., ἥττων.
(63) *Ἐστράτευε*. Plures Regg. et Coisl. 2, ἐστράτευσε.

tantum nomine superbia elatum et in minis immodicum fuisse; sed, ut majorem illis terrorem incuteret, per ea etiam, quæ novo et inusitato modo adversus elementa designabat, formidabilem sese reddidisse. Nova quædam terra et novum mare audiebatur novi illius opificis, et exercitus in continenti navigans, ac rursum pedibus mare peragrans, abreptæ item insulæ, et mare verberibus cæsum, cæteraque omnia, quæ vesani exercitus ducisque haud dubium argumentum erant, ignavioribus quidem formidabilia, fortioribus autem ac firmiori animo præditis stulta et ridicula. Hic vero, nihil quidem ulla hujusmodi re opus habebat, cum bellum adversum nos compararet; verum, quod his pejus et perniciosius erat, hoc, et facere, et dicere ferebatur. Posuit in cœlum os suum, blasphemiam in excelsum loquens, et lingua ejus transivit in terra [24]. Pulchre enim David eum ante nos confixit; illum, inquam, qui cœlum in **805** terram inclinabat, ac in rerum creatarum numerum cogebat naturam mundo sublimiorem, quam ne capere quidem res ulla creata potest, tametsi, ob nostri amorem, aliquantisper nobiscum versata sit, ut nos humi jacentes ad seipsam attraheret.

καὶ ἄμετρον εἶναι ταῖς ἀπειλαῖς· ἀλλ' ὡς ἂν μᾶλλον αὐτοὺς καταπλήξειε, φοβερὸν ἑαυτὸν ποιεῖν, καὶ ταῖς κατὰ (64) τῶν στοιχείων καινοτομίαις. Γῆ τις ἠκούετο ξένη, καὶ θάλασσα τοῦ νέου δημιουργοῦ, καὶ στρατὸς ἤπειρον πλέων, καὶ πεζεύων πέλαγος, νῆσοί τε ἁρπαζόμεναι, καὶ θάλασσα μαστιζομένη, καὶ ὅσα τῆς ἐμπλήκτου σαφῶς ἦν στρατιᾶς καὶ στρατηγίας, κατάπληξις μὲν τοῖς ἀγεννεστέροις, γέλως δὲ τοῖς ἀνδρικωτέροις καὶ στεῤῥοτέροις τὸ φρόνημα. Ὁ δὲ τοιούτου μὲν οὐδενὸς ἐδεῖτο καθ' ἡμῶν στρατεύων· ὃ δὲ ἦν ἐκείνων χεῖρον καὶ βλαβερώτερον (65), τοῦτο (66) ποιῶν καὶ λέγων ἠκούετο. Ἔθετο εἰς οὐρανὸν τὸ στόμα αὐτοῦ, βλασφημίαν λαλῶν εἰς τὸ ὕψος, καὶ ἡ γλῶσσα αὐτοῦ διῆλθεν ἐπὶ τῆς γῆς. Καλῶς γὰρ αὐτὸν ὁ θεῖος Δαβὶδ πρὸ ἡμῶν ἐστηλίτευσε, τὸν οὐρανὸν εἰς γῆν κλίναντα (67), καὶ μετὰ τῆς κτίσεως ἀριθμοῦντα φύσιν τὴν ὑπερκόσμιον, ἣν οὐδὲ χωρεῖν ἡ κτίσις δύναται, κἂν μεθ' ἡμῶν τι (68) γένηται λόγῳ φιλανθρωπίας, ἵν' ἡμᾶς ἑλκύσῃ (69) πρὸς ἑαυτὴν χαμαὶ κειμένους.

XLVI. Porro cum illustria quidem prima illius facinora fuerint, tum vero illustriora fuere ea certamina, quæ postrema adversum nos habuit. Quænam autem prima dico? Exsilia, fugæ, bonorum proscriptiones, insidiæ, tam apertæ, quam obscuræ; sermonum illecebræ, ubi occasio se offerebat; vis, ubi verborum blanditiis locus non erat. Alii quidem ab Ecclesiis extrudebantur, qui scilicet fidem orthodoxam ac nostram profitebantur. Alii autem introducebantur, nempe qui pestiferam et exitialem imperatoris doctrinam tenebant, qui impietatis chirographa exigebant, qui his adhuc graviora scribebant. Presbyteri in medio mari combusti; impii belli duces, non Persas superantes, non Scythas in potestatem redigentes, non aliam quamdam barbaricam gentem debellantes; verum Ecclesiis bellum inferentes, in altaribus saltitantes, hominum et victimarum sanguine incruenta sacrificia contaminantes, ac virginum pudorem probro afficientes. Idque quam tandem ob causam? Nimirum, ut Jacob patriarcha expelleretur, ipsique Esau ille, ante

ΜϚʹ. Καὶ δὴ λαμπρὰ μὲν αὐτοῦ τὰ πρῶτα νεανιεύματα, λαμπρότερα δὲ τὰ τελευταῖα καθ' ἡμῶν ἀγωνίσματα. Τίνα δὴ λέγω τὰ πρῶτα (70); Ἐξορίαι, φυγαὶ, δημεύσεις, ἐπιβουλαὶ (71) φανεραί τε καὶ ἀφανεῖς· τὸ πείθειν, οὗ καιρὸς ἦν· τὸ βιάζεσθαι, τοῦ πείθειν οὐκ ὄντος. Οἱ μὲν ἐξωθούμενοι τῶν Ἐκκλησιῶν, ὅσοι τοῦ ὀρθοῦ λόγου καὶ τοῦ καθ ἡμᾶς· οἱ δὲ εἰσαγόμενοι, ὅσοι τῆς βασιλικῆς ἀπωλείας ἐτύγχανον, οἱ τὰ χειρόγραφα τῆς ἀσεβείας ἀπαιτοῦντες, οἱ γράφοντες τὰ τούτων ἔτι χαλεπώτερα. Πρεσβυτέρων ἐμπρησμοὶ (72) θαλάττιοι· στρατηγοὶ δυσσεβεῖς, οὐ Περσῶν κρατοῦντες, οὐ Σκύθας χειρούμενοι, οὐκ ἄλλο τι βαρβαρικὸν ἔθνος ἀνακαθαίροντες· ἀλλ' Ἐκκλησίαις ἐπιστρατεύοντες (73), καὶ θυσιαστηρίων (74) κατορχούμενοι, καὶ τὰς ἀναιμάκτους θυσίας ἀνθρώπων καὶ θυσιῶν αἵμασι χραίνοντες, καὶ παρθένων αἰδῶ καθυβρίζοντες. Ἵνα τί γένηται; Ἵν' ἐξωσθῇ μὲν Ἰακὼβ (75) ὁ πατριάρχης, ἀντεισαχθῇ δὲ Ἡσαῦ, ὁ μεμισημένος καὶ πρὸ γενέσεως. Ταῦτα τῶν πρώτων αὐτοῦ νεανιευμάτων τὰ διηγήματα, ἃ καὶ μέχρι τοῦ νῦν κινεῖ

[24] Psal. LXXII, 9.

(64) *Κατά*. Deest in Pass.
(65) *Βλαβερώτερον*. Reg. c, Or. 2 et Comb., βλαβερώτατον.
(66) *Τοῦτο*. Regg. c, d, addunt καί.
(67) *Κλίναντα*. Regg. bm, ph et Pass., κλίνοντα.
(68) *Κἂν μεθ' ἡμῶν τι*, etc. « Tametsi se nobis inclinaverit; nobiscum commercium habuerit, » nostram scilicet naturam assumens. Deest τι in nonnullis.
(69) *Ἑλκύσῃ*. Or. 2, ἕλκῃ.
(70) *Τίνα δὴ λέγω τὰ πρῶτα;* Hæc desunt in Reg. ph.
(71) *Ἐπιβουλαί*. Deest in Regg. a, d, bm, ph.
(72) *Ἐμπρησμοί*, etc. Alludit ad octoginta presbyteros, qui Nicomediam ad Valentem missi fuerant, quique navibus incensis impositi, morte crudelissima interierunt. Bill. « Marinæ presbyterorum exustiones. »
(73) *Ἐκκλησίαις ἐπιστρατεύοντες*. Pass., Ἐκκλησίας ἀνακαθαίροντες. Sebastianus, Manichæus dux exercitus, accensa Alexandriæ pyra, ad ignem denudatas virgines admotas compellebat, ut se Arianas dicerent. Deinde quadraginta viros acerbissime cruciavit. Ad hanc crudelitatem accessit sacrilega adolescentis cujusdam petulantia, qui altare conscendens, in eo saltavit.
(74) *Καὶ θυσιαστηρίων*, etc. « Altaribus insultantes: in eorum contumeliam et opprobrium saltantes. » Budæus, « tripudiis dehonestantes. »
(75) *Ἰακώβ*, etc. Per « Jacob, Athanasium » intelligit. Per « Esau, Georgium, » qui, ejecto Athanasio, in ejus locum subrogatus fuerat.

τοῖς πολλοῖς δάκρυον (76) εἰς μνήμην ἰόντα καὶ ἀκουόμενα.

ΜΖ'. Ἐπεὶ δὲ πάντα διεξελθὼν, ἐπὶ τὴν ἄσειστον καὶ ἀνεπηρέαστον τήνδε τῶν Ἐκκλησιῶν μητέρα, ὡς δουλωσόμενος, ὥρμησε, καὶ τὸν λειπόμενον ἔτι μόνον (77) ζωτικὸν σπινθῆρα τῆς ἀληθείας· τότε πρῶτον ᾔσθετο κακῶς βουλευσάμενος. Ὡς γὰρ βέλος ἰσχυροτέρῳ προσπεσὸν, ἀπεκρούσθη (78), καὶ ὡς καλῶς ῥαγεὶς, ὑπεχώρησε. Τοιούτῳ τῷ προστάτῃ τῆς Ἐκκλησίας ἐνέτυχε, καὶ τοσούτῳ προβόλῳ περιῤῥαγεὶς διελύθη. Τὰ μὲν οὖν ἄλλα λεγόντων τε καὶ ἱστορούντων, τῶν τότε πεπειραμένων, ἔστιν ἀκούειν· ἱστορεῖ δὲ οὐδεὶς, ὅστις οὐ τῶν ἁπάντων. Ἀλλὰ τοσοῦτοι θαυμάζουσιν, ὅσοι τοὺς τότε ἀγῶνας γνωρίζουσι, τὰς προσβολὰς, τὰς ὑποσχέσεις, τὰς ἀπειλὰς, τοὺς ἐκ τοῦ δικαστικοῦ τάγματος προσπεμπομένους (79) αὐτῷ, καὶ πείθειν ἐπιχειροῦντας, τοὺς ἐκ τοῦ στρατιωτικοῦ, τοὺς ἐκ τῆς (80) γυναικωνίτιδος, τοὺς ἐν γυναιξὶν ἄνδρας, καὶ ἐν ἀνδράσι γυναῖκας, τοὺς τοῦτο μόνον ἀνδρικοὺς τὴν ἀσέβειαν· οἳ τὸ φυσικῶς ἀσελγαίνειν οὐκ ἔχοντες, ᾧ δύνανται (81) μόνον, τῇ γλώσσῃ πορνεύουσι (82)· τὸν ἀρχιμάγειρον Ναβουζαρδὰν (83), τὰς ἐκ τῆς τέχνης μαχαίρας ἐπαπειλοῦντα, καὶ τῷ οἰκείῳ πυρὶ πεμπόμενον. Ὃ δὲ μάλιστά μοι τῶν ἐκείνου θαυμάσιον, καὶ οὐδὲ βουλομένῳ παρελθεῖν δυνατόν, τοῦτο δώσω τῷ λόγῳ συνελὼν ὅσον ἐνδέχεται.

ΜΗ'. Τίς οὐκ οἶδε τὸν τηνικαῦτα ὕπαρχον (84), πολλῷ μὲν τῷ οἰκείῳ θράσει καθ' ἡμῶν μάλιστα χρώμενον (ἐπειδὴ καὶ παρ' ἐκείνων ἦν τῷ βαπτίσματι τελεσθεὶς, ἢ συντελεσθεὶς (85)), πλείω δὲ τῶν ἀναγκαίων ὑπηρετοῦντα τῷ ἐπιτάττοντι, καὶ διὰ τοῦ πάντα χαρίζεσθαι, τὸ κράτος ἑαυτῷ συντηροῦντα καὶ φυλάττοντα χρονιώτερον; Τούτῳ βρέμοντι κατὰ τῆς Ἐκκλησίας, καὶ λεόντειον μὲν τὸ εἶδος προβεβλημένῳ, λεόντειον (86) δὲ βρυχωμένῳ, καὶ μηδὲ προσιτὸν (87) τοῖς πλείοσιν (88), ὁ γεννάδας ἐκεῖνος εἰσάγεται· μᾶλλον δὲ, εἴσεισιν, ὥσπερ εἰς ἑορτὴν, οὐκ εἰς κρίσιν καλούμενος. Πῶς ἂν ἀξίως διηγησάμην, ἢ τὴν τοῦ ὑπάρχου θρασύτητα, ἢ τὴν τοῦ ἀνδρὸς πρὸς αὐτὸν μετὰ συνέσεως ἔνστασιν; *Τί σοι*, φησὶν, *ὦ οὗτος* (89), *βούλεται*, τοὔνομα προσει-

A etiam, quam in lucem prodiisset, odio habitus[23], subrogaretur. Habetis primorum ipsius facinorum historiam, quorum ipsa quoque commemoratio et auditio multis etiamnum lacrymas movet.

XLVII. Ut vero peragratis omnibus oppidis, ad hanc firmam et inoffensam Ecclesiarum matrem se contulit ut eam in potestatem redigeret, ac vitalem illum veritatis igniculum, qui solus supererat, exstingueret; tum primum se malum consilium iniisse sensit. Nam, ut sagitta in durius ac solidius corpus incidens, repulsus est, et rudentis instar effractus, cessit. In talem Ecclesiæ antistitem incidit: in tantum scopulum impactus sese infregit ac dissolvit. Atque alia quidem ex eorum, **806** qui tunc periculum fecerunt, sermone ac commemoratione acci- B pere licet; nemo autem est, qui non hæc memoriæ prodat. Verum ii demum admiratione afficiuntur, quibus cognita sunt temporis illius certamina, insultus, pollicitationes, minæ; illi ex judicum classe, qui ad eum mittebantur, eumque flectere ac permovere conabantur; illi ex militari ordine; illi ex gynæceo; illi inter feminas viri, et inter viros feminæ, nec virile quidquam præter impietatem habentes; qui cum naturali modo libidini operam dare nequeant, quod unum possunt, lingua scortantur; ille denique Nabuzardan, coquorum præfectus, artis suæ gladios minitans, atque ad ignem sibi congruentem transmissus. Ego vero id, quod ex omnibus ejus laudibus summe admiror, et quod, ne si cupiam C quidem, præterire queam, breviter, quoad ejus fieri poterit, exponam.

XLVIII. Ecqui tandem incognitus ille est, qui tunc apud nos præfecti munere fungebatur, tum suapte audacia adversus nos præsertim inflammatus (nam ab illis quoque baptismatis aqua tinctus, vel potius, submersus fuerat); tum etiam amplius, quam necesse esset, imperatori subserviens, atque ex eo quod illi omnibus in rebus obsequeretur, diuturnius imperium sibi conservans? Ad hunc, adversus Ecclesiam frementem, leonisque speciem præ se ferentem, ac leonis more rugientem, atque ejusmodi, ut a multis ne adiri quidem posset, vir fortis adducitur; imo vero, ingreditur, perinde ac si non ad judicium, sed ad festum vocaretur. Quonam D autem modo, vel præfecti audaciam, vel Basilii virtutem et sapientiam, eam, inquam, qua ei restitit,

[23] Rom. IX, 11.

(76) *Δάκρυον*. Reg. ph, δάκρυα.
(77) *Μόνον*. Deest in Reg. c et Pass.
(78) *Ἀπεκρούσθη*. In quibusdam, διελύθη. In aliis, διεῤῥάγη, et διεχύθη.
(79) *Προσπεμπομένους*. Comb. et Pass., προπεμπομένους, « quos Valens præmittebat. »
(80) *Τοὺς ἐκ τῆς*. Sic tres Regg., Pass. et Comb. In ed., τοὺς ἐκ τοῦ.
(81) *Ὧ δύνανται*. Duo Regg. et Comb., ὃ δύνανται.
(82) *Γλώσσῃ πορνεύουσι*. Prævaricatio in Deum quoddam fornicationis genus est. Unde David psal. CV, 39, « Fornicati sunt in adinventionibus suis. » Hic autem Gregorius aulicos, qui fere omnes Ariana hæresi infecti erant, « Spadones » vocat.
(83) *Ναβουζαρδάν*. Intelligit « Demosthenem, » quem Valens ad Basilium præmiserat, quemadmodum Nabuchodonosor misit Nabuzardan Jerusalem, ut civitatem incenderet.
(84) *Ὕπαρχον*. Modestus is erat præfectus.
(85) *Παρ' ἐκείνων... συντελεσθείς*. Coisl. 2, παρ' ἐκείνῳ. Hic, juxta Nicetam, συντελεσθῆναι, idem est quod καταποντισθῆναι, « submergi. » Bill. « Ab illis... confectus fuerat. »
(86) *Λεόντειον*. In quibusdam, λεονταῖον.
(87) *Προσιτόν*. Or. 2, προσιτῷ.
(88) *Τοῖς πλείοσιν*. Sic codd. Deest τοῖς in ed.
(89) *Σοι... ὦ οὗτος*. Sic codd. Prave in ed., σοι... ᾧ οὗτος.

satis digna oratione complectar? *Quæ tua est,* inquit, *ratio, heus tu,* nomine illum compellans (nondum enim eum episcopum vocare dignabatur); *ut tanto imperatori obsistere audeas, solusque omnium contumaciter te geras? Quorsum,* respondit Basilius, *hæc oratio spectat, et quænam hæc contumacia et arrogantia? Nondum enim id satis intelligo. Quoniam,* inquit ille, *imperatoris religionem minime colis, omnibus aliis jam inclinatis ac superatis. Non enim,* inquit Basilius, *hæc vult imperator meus, nec rem ullam creatam adorare sustineo,* **307** *cum et ipse a Deo creatus sim, et deus esse jubear. Nos vero,* inquit ille, *quid tandem tibi videmur? Nihilne sumus qui hæc jubemus? Quid igitur? Non magnum et honorificum existimas ad nostras partes adjungi, sociosque nos habere?* Ad hæc Basilius : *Vos quidem præfecti estis, et quidem illustres, non inficias eo; minime tamen Deo præstantiores. Socios autem vos habere mihi quidem amplum et honorificum fuerit (quidni enim? ipsi quoque Dei creaturæ estis); sed ut alios quosdam ex his, qui nobis subjecti sunt. Non enim personarum dignitate, sed fide Christianismus insignitur.*

A πῶν (οὔπω γὰρ ἐπίσκοπον ἠξίου καλεῖν), τὸ κατὰ τοσούτου κράτους τολμᾷν, καὶ μόνον τῶν ἄλλων ἀπαυθαδιάζεσθαι; Τοῦ χάριν, ὁ γεννάδας φησὶ, καὶ τίς ἡ ἀπόνοια; Οὔπω γὰρ ἔχω γινώσκειν. Ὅτι μὴ τὰ βασιλέως θρησκεύεις, φησὶ, τῶν ἄλλων ἁπάντων ὑποκλιθέντων καὶ ἡττημένων. Οὐ γὰρ ταῦτα, ἔφη, βασιλεὺς ὁ ἐμὸς βούλεται· οὐδὲ κτίσμα τι προσκυνεῖν ἀνέχομαι, Θεοῦ τε κτίσμα τυγχάνων, καὶ θεὸς εἶναι κεκελευσμένος. Ἡμεῖς δὲ τί σοι δοκοῦμεν; Ἢ οὐδὲν (90), ἔφη, ταῦτα προστάττοντες; Τί δαί; οὐ μέγα σοι τὸ μεθ' ἡμῶν τετάχθαι, καὶ κοινωνοὺς ἔχειν ἡμᾶς; Ὕπαρχοι μὲν, φησὶν, ὑμεῖς, καὶ τῶν ἐπιφανῶν, οὐκ ἀρνήσομαι· οὔπω δὲ Θεοῦ τιμιώτεροι. Καὶ τὸ κοινωνοὺς ἔχειν, μέγα μὲν (πῶς γὰρ οὔ; πλάσμα B Θεοῦ καὶ ὑμεῖς), ἀλλ' ὡσεὶ τινας ἄλλους τῶν ὑφ' ἡμῖν (91) τεταγμένων. Οὐ γὰρ προσώποις τὸν Χριστιανισμὸν, ἀλλὰ πίστει χαρακτηρίζεσθαι.

XLIX. Hac oratione commotus præfectus, ac majori ira succensus, de subsellio surrexit, atque asperioribus verbis cum eo agere perrexit. *Quid? Potestatem hanc non pertimescis? Cur vero pertimescerem,* inquit Basilius? *Quid fiet? Quid patiar? Quid patieris,* intulit ille? *Unum e tam multis, quæ meæ sunt potestatis. Quænam hæc,* subjungit Basilius? *Fac enim intelligamus. Bonorum,* inquit ille, *proscriptionem, exsilium, cruciatus, mortem.* Tum Basilius : *Si quid aliud habes, id nobis minitare. Horum enim, quæ adhuc commemorasti, nihil nos attingit. Quonam modo,* inquit ille? *Quoniam,* inquit Basilius, *bonorum proscriptioni obnoxius non est, qui nihil habet; nisi forte laceris et detritis hisce pannis indiges ac paucis libellis, in quibus omnes mihi facultates et copiæ sunt. Exsilium autem haud cognosco, qui nullo loco circumscriptus sum; ac neque terram hanc, quam nunc incolo, meam habeo, et eam omnem, in quam projectus fuero, pro mea duco; imo, ut rectius loquar, universam terram Dei esse scio, cujus advena ego sum et peregrinus. Jam tormenta quid accipere queant, cum corpus desit, nisi forte primam plagam dixeris? Hujus enim solius penes te arbitrium et potestas est. Mors porro beneficii mihi loco erit; citius enim me ad Deum transmittet, cui vivo et servio, maximaque ex parte mortem obii, et ad quem jampridem propero.*

ΜΘ'. Τότε δὴ κινηθέντα τὸν ὕπαρχον, ζέσαι τε πλέον τῷ θυμῷ, καὶ τῆς καθέδρας ἐξαναστῆναι, καὶ τραχυτέροις πρὸς αὐτὸν χρήσασθαι λόγοις. *Τί δαί; οὐ φοβῇ τὴν ἐξουσίαν,* φησίν; *Μὴ τί γένηται; μὴ δὲ τί πάθω; Μή τί; Τῶν πολλῶν ἓν, ἃ τῆς* (92) *ἐμῆς δυναστείας ἐστίν. Τίνα ταῦτα; γνωριζέσθω γὰρ ἡμῖν. Δήμευσιν, ἐξορίαν, βασάνους, θάνατον. Εἴ τι ἄλλο,* φησὶν, *ἀπείλει· τούτων γὰρ οὐ-* C *δὲν ἡμῶν ἅπτεται.* Καὶ τὸν εἰπεῖν· *Πῶς καὶ τίνα τρόπον; Ὅτι τοι,* ἔφη, *δημεύσει μὲν οὐχ ἁλωτὸς, ὁ μηδὲν ἔχων, πλὴν εἰ τούτων χρήσεις* (93) *τῶν τρυχίνων μου ῥακίων, καὶ βιβλίων ὀλίγων, ἐν οἷς ὁ πᾶς ἐμοὶ βίος. Ἐξορίαν δὲ οὐ γινώσκω, ὁ μηδενὶ τόπῳ περίγραπτος, καὶ μήτε ταύτην ἔχων ἐμὴν, ἣν οἰκῶ νῦν, καὶ πᾶσαν ἐμὴν, εἰς ἣν ἂν ῥιφῶ· μᾶλλον δὲ, τοῦ Θεοῦ* (94) *πᾶσαν, οὗ πάροικος ἐγὼ καὶ παρεπίδημος. Αἱ βάσανοι δὲ, τί ἂν λάβοιεν, οὐκ ὄντος σώματος, πλὴν εἰ τὴν πρώτην λέγοις πληγήν; Ταύτης γὰρ σὺ μόνης* (95) *κύριος. Ὁ δὲ θάνατος εὐεργέτης. Καὶ γὰρ θᾶττον πέμψει με πρὸς Θεὸν, ᾧ ζῶ, καὶ πολιτεύομαι* (96), *καὶ τῷ πλείστῳ* (97), *τέθνηκα, καὶ πρὸς ὃν ἐπείγομαι πόῤῥωθεν.*

L. Quo sermone obstupefactus præfectus : *Nemo,* inquit, *me* (nomenque suum adjungit), *ad hunc usque diem, ita, nec pari verborum libertate, est allocutus. Neque enim,* ait Basilius, *fortasse in epi-*

D Ν'. Τούτοις καταπλαγέντα τὸν ὕπαρχον, *Οὐδεὶς,* φάναι, *μέχρι τοῦ νῦν οὕτως ἐμοὶ διείλεκται, καὶ μετὰ τοσαύτης τῆς παῤῥησίας,* τὸ ἑαυτοῦ (98) προσθεὶς ὄνομα. *Οὐδὲ γὰρ ἐπισκόπῳ ἴσως,* φη-

(90) *Ἢ οὐδέν,* etc. Bill. « nihil sane, inquit Basilius, dum hæc jubetis. » Sed perperam hæc verba Basilio tribuit. Codices bm et pl indicant hæc verba esse præfecti. Ad illorum enim codicum oram legitur : « loquente præfecto : Nihilne, » etc.

(91) *Ὑφ' ἡμῖν.* Coisl. 1, Par., Jes., ὑφ' ὑμῶν. Pass., ὑφ' ὑμῖν. « qui vobis subjecti sunt. »

(92) *Μή τί; Τῶν πολλῶν ἓν ἃ τῆς,* etc. Reg. Cypr., Μήτι τῶν πολλῶν ἓν κάμψῃ σε, ἃ τῆς, etc. Quam lectionem probat Combefisius, et vertit : « Ne unum e multis, quæ meæ sunt potestatis, frangat te, et de sententia dimoveat. »

(93) *Χρήσεις.* Par., χρήζεις.

(94) *Τοῦ Θεοῦ.* Sic sex Regg. et Or. 2. In ed. deest, τοῦ.

(95) *Μόνης.* Pass., μόνος.

(96) *Καὶ πολιτεύομαι.* Pass. καὶ ᾧ πολίτευμαι.

(97) *Πλείστῳ.* Chrys. et Pass. addunt, μέρει.

(98) *Τὸ ἑαυτοῦ.* « Suum. » Reg. c, τὸ αὐτοῦ, « illius, » nempe, « Basilii. »

σὶν (99), ἐνέτυχες· ἢ πάντως ἂν τοῦτον διειλέχθη τὸν τρόπον, ὑπὲρ τοιούτων ἀγωνιζόμενος. Τἄλλα μὲν γὰρ ἐπιεικεῖς ἡμεῖς, ὕπαρχε, καὶ παντὸς ἄλλου ταπεινότεροι, τοῦτο τῆς ἐντολῆς κελευούσης· καὶ μὴ ὅτι τοσούτῳ κράτει, ἀλλὰ μηδὲ τῶν τυχόντων ἐνὶ (1) τὴν ὀφρὺν αἴροντες. Οὗ δὲ Θεὸς τὸ κινδυνευόμενον καὶ προκείμενον, τἄλλα περιφρονοῦντες, πρὸς αὐτὸν (2) μόνον βλέπομεν. Πῦρ δὲ, καὶ ξίφος, καὶ θῆρες, καὶ οἱ τὰς σάρκας τέμνοντες ὄνυχες, τρυφὴ μᾶλλον ἡμῖν εἰσιν, ἢ κατάπληξις. Πρὸς ταῦτα ὕβριζε, ἀπείλει, ποίει πᾶν ὅ τι οὖν ἂν ᾖ (3) βουλομένῳ σοι, τῆς ἐξουσίας ἀπόλαυε. Ἀκουέτω ταῦτα καὶ βασιλεύς· ὡς ἡμᾶς γε οὐχ αἱρήσεις, οὐδὲ πείσεις, συνθέσθαι τῇ ἀσεβείᾳ, κἂν ἀπειλῇς χαλεπώτερα.

A *scopum incidisti. Alioqui hoc prorsus modo disseruisset, pro hujusmodi rebus in certamen veniens. Nam cæteris quidem in rebus, o præfecte, mansueti et placidi sumus, atque* **808** *omnium abjectissimi, quemadmodum hoc nobis lege præscriptum est; ac non dicam adversus tantum imperatorem, sed ne adversus plebeium quidem quemquam et infimi ordinis hominem supercilium attollimus. Verum ubi Deus nobis periclitatur, ac proponitur, tum demum alia omnia pro nihilo putantes, ipsum solum intuemur. Ignis autem, et gladius, et bestiæ, et ungulæ carnem lacerantes, voluptati nobis ac deliciis potius sunt, quam terrori. Proinde contumeliis nos affice, comminare, fac igitur quidquid collibuerit, potestate tua fruere. Audiat hæc etiam imperator;* B *nequaquam profecto nos vinces, nec efficies, ut impiæ doctrinæ assentiamur, ne si his quidem atrociora miniteris.*

ΝΑʹ. Ἐπειδὴ (4) ταῦτα εἰπεῖν καὶ ἀκοῦσαι τὸν ὕπαρχον, καὶ τὴν ἔνστασιν μαθεῖν τοῦ ἀνδρὸς, οὕτως ἀκατάπληκτον καὶ ἀήττητον, τὸν μὲν ἔξω πέμψαι καὶ μεταστήσασθαι, οὐκ ἔτι μετὰ τῆς αὐτῆς ἀπειλῆς, ἀλλά τινος αἰδοῦς καὶ ὑποχωρήσεως. Αὐτὸν δὲ τῷ βασιλεῖ προσελθόντα, ὡς εἶχε τάχους, *Ἡττήμεθα, βασιλεῦ*, εἰπεῖν, *τοῦ τῆσδε προβεβλημένου τῆς Ἐκκλησίας. Κρείττων ἀπειλῶν ὁ ἀνὴρ, λόγων στεῤῥότερος, πειθοῦς ἰσχυρότερος. Ἄλλον δεῖ τινα πειρᾷν τῶν ἀγενεστέρων* (5)· *τοῦτον δὲ, ἢ βιάζεσθαι φανερῶς, ἢ μὴ προσδοκᾷν εἴξειν ταῖς ἀπειλαῖς.* Ἐφ' οἷς, ἑαυτοῦ καταγνόντα τὸν βασιλέα, καὶ τῶν ἐγκωμίων τοῦ ἀνδρὸς ἡττηθέντα (θαυμάζει γὰρ ἀνδρὸς ἀρετὴν καὶ πολέμιος), μήτε βιάζεσθαι κελεῦσαι· καὶ ταυτὸν τῷ σιδήρῳ παθεῖν, ὃς μαλάσσεται μὲν τῷ πυρὶ, μένει δὲ ὅμως σίδηρος· καὶ τρέψαντα εἰς θαῦμα τὴν ἀπειλὴν, τὴν μὲν κοινωνίαν (6) οὐ δέξασθαι, τὴν μετάθεσιν αἰσχυνόμενον, ζητεῖν δὲ ἀπολογίαν, ἥτις εὐπρεπεστάτη· δηλώσει δὲ καὶ ταύτην ὁ λόγος.

LI. Hæc postquam præfectus dixit, atque audiit, ipsiusque contentionem animi eam esse cognovit, ut nulla vis eum perterrefacere ac superare posset, ipsum quidem foras misit, atque ablegavit, non jam cum iisdem minis, sed cum quadam reverentia et summissione. Ipse autem, quam celerrime potuit, imperatorem adiens : *Imperator*, inquit, *ab hujus Ecclesiæ antistite victi sumus. Minis superior est, sermonibus firmior, verborum blanditiis fortior. Ignaviorum alius quispiam tentandus est; huic autem, aut vis aperte inferenda, aut non exspectandum, ut minis cedat.* Qua de causa, factum suum improbans C imperator, Basiliique laudibus victus (virtus enim hosti quoque admirationi est), vim ipsi adhiberi vetuit : idemque ipsi accidit, quod ferro solet, quod quamvis igni emolliatur, ferri tamen naturam retinet; minisque in admirationem conversis, illius quidem societatem haudquaquam amplexus est, quod mutationem erubesceret, cæterum rationem quæsivit, qua honestissime ipsi satisfaceret, quam etiam oratio declarabit.

ΝΒʹ. Εἰς γὰρ τὸ ἱερὸν εἰσελθὼν μετὰ πάσης τῆς περὶ αὐτὸν δορυφορίας (ἦν δὲ ἡμέρα τῶν Ἐπιφανίων, καὶ ἀθροίσιμος [7]), καὶ τοῦ λαοῦ μέρος γενόμενος, οὕτως ἀφοσιοῦται τὴν ἕνωσιν. Ἄξιον δὲ μηδὲ τοῦτο παραδραμεῖν. Ἐπειδὴ γὰρ ἔνδον ἐγένετο, καὶ τὴν ἀκοὴν προσβαλούσῃ τῇ ψαλμῳδίᾳ κατεβροντήθη, τοῦ τε λαοῦ τὸ πέλαγος εἶδε, καὶ πᾶσαν τὴν εὐκοσμίαν, ὅση τε περὶ τὸ βῆμα (8), καὶ ὅση πλησίον, ἀγγελικὴν μᾶλλον ἢ ἀνθρωπίνην· τὸν μὲν τοῦ λαοῦ προτεταγμένον (9) ὄρθιον, οἷον τὸν Σαμουὴλ ὁ λόγος γράφει, ἀκλινῆ καὶ τὸ σῶμα, καὶ τὴν ὄψιν, καὶ τὴν διάνοιαν, ὥσπερ οὐδενὸς καινοῦ γεγονότος,

LII. Etenim, cum in templum, universa satellitum manu stipatus, ingressus fuisset (erat autem Epiphaniæ dies, cœtusque amplissimus), ac inter laicos locum habuisset, ita se gessit, ut ipsius communionis quodammodo particeps esse videretur. At ne id D quidem prætermittendum est. Postquam enim intus fuit, atque ipsius aures psalmorum cantu, non secus ac tonitruo quodam personuerunt, plebisque pelagus vidit, omnemque ordinem et concinnitatem, quæ tam in sacrario, **809** quam prope sacrarium erat, angelicam potius quam humanam; atque ipsum quidem ante populum recto corpore

(99) *Ἴσως, φησίν.* Sic codd. In ed., φησὶν ἴσως.
(1) *Ἐνί.* In nonnullis, τινί.
(2) *Πρὸς αὐτόν.* Sic codd. In ed., πρὸς ἑαυτόν.
(3) *Ποίει πᾶν ὅ τι οὖν ἂν ᾖ.* Sic Regg. a, bm, ph. Or. 2 et Pass. In ed., ποίει πᾶν ὅ τι ἂν ᾖ.
(4) *Ἐπειδή.* Reg. c, ἐπεὶ δέ.
(5) *Ἀγενεστέρων.* Quatuor Regg., ἀγεννεστέρων.
(6) *Κοινωνίαν.* « Communionem, fidei societatem. »
(7) *Ἀθροίσιμος.* Reg. bu et Coisl. 1, ἀθροίσμος.
(8) *Ὅση τε περὶ τὸ βῆμα.* Sic codd. Comb. addit, τέτακτο, vel, τέτακται. « Tam in sacrario, quam prope clerum et monachos. » Prave in Par. ed., ὅση τε περὶ τὸ βόημα.
(9) *Προτεταγμένον.* Sic quatuor Regg., duo Coisl. et plures Colb. In ed., προτεταμένον.

stantem, qualem Scriptura Samuelem describit [26], A nec corpore, nec oculis, nec animo, perinde ac si nihil novi contigisset, ullam in partem se moventem, sed, in cippi modum, ut ita dicam, Deo et altari affixum; eos autem, a quibus cingebatur, cum timore quodam ac reverentia stantes: hæc, inquam, simul atque perspexit (nec enim simile quidquam unquam viderat), humanum quiddam passus est, ejusque oculi et anima vertigine ac tenebris præ timore replentur. Atque id plerisque adhuc obscurum erat et incognitum. Verum cum dona, quorum ipsemet opifex erat, divinæ mensæ offerenda essent, nec quisquam, ut mos ferebat, simul ea caperet, utpote incertum, an ea Basilius accepturus esset, tum manifeste se affectus prodidit. Ita enim titubare cœpit, ut nisi quispiam ex sacrarii ministris vacillantem supposita manu retinuisset, misere utique et luctuose prolapsurus fuerit. Atque hæc ita.

LIII. Jam vero quæ ad ipsum imperatorem, et B quanta cum sapientia prolocutus est (cum quidem ille, nescio quo pacto, rursus nobiscum in ecclesiam se contulisset, et intra velum exstitisset, atque in illius conspectum colloquiumque, quod jampridem expetebat, venisset); quidnam aliud dicendum est, nisi Dei voces eas fuisse, quas, et qui cum imperatore erant, et nos, qui simul ingressi fueramus, audivimus? Hæc est imperatoriæ erga nos humanitatis origo, ac prima rerum in meliorem statum compositio; hæc occasio maximam impressionis illius, qua tum vexabamur, partem, non secus ac fluctus quosdam, fregit ac dissolvit.

LIV. Sequitur alia narratio, superioribus haudquaquam inferior. Vincebant improbi, atque adversus Basilium exsilium decernitur; nec quidquam C eorum, quæ ad eam rem attinebant, desiderabatur. Nox aderat, in promptu currus, in plausu hostes, in luctu pii, nos parati atque alacris viatoris latus cingebamus; nihil denique, quod ad præclaram ignominiam spectaret, requirebatur. Sed quid accidit? Exsilii decretum Deus rescindit. Nam qui Ægypti, adversus Israelitas sævientis, primogenitos **310** percusserat [27], idem imperatoris quoque filium morbi plaga afficit. Et quidem qua celeritate! Illinc exsilii tabulæ, hinc morbi decretum; ac scelerati scriptoris manus inhibetur, et sanctus periculo liberatur, fitque vir pius febris donum, qua imperatoris audacia coercetur. Quid hoc Dei judicio, vel æquius, vel celerius excogitari potest? Deinde imperatoris filius ægrotabat, afflictoque cor- D

ἀλλ' (10) ἐστηλωμένον, ἵν' οὕτως εἴπω, Θεῷ καὶ τῷ βήματι· τοὺς δὲ περὶ αὐτὸν ἑστηκότας ἐν φόβῳ τινὶ καὶ σεβάσματι· ἐπειδὴ ταῦτα εἶδε, καὶ πρὸς οὐδὲν παράδειγμα ἠδύνατο (11) θεωρεῖν τὰ ὁρώμενα, ἔπαθέ τι ἀνθρώπινον, σκότου καὶ δίνης πληροῦται τὴν ὄψιν καὶ τὴν ψυχὴν ἐκ τοῦ θάμβους. Καὶ τοῦτο ἦν τοῖς πολλοῖς ἄδηλον ἔτι. Ἐπεὶ δὲ τὰ δῶρα (12) τῇ θείᾳ τραπέζῃ προσενεγκεῖν ἔδει, ὧν αὐτουργὸς ἦν, συνεπελάβετο δ' οὐδεὶς, ὥσπερ ἦν ἔθος, ἄδηλον ὂν, εἰ προσήσεται (13), τηνικαῦτα τὸ πάθος γνωρίζεται. Περιτρέπει (14) γὰρ, καὶ εἰ μή τις τῶν ἐκ τοῦ βήματος ὑποσχὼν τὴν χεῖρα, τὴν περιτροπὴν ἔστησε, κἂν κατηνέχθη πτῶμα δακρύων ἄξιον. Εἶεν (15).

ΝΓ'. Ἃ δὲ αὐτῷ διείλεκται τῷ βασιλεῖ, καὶ μεθ' ὅσης τῆς φιλοσοφίας (ἐπειδή γε αὖθις τρόπον τινὰ συνεκκλησιάσας ἡμῖν, εἴσω τοῦ παραπετάσματος ἑαυτὸν (16) ἐποιήσατο, εἴς τε ὄψιν ἦλθε καὶ λόγους, ποθῶν ἐκ πλείονος), τί χρὴ καὶ λέγειν (17), τί δ' ἄλλο γε, ἢ Θεοῦ φωνὰς, αἳ τοῖς περὶ τὸν βασιλέα, καὶ ἡμῖν τοῖς συνεισελθοῦσιν (18), ἠκούσθησαν; Αὕτη γίνεται τῆς τοῦ βασιλέως περὶ ἡμᾶς φιλανθρωπίας ἀρχὴ, καὶ κατάστασις πρώτη (19)· τοῦτο τὸ λῆμμα (20) τῆς τότε διοχλούσης ἐπηρείας τὸ πλεῖστον, ὥσπερ τι ῥεῦμα, διέλυσεν.

ΝΔ'. Ἕτερον δὲ τῶν εἰρημένων οὐκ ἔλαττον. Ἐνίκων οἱ πονηροὶ, καὶ κυροῦται κατὰ τοῦ ἀνδρὸς ἐξορία· καὶ οὐδὲν ἀπῆν τῶν εἰς τοῦτο φερόντων. Ἡ νὺξ παρῆν, ὁ δίφρος εὐτρεπὴς, οἱ μισοῦντες ἐν κρότοις, ἐν ἀθυμίᾳ τὸ εὐσεβὲς, περὶ τὸν πρόθυμον ὁδοιπόρον ἡμεῖς, τἄλλα ὅσα τῆς καλῆς ἀτιμίας πάντα πεπλήρωται (21). Τί οὖν; Λύει ταύτην Θεός. Ὁ γὰρ πατάξας Αἰγύπτου τὰ πρωτότοκα, τραχυνομένης κατὰ τοῦ Ἰσραὴλ, οὗτος καὶ τὸν παῖδα τοῦ βασιλέως θραύει νόσου πληγῇ· καὶ τὸ τάχος ὅσον! Ἐκεῖθεν τὸ γράμμα τῆς ἐξορίας, ἐντεῦθεν τὸ δόγμα τῆς ἀῤῥωστίας· καὶ ἡ χεὶρ ἐπέχεται τοῦ πονηροῦ γραφέως, καὶ ὁ ἅγιος ἀνασώζεται, καὶ γίνεται πυρετοῦ δῶρον ἀνὴρ εὐσεβὴς, βασιλέα θρασὺν σωφρονίζοντος. Τί τούτων ἐνδικώτερον, ἢ ταχύτερον; Τὰ δὲ τούτων ἑξῆς· Ἔκαμνεν ὁ παῖς τῷ βασιλεῖ, καὶ πονηρῶς εἶχε τοῦ σώματος· συνέκαμνε δὲ ὁ πατὴρ, (καὶ τί γὰρ ὁ πατὴρ (22);) πανταχόθεν ἐπιζητῶν ἐπικουρίαν τῷ

[26] I Reg. XIX, 20. [27] Exod. XII, 29.

(10) *Ἀλλ'*. Deest in Or. 2.

(11) *Ἠδύνατο*. Reg. ph et Coisl. 2, ἐδύνατο.

(12) *Δῶρα*. « Vasa aurea, » inquit Nicetas, « quæ ipse fabricatus fuerat.

(13) *Προσήσεται*. Schol.: Ἀναδέξεται Βασίλειος· « Basilius acciperet. »

(14) *Περιτρέπει*. Comb., περιτρέπεται, « titubat, circumagitur. »

(15) *Εἶεν*. Id est, ut observat Nicetas, ταῦτα δὲ οὕτως· « Atque hæc ita. » Hæc est vis hujus vocis, et commoda transitio, quam prætermisit Billius.

(16) *Ἑαυτόν*. Comb., αὐτόν.

(17) *Λέγειν*. Regg. a, c, καὶ λέγειν.

(18) *Συνεισελθοῦσιν*. Or. 2 et Pass., συνελθοῦσιν.

(19) *Κατάστασις πρώτη*. Hæc a Billio prætermissa. Budæus: « prima sedatio. » Ista Gregorii verba doctissimo Tillemontio fucum fecere, ut observat *Vitæ Basilii* auctor, tom. III novissimæ editionis, in ejus *Vita* c. 29, n. 8, pag. 104.

(20) *Λῆμμα*. « Animi constantia, ut exponit Nicetas.

(21) *Πεπλήρωται*. Duo Regg. et Or. 2, πεπλήρωτο.

(22) *Τί γὰρ ὁ πατήρ*. Quatuor Regg. et Or. 2, τί γὰρ ἢ πατήρ.

A πάθει, καὶ ἰατρῶν τοὺς ἀρίστους ἐκλεγόμενος, καὶ λιταῖς προσκείμενος, εἴπερ ἄλλοτέ ποτε, καὶ κατὰ γῆς ἐῤῥιμμένος. Ποιεῖ γὰρ καὶ βασιλέας ταπεινοὺς πάθος· καὶ θαυμαστὸν οὐδὲν, ἐπεὶ καὶ Δαβὶδ πρότερον ταυτὸ (23) ἐπὶ τῷ παιδὶ πεπονθὼς, ἀναγέγραπται. Ὡς δὲ οὐδὲν εὕρισκεν (24) οὐδαμόθεν τοῦ κακοῦ φάρμακον, ἐπὶ τὴν πίστιν τοῦ ἀνδρὸς καταφεύγει· καὶ δι' ἑαυτοῦ μὲν οὐκ εἰσκαλεῖ, τὸ τῆς ὕβρεως ὑπόγυιον (25) αἰσχυνόμενος, ἑτέροις δὲ τὴν πρεσβείαν ἐπιτρέπει τῶν οἰκειοτάτων ἑαυτῷ καὶ φιλτάτων. Καὶ ὃς (26) παρῆν, οὐδὲν ἀναδὺς (27), οὐδὲ τοῦ καιροῦ κατεξαναστὰς, ὥσπερ ἄλλος τις, καὶ ὁμοῦ τῇ παρουσίᾳ ῥᾴων ἡ νόσος γίνεται, καὶ χρηστοτέρων ὁ πατὴρ τῶν ἐλπίδων· καὶ εἰ μὴ τὴν ἅλμην τῷ ποτίμῳ ὕδατι συνεκέρασεν, ὁμοῦ τε τοῦτον εἰσκαλέσας, καὶ τοῖς ἑτεροδόξοις πιστεύσας, κἂν ὑγείας (28) B τυχὼν ὁ παῖς ταῖς τοῦ πατρὸς χερσὶν ἀπεσώθη. Καὶ τοῦτο ἐπιστεύετο (29) παρὰ τῶν τηνικαῦτα παρόντων, καὶ κοινωνούντων τοῦ πάθους.

pore erat; pater etiam, utpote pater, simul ægro animo urgebatur, remedium undecunque morbo conquirens, atque optimos quosque medicos seligens, ac precibus, ut si alias unquam, incumbens, humique provolutus. Nam reges quoque humiles et abjectos reddit calamitas: nec mirum, cum Davidem etiam prius ob filii morbum eodem modo affectum fuisse Scriptura testetur [28]. Cum autem huic malo medicinam nullam inveniret, ad Basilii fidem confugit: et quoniam, ob contumeliam recens ipsi illatam, eum suo nomine accersere præ pudore non auderet, aliis, quos arctissima familiaritate et benevolentia devinctos habebat, hanc legationem committit. Ille vero nihil cunctatus, nec, quod fortasse alius fecisset, adversus tempus insultans, confestim adfuit, atque ad ejus adventum statim levior fit morbus, ac meliorem spem pater animo concipit; et certe, nisi salsam aquam dulci admiscuisset, simul videlicet et ipsum advocans, et hæreticis credens, sanum quoque et incolumem filium fortasse recepisset. Id namque pro certo et indubitato habebant, qui tunc aderant, calamitatisque participes erant.

ΝΕʹ. Τὸ δὲ αὐτὸ καὶ τῷ ὑπάρχῳ μικρὸν ὕστερόν φασι συμβῆναι. Κάμπτει καὶ τοῦτον ταῖς τοῦ ἁγίου χερσὶ συμπεσοῦσά τις ἀῤῥωστία. Καὶ ὄντως πληγὴ τοῖς εὖ φρονοῦσι παίδευμα γίνεται, καὶ κρείττων εὐημερίας πολλάκις κακοπάθεια. Ἔκαμνεν, ἐδάκρυεν, ἐδυσφόρει, προσέπεμπεν (30), ἠντιβόλει. *Τὴν ἀπολογίαν ἔχεις*, ἐβόα, *δὸς σωτηρίαν*. Καὶ μέν τοι καὶ τυγχάνει ταύτης, ὡς αὐτός τε (31) ὡμολόγει, καὶ πολλοὺς ἔπειθε τῶν οὐκ εἰδότων· οὐ γὰρ ἐπαύετο τὰ ἐκείνου καὶ θαυμάζων καὶ διηγούμενος. Ἆρ' οὖν τὰ C μὲν πρὸς ἐκείνους αὐτῷ τοιαῦτα, καὶ εἰς τοῦθ' ἥκοντα τέλους (32). Τά τε πρὸς ἑτέρους ἑτέρως, ἢ περὶ μικρῶν, ἢ μικρὰ πεπολέμηται, ἢ μετρίως πεφιλοσόφηται (33), ἢ σιγῆς ἀξίως, ἢ οὐ λίαν ἐπαινετῶς; Οὐμενοῦν· ἀλλ' ὁ κινήσας ποτὲ τῷ Ἰσραὴλ Ἄδερ τὸν ἀλιτήριον, οὗτος κινεῖ καὶ τούτῳ τὸν τῆς Ποντικῆς μοίρας ὕπαρχον (34)· προφάσει (35) μὲν, ὡς ὑπὲρ γυναίου τινὸς ἀγανακτοῦντα, τὸ δ' ἀληθὲς τῆς ἀσεβείας ὑπερμαχοῦντα, καὶ κατὰ τῆς εὐσεβείας ἱστάμενον. Ἐῶ τἄλλα ὅσα (36) καὶ οἷα κατὰ τοῦ ἀνδρὸς ἐξύβρισεν, ἴσον δὲ εἰπεῖν, καὶ κατὰ τοῦ Θεοῦ, πρὸς ὃν, καὶ δι' ὃν ὁ πόλεμος· ὃ δὲ μάλιστα καὶ τὸν ὑβριστὴν ᾔσχυνε, καὶ τὸν ἀγωνιστὴν ὕψωσεν, εἴπερ τι μέγα καὶ ὑψηλὸν ἡ φιλοσοφία, καὶ τὸ κρατοῦντα τῶν πολλῶν ταύτῃ φαίνεσθαι, τοῦτο δώσω τῷ λόγῳ (37). D

LV. Idem autem et ipsi præfecto non multo post accidisse narrant. Nam hunc quoque morbus quispiam obortus, viri sancti manibus substernit. Et quidem profecto plaga cordatis hominibus doctrina efficitur, ac plerumque prospero rerum successu potior ac præstabilior est afflictio. Ægro corpore erat, illacrymabat, distorquebatur, Basilium accersebat, obsecrabat. *Satisfactionem habes*, clamabat, *da salutem*. Et quidem hanc consecutus est, ut et ipse fatebatur, et multis hujus rei ignaris persuadebat; neque enim illius virtutes admirari ac prædicare desinebat. At hujusmodi quidem fortasse ea, quæ cum illis egit, fuerunt, eumque finem habuerunt; cæterum **811** vero cum aliis alio modo se gessit, aut parvis de rebus, aut parum egregie dimicavit, aut non ita magnam exhibuit constantiam, nec ut hominum commemorationem, aut certe insignem laudem, mereretur? Minime sane. Verum is, qui nefarium illum Adad adversus Israelem olim provocavit [29], idem contra hunc quoque Ponticæ provinciæ præfectum excitavit; hoc quidem prætextu, quasi mulierculæ cujusdam causa stomacharetur, sed re vera impietatis defensionem suscipiens, ac pietatem oppugnans. Mitto alias omnes contumelias, quibus Basilium vexavit, quod perinde est, ac si Deum dicerem, adversus quem, et cujus causa bel-

[28] II Reg. xii, 16. [29] III Reg. xi, 14.

(23) *Ταυτό*. In nonnullis, ταυτόν. Idem olim Davidi contigisse ob filii morbum narrat Scriptura.
(24) *Εὕρισκεν*. Coisl. 2 et Pass., ηὕρισκεν.
(25) *Ὑπόγυιον*. Quatuor Regg. et Or. 2, ὑπόγυον.
(26) *Καὶ ὅς*. Coisl. 2 et Comb., καὶ ὥς.
(27) *Ἀναδύς*. Quinque Regg., Coisl. 2 et Pass., ἀναδυείς.
(28) *Ὑγείας*. In quibusdam, ὑγιείας.
(29) *Ἐπιστεύετο*. Sic duo Coisl. In Or. 2, ἐπίστευτο. In ed., ἐπιστεύετε.
(30) *Προσέπεμπεν*. Regg. d et ph, προσέπιπτεν, « procidebat. »
(31) *Αὐτός τε*. Reg. c, αὐτός γε.
(32) *Τέλους*. Regg. a et ph, τέλος.
(33) *Ἢ μετρίως πεφιλοσόφηται*. « Aut non egregie philosophatus est: aut non ita magnam exhibuit constantiam. » Agitur enim hic non de verbis, sed de animi constantia. Unde non recte Bill. « aut non sapienter disseruit. »
(34) *Ὕπαρχον*. Is Ponti præfectus erat Eusebius, qui calumniis Basilium inurebat.
(35) *Προφάσει*. Regg. bm, ph et Or. 2, πρόφασιν.
(36) *Ἐῶ τἄλλα ὅσα*. Sic duo Coisl., Or. 2, Pass., etc. In ed., ἐῶ τἄλλα καὶ ὅσα, etc.
(37) *Τοῦτο δώσω τῷ λόγῳ*. Hæc desunt in Reg. d et Or. 2.

lum gerebatur. Quod autem, et eum, qui contumeliam inferebat, maxima ignominia affecit, et pugilem nostrum summopere extulit (si modo magnum quiddam et excelsum existimandum est philosophia, et hujus laude vulgus anteire), id oratione prosequar.

LVI. Mulieri cuidam amplissimo loco natæ, cujus maritus haud pridem extremo vitæ die functus erat, judicis assessor vim afferebat, invitamque ad nuptias pertrahebat. Illa autem, cum nulla ratione hanc vim effugere posset, consilium capit, non majoris audaciæ, quam prudentiæ plenum. Ad sacram etenim mensam confugit, Deumque adversus hanc injuriam propugnatorem sibi adoptat. Quid igitur, per Trinitatem ipsam! ut forensi quoque dicendi genere nonnihil inter laudes utar, faciendum fuit, non dico Magno Basilio, qui his de rebus leges quoque omnibus statuerat, sed alii cuipiam longe illo inferiori, modo tamen sit sacerdotio præditus? Quid aliud, nisi ut eam assereret, retineret, omni cura tueretur, Dei clementiæ, et legi, quæ altaribus honorem haberi jubet, manum porrigeret, omnia denique prius faceret et pateretur, quam ut inhumanius ullum adversus eam consilium iniret, sicque et mensam sacrosanctam, et fidem etiam illam, cum qua supplex erat, contumelia afficeret? *Nequaquam*, inquit superbus judex; *sed omnes imperio meo cedere, ac Christianos leges suas prodere oportet.* Ille igitur supplicem deposcebat; hic omni vi retinebat. Ille rursum furore concitatur, ac magistratus quosdam mittit, qui sancti viri cubiculum perscrutarentur, ignominiæ causa potius id faciens, quam quod ejusmodi quidquam necesse esset. Quid ais? Domumne illius, qui ab omni libidinis motu liber est, quem angeli **812** complectuntur, quem vel solum intueri feminæ reformidant? Nec eo contentus, ipsum insuper adesse, et causam dicere jubet, neque id placide et humane, sed quasi unum ex iis, qui capitis damnati sunt. Atque ipse quidem aderat. Ille autem ira et arrogantia plenus pro tribunali sedebat. Stabat Basilius, quemadmodum Jesus meus, Pilato judicante. Cunctabantur porro fulmina, Deique gladius adhuc exacuebatur, et differebatur; arcus quoque ita contendebatur, ut tamen retineretur, pœnitentiæ videlicet tempus ac locum aperiens. Hoc enim apud Deum in more atque usu positum est.

NϚ′. Γυναῖκά τινα τῶν ἐπιφανῶν ἐξ ἀνδρὸς οὐ πρὸ πολλοῦ τὸν βίον ἀπολιπόντος, ὁ τοῦ δικαστοῦ σύνεδρος ἐβιάζετο, πρὸς γάμον ἕλκων ἀπαξιοῦσαν. Ἡ δὲ οὐκ ἔχουσα, ὅπως διαφύγῃ τὴν τυραννίδα, βουλὴν βουλεύεται, οὐ τολμηρὰν μᾶλλον ἢ συνετήν. Τῇ ἱερᾷ τραπέζῃ προσφεύγει, καὶ Θεὸν ποιεῖται προστάτην κατὰ τῆς ἐπηρείας (38). Τί οὖν ἔδει ποιεῖν, ὦ πρὸς τῆς Τριάδος αὐτῆς (ἵν' εἴπω τι καὶ δικανικῶς μεταξὺ τῶν ἐπαίνων)! μὴ ὅτι τὸν μέγαν Βασίλειον, καὶ τῶν τοιούτων ἅπασι νομοθέτην, ἄλλον δέ τινα τῶν πολὺ μετ' ἐκεῖνον, ἱερέα δὲ ὅμως; Οὐκ ἀντιποιεῖσθαι, κατέχειν, κήδεσθαι, χεῖρα ὀρέγειν Θεοῦ φιλανθρωπίᾳ, καὶ νόμῳ τῷ τετιμηκότι θυσιαστήρια; οὐ πάντα δρᾶσαι καὶ παθεῖν ἐθελῆσαι πρότερον, ἤ τι βουλεύσασθαι κατ' αὐτῆς ἀπάνθρωπον, καὶ καθυβρίσαι μὲν τὴν ἱερὰν τράπεζαν, καθυβρίσαι δὲ τὴν πίστιν μεθ' ἧς ἱκέτευεν (39); *Οὐ*, φησὶν ὁ κενὸς (40) δικαστής· *ἀλλ' ἡττᾶσθαι χρὴ πάντας* (41) *τῆς ἐμῆς δυναστείας, καὶ προδότας γενέσθαι Χριστιανοὺς τῶν οἰκείων νόμων.* Ὁ μὲν ἐζήτει τὴν ἱκέτιν· ὁ δ' εἴχετο καταχράτος. Ὁ δ' ἐξεμαίνετο, καὶ τέλος πέμπει τινὰς τῶν ἐπ' ἐξουσίας, τὸν τοῦ ἁγίου κοιτωνίσκον ἐξερευνήσοντας, οὐ κατὰ χρείαν μᾶλλον, ἢ ἀτιμίαν. Τί λέγεις; Οἶκον ἐκείνου τοῦ ἀπαθοῦς, ὃν (42) περιέπουσιν ἄγγελοι, ᾧ καὶ προσβλέπειν ὀκνοῦσι (43) γυναῖκες; Καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ αὐτὸν παρεῖναι καὶ ἀπολογεῖσθαι κελεύει· οὐδὲ ἡμέρως καὶ φιλανθρώπως, ἀλλ' ὡς ἕνα τῶν κατακρίτων. Καὶ ὁ μὲν (44) παρῆν· ὁ δὲ (45) προὐκάθητο, γέμων θυμοῦ καὶ φρονήματος. Εἱστήκει δὲ, οἷον ὁ ἐμὸς Ἰησοῦς, Πιλάτου κρίνοντος. Οἱ κεραυνοὶ δὲ ἠμέλουν, ἡ δὲ τοῦ Θεοῦ μάχαιρα ἐστιλβοῦτο ἔτι (46), καὶ ἀνεβάλλετο· καὶ τὸ τόξον ἐνετείνετο μὲν, κατείχετο δὲ, τῇ μετανοίᾳ καιρὸν ὑπανοῖγον. Ὅστις (47) δὴ τοῦ Θεοῦ νόμος.

LVII. Age vero, alterum persecutoris et athletæ certamen specta. Ille pallium detrahi et lacerari jubebat; iste: *Exuam præterea, si ita lubet, etiam tunicam.* Ille eum, qui carnis expers erat, verberaturum se minabatur: iste corpus submittebat. Ille, se ungulis laceraturum; at iste: *Hujusmodi laniatione*, inquit, *medicinam hepati afferes, magnopere, ut*

NZ′. Ἄθρει δὴ πάλην ἑτέραν ἀγωνιστοῦ καὶ διώκτου. Τὸ περιαυχένιον ῥάκος σφενδονᾶσθαι προσέταττεν· ὁ δὲ, *Προσαποδύσομαί* (48) *σοι*, φησὶν, *εἰ βούλει, καὶ τὸ χιτώνιον.* Τύπτειν ἠπείλει τὸν ἄσαρκον· ὁ δὲ ὑπέκυπτε. Ξέειν (49) τοῖς ὄνυξιν· ὁ δὲ, *Ἰατρεύεις*, φησὶ, *τὸ ἧπαρ, ὁρᾷς ὅπως με κατατρύχον τοῖς τοιούτοις θεραπεύων* (50) *σπαρά-*

(38) *Ἐπηρείας.* Sic plures Regg., Or. 2 et Comb. In ed., ἐπειρείας.

(39) *Ἱκέτευεν.* Reg. c, ἱκέτευσεν.

(40) *Κενός.* « Vanus. » Sic Regg. c, ph, duo Coisl., etc. In ed., καινός, « novus. »

(41) *Χρὴ πάντας.* Sic. Regg. bm, ph, Chrys., Coisl. 2, Or. 2, Par. et Pass. Deest πάντας in ed.

(42) *Ἀπαθοῦς, ὅν.* Sic codd. Prave in ed., ἀπαθοῦς, ὅ.

(43) *Ὀκνοῦσι.* « Verentur, non audent. » Sic Regg. bm, ph, duo Coisl., Or. 2, Par., Jes., Pass., Comb., etc. In ed., οἰκοῦσι, « habitant. »

(44) *Καὶ ὁ μέν.* Sic Reg. ph. Deest καί in edit.

(45) *Ὁ δέ.* Sic tres Regg., Coisl. 2, Chrys., Par., etc. Prave in ed., οὐδέ.

(46) *Ἔτι.* Reg. ph addit, τε.

(47) *Ὅστις.* Reg. bm et Or. 2, Ὥσπερ. Alii, ὥσπερ et ὅπερ.

(48) *Προσαποδύσομαι.* In nonnullis, συναποδύσομαι.

(49) *Ξέειν.* Or. 2 et Comb., ξύειν

(50) *Θεραπεύων.* Plures Regg., Or. 2, Par., Pass., θεραπεύσεις.

γμασιν. Οἱ μὲν οὖν ἐν τούτοις ἦσαν. Ἡ δὲ πόλις, A ὡς ᾔσθετο (51) τοῦ κακοῦ, καὶ τοῦ κοινοῦ πάντων κινδύνου (κίνδυνον γὰρ ἕκαστος ἑαυτοῦ τὴν ὕβριν ταύτην (52) ἐνόμιζεν), ἐκμαίνεται πᾶσα καὶ ἀνάπτεται· καὶ ὡς καπνοῦ σμῆνος (53) κινήσαντος, ἄλλος ἐπ' ἄλλῳ διεγείρεται καὶ ἀνίσταται, γένος ἅπαν, καὶ ἡλικία πᾶσα, οἵ περὶ τὴν ὁπλοποιητικὴν καὶ βασίλειον ἱστουργικὴν μάλιστα. Καὶ γάρ εἰσι περὶ τὰ τοιαῦτα (54) θερμότεροι, καὶ τὸ τολμᾷν ἐκ τῆς παῤῥησίας ἔχοντες. Καὶ πᾶν ἦν ὅπλον ἑκάστῳ, τὸ παρὸν ἐκ τῆς τέχνης, εἴτε τι ἄλλο τῷ καιρῷ τύχοι σχεδιασθέν. Αἱ δᾷδες ἐν χερσὶν, οἱ λίθοι προβεβλημένοι, τὰ ῥόπαλα εὐτρεπῆ, δρόμος ἁπάντων εἷς, βοὴ μία, προθυμία κοινή. Θυμὸς, ὁ δεινὸς ὁπλίτης, ἢ (55) στρατηγός. Οὐδὲ γυναῖκες ἄοπλοι τηνικαῦτα, τοῦ καιροῦ θήγοντος· B μελίαι δ' ἦσαν αὐταῖς αἱ κερκίδες· αἳ οὐδὲ γυναῖκες ἔμενον ἔτι, τῷ ζήλῳ ῥωσθεῖσαι, καὶ εἰς ἀνδρῶν (56) θάρσος (57) μεταλλαττόμεναι. Βραχὺς ὁ λόγος· μερίζεσθαι τὴν εὐσέβειαν ᾤοντο, εἰ τοῦτον διέλοιντο· καὶ οὗτος αὐτοῖς εὐσεβέστερος ἦν, ὃς πρῶτος ἐπιβαλεῖ χεῖρα τῷ τολμητῇ τῶν τοιούτων. Τί οὖν ὁ σοβαρὸς (58) ἐκεῖνος καὶ θρασὺς δικαστής; Ἱκέτης ἦν, ἐλεεινὸς, ἄθλιος, τίνος οὐ ταπεινότερος; ἕως ἐπιφανεὶς ὁ χωρὶς αἵματος μάρτυς, καὶ χωρὶς πληγῶν στεφανίτης, καὶ βίᾳ τὸν λαὸν κατασχὼν αἰδοῖ κρατηθέντα, τὸν ἱκέτην ἑαυτοῦ (59) καὶ ὑβριστὴν διεσώσατο. Ταῦτα ὁ τῶν ἁγίων Θεὸς, ὁ ποιῶν πάντα καὶ μετασκευάζων ἐπὶ τὸ βέλτιον, ὁ τοῖς ὑπερηφάνοις ἀντιτασσόμενος, ταπεινοῖς δὲ χάριν ἐπιμετρῶν. C Τί δὲ οὐκ ἔμελλεν ὁ τεμὼν θάλασσαν, καὶ ποταμὸν ἀνακόψας, καὶ στοιχεῖα τυραννήσας, καὶ χειρῶν ἐκτάσει τρόπαια στήσας, ἵνα διασώσῃ λαὸν φυγάδα, καὶ τοῦτον ἐξαιρήσεσθαι τῶν κινδύνων;

vides, me prementi. Atque hi quidem in his erant. Civitas autem, simul atque hujusmodi malum ac commune periculum rescivit (periculum enim suum quisque ipsius contumeliam esse existimabat), tota furore corripitur, atque incenditur; ac, velut fumo apum examen movente, certatim omnes cujuslibet generis atque ætatis excitantur et exsurgunt, ac præsertim armorum opifices, imperatoriique textores. Nam hi in hujusmodi rebus ferventiores sunt, atque, ob libertatem ac licentiam qua fruuntur, ad audendum paratiores. Unicuique porro teli loco erat, vel quod ars offerebat, vel quod in re præsenti tumultuarie confecerat. Faces in manibus, saxa, fustes in promptu, unus omnium cursus, unus clamor, communis animorum alacritas: furor, miles vehemens, imo belli dux. Ne mulieres quidem tunc temporis inermes erant, hac nimirum occasione animos earum exacuente; radii autem ipsis hastarum loco erant; imo, nec mulieres jam manebant, quippe quas zelus roborasset, atque ad virilem fortitudinem animique magnitudinem traduxisset. Quid plura? Pietatem omnes ita demum inter se partituros censebant, si ipsum dividerent ac discerperent; atque is majorem apud eos pietatis laudem habiturus videbatur, qui primus in eum, qui tantum facinus aggressus esset, manum injecisset. Quid igitur **813** audax ille et insolens judex? Supplex erat, miserabilis, calamitosus, quovis homine dejectior, quoad in conspectum prodiens ille incruentus martyr, et sine plagis coronatus, ac populum pudore victum vi retinens, supplicem suum et vexatorem a periculo vindicavit. Hæc sanctorum Deus, qui omnia facit, atque in melius commutat, qui superbis resistit, et humilibus gratiam abundanter tribuit [30]. Quidni autem is, qui mare scidit, et fluminis cursum inhibuit, et elementis vim attulit, et manuum extensione trophæum erexit, ut fugitivo populo saluti esset, hunc etiam a periculis extraheret?

NH'. Ὁ μὲν δὴ κοσμικὸς πόλεμος ἐνταῦθα ἐτελεύτησε, καὶ πέρας εἶχεν ἐκ Θεοῦ δεξιὸν, καὶ τῆς ἐκείνου πίστεως ἄξιον. Ἄρχεται δὲ ὁ πόλεμος ἐνθένδε ἤδη τῶν ἐπισκόπων, καὶ τῶν ἐκείνοις συμμάχων· οὐ πολὺ μὲν τὸ ἄδοξον, πλείων (60) δὲ ἡ βλάβη τοῖς ἀρχομένοις. Τίς γὰρ ἂν τοὺς ἄλλους πείσειε μετριάζειν, οὕτω τῶν προεστώτων διακειμένων; Εἶχον μὲν γὰρ οὐδ' ἐκ πλείονος ἐπιεικῶς πρὸς αὐτὸν, τριῶν ὄντων τῶν ὑπαιτίων. Οὔτε γὰρ τῷ τῆς πίστεως λόγῳ συνέβαινον, ὅτι μὴ πᾶσα ἀνάγκη τοῖς πλήθεσι βιαζόμενοι· οὔτε τὴν ἐπὶ τῇ χειροτονίᾳ (61) μικροψυχίαν τελέως καταλελύκασιν (62)· καὶ τὸ παρὰ πολὺ τῆς δόξης κρατεῖσθαι, πάντων βαρύτατον ἦν αὐτοῖς, εἰ D

LVIII. Hic quidem mundanum bellum finem accepit, exitumque habuit, Deo favente, lætum atque felicem, qualemque illius fides merebatur. Hinc vero jam initium sumit episcoporum, et eorum, qui socios se ipsis adjunxerant, bellum; bellum, inquam, tum per se admodum turpe et ignominiosum, tum subditis ipsis magis perniciosum. Quis enim alios ad modestiam inducere queat, cum ipsi præsules sic se affectos præbeant? Ac tres quidem erant causæ, cur multi etiam pridem parum leni erga eum animo essent. Prima, quod in fidei negotio cum eo minime consentiebant, nisi quantum id ipsis, cogente multitudine, necessario fa-

[30] Jac. IV, 6.

(51) Ὡς ᾔσθετο. Sic Regg. bm et ph. In aliis, ὡς ᾔσθοντο. Pass., ὡς ᾔσθετο τοῦ κακοῦ τὴν ἐπιβουλὴν, καί, etc., « ut mali insidias persensit, » etc. In ed. deest ὡς.

(52) Ὕβριν ταύτην. Sic sex Regg. et Pass. Deest ταύτην in edit.

(53) Σμῆνος. Sic quatuor Regg., duo Coisl. et Pass. In ed., σκῆνος.

(54) Περὶ τὰ τοιαῦτα. Sic septem Regg., Or. 2 et Pass. In ed., περὶ ταῦτα.

(55) Ὁπλίτης, ἤ. Or. 2, ὁπλίτης ἦν.

(56) Ἀνδρῶν. Reg. ph, ἀνδρός.

(57) Θάρσος. Duo Regg., θράσος.

(58) Σοβαρός. Reg. ph, σοβαρώς.

(59) Ἑαυτοῦ. In quibusdam, αὐτοῦ.

(60) Πλείων. Reg. a, πλεῖστον.

(61) Τῇ χειροτονίᾳ. Deest τῇ in Reg. a.

(62) Καταλελύκασιν. In nonnullis, καταλελύκεσαν

ciendum erat. Altera, quod dolorem, ex ipsius electione conceptum, nondum omnino ex animis ejecerant. Postrema, quod se longe multumque ab eo gloria superari acerbissime ferrent, tametsi id confiteri turpissimum esset. Orta est et alia quædam simultas, quæ hæc omnia refulceravit. Nam cum patria nostra in duas provincias et metropoles divisa esset, ac multa ex priori novæ metropoli adjungerentur, ea de causa inter illos dissidium excitatum est. Ille enim æquum esse dicebat, ut, cum publicis diœcesibus, nostræ quoque simul dividerentur; ob eamque causam eas parœcias, quæ novæ provinciæ nuper adjunctæ fuerant, ut jam ad se attinentes, atque ab illo distractas, vindicabat. Hic contra veteri consuetudini, atque huic divisioni, quæ olim a Patribus facta fuerat, inhærebat. Atque hac contentione permulta mala, partim jam contingebant, partim impendebant. Subtrahebantur conventus a novo metropolita, proventus diripiebantur; **814** Ecclesiarum presbyteri, alii quidem sermonum blanditiis alliciebantur, alii vero immutabantur. Ex quo illud contingebat, ut Ecclesiarum negotia deterius se haberent, utpote quæ in partes ac studia scinderentur. Homines quippe novarum rerum studio quodammodo delectantur, ac libenti animo noxas suas obiter elucrantur; faciliusque est constituta labefactare, quam labefactata in pristinum statum reducere. Quod autem illum magis in furorem agebat, Taurici reditus erant, qui ab ipso quidem in transitu cernebantur, ad Cæsariensem vero devehebantur, ac sancti Orestis proventus colligere, magni æstimabat: adeo ut ipsius etiam iter facientis mulos aliquando corripuerit, ac, ne ultra progrederentur, cum prædatoria manu prohibuerit. Et quam speciosus his rebus prætextus adhibebatur! Filii spirituales, et animæ, et fidei doctrina, cæteraque hujusmodi cupiditatis inexplebilis integumenta (res inventu perfacilis), itemque illud: Tributum hæreticis pendendum non esse: quisquis enim molestiam exhibebat, in hæreticorum numero habebatur.

A καὶ ὁμολογεῖν αἴσχιστον. Ἐγένετο (63) δὲ καὶ ἄλλη τις διαφορά, ἣ ταῦτα ἐκαινοποίησε. Τῆς γὰρ πατρίδος ἡμῶν (64) εἰς δύο διαιρεθείσης ἡγεμονίας καὶ μητροπόλεις, καὶ πολλὰ τῶν ἐκ τῆς προτέρας τῇ νέᾳ προσαγούσης (65), ἐντεῦθεν καὶ τὰ ἐκείνων ἐστασιάσθη. Ὁ μὲν γὰρ ἠξίου τοῖς δημοσίοις (66) συνδιαιρεῖσθαι καὶ τὰ ἡμέτερα (67), καὶ διὰ τοῦτο μετεποιεῖτο τῶν νεωστὶ προσελθόντων, ὡς αὐτῷ διαφερόντων ἤδη κἀκείνου κεχωρισμένων· ὁ δὲ τῆς παλαιᾶς εἴχετο συνηθείας, καὶ τῆς ἐκ τῶν Πατέρων ἄνωθεν διαιρέσεως (68). Ἐξ ὧν πολλὰ καὶ δεινά, τὰ μὲν συνέβαινεν ἤδη, τὰ δὲ ὠδίνετο. Ὑπεσπῶντο σύνοδοι παρὰ τοῦ νέου μητροπολίτου (69), πρόσοδοι διηρπάζοντο· πρεσβύτεροι τῶν Ἐκκλησιῶν, οἱ μὲν ἀνεπείθοντο, οἱ δὲ ὑπηλλάττοντο. Ἐξ ὧν συνέβαινε, καὶ B τὰ τῶν Ἐκκλησιῶν χεῖρον ἔχειν διισταμένων καὶ τεμνομένων. Καὶ γάρ πως ταῖς καινοτομίαις χαίρουσιν ἄνθρωποι, καὶ τὰ σφῶν ἡδέως παρακερδαίνουσι (70)· καὶ ῥᾷόν τι καταλῦσαι τῶν καθεστώτων, ἢ καταλυθὲν ἐπαναγαγεῖν. Ὃ δὲ πλεῖον αὐτὸν ἐξέμηνεν, αἱ Ταυρικαὶ πρόσοδοι (71) καὶ παρόδιοι (72), αὐτῷ μὲν ὁρώμεναι, ἐκείνῳ δὲ προσγενόμεναι (73), καὶ τὸν ἅγιον Ὀρέστην ἐκκαρποῦσθαι, μέγα ἐτίθετο· ὡς καὶ τῶν ἡμιόνων λαβέσθαι ποτὲ τοῦ ἀνδρὸς ἰδίαν ὁδὸν ὁδεύοντος, εἴργων τοῦ πρόσω μετὰ ληστρικοῦ συντάγματος. Καὶ ἡ σκῆψις, ὡς εὐπρεπής! Τὰ γὰρ πνευματικὰ τέκνα, καὶ αἱ ψυχαί, καὶ ὁ τῆς πίστεως λόγος, καὶ ταῦτα τὰ τῆς ἀπληστίας (74) ἐπικαλύμματα, πρᾶγμα τῶν εὐπορίστων, καὶ τὸ μὴ χρῆναι δασμοφορεῖν κακοδόξοις· πᾶς γὰρ ὁ λυπῶν, κακόδοξος (75). C

LIX. Nec tamen ille Dei sanctus, ac supernæ Jerusalem vere metropolites, aut cum iis, qui errabant, abductus est, aut hoc dissimulare ac negligere sustinuit, aut parvum hujus mali remedium excogitavit. Sed perspiciamus, quæso, quam magnum et admirandum, et illius, quid enim aliud dicam, anima dignum. Etenim dissidium hoc in Ecclesiæ commodum et incrementum convertit, atque hanc

ΝΘʹ. Οὐ μὴν ὁ ἅγιος τοῦ Θεοῦ, καὶ τῆς ἄνω Ἱερουσαλὴμ ὄντως μητροπολίτης, ἢ συναπήχθη τοῖς πταίουσιν (76), ἢ παριδεῖν ταῦτα ἠνέσχετο, ἢ μικρὰν τοῦ κακοῦ λύσιν ἐπενόει. Ἀλλὰ σκοπῶμεν, ὡς μεγάλην καὶ θαυμασίαν (77), (καὶ τί γάρ;) ἢ τῆς ἐκείνου ψυχῆς ἀξίαν. Προσθήκην γὰρ τῆς Ἐκκλησίας ποιεῖται τὴν στάσιν, καὶ τὴν συμφορὰν, ὡς κάλλιστα διατίθεται, D πλείοσιν ἐπισκόποις τὴν πατρίδα καταπυ-

(63) *Ἐγένετο.* Tres Regg., Coisl. 2, aliique plures, ἐπεγένετο.

(64) *Ἡμῶν.* Deest in tribus Regg., Or. 2 et Pass.

(65) *Προσαγούσης.* Tres Regg., προσαγαγούσης.

(66) *Τοῖς δημοσίοις.* Nicetas, ἀρχαῖς καὶ διοικήσεσι. « Cum publicis præfecturis et administrationibus, Ecclesiæ etiam jura dividerentur. »

(67) *Συνδιαιρεῖσθαι καὶ τὰ ἡμέτερα.* Sic sex Regg. In ed., καὶ τὰ ἡμέτερα συνδιαιρεῖσθαι.

(68) *Διαιρέσεως.* Sic plerique codd. In ed., διαιρέσεων.

(69) *Νέου μητροπολίτου.* Novus ille metropolita fuit Anthimus, non vero Anthemius, ut perperam annotat Montacutius.

(70) *Καὶ τὰ σφῶν ἡδέως παρακερδαίνουσι.* « Sua propria læto animo lucrantur. » Cum promiscua plebs sacerdotes peccantes cernit, id lucrari sibi videtur, ut faciat quod velit, utpote jam nemo sit, qui ejus peccata coarguat et insectetur.

(71) *Αἱ Ταυρικαὶ πρόσοδοι.* « Taurici reditus. » Fructus et proventus S. Orestis, per montem Taurum, qui est inter Ciliciam et Cappadociam, devehebantur.

(72) *Παρόδιοι.* Savil., παρωρεῖοι, « monti adjacentes. » Nicetas exponit: παροδεύουσαι· « Qui illuc transirent, atque in conspectum Anthimi venientes, ejus cupiditatem moverent. »

(73) *Προσγενόμεναι.* Plures Regg. et Or. 2, προσγινόμεναι.

(74) *Τὰ τῆς ἀπληστίας.* Sic quinque Regg. Deest τῆς in ed.

(75) *Κακόδοξος.* Sic duo Coisl., etc. In ed., κακοδόξως.

(76) *Πταίουσιν.* Bas. et Gabr., πταίσμασι, « offendiculis. »

(77) *Θαυμασίαν.* Pass., θαυμαστήν.

κνώσας. Ἐξ οὗ τί γίνεται; Τρία τὰ κάλλιστα· ψυχῶν ἐπιμέλεια πλείων, καὶ τὸ πόλιν ἑκάστην τὰ ἑαυτῆς ἔχειν, καὶ τὸ λυθῆναι ταύτῃ τὸν πόλεμον. Ταύτης τῆς ἐπινοίας δέδοικα, μὴ καὶ αὐτὸς ἐγενόμην πάρεργον. Ἢ οὐκ οἶδ' ὅ τι καὶ εἰπεῖν εὐτρεπὲς (78) χρή. Πάντα γὰρ τοῦ ἀνδρὸς θαυμάζων, οὐμενοῦν ὁπόσον εἰπεῖν δυνατὸν, ἓν τοῦτο ἐπαινεῖν οὐκ ἔχω (καὶ γὰρ ὁμολογήσω τὸ πάθος), οὐδὲ ἄλλως τοῖς πολλοῖς ἀγνοούμενον, τὴν περὶ ἡμᾶς καινοτομίαν καὶ ἀπιστίαν (79), ἧς οὐδὲ ὁ χρόνος τὴν λύπην ἀνάλωσεν. Ἐκεῖθεν γάρ μοι πᾶσα συνέπεσεν ἡ περὶ τὸν βίον ἀνωμαλία καὶ σύγχυσις, καὶ τὸ φιλοσοφεῖν μὴ δυνηθῆναι, ἢ μὴ νομίζεσθαι, εἰ καὶ βραχὺς τοῦ δευτέρου λόγος· πλὴν εἴ τις ἐκεῖνο δέξαιτο, ἡμῶν τοῦ ἀνδρὸς ὑπεραπολογουμένων, ὅτι μείζω φρονῶν, ἢ κατὰ τὰ ἀνθρώπινα (80), καὶ τῶν ἐνθένδε πρὶν ἀποβιῶναι μεταναστὰς, πάντα ἐποιεῖτο τοῦ Πνεύματος· καὶ φιλίαν αἰδεῖσθαι εἰδὼς, ἐνταῦθα μόνον ἠτίμαζεν, οὗ Θεὸν ἔδει προτιμηθῆναι, καὶ πλεῖον (81) ἔχειν τῶν λυομένων (82) τὰ ἐλπιζόμενα.

calamitatem quam pulcherrime constituit, patria nimirum pluribus episcopis communita. Ex quo tres præclarissimæ res secutæ sunt. Nam et animarum cura major suscepta est: et quælibet civitas proventus suos habuit: et bellum hac ratione compressum et exstinctum est. Hujus consilii vereor ne velut appendix quædam ipse fuerim. Neque enim honestius ac speciosius verbum, quo utar, occurrit. Nam cum cætera omnia hujus viri facta, supra quam dici queat, admirer, unum hoc laudare nequeo (dolorem enim confitebor, alioqui nec multis incognitum), eam nimirum, quam in nos adhibuit, novationem ac perfidiam, cujus mœrorem ne tempus quidem adhuc exhaurire potuit. Hinc enim mihi omnis vitæ inconstantia et perturbatio manavit, quodque philosophari **815** nequiverim, aut certe non existimer, tametsi de posteriori non magnopere laborem; nisi quis tamen hoc a me pro illius apologia accipiat, quod sublimiora, quam pro hominis conditione, sentiens, atque hinc, prius etiam quam vita excederet, digressus, omnia ad Spiritum referebat; atque amicitiæ officia, quæ alioqui sancte colebat, hic solum aspernabatur, ubi Deum anteponi, atque res in spe positas, quam fragiles et caducas, pluris facere oportebat.

Ξ'. Δέδοικα μὲν οὖν, μὴ ῥαθυμίας ἔγκλημα φεύγων, παρὰ τοῖς τὰ ἐκείνου πάντα ἐπιζητοῦσιν, ἀπληστίας περιπέσω γραφῇ, παρὰ τοῖς ἐπαινοῦσι τὸ μέτριον, ὃ μηδὲ ἐκεῖνος ἠτίμαζε, *Τὸ πᾶν μέτρον* (83) *ἄριστον*, ἐν τοῖς μάλιστα ἐπαινῶν, καὶ παρὰ πάντα τὸν ἑαυτοῦ βίον φυλάξας. Ὅμως δὲ ἀμφοτέρους περιφρονῶν, τούς τε λίαν συντόμους, καὶ τοὺς ἄγαν ἀπλήστους, ὧδέ πως τῷ λόγῳ χρήσομαι. Ἄλλοι μὲν οὖν ἄλλο τι κατορθοῦσιν, οἱ δέ τινα τῶν τῆς ἀρετῆς εἰδῶν ὄντων πλειόνων· ἅπαντα δὲ οὐδεὶς ἐπῆλθε πρὸς τὸ ἀκρότατον, οὔκουν τῶν νῦν ἡμῖν γινωσκομένων· ἀλλ' οὗτος ἄριστος ἡμῖν, ὃς ἂν τὰ πλείω τυγχάνῃ (84) κατωρθωκὼς, ἢ ἓν ὅτι μάλιστα. Ὁ δὲ οὕτω διὰ πάντων ἀφίκετο, ὡς εἶναι φιλοτιμία τις φύσεως. Σκοπῶμεν δὲ οὕτως· Ἀκτησίαν τίς ἐπαινεῖ, καὶ βίον ἄσκευον (85), καὶ ἀπέριττον; Ἐκείνῳ δὲ, τί ποτε ἦν (86), πλὴν τοῦ σώματος, καὶ τῶν ἀναγκαίων τῆς σαρκὸς καλυμμάτων; Πλοῦτος δὲ, τὸ μηδὲν ἔχειν, καὶ ὁ σταυρὸς, ᾧ συνέζῃ μόνῳ, ὃν πολλῶν χρημάτων ἐνόμιζεν ἑαυτῷ τιμιώτερον. Ἅπαντα μὲν γὰρ οὐδ' ἂν, εἰ βούλοιτό τις, δυνατὸν εἶναι κτήσασθαι· πάντων δὲ εἰδέναι καταφρονεῖν, καὶ οὕτω κρείττω τῶν πάντων φαίνεσθαι. Οὕτω δὲ διανοηθεὶς, καὶ οὕτως ἔχων, βωμοῦ μὲν οὐκ ἐδεήθη, καὶ τῆς κενῆς δόξης, οὐδὲ δημοσίου κηρύγματος τοῦ, *Κράτης* (87) *Κράτητα*

LX. Equidem mihi verendum esse video, ne dum apud eos, qui omnes illius laudes requirunt, negligentiæ culpam vitare cupio, in immodicæ prolixitatis crimen apud eos incidam, qui mediocritatem laudant, quam nec ille contemnebat, utpote qui sententiam hanc, *Modus omnis optimus*, in primis laudaverit, ac per omnem vitæ cursum observaverit. Ego tamen, utrisque perpensis, nempe et iis, qui brevitatis nimirum studiosi sunt, et iis, qui nulla oratione saturari possunt, hunc fere dicendi modum tenebo. Alii alio quodam virtutis officio funguntur. Nonnulli etiam ex pluribus virtutis generibus quædam assequuntur. Nemo autem est, qui per omnia ad summum usque grassatus sit, eorum quidem certe, qui nobis noti sunt. Verum is apud nos præstantissimus est, qui, vel quamplurima præstiterit, vel unum quam maxime et præstantissime. At Basilius ita omnia peragravit, ut in eo gloriæ materiam quæsivisse natura videatur. Id autem sic perspiciamus. Laudat quispiam possessionum penuriam, vitamque supellectilis expertem, et supervacaneis rebus vacuam? Illi vero quid unquam fuit, præter corpus, ac necessaria carnis integumenta? Divitiæ autem illi erant nihil habere, et crux, cum qua sola ipsius vita versabatur, et quam

(78) *Εὐτρεπές*. Regg. bm, ph et Comb., εὐπρεπές.

(79) *Ἀπιστίαν*. « Perfidiam, » ac veluti amicitiæ jura violasset: vel, ut exponit Nicetas, « parum servatam fidem; » minime vero, « diffidentiam, » ut vertit Billius.

(80) *Κατὰ τὰ ἀνθρώπινα*. Reg. ph et Bas., κατὰ ἄνθρωπον.

(81) *Πλεῖον*. Quinque Regg., πλέον.

(82) *Λυομένων*. In nonnullis, βλεπομένων, « quam quæ videntur. »

(83) *Τὸ πᾶν μέτρον*, etc. « Modus omnis optimus. » Sententia est Cleobuli, unius ex septem Græciæ sapientibus.

(84) *Πλείω τυγχάνῃ*. Sic Regg. bm, ph et undecim Colb. In ed., πλείονα τυγχάνῃ.

(85) *Ἄσκευον*. « Vitam tenuem, simplicem, nullo sumptu et apparatu. »

(86) *Ποτε ἦν*. Sic quinque Regg., Or. 2 et Jes. Deest ἦν in ed.

(87) *Κράτης*. « Crates, » prædiis relictis, ascendit in editum locum, ac publice proclamavit: « Crates Cratetem libertate donat. » Id est, a pecuniarum servitute se in libertatem asserit.

majori in pretio habebat, quam ingentes pecuniæ acervos. Neque enim quemquam, etiamsi maxime cupiat, omnia adipisci posse; posse autem omnia contemnere, sicque omnibus rebus præstantiorem se præbere. Hac porro mente præditus, atque ita comparatus, ara quidem opus non habuit, nec inani gloria, nec publico illo præconio : *Crates Cratetem Thebanum libertate donat.* Non enim optimus videri, sed esse, studebat. Nec vero in dolio, atque in medio foro habitabat, ut apud omnes luxum ac delicias sibi compararet, inopiam **816** in rerum copiam novo modo convertens : verum ab omni gloriæ cupiditate alienus, pauper erat et incultus; atque omnibus facultatibus, quas unquam habuerat, æquo animo projectis, leviter facileque vitæ pelagus transmittebat.

A *Θηβαῖον ἐλευθεροῖ.* Εἶναι γὰρ, οὐ δοκεῖν, ἐσπούδαζεν ἄριστος. Οὐδὲ πίθον ᾤκει (88) καὶ μέσην τὴν ἀγορὰν, ὥστε πᾶσι παρατρυφᾷν (89), καινὴν εὐπορίαν τὸ ἀπορεῖν ποιούμενος· ἀφιλότιμος (90) δὲ πένης ἦν καὶ ἀνήροτος· καὶ πάντων ἐκβολὴν στέρξας, ὧν ποτε εἶχε, κούφως (91) διέπλει τὴν τοῦ βίου θάλασσαν.

LXI. Admiranda res, continentia, et parvo contentum vivere, nec a voluptatibus superari, nec a ventre, tanquam a sævo et sordido domino, gubernari! Quis unquam tanta inedia fuit, pene etiam dixerim, quis tam carnis expers? Nam voracitates et saturitates ad eos abjecerat, qui ad brutorum naturam propius accedunt, quorumque servilis atque in terram prona vita est. Ipse autem nihil eorum, quæ post guttur pari deinceps honore sunt, magnum esse censebat; verum necessariis tantum cibis, quandiu licuit, vitam tolerabat, atque hunc solum luxum norat, nempe a luxu abstinere, nec ob eam causam pluribus rebus indigere; sed lilia et aves, quibus simplex atque artificii expers pulchritudo est, et victus facilis atque ex tempore quæsitus, ob oculos habere, quemadmodum Christus meus monet [31], qui carnis paupertatem nostra causa subiit, ut nos ipsius divinitate locupletemur. Hinc illi tunica una, et pallium unum, et status humi lectulus, et vigiliæ, et illuvies (illa ejus decora et ornamenta), et suavissima cœna et obsonium, panis et sal, novum, inquam, illud condimentum, et potio sobria et uberrima, quam nobis nihil laborantibus fontes profundunt. Ex quibus, imo cum quibus, morborum curationes ac medicationes promanarunt, quod commune utriusque nostrum studium fuit. Oportebat enim me, cum in aliis rebus inferior essem, calamitatum saltem æquam partem habere.

ΞΑ'. Θαυμαστὸν ἡ ἐγκράτεια, καὶ ὀλιγάρκεια (92), καὶ τὸ μὴ κρατεῖσθαι τῶν ἡδονῶν, μηδ', ὡς ὑπὸ πι-
B κρᾶς καὶ ἀνελευθέρου δεσποίνης, τῆς γαστρὸς ἄγεσθαι. Τίς οὕτω μᾶλλον ἄτροφος ἦν, οὐ πολὺ δὲ εἰπεῖν, καὶ ἄσαρκος; Τὰς μὲν γὰρ πλησμονὰς καὶ τοὺς κόρους τοῖς ἀλογωτέροις ἀπέῤῥιψε, καὶ ὧν ἀνδραποδώδης καὶ κάτω νενευκὼς ὁ βίος. Αὐτὸς δὲ οὐδὲν (93) ᾔδει μέγα τῶν μετὰ τὸν λαιμὸν ἐμοτίμων, ἀλλὰ τοῖς ἀναγκαίοις διέζη μόνον, ἕως ἐξῆν, καὶ μόνην ᾔδει τρυφὴν, τὸ μὴ τρυφῶν (94) φαίνεσθαι, μηδὲ διὰ τοῦτο δεῖσθαι πλειόνων· ἀλλὰ πρὸς τὰ κρίνα βλέπειν καὶ τὰ πτηνὰ, οἷς ἄτεχνον τὸ κάλλος, καὶ σχέδιος ἡ τροφὴ, κατὰ τὴν μεγάλην παραίνεσιν τοῦ ἐμοῦ Χριστοῦ, καὶ σάρκα (95) δι' ἡμᾶς πτωχεύσαντος, ἵν' ἡμεῖς πλουτισθῶμεν θεότητα. Ἐνθεῦθεν αὐτῷ τὸ ἓν χιτώνιον, καὶ τριβώνιον, καὶ ἡ χαμευνία (96), καὶ ἡ ἀγρυπνία, καὶ ἡ ἀλουσία, τὰ ἐκείνου σεμνολογήματα, καὶ τὸ
C ἥδιστον δεῖπνον καὶ ὄψον, ὁ ἄρτος καὶ οἱ ἅλες, ἡ καινὴ καρυκεία, καὶ ποτὸν νηφάλιόν τε καὶ ἄφθονον, ὃ γεωργοῦσι (97) πηγαὶ μηδὲν πονουμένοις. Ἐξ ὧν, ἢ μεθ' ὧν νοσοκομίαι καὶ ἰατρεῖαι, τὸ κοινὸν ἡμῶν ἐμφιλοσόφημα. Ἔδει γάρ με τῶν ἀνιαρῶν τὸ ἴσον ἔχειν, τοῖς ἄλλοις λειπόμενον.

LXII. Magna res virginitas, et cœlibatus, atque in angelorum, naturæque singularis ordine censeri, vereor enim dicere Christi, qui, cum propter nos genitos nasci vellet, ex Virgine gignitur, virginitatem velut lata lege sanciens, ut hinc abducentem ac mundum conscindentem; vel potius, mundum ad mundum transmittentem præsentem nimirum

ΞΒ'. Μέγα παρθενία, καὶ ἀζυγία, καὶ τὸ μετ' ἀγγέλων τετάχθαι, καὶ τῆς μοναδικῆς φύσεως· ὀκνῶ γὰρ εἰπεῖν Χριστοῦ, ὃς, καὶ γεννηθῆναι θελήσας (98) διὰ τοὺς γεννητοὺς ἡμᾶς, ἐκ Παρθένου γεννᾶται, παρθενίαν νομοθετῶν (99), ὡς ἐνθένδε μετάγουσαν, κα.
D κόσμον συντέμνουσαν, μᾶλλον δὲ κόσμον κόσμῳ παραπέμπουσαν. τὸν ἐνεστῶτα (1) τῷ μέλλοντι. Τίς

[31] Matth. VI, 26 sqq.

(88) *Οὐδὲ πίθον ᾤκει.* Diogenes Cynicus in media urbe dolium habitabat, ut paupertatem in opulentiæ instrumentum converteret, atque, ab omnibus stipem accipiens, ample ac profuse viveret.

(89) *Πᾶσι παρατρυφᾷν.* Comb. « ut delicias undequaque quæreret. »

(90) *Ἀφιλότιμος*, etc. « Pauper nulla ambitione, nihil captans, » nec ut Cynici, qui, ementita paupertate, suis commodis inserviebant.

(91) *Κούφως.* Reg. d, κοῦφος.

(92) *Ὀλιγάρκεια.* In nonnullis, ὀλιγαρχία.

(93) *Αὐτὸς δὲ οὐδὲν*, etc. Heinsius *exercit. sacra*, p. 51, sic vertit : « Ipse vero nihil ex iis æstimabat, quæ postquam guttur transierunt ejusdem pretii sunt; cum necessariis, quandiu licuit, se tantum sustentaret. »

(94) *Τρυφῶν.* Unus Reg., τρυφᾷν.

(95) *Καὶ σάρκα.* Pass., τοῦ καὶ σάρκα.

(96) *Καὶ ἡ χαμευνία.* « Nuda humo lectulus. » Sic quinque Regg. et Or. 2. Deest καὶ in ed.

(97) *Ὃ γεωργοῦσι*, etc. Budæus *Comment.*, p. 749, sic hunc locum interpretatur : « Nequaquam doloribus iis laborantibus, e quibus medicationes et ægrorum curationes natæ sunt, in quibus disciplinis vulgo philosophamur, hoc est, studemus. »

(98) *Γεννηθῆναι θελήσας.* « Nasci volens. » Plures Regg., novem Colb., Or. 2, Pass., γεννηθῆναι δεήσας, « cum eum nasci oporteret. »

(99) *Παρθενίαν νομοθετῶν.* Testatur Nicetas Basilium *De virginitate* librum conscripsisse. Ait enim : Λόγον περὶ παρθενίας συνεγράψατο. Combefisius legit, ἀσαρκίαν νομοθετῶν. Huic lectioni favet Pass.

(1) *Ἐνεστῶτα.* Quatuor Regg., ἑστῶτα.

οὖν ἐκείνου μᾶλλον, ἢ παρθενίαν (2) ἐτίμησεν, ἢ σαρκὶ ἐνομοθέτησεν, οὐ τῷ καθ' ἑαυτὸν ὑποδείγματι μόνον, ἀλλὰ καὶ οἷς ἐσπούδασε; Τίνος οἱ παρθενῶνες, καὶ τὰ ἔγγραφα διατάγματα, οἷς πᾶσαν μὲν αἴσθησιν ἐσωφρόνιζε, πᾶν δὲ μέλος ἐρύθμιζε, καὶ ὄντως παρθενεύειν ἔπειθεν, εἴσω τὰ κάλλη στρέφων ἀπὸ τῶν ὁρωμένων ἐπὶ τὰ μὴ βλεπόμενα· καὶ τὸ μὲν (3) ἔξωθεν ἀπομαραίνων, καὶ τὴν ὕλην ὑποσπῶν (4) τῆς φλογὸς, τὸ δὲ κρυπτὸν τῷ Θεῷ δεικνὺς, ὃς μόνος τῶν καθαρῶν ψυχῶν ἐστι νυμφίος, καὶ τὰς ἀγρύπνους ἑαυτῷ συνεισάγει ψυχὰς, ἐὰν μετὰ λαμπρῶν τῶν λαμπάδων αὐτῷ (5), καὶ δαψιλοὺς τῆς τοῦ ἐλαίου τροφῆς ἀπαντήσωσιν; Τοῦ τοίνυν ἐρημικοῦ βίου, καὶ τοῦ μιγάδος, μαχομένων πρὸς ἀλλήλους ὡς τὰ πολλὰ, καὶ διισταμένων, καὶ οὐδετέρου (6) πάντως ἢ τὸ καλὸν, ἢ τὸ φαῦλον ἀνεπίμικτον ἔχοντος· ἀλλὰ τοῦ μὲν, ἡσυχίου μὲν ὄντος μᾶλλον, καὶ καθεστηκότος, καὶ Θεῷ συνάγοντος, οὐκ ἀτύφου δὲ, διὰ τὸ τῆς ἀρετῆς ἀβασάνιστον καὶ ἀσύγκριτον· τοῦ δὲ, πρακτικωτέρου μὲν μᾶλλον καὶ χρησιμωτέρου, τὸ δὲ (7) θορυβῶδες οὐ φεύγοντος (8), καὶ τούτους ἄριστα κατήλλαξεν ἀλλήλοις καὶ συνεκέρασεν· ἀσκητήρια (9) καὶ μοναστήρια δειμάμενος μὲν, οὐ πόῤῥω δὲ τῶν κοινωνικῶν καὶ μιγάδων, οὐδὲ, ὥσπερ τειχίῳ τινὶ μέσῳ, ταῦτα διαλαβὼν καὶ ἀπ' ἀλλήλων (10) χωρίσας, ἀλλὰ πλησίον συνάψας καὶ διαζεύξας· ἵνα μήτε τὸ φιλόσοφον ἀκοινώνητον ᾖ, μήτε τὸ πρακτικὸν ἀφιλόσοφον· ὥσπερ δὲ γῆ καὶ θάλασσα, τὰ παρ' ἑαυτῶν ἀλλήλοις ἀντιδιδόντες, εἰς μίαν δόξαν Θεοῦ συντρέχωσι.

A ad futurum. Quis igitur magis quam ille, aut virginitatem in pretio habuit, aut carni leges imposuit, idque, non suo tantum exemplo, 817 sed etiam per ea quibus operam dedit? Cujus sunt virginum cœnobia, ac præcepta illa litteris mandata, quibus et omnes sensus coercebat, et membra omnia componebat, ac vere virginitatem colere admonebat, pulchritudinem, ab iis rebus, quæ aspectu sentiuntur, ad ea, quæ oculorum obtutum fugiunt, convertens; atque id quidem, quod externum est, debilitans, flammæque materiam subtrahens, quod autem internum et occultum est, Deo, qui solus est purarum animarum sponsus, atque insomnes animas, si modo cum claris lampadibus et copiosa olei alimonia obviam ipsi prodierint, secum introducit, B spectandum offerens? Cum igitur solitaria vita, et ea, quæ societate gaudet, ut plurimum inter se dissiderent, ac pugnarent, neutraque omnino, vel commoda, vel incommoda sua pura et immista haberet; verum illa magis quidem tranquilla et sedata esset, ac Deo animos copularet, cæterum ob eam causam fastu non careret, quod virtus non exploraretur, nec in comparationem veniret; hæc autem magis quidem actuosa et utilis esset, verum a tumultibus minus libera; eas præclare inter se reconciliavit ac permiscuit, pietatis nimirum gymnasia et monasteria exstruens, non tamen longo intervallo ab iis, qui in sodalitio vivunt, remota, nec, velut muro quopiam interjecto, ea distinguens atque a se invicem separans, verum prope conjungens ac dirimens: ut nec contemplatio communicationis expers esset, nec actio contemplatione careret; sed quemadmodum terra et mare, ita etiam hæ duæ vitæ commoda sua inter se communicantes, ad unicam Dei gloriam concurrerent.

ΞΓ'. Τί ἔτι; Καλὸν φιλανθρωπία, καὶ πτωχοτροφία, καὶ τὸ τῆς ἀνθρωπίνης ἀσθενείας βοήθημα. Μικρὸν ἀπὸ τῆς πόλεως πρόελθε, καὶ θέασαι τὴν καινὴν πόλιν (11), τὸ τῆς εὐσεβείας ταμεῖον (12), τὸ κοινὸν τῶν ἐχόντων θησαύρισμα, εἰς ὃ τὰ περιττὰ τοῦ πλούτου, ἤδη δὲ καὶ τὰ ἀναγκαῖα ταῖς ἐκείνου παραινέσεσιν ἀποτίθεται (13), σῆτας ἀποσειόμενα, καὶ κλέπτας οὐκ εὐφραίνοντα, καὶ φθόνου πάλην, καὶ καιροῦ φθορὰν (14) διαφεύγοντα· ἐν ᾧ νόσος φιλοσοφεῖται, καὶ συμφορὰ μακαρίζεται, καὶ τὸ συμπαθὲς δοκιμάζεται. Τί μοι (15) πρὸς τοῦτο τὸ

C LXIII. Quid præterea? Pulchra res, benignitas, et pauperum alendorum studium, atque humanæ infirmitati opem ferre. Paululum extra civitatem pedem effer, ac novam civitatem conspice, illud pietatis promptuarium, illud commune locupletum ærarium, in quod, non modo redundantes ac superfluæ opes, sed jam necessariæ quoque facultates per illius cohortationes reconduntur, tineas excutientes, fures non oblectantes, invidiæ certamen, et temporis corruptionem effugientes; in quo morbus æquo animo toleratur, et calamitas beata censetur,

(2) *Παρθενίαν*. Pass., ἀσαρκίαν.

(3) *Καὶ τὸ μέν*. Sic Reg. bm, duodecim Colb., duo Coisl., Pass., etc. Mendose in Par. ed., καὶ τὸ μή.

(4) *Ὑποσπῶν*. In quibusdam, ἀποσπῶν.

(5) *Λαμπάδων αὐτῷ*. Sic quinque Regg., duo Coisl. et Pass. In ed., αὐτῷ ponitur post τροφῆς.

(6) *Οὐδετέρου*. Reg. bm, Or. 2 et Comb., οὐθετέρου.

(7) *Τὸ δέ*. Sic quinque Regg., duo Coisl. et Pass. Deest δέ in ed.

(8) *Φεύγοντος*. Sic plures codd. In ed., φεύγοντες.

(9) *Ἀσκητήρια*, etc. Videtur Gregorius hæc stricte accipere, atque intelligere eos, qui singuli in solitudine, semotis arbitris, in virtutis palæstra sese exercent. Ad hanc formam instituti videntur Carthusiani et Camaldulenses.

(10) *Ἀπ' ἀλλήλων*. Sic quinque Regg., etc. In D ed., ἐπ' ἀλλήλων. Mox, χωρίσας, Or. 2, χωρήσας.

(11) *Καινὴν πόλιν*. Intelligit hospitalem domum, quam Basilius, alendis pauperibus et fovendis ægrotis, extra Cæsaream construendam curaverat.

(12) *Ταμεῖον*. Quatuor Regg., Pass. et Comb., ταμιεῖον.

(13) *Ἀποτίθεται*. Reg. pn, ἀποτίθενται.

(14) *Φθοράν*. Quinque Regg. et Pass., φοράν, « onus. »

(15) *Τί μοι*, etc. Septem mundi miracula hic a Gregorio intelliguntur; nempe, Thebæ in Bœotia septem portas habentes, et Thebæ in Ægypto centum portis cinctæ; muri Babylonii a Semiramide exstructi; Mausoli sepulcrum in Caria ab Artemisia uxore conditum; Ægypti pyramides; colossus Rhodius; Romæ Capitolium; Adriani templum apud Cyzicenos.

et misericordia **818** exploratur. Quid cum hoc opere comparem Thebas septem portas habentes, et Ægyptias illas, et muros Babylonicos, et Caricum Mausoli sepulcrum, et Pyramides, et Colossi æs immensum, et delubra mira magnitudine atque eleganti arte confecta, jam eversa et prostrata, cæteraque omnia, quæ homines admirantur, atque historiis prodiderunt; ex quibus omnibus, præter inanem quamdam et exiguam gloriam, nulla prorsus utilitas ad exstructores rediit? Mihi vero nulla res perinde admirabilis videtur, atque compendiaria hæc ad salutem via, hic facilis in cœlum ascensus. Non jam oculis nostris triste et miserandum spectaculum proponitur, homines ante mortem vita functi, ac pluribus corporis membris mortui, civitatibus, domibus, foro, aquis, hominibus etiam sibi charissimis expulsi, nominibus potius quam corporum lineamentis agnoscendi: nec in publicis cœtibus et conventibus per sodalitia et contubernia offeruntur, non jam misericordiam ob morbum, sed odium sui concitantes; miserabilium cantionum artifices, si quibus tamen vox quoque ipsa superest. Quid res nostras omnes tragicis verbis prosequar, cum nulla oratio huic calamitati par inveniri queat? At ille omnium maxime nobis persuasit, ut, cum homines simus, homines ne contemnamus, nec per nostram in illos crudelitatem, Christum, unum omnium caput, ignominia afficiamus; sed in alienis calamitatibus nobisipsis optime consulamus, Deoque misericordiam, qua ipsi egemus, feneremur. Quocirca ne labra quidem vir nobilis, et nobilibus ortus, gloriaque clarissimus, ægrotis admovere gravabatur; verum ut fratres amplectebatur, non, ut quispiam fortasse existimaverit, inanem gloriam captans (quis enim ab hoc affectu remotior?), verum per philosophiam suam hoc aliis præscribens, ut ad ægrorum corporum curationem accedere non vererentur. Ita, non modo loquendo, sed etiam tacendo, monitoris partes obibat. Nec vero civitas quidem ad hunc modum se gerebat, regio autem atque externa loca non item: quin potius, omnibus populi præsulibus commune benignitatis erga pauperes et munificentiæ certamen proposuit. Et aliorum quidem coqui, et lautæ mensæ, et cupediariorum lenocinia et scitamenta, et elegantes currus, et vestes molles lateque diffluentes: Basilii autem, ægroti, et vulnerum **819** curationes, et Christi imitatio, non quidem sermone, sed opere lepram purgantis.

A ἔργον, ἑπτάπυλοι Θῆβαι, καὶ Αἰγύπτιαι, καὶ τείχη Βαβυλώνια, καὶ Μαυσώλου Καρικὸς τάφος, καὶ Πυραμίδες, καὶ Κολοσσοῦ χαλκὸς ἄμετρος, ἢ ναῶν μεγέθη καὶ κάλλη τῶν μηκέτι ὄντων, ἄλλα τε ὅσα θαυμάζουσιν ἄνθρωποι, καὶ ἱστορίαις (16) διδόασιν· ὧν οὐδὲν τοὺς ἐγείραντας, πλὴν δόξης ὀλίγης ὤνησεν; Ἐμοὶ δὲ θαυμασιώτατον, ἡ σύντομος τῆς σωτηρίας ὁδὸς, ἡ ῥᾴστη πρὸς οὐρανὸν ἀνάβασις. Οὐκ ἔτι πρόκειται τοῖς ὀφθαλμοῖς ἡμῶν θέαμα δεινὸν καὶ ἐλεεινὸν, ἄνθρωποι (17) νεκροὶ πρὸ θανάτου, καὶ τετελευτηκότες τοῖς πλείστοις τοῦ σώματος μέλεσιν, ἀπελαυνόμενοι πόλεων, οἰκιῶν, ἀγορῶν, ὑδάτων, αὐτῶν τῶν φιλτάτων, ὀνόμασι μᾶλλον, ἢ σώμασι γνωριζόμενοι· οὐδὲ προτίθενται συνόδοις τε καὶ συλλόγοις κατὰ συζυγίαν τε καὶ συναυλίαν, μηκέτ' B ἐλεούμενοι διὰ τὴν νόσον, ἀλλὰ μισούμενοι· σοφισταὶ μελῶν ἐλεεινῶν, εἴ τισι καὶ φωνὴ λείπεται (18). Τί ἂν ἅπαντα (19) ἐκτραγῳδοίην τὰ ἡμέτερα, οὐκ ἀρκοῦντος τοῦ λόγου τῷ πάθει; Ἀλλ' ἐκεῖνός γε μάλιστα πάντων ἔπεισεν, ἀνθρώπους ὄντας, ἀνθρώπων μὴ καταφρονεῖν, μηδ' ἀτιμάζειν Χριστὸν τὴν μίαν πάντων κεφαλὴν διὰ τῆς εἰς ἐκείνους ἀπανθρωπίας· ἀλλ' ἐν ταῖς ἀλλοτρίαις (20) συμφοραῖς, τὰ οἰκεῖα εὖ τίθεσθαι, καὶ δανείζειν (21) Θεῷ τὸν ἔλεον, ἐλέου (22) χρῄζοντας. Διὰ τοῦτο, οὐδὲ τοῖς χείλεσιν ἀπηξίου τιμᾷν τὴν νόσον, ὁ εὐγενὴς τε καὶ τῶν εὖ γεγονότων, καὶ τὴν δόξαν ὑπέρλαμπρος, ἀλλ' ὡς ἀδελφοὺς ἠσπάζετο, οὐχ ὅπερ ἄν τις ὑπολάβοι κενοδοξῶν, (τίς γὰρ τοσοῦτον ἀπεῖχε τοῦ πάθους;) ἀλλὰ τὸ προσιέναι τοῖς σώμασιν ἐπὶ θεραπείᾳ διὰ τῆς ἑαυτοῦ φιλοσοφίας C τυπῶν, καὶ φθεγγομένη καὶ σιωπῶσα παραίνεσις. Καὶ οὐχ ἡ μὲν πόλις οὕτως, ἡ χώρα δὲ καὶ τὰ ἐκτὸς, ἑτέρως· ἀλλὰ κοινὸν ἅπασιν ἀγῶνα προὔθηκε τοῖς τῷ λαῷ (23) προεστῶσι, τὴν εἰς αὐτοὺς φιλανθρωπίαν, καὶ μεγαλοψυχίαν. Καὶ ἄλλων μὲν οἱ ὀψοποιοὶ, καὶ αἱ λιπαραὶ τράπεζαι, καὶ τὰ μαγείρων μαγγανεύματα καὶ κομψεύματα, καὶ οἱ φιλόκαλοι δίφροι, καὶ τῆς ἐσθῆτος ὅση μαλακή τε καὶ περιῤῥέουσα· Βασιλείου δὲ, οἱ νοσοῦντες, καὶ τὰ τῶν τραυμάτων ἄκη, καὶ ἡ Χριστοῦ μίμησις, οὐ λόγῳ μὲν, ἔργῳ δὲ λέπραν καθαίροντος.

LXIV. Quid ad hæc nobis dicturi sunt, qui homini fastum superciliumque objiciunt? Iniqui sane et acerbi rerum hujusmodi judices, eosque, qui regulæ non sunt, ad regulam admoventes. An vero fieri potest, ut qui leprosos deosculetur, et huc usque se demittat, adversus sanos et valentes su-

D ΞΔ'. Πρὸς ταῦτα, τί φήσουσιν ἡμῖν οἱ τὸν τῦφον ἐγκαλοῦντες ἐκείνῳ καὶ τὴν ὀφρὺν, οἱ πικροὶ τῶν τηλικούτων κριταὶ, καὶ τῷ κανόνι (24) τοὺς οὐ κανόνας προσάγοντες; Ἔστι λεπροὺς μὲν ἀσπάζεσθαι, καὶ μέχρι τούτου συνταπεινοῦσθαι, τῶν δὲ ὑγιαινόντων κατοφρυᾶσθαι; Καὶ τήκειν μὲν τὰς σάρκας

(16) *Ἱστορίαις*. Pass., ἱστορίαι.

(17) *Ἄνθρωποι*, etc. Comb. legit, ἄνθρωποι νεκροὶ καὶ πρὸ θανάτου τετελευτηκότες, etc., « homines mortui, et ante mortem plerisque corporis membris exstincti. »

(18) *Λείπεται*. Pass., λείπηται.

(19) *Ἅπαντα*. Quinque Regg. et Pass., πάντα.

(20) *Ταῖς ἀλλοτρίαις*. Sic plerique Regg. et Colb., Chrys., Or. 2, Par., Pass., etc. Deest ἀλλοτρίαις in ed.

(21) *Δανείζειν*. Sic codd. in ed., δανείζει.

(22) *Ἐλέου*. Or. 2, ἐλέους.

(23) *Τῷ λαῷ*. Plures codd., τῶν λαῶν.

(24) *Καὶ τῷ κανόνι*, etc. Sic exponit Græcus interpres: Κανονίζειν αὐτὸν, καὶ ὀρθοῦν βουλόμενοι, αὐτοὶ ἀνόρθωτοι. Id est: « Componere atque erigere illum cupientes, cum ipsi pravi et obtorti sint. »

A δι' ἐγκρατείας, τὴν ψυχὴν δὲ οἰδαίνειν κενῷ φρυάγματι; Καὶ τοῦ μὲν Φαρισαίου καταγινώσκειν, καὶ διηγεῖσθαι τὴν ἐξ ὄγκου ταπείνωσιν, καὶ Χριστὸν εἰδέναι μέχρι δούλου μορφῆς κατελθόντα, καὶ τελώναις συνέσθοντα (25), καὶ νίπτοντα τοὺς πόδας τῶν μαθητῶν, καὶ σταυρὸν οὐκ ἀπαξιοῦντα, ἵνα προσηλώσῃ τὴν ἐμὴν ἁμαρτίαν (καίτοι τί τούτου παραδοξότερον, Θεὸν σταυρούμενον (26) βλέπειν, καὶ τοῦτον μετὰ λῃστῶν, καὶ ὑπὸ τῶν παριόντων γελώμενον, τὸν ἀνάλωτον, καὶ τοῦ παθεῖν ὑψηλότερον)· αὐτὸν δὲ ὑπερνεφεῖν, καὶ μηδὲν γινώσκειν ὁμότιμον, ὃ δοκεῖ τοῖς ἐκείνῳ βασκαίνουσιν; Ἀλλ' οἶμαι τὸ τοῦ ἤθους εὐσταθὲς, καὶ βεβηκὸς, καὶ ἀπεξεσμένον, τῦφον ὠνόμασαν. Οἱ δ' αὐτοί μοι δοκοῦσι ῥᾳδίως ἂν καὶ τὸν ἀνδρεῖον καλέσαι θρασὺν, καὶ δειλὸν τὸν περιεσκεμμένον, καὶ τὸν σώφρονα μισάνθρωπον, καὶ τὸν B δίκαιον ἀκοινώνητον. Καὶ γὰρ οὐ φαύλως τοῦτό τινες πεφιλοσοφήκασιν· Ὅτι *παραπεπήγασι* (27) *ταῖς ἀρεταῖς αἱ κακίαι, καὶ εἰσί πως ἀγχίθυροι*· καὶ ῥᾷστον, ἄλλο τι ὄντα ἕτερον νομισθῆναι τοῖς μὴ τὰ τοιαῦτα πεπαιδευμένοις. Τίς γὰρ ἐκείνου μᾶλλον ἢ ἀρετὴν ἐτίμησεν, ἢ κακίαν ἐκόλασεν, ἢ χρηστὸς ὤφθη τοῖς κατορθοῦσιν, ἢ τοῖς ἁμαρτάνουσιν ἐμβριθής· οὗ καὶ τὸ μειδίαμα πολλάκις ἔπαινος ἦν, καὶ τὸ σιωπᾷν ἐπιτίμησις, οἰκείῳ συνειδότι τὸ κακὸν βασανίζουσα; Εἰ δὲ μὴ στωμύλος τις (28) ἦν, μηδὲ γελοιαστὴς, καὶ ἀγοραῖος, μηδὲ τοῖς πολλοῖς ἀρέσκων, ἐκ τοῦ πᾶσι πάντα γίνεσθαι, καὶ χαρίζεσθαι, τί τοῦτο; Οὐκ ἐπαινετέος μᾶλλον ἢ μεμπτέος, τοῖς γε νοῦν ἔχουσιν; Εἰ μὴ καὶ τὸν λέοντα αἰτιῷτό τις, C ὅτι μὴ πιθήκειον βλέπει, ἀλλὰ βλοσυρὸν καὶ βασιλικὸν, οὗ καὶ τὰ σκιρτήματα γενναῖα, καὶ μετὰ θαύματος ἀγαπώμενα· καὶ τοὺς ἐπὶ τῆς (29) σκηνῆς θαυμάζοι, ὡς ἡδεῖς τε καὶ φιλανθρώπους, ὅτι τοῖς δήμοις χαρίζονται, καὶ κινοῦσι γέλωτα τοῖς ἐπὶ κόῤῥης ῥαπίσμασι καὶ ψοφήμασι (30). Καίτοι κἂν εἰ τοῦτο ζητοίημεν, τίς μὲν οὕτως ἡδὺς ἐν ταῖς συνουσίαις, ὅσα ἐμὲ γινώσκειν τὸν μάλιστα ἐκείνου πεπειραμένον; τίς (31) διηγήσασθαι χαριέστερος; τίς μὲν σκῶψαι παιδευτικῶς; τίς δὲ καθάψασθαι ἁπαλῶς; Καὶ μήτε τὴν ἐπιτίμησιν θράσος ποιῆσαι (32), μήτε τὴν ἄνεσιν ἔκλυσιν, ἀλλ' ἀμφοτέρων τὴν ἀμετρίαν φυγεῖν, ἀμφοτέροις σὺν λόγῳ καὶ καιρῷ χρώμενον, κατὰ τοὺς Σαλομῶντος νόμους, παντὶ πράγματι καιρὸν διατάξαντος (33).

D ΞΕ'. Ἀλλὰ τί ταῦτα πρὸς τὴν ἐν λόγοις τοῦ ἀνδρὸς ἀρετὴν, καὶ τὸ τῆς διδασκαλίας (34) κράτος τὰ πέρατα οἰκειούμενον; Ἔτι περὶ τοὺς πρόποδας τοῦ

A percilium attollat? Qui carnes continentia et inedia conficiat, inani animi fastu infletur? Qui Pharisæum damnet, atque illius ex arrogantia depressionem commemoret, et Christum sciat ad formam usque servilem sese demisisse, et cum publicanis comedisse, et discipulorum pedes ablnisse, nec crucem recusasse, ut peccatum meum affigeret (quanquam quid hoc mirabilius, Deum, qui capi atque expugnari nequit, ac perpessione omni sublimior est, pendentem, et quidem cum latronibus, ac prætereuntium ludibrio expositum intueri); idem tamen supra nubes sese efferat, atque omnibus anteponat, quemadmodum iis videtur, qui ipsius virtuti invident? Verum illi fastus nomen, ut opinor, morum firmitati et innocentiæ imposuerunt. At iidem homines facile B quoque mihi facturi videntur, ut et fortem, temerarium appellent; et prudentem ac circumspectum, timidum; et temperantem, agrestem et inhumanum; et justum, illiberalem et sordidum. Neque enim hoc quidam male tradiderunt: *Virtutibus finitima et quodammodo vicina esse vitia;* nihilque facilius esse, quam ut ab illis, qui hujusmodi rerum scientiam non tenent, res quædam aliud esse judicetur, quam revera sit. Quis enim magis aut virtutem coluit, aut vitium coercuit, vel officio probe functis benigniorem ac suaviorem, aut peccantibus severiorem se præbuit; utpote cujus vel pertenuis risus sæpe laudatio esset, et silentium increpatio, in propria nimirum cujusque conscientia culpam explorans ac C puniens? Quod si non lepidus quispiam et facetus erat, nec circumforaneus, nec ex eo quod omnibus omnia fieret, plerisque gratus et acceptus, quid tum? Nonne laudem potius quam reprehensionem hoc nomine meretur, saltem apud mente præditos? Nisi quis leonem etiam accusandum putet, quod non simiæ vultum, sed torvum quemdam et horrificum ac regium **820** præferat, cujus ipsæ quoque saltationes fortes et generosæ sunt, et cum admiratione jucundæ; atque etiam histriones, ut suaves et humanitatis plenos, admiretur, quoniam populi voluptatibus inserviunt, colaphosque sibi invicem in malam impingendo, strepitumque ciendo, risum ei movent. Quanquam etiam, si hoc quæramus, quis in cœtibus adeo jucundus, quantum quidem ipse cognosco, qui ipsius maxime periculum feci? Quis in narrando festivior? Quis in jocando argutior? Quis in objurgando lenior. Sic ut neque increpatio in temeritatem, neque indulgentia in mollitiem recideret, sed utriusque excessum fugeret, utroque congruenter et tempestive utens, juxta Salomonis leges, qui omnibus rebus tempus constituit [33].

D LXV. Sed quid ista sunt, præ illius dicendi facultate, palmaque doctrinæ, qua extremas orbis partes inter se conciliavit? Adhuc in montis radi-

[33] Eccle. III, 1.

(25) *Συνέσθοντα.* In nonnullis, συνεσθίοντα.

(26) *Θεὸν σταυρούμενον.* « Deum crucifixum : » scilicet ratione carnis assumptæ.

(27) *Παραπεπήγασι*, etc. Menander dixit : Ἐγγὺς ἀγαθῷ κακὸν παραπέφυκε· « Malum natura sua bono propinquum est. » Et Aristoteles : « Vitia sunt virtutibus » ἀγχίθυρα, id est, « vicina. »

(28) *Στωμύλος τις.* Deest τις in Or. 2.

(29) *Τῆς.* Deest in pluribus codd.

(30) *Ψοφήμασι.* Pass., σοφίσμασι.

(31) *Τίς.* Plures codd. addunt, δέ.

(32) *Ποιῆσαι.* Pass., ποιεῖσθαι.

(33) *Διατάξαντος.* In nonnullis, διδάσκοντος.

(34) *Τὸ τῆς διδασκαλίας*, etc. « Vis illa doctrinæ orbis fines concilians. »

cibus versamur, a vertice remoti: adhuc fretum trajicimus, relicto magno et profundo Oceano. Existimo enim, si quæ unquam tuba fuit, vel futura est, in aerem quam longissime penetrans, aut vox Dei totum orbem comprehendens, aut universæ terræ motus novo quodam et mirando modo exortus, hæc omnia vocem illius ac mentem fuisse, tantum omnes a tergo relinquentem atque infra se collocantem, quantum nos brutorum naturam superamus. Quis seipsum magis Spiritui purgavit, atque ita se comparavit, ut dignus esset, qui oracula divina explanaret? Quis rursum majori scientiæ luce collustratus est, atque in profunda Spiritus prospexit, ac cum Deo, quæ Dei sunt, exquisivit? Quis porro sermonem habuit animi sensa melius exponentem, ita ut neutra parte, ut plerique, claudicaret, nempe, vel mente sermone destituta, vel sermone qui ad mentis intelligentiam non assurgat: verum parem in utraque re laudem obtineret, parque ipse sibi haud dubie esset, ac vere integer et perfectus. Ac quædam Scriptura hoc Spiritui sancto tribuit, quod omnia scrutetur, etiam profunda Dei[33], non ut ignorans, sed ut ex eorum contemplatione summam voluptatem capiens. Basilius autem omnia, quæ Spiritus sunt, perscrutatus est, ex eoque mores omnes erudivit, ac sublimiter loqui docuit, hominumque animos **821** a rebus præsentibus abstractos ad futura traduxit.

A δρους στρεφόμεθα, τῆς ἄκρας ἀπολειπόμενοι (35). ἔτι πορθμὸν διαπερῶμεν, ἀφέντες τὸ μέγα καὶ βαθὺ πέλαγος. Οἶμαι γὰρ, εἴ τις ἐγένετο, ἢ γενήσεται σάλπιγξ ἐπὶ πολὺ τοῦ ἀέρος φθάνουσα, ἢ Θεοῦ φωνὴ τὸν κόσμον περιλαμβάνουσα, ἢ σεισμὸς οἰκουμένης ἔκ τινος καινοτομίας καὶ θαύματος, ταῦτα εἶναι τὴν ἐκείνου φωνὴν καὶ διάνοιαν, τοσοῦτον ἅπαντας ἀπολείπουσαν καὶ κάτω τιθεῖσαν, ὅσον τὴν τῶν ἀλόγων φύσιν ἡμεῖς. Τίς μὲν ἑαυτὸν ἐκάθηρε μᾶλλον τῷ Πνεύματι, καὶ ἄξιον τοῦ διηγεῖσθαι τὰ θεῖα παρεσκεύασε; τίς δὲ μᾶλλον ἐφωτίσθη φῶς γνώσεως, καὶ διέκυψεν εἰς τὰ βάθη τοῦ Πνεύματος, καὶ μετὰ Θεοῦ (36) τὰ περὶ Θεοῦ διεσκέψατο; τίς δὲ λόγον ἔσχεν ἀμείνω τῶν νοηθέντων ἑρμηνευτὴν, ὡς μηδ' ἑτέρῳ (37) σκάζειν, κατὰ τοὺς πολλοὺς, ἢ νῷ λόγον B οὐκ ἔχοντι, ἢ λόγῳ μὴ κατὰ νοῦν βεβηκότι· ἀλλ' ἀμφοτέρωθεν ὁμοίως εὐδοκιμεῖν, καὶ αὐτὸν ἴσον ἑαυτῷ φαίνεσθαι, καὶ ὄντως ἄρτιον. Πάντα μὲν ἐρευνᾷν, καὶ τὰ βάθη τοῦ Θεοῦ, τῷ Πνεύματι μεμαρτύρηται, οὐχ ὡς ἀγνοοῦντι, ἀλλ' ὡς ἐντρυφῶντι τῇ θεωρίᾳ. Πάντα δὲ ἐκείνῳ διηρεύνηται τὰ τοῦ Πνεύματος, ἐξ ὧν ἦθος ἅπαν ἐπαίδευσε, καὶ ὑψηγορίαν ἐδίδαξε (38), καὶ τῶν παρόντων ἀπανέστησε, καὶ πρὸς τὰ μέλλοντα μετεσκεύασεν (39).

LXVI. Laudatur apud Davidem solis pulchritudo, et magnitudo, et cursus celeritas, et vis ac facultas; quippe qui sponsum splendore, gigantem magnitudine referat[34], ac longe lateque progrediendo, tantam vim habeat, ut ab extremis extrema æque collustret, nec locorum intervallis ipsius calor ullo modo minuatur. Basilio autem pulchritudo, virtus fuit; magnitudo, theologia; cursus, perpetua mentis agitatio, per quotidianos ascensus ad Deum ferens; potentia, doctrinæ semen ac distributio. Itaque ne hoc quidem mihi dicere verendum est, in omnem terram sonum illius exiisse, atque in fines orbis terræ vim illius verborum[35], quod de apostolis Paulus dixit, a Davide mutuatus. Quænam hodie alia ullius conventus lætitia? Quæ conviviorum voluptas? Quæ fori? Quæ ecclesiarum? Quæ principum et privatorum deliciæ? Quæ monachorum, aut eorum qui societate gaudent? Quæ eorum, qui se a negotiis removerunt, vel eorum qui in rebus gerendis versantur? Quæ eorum qui profanæ, vel eorum qui nostræ disciplinæ studium profitentur? Una, et per omnia, et maxima oblectatio, illius vo-

C ΞϚ'. Ἡλίου μὲν ἐπαινεῖται παρὰ τῷ Δαβὶδ κάλλος, καὶ μέγεθος, καὶ δρόμου τάχος, καὶ δύναμις· λάμποντος ὡς νυμφίου, εὐμεγέθους ὡς γίγαντος, οὗ καὶ τὸ πολὺ διαβαίνειν, ἔχει δύναμιν τοσοῦτον, ὡς ἀπ' ἄκρων τὰ ἄκρα ἰσοτίμως καταφωτίζειν, καὶ μηδὲν ἐλαττοῦσθαι τὴν θερμὴν τοῖς διαστήμασι. Τοῦ δὲ κάλλος μὲν, ἡ ἀρετή· μέγεθος δὲ, ἡ θεολογία· δρόμος δὲ, τὸ ἀεικίνητον, καὶ μέχρι Θεοῦ φέρον ταῖς ἀναβάσεσι· δύναμις δὲ, ἡ τοῦ λόγου σπορὰ καὶ διάδοσις. Ὥστε ἔμοιγε, οὐδὲ τοῦτο εἰπεῖν ὀκνητέον, τὸ εἰς πᾶσαν τὴν γῆν ἐξελθεῖν τὸν φθόγγον αὐτοῦ, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τῶν ῥημάτων τὴν δύναμιν· ὃ περὶ τῶν ἀποστόλων ὁ Παῦλος ἔφησε, παρὰ Δαβὶδ ἐκδεξάμενος (40). Τίς μὲν ἄλλη συλλόγου σήμερον χάρις; Τίς δὲ συμποσίων ἡδονή; Τίς δὲ ἀγορῶν; Τίς D δὲ ἐκκλησιῶν; Τίς τῶν ἐν τέλει, καὶ τῶν μετ' ἐκείνους τρυφή; Τίς μοναστῶν (41), ἢ μιγάδων; Τίς τῶν ἀπραγμόνων, ἢ τῶν ἐν πράγματι (42); Τίς τῶν τὰ ἔξωθεν φιλοσοφούντων, ἢ τὰ ἡμέτερα; Μία, καὶ διὰ πάντων, καὶ ἡ μεγίστη, τὰ ἐκείνου συγγράμματα καὶ πονήματα. Οὐδὲ γραφεῦσιν (43) εὐπορία τις ἄλλη μετ' ἐκεῖνον, ἢ τὰ ἐκείνου συγγράμματα. Σιωπᾶται

[33] I Cor. II, 10. [34] Psal. XVIII, 6. [35] ibid. 5; Rom. x, 18.

(35) *Ἔτι ... ἀπολειπόμενοι.* Hæc et interjecta desunt in quibusdam codd.

(36) *Θεοῦ.* Or. 2, τοῦ Θεοῦ.

(37) *Ἑτέρῳ.* Reg. ph, ἑτέρως.

(38) *Καὶ ὑψηγορίαν ἐδίδαξε.* Ait Billius, quasi ex Niceta, Gregorium his verbis significare voluisse, librum *De Trinitate* a Basilio fuisse scriptum; qui liber jam non exstat, nisi forte per hunc librum Orationes de theologia intelligendæ sint. Verum apud Nicetam nihil tale occurrit.

(39) *Μετεσκεύασεν.* Reg. ph, Pass. παρεσκεύασεν.

(40) *Ἐκδεξάμενος.* Sic plures Regg., plures Colb. et duo Coisl. In ed., ἐκλεξάμενος, « deligens, colligens. »

(41) *Μοναστῶν.* « Eorum qui solitariam vitam agunt; » ἢ μιγάδων, « aut eorum, qui pari virtutis palæstra cum aliis communicant. »

(42) *Πράγματι.* Quatuor Regg., Pass. et Comb., πράγμασι. »

(43) *Γραφεῦσιν*, etc. Savil., συγγραφεῦσί τις ἄλλη εὐπορία. »

τὰ παλαιὰ, ὅσα τινὲς τοῖς θείοις λογίοις ἐνίδρωσαν· βοᾶται τὰ νέα, καὶ οὗτος ἄριστος ἡμῖν ἐν λόγοις, ὃς ἂν τὰ ἐκείνου μάλιστα τυγχάνῃ γινώσκων, καὶ διὰ γλώσσης φέρων, καὶ συνετίζων τὰς ἀκοάς· ἤρκεσε γὰρ εἷς ἀντὶ πάντων τοῖς σπουδαιοτέροις εἰς παίδευσιν.

lumina et lucubrationes. Nec scriptoribus materia ulla alia et copia post eum, præter ipsius scripta, suppetit. Silentur vetera, quæcunque in divinorum oraculorum explanatione a quibusdam elaborata sunt: nova prædicantur; atque is apud nos eruditissimus habetur, qui libros ipsius quam maxime intelligit, ac lingua versat, auribusque instillat. Unus enim, omnium loco, studiosis ad eruditionem comparandam sufficit.

ΞΖ'. Ἐγὼ τοῦτο μόνον αὐτοῦ διηγήσομαι· Ὅταν τὴν *Ἑξαήμερον* αὐτοῦ μεταχειρίζωμαι, καὶ διὰ γλώσσης φέρω, μετὰ τοῦ κτίστου γίνομαι, καὶ γινώσκω κτίσεως λόγους, καὶ θαυμάζω τὸν κτίστην πλέον ἢ πρότερον, ὄψει μόνῃ διδασκάλῳ χρώμενος. Ὅταν τοῖς ἀντιῤῥητικοῖς ἐντύχω λόγοις, τὸ Σοδομιτικὸν ὁρῶ πῦρ, ᾧ τεφροῦνται γλῶσσαι πονηραὶ καὶ παράνομοι, ἢ τὸν Χαλάνης πύργον (44), κακῶς μὲν οἰκοδομούμενον, καλῶς δὲ λυόμενον. Ὅταν τοῖς περὶ Πνεύματος, εὑρίσκω Θεὸν, ὃν ἔχω, καὶ παῤῥησιάζομαι τὴν ἀλήθειαν, ἐπιβατεύων τῆς ἐκείνου θεολογίας καὶ θεωρίας. Ὅταν ταῖς ἄλλαις ἐξηγήσεσιν, ἃς τοῖς μικρὰ βλέπουσιν ἀναπτύσσει, τρισσῶς (45) ἐν ταῖς στεῤῥαῖς ἑαυτοῦ (46) πλαξὶ τῆς καρδίας ἀπογραψάμενος, πείθομαι μὴ μέχρι τοῦ γράμματος ἵστασθαι, μηδὲ βλέπειν τὰ ἄνω (47) μόνον, ἀλλὰ καὶ περαιτέρω διαβαίνειν, καὶ εἰς βάθος ἔτι χωρεῖν ἐκ βάθους, ἄβυσσον ἀβύσσῳ προσκαλούμενος, καὶ φωτὶ φῶς εὑρίσκων, μέχρις ἂν φθάσω πρὸς τὸ ἀκρότατον. Ὅταν ἀθλητῶν ἐγκωμίοις προσομιλήσω, περιφρονῶ τὸ σῶμα, καὶ σύνειμι τοῖς ἐπαινουμένοις (48), καὶ πρὸς τὴν ἄθλησιν διεγείρομαι. Ὅταν ἠθικοῖς λόγοις καὶ πρακτικοῖς, καθαίρομαι ψυχὴν καὶ σῶμα, καὶ ναὸς Θεοῦ γίνομαι δεκτικὸς, καὶ ὄργανον κρουόμενον Πνεύματι, καὶ θείας ὑμνῳδὸν δόξης τε καὶ δυνάμεως· τούτῳ (49) μεθαρμόζομαι, καὶ ῥυθμίζομαι, καὶ ἄλλος ἐξ ἄλλου γίνομαι, τὴν θείαν ἀλλοίωσιν ἀλλοιούμενος.

LXVII. Hoc tantum de eo dicam. Cum *Hexaemeron* illius in manus sumo, atque in ore habeo, cum Creatore conjungor, ac creationis rationes cognosco, Creatoremque magis admiror ac suspicio, quam prius solebam, cum solo aspectu magistro uterer. Cum libros eos, quibus hæreticorum scripta refutat, lego, Sodomiticum ignem cerno, quo improbæ ac sceleratæ linguæ in cinerem rediguntur [36], aut Chalanæ turrim [37], ut male constructam, ita recte interruptam atque deletam. Cum ea, quæ de Spiritu sancto scripsit, evolvo, Deum, quem habeo, nanciscor, veritatem libero **822** et fidenti animo prædico, illius videlicet theologiæ atque contemplationi insistens. Cum alias ejus enarrationes perlego, quas iis, qui hebetiori ingenio sunt, explicat, trifariam in solidis cordis sui tabulis describens, eo adducor, ut non in externo litteræ cortice pedem figam, nec verborum tantum superficiem spectem, sed ulterius progrediar, atque ex profundo in profundum transeam, abyssum per abyssum invocans [38], ac per lumen lumen inveniens, quoadusque ad summum tandem verticem pervenero. Cum martyrum encomia lego, corpus contemno, et cum iis, qui laudibus efferuntur, animo versor, atque ad certamen excitor. Cum orationes eas, quas de moribus ac bene vivendi ratione scripsit, in manus accipio, animo et corpore purgor, templumque Dei capax efficior, atque instrumentum musicum a Spiritu pulsatum, divinamque gloriam et potentiam canens; ipsius afflatu corrigor et concinnor, atque divina quadam immutatione alius ex alio efficior.

ΞΗ'. Ἐπεὶ δὲ θεολογίας ἐμνήσθην, καὶ τῆς περὶ τοῦτο τοῦ ἀνδρὸς μάλιστα μεγαλοφωνίας, ἔτι κἀκεῖνο προσθήσω τοῖς εἰρημένοις. Χρησιμώτατον γὰρ τοῖς πολλοῖς, τοῦ μὴ βλάπτεσθαι, τὴν χείρω περὶ αὐτοῦ δόξαν ἔχοντας. Πρὸς δὲ τοὺς κακούργους ὁ λόγος, οἳ τοῖς ἑαυτῶν κακοῖς βοηθοῦσιν, ἐξ ὧν ἄλλοις ἐπηρεάζουσιν. Ἐκεῖνος γὰρ, ἕνεκα (50) τοῦ ὀρθοῦ λόγου καὶ τῆς κατὰ τὴν ἁγίαν Τριάδα συναφείας καὶ συνθεΐας (51), ἢ οὐκ οἶδ' ὅ τι κυριώτερον χρὴ εἰπεῖν καὶ σαφέστερον (52), μὴ ὅτι θρόνων ἐκπεσεῖν, οἷς οὐδὲ

LXVIII. Quoniam autem theologiæ mentionem feci, ejusque in dicendo sublimitatis, qua ille in eo potissimum argumenti genere usus est, hoc adhuc superioribus adjungam. Simplicibus enim et imperitis utilissimum est providere, ne damno afficiantur, male et sinistre de ipso existimantes. Mihi vero ad improbos et malignos oratio est, qui ex eo quod alios calumniis incessunt, vitiis suis opem ferre moliuntur. Ille etenim pro recta doctrina, sanctæque Trinitatis conjunctione et condeitate, aut

[36] Gen. xix, 24. [37] Gen. xi, 4 sqq. [38] Psal. xli, 8.

(44) *Χαλάνης πύργον*. Sic Septuaginta vocant turrim illam, quæ turris Babylonica, seu Babel, vocari solet.

(45) *Τρισσῶς*. « Trifariam, » id est, historice, moraliter, et anagogice, seu mystice. Male in Reg. c, τρανῶς.

(46) *Ἑαυτοῦ*. Pro ἐμαυτοῦ, ait Combefisius. « In cordis mei tabulis. »

(47) *Μηδὲ βλέπειν τὰ ἄνω*. Exponit Nicetas: Ὑψηλῶς αὐτὰ θεωρεῖν· « Alto sensu intelligere Scripturas. » Quod ne quidem Gregorio satis est, sed ulterius jubet progredi, ut majores semper in Scripturarum intelligentia profectus habeamus.

(48) *Ἐπαινουμένοις*. Sic sex Regg., decem Colb., Or. 2, Par., Pass., etc. Sic etiam legit Bill. In ed., ἐπαίνοις.

(49) *Τούτῳ*. Id est, Πνεύματι· « Hoc Spiritu, » vel, « ipsius (Spiritus) afflatu. » Bill.: « per eas. »

(50) *Ἕνεκα*. Sex Regg. et Pass. addunt, μέν.

(51) *Καὶ συνθεΐας*. Coisl. 1, καὶ συμφυΐας, « concretione. »

(52) *Σαφέστερον*. Regg. bm, ph, Or. 2 et Par., [illegible].

nescio quo magis proprio et perspicuo verbo res ea notari potest, non modo de throno, ad quem ne ab initio quidem cupide prosiliit, exturbari ac dejici, sed etiam exsilio, et morte, atque ante mortem variis cruciatibus affici, prompto alacrique animo tulisset, ac lucro potius quam periculo deputasset. Hoc vero ita esse aperte declarant ea quæ et fecit et passus est: ut qui etiam ob veritatis defensionem exsilio multatus, nihil aliud negotii susceperit, quam uni ex assectis, ut se acceptis pugillaribus sequeretur, imperaret. Cæterum, sermones cum judicio disponere[39], de Davidis consilio et sententia, necessarium esse judicabat, ac belli tempus, et hæreticorum principatum aliquantisper **823** tolerare, quoad libertatis ac serenitatis tempus successisset, linguæque libertatem ac licentiam attulisset. Illi enim nudam et apertam vocem de Spiritu sancto, quod Deus esset, arripere studebant (quod quidem, tametsi verum erat, impium tamen illis, atque improbo impietatis antistiti videbatur); ut eum quidem cum theologica lingua civitate pellerent, ipsi autem Ecclesiam occuparent, eamque sceleris sui propugnaculum efficerent, atque hinc deinde, velut ex arce quadam, id omne, quod reliquum erat, popularentur. At ille, in aliis quidem vocibus e Scriptura petitis, testimoniisque minime dubiis, eamdem vim habentibus, necessariisque argumentis, adversarios ita comprimebat, ut nullo modo repugnare ac contra niti possent, sed, quæ maxima sermonis virtus et prudentia est, propriis vocibus constringerentur. Id autem perspicue ostendet is liber, quem hoc argumento edidit, in quo calamum quasi ex Spiritus pyxide movet; interim tamen propriam vocem usurpare differebat, tum ab ipsomet Spiritu, tum a sinceris ipsius propugnatoribus illud in gratiæ loco petens, ne hoc suo consilio offenderentur; nec committerent ut, dum unam voculam mordicus retinere conarentur, propter inexplebilem cupiditatem omnia perderent, turbulento nimirum tempore convulsa ac distracta pietate. Ipsos enim nihil ex eo incommodi ac detrimenti accepturos, si vocabula paululum immutarentur, modo aliis verbis eadem docerentur; neque enim salutem nostram in verbis potius, quam in rebus consistere; quippe cum ne Judæi quidem rejiciendi sint, si ad aliquod tempus pro *Christi* voce, vocem *Uncti* sibi concedi postulantes, in nostrum numerum atque ordinem ascribi velint; at reipublicæ non posse majorem perniciem ac pestem afferri, quam si Ecclesia ab hæreticis occuparetur.

A ἀπ' ἀρχῆς ἐπεπήδησεν (53), ἀλλὰ καὶ φυγὴν (54), καὶ θάνατον, καὶ τὰς πρὸ τοῦ θανάτου κολάσεις προθύμως ἐδέξατο ἄν, ὡς κέρδος, οὐ κίνδυνον. Δηλοῖ δὲ οἷς τε ἤδη πεποίηκεν, οἷς τε πέπονθεν· ὅς γε καὶ ἐξορίαν ὑπὲρ τῆς ἀληθείας καταχριθεὶς, τοσοῦτον ἐπραγματεύσατο μόνον, ὅσον ἑνὶ τῶν ἀκολούθων (55) εἰπεῖν, ἀραμένῳ τὸ πυκτίον (56) ἀκολουθεῖν. Οἰκονομεῖν δὲ τοὺς λόγους ἐν κρίσει, τῶν ἀναγκαίων (57) ἐνόμιζε, τῷ θείῳ Δαβὶδ περὶ τούτου συμβούλῳ χρώμενος, καὶ μικρὸν ὅσον τὸν τοῦ πολέμου καιρὸν διαφέρειν, καὶ τὴν τῶν αἱρετικῶν δυναστείαν, ἕως ὁ τῆς ἐλευθερίας καὶ τῆς αἰθρίας (58) ἐπιλάβοι καιρὸς, καὶ δῷ τῇ γλώσσῃ τὴν παῤῥησίαν. Οἱ μὲν γὰρ (59) ἐζήτουν λαβέσθαι γυμνῆς τῆς περὶ τοῦ Πνεύματος φωνῆς, ὡς εἴη Θεὸς (ὅπερ ὂν ἀληθὲς, ἀσεβὲς ἐκείνοις B ὑπελαμβάνετο, καὶ τῷ κακῷ προστάτῃ τῆς ἀσεβείας)· ἵνα τὸν μὲν τῆς πόλεως μετὰ τῆς θεολόγου γλώσσης ὑπερορίσωσιν, αὐτοὶ δὲ κατασχόντες τὴν Ἐκκλησίαν, καὶ τῆς ἑαυτῶν κακίας ὁρμητήριον ποιησάμενοι, ἐντεῦθεν τὸ λειπόμενον ἅπαν, ὡς ἔκ τινος ἀκροπόλεως, καταδράμωσιν. Ὁ δὲ, ἐν ἄλλαις μὲν φωναῖς γραφικαῖς, καὶ μαρτυρίαις ἀναμφιλέκτοις ταυτὸν δυναμέναις, καὶ ταῖς ἐκ τῶν (60) συλλογισμῶν ἀνάγκαις, οὕτως ἦρχε τοὺς ἀντιλέγοντας, ὥστε μὴ ἀντιβαίνειν (61) ἔχειν, ἀλλ' οἰκείαις συνδεῖσθαι φωναῖς, ἥπερ δὴ καὶ μεγίστη λόγου δύναμις καὶ σύνεσις. Δηλώσει δὲ καὶ ὁ λόγος, ὃν περὶ τούτου συνέγραψε, κινῶν τὴν γραφίδα, ὡς ἐκ πυξίδος τοῦ Πνεύματος· τὴν δὲ κυρίαν φωνὴν τέως ὑπερετίθετο (62), παρά C τε τοῦ Πνεύματος αὐτοῦ, καὶ τῶν γνησίων τούτου συναγωνιστῶν χάριν αἰτῶν, τῇ οἰκονομίᾳ μὴ δυσχεραίνειν (63)· μηδὲ μιᾶς ἀντεχομένους φωνῆς, τὸ πᾶν ἀπολέσαι δι' ἀπληστίαν, τῷ καιρῷ παρασυρείσης τῆς εὐσεβείας. Αὐτοῖς μὲν γὰρ οὐδεμίαν εἶναι ζημίαν, ὑπαλλαττομένων μικρὸν τῶν λέξεων, καὶ φωναῖς ἄλλαις τὸ ἴσον διδασκομένοις (64)· οὐδὲ γὰρ ἐν ῥήμασιν ἡμῖν εἶναι τὴν σωτηρίαν μᾶλλον ἢ πράγμασι· μηδὲ γὰρ τὸ Ἰουδαίων ἔθνος ἀπολαβεῖν ἄν, εἰ τὴν τοῦ (65) ἠλειμμένου φωνὴν, ἀντὶ τῆς Χριστοῦ, πρὸς ὀλίγον ἐπιζητοῦντες, ἠξίουν μεθ' ἡμῶν τάττεσθαι (66)· τῷ δὲ κοινῷ μεγίστην ἂν βλάβην γενέσθαι, τῆς Ἐκκλησίας κατασχεθείσης.

[39] Psal. CXI, 5.

(53) Ἐπεπήδησεν. Jes., ἐπεδήμησεν. Pass., ἐπεχείρησεν.

(54) Φυγήν. Sic tres Regg., Coisl. 1, Chrys., Jes., etc. In ed., φυγεῖν.

(55) Ἀκολούθων. Or. 2, ἀκολουθούντων.

(56) Πυκτίον. Regg. a, bm, ph et septem Colb., πτυκτίον.

(57) Τῶν ἀναγκαίων. In quibusdam, τῶν δικαίων, « justum. »

(58) Καὶ τῆς αἰθρίας. « Et serenitatis. » Hæc, quæ in editis deerant, addidimus ex quinque Regg., decem Colb., Coisl. 2, Or. 2 et Pass.

(59) Οἱ μὲν γάρ. Sic Or. 2 et Par. Deest γάρ in ed.

(60) Καὶ ταῖς ἐκ τῶν. Sic tres Regg., Or. 2 et D Pass. Deest ἐκ in edit.

(61) Ἀντιβαίνειν. Or. 2, ἀντιλέγειν, « contradicere. »

(62) Ὑπερετίθετο. Duo Regg. et Pass., ὑπερέθετο.

(63) Τῇ οἰκονομίᾳ μὴ δυσχεραίνειν. « Ne indulgentia, » vel « temperamento, offenderentur. » Quod scilicet expressis verbis Spiritum sanctum Deum non diceret; quamvis aliis vocibus, eamdem vim habentibus, ejus divinitatem prædicaret. Quæ quidem Basilii agendi ratio ab aliis culpata, Magno Athanasio probata fuit.

(64) Διδασκομένοις. Coisl. 1, τὸ ἴσον δυναμέναις, « eamdem vim habentibus. »

(65) Τὴν τοῦ. Sic plures Regg. Deest τοῦ in ed.

(66) Τάττεσθαι. In nonnullis, τετάχθαι.

ΞΘ'. Ἐπεὶ ὅτι γε παντὸς μᾶλλον ᾔδει τὸ Πνεῦμα Θεόν, δῆλον μὲν ἐξ ὧν καὶ δημοσίᾳ τοῦτο πολλάκις ἐκήρυξεν, εἴ ποτε καιρὸς ἦν, καὶ ἰδίᾳ τοῖς ἐρωτῶσι προθύμως ἀνωμολόγησε· σαφέστερον δὲ πεποίηκεν ἐν τοῖς πρὸς ἐμὲ λόγοις, πρὸς ὃν οὐδὲν ἀπόῤῥητον ἦν αὐτῷ περὶ τούτων κοινολογουμένῳ· μηδὲ ψιλῶς τοῦτο ἀποφηνάμενος, ἀλλ' ὃ μηδέπω πρότερον πολλάκις πεποίηκεν, ἐπαρασάμενος ἑαυτῷ τὸ φρικωδέστατον, αὐτοῦ τοῦ Πνεύματος ἐκπεσεῖν, εἰ μὴ σέβοι τὸ Πνεῦμα μετὰ Πατρὸς καὶ Υἱοῦ (67), ὡς ὁμοούσιον καὶ ὁμότιμον. Εἰ δέ μέ τις δέξαιτο κοινωνὸν ἐκείνου κἀν τοῖς τοιούτοις, ἐξαγορεύσω τι καὶ τῶν τοῖς πολλοῖς τέως (68) ἀγνοουμένων· ὅτι τοῦ καιροῦ στενοχωροῦντος ἡμᾶς, ἑαυτῷ μὲν τὴν οἰκονομίαν ἐπέτρεψεν (69), ἡμῖν δὲ τὴν παῤῥησίαν, οὓς οὐδεὶς ἔμελλε κρίνειν, οὐδὲ ἀποβάλλειν τῆς πατρίδος, ἀφανείᾳ τετιμημένους, ὡς ἐξ ἀμφοτέρων ἰσχυρὸν εἶναι τὸ καθ' ἡμᾶς Εὐαγγέλιον. Καὶ ταῦτα διῆλθον, οὐχ ἵνα τῆς ἐκείνου δόξης ὑπεραπολογήσωμαι (κρείττων γὰρ τῶν ἐγκαλούντων, εἴπερ τινές εἰσιν, ὁ ἀνήρ), ἀλλ' ἵνα μὴ τοῦτον ὅρον τῆς εὐσεβείας νομίζοντες (70), τὰς ἐν τοῖς γράμμασι μόνας τοῦ ἀνδρὸς εὑρισκομένας φωνὰς, ἀσθενεστέραν τὴν πίστιν ἔχωσι, καὶ ἀπόδειξιν τῆς ἑαυτῶν κακουργίας, τὴν ἐκείνου θεολογίαν, ἣν ὁ καιρὸς ἐποίει μετὰ τοῦ Πνεύματος· ἀλλὰ τὸν τῶν γεγραμμένων νοῦν δοκιμάζοντες, καὶ τὸν σκοπὸν ἀφ' οὗ ταῦτα ἐγράφετο, μᾶλλον τῇ τε ἀληθείᾳ προσάγωνται, καὶ τοὺς ἀσεβοῦντας ἐπιστομίζωσιν. Ἔμοιγ' οὖν εἴη, καὶ ὅστις ἐμοὶ φίλος, ἡ ἐκείνου θεολογία. Καὶ τοσοῦτον θαῤῥῶ τῇ περὶ τὸ πρᾶγμα τοῦ ἀνδρὸς καθαρότητι, ὥστε καὶ τοῦτο κοινοποιοῦμαι πρὸς ἅπασι· κἀκείνῳ μὲν τὰ ἐμὰ, ἐμοὶ δὲ τὰ ἐκείνου λογίζοιτο παρά τε Θεῷ καὶ τῶν ἀνθρώπων τοῖς εὐγνωμονεστέροις. Οὐδὲ γὰρ τοὺς εὐαγγελιστὰς φαίημεν ἂν ὑπεναντία ποιεῖν ἀλλήλοις, ὅτι οἱ μὲν τῷ σαρκικῷ τοῦ Χριστοῦ πλέον ἐνησχολήθησαν, οἱ δὲ τῇ θεολογίᾳ προσέθησαν· καὶ οἱ μὲν ἐκ τῶν καθ' ἡμᾶς, οἱ δὲ ἐκ τῶν ὑπὲρ ἡμᾶς ἐποιήσαντο τὴν ἀρχήν· οὕτω τὸ (71) κήρυγμα διελόμενοι πρὸς τὸ χρήσιμον οἶμαι τοῖς δεχομένοις, καὶ οὕτω παρὰ τοῦ ἐν αὐτοῖς τυπούμενοι Πνεύματος.

Ο'. Φέρε δὴ, πολλῶν ἐν τοῖς πάλαι καὶ νῦν γεγονότων ἀνδρῶν ἐπ' εὐσεβείᾳ γνωρίμων, νομοθετῶν, στρατηγῶν, προφητῶν, διδασκάλων, τῶν ἀνδρικῶν

LXIX. Nam quod alioqui melius quam quivis alii, Spiritum sanctum Deum agnosceret, cum ex eo perspicue constat, quod et hoc sæpe palam, quoad per tempus licebat, prædicavit, et privatim apud eos, a quibus interrogabatur, haud cunctanter confessus est; tum vero in suis ad me sermonibus apertius id demonstravit (neque enim quidquam unquam, cum de his rebus mecum colloqueretur, animo tectum 824 occultumque habuit); non simpliciter hoc affirmans, sed, quod antea ipsi perraro acciderat, sibi rem omnium maxime horrendam imprecatus, nempe, ut ab ipso Spiritu excideret, nisi cum Patre et Filio Spiritum, ut consubstantialem et honore parem, veneraretur. Quod si quis me in tantis quoque rebus illius socium admiserit, aliquid, quod plerisque incognitum ante fuit, evulgabo. Nam cum tempus in summas angustias nos redigeret, hanc ipse rationem inibat, ut sibi quidem dispensationem, nobis autem, quos, ob nominis obscuritatem, nemo in judicium adducturus, patriaque ejecturus esset, loquendi libertatem committeret. Atque ita Evangelium nostrum firmum et validum erat, utriusque præsidio suffultum. Nec vero hæc eo a me commemorata sunt, ut illius existimationem oratione mea defenderem; præstantior enim est, quam ut accusatoribus, si qui tamen sunt, in ipsius famam quidquam liceat; sed ne quidam, pietatis normam ac regulam solas eas voces, quæ in illius libris reperiuntur, esse existimantes, imbecilliorem fidem habeant, eamque de Divinitate disserendi rationem, quam ei tempus illud, non sine Spiritus numine, afferebat, in pravitatis suæ confirmationem trahant; verum eorum, quæ ab eo scripta sunt, sensum ac scopum, quem sibi, dum hæc scriberet, proponebat, expendentes, tum ad veritatem magis accedant, tum iis, qui in impietate versantur, os obstruant. Mihi quidem, omnibusque, quibus charus sum, utinam adsit illius theologia. Atque adeo, hujusce viri, quantum ad hanc rem attinet, puritati usqueadeo confido, ut, præter alia omnia, hoc quoque cum eo commune habere non recusem; ita ut ille mea, mihi vicissim illius omnia, et apud Deum, et apud candidissimos quosque homines, ascribantur. Nam neque evangelistas idcirco inter se pugnare dixerimus, quoniam alii in exponenda Christi humanitate plus operæ posuerunt, alii ad explicandam Divinitatis materiam se contulerunt; atque alii ab his rebus, quæ ad intelligentiam nostram sese accommodant, alii ab iis, quæ captum nostrum superant, auspicati sunt; sic videlicet prædicationem inter se partiti, ut eorum, qui eam excipiebant, utilitas ferebat, atque ita informati et edocti a Spiritu, qui in ipsorum animis erat.

LXX. Age igitur, cum multi viri, tum in Veteri, tum in Novo Testamento pietate clari et illustres fuerint, legislatores, militares duces, prophetæ,

(67) *Καὶ Υἱοῦ*. Tres Regg. et Or. 2, καὶ τοῦ Υἱοῦ.

(68) *Τέως*. Deest in Reg. a.

(69) *Τὴν οἰκονομίαν ἐπέτρεψεν*. « Sibi dispensationem permisit. » Billius addendo, « verbi, » quod delevimus, huic loco tenebras offudit, nedum aliquid lucis afferret. Non enim agitur de « verbi ministerio, » seu « prædicatione, » sed de quodam prædicandæ veritatis modo, ut recte exponit Nicetas, οἰκονομηθῆναι τὴν ἀλήθειαν, quod, probante Athanasio, sibi permisit Basilius, ne, magno Ecclesiæ damno, e sua sede ab hæreticis pelleretur.

(70) *Νομίζοντες*. Quatuor Regg., Coisl. 1, Or. 2 et Pass., γιγνώσκοντες, « agnoscentes. »

(71) *Τό*. Sic omnes fere codd. In ed., τῷ.

doctores, fortes **825** usque ad sanguinis profusionem, cum illis Basilium nostrum conferamus, atque hinc, qualis fuerit, agnoscamus. Adam Dei manu [40], ac deliciarum paradisi, et prima lege dignus habitus est; ille tamen, ne quid debitæ parenti nostro reverentiæ contumeliosum dicam, præceptum minime servavit: hic autem, et illud accepit, et servavit, nec ex scientiæ ligno incommodi quidquam accepit; nec dubito, quin flammeum gladium prætergressus, ad paradisum pervenerit. Enos primus spe adductus est, ut Dominum invocaret [41]: hic autem, non solum invocavit, sed, quod invocatione multo præstantius est, aliis quoque prædicavit. Enoch translatus est [42], exiguæ pietatis præmium (fides enim adhuc in umbris erat), hac translatione consecutus, vitæque sequentis periculum effugit: hujus autem vita omnis nihil aliud quam translatio erat, quippe qui perfecte in vita perfecta probatus et exploratus fuerit. Noe arcam fidei suæ commissam accepit [43], et secundi mundi semina parvo ligno credita, atque inter undas conservata: hic autem impietatis diluvium effugit, suamque civitatem arcam salutis effecit, in hæreticorum undis facile et leviter supernatantem, atque ex eo universum orbem recuperavit.

A μέχρις αἵματος, παρ' ἐκείνοις (72) τὰ ἡμέτερα θεωρήσαντες, κἀντεῦθεν τὸν ἄνδρα γνωρίσωμεν. Ἀδὰμ ἠξιώθη Θεοῦ χειρὸς, καὶ παραδείσου τρυφῆς, καὶ πρώτης νομοθεσίας· ἀλλ', εἰ μή τι λέγω βλάσφημον αἰδοῖ τοῦ προπάτορος, τὴν ἐντολὴν οὐκ ἐφύλαξεν· ὁ δὲ, καὶ ἐδέξατο ταύτην, καὶ διεσώσατο, καὶ τῷ ξύλῳ τῆς γνώσεως οὐκ ἐβλάβη, καὶ τὴν φλογίνην (73) ῥομφαίαν παρελθὼν, εὖ οἶδα, τοῦ παραδείσου τετύχηκεν. Ἐνὼς ἤλπισε πρῶτος ἐπικαλεῖσθαι τὸν Κύριον· ὁ δὲ, καὶ ἐπικέκληται, καὶ τοῖς ἄλλοις ἐκήρυξεν, ὃ τοῦ ἐπικαλεῖσθαι πολὺ τιμιώτερον. Ἐνὼχ μετετέθη μικρᾶς εὐσεβείας (ἔτι γὰρ ἐν σκιαῖς ἦν ἡ πίστις) ἆθλον εὑράμενος (74) τὴν μετάθεσιν, καὶ τοῦ ἑξῆς βίου τὸν κίνδυνον διαπέφευγε· τοῦ δὲ, ὅλος ὁ βίος μετάθεσις ἦν, τελείως ἐν βίῳ τελείῳ δοκι- B μασθέντος. Νῶε κιβωτὸν ἐπιστεύθη, καὶ κόσμου δευτέρου σπέρματα ξύλῳ μικρῷ πιστευθέντα, καὶ καθ' ὑδάτων σωζόμενα· ὁ δὲ κατακλυσμὸν ἀσεβείας διέφυγε, καὶ κιβωτὸν σωτηρίας τὴν ἑαυτοῦ πεποίηται πόλιν, κούφως τῶν αἱρετικῶν ὑπερπλέουσαν, ἐξ οὗ κόσμον ὅλον ἀνεκαλέσατο.

LXXI. Magnus Abraham, et patriarcha, et novæ victimæ mactator, eum, quem ex promissione acceperat, beneficii auctori offerens, victimam promptam et alacrem, atque ad cædem properantem [44]. At nec parva Basilii laus est, qui seipsum Deo obtulit, nec quidquam in ejus locum, tanquam ipsi par, (quidnam enim illud esset?) substitutum est, sed plene perfecteque litatum. Isaac etiam, antequam in lucem ederetur, promissus est [45]: hic autem sponte seipsum promisit, ac Rebeccam, hoc est, Ecclesiam, non procul quæsitam, sed e propinquo assumptam, uxorem duxit, nec per servorum legationem [46], sed divino beneficio concessam atque commissam; nec in filiorum prælatione circumventus est, sed unicuique, quod promerebatur, cum Spiritus judicio et delectu, sine ulla fraude ac circumscriptione, tribuit. Jam vero Jacobi scalam et columnam eam laudo, quam Deo unxit, ejusque etiam cum eo colluctationem [47], quæcunque tandem illa erat; est quidem, ut ipse opinor, humani moduli cum divina sublimitate comparatio et contentio, unde etiam procreatæ naturæ devictæ notas **826** gerit. Illius quoque circa ovium greges artificium et felicitatem, et duodecim ex eo natos patriarchas, et benedictionum partitionem cum egregia futurarum rerum prædictione conjunctam, lau-

OA'. Μέγας ὁ Ἀβραὰμ, καὶ πατριάρχης, καὶ θύτης καινῆς θυσίας, τὸν ἐκ τῆς ἐπαγγελίας τῷ δεδωκότι προσαγαγὼν, ἱερεῖον ἕτοιμον, καὶ πρὸς τὴν σφαγὴν ἐπειγόμενον· ἀλλ' οὐδὲ τὸ ἐκείνου μικρὸν, ἑαυτὸν προσήγαγε τῷ Θεῷ, καὶ οὐδὲν ὡς ἰσότιμον ἀντεδόθη, (τί γὰρ καὶ ἦν;) ὥστε καὶ τελειωθῆναι τὸ καλλιέ- C ρημα. Ἰσαὰκ ἐπηγγέλθη καὶ πρὸ γενέσεως· ὁ δὲ αὐτεπάγγελτος ἦν (75), καὶ τὴν Ῥεβέκκαν, λέγω δὴ (76) τὴν Ἐκκλησίαν, οὐ πόῤῥωθεν, ἀλλ' ἐγγύθεν ἠγάγετο, οὐδὲ διὰ πρεσβείας οἰκετικῆς, ἀλλ' ἐκ Θεοῦ δοθεῖσαν καὶ πιστευθεῖσαν· οὐδὲ κατεσοφίσθη περὶ τὴν τῶν τέκνων προτίμησιν, ἀλλ' ἑκάστῳ τὰ πρὸς ἀξίαν ἀπαραλογίστως ἔνεμε (77) μετὰ τῆς τοῦ Πνεύματος κρίσεως. Ἐπαινῶ τὴν Ἰακὼβ κλίμακα, καὶ τὴν στήλην (78), ἣν ἤλειψε τῷ Θεῷ, καὶ τὴν πρὸς αὐτὸν πάλην, ἥτις ποτὲ ἦν· οἶμαι δὲ τοῦ ἀνθρωπείου μέτρου πρὸς τὸ θεῖον ὕψος ἀντιπαρέκτασις, καὶ ἀντίθεσις (79), ὅθεν καὶ ἄγει (80) τὰ σύμβολα τῆς ἡττωμένης γενέσεως (81). Ἐπαινῶ καὶ τὴν περὶ τὰ θρέμματα τοῦ ἀνδρὸς εὐμηχανίαν καὶ εὐημερίαν, καὶ τοὺς δώδεκα ἐξ αὐτοῦ πατριάρχας, καὶ τὸν τῶν εὐλογιῶν μερισμὸν D σὺν οὐκ ἀγεννεῖ προφητείᾳ τοῦ μέλλοντος· ἀλλ' ἐπαινῶ καὶ τούτου τὴν οὐχ ὁραθεῖσαν μόνον, ἀλλὰ καὶ διαβαθεῖσαν κλίμακα ταῖς κατὰ μέρος εἰς ἀρετὴν (82) ἀναβάσεσι, καὶ τὴν στήλην, ἣν οὐκ ἤλειψεν, ἀλλ' ἤγειρε τῷ Θεῷ, τὰ τῶν ἀσεβῶν στηλιτεύουσαν, καὶ τὴν πά-

[40] Gen. I, 27 sqq. [41] Gen. IV, 26. [42] Gen. V, 21 sqq. [43] Gen. VI, 13 sqq. [44] Gen. XXII, 1 sqq. [45] Gen. XVIII, 10 sqq. [46] Gen. XXIV, 3 sqq. [47] Gen. XXVIII, 12 sqq.

(72) *Παρ' ἐκ.* Regg. d, ph et Pass., παρ' ἐκείνους.
(73) *Φλογίνην.* Reg. ph, πυρίνην.
(74) *Εὑράμενος.* Or. 2, εὑρόμενος.
(75) *Ἦν.* Deest in Reg. bm.
(76) *Δή.* Deest in Reg. ph.
(77) *Ἔνεμε.* Or. 2, ἔνειμε.
(78) *Στήλην.* Vulg. « Titulum. »
(79) *Καὶ ἀντίθεσις.* Sic sex Regg., duo Coisl., Or. 2, Par., etc. Deest in ed.
(80) *Ἄγει.* Pass., ἀλγεῖ.
(81) *Σύμβολα τῆς ἡττωμένης γενέσεως.* « Devictæ genituræ notas. » Quibus verbis videtur Gregorius significare hoc prælio vim liberos procreandi in Jacobo exstinctam fuisse, et quidem nullos postea habuit præter Benjamin, quem tum mater ejus Rachel in utero gestabat.
(82) *Εἰς ἀρετήν.* Pass., τῆς ἀρετῆς, « per singularum virtutum gradus. »

λην, ἣν οὐκ ἐπάλαισε πρὸς Θεὸν, ἀλλ' ὑπὲρ Θεοῦ, τὰ τῶν αἱρετικῶν καταβάλλουσαν, τήν τε ποιμαντικὴν τοῦ ἀνδρὸς, ἐξ ἧς ἐπλούτησε, πλείω τῶν ἀσήμων προβάτων κτησάμενος τὰ ἐπίσημα, τήν τε καλὴν πολυτεκνίαν τῶν κατὰ Θεὸν γεννηθέντων, καὶ τὴν εὐλογίαν, ᾗ πολλοὺς ἐστήριξεν.

dibus eveho. At hujus etiam, non conspectam tantum, sed et transitam, et per quotidianos virtutum gradus conscensam scalam laudo, et columnam, quam Deo, non quidem unxit, sed erexit, impiorum dogmata ad infamiæ sempiternæ notam inusta continentem, eamque dimicationem, quam, non adversus Deum, sed pro Deo suscepit, hæreticorum dogmata dejicientem ac prosternentem; ac præterea pastoralem illius artem, ex qua locupletatus est, plures oves insignitas, quam signi expertes adeptus; elegantem item et numerosam sobolem secundum Deum progenitam, ac denique benedictionem, qua multos suffulcivit.

ΟΒ'. Ἰωσὴφ ἐγένετο σιτοδότης, ἀλλ' Αἰγύπτου μόνης, καὶ οὐ πολλάκις, καὶ σωματικῶς· ὁ δὲ πάντων, καὶ ἀεὶ, καὶ πνευματικῶς, ὅπερ ἐμοὶ τῆς σιτοδοσίας (83) ἐκείνης αἰδεσιμώτερον. Μετὰ Ἰὼβ τοῦ Αὐσίτου (84), καὶ πεπείραται, καὶ νενίκηκε, καὶ ἀνηγόρευται λαμπρῶς ἐπὶ τέλει τῶν ἄθλων, μηδενὶ τῶν τινασσόντων πολλῶν ὄντων κατασεισθεὶς, ἀλλὰ πολλῷ τῷ περιόντι τὸν πειραστὴν (85) καταπαλαίσας, καὶ τῶν φίλων τὴν ἀλογίαν ἐπιστομίσας, ἀγνοούντων τὸ τοῦ πάθους μυστήριον (86). *Μωϋσῆς καὶ Ἀαρὼν ἐν τοῖς* (87) *ἱερεῦσιν αὐτοῦ*. Καὶ μέγας Μωϋσῆς μὲν Αἴγυπτον βασανίσας, λαὸν (88) διασώσας ἐν σημείοις πολλοῖς καὶ τέρασι, τῆς νεφέλης εἴσω χωρήσας, νομοθετήσας τὸν διπλοῦν νόμον, τόν τε τοῦ γράμματος ἔξωθεν, καὶ ὅσος ἔνδοθεν τὸν τοῦ Πνεύματος. Ἀαρὼν δὲ Μωϋσέως ἀδελφὸς, καὶ τὸ σῶμα, καὶ τὸ πνεῦμα, τοῦ λαοῦ προθυόμενος καὶ προσευχόμενος (89), μύστης τῆς ἱερᾶς καὶ μεγάλης σκηνῆς, ἣν ἔπηξεν ὁ Κύριος, καὶ οὐκ (90) ἄνθρωπος. Τούτων δὲ ἀμφοτέρων ζηλωτὴς ἐκεῖνος, βασανίζων μὲν, οὐ σωματικαῖς μάστιξι, πνευματικαῖς δὲ καὶ λογικαῖς, ἔθνος αἱρετικὸν καὶ Αἰγύπτιον· ἄγων δὲ λαὸν περιούσιον, ζηλωτὴν καλῶν ἔργων, ἐπὶ τὴν γῆν τῆς ἐπαγγελίας, πλαξὶ δὲ νόμους ἐγγράφων, οὐ συντριβομέναις, ἀλλὰ σωζομέναις, οὐκ ἔτι σκιοειδεῖς (91), ἀλλ' ὅλον πνευματικούς (92)· εἰς δὲ τὰ Ἅγια τῶν ἁγίων, οὐχ ἅπαξ τοῦ ἐνιαυτοῦ, πολλάκις δὲ (93), καὶ καθ' ἑκάστην, ὡς εἰπεῖν, εἰσιὼν τὴν ἡμέραν, ὅθεν τὴν ἁγίαν ἡμῖν ἀνακαλύπτει Τριάδα, καὶ λαὸν καθαίρων, οὐ προσκαίροις ῥαντίσμασιν, ἀλλ' ἀϊδίοις ἁγνίσμασι. Τί τὸ κάλλιστον Ἰησοῦ; Στρατηγία, καὶ κληροδοσία, καὶ γῆς τῆς ἁγίας κατάσχεσις· ὁ δὲ, οὐκ ἔξαρχος (94); οὐ στρατηγὸς τῶν διὰ πίστεως σωζομένων; οὐ κληροδότης τῶν διαφόρων παρὰ Θεῷ κλήρων καὶ μονῶν, ἃς διανέμει τοῖς ἀγομένοις (95); ὥστε κἀκείνην δύνασθαι τὴν φωνὴν εἰπεῖν, ὅτι *Σχοινία ἐπέπεσόν* (96) *μοι ἐν τοῖς κρατίστοις*· καὶ, *Ἐν ταῖς χερσί σου οἱ*

LXXII. Joseph frumenti distributor fuit [48], sed Ægypti duntaxat, neque id sæpius, nec nisi corporeo modo. At hic, et omnium, et semper, et spirituali modo: quod quidem illa frumenti distributione, mea quidem sententia, longe præstantius augustiusque censendum est. Cum Job Ausita, et tentatus est, et superior discessit, confectisque certaminibus, illustri præconio victor pronuntiatus est [49]: ut qui nullo incursantium acerbitatum, quæ multæ fuerunt, impetu concussus et labefactatus fuisset, sed tentatorem abunde superasset, atque amicorum calamitatis arcanum ignorantium stultitiam ac temeritatem repressisset. *Moyses et Aaron in sacerdotibus ejus* [50]. Et magnus quidem Moyses, qui Ægyptum vexavit, populum in signis multis prodigiisque servavit [51], intra nubem processit, duplicem legem sanxit, litteralem nimirum externe, spiritualem interne. Aaron autem, Moysis, et corpore, et spiritu frater, pro salute populi preces et sacrificia ad Deum adhibens [52], «magni illius et sacrosancti tabernaculi mystes, quod fixit Dominus, ac non homo [53]. Utriusque horum ille æmulus fuit, hæreticam et Ægyptiam nationem, non corporeis, sed spiritualibus plagis excrucians; populum autem acquisitionis, bonorum operum sectatorem [54] ad promissionis terram ducens, et tabulis, quæ non perfringuntur, sed conservantur, leges, non jam obscuras et obumbratas, sed omni ex parte spirituales, inscribens; atque adeo **827** in Sancta sanctorum, non semel quotannis, sed sæpius, et, ut ita dicam, quotidie ingrediens, atque hinc nobis sanctam Trinitatem detegens, ac postremo, non per fluxas et caducas aspersiones, sed per æternas purificationes, populi labes eluens. Quid pulcherrimum habuit Josue [55]? Militare imperium, et portionum distributionem, terræque sanctæ possessionem. Iste vero, nonne imperator? Nonne dux eorum, qui

[48] Gen. XLI, 40 sqq. [49] Job I, 12 sqq. [50] Psal. XCVIII, 6. [51] Exod. VII, 8 sqq. [52] Exod XXIX, 4 sqq. [53] Hebr. VIII, 2. [54] Tit. II, 14. [55] Jos. I, 2 sqq.

(83) *Σιτοδοσίας*. Reg. ph, σιτομετρίας.
(84) *Αὐσίτου*. «Ausita.» Bill. «Hussita;» quod Vulgatæ congruit.
(85) *Πειραστήν*. In nonnullis, σοφιστήν.
(86) *Τὸ τοῦ πάθους μυστήριον*. Sic plures Regg., Coisl. 1, Or. 2, Par., Pass. In ed., τοῦ πάθους τὸ μυστήριον.
(87) *Ἐν τοῖς*. Sic plures codd. In ed. deest ἐν.
(88) *Λαόν*. Pass., καὶ λαόν.
(89) *Προσευχόμενος*. Sic plures Regg. In ed., προσευχόμενος.
(90) *Καὶ οὐκ*. Sic textus sacer, et Reg. ph. Deest καί in ed.
(91) *Σκιοειδεῖς*. Reg. ph, σκιοειδέσιν.
(92) *Πνευματικούς*. Reg. ph, πνευματικαῖς.
(93) *Πολλάκις δέ*. Pass., ἀλλὰ πολλάκις.
(94) *Οὐκ ἔξαρχος*; «Nonne princeps, exarcha?» Alludit forsan ad sedis Basilii dignitatem, quæ totius Ponticæ diœceseos caput erat.
(95) *Ἀγομένοις*. Nicetas, «iis quos regit,» id est, subditis.
(96) *Ἐπέπεσον*. Or. 2, ἔπεσε.

salutem per fidem assequuntur? Nonne diversarum hæreditatum ac mansionum, quæ apud Deum sunt, assignator, quas militibus suis distribuit? Adeo ut hac quoque voce ipse uti possit: *Funes ceciderunt mihi in præclaris* [56]: et rursus: *In manibus tuis sortes meæ* [57]; sortes utique iis, quæ humi serpunt, ac diripi possunt, multo præstantiores.

κλῆροί μου· κλῆροι τῶν χαμαὶ ἐρχομένων, καὶ ἁρπαζομένων πολλῷ τιμιώτεροι.

LXXIII. Atque, ut judices, et judicum clarissimos quosque prætereamus, *Samuel inter eos, qui invocant nomen ejus* [58], et ante nativitatem donatus [59], et post nativitatem confestim sacer, ac cornu suo reges et sacerdotes ungens [60]. Quid Basilius? Nonne ab infantia, et ab ipsa matrice, Deo consecratus, ac cum diploide altari oblatus est, et cœlestia perspiciebat, et unctus Domini erat, et unctor eorum, qui ex Spiritu perficiebantur? David inter reges clarus et celebris [61], cujus multæ quidem de hostibus victoriæ ac triumphi historiis proditi sunt, et præcipuum decus ac ornamentum est mansuetudo [62], et ante regiam dignitatem vis citharæ malum Spiritum incantans. Salomon cordis latitudinem a Deo postulavit, et obtinuit [63], eoque sapientiæ et contemplationis progressus est, ut omnes ætatis suæ mortales nominis celebritate superaret. Basilius autem, nisi me opinio fallit, nec illi lenitatis, nec huic sapientiæ laude quidquam, aut minimum certe concedit; adeo ut imperatorum quoque, qui dæmonum intemperiis agitabantur, furorem emolliret; nec regina tantum Austri, aut quidam duntaxat homines, sapientiæ ipsius fama commoti, e finibus terræ ad eum se conferrent, sed omnibus orbis finibus sapientia ipsius nota esset. Ac, quæ de Salomone sequuntur, silentio præteribo: sunt autem ea cunctis conspicua **823** et explorata, etiam si nos dicere supersedeamus.

ΟΓ'. Καὶ, ἵνα τοὺς κριτὰς παραδράμωμεν, ἢ τῶν κριτῶν τοὺς εὐδοκιμωτάτους, *Σαμουὴλ, ἐν τοῖς ἐπικαλουμένοις τὸ ὄνομα αὐτοῦ*, καὶ Θεῷ (97) δοτὸς πρὸ γενέσεως, καὶ μετὰ τὴν γέννησιν εὐθὺς ἱερὸς, καὶ χρίων βασιλέας καὶ ἱερέας διὰ τοῦ κέρατος. Οὗτος δὲ, οὐκ ἐκ βρέφους Θεῷ καθιερωμένος ἀπὸ μήτρας, καὶ μετὰ τῆς διπλοΐδος (98) ἐπιδεδομένος τῷ βήματι, καὶ βλέπων τὰ ἐπουράνια, καὶ χριστὸς Κυρίου ἦν (99), καὶ χρίστης τῶν τελειουμένων ἐκ Πνεύματος; Δαβὶδ ἐν βασιλεῦσιν ἀοίδιμος, οὗ πολλαὶ μὲν ἱστοροῦνται κατὰ τῶν ἐχθρῶν νῖκαι καὶ τρόπαια, ἡ πραότης δὲ τὸ ἐπισημότατον, καὶ πρὸ τῆς βασιλείας ἡ τῆς κινύρας δύναμις, καὶ πονηροῦ πνεύματος (1) κατεπᾴδουσα. Σολομὼν πλάτος καρδίας ᾐτήσατο παρὰ Θεοῦ, καὶ τετύχηκεν, ἐπὶ πλεῖστον προελθὼν σοφίας καὶ θεωρίας, ὥστε γενέσθαι τῶν καθ' ἑαυτὸν ἁπάντων εὐδοκιμώτατος. Ὁ δὲ, τοῦ μὲν τῷ πρᾴῳ, τοῦ δὲ τῇ σοφίᾳ, κατὰ τὸν ἐμὸν λόγον, οὐδὲν ἢ μικρῷ λείπεται· ὥστε καὶ βασιλέων θράσος δαιμονούντων (2) καταμαλάσσειν· καὶ μὴ βασίλισσαν νότου μόνον, ἢ τὸν δεῖνα (3), κατὰ κλέος τῆς αὐτοῦ σοφίας ἐκ τῶν περάτων τῆς γῆς ἀπαντᾷν, ἀλλὰ καὶ (4) πᾶσι τοῖς πέρασι τὴν ἐκείνου σοφίαν γνωρίζεσθαι. Καὶ τὰ ἑξῆς παρήσω τοῦ Σολομῶντος· πᾶσι δὲ δῆλα, κἂν ἡμεῖς φειδώμεθα.

LXXIV. Eliæ loquendi libertatem, quam adversus tyrannos adhibuit, ipsiusque per ignem raptum laudas [64]? Laudas etiam pulchram Elisæi hæreditatem, illam nimirum melotem, quam Eliæ spiritus comitatus est [65]? Hujus quoque vitam lauda, in igne traductam, id est, in tentationum agmine, ac salutem per ignem partam, urentem quidem illum, sed non perurentem, quod est rubi miraculum [66], sublimitusque illi concessam pellem, nimirum virginitatem. Mitto rore perfusos in flammis adolescentes [67]; et fugitivum prophetam [68], in ventre ceti precantem, atque ex bestiæ præcordiis, quasi e thalamo, prodeuntem; et justum illum, leonum furorem in lacu vincientem [69]. Mitto septem Machabæorum dimicationem qui cum sacerdote et matre in sanguine, atque omnis generis tormentis consummati sunt [70]. Quorum ille tolerantiam æmulatus, gloriam quoque retulit.

ΟΔ'. Ἐπαινεῖς Ἠλίου τὴν πρὸς τοὺς τυράννους παῤῥησίαν, καὶ τὴν (5) διὰ πυρὸς ἁρπαγήν; Ἐλισσαίου τε τὴν καλὴν κληρονομίαν, τὴν μηλωτὴν, ἣ τὸ Ἠλίου πνεῦμα συνηκολούθησεν; Ἐπαίνει κἀκείνου τὴν ἐν πυρὶ ζωὴν, τῷ πλήθει λέγω τῶν πειρασμῶν, καὶ τὴν διὰ πυρὸς σωτηρίαν, καίοντος μὲν, οὐ κατακαίοντος δὲ, τὸ περὶ τὴν βάτον θαῦμα, καὶ τὸ καλὸν ἐξ ὕψους δέρος, τὴν ἀσαρκίαν. Ἐῶ τἄλλα, τοὺς δροσισθέντας ἐν πυρὶ νεανίας· τὸν ἐν γαστρὶ κήτους εὐξάμενον προφήτην φυγάδα καὶ, ὡς ἀπὸ θαλάμου, τοῦ θηρὸς προελθόντα· τὸν ἐν λάκκῳ δίκαιον, λεόντων θράσος πεδήσαντα· ἢ τὴν τῶν ἑπτὰ Μακκαβαίων ἄθλησιν, σὺν ἱερεῖ καὶ μητρὶ τελειωθέντων ἐν αἵματι, καὶ παντοίοις βασάνων εἴδεσιν. Ὧν ἐκεῖνος ζηλώσας τὴν καρτερίαν, καὶ τὴν δόξαν ἠνέγκατο.

LXXV. Transeo jam ad Novum Testamentum, ac iis, qui hic laude atque gloria floruerunt, ipsius

ΟΕ'. Ἐπὶ δὲ τὴν Νέαν μέτειμι Διαθήκην, καὶ τοῖς ἐνταῦθα εὐδοκίμοις τὰ ἐκείνου παρεξετάσας, τιμή-

[56] Psal. xv, 6. [57] Psal. xxx, 16. [58] Psal. xcviii, 6. [59] I Reg. i, 20. [60] I Reg. xvi, 13. [61] II Reg. v, 1 sqq. [62] Psal. cxxxi, 1. [63] III Reg. iv, 29 sqq. [64] IV Reg. i, 1 sqq. [65] IV Reg. ii, 9 sqq. [66] Exod. iii, 2. [67] Dan. iii, 5 sqq. [68] Jon. ii, 1 sqq. [69] Dan. xiv, 26 sqq. [70] II Mach. vii, 1 sqq.

(97) *Θεῷ*. Deest in Or. 2 et Bas.

(98) *Μετὰ τῆς διπλοΐδος*. Nicetas exponit, ἱερατικὸν ὠμοφόριον, genus stolæ sacerdotalis apud Hebræos. Dicitur etiam διπλοῒς, « chlamys: » ut I Reg. xxiv, 5, ubi David oram chlamydis Saulis præcidit.

(99) *Ἦν*. Deest in pluribus codd.

(1) *Πνεύματος*. Reg. ph, δαίμονος.

(2) *Δαιμονούντων*. Plures Regg., δαιμονώντων.

(3) *Ἢ τὸν δεῖνα*. Pass., μηδὲ τὸν δεῖνα.

(4) *Καί*. Deest in quatuor Regg. et Or. 2.

(5) *Τήν*. Deest in pluribus Regg. et Or. 2.

σω (6) τὸν μαθητὴν ἐκ τῶν διδασκάλων. Τίς Ἰησοῦ πρόδρομος; Ἰωάννης, ὡς φωνὴ Λόγου, καὶ ὡς λύχνος Φωτός, οὗ καὶ προεσκίρτησεν ἐν γαστρί, καὶ προέδραμεν εἰς ᾅδου, διὰ τῆς Ἡρώδου μανίας παραπεμφθείς, ἵνα κηρύξῃ κἀκεῖ τὸν ἐρχόμενον. Καὶ εἴ τῳ φαίνεται τολμηρὸς ὁ λόγος, ἐκεῖνο (7) προεξεταζέτω (8) τοῖς λεγομένοις, ὅτι μὴ προτιθεὶς (9), μηδὲ εἰς ἴσον μετάγων (10) τὸν ἄνδρα τῷ ἐν γεννητοῖς γυναικῶν ὑπὲρ ἅπαντας, ταύτην ποιοῦμαι τὴν παρεξέτασιν· ἀλλὰ ζηλωτὴν ἀποφαίνων, καί τι τοῦ χαρακτῆρος ἐκείνου ἐν ἑαυτῷ φέροντα. Οὐ γὰρ μικρὸν τοῖς σπουδαίοις, καὶ μικρὰ (11) τῶν μεγίστων ἡ μίμησις. Ἢ γὰρ οὐκ ἐναργὴς τῆς ἐκείνου φιλοσοφίας εἰκὼν ὁ ἀνήρ; Καὶ οὗτος ἔρημον ᾤκησε· καὶ τούτῳ (12) τρύχινον (13) ἔσθημα εἶχον αἱ νύκτες, ἀγνοούμενον, οὐκ ἐπιδεικνύμενον· καὶ οὗτος τὴν ἴσην τροφὴν ἠγάπησε, Θεῷ καθαίρων ἑαυτὸν διὰ τῆς ἐγκρατείας· καὶ οὗτος Χριστοῦ κῆρυξ ἠξιώθη (14) γενέσθαι, εἰ καὶ μὴ πρόδρομος· καὶ ἐξεπορεύετο πρὸς αὐτὸν, οὐχ ἡ περίχωρος πᾶσα μόνον, ἀλλ' ἤδη καὶ ἡ ὑπερόριος· καὶ οὗτος μέσος τῶν δύο Διαθηκῶν, τῆς μὲν καταλύων τὸ γράμμα, τῆς δὲ δημοσιεύων τὸ πνεῦμα, καὶ ποιῶν πλήρωσιν τοῦ κρυπτομένου νόμου, τὴν τοῦ φαινομένου κατάλυσιν.

vitam conferens, ex magistris discipulum ornabo. Quis præcursor Jesu? Joannes [71], ut vox Verbi, et ut lucerna Luminis, qui coram ipso et in ventre exsiliit, et ad inferos per Herodis furorem transmissus est, ut illic quoque mox venturum prædicaret. Quod si cui audacior forte videatur hic sermo, illud prius cogitet, me in hac comparatione non id agere, ut ei, qui inter natos mulierum omnes superavit, Basilium, vel anteponam, vel exæquem; sed ut eum ipsius imitatorem fuisse, atque ex ejus forma et charactere nonnihil in se ipso gessisse ostendam. Non enim probis viris exiguam laudem affert, summorum virorum vel parva imitatio. An non enim philosophiæ illius simulacrum perspicue in seipso expressit? Ipse quoque in deserto habitavit. Ipse quoque noctu, ut lateret, hominumque fugeret notitiam, aspera veste tectus est. Ipse quoque idem cibi genus adamavit, Deo videlicet per continentiam se purgans. Ipse quoque dignus etiam habitus est, qui Christi præco fieret, etiamsi non præcursor; atque ad eum egrediebatur, non solum omnis finitima regio, sed etiam externa et longe dissita. Ipse quoque inter duo Testamenta medius, illius videlicet litteram evertens, hujus autem spiritum in publicum efferens; ac per externæ **829** et visibilis legis eversionem, occultam legem implens.

ΟϚʹ. Ἐμιμήσατο Πέτρου τὸν ζῆλον, Παύλου τὸν τόνον, τῶν ὀνομαστῶν καὶ μετωνομασμένων (15) ἀμφοτέρων τὴν πίστιν· τῶν υἱῶν (16) Ζεβεδαίου τὸ μεγαλόφωνον· πάντων τῶν μαθητῶν τὸ εὐτελὲς καὶ ἀπέριττον. Διὰ ταῦτά τοι καὶ κλεῖς οὐρανῶν πιστεύεται· καὶ οὐχ ὅσον ἀπὸ Ἱερουσαλὴμ μέχρι τοῦ Ἰλλυρικοῦ, μείζονα δὲ κύκλον τῷ Εὐαγγελίῳ περιλαμβάνει· καὶ υἱὸς βροντῆς, οὐκ ὀνομάζεται μὲν, γίνεται δέ· καὶ ἐπὶ τὸ στῆθος Ἰησοῦ κείμενος, ἐκεῖθεν ἕλκει τοῦ λόγου τὴν δύναμιν, καὶ τὸ βάθος τῶν νοημάτων. Στέφανος μὲν γὰρ ἐκωλύθη γενέσθαι, εἰ καὶ πρόθυμος ἦν, ἐπισχὼν αἰδοῖ τοὺς λιθάζοντας. Ἔτι δὲ συντομώτερον εἰπεῖν ἔχω, ἵνα μὴ τοῖς καθ' ἕκαστον ἐπεξίω περὶ τούτων. Ἐκεῖνος γὰρ (17), τὸ μὲν ἐξεῦρε τῶν καλῶν, τὸ δὲ ἐζήλωσε, τὸ δὲ ἐνίκησε. Τῷ δὲ διὰ πάντων ἐλθεῖν, τῶν νῦν πάντων ἐκράτησεν. Ἓν ἐπὶ πᾶσιν ἐρῶ, καὶ σύντομον.

LXXVI. Imitatus est Petri zelum [72], Pauli constantiam et firmitatem, ac utriusque, tum nomine, tum nominis mutatione clarissimi, fidem; filiorum Zebedæi grandiloquentiam; discipulorum omnium frugalitatem et superfluarum rerum contemptum. Propterea claves etiam cœlorum ipsi committuntur [73]; nec ab Jerosolyma tantum usque ad Illyricum [74], sed majorem circulum Evangelio comprehendit; et filius tonitrui, non quidem nominatur, sed efficitur; atque ad Jesu pectus positus, illinc vim dicendi et sententiarum profunditatem haurit. Nam Stephanus fieri [75], quanquam id parato esset animo, prohibitus est; pudore nimirum ac reverentia compresso lapidantium impetu. Atque etiam, ne singula persequar, de his rebus brevius adhuc et compendiosius loqui possum. Ille enim bonorum, alia quidem invenit, alia æmulatus est, alia superavit. In quantum autem per omne virtutis genus grassatus est, omnibus nostræ memoriæ hominibus palmam præripuit. Unum ad omnia adjiciam, idque breve.

ΟΖʹ. Τοσαύτη τοῦ ἀνδρὸς ἡ ἀρετὴ (18), καὶ ἡ τῆς δόξης περιουσία, ὥστε πολλὰ καὶ τῶν ἐκείνου μικρῶν, ἤδη δὲ καὶ τῶν σωματικῶν ἐλαττωμάτων ἐπι-

LXXVII. Tanta ipsius virtus gloriæque præstantia fuit, ut multa etiam ex parvis illius virtutibus, atque adeo ex corporeis defectibus, ab aliis, ad glo-

[71] Luc. III, 4. [72] Act. IV, 8 sqq. [73] Matth. XVI, 19. [74] Rom. XV, 19. [75] Act. VII, 58.

(6) *Τιμήσω*, etc. Bill. « ex discipulis magistrum ornabo. »
(7) *Ἐκεῖνο*. Pass., ἐκεῖνος.
(8) *Προεξεταζέτω*. Undecim Colb. et Or. 2, προσεξεταζέτω.
(9) *Προτιθείς*. Coisl. 1, προτιμηθείς.
(10) *Μετάγων*. Quatuor Regg., Or. 2, etc., ἄγων.
(11) *Καὶ μικρά*. Duo Regg. et Or. 2, καὶ εἰ μικρά. Pass., κἂν μικρά.
(12) *Τούτῳ*. Or. 2, τούτου.
(13) *Τρύχινον*. Coisl. 1, τρίχινον.
(14) *Ἠξιώθη γενέσθαι*. Hæc desunt in quinque Regg., Or. 2 et Pass.
(15) *Μετωνομασμένων*. « Quorum nomina mutata sunt. »
(16) *Τῶν υἱῶν*. Sic duo Regg., duo Coisl. et Herv. In ed., τοῦ υἱοῦ.
(17) *Ἐκεῖνος γάρ*. Reg. pb et Or. 2, ἐκεῖνος μὲν γάρ.
(18) *Ἀρετή*. Coisl. 1 addit, γέγονεν.

etiam nominisque claritatem parandam, excogitata sunt. Cujus generis sunt, pallor, barba, certus incedendi modus, tum etiam ad loquendum minime promptum esse, sed ut plurimum cogitabundum atque intro collectum; id quod multi non recte imitantes, nec animadvertentes, in odiosam quamdam tristitiam inciderunt. Vestis etiam genus, et lectuli species, et cibi sumendi modus; quorum nihil ille studiose adhibuit, sed simpliciter, et prout congruebat. Ac multos jam Basilios specie tenus videre licet, statuas nimirum in umbris; multum enim fuerit, si repetitam echus vocem esse dixero. Nam illa, quamvis postremam duntaxat vocis partem, expressius tamen effingit: hi autem longius ab eo distant, quam quantum accedere concupiscunt. Illud vero non jam parvi, sed maximi etiam momenti ad gloriam haud immerito existimatur, consuetudinem cum eo aliquando habuisse, aut eum coluisse, aut quidpiam ab eo joco vel serio dictum aut factum, monumenti loco ferre; quemadmodum **830** ipse quoque me hoc nomine sæpe gloriatum esse scio: quoniam quæ ab illo velut obiter fiebant, multo præstantiora atque illustriora erant, quam ea in quibus alii elaborant.

LXXVIII. Cum autem cursu consummato, ac fide servata [76], dissolutionis desiderio teneretur [77], tempusque coronarum instaret, atque illud quidem non audivisset: *Ascende montem, et morere* [78]; verum, Morere, atque ad nos ascende: hic quoque miraculum edit, superioribus haudquaquam inferius. Nam cum ferme mortuus et exanimis esset, maximaque ex parte vita perfunctus, circa extremos sermones robustior fit, ut cum pietatis verbis abscederet, ac fidelissimis suis cultoribus ad ecclesiasticos gradus provehendis manum et Spiritum præberet; ut ne sacrario fraudarentur, quos discipulos atque in sacerdotio adjutores habuerat. Ad ea quæ sequuntur, gravatim quidem, sed tamen se conferet oratio, licet aliis potius quam nobis hic sermo conveniat. Nec enim in dolore philosophari queo, etsi, ut philosopharer, vehementer contenderim, dum mihi in animo versatur commune detrimentum, et calamitas ea, quæ universum terrarum orbem invasit.

LXXIX. Jacebat ille extremos spiritus ducens, atque a cœlesti choro, ad quem jampridem oculorum aciem intendebat, expetitus. Effusa autem circa eum erat tota civitas, jacturam hanc ægerrime ferens, ac discessum, perinde ut tyrannidem,

ροις εἰς εὐδοξίαν (19) ἐπενοήθη. Οἷον ὠχρότητα λέγω, καὶ γενειάδα, καὶ βαδίσματος ἦθος, καὶ τὸ περὶ λόγον μὴ πρόχειρον, σύννουν τε, ὡς τὰ πολλὰ, καὶ εἴσω συννενευκός (20)· ὃ τοῖς πολλοῖς μὴ καλῶς ζηλωθὲν, μηδὲ νοηθὲν (21), σκυθρωπότης ἐγένετο. Ἔτι δὲ εἶδος ἐσθῆτος, καὶ σκίμποδος σχῆμα, καὶ τρόπος βρώσεως, ὧν οὐδὲν ἐκείνῳ διὰ σπουδῆς ἦν, ἀλλ' ἁπλῶς ἔχον, καὶ συμπῖπτον (22) ὡς ἔτυχε. Καὶ πολλοὺς ἂν ἴδοις Βασιλείους ἄχρι τοῦ ὁρωμένου, τοὺς ἐν ταῖς σκιαῖς (23) ἀνδριάντας· πολὺ γὰρ εἰπεῖν, ὅτι καὶ τὸ τῆς ἠχοῦς ὑστερόφωνον. Ἐκείνη μὲν γὰρ, εἰ καὶ τὰ τελευταῖα τῆς φωνῆς, ἀλλ' οὖν ἐναργέστερον ὑποκρίνεται· οἱ δὲ πλεῖον ἀπέχουσι τοῦ ἀνδρὸς, ἢ ὅσον πλησιάζειν ἐπιθυμοῦσιν. Ἐκεῖνο δὲ οὐκ ἔτι μικρὸν, ἀλλὰ καὶ μέγιστον εἰς φιλοτιμίαν εἰκότως, τὸ τυχεῖν ἐκείνῳ ποτὲ πλησιάσαντας, ἢ θεραπεύσαντας, ἤ τι κατὰ παιδιὰν ἢ σπουδὴν εἰρημένον ἢ πεπραγμένον, φέρειν ἀπομνημόνευμα (24)· ὥσπερ οὖν κἀγὼ πολλάκις οἶδα καλλωπισάμενος· ἐπεὶ καὶ τὰ πάρεργα τοῦ ἀνδρὸς, τῶν πονουμένων ἑτέροις πολὺ τιμιώτερα καὶ περιφανέστερα.

ΟΗ'. Ἐπεὶ δὲ τὸν δρόμον τελέσας, καὶ τὴν πίστιν τηρήσας, ἐπόθει τὴν ἀνάλυσιν (25), καὶ ὁ τῶν στεφάνων ἐνειστήκει καιρὸς, κἀκεῖνο μὲν οὐκ ἤκουσεν· *Εἰς τὸ ὄρος ἀνάβηθι, καὶ τελεύτα*· τελεύτα δὲ, καὶ ἀνάβαινε πρὸς ἡμᾶς· θαυματουργεῖ τι κἀνταῦθα τῶν προειρημένων οὐκ ἔλαττον. Νεκρὸς γὰρ ὢν ἤδη σχεδὸν, καὶ ἄπνους, καὶ τὸ τοῦ βίου πλεῖστον καταλελοιπὼς, εὐτονώτερος γίνεται περὶ τοὺς ἐξιτηρίους τῶν λόγων, ἵνα τοῖς τῆς εὐσεβείας συναπέλθῃ ῥήμασι, καὶ χειροτονίαις τῶν γνησιωτάτων αὐτοῦ θεραπευτῶν, τὴν χεῖρα δίδωσι καὶ τὸ Πνεῦμα· ὥστε μὴ ζημιωθῆναι τὸ βῆμα (26) τοὺς ἐκείνου μαθητὰς, καὶ τῆς ἱερωσύνης συλλήπτορας. Τοῖς δὲ ἑξῆς ὀκνεῖ μὲν προσελθεῖν ὁ λόγος, προσθήσεται (27) δὲ ὅμως, εἰ καὶ ἄλλοις μᾶλλον ἡμῶν πρέπων ὁ λόγος. Οὐ γὰρ ἔχω φιλοσοφεῖν ἐν τῷ πάθει, καὶ εἰ σφόδρα φιλοσοφεῖν ἐσπούδακα, τῆς κοινῆς μεμνημένος ζημίας, καὶ τοῦ κατασχόντος πάθους τὴν οἰκουμένην.

ΟΘ'. Ἔκειτο μὲν ὁ ἀνὴρ τὰ τελευταῖα πνέων, καὶ παρὰ τῆς ἄνω χοροστασίας ἐπιζητούμενος, πρὸς ἣν ἐκ πλείονος ἔβλεπεν· ἐγχεῖτο (28) δὲ περὶ αὐτὸν πᾶσα ἡ πόλις, τὴν ζημίαν οὐ φέροντες, καὶ τῆς ἐκδημίας, ὡς τυραννίδος, καταβοῶντες, καὶ τῆς ψυ-

[76] II Tim. IV, 7. [77] Philipp. I, 23. [78] Deut. XXXII, 49.

(19) *Εἰς εὐδοξίαν*, etc. Sic olim quidam Aristotelis balbutiem, et Platonis gibbositatem imitabantur.

(20) *Συννενευκός*. Sic plures Regg., duo Coisl. et Par. In ed., συννευκός.

(21) *Μηδὲ νοηθέν*. Hæc desunt in pluribus Regg., Coisl. 1, Chrys., Pass., etc.

(22) *Ἔχον καὶ συμπῖπτον*. Sic Regg. a, bm, ph, duo Coisl., etc. In ed., ἔχων καὶ συμπίπτων.

(23) *Σκιαῖς*. Reg. a, σκηναῖς, « tabernaculis. »

(24) *Ἀπομνημόνευμα*. Reg. ph, ὑπομνημόνευμα.

(25) *Ἀνάλυσιν*. Sic plerique codd. Sic etiam legit Bill. In ed., ἀνάβασιν, « ascensum. »

(26) *Ὥστε μὴ ζημιωθῆναι τὸ βῆμα*. « Ne sacrarium, » id est, ordo sacerdotalis et clerus, « iis defraudaretur, quos discipulos et sacerdotii adjutores habuisset. » Germanus hic videtur esse verborum Gregorii sensus. Sic etiam auctor novissimæ operum Basilii editionis interpretatur, tom. III in *Basil. Vita*, pag. 173. Hanc vir sanctus cautionem habuit, ne idoneos ministros, longo usu a se probatos, successor episcopus, non sine magno Ecclesiæ damno, removeret, quod frequenter accidit.

(27) *Προσθήσεται*. In quibusdam, προβήσεται.

(28) *Ἐγχεῖτο*. In nonnullis, ἐχεῖτο.

XI. Nunc sedulæ apes, solutis pennis, et relictis alvearibus, sapientiæ suæ documentum præbent, atque ad prata convolant, floresque diripiunt : et aliæ quidem cellulas elaborant, sexangulas et inter se oppositas fistulas attexentes, rectasque lineas angularibus alternantes, non minus ad operis elegantiam, quam ad securitatem : aliæ vero mel in horrea recondunt, atque hospiti suo dulcem fructum et inaratum proferunt. Utinam nos quoque, qui Christi apiarium sumus, ac tale tum sapientiæ, tum industriæ et laboris exemplum accepimus, eas imitemur ! Jam avis nidum construit, atque alia quidem redit, alia immigrat, alia circumvolat, ac nemus cantu suo implet, hominemque garritu demulcet. Omnia Deum laudant, et vocibus mutis concelebrant. Propter omnia enim gratiæ Deo per me habentur ; atque ita illorum laudatio, mea efficitur, nimirum a quibus ego laudis argumentum capio. Nunc quidem omne animantium genus ridet, atque omnibus sensibus pascimur. Nunc etiam superbus equus, et jubam arrigens, stabulum fastidit, ac, perfractis vinculis, per campos lascivius fertur, atque in fluminibus gestit, seseque ostentat.

XII. Quid cætera commemorem? Nunc martyres sub dio populum retinent, ac pompam agunt, splendidisque sedibus piam plebem et Christi amantem convocant, ac certamina sua in publicum proponunt. Quo e numero unus quoque est meus ille laureatus (meus enim, etsi non apud me, facessat invidia, scientibus loquor), Mamas ille insignis, et pastor, et martyr ; qui prius quidem cervas mulgebat, ad sanctum virum novo et inusitato lacte alendum certatim properantes ; nunc autem metropolis plebem pascit, hodieque multis hominum millibus undecunque accurrentibus ver innovat, tum virtutis pulchritudine **843** varium, tum pastoribus di-

A κόλος ἁρμόζονται σύριγγας, καὶ νόμιον ἐμπνέουσι μέλος, καὶ φυτοῖς καὶ πέτραις ἐνεαρίζουσιν. Ἄρτι δὲ φυτὸν φυτουργὸς θεραπεύει, καὶ ἰξευτὴς καλάμους οἰκοδομεῖ, καὶ ὑποβλέπει πτόρθους, καὶ περιεργάζεται πτερὸν ὄρνιθος. Καὶ ἁλιεὺς βυθοὺς διορᾷ, καὶ δίκτυον ἀνακαθαίρει, καὶ πέτρας ὑπερκαθέζεται.

ΙΑ'. Ἄρτι μὲν ἡ φιλεργὸς μέλισσα, τὸ πτερὸν ἐκλύσασα (27), καὶ τῶν σίμβλων ἀπαναστᾶσα, τὴν ἑαυτῆς σοφίαν ἐπιδείκνυται, καὶ λειμῶνας ἐφίπταται, καὶ συλᾷ τὰ ἄνθη· καὶ ἡ μὲν πονεῖ τὰ κηρία, τὰς ἑξαγώνους καὶ ἀντιθέτους σύριγγας ἐξυφαίνουσα, καὶ τὰς εὐθείας ταῖς γωνίαις ἐπαλλάττουσα, ἔργον ὁμοῦ κάλλους καὶ ἀσφαλείας· ἡ δὲ τὸ μέλι (28) B ταῖς ἀποθήκαις ἐναποτίθεται, καὶ γεωργεῖ τῷ ξενίζοντι καρπὸν γλυκὺν (29) καὶ ἀνήροτον. Ὡς ὄφελόν γε καὶ ἡμεῖς (30), ὁ Χριστοῦ μελισσών, καὶ τοιοῦτο λαβόντες σοφίας καὶ φιλοπονίας ὑπόδειγμα! Ἄρτι δὲ καλιὰν ὄρνις πήγνυται, καὶ ὁ μὲν ἐπανέρχεται, ὁ δὲ εἰσοικίζεται, ὁ δὲ περιίπταται, καὶ καταφωνεῖ τὸ ἄλσος, καὶ περιλαλεῖ τὸν ἄνθρωπον. Πάντα Θεὸν ὑμνεῖ καὶ δοξάζει φωναῖς ἀλαλήτοις (31)· ἐπὶ πᾶσι γὰρ εὐχαριστεῖται δι' ἐμοῦ Θεός· καὶ οὕτως ὁ ἐκείνων ὕμνος, ἡμέτερος γίνεται, παρ' ὧν ἐγὼ τὸ ὑμνεῖν λαμβάνω. Νῦν μὲν γελᾷ πᾶν ζώων γένος, καὶ πᾶσαν αἴσθησιν ἑστιώμεθα. Νῦν δὲ ὑψαύχην ἵππος καὶ ἀγέρωχος, τοῖς οἴκοις δυσχεραίνων, καὶ τὰ δεσμὰ τυραννήσας, κροαίνει κατὰ πεδίον (32), καὶ ποταμοῖς ὡραΐζεται. C

ΙΒ'. Τί τἄλλα; Νῦν μάρτυρες αἰθριάζουσι, καὶ πομπεύουσι, καὶ λαμπροῖς τοῖς βήμασι (33) συγκαλοῦσι λαὸν φιλόχριστον, καὶ τοὺς ἄθλους δημοσιεύουσι. Τούτων εἷς ἐστι καὶ ὁ ἐμὸς στεφανίτης (ἐμὸς γὰρ [34], εἰ καὶ μὴ παρ' ἐμοί, πιπτέτω φθόνος [35], εἰδόσι λέγω), Μάμας ὁ περιβόητος, καὶ ποιμὴν, καὶ μάρτυς· ὁ πρότερον μὲν τὰς ἐλάφους ἀμέλγων κατεπειγομένας ἀλλήλων, ἵνα ξένῳ (36) γάλακτι τραφῇ δίκαιος· νῦν δὲ ποιμαίνων λαὸν μητροπόλεως (37), καὶ τὸ ἔαρ ἐγκαινίζων σήμερον ταῖς πολλαῖς χιλιάσι τῶν πανταχόθεν ἐπειγομένων, διάφορόν (38) τε ἀρετῆς κάλλεσι, καὶ ποιμέσιν ἄξιον, καὶ λόγοις (39) ἐπινικίοις. Ἔτι δὲ συντομώτερον εἰπεῖν, νῦν ἔαρ

(27) *Ἐκλύσασα.* « Solutis pennis. » Sic plures Regg. et Colb. Sic etiam legit Billius. In ed., ἑλκύσασα, « detractis pennis. »
(28) *Τὸ μέλι.* Sic quinque Regg. Deest τό in ed.
(29) *Γλυκύν.* Savil., ἡδύν.
(30) *Ἡμεῖς.* Sic tres Regg., Coisl. 1, Comb., etc. In ed., ὑμεῖς.
(31) *Ἀλαλήτοις.* « Ineffabilibus, sermonis expertibus. »
(32) *Πεδίον.* In nonnullis, πεδίων.
(33) *Λαμπροῖς τοῖς βήμασι.* « Splendidis altaribus, » seu, « ædibus, » quæ in martyrum memoriam, Deo eorum nomine consecrata fuerant, ubi sacra eorum pignora erant condita.
(34) *Ἐμὸς γάρ.* « Meus enim. » S. Mamas erat Cappadox, idcirco Gregorius « suum » appellat.
(35) *Πιπτέτω φθόνος.* « Facessat invidia. » Nicetas hunc locum ad Basilium Magnum præsentem D refert ; ac sic exponit : « Quia præsente Basilio Magno hanc orationem habebat Gregorius, propterea scite adjunxit : « Facessat invidia : » quasi diceret : Ne mihi succenseas, divine Basili, si quod tuum est, benevolentiæ affectu mihi vindico, meumque nomino. » Vide *Mon.*, n. 2.
(36) *Ξένῳ.* Sav., ἐν ξένῳ.
(37) *Μητροπόλεως.* Per metropolim Cæsaream intelligit, ubi pretiosæ S. Mamantis reliquiæ servabantur.
(38) *Διάφορον.* Coisl. 1, Pass., etc., διαφόροις. Ver præstans, tum virtutum ornamentis, tum pastoribus dignum, qui ad martyris festum conveniebant.
(39) *Λόγοις.* Sic tres Regg., novem Colb., Coisl. 1, etc. « Tum sermonibus ejus triumpho dicatis, in ejus triumphi memoriam. » In ed., λόγος.

κοσμικὸν, ἔαρ πνευματικὸν, ἔαρ ψυχαῖς, ἔαρ σώμασιν, ἔαρ ὁρώμενον, ἔαρ ἀόρατον· οὗ κἀκεῖθεν μεταλάβοιμεν ἐνταῦθα καλῶς ἀμειφθέντες, καὶ καινοὶ πρὸς τὸν καινὸν βίον παραπεμφθείημεν (40), ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ πᾶσα δόξα (41), τιμὴ, καὶ κράτος σὺν ἁγίῳ Πνεύματι, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

A gnum, tum sermonibus in ipsius triumphi laudem consecratis. Atque, ut paucioribus adhuc verbis rem complectar, nunc ver mundanum, ver spirituale, ver animis, ver corporibus, ver visibile, ver invisibile : quo utinam in altero ævo participes efficiamur, præclare in hac vita mutati, ac novi ad novam vitam transmittamur in Christo Jesu Domino nostro, cui gloria, honor et imperium cum sancto Spiritu, ad gloriam Dei Patris. Amen.

(40) *Παραπ.* In quibusdam, μεταπεμφθείημεν.

(41) *Ὧ πᾶσα δόξα*, etc. Or. 1, ᾧ ἡ δόξα, καὶ τὸ κρατος εἰς τοὺς αἰῶνας τῶν αἰωνων, « cui gloria et imperium in sæcula sæculorum. »

---

844 MONITUM IN ORATIONEM XLV.

I. Hac altera « in sanctum Pascha » inscripta oratione, toti demum ac genuinæ Gregorii orationum collectioni finis imponitur. Nam quæ sequuntur orationes, mox in prævia et unicuique annexa admonitione, inter spuria Theologi opera, plurimis argumentis, rejiciendas probabimus. Id autem modo mirabile prorsus videri debet, quod ex tanta tamque mirifica Gregorii orationum serie, prima et ultima « in sanctum Pascha » inscribantur, sicque cæteras omnes veluti complectantur et comprehendant. Sacrum etenim Pascha, quod ter in ista oratione (n. 2) a Theologo nostro, « in sanctissimæ Trinitatis honorem, » eleganter repetitur, « est, » ut ipse loquitur, « festivitatum festivitas, ac celebritatum celebritas. » Consentaneum igitur erat, ut tantus divini Verbi præco os suum in sacri Paschatis laudem aperiret ac clauderet. Nec mirum, si, cycni instar, suaviores in ista oratione, quam in prima, sonos edat ac moduletur. In priori namque, paucis quidem, ut vidimus; in ista vero, totas animi ac pietatis vires colligens, Paschatis dignitatem et excellentiam fusiori sermone commendat. Primum ipsius nomen ab Hebræo nomine derivatum ostendit (n. 10), utpote « transitum » significans, cum scilicet « ex Ægypto in Chananæam regionem migrarunt Israelitæ. » Deinde e lege scripta, ac legalibus sacrificiis ad tempus concessis, auditorum animos ad altiora evehit, eosque ad Evangelium et ad novæ legis sacrificia allicit. Hinc mirum in modum sapientiæ Dei profunditatem, ac investigabilium ipsius judiciorum divitias extollit. Qualis autem fuerit legalis agnus, ipse, allegoriarum ope, ingeniose aperit, et ad Christum, verum utique agnum, eleganter accommodat. Mox, brevi facta mysteriorum Dei enumeratione, peramanter exclamat (n. 30) : « O Pascha, magnum et sacrum Pascha, totiusque mundi piaculum!... O Verbum Dei!... hanc velim orationem, non ut primitias, sed ut extremam fortasse oblationem nostram habeas! »

II. Heu! nimium vere his verbis, sui corporis dissolutionem imminere prænuntiavit S. Doctor. Non enim diu huic orationi superfuit vir sanctitate et eloquentia præstantissimus, cujus profecto dies ad multos annos protrahi desiderassemus. Et certe, quamvis modo magnam suscepti oneris partem ex humeris deponamus, ægre tamen tantos tamque salubres pietatis ac doctrinæ rivos claudimus. Cæterum ex dictis manifestum est, hanc orationem extrema Gregorii vitæ tempora spectare. Quo autem præcise anno pronuntiata fuerit, id certo nobis affirmare non licet. Conjicimus tamen ad annum 385 collocari posse, triennio circiter antequam e vivis excederet. Quod vero ad locum spectat, Nicetæ assentimur. Ait enim Gregorium, « post suum ex urbe Constantinopoli reditum, hanc orationem elaborate conscriptam, Arianzi **845** pronuntiasse. » Sic etiam censet Billius (42), et adnotat mendose legi in codice Reginæ, ἐν Ναζιανζῷ. « Neque enim, inquit, hanc urbem Gregorius prædium paternum vocasset. » In codice vero quo utebatur scriptum erat Ἀζιανζῷ. At ignorat quis litteram ν superposuerit, cum minime hæc littera supplenda esset, sed potius littera ζ in ρ commutanda. Arianzum enim locus erat non multum a Nazianzo dissitus, in quo villam habebat Theologus, quemadmodum testatur Gregorius presbyter in ipsius *Vita*. Unde non immerito colligimus, Arianzi habitam fuisse hanc orationem anno circiter 385. Notandum superest, duo insigniora hujus orationis loca ex oratione tricesima octava, « in Christi Nativitatem, » verbo ad verbum desumpta fuisse. Utrum autem id factum fuerit ab ipso Gregorio, an amanuensium incuria contigerit, prorsus ignoramus. In notis hæc loca observabimus.

(42) *Arg. in hanc Orationem.*

—

ORATIO XLV[a].

In sanctum Pascha.

A

I. *Super custodiam meam stabo*, inquit admirandus Habacuc [3]. Ego quoque cum ipso hodie, data mihi per Spiritum sanctum potestate ac contemplatione, quasi e specula diligenter observabo, et mecum ipse considerabo, quidnam mihi spectandum proponetur, et quid dicetur. Et steti, ac speculatus sum: et ecce vir sedens super nubes, atque hic perquam sublimis; et facies ejus, ut facies angeli; et amictus ejus, ut splendor fulguris discurrentis [4]; et extulit manum suam ad orientem, et clamavit voce magna. Vox ejus, ut vox buccinæ; et in circuitu ejus, quasi multitudo cœlestis exercitus, et dixit: Hodie salus mundo, tam visibili, quam invisibili. Christus ex mortuis; simul surgite. Christus ad sese; redite. Christus ex sepulcro; peccati B vinculis solvamini. Portæ inferi aperiuntur, et mors opprimitur, et vetus Adam deponitur, et novus perficitur; si quæ nova in Christo creatura, renovemini. Hæc quidem ipse dicebat: illi autem idem canebant, quod ante, cum Christus nobis per terrenam nativitatem apparuit: *Gloria in altissimis Deo, et in terra pax, in hominibus bona voluntas* [5]. Cum quibus ipse quoque inter vos hæc loquor; atque utinam vocem angelicæ parem accipiam, **846** omnesque orbis terræ fines circumsonantem.

II. Pascha Domini, Pascha, iterumque Pascha dicam, in honorem Trinitatis. Hæc nobis festivitatum festivitas, et celebritatum celebritas, tanto cæte- C ris omnibus, non solum humanis et e terra ortis, sed iis etiam, quæ ipsius Christi sunt, ac propter ipsum celebrantur, superior, quanto sol stellas antecellit. Præclara quidem nobis quoque fuit hesterna candidæ vestis ac luminum gestatio (quam privatim juxta publiceque peregimus, omne genus hominum ferme, atque omnes magistratu et dignitate insignes, largo igne noctem collustrantes), magnumque illud lumen referens, quod, vel cœlum orbem universum siderum suorum pulchritudine illustrans, superne nobis trajicit, vel super-

[3] Habac. II, 1. [4] Nahum II, 4. [5] Luc. II, 14.

ΛΟΓΟΣ ΜΕ΄.

Εἰς τὸ ἅγιον (43) *Πάσχα.*

Α΄. *Ἐπὶ τῆς φυλακῆς μου στήσομαι*, φησὶν ὁ θαυμάσιος Ἀββακοὺμ (44). Κἀγὼ μετ' αὐτοῦ σήμερον, τῆς δεδομένης μοι παρὰ τοῦ Πνεύματος ἐξουσίας καὶ θεωρίας, καὶ ἀποσκοπεύσω καὶ γνώσομαι, τί ὀφθήσεται, καὶ τί λαληθήσεταί μοι. Καὶ ἔστην, καὶ ἀπεσκόπευσα· καὶ ἰδοὺ ἀνὴρ ἐπιβεβηκὼς ἐπὶ τῶν νεφελῶν, καὶ οὗτος ὑψηλὸς σφόδρα· καὶ ἡ ὅρασις αὐτοῦ, ὡς ὅρασις ἀγγέλου· καὶ ἡ στολὴ αὐτοῦ, ὡς φέγγος ἀστραπῆς διερχομένης (45)· καὶ ἐπῆρε τὴν χεῖρα αὐτοῦ κατ' ἀνατολὰς, καὶ ἐβόησε φωνῇ μεγάλῃ. Φωνὴ αὐτοῦ, ὡς φωνὴ σάλπιγγος· καὶ κύκλῳ αὐτοῦ, ὡς πλῆθος οὐρανίου στρατιᾶς, καὶ εἶπε· Σήμερον σωτηρία τῷ κόσμῳ, ὅσος τε ὁρατὸς, καὶ ὅσος ἀόρατος. Χριστὸς ἐκ νεκρῶν, συνεγείρεσθε· Χριστὸς εἰς ἑαυτὸν (46), ἐπανέρχεσθε· Χριστὸς ἐκ τάφων, ἐλευθερώθητε τῶν δεσμῶν τῆς ἁμαρτίας. Πύλαι ᾅδου ἀνοίγονται, καὶ θάνατος καταλύεται, καὶ ὁ παλαιὸς Ἀδὰμ ἀποτίθεται (47), καὶ ὁ νέος συμπληροῦται (48)· εἴ τις ἐν Χριστῷ καινὴ κτίσις, ἀνακαινίζεσθε. Ταῦτα ὁ μὲν ἔλεγεν· οἱ δὲ ἀνύμνουν, ὅπερ καὶ πρότερον, ἡνίκα ἡμῖν ἐπεφάνη Χριστὸς διὰ τῆς κάτω γεννήσεως, τὸ, *Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.* Μεθ' ὧν καὶ αὐτὸς ἐν ὑμῖν ταῦτα φθέγγομαι· εἴη δὲ καὶ φωνὴν λαβεῖν τῆς ἀγγελικῆς ἀξίαν, καὶ πάντα περιηχοῦσαν τὰ πέρατα.

Β΄. Πάσχα Κυρίου, Πάσχα, καὶ πάλιν ἐρῶ Πάσχα, τιμῇ (49) τῆς Τριάδος. Αὕτη ἑορτῶν ἡμῖν ἑορτὴ, καὶ πανήγυρις πανηγύρεων, τοσοῦτον ὑπεραίρουσα πάσας, οὐ τὰς ἀνθρωπικὰς μόνον καὶ χαμαὶ ἐρχομένας (50), ἀλλ' ἤδη καὶ τὰς αὐτοῦ Χριστοῦ καὶ ἐπ' αὐτῷ τελουμένας, ὅσον ἀστέρας ἥλιος. Καλὴ μὲν (51) καὶ ἡ χθὲς ἡμῖν λαμπροφορία (52) καὶ φωταγωγία, ἣν ἰδίᾳ τε καὶ δημοσίᾳ συνεστησάμεθα, πᾶν γένος ἀνθρώπων μικροῦ καὶ ἀξία πᾶσα, δαψιλεῖ τῷ πυρὶ τὴν νύκτα καταφωτίζοντες (53), καὶ τοῦ μεγάλου φωτὸς ἀντίτυπος, ὅσον τε οὐρανὸς ἄνωθεν φρυκτωρεῖ, κόσμον ὅλον (54) αὐγάζων τοῖς παρ' ἑαυτοῦ κάλλεσι, καὶ ὅσον ὑπερουράνιον, ἔν τε ἀγγέλοις τῇ πρώτῃ φωτεινῇ φύσει μετὰ τὴν πρώτην, τῷ ἐκεῖθεν πηγά-

[a] Alias XLII. Quæ autem 45 erat, nunc epistola 243. — Habita Arianzi anno circiter 385.

(43) Ἅγιον. Deest in Reg. ph, aliisque pluribus.

(44) Ἀββακούμ. Reg. ph, Or. 1 et Comb., Ἀμβακούμ.

(45) *Διερχομένης.* « Discurrentis. » Sic Vulgata et Nobilius. Bill. « pertranseuntis. »

(46) *Χριστὸς εἰς ἑαυτόν*, etc. Nicetas: « Christus ad sese rediit. » Quod exponens, adjungit: « id est, ad divinitatis suæ amplitudinem et dignitatem; qua, propter dispensationem, ad exiguum tempus spoliatus atque exinanitus fuerat. Receptus autem, ad dexteram Patris consedit. Redite igitur vos quoque ad veterem splendorem et dignitatem, ac divinæ imaginis decus. »

D (47) *Ἀποτίθεται.* Reg. bm, ἀποτέθειται. Alludit ad hæc Apostoli verba Eph. IV, 22: « Deponere vos secundum pristinam conversationem, » etc.

(48) *Καὶ ὁ νέος συμπληροῦται.* Hæc desunt in Reg. bm.

(49) *Τιμῇ.* Sic plures Regg. In ed., τιμή.

(50) *Χαμαὶ ἐρχομένας.* « E terra ortis, originem ducentibus. » Bill. « humi defixis. »

(51) *Μέν.* Plures codd. addunt, οὖν

(52) *Λαμπροφορία.* « Candidæ vestis gestatio. » Alludit hic Gregorius ad candidas neophytorum vestes. Bill. « facium et luminum gestatio. »

(53) *Καταφωτίζοντες.* In nonnullis, καταφωτίσαντες.

(54) *Ὅλον.* Sic codd. In ed., ὅλων.

ζεσθαι (55), καὶ ὅσον ἐν τῇ Τριάδι, παρ' ἧς φῶς ἅπαν συνέστηκεν, ἐξ ἀμερίστου φωτὸς μεριζόμενον καὶ τιμώμενον (56). Καλλίων δὲ ἡ σήμερον, καὶ περιφανεστέρα. Ὅσῳ χθὲς μὲν πρόδρομον ἦν τοῦ μεγάλου φωτὸς ἀνισταμένου τὸ φῶς, καὶ οἷον εὐφροσύνη τις προεόρτιος. Σήμερον δὲ τὴν ἀνάστασιν αὐτὴν ἑορτάζομεν, οὐχ ἔτι ἐλπιζομένην, ἀλλ' ἤδη γεγενημένην (57), καὶ κόσμον ὅλον ἑαυτῇ συνάγουσαν. Ἄλλος μὲν οὖν ἄλλο τι τῷ καιρῷ καρποφορείτω, καὶ δωροφορείτω (58) δῶρον ἑόρτιον, ἢ μικρὸν, ἢ μεῖζον, τῶν πνευματικῶν τε καὶ Θεῷ φίλων, ὅπως ἂν ἕκαστος ἔχῃ δυνάμεως. Τῆς γὰρ ἀξίας, μόλις ἂν καὶ ἄγγελοι τύχοιεν, οἱ πρῶτοι, καὶ νοεροὶ, καὶ καθαροὶ, καὶ (59) τῆς ἄνω δόξης ἐπόπται καὶ μάρτυρες· εἴπερ καὶ τούτοις τὸ πᾶν ἐφικτὸν (60) τῆς ὑμνήσεως. Ἡμεῖς δὲ λόγον εἰσοίσομεν, ὧν ἔχομεν τὸ κάλλιστόν B τε καὶ τιμιώτατον, ἄλλως τε καὶ Λόγον ὑμνοῦντες, ἐπ' εὐεργεσίᾳ τῆς λογικῆς φύσεως. Ἄρξομαι δὲ ἐντεῦθεν. Οὐδὲ γὰρ ἀνέχομαι, τοὺς περὶ τοῦ μεγάλου θύματος καὶ τῆς μεγίστης ἡμερῶν θύων λόγους, μὴ πρὸς Θεὸν ἀναδραμεῖν, κἀκεῖθεν ποιήσασθαι τὴν ἀρχήν. Καί μοι καθήρασθε καὶ νοῦν, καὶ ἀκοὴν, καὶ διάνοιαν, ὅσοι τρυφᾶτε τὰ τοιαῦτα (ἐπειδὴ περὶ Θεοῦ καὶ θεῖος ὁ λόγος), ἵν' ἀπέλθητε τρυφήσαντες ὄντως τὰ μὴ κενούμενα. Ἔσται δὲ ὁ αὐτὸς πληρέστατός τε ἅμα καὶ συντομώτατος, ὡς μήτε τῷ ἐνδεεῖ λυπεῖν, μήτε ἀηδὴς εἶναι διὰ τὸν κόρον (61).

A cœleste est, tum in angelis, quæ prima post primam lucida natura est (nam illinc splendorem trahunt); tum in ipsa Trinitate, a qua lumen omne productum est, ab indivisibili lumine divisum atque honoratum. At hodierna præclarior et excellentior. Nam hesternum lumen magni illius luminis exsurgentis prænuntium erat, ac veluti profesta quædam animorum voluptas. Hodie autem ipsam resurrectionem celebramus, non jam in spe positam, sed jam ortam, mundumque totum sibi conciliantem. Enimvero alius aliud quiddam huic tempori donet, ac munus festivum offerat, vel parvum, vel magnum, modo spirituale, Deoque gratum, unusquisque pro virium suarum ratione. Nam dignum munus offerre vix ipsi quoque angeli possint, illi, inquam, primi, et intelligentes, et puri, supernæque gloriæ spectatores, ac testes; si tamen his quoque omnibus numeris absoluta Dei laudatio concessa est. Nos autem sermonem, quo nec pulchrius quidquam habemus, nec præstantius, conferemus; præsertim Verbum laudantes, ob beneficium, quod ab eo ad naturam ratione utentem profectum est. Hinc autem exordiar. Facere enim nequeo, quin de magna victima, et die omnium dierum maximo, sermones, victimæ cujusdam instar, offerens, ad Deum excurram, atque illinc exordium ducam. Ac vos, et mentem, et aures, et intellectum perpurgate, **847** qui in hujusmodi rebus delicias positas habetis (quandoquidem de Deo, ac divina est hæc oratio), ut veris deliciis, non autem evanescentibus, expleti discedatis. Erit autem oratio nostra simul et plenissima, et contractissima; ut nec ob defectum molesta sit, nec ob saturitatem tædium afferat.

Γ'. Θεὸς ἦν μὲν ἀεὶ (62), καὶ ἔστι, καὶ ἔσται· μᾶλλον δὲ, *ἔστιν* ἀεί (63). Τὸ γὰρ *ἦν*, καὶ *ἔσται*, τοῦ καθ' ἡμᾶς χρόνου τμήματα, καὶ τῆς ῥευστῆς φύσεως· ὁ δὲ ὢν ἀεὶ, καὶ τοῦτο αὐτὸς ἑαυτὸν ὀνομάζει, τῷ Μωϋσεῖ χρηματίζων ἐπὶ τοῦ ὄρους. Ὅλον γὰρ ἐν ἑαυτῷ συλλαβὼν ἔχει τὸ εἶναι, μήτε ἀρξάμενον, μήτε παυσόμενον, οἷόν τι πέλαγος οὐσίας ἄπειρον καὶ ἀόριστον, πᾶσαν ὑπερεκπίπτον ἔννοιαν, καὶ χρόνου, καὶ φύσεως· νῷ μόνῳ σκιαγραφούμενος (64), καὶ τούτῳ λίαν ἀμυδρῶς καὶ μετρίως, οὐκ ἐκ τῶν κατ' αὐτὸν (65), ἀλλ' ἐκ τῶν περὶ αὐτὸν, ἄλλης ἐξ ἄλλου φαντασίας συλλεγομένης, εἰς ἕν τι τῆς ἀληθείας ἴνδαλμα, πρὶν κρατηθῆναι φεῦγον, καὶ πρὶν νοηθῆναι διαδιδράσκον· τοσαῦτα περιλάμπον

C III. Deus et semper erat, et est, et erit; vel, ut rectius loquar, semper *est*. Nam *erat* et *erit*, hujus nostri temporis, fluxæque et caducæ naturæ segmenta sunt. Ille autem semper *est*, atque hoc modo seipsum nominat [6], cum in monte Moysi oraculum edit. Universum enim esse in seipso complectitur, quod nec principium habuit, nec finem habiturum est, quasi pelagus quoddam essentiæ immensum et interminatum, omnem tum temporis, tum naturæ cogitationem superans; mente sola is adumbratus, et quidem perexigue ac perobscure, non ex his, quæ in ipso sunt, sed quæ circa ipsum, alia nimirum ex alia imagine collecta, ad unum aliquod veritatis simulacrum exprimen-

[6] Exod. III 13 sq.

(55) *Πηγάζεσθαι*. Coisl. 1, Or. 1, Jes., Hervag., etc., αὐγάζεσθαι, « splendorem efficiunt, clarescunt. »

(56) *Τιμώμενον*. In nonnullis, τεμνόμενον, « præcisum. » Quam lectionem probat Combefisius, utpote quæ magis Gregorium sapiat.

(57) *Γεγενημένην*. Sic plures codd. In ed., γεγεννημένην.

(58) *Καὶ δωροφορείτω*. Hæc desunt in nonnullis.

(59) *Καί*. Deest in quatuor Regg., quinque Colb. et Comb.

(60) *Ἐφικτόν*. Unus codex addit, ἐστίν.

(61) *Ἔσται ... διὰ τὸν κόρον*. Hæc et interjecta desunt in plerisque codicibus. Ea tamen agnoscit Nicetas.

(62) *Θεὸς ἦν μὲν ἀεί*, etc. Hæc et sequentia us- D que ad finem numeri noni, verbo ad verbum habentur in tricesima octava oratione *De Christi nativitate*. Utrum autem id factum fuerit ab ipso Gregorio, an amanuensium lapsu contigerit, incertum.

(63) *Ἔστιν ἀεί*. « Semper est. » Augustinus *De vera relig.*, c. 49, sic loquitur: « Nihil præterit in æterno, et nihil futurum est; quia et quod præterit, esse desinit; et quod futurum est, nondum cœpit. Æternitas autem tantummodo est: nec fuit, quasi non sit; nec erit, quasi adhuc non sit. »

(64) *Σκιαγραφούμενος*. Sic plures Regg. et Colb., Par., etc. In ed., σκιαγραφούμενον.

(65) *Οὐκ ἐκ τῶν κατ' αὐτόν*. « Non ex suis. » Id est, non ipsa essentia, secundum quam Deus a nobis comprehendi nequit; sed ex effectibus, seu operibus a nobis laudatur

dum, quod, priusquam teneatur, effugit, et priusquam intellectu percipiatur, seipsum fuga proripit; tantum principem nostri partem, eamque purgatam, collustrans, quantum oculorum aciem perstringit fulguris celeritas haudquaquam permanentis; ut, meo quidem judicio, quatenus comprehendi potest, nos ad se trahat (quod enim nullo modo percipi potest, id nec sperat quisquam, nec ad id adnititur); quatenus autem capi nequit, admirationem sui excitet, atque ex ipsa admiratione vehementius desideretur, desideratus purget, purgans autem Deo similes efficiat, cumque id consecuti fuerimus, jam velut cum familiaribus colloquatur (metuo ne hoc audacius a me dictum videri possit), Deus diis unitus et innotescens, ac tantum fortasse, quantum jam eos, qui cognoscunt, cognitos habet. Immensus igitur est Deus, et ad contemplandum difficilis, idque solum in eo plane comprehendi potest, quod immensus sit; quamlibet aliquis existimet, eum, quia simplicis naturæ sit, rationem hanc habere, ut vel nullo omnino modo comprehendi possit, vel plene perfecteque 848 comprehendi queat. Quid enim sit ille, natura simplex, exquiramus. Neque enim simplicitas illi natura est. quandoquidem nec compositis sola compositio

A ἡμῶν τὸ ἡγεμονικὸν, καὶ ταῦτα κεκαθαρμένον (66), ὅσα καὶ ὄψιν, ἀστραπῆς τάχος οὐχ ἱσταμένης· ἐμοὶ δοκεῖν, ἵνα τῷ ληπτῷ μὲν ἕλκῃ πρὸς ἑαυτὸ (67) (τὸ γὰρ τελέως ἄληπτον, ἀνέλπιστον καὶ ἀνεπιχείρητον)· τῷ δὲ ἀλήπτῳ, θαυμάζηται· θαυμαζόμενον δὲ, ποθῆται πλέον· ποθούμενον δὲ, καθαίρῃ· καθαῖρον δὲ, θεοειδεῖς ἐργάζηται (68)· τοιούτοις δὲ γενομένοις, ὡς οἰκείοις ἤδη προσομιλῇ (τολμᾷ τι νεανικὸν ὁ λόγος)· Θεὸς θεοῖς ἑνούμενός τε καὶ γνωριζόμενος· καὶ τοσοῦτον ἴσως, ὅσον ἤδη γινώσκει τοὺς γινωσκομένους (69). Ἄπειρον οὖν τὸ θεῖον καὶ δυσθεώρητον· καὶ τοῦτο πάντη καταληπτὸν αὐτοῦ μόνον, ἡ ἀπειρία· κἂν τις οἴηται τῷ (70) ἁπλῆς εἶναι φύσεως, ἢ ὅλον (71) ἄληπτον εἶναι, ἢ τελέως ληπτόν. Τί γὰρ ὂν ἁπλῆς ἐστι φύσεως, ἐπιζητήσωμεν (72). Οὐ γὰρ δὴ τοῦτο φύσις B αὐτῷ, ἡ ἁπλότης· εἴπερ μηδὲ τοῖς συνθέτοις, τὸ εἶναι μόνον (73) συνθέτοις

IV. Jam vero, cum immensitas bifariam consideretur, nempe et principii, et finis ratione (nam quod supra hæc est, nec his continetur, immensum est); cum in superius profundum mens aspexit, in formis illis, quas sibi de Deo effingit, non habens ubi consistat et innitatur, immensum hoc exitusque expers, anarchum, hoc est, principio carens, appellavit: cum autem ad inferiora hæc, et posteriora, immortale atque interitus expers: cum autem utrumque contraxerit, et collegerit, æternum. Æternitas enim, nec tempus, nec temporis pars ulla est; nec enim in mensuram cadit; sed quod nobis tempus est, solis motu definitum, hoc æternis ævum est, nimirum ille quasi temporalis quidam motus, et intervallum, quod simul cum æternis extenditur. Atque hæc nobis in præsentia de Deo dicta sint. Neque enim plura disserere hujus est temporis, quandoquidem nobis hoc loco, non de Dei natura, sed de œconomia instituta est oratio. Deum porro cum dico, Patrem, et Filium, et Spiritum sanctum dico, nec ultra hæc sese diffundente deitate, ne deorum turbam inducamus, nec rursus intra hæc finita atque restricta, ne divinitatis inopia premi judicemur, vel propter unius principatum Judaismo

Δ'. Διχῇ δὲ τοῦ ἀπείρου θεωρουμένου, κατά τε ἀρχὴν καὶ τέλος (τὸ γὰρ ὑπὲρ ταῦτα, καὶ μὴ ἐν τούτοις, ἄπειρον), ὅταν μὲν εἰς τὸν ἄνω βυθὸν ὁ νοῦς ἀποβλέψῃ, οὐκ ἔχων ὅποι στῇ καὶ ἀπερείσηται ταῖς περὶ Θεοῦ φαντασίαις, τὸ ἐνταῦθα ἄπειρον καὶ ἀνέκβατον, ἄναρχον προσηγόρευσεν· ὅταν δὲ εἰς τὸν κάτω (74), καὶ τὰ ἑξῆς, ἀθάνατον καὶ ἀνώλεθρον· ὅταν C δὲ συνέλῃ τὸ πᾶν, αἰώνιον. Αἰὼν γὰρ, οὔτε χρόνος, οὔτε χρόνου τι μέρος· οὐδὲ γὰρ μετρητόν· ἀλλ' ὅπερ ἡμῖν ὁ χρόνος, ἡλίου φορᾷ μετρούμενος, τοῦτο τοῖς ἀϊδίοις αἰὼν, τὸ συμπαρεκτεινόμενον (75) τοῖς οὖσιν (76), οἷόν τι χρονικὸν κίνημα καὶ διάστημα. Ταῦτά μοι περὶ Θεοῦ πεφιλοσοφήσθω τανῦν (77). Οὐδὲ γὰρ ὑπὲρ ταῦτα καιρὸς, ὅτι μὴ θεολογία τὸ προκείμενον ἡμῖν, ἀλλ' οἰκονομία (78). Θεοῦ δὲ ὅταν εἴπω, λέγω Πατρὸς, καὶ Υἱοῦ, καὶ ἁγίου Πνεύματος· οὔτε ὑπὲρ ταῦτα τῆς θεότητος χεομένης, ἵνα μὴ δῆμον θεῶν εἰσαγάγωμεν· οὔτε ἐντὸς τούτων ὁριζομένης, ἵνα μὴ πενίαν θεότητος καταχριθῶμεν, ἢ διὰ τὴν μοναρχίαν Ἰουδαΐζοντες (79), ἢ διὰ τὴν ἀφθονίαν Ἑλληνίζοντες. Τὸ γὰρ κακὸν ἐν ἀμφοτέροις ὅμοιον, κἂν ἐν (80) τοῖς ἐναντίοις εὑρίσκηται. Οὕτω D μὲν οὖν τὰ Ἅγια τῶν ἁγίων, ἃ καὶ τοῖς σεραφὶμ συγκαλύπτεται, καὶ δοξάζεται τρισὶν ἁγιασμοῖς, εἰς

(66) *Κεκαθαρμένον*. Reg. ph, Savil. et Comb., κεκαθαρμένων, « cum purgati fuerimus. »

(67) *Ἑαυτό*. Reg. ph et Or. 1, ἑαυτόν.

(68) *Ἐργάζηται*. Comb., ἀπεργάζηται.

(69) *Τοὺς γινωσκομένους*. « Qui cognoscunt, » non, « cognoscuntur, » ut Billius. Alludit enim Gregorius ad hæc Apostoli verba, I Cor. XIII, 12, « tunc autem cognoscam sicut et cognitus sum. »

(70) *Οἴηται τῷ*. Jes., Par. et Savil., οἴεται τό.

(71) *Ὅλον*. Par., ὅλως.

(72) *Ἐπιζητήσωμεν*. Sic Regg. bm, ph, etc. Sic etiam Billius. In ed., ἐπιζητήσομεν.

(73) *Τὸ εἶναι μόνον*. Sic Coisl. 2. In ed., μόνον τὸ εἶναι.

(74) *Εἰς τὸν κάτω*. Regg. bm, ph, etc., εἰς τὰ κάτω. Gloss., εἰς τὰ μέλλοντα, « ad ulteriora, ad futura. »

(75) *Τὸ συμπαρεκτεινόμενον*. « Illud ævum quod simul cum exsistentibus rebus extenditur. »

(76) *Τοῖς οὖσιν*. Comb. : « Spiritualibus. »

(77) *Πεφιλοσοφήσθω τανῦν*. In nonnullis, πεφιλοσοφείσθω τὸ νῦν.

(78) *Οἰκονομία*. « De œconomia ; » id est, inquit Nicetas, « de Incarnationis consilio et œconomia disserere proposuimus. » Ex quibus forsan colligendum esset, hæc ex oratione de Nativitate excerpta, ab amanuensibus huc fuisse translata.

(79) *Ἰουδαΐζοντες*. Judæi unam tantum in Deo personam agnoscebant.

(80) *Ἐν*. Deest in Regg. c, d et Jes.

μίαν συνιοῦσι κυριότητα καὶ θεότητα· ὅπερ καὶ (81) ἄλλῳ τινὶ τῶν (82) πρὸ ἡμῶν πεφιλοσόφηται κάλλιστά τε καὶ ὑψηλότατα.

faventes, vel propter effusam deorum multitudinem gentilismo. Nam utrobique malum æquale est, tametsi in contrariis reperiatur. Sic nimirum Sancta sanctorum, quæ etiam a seraphinis obteguntur, ac tribus sanctificationibus in unam dominationem et deitatem coeuntibus, celebrantur [7], quemadmodum et alius quidam ante nos pulcherrime et sublimissime philosophatus est.

Ε'. Ἐπεὶ δὲ οὐκ ἤρκει τῇ ἀγαθότητι τοῦτο, τὸ κινεῖσθαι μόνον τῇ ἑαυτῆς θεωρίᾳ, ἀλλ' ἔδει χεθῆναι τὸ ἀγαθὸν καὶ ὁδεῦσαι, ὡς πλείονα εἶναι τὰ εὐεργετούμενα (τοῦτο γὰρ τῆς ἄκρας ἦν ἀγαθότητος)· πρῶτον μὲν ἐννοεῖ τὰς ἀγγελικὰς δυνάμεις καὶ οὐρανίους· καὶ τὸ ἐννόημα ἔργον ἦν, Λόγῳ συμπληρούμενον, καὶ Πνεύματι τελειούμενον· καὶ οὕτως ὑπέστησαν λαμπρότητες δεύτεραι, λειτουργοὶ τῆς πρώτης λαμπρότητος, εἴτε νοερὰ πνεύματα, εἴτε πῦρ, οἷον ἄϋλον καὶ ἀσώματον, εἴτε τινὰ φύσιν ἄλλην ὅτι ἐγγυτάτω (83) τῶν εἰρημένων, ταύτας (84) ὑποληπτέον. Βούλομαι μὲν εἰπεῖν, ὅτι ἀκινήτους πρὸς τὸ κακὸν, καὶ μόνην ἐχούσας τὴν τοῦ καλοῦ κίνησιν, ἅτε περὶ Θεὸν οὔσας, καὶ τὰ πρῶτα ἐκ Θεοῦ λαμπομένας (τὰ γὰρ ἐνταῦθα δευτέρας ἐλλάμψεως)· πείθει δέ με, μὴ ἀκινήτους, ἀλλὰ δυσκινήτους (85), καὶ ὑπολαμβάνειν ταύτας καὶ λέγειν, ὁ διὰ τὴν λαμπρότητα Ἑωσφόρος, σκότος διὰ τὴν ἔπαρσιν καὶ γενόμενος καὶ λεγόμενος, αἵ τε ὑπ' αὐτὸν ἀποστατικαὶ δυνάμεις, δημιουργοὶ τῆς κακίας τῇ τοῦ καλοῦ φυγῇ, καὶ ἡμῖν πρόξενοι.

V. Quoniam autem bonitati minime satis erat sua ipsius solum contemplatione moveri, sed bonum diffundi ac propagari oportebat, ut plura essent, quæ beneficio afficerentur (id enim summæ bonitatis erat), primum angelos, et cœlestes spiritus cogitavit; atque illa cogitatio opus erat, quod Verbo conficiebatur, ac Spiritu perficiebatur; atque ita secundi splendores procreati sunt, primi splendoris administri; sive spiritus mente præditos, sive ignem tanquam materiæ et corporis expertem, **849** sive aliam quamdam naturam proxime ad eas, quas diximus, accedentem, eos existimare oportet. Gestit quidem animus dicere ad malum immobiles, ac solummodo ad bonum propensos, utpote Deum circumstantes, ac primario Dei fulgore collucentes (hæc enim inferiora secundæ illuminationis sunt); verum, ut non omnino immobiles, sed ægre mobiles existimem ac dicam, mihi persuadet ille, ob splendorem, Lucifer, qui propter superbiam caligo effectus est, ac nominatur, et rebelles angeli ei subjecti, vitii per boni fugam architecti, ejusdemque nobis auctores.

Ϛ'. Οὕτω μὲν οὖν ὁ νοητὸς αὐτῷ καὶ διὰ ταῦτα ὑπέστη κόσμος, ὡς ἐμὲ γοῦν περὶ τούτων φιλοσοφῆσαι, μικρῷ λόγῳ τὰ μεγάλα σταθμώμενον. Ἐπεὶ δὲ τὰ πρῶτα καλῶς εἶχεν αὐτῷ, δεύτερον ἐννοεῖ κόσμον, ὑλικὸν καὶ ὁρώμενον· καὶ οὗτός ἐστι, τὸ ἐξ οὐρανοῦ, καὶ γῆς, καὶ τῶν ἐν μέσῳ (86) σύστημά τε καὶ σύγκριμα· ἐπαινετὸν μὲν τῆς καθ' ἕκαστον εὐφυΐας, ἀξιεπαινετώτερον δὲ τῆς ἐξ ἁπάντων εὐαρμοστίας καὶ συμφωνίας, ἄλλου πρὸς ἄλλο τι καλῶς ἔχοντος, καὶ πάντων πρὸς ἅπαντα, εἰς ἑνὸς κόσμου συμπλήρωσιν· ἵνα δείξῃ, μὴ μόνον οἰκείαν ἑαυτῷ φύσιν, ἀλλὰ καὶ πάντῃ ξένην ὑποστήσασθαι δυνατὸς ὤν. Οἰκεῖον μὲν γὰρ θεότητος, αἱ νοεραὶ φύσεις, καὶ νῷ μόνῳ ληπταί· ξένον (87) δὲ παντάπασιν, ὅσαι ὑπὸ τὴν αἴσθησιν· καὶ τούτων αὐτῶν ἔτι πορρωτέρω, ὅσαι παντελῶς ἄψυχοι καὶ ἀκίνητοι.

VI. Sic igitur atque ob has causas, mundus is intellectualis, ab eo creatus est, quantum quidem ipse de his rebus philosophari queo, exigua oratione res magnas expendens. Posteaquam autem primas partes præclare constitutas vidit, alterum mundum, materia constantem et aspectabilem cogitavit, hanc nimirum ex cœlo, et terra, et his rebus quæ eorum complexu continentur, coagmentationem et concretionem : laudabilem illam quidem, ob singularum partium elegantiam; verum laudabiliorem, ob eam, quæ ex universis exsistit, concinnitatem atque concordiam, alia re videlicet ad aliud quiddam pulchre quadrante, atque omnibus ad omnia scite convenientibus, ad unius mundi ornatum omnibus numeris absolvendum ; ut perspicuum faceret, se, non modo sibiipsi cognatam et propinquam naturam, sed etiam omnino alienam posse procreare. Divinitatis enim propinquæ sunt intelligentes naturæ, quæque mente sola percipi queunt; alienæ autem omnino, quæcunque sub sensus cadunt; atque his adhuc remotiores, quæ anima omni et motu carent.

Ζ'. Νοῦς μὲν οὖν ἤδη καὶ αἴσθησις (88), οὕτως ἀπ' ἀλλήλων διακριθέντα (89), τῶν ἰδίων ὅρων ἐντὸς

VII. Enimvero mens jam et sensus, sic inter se discreta, finibus suis se continebant, opificisque

[7] Isa. vi, 2 sqq.

(81) *Ὅπερ καί.* Duo Colb. et Or. 1, ὃ καί.

(82) *Τινὶ τῶν.* Sic Regg. d, ph, Or. 1, etc. In ed. deest τῶν. Budæus intelligit « Dionysium. » Regius Mazarinus et Nicetas, « Athanasium, » quibus assentimur.

(83) *Ἐγγυτάτω.* In nonnullis, ἐγγυτάτων.

(84) *Ταύτας.* Sic sex Regg., Par. Jes., Bas. etc. Prave in ed., ταῦτα.

(85) *Δυσκινήτους.* Sic Regg. c, d, ph, Savil., etc. In ed., δυσκυνήτους.

(86) *Καὶ τῶν ἐν μέσῳ.* « Et rebus mediis, » nimirum aere et aqua, quæ inter cœlum et terram continentur. Nam « mundus, » ut ait Aristoteles, « est coagmentatio ex cœlo et terra naturisque intermediis. »

(87) *Ξένον.* Sic Regg. bm, ph, Coisl. 1, etc. Prave in Par. ed., ξένου.

(88) *Νοῦς μὲν οὖν ἤδη καὶ αἴσθησις.* « Mens jam et sensus. » Intelligit Gregorius angelos et visibilem mundum a Verbo creatos, qui, vocis organo destituti, opificis sui gloriam tacite enarrabant, cum nondum homo creatus esset

(89) *Διακριθέντα.* Sic plerique melioris notæ codd. In ed., διακριθέντες.

Verbi majestatem in seipsis ferebant, taciti laudatores insignis opificii, et canori præcones. Nondum autem ex utroque temperatura ulla erat, aut contrariorum mistio, quæ sublimioris sapientiæ ac circa naturarum creationem varietatis et excellentiæ specimen exhiberet : nec omnes bonitatis divitiæ notæ atque spectatæ erant. Hoc igitur cum artifex Verbum ostendere voluisset, **850** animal unum ex utroque, ex invisibili scilicet ac visibili natura, hominem dico, fabricatur ; atque a materia quidem, jam ante producta, sumpto corpore, a se autem insito spiraculo (quod quidem intellectualem animam, Deique imaginem Scriptura vocat [a]), velut alterum quemdam mundum, in parvo magnum, in terra collocat, angelum alium, mistum adoratorem, visibilis naturæ spectatorem, intellectualis mystem, eorum, quæ in terra sunt, regem, superis autem subditum, terrenum et cœlestem, caducum et immortalem, visibilem et intelligibilem, medium inter magnitudinem et humilitatem, eumdem spiritum et carnem ; spiritum propter gratiam, carnem ob elationem : illud quidem, ut maneat, eumque, cujus beneficiis ornatus est, concelebret ; hoc autem, ut vexetur, ac vexationibus admoneatur, et de magnitudine sibi placens erudiatur et coerceatur; animal hic varie gubernatum, atque alio demigrans, et, quod mysterii extremum est, animi ad Deum nutu et propensione divinitatem consequens. Eo enim mihi veritatis splendor ille, quem hic exigue haurimus, tendit, ut Dei claritatem et videam et sentiam dignam eo, qui et constrinxit, et dissolvet, ac rursus excellentius sublimiusque constringet.

εἱστήκεισαν, καὶ τὸ τοῦ δημιουργοῦ Λόγου μεγαλεῖον ἐν ἑαυτοῖς ἔφερον, σιγῶντες ἐπαινέται τῆς μεγαλουργίας, καὶ διαπρύσιοι κήρυκες. Οὔπω δὲ ἦν κρᾶμα ἐξ ἀμφοτέρων, οὐδέ τις μίξις τῶν ἐναντίων, σοφίας μείζονος γνώρισμα καὶ τῆς περὶ τὰς φύσεις πολυτελείας· οὐδὲ ὁ πᾶς πλοῦτος τῆς ἀγαθότητος γνώριμος. Τοῦτο δὴ βουληθεὶς ὁ τεχνίτης ἐπιδείξασθαι Λόγος, καὶ ζῶον ἓν ἐξ ἀμφοτέρων, ἀοράτου τε λέγω καὶ ὁρατῆς φύσεως, δημιουργεῖ, τὸν ἄνθρωπον· καὶ παρὰ μὲν τῆς ὕλης λαβὼν τὸ σῶμα ἤδη προϋποστάσης, παρ' ἑαυτοῦ δὲ πνοὴν ἐνθεὶς (90) (ὃ δὴ νοερὰν ψυχὴν καὶ εἰκόνα Θεοῦ οἶδεν ὁ λόγος), οἷόν τινα κόσμον ἕτερον, ἐν μικρῷ μέγαν, ἐπὶ τῆς γῆς ἵστησιν, ἄγγελον ἄλλον, προσκυνητὴν μικτὸν, ἐπόπτην τῆς ὁρατῆς κτίσεως, μύστην τῆς νοουμένης, βασιλέα τῶν ἐπὶ γῆς, βασιλευόμενον ἄνωθεν, ἐπίγειον καὶ οὐράνιον, πρόσκαιρον καὶ ἀθάνατον, ὁρατὸν καὶ νοούμενον, μέσον (91) μεγέθους καὶ ταπεινότητος, τὸν αὐτὸν πνεῦμα καὶ σάρκα· πνεῦμα διὰ τὴν χάριν, σάρκα διὰ τὴν ἔπαρσιν· τὸ μὲν, ἵνα μένῃ, καὶ δοξάζῃ τὸν εὐεργέτην· τὸ δὲ, ἵνα πάσχῃ, καὶ πάσχων (92) ὑπομιμνήσκηται, καὶ παιδεύηται τῷ μεγέθει φιλοτιμούμενος (93)· ζῶον ἐνταῦθα (94) οἰκονομούμενον, καὶ ἀλλαχοῦ μεθιστάμενον, καὶ πέρας τοῦ μυστηρίου, τῇ πρὸς Θεὸν νεύσει θεούμενον. Εἰς τοῦτο γὰρ ἐμοὶ φέρει τὸ μέτριον ἐνταῦθα φέγγος τῆς ἀληθείας, λαμπρότητα Θεοῦ καὶ ἰδεῖν καὶ παθεῖν ἀξίαν τοῦ καὶ συνδήσαντος, καὶ λύσοντος, καὶ αὖθις συνδήσοντος (95) ὑψηλότερον.

VIII. Hunc arbitrii libertate donatum, ut bonum non minus illius esset, qui elegisset, quam ejus, qui semina præbuisset, in paradiso (quicunque tandem erat paradisus ille), collocat [b], plantarum immortalium cultorem, hoc est, fortasse divinarum cogitationum, tam simpliciorum, quam perfectiorum, nudum per simplicitatem, et vitam artificio carentem, atque omnis integumenti et munimenti expertem. Talem enim esse conveniebat eum, qui primum esset creatus. Ac legem, quasi materiam libero arbitrio tradit. Lex autem illa, præceptum erat, quo præscribebatur, tum quibus arboribus ei utendum esset, tum a qua manus abstinendæ. Ea porro erat scientiæ arbor, non illa quidem, aut male a principio consita, aut per invidiam interdicta (ne illuc linguas suas Dei hostes injiciant, nec serpentem imitentur) ; sed bona quidem tempestive per-

Η'. Τοῦτον ἔθετο μὲν ἐν τῷ (96) παραδείσῳ, ὅστις ποτὲ ἦν ὁ παράδεισος οὗτος, τῷ αὐτεξουσίῳ τιμήσας, ἵν' ᾖ τοῦ ἑλομένου τὸ ἀγαθὸν οὐχ ἧττον ἢ τοῦ (97) παρασχόντος τὰ σπέρματα, φυτῶν ἀθανάτων γεωργὸν, θείων ἐννοιῶν ἴσως, τῶν τε ἁπλουστέρων, καὶ τῶν τελεωτέρων, γυμνὸν τῇ ἁπλότητι, καὶ ζωῇ τῇ ἀτέχνῳ, καὶ δίχα παντὸς ἐπικαλύμματος καὶ προβλήματος· τοιοῦτον γὰρ ἔπρεπεν εἶναι τὸν ἀπ' ἀρχῆς· καὶ δίδωσι νόμον, ὕλην τῷ αὐτεξουσίῳ. Ὁ δὲ νόμος ἦν ἐντολὴ, ὧν τε μεταληπτέον αὐτῷ φυτῶν, καὶ οὗ μὴ προσαπτέον. Τὸ δὲ ἦν, τὸ ξύλον τῆς γνώσεως, οὔτε φυτευθὲν ἀπ' ἀρχῆς κακῶς, οὔτε ἀπαγορευθὲν φθονερῶς (μὴ πεμπέτωσαν ἐκεῖ τὰς γλώσσας οἱ θεομάχοι, μηδὲ τὸν ὄφιν μιμείσθωσαν)· ἀλλὰ καλὸν μὲν εὐκαίρως μεταλαμβανόμενον (θεωρία [98] γὰρ ἦν τὸ φυτὸν, ὡς ἡ ἐμὴ θεωρία, ἧς μόνοις ἐπιβαίνειν [99] ἀσφαλὲς, τοῖς τὴν ἕξιν τελεωτέροις [1]),

[a] Gen. I, 27; II, 7. [b] Gen. II, 15 sqq.

(90) *Πνοὴν ἐνθείς*. Sic Coisl. 1, Or. 1, Comb., etc. Sic etiam legit Bill. In Par. ed., ζωὴν ἐνθείς, « insita vita. »

(91) *Μέσον*. Sic codd. Mendose in ed., μέσους.

(92) *Πάσχων*. Reg. ph, πάσχον.

(93) *Φιλοτιμούμενος*. Regg. bm, ph et Savil., φιλοτιμούμενον.

(94) *Ζῶον ἐνταῦθα*, etc. Id est, « animal quod in hac vita, providentia, lege et consilio regatur, et ad aliam vitam transferatur. »

(95) *Λύσοντος. . . συνδήσοντος*. Sic plures optimæ notæ codd. In ed., λύσαντος. . . συνδήσαντος.

(96) *Ἐν τῷ*. Sic Regg. bm, ph, Or. 1, etc. Deest τῷ in ed.

(97) *Ἢ τοῦ*. Comb., ἢ ἀπὸ τοῦ.

(98) *Θεωρία*. « Contemplatio. » Id est, inquit Nicetas, « altior quædam cognitio, iis conveniens, qui sensus exercitatos habent. »

(99) *Ἐπιβαίνειν*. Sic tres Regg. In ed., ἐπιβαίνει.

(1) *Τοῖς... τελεωτέροις*. Regg. bm, ph et Savil., τοὺς τελεωτέρους.

οὐ καλὸν δὲ τοῖς ἁπλουστέροις ἔτι, καὶ τὴν ἔφεσιν λιχνοτέροις· ὥσπερ οὐδὲ τροφὴ τελεία λυσιτελὴς τοῖς ἁπαλοῖς (2) ἔτι, καὶ δεομένοις γάλακτος. Ἐπεὶ δὲ φθόνῳ διαβόλου, καὶ γυναικὸς ἐπηρείᾳ, ἣν τε ἔπαθεν, ὡς ἁπαλωτέρα, καὶ ἣν προσήγαγεν, ὡς πιθανωτέρα (φεῦ τῆς ἐμῆς ἀσθενείας! ἐμὴ γὰρ ἡ τοῦ προπάτορος), τῆς μὲν ἐντολῆς ἐπελάθετο τῆς δοθείσης, καὶ ἡττήθη τῆς μικρᾶς γεύσεως· ὁμοῦ δὲ τοῦ τῆς ζωῆς ξύλου, καὶ τοῦ παραδείσου, καὶ τοῦ Θεοῦ διὰ τὴν κακίαν ἐξόριστος γίνεται, καὶ τοὺς δερματίνους ἀμφιέννυται χιτῶνας, ἴσως τὴν παχυτέραν σάρκα, καὶ θνητὴν, καὶ ἀντίτυπον· καὶ τοῦτο πρῶτον γινώσκει τὴν ἰδίαν αἰσχύνην, καὶ ἀπὸ Θεοῦ κρύπτεται. Κερδαίνει μέν τι κἀνταῦθα, τὸν θάνατον, καὶ τὸ διακοπῆναι τὴν ἁμαρτίαν, ἵνα μὴ ἀθάνατον ᾖ τὸ κακόν. Καὶ γίνεται φιλανθρωπία, ἡ τιμωρία. Οὕτω B γὰρ πείθομαι (3) κολάζειν Θεόν.

A cepta (contemplationis enim, ut ipse contemplando assequor, hæc arbor erat, ad quam iis solis tutus 851 est ascensus, qui animi habitu perfectiori sunt); haudquaquam autem bona simplicioribus adhuc animis, atque appetitu avidiori præditis; quemadmodum nec perfectus ac solidus cibus iis conducit, qui tenera adhuc ætate sunt, lacteque opus habent. Postquam autem diaboli invidia, et fraude facta mulieri, quam, et ut mollior passa est, et, ut ad persuadendum accommodatior, admovit (o infirmitatem meam! meam enim duco primi parentis infirmitatem), accepti mandati oblitus, et huic gustui acerbo acquievit, tum simul et a ligno vitæ, et a paradiso, et ab ipso Deo propter peccatum expellitur, et pelliceas tunicas induit, hoc est, fortasse crassiorem carnem, et mortalem, ac refractariam; primumque turpitudinem suam agnoscit, et a Deo se abscondit[10]. Atque hic quoque tamen mortem, ac peccati præcisionem elucratur, ne malum immortale sit. Ita pœna ipsa in misericordiam cessit. Sic enim Deum supplicia inferre censeo.

Θ'. Πολλοῖς δὲ παιδευθεὶς πρότερον ἀντὶ πολλῶν τῶν ἁμαρτημάτων, ὧν ἡ τῆς κακίας ῥίζα ἐβλάστησε, κατὰ διαφόρους αἰτίας καὶ χρόνους, λόγῳ, νόμῳ, προφήταις, εὐεργεσίαις, ἀπειλαῖς, πληγαῖς, ὕδασιν, ἐμπρησμοῖς, πολέμοις, νίκαις, ἥτταις, σημείοις ἐξ οὐρανοῦ, σημείοις ἐξ ἀέρος, ἐκ γῆς, ἐκ θαλάττης, ἀνδρῶν, πόλεων, ἐθνῶν, ἀνελπίστοις μεταβολαῖς, ὑφ' ὧν ἐκτριβῆναι τὴν κακίαν τὸ σπουδαζόμενον ἦν· τέλος, ἰσχυροτέρου δεῖται φαρμάκου ἐπὶ δεινοτέροις C τοῖς ἀῤῥωστήμασιν, ἀλληλοφονίαις, μοιχείαις, ἐπιορκίαις, ἀνδρομανίαις, τὸ πάντων ἔσχατον τῶν κακῶν καὶ πρῶτον, εἰδωλολατρίαις (4), καὶ τῇ μεταθέσει τῆς προσκυνήσεως ἀπὸ τοῦ πεποιηκότος ἐπὶ τὰ κτίσματα. Ταῦτα, ἐπειδὴ μείζονος ἐδεῖτο τοῦ βοηθήματος, μείζονος καὶ τυγχάνει. Τὸ δὲ ἦν, αὐτὸς ὁ τοῦ Θεοῦ Λόγος, ὁ προαιώνιος, ὁ ἀόρατος, ὁ ἀπερίληπτος, ὁ ἀσώματος, ἡ ἐκ τῆς ἀρχῆς ἀρχὴ, τὸ ἐκ τοῦ φωτὸς φῶς, ἡ πηγὴ τῆς ζωῆς καὶ τῆς ἀθανασίας, τὸ ἐκμαγεῖον τοῦ ἀρχετύπου (5), ἡ μὴ (6) κινουμένη σφραγὶς, ἡ ἀπαράλλακτος εἰκὼν, ὁ τοῦ Πατρὸς ὅρος καὶ λόγος, ἐπὶ τὴν ἰδίαν εἰκόνα χωρεῖ, καὶ σάρκα φορεῖ διὰ τὴν σάρκα, καὶ ψυχῇ νοερᾷ (7) διὰ τὴν ἐμὴν ψυχὴν μίγνυται, τῷ ὁμοίῳ τὸ ὅμοιον ἀνακαθαίρων. καὶ πάντα γίνεται, πλὴν τῆς ἁμαρτίας, D ἄνθρωπος· κυηθεὶς μὲν ἐκ τῆς Παρθένου, καὶ ψυχὴν καὶ σάρκα προκαθαρθείσης τῷ Πνεύματι (ἔδει γὰρ, καὶ γέννησιν τιμηθῆναι, καὶ παρθενίαν προτιμηθῆναι), προελθὼν δὲ Θεὸς μετὰ τῆς προσλήψεως, ἓν ἐκ δύο τῶν ἐναντίων, σαρκὸς καὶ πνεύματος (8), ὧν τὸ μὲν ἐθέωσε, τὸ δὲ ἐθεώθη. Ὢ τῆς καινῆς μίξεως! Ὢ τῆς παραδόξου κράσεως! Ὁ ὢν, γίνεται· καὶ ὁ

IX. Multis autem prius modis, propter multa peccata, quæ ex vitii radice pullularunt, secundum diversas causas et tempora castigatus, sermone, lege, prophetis, beneficiis, comminationibus, plagis, aquis, incendiis, bellis, victoriis, cladibus, signis e cœlo, signis ex aere, ex terra, ex mari, hominum, urbium, gentium, insperatis mutationibus, quæ omnia eo tendebant, ut malitia contereretur; validiori tandem medicamento propter graviores morbos opus habere cœpit, nimirum ob mutuas cædes, adulteria, perjuria, præposteram libidinem, et, quod omnium malorum extremum ac primum est, idolorum cultum, adorationisque a Creatore ad creaturas translationem. Quæ, quoniam majus auxilium requirebant, majus etiam acceperunt. Hoc autem erat ipse Dei Filius, ille sæculis antiquior, ille invisibilis, ille incomprehensibilis, ille incorporeus, illud ex principio principium, illud ex lumine lumen, ille fons vitæ et immortalitatis, illa archetypi expressio, illud immotum sigillum, illa per omnia similis imago, ille Patris terminus et ratio, ille, inquam, ad imaginem suam se confert, carnemque carnis causa gerit, et cum intellectuali anima propter animam meam jungitur, ut simile per simile repurget, atque humana omnia, excepto peccato, suscipit; conceptus quidem ex Virgine, animo et carne a Spiritu præpurgata (nam et generationem honore affici, et virginitatem præferri 852 oportebat); progressus autem Deus cum assumpta humanitate, unum ex duobus inter se contrariis, carne nimirum et spiritu, quorum alte-

[10] Gen. III, 1 sqq.

(2) Ἁπαλοῖς. Sic quatuor Regg., sex Colb., etc. In ed., ἁπλοῖς, « simplicibus. »
(3) Πείθομαι. Comb., ἐγὼ πείθομαι.
(4) Εἰδωλολατρίαις. Reg. ph et Or. 1, εἰδωλολατρείαις.
(5) Ἀρχετύπου. Coisl. 1 addit, κάλλους, « pulchritudinis archetypi expressio. »
(6) Ἡ μή. Sic Regg. bm, pn et Savil. In ed., ἢ μή.
(7) Καὶ ψυχῇ νοερᾷ. Par., καὶ ψυχὴν νοεράν.
(8) Σαρκὸς καὶ πνεύματος. Optime Nicetas exponit: Ἀνθρωπότητος καὶ θεότητος· « Cum divinitate et humanitate. »

rum deitatem dedit, alterum accepit. O novam et inauditam misturam! O admirandam temperationem! Qui est, fit: qui increatus est, creatur: qui nullo loco contineri potest, interventu animæ intellectualis, inter divinitatem carnisque crassitiem interjectæ, continetur. Qui alios ditat, pauper efficitur; carnis enim meæ paupertatem subit, ut ego deitatis ipsius opes consequar. Qui plenus est, exinanitur; sua enim gloria ad breve tempus exinanitur, ut plenitudinis ipsius ego particeps efficiar. Quænam hæc bonitatis divitiæ? Quodnam erga me mysterium? Divinam imaginem accepi, nec custodivi. Ille meam carnem accipit, ut et imagini salutem, et carni immortalitatem afferat; secundum consortium nobiscum init, et quidem priori longe admirabilius. Tum enim id quod præstantius erat, nobis impertiit; at nunc ejus, quod deterius est, particeps ipse fit. Hoc priori illo divinius; hoc apud cordatos viros multo sublimius.

A ἄκτιστος, κτίζεται· καὶ ὁ ἀχώρητος, χωρεῖται, διὰ μέσης ψυχῆς νοερᾶς μεσιτευούσης θεότητι καὶ σαρκὸς παχύτητι· καὶ ὁ πλουτίζων, πτωχεύει· πτωχεύει γὰρ τὴν ἐμὴν σάρκα, ἵν' ἐγὼ πλουτήσω (9) τὴν αὐτοῦ θεότητα. Καὶ ὁ πλήρης, κενοῦται· κενοῦται γὰρ τῆς ἑαυτοῦ δόξης ἐπὶ μικρὸν (10), ἵν' ἐγὼ τῆς ἐκείνου μεταλάβω πληρώσεως (11). Τίς ὁ πλοῦτος τῆς ἀγαθότητος; τί τὸ περὶ ἐμὲ τοῦτο μυστήριον; Μετέλαβον τῆς εἰκόνος, καὶ οὐκ ἐφύλαξα· μεταλαμβάνει τῆς ἐμῆς σαρκὸς, ἵνα καὶ τὴν εἰκόνα σώσῃ, καὶ τὴν σάρκα ἀθανατίσῃ. Δευτέραν (12) κοινωνεῖ κοινωνίαν, πολὺ τῆς προτέρας παραδοξοτέραν· ὅσῳ τότε μὲν τοῦ κρείττονος μετέδωκε, νῦν δὲ μεταλαμβάνει τοῦ χείρονος. Τοῦτο τοῦ προτέρου θεοειδέστερον· τοῦτο τοῖς νοῦν ἔχουσιν ὑψηλότερον (13).

X. Sed quorsum hæc, dicturus est fortasse quispiam ex his, qui majore erga festum studio ducuntur, fervidiorique animo præditi sunt? Equum ad metam stimula; de iisque, quæ hujus festi sunt, et ob quæ hic assidemus, orationem ad nos habe. Ita vero faciam, etsi paulo altius exorsus sum, sic nimirum et ratione et amore perpellentibus. Nec vero abs re, ut opinor, fuerit, studiosis et honesti cupidis hominibus de nomine ipso Paschæ quædam præfari. Id enim non contemnendum additamentum auribus fuerit. Hoc Pascha, hoc, inquam, magnum et venerandum, Phascha ab Hebræis juxta eorum linguam nominatur; quæ vox *transitum* sonat[11], historica quidem ratione, propter Israelitarum ex Ægypto in Chananæam regionem fugam et migrationem: sin autem spiritualem sensum spectemus, propter nostram ex his inferioribus ad superiora, atque ad promissionis terram progressionem et ascensum. Quod vero in permultis Scripturæ locis accidisse comperimus, **853** ut vocabula quædam ab obscuriori sensu ad apertiorem, atque ab duriori sono ad elegantiorem immutata sint, idem hic quoque contigisse animadvertimus. Quidam enim salutiferæ passionis nomen hoc esse arbitrati, ac deinde per litteræ φ in π, et κ in χ mu-

B Ι'. Ἀλλὰ τί τούτων ἡμῖν, τάχα ἂν εἴποι τις τῶν λίαν φιλεόρτων καὶ θερμοτέρων; Κέντει τὸν πῶλον περὶ τὴν νύσσαν· τὰ τῆς ἑορτῆς ἡμῖν φιλοσόφει, καὶ οἷς προκαθεζόμεθα σήμερον. Τοῦτο δὴ καὶ ποιήσω, καὶ εἰ μικρὸν ἄνωθεν ἠρξάμην, οὕτω τοῦ λόγου καὶ τοῦ πόθου βιασαμένων (14). Οὐ χεῖρον δὲ ἴσως τοῖς φιλομαθέσι καὶ φιλοκάλοις περὶ τῆς προσηγορίας αὐτῆς τοῦ Πάσχα βραχέα διαλαβεῖν (15). Γένοιτο γὰρ ἂν οὐ φαῦλον τοῦτο ταῖς ἀκοαῖς ἐπεισόδιον. Τὸ Πάσχα τοῦτο, τὸ μέγα τε καὶ σεβάσμιον, Φάσκα τοῖς Ἑβραίοις (16) προσαγορεύεται, κατὰ τὴν ἐκείνων φωνήν· δηλοῖ δὲ ἡ φωνὴ τὴν *διάβασιν*· ἱστορικῶς μὲν, διὰ τὴν ἐξ Αἰγύπτου πρὸς τὴν Χαναναίαν φυγὴν καὶ (17) μετανάστασιν· πνευματικῶς δὲ, διὰ τὴν ἐκ τῶν κάτω πρὸς τὰ ἄνω, καὶ τὴν γῆν τῆς
C ἐπαγγελίας πρόοδον καὶ ἀνάβασιν. Ὅπερ δὲ πολλαχοῦ τῆς Γραφῆς συμβὰν εὕρομεν, ἀπὸ τῶν ἀσαφεστέρων μεταποιηθέντα τινὰ τῶν ὀνομάτων ἐπὶ τὸ σαφέστερον, ἢ τῶν ἀγροικοτέρων (18) ἐπὶ τὸ εὐσχημονέστερον, τοῦτο κἀνταῦθα τεθεωρήκαμεν. Τοῦ γὰρ σωτηρίου πάθους ὄνομα (19) τοῦτο εἶναί τινες νομίσαντες, εἶτα ἐξελληνίζοντες (20) τὴν φωνὴν, κατὰ τὴν τοῦ *φῖ* πρὸς τὸ *πῖ*, καὶ τοῦ *κάππα* πρὸς τὸ *χῖ* μεταποίησιν, *Πάσχα* τὴν ἡμέραν προσηγορεύκασιν. Παραλαβοῦσα δὲ ἡ συνήθεια τὴν φωνὴν, ἰσχυροτέραν

[11] Exod. xii, 11.

(9) *Πλουτήσω*. Reg. ph, πλουτίσω.
(10) *Ἐπὶ μικρόν*. « Parumper, tantillum, paululum sua majestate exinanitur, » nempe per Incarnationem.
(11) *Πληρώσεως*. Reg. d, πληρότητος.
(12) *Δευτέραν*. Sic Regg. bm, ph, Savil., etc. In ed., δευτέρου.
(13) *Ὑψηλότερον*. Hic desinunt, quæ ex or. xxxviii mutuata superius notavimus.
(14) *Ἀλλὰ τί τούτων. . . . βιασαμένων*. Hæc et interjecta rursus desumpta ex or. xxxviii sub finem n. 10. Par., Ἀλλὰ τί τοῦτο.
(15) *Διαλαβεῖν*. Reg. bm, προδιαλαβεῖν.
(16) *Φάσκα τοῖς Ἑβραίοις*. Sic tres Regg., tres Colb. et Jes. Quam lectionem, ex sequentibus, genuinam arbitramur. Hebræi namque hoc festum nuncupabant, פסח, id est, « Phesach, Phase, Phascha. » Græce, διάβασις· Latine, *transitus*. In ed.,
D Πάσχα τοῖς Ἑβραίοις.
(17) *Φυγὴν καί*. Savil., φυγήν τε καί.
(18) *Ἀγροικοτέρων*. Sic codd. In ed., ἀγροικωτέρων.
(19) *Πάθους ὄνομα*, etc. Vox « Pascha » ab Hebræo nomine פסח, « Phase, » seu « Phascha, » id est *transitus*, derivatur. Apud Græcos, longius aberrarunt, qui linguæ Hebraicæ imperiti, vocem Φάσκα, a verbo Græco πάσχειν, *pati*, deduxerunt. Hinc Gregorius dicit: « Per litteræ φ in π, et κ in χ mutationem, hanc vocem ad linguam Græcam accommodantes, hanc diem Pascha nominarunt. » Clarior autem fuisset hic locus, si Theologus dixisset: « Per litteræ פ in π, et ח in χ mutationem, hanc vocem, פסח, ad linguam Græcam accommodantes, » etc.
(20) *Ἐξελληνίζοντες*. In nonnullis, Ἑλληνίσαντες.

ἐποίησε, προστρεχούσης τῆς τῶν πολλῶν ἀκοῆς, ὡς εὐσεβεστέρῳ τῷ ῥήματι.

A tationem, hanc vocem ad linguam Græcam accommodantes, hunc diem *Pascha* nominarunt. Atque hæc vox postea consuetudine atque usu confirmata est, multitudine videlicet hoc verbum, ut magis pium, calculo suo comprobante.

ΙΑ'. Πάντα μὲν οὖν τὸν νόμον, σκιὰν εἶναι τῶν μελλόντων καὶ νοουμένων, ὁ θεῖος Ἀπόστολος πρὸ ἡμῶν ἀπεφήνατο. Καὶ ὁ χρηματίσας πρὸ τούτου τῷ Μωϋσεῖ Θεὸς, ἡνίκα περὶ τούτων ἐνομοθέτει· *Ὅρα γὰρ*, φησὶ, *ποιήσεις πάντα κατὰ τὸν τύπον τὸν δειχθέντα σοι ἐν τῷ ὄρει*· σκιαγραφίαν τινὰ καὶ προχάραγμα τῶν ἀοράτων παραδεικνὺς τὰ ὁρώμενα. Καὶ πείθομαι, μηδὲν εἰκῆ, μηδὲ ἀλογίστως, μηδὲ χαμερπῶς τούτων (21) διατετάχθαι, μηδὲ ἀναξίως τῆς τοῦ Θεοῦ νομοθεσίας, καὶ τῆς Μωϋσέως ὑπουργίας· εἰ καὶ χαλεπὸν ἑκάστῃ τῶν σκιῶν, ἑκάστην ἐφευρεῖν θεωρίαν εἰς λεπτὸν (22) καταβαίνοντα, ὅσα τε περὶ τῆς σκηνῆς αὐτῆς, καὶ μέτρων (23), καὶ ὕλης, καὶ τῶν αἰρόντων ταῦτα Λευϊτῶν τε καὶ λειτουργῶν, ὅσα τε περὶ θυσιῶν, καὶ καθαρσίων, καὶ ἀφαιρεμάτων (24) νενομοθέτηται· καὶ μόνοις εἶναι θεωρητὰ τοῖς κατὰ Μωϋσέα τὴν ἀρετὴν, ἢ ὅτι ἐγγυτάτω τῆς ἐκείνου παιδεύσεως. Ἐπεὶ καὶ ἐν αὐτῷ τῷ ὄρει Θεὸς ἀνθρώποις φαντάζεται, τὸ μέν τι καταβαίνων αὐτὸς τῆς (25) οἰκείας περιωπῆς, τὸ δὲ ἡμᾶς ἀνάγων ἐκ τῆς κάτωθεν (26) ταπεινώσεως, ἵνα χωρηθῇ μετρίως γοῦν θνητῇ φύσει (27), καὶ ὅσον ἀσφαλὲς, ὁ ἀχώρητος. Οὐ γὰρ οἷόν τε ἄλλως ἐν περινοίᾳ Θεοῦ γενέσθαι σώματος ὑλικοῦ καὶ δεσμίου νοῦ πάχος μὴ βοηθούμενον. Τότε τοίνυν, οὐ πάντες τῆς αὐτῆς ἀξιωθέντες φαίνονται τάξεώς τε καὶ στάσεως· ἀλλ' ὁ μὲν τῆς, ὁ δὲ τῆς, πρὸς μέτρον, οἶμαι, τῆς ἑαυτοῦ καθάρσεως ἕκαστος· οἱ δὲ καὶ παντάπασιν ἀπεληλαμένοι, καὶ μόνης ἀκούειν τῆς ἄνωθεν φωνῆς συγχωρούμενοι, ὅσοι θηριώδεις τὸν τρόπον, καὶ θείων μυστηρίων ἀνάξιοι.

XI. Enimvero legem universam, futurorum, atque eorum, quæ animo et ratione intelliguntur, umbram fuisse, divinus Apostolus ante nos pronuntiavit [12]. Ac Deus etiam, qui Moysi ante oracula edidit, cum de his rebus leges illi præscriberet: *Vide*, inquit, *ut omnia facias juxta exemplar, quod tibi in monte ostensum est* [13]; ea nimirum, quæ aspectu sentiuntur, quasi adumbrationem quamdam et delineationem earum rerum, quæ oculorum sensum fugiunt, esse ostendens. Atque illud per-
B suasum habeo, nihil temere, nec inconsiderate, nihil humiliter atque abjecte, nihil denique Deo legislatore ac ministro Moyse parum dignum, indictum atque constitutum esse; tametsi difficile factu sit, ut suam cuique umbræ ac figuræ allegoriam excogitemus, minutatim ad singula descendentes, quæ tum de arca ipsa et mensuris et materia et Levitis ac ministris eam gestantibus; tum etiam de sacrificiis et lustrationibus atque oblationibus lege sancita sunt: quæ quidem iis solis conspicua sunt, qui virtute Moysem referunt, vel ad ejus eruditionem proxime accedunt. Nam in ipso quoque monte Deus hominibus apparet, partim de specula sua ipse nonnihil descendens, partim nos ex terrena depressione in altum evehens, ut a mortali natura
C leviter saltem, et quatenus tutum est, incomprehensibilis ille concipiatur. Neque enim aliter terreni corporis ac mentis vinctæ crassities Deum concipere potest, nisi divinitus adjuvetur. Tunc igitur, non eodem statu atque ordine omnes dignos habitos fuisse constat; verum hunc alio, illum alio, unumquemque, ut opinor, pro purgationis suæ modo ac ratione. Quidam **854** etiam prorsus arcebantur, ipsisque vocis ex alto duntaxat audiendæ potestas fiebat, nimirum iis, qui belluini erant moribus, divinisque mysteriis indigni.

ΙΒ'. Ὅμως δὲ μέσην χωροῦντες ἡμεῖς τῶν τε πάντῃ παχυτέρων τὴν διάνοιαν, καὶ τῶν ἄγαν θεωρητικῶν (28) τε καὶ ἀνηγμένων, ἵνα μήτε παντελῶς ἀργοὶ καὶ ἀκίνητοι μένωμεν, μήτε περιεργότεροι τοῦ δέοντος ὦμεν, καὶ τῶν προκειμένων ἔκπτωτοι καὶ ἀλλότριοι (τὸ μὲν γὰρ Ἰουδαϊκόν πως καὶ ταπεινὸν, τὸ δὲ ὀνειροκριτικὸν, καὶ ὁμοίως ἀμφότερα κατεγνωσμένα)· οὕτω περὶ τούτων διαλεξόμεθα, κατὰ τὸ ἡμῖν ἐφικτὸν, καὶ οὐ λίαν ἔκτοπον, οὐδὲ τοῖς πολλοῖς καταγέλαστον. Ἡγούμεθα (29) γὰρ, ἐπειδὴ πεσόντας

XII. Nos tamen media quadam via inter eos, qui crassiore omnino ingenio sunt, et eos, qui nimio contemplationis et anagogiæ studio ducuntur, incedentes, ut nec prorsus inertes ac torpidi manea-
D mus, nec rursus curiosiores simus, quam par sit, atque a proposito argumento excidamus et evagemur (alterum enim Judaicum quodammodo et abjectum, alterum ineptum et somniorum conjectore dignum est, ac utrumque parem reprehensionem meretur); ad hunc modum de his rebus, pro virium

[12] Colos. II, 17. [13] Exod. XXV, 40.

(21) *Χαμερπῶς τούτων*. Sic Regg. bm, pb, aliique plures, decem Colb., etc. Deest τούτων in ed.

(22) *Εἰς λεπτόν*, etc. « Minutatim ad singula descendentes. » Billius: « subtiliter ad ea omnia descendentes. »

(23) *Μέτρων*. « De mensuris, dimensionibus. » Bill.: « de modo. »

(24) *Ἀφαιρεμάτων*. « De subductis victimarum partibus, et sacerdoti ascriptis. »

(25) *Τῆς*. In quibusdam, ἐκ τῆς.

(26) *Κάτωθεν*. In nonnullis, κάτω.

(27) *Θνητῇ φύσει*. « A mortali natura. » Quidam codd., γεννητῇ φύσει, « a creata natura. » Sic legit Billius.

(28) *Ἄγαν θεωρητικῶν*, etc. Combefisius hunc locum ex Budæo sic reddit: « Qui valde spirituales sunt, provectique animi, altissimos ex Scripturis sensus eliciunt. »

(29) *Ἡγούμεθα*, etc. « Difficilis et obscura, » inquit Nicetas, « hujus loci videtur esse sententia, quia longis hyperbatis concisa est hæc periodus. Hunc autem sensum habet. Existimamus, inquit, quoniam usque ad idololatriam prolapsi fueramus, atque excitari nos erigique oportebat, idcirco nobis

nostrarum modulo, non nimis absurde nec ridicule disseremus. Ita enim existimamus : quandoquidem nos per peccatum ab initio lapsi, atque voluptatis illecebra usque ad idolorum cultum ac nefarios cruores subrepti fueramus, per viscera misericordiæ Dei Patris nostri, qui hominis, tanti manus suæ opificii, jacturam facere non sustinuit, revocari ac in pristinum statum restitui oportebat. Quonam igitur pacto illum reformari, quidve fieri? Negligi quidem acriorem medicinam, utpote ad persuadendum minus idoneam, et quæ, ob diuturniorem animi tumorem, excæcare possit, leni autem ac benigno medicamine procurari, ut erigeretur. Neque enim plantam incurvam, subitam inflexionem, manusque erigentis violentiam ferre (sic enim potius fore, ut lædatur atque infringatur, quam ut erigatur), nec equum præferocem, ac jam ætate aliquanto provectiorem, freni tyrannidem perferre, nisi blanda quadam et adulabunda manu permulceatur. Propterea nobis, adjumenti causa, lex datur, velut maceria quædam, inter Deum atque idola interjecta, ab his quidem nos abducens, ad illum autem revocans. Ac paululum quiddam primo indulget, ut majus accipiat. Sacrificia ad tempus concedit, ut Deum in nobis inserat; ac postea, cum commodum fuerit, ipsa quoque sacrificia de medio tollat, mira sapientia per tacitas subtractiones animos nostros sensim immutans, **855** atque ad Evangelium traducens, jam ad obediendum exercitatos et assuefactos.

A ἡμᾶς ἐκ τῆς ἁμαρτίας τὸ ἀπ' ἀρχῆς, καὶ διὰ τῆς ἡδονῆς κλαπέντας μέχρις εἰδωλολατρείας, καὶ τῶν ἀθέσμων αἱμάτων, ἔδει πάλιν ἀνακληθῆναι, καὶ πρὸς τὸ ἀρχαῖον ἐπαναχθῆναι, διὰ σπλάγχνα ἐλέους Θεοῦ Πατρὸς ἡμῶν, οὐκ ἀνασχομένου ζημιωθῆναι τοσοῦτον ἔργον τῆς οἰκείας χειρὸς τὸν ἄνθρωπον. Πῶς οὖν ἀναπλασθῆναι, καὶ τί γενέσθαι; Τὸ μὲν σφοδρὸν τῆς ἰατρείας (30) ἀποδοκιμασθῆναι, ὡς οὔτε πεῖσον, καὶ προσπλῆξαι δυνάμενον, διὰ τὴν ἐκ τοῦ χρόνου φυσίωσιν, τῷ δὲ ἡμέρῳ καὶ φιλανθρώπῳ τῆς θεραπείας οἰκονομηθῆναι πρὸς ἐπανόρθωσιν. Μηδὲ γὰρ ἂν (31) πτόρθον λοξὸν ἐνεγκεῖν ἀθρόαν μετάκλισιν (32) καὶ βίαν χειρὸς ἀπευθυνούσης (θᾶττον μέν τ' ἂν πληγῆναι, ἢ ὀρθωθῆναι), μήτε ἵππον (33) θερμὸν καὶ ὑπερήλικα χαλινοῦ τυραννίδα, δίχα τινὸς κολακείας καὶ B ποππυσμάτων. Διὰ τοῦτο δίδοται νόμος ἡμῖν εἰς βοήθειαν, οἷόν τι διατείχισμα, μέσον Θεοῦ καὶ εἰδώλων, τῶν μὲν ἀπάγων ἡμᾶς, πρὸς δὲ τὸν ἐπανάγων. Καὶ συγχωρεῖ τι μικρὸν ἀπ' ἀρχῆς, ἵνα τὸ μεῖζον λάβῃ. Συγχωρεῖ τὰς θυσίας τέως, ἵν' ἐγκαταστήσῃ (34) Θεόν· ἔπειτα, ἡνίκα καιρὸς, καταλύσῃ καὶ τὰς θυσίας, σοφῶς ὑπαλλάττων ἡμᾶς ταῖς κατὰ μικρὸν ὑφαιρέσεσι (35), καὶ μετάγων ἐπὶ τὸ Εὐαγγέλιον ἤδη γεγυμνασμένους πρὸς εὐπείθειαν.

XIII. Sic igitur atque his de causis, lex scripta introducta est, ad Christum nos deducens; atque hæc, ut mea fert sententia, sacrificiorum est ratio. Ut autem sapientiæ Dei profunditatem, atque impervestigabilium ipsius judiciorum divitias intelligas, ne ea quidem mysterii prorsus expertia et inutilia, et in nudo ac simplici sanguine defixa reliquit : verum magna illa, et, quantum ad primam naturam, immactabilis, ut ita loquar, victima, legalibus sacrificiis immista est; illa, inquam, non exiguæ cujusdam partis orbis terrarum, nec ad exiguum tempus, sed totius mundi nunquam intermoritura expiatio. Proinde agnus quidem accipitur [14], propter innocentiam veterisque nuditatis indumentum. Talis enim est victima illa pro nobis cæsa, quæ incorruptionis indumentum, ut revera est, appellatur.

C ΙΓ'. Οὕτω μὲν οὖν καὶ διὰ ταῦτα, εἰσῆλθεν ὁ γραπτὸς νόμος, συνάγων ἡμᾶς εἰς Χριστὸν, καὶ οὗτος τῶν θυσιῶν ὁ λόγος, ὡς ὁ ἐμὸς λόγος (36). Ὡς ἂν δὲ τὸ τῆς σοφίας βάθος μὴ ἀγνοῇς, καὶ τὸν πλοῦτον τῶν ἀνεξιχνιάστων αὐτοῦ κριμάτων, οὐδὲ ταύτας παντελῶς ἀνιέρους ἀφῆκεν, οὐδὲ ἀσυντελεῖς, οὐδὲ μέχρι ψιλοῦ προϊούσας τοῦ αἵματος· ἀλλὰ τὸ μέγα (37) καὶ ἄθυτον ἱερεῖον, ἵν' οὕτως εἴπω, ὅσον ἐπὶ τῇ πρώτῃ φύσει, ταῖς νομικαῖς θυσίαις ἐγκαταμέμικται, καὶ οὐ μικροῦ μέρους τῆς οἰκουμένης, οὐδὲ πρὸς ὀλίγον, ἀλλὰ παντὸς τοῦ κόσμου καὶ διαιωνίζον καθάρσιον. Διὰ (38) τοῦτο λαμβάνεται πρόβατον μὲν, διὰ τὴν ἀκακίαν, καὶ τὸ ἔνδυμα τῆς ἀρχαίας γυμνώσεως. Τοιοῦτον γὰρ τὸ ὑπὲρ ἡμῶν σφάγιον, ἔνδυμα ἀφθαρσίας, καὶ ὂν, καὶ (39) καλούμενον. Τέλειον δὲ, οὐ διὰ D τὴν θεότητα μόνον, ἧς οὐδὲν τελεώτερον (40), ἀλλὰ

[14] Exod. XII, 5 sqq.

veterem legem datam esse, cum alia multa præcepta, quæ nos ab idolorum cultu abducebant, complectentem, tum ea etiam, quæ ad sacrificiorum rationem pertinebant, » etc. Billii vero interpretatione omnia disturbantur. Sic enim vertit : « Quandoquidem enim nos, ab initio per peccatum lapsos, atque a voluptate usque ad idolorum cultum ac nefarios cruores, subreptos et circumscriptos, propter viscera misericordiæ Dei Patris nostri, tanti manus suæ opificii, hoc est, hominis, jacturam facere non sustinentis, revocari, atque in veterem statum restitui oportebat, hanc in eo instaurando rationem initam esse existimamus, ut, acriore atque asperiore medicina improbata (ut quæ non modo fidem factura, sed, propter contractum temporis diuturnitate tumorem, fortasse etiam morbum exulceratura esset), leni ac facili medicamenti genere ipsius resipiscentia procuraretur : neque enim, » etc.

(30) *Ἰατρείας*. Coisl. 1 addit, τέως, « interim. »

(31) *Ἄν*. Deest in Or. 1.

(32) *Μετάκλισιν*. Sic Reg. ph, octo Colb., Par., etc. « Inflexionem in alteram partem. » In ed. vero, μετάκλησιν, « accitum. »

(33) *Μήτε ἵππον*. Sic Reg. ph, tres Colb., etc. In Par. ed., μήτε ἵππου.

(34) *Ἵν' ἐγκαταστήσῃ*. Comb. : « ut Deum constituat, ut Dei sensum religionemque statuat. »

(35) *Ὑφαιρέσεσι*. Coisl. 1 addit, καὶ ὑφέσεσι, « subtractiones et imminutiones. »

(36) *Ὡς ὁ ἐμὸς λόγος*. Hæc desunt in Or. 1.

(37) *Ἀλλὰ τὸ μέγα*, etc. Vide Arnaud in hanc orationem, *De perpetua Ecclesiæ fide circa Eucharistiam*, tom. II, lib. VI, cap. 10, pag. 673.

(38) *Διά*. Or. 1, Καὶ διά.

(39) *Καί*. Or. 1 addit, ἀεί, « semper. »

(40) *Τελεώτερον*. Reg. bm, τελειότερον.

καὶ διὰ τὴν πρόσληψιν τὴν χρισθεῖσαν θεότητι, καὶ A γενομένην ὅπερ τὸ χρῖσαν (41), καὶ θαῤῥῶ λέγειν, ὁμόθεον. Ἄῤῥεν δὲ, ὡς ὑπὲρ (42) τοῦ Ἀδὰμ προσαγόμενον, μᾶλλον δὲ τοῦ (43) στεῤῥοῦ τὸ στεῤῥότερον, τοῦ πρώτου πεσόντος ὑπὸ τὴν ἁμαρτίαν, καὶ ὅτι μάλιστα μηδὲν θῆλυ, μηδὲ ἄνανδρον ἐν ἑαυτῷ φέρον· ἀλλὰ καὶ ἐκραγὲν βίᾳ (44) δεσμῶν παρθενικῶν τε καὶ μητρικῶν, κατὰ πολλὴν ἐξουσίαν, καὶ τεχθὲν ἄρσεν ἐκ τῆς προφήτιδος, ὡς Ἡσαΐας εὐαγγελίζεται. Ἐνιαύσιον δὲ, ὡς ἥλιον δικαιοσύνης, ἢ ἐκεῖθεν ὁρμώμενον, ἢ τῷ ὁρωμένῳ (45) περίγραπτον, καὶ εἰς ἑαυτὸν ἐπιστρέφοντα (46)· στέφανόν τε χρηστότητος εὐλογούμενον, καὶ πανταχόθεν ἴσον ἑαυτῷ καὶ ὅμοιον· οὐ μόνον δὲ, ἀλλὰ καὶ ὡς ζωογονοῦν (47) τὸν τῶν ἀρετῶν (48) κύκλον, ἠπίως ἐπιμιγνυμένων καὶ κιρναμένων ἀλλήλαις, νόμῳ φιλίας καὶ τάξεως. B Ἄμωμον δὲ καὶ ἀκίβδηλον, ὡς θεραπευτικὸν μώμων, καὶ τῶν ἀπὸ κακίας ἐλαττωμάτων καὶ μολυσμάτων. Εἰ γὰρ καὶ τὰς ἁμαρτίας ἡμῶν ἀνέλαβε, καὶ τὰς νόσους ἐβάστασεν, ἀλλ' οὐκ αὐτός τι πέπονθε τῶν θεραπείας ἀξίων. Ἐπειράσθη μὲν γὰρ κατὰ πάντα, καθ' ὁμοιότητα τὴν ἡμετέραν, χωρὶς ἁμαρτίας δέ. Ὁ γὰρ διώξας τὸ φαῖνον ἐν τῇ σκοτίᾳ φῶς, οὐ κατέλαβεν.

Perfectus autem, non modo propter divinitatem, qua nihil perfectius, sed etiam propter humanitatem divinitate unctam, idemque effectam, quod id a quo uncta est, atque, ut audacter loquar, ὁμόθεον, id est, *simul Deum*. Masculus autem, ut qui pro Adamo potissimum offeratur, verum illo firmo firmior, cum ille primus in peccatum lapsus sit; atque imprimis quod nihil muliebre, nihil molle atque effeminatum gestet; verum e virgineis et maternis vinculis pro potestate ac vi eruperit, et masculus, ut annuntiat Isaias [15], ex prophetissa natus sit. Anniculus porro, ut sol justitiæ, vel e cœlo progrediens, vel, quantum ad partem eam, quæ oculis cernitur, circumscriptus ac definitus, et ad seipsum rediens: atque item ut benignitatis corona benedicta [16], omnique ex parte sibi similis et æqualis: ac præterea ut virtutum, quæ amicitiæ ordinisque lege leniter placideque inter se conjunguntur et commiscentur, orbem progignens. Immaculatus insuper et incorruptus, ut qui nævos, et vitia, et sordes a peccato manantes, curet. Quamvis enim peccata nostra susceperit, et morbos portaverit [17], ipse tamen nihil eorum, quæ **856** curationis indigent, perpessus est. Tentatus est enim per omnia pro similitudine nostra, cæterum absque peccato [18]. Ille enim, qui lucem in tenebris lucentem [19] persecutus est, eam haudquaquam comprehendit.

ΙΔ'. Τί ἔτι; Μὴν μὲν εἰσάγεται πρῶτος, μᾶλλον C δὲ, ἀρχὴ μηνῶν· εἴτε τις τοῦτο παρ' Ἑβραίοις ὢν ἀπ' ἀρχῆς, εἴτε ὕστερον ἐντεῦθεν γενόμενος, καὶ παρὰ τοῦ μυστηρίου τὸ εἶναι πρῶτος λαβών. Τῇ δεκάτῃ δὲ τοῦ μηνός· οὗτος γὰρ ἀριθμῶν πληρέστατος, ἐκ μονάδων πρώτη μονὰς τελεία, καὶ γεννητικὴ τελειότητος. Διατηρεῖται δὲ εἰς πέμπτην ἡμέραν, ἴσως ὅτι καθαρτικὸν αἰσθήσεων τὸ ἐμὸν θῦμα, ἐξ ὧν τὸ πταίειν, καὶ περὶ ἃς ὁ πόλεμος, εἰσδεχομένας τὸ κέντρον τῆς ἁμαρτίας. Ἐκλέγεται δὲ, οὐκ ἀπὸ τῶν ἀρνῶν μόνον, ἀλλὰ καὶ τοῦ χείρονος εἴδους, καὶ τῆς ἀριστερᾶς χειρὸς τῶν ἐρίφων, ὅτι μὴ ὑπὲρ τῶν δικαίων μόνον, ἀλλὰ καὶ (49) τῶν ἁμαρτωλῶν σφαγιάζεται· τάχα δὲ ὑπὲρ τούτων καὶ πλέον, ὅσῳ καὶ μείζονος χρῄζομεν τῆς φιλανθρωπίας. Θαυμαστὸν δὲ οὐδὲν, εἰ μάλιστα μὲν κατ' οἶκον ἕκαστον ἐπιζητεῖται D τὸ πρόβατον, εἰ δὲ μὴ, καὶ κατ' οἴκους πατριῶν, διὰ πενίαν ἐρανιζόμενον· ἐπειδὴ κράτιστον, μάλιστα μὲν αὐτὸν ἕκαστον ἀρκεῖν ἑαυτῷ πρὸς τελείωσιν, καὶ θυσίαν ζῶσαν, ἁγίαν προσάγειν τῷ καλοῦντι (50) Θεῷ, πάντοτε καὶ διὰ πάντων καθιερούμενον· εἰ δὲ μὴ,

XIV. Quid præterea? Mensis quidem primus, vel mensium potius principium inducitur [20]; sive quispiam ab initio apud Hebræos id fuerit, sive ex ea re postea factus sit, atque ab hoc mysterio hoc acceperit, ut princeps esset. Decima autem mensis: quia hic numerus omnium absolutissimus, nimirum ex unitatibus unitas prima perfecta, et perfectionis parens. Asservatur porro in quintum diem, fortasse quia victima mea id habet, ut sensus expurget, a quibus peccatum oritur, et circa quos bellum committitur, utpote peccati aculeum admittentes. Deligitur autem, non solum ex agnis [21], sed etiam ex deteriori genere, ex hædis scilicet, qui sinistra manu sunt [22]; quia non pro justis duntaxat, sed etiam pro peccatoribus mactatur; ac fortasse ipsorum potius causa, quandoquidem majori misericordia opus habemus. Illud autem minime mirandum est, quod maxime quidem per singulas domos ovis requiritur; sin minus, at certe per domos familiarum ob paupertatem erogatus: quandoquidem optimum est, potissimum quidem sibi quemque ad per-

[15] Isa. VIII, 3. [16] Psal. LXIV, 12. [17] Isa. LIII, 4. sqq. [21] ibid. 5. [22] Matth. XXV, 33.

[18] Hebr. IV, 15. [19] Joan. I, 5. [20] Exod. XII, 2

(41) *Χρῖσαν*. Sic Regg. bm, ph, Coisl. 2, etc. Mendose in Par. ed., χρῖζαν.

(42) *Ὡς ὑπέρ*. Sic Regg. bm, pn, aliique plures. Sic etiam legit Billius. Prave in ed., ὥσπερ.

(43) *Μᾶλλον δὲ τοῦ*. Regg. bm, ph, etc., μάλιστα τοῦ.

(44) *Καὶ ἐκραγὲν βίᾳ*. « Vi eruperit, » id est, « vi naturæ illata, illæsa matris virginitate. » Bill. « violenter eruperit. »

(45) *Ὁρωμένῳ*. Sic Regg. c, d, ph, tres Colb., Coisl. 2, Jes. Sic etiam legit Billius. In ed., ὁρμωμένῳ, « a progrediente descriptus. »

(46) *Ἐπιστρέφοντα*, etc. In nonnullis codd., ἐπιστρέφων, στέφανος..... εὐλογούμενος..... ἴσος..... ὅμοιος, etc.

(47) *Ζωογονοῦν*. « Vitali fetu progignens. » Quinque Regg., ζωογονῶν.

(48) *Ἀρετῶν*. Coisl. 1, ὡρῶν, « anni temporum, » quæ inter se leniter commiscentur. Neque enim subita ab uno contrario ad alterum fit mutatio; nec, ut observat Nicetas, qui hunc etiam locum « de virtutibus » exponit, statim ab æstate ad hiemem transimus.

(49) *Καί*. Savilius addit, ὑπέρ.

(50) *Καλοῦντι*. Hervag., ζῶντι, « viventi. »

fectionem sufficere, seseque hostiam sanctam viventem vocanti Deo offerre, atque ejusmodi, quæ semper, et per omnia consecretur : sin id non datur, eorum saltem opera et adjumento ad eam rem uti, qui virtute nobis consanguinei sunt, moribusque persimiles. Hoc enim mihi significare videtur, quod vicinos sacrificii participes fieri Deus præcipit, si ita opus fuerit.

καὶ συνεργοῖς εἰς τοῦτο κεχρῆσθαι, τοῖς κατ' ἀρετὴν ὁμογενέσι καὶ ὁμοτρόποις (51). Τοῦτο γάρ μοι δοκεῖ βούλεσθαι, τὸ κοινωνεῖν τοῖς ἔγγιστα τοῦ θύματος, εἰ δεήσειεν.

XV. Hinc sacra nox, noctisque hujus, qua præsens vita suffunditur, inimica, in qua primigenæ tenebræ depelluntur, atque omnia in lucem et ordinem formamque prodeunt, ac confusio ea, quæ prius vigebat, ornatum accipit. Hinc Ægyptum fugimus, hoc est, triste nosque persequens peccatum, ac Pharaonem invisibilem tyrannum, et sævos operum præfectos, ad supernum mundum migrantes : ac luto et conficiendorum laterum labore liberamur, 857 paleari nimirum et instabili carnis hujus constitutione, quæ ne acerosis quidem rationibus in multis validior est. Hinc agnus mactatur, atque actio et contemplatio, seu habitus et actus, pretioso sanguine signantur ; nam hi ostiorum nostrorum postes sunt, hoc est, mentis agitationum et dogmatum, quæ ex contemplatione recte aperiuntur atque clauduntur, quandoquidem comprehensionum quoque modus quidam est. Hinc postrema, et persecutoribus gravissima plaga, nocteque profecto digna : ac cogitationum suarum actionumque primogenita luget Ægyptus (quod et semen Chaldaicum sublatum atque oppressum Scriptura vocat [23], et puerulos Babylonios ad petram allisos [24] et solutos), atque clamore et vociferatione apud Ægyptios omnia personant : ac tum a nobis illorum exterminator secedet, unctionis metu ac reverentia. Hinc fermentum septem dierum spatio [25] submovetur (hic enim numerus omnium maxime mysticus, atque huic mundo consociatus), hoc est, vetus et acida pravitas (non enim illud, quod panem efficit ac vitale est) ; ut ne quod Ægyptiacæ conspersionis viaticum [26], nec ullas Pharisaicæ et impiæ doctrinæ [27] reliquias nobis paremus.

ΙΕ'. Ἐντεῦθεν ἡ ἱερὰ νὺξ (52), καὶ τοῦ παρόντος βίου τῆς κεχυμένης, τῆσδε νυκτὸς ἀντίπαλος, καθ' ἣν τὸ πρωτόγονον λύεται σκότος, καὶ εἰς φῶς ἅπαντα. καὶ τάξιν, καὶ εἶδος ἔρχεται, καὶ κόσμον ἡ πρὶν ἀκοσμία λαμβάνει. Ἐντεῦθεν Αἴγυπτον φεύγομεν, τὴν σκυθρωπὴν καὶ διώκτριαν ἁμαρτίαν, καὶ Φαραὼ τὸν ἀόρατον τύραννον, καὶ τοὺς πικροὺς ἐργοδότας, πρὸς τὸν ἄνω μετασκευαζόμενοι κόσμον· καὶ τοῦ πηλοῦ καὶ τῆς πλινθείας ἐλευθερούμεθα, τῆς τε τοῦ ἀχύρου (53) καὶ σφαλερᾶς τοῦ σαρκίου τοῦδε συστάσεως, καὶ μηδ' ὅσον ἀχυρώδεσι λογισμοῖς ἐπὶ τῶν πολλῶν κρατουμένης. Ἐντεῦθεν ὁ ἀμνὸς σφαγιάζεται, καὶ σφραγίζονται τῷ τιμίῳ αἵματι πρᾶξις καὶ λόγος (54), εἴτουν ἕξις καὶ ἐνέργεια, αἱ τῶν ἡμετέρων θυρῶν παραστάτιδες (55), λέγω δὴ τῶν τοῦ νοῦ κινημάτων (56) τε καὶ δογμάτων, καλῶς ἀνοιγομένων καὶ κλειομένων ἐκ θεωρίας, ἐπειδὴ μέτρον ἐστί τι καὶ καταλήψεων. Ἐντεῦθεν ἡ τελευταία καὶ βαρυτάτη τοῖς διώκταις πληγὴ, καὶ νυκτὸς ὄντως ἀξία· καὶ θρηνεῖ τὰ πρωτότοκα τῶν οἰκείων λογισμῶν καὶ πράξεων Αἴγυπτος (ὃ καὶ σπέρμα Χαλδαϊκὸν ἐξαιρόμενον (57) τῇ Γραφῇ καλεῖται, καὶ νήπια Βαβυλώνια τῇ πέτρᾳ προσκροτούμενα [58] καὶ λυόμενα), καὶ βοῆς πάντα μεστὰ καὶ κραυγῆς Αἰγυπτίοις (59)· καὶ ἡμῶν ἀποχωρήσει τηνικαῦτα ὁ ἐκείνων ὀλοθρευτὴς, αἰδοῖ καὶ φόβῳ τοῦ χρίσματος. Ἐντεῦθεν ἄρσις τῆς ζύμης ἑπταήμερος (οὗτος γὰρ μυστικώτατος ἀριθμῶν, καὶ τῷ κόσμῳ τούτῳ σύστοιχος [60]), τῆς παλαιᾶς καὶ ὀξώδους κακίας (οὐ γὰρ τῆς ἀρτοποιοῦ τε καὶ ζωτικῆς)· ἵνα μηδὲν Αἰγύπτιον ἐπισιτιζώμεθα φύραμα, καὶ λείψανον Φαρισαϊκῆς καὶ ἀθέου διδασκαλίας.

XVI. Atque illi quidem lugeant : nos autem agnum comedamus; ad vesperam quidem [28], quoniam in sæculorum fine Christi passio contigit; siquidem vespere quandoque, peccati videlicet caliginem discutiens, discipulis sacramentum impertitur. Non elixum autem, sed tostum [29]; ut ne quid specula-

ΙϚ'. Καὶ οἱ μὲν θρηνείτωσαν· ἡμῖν δὲ ὁ ἀμνὸς βρωθήσεται· τὸ πρὸς ἑσπέραν μὲν, ὅτι ἐπὶ (61) συντελείᾳ τῶν αἰώνων τὸ Χριστοῦ πάθος· ἐπεὶ (62) καὶ κοινωνεῖ τοῦ μυστηρίου (63) τοῖς μαθηταῖς ἐν ἑσπέρᾳ, λύων τὸν σκότον τῆς ἁμαρτίας. Οὐχ ἑψόμενος δὲ, ἀλλ' ὀπτώμενος· ὡς ἂν μηδὲν ἀθεώρητον, μηδ' ὑδα-

[23] Judith v, 6. [24] Psal. cxxxvi, 8, 9. [25] Exod. xii, 19. [26] ibid. [27] Matth. xvi, 6. [28] Exod. xii, 18. [29] ibid. 9.

(51) *Ὁμοτρόποις*. Or. 1, ὁμοιοτρόποις.

(52) *Ἡ ἱερὰ νύξ*, etc. Bill. : « sacra nox, et præsentis vitæ, hoc est, suffusæ hujus noctis, inimica, » etc. Hac interpretatione vir doctus non satis Gregorii mentem aperit. Magnum discrimen reperitur inter præsentem vitam, et tenebras quibus præsens vita suffunditur. « Nox sacra, » de qua agitur, inimica quidem est tenebrarum, vitii, peccati, ignorantiæ, quæ vitam nostram obsident; sed ipsius præsentis vitæ multum amica est.

(53) *Τῆς τε τοῦ ἀχύρου*, etc. « Atque his paleis, et levi, straminea, lubricaque infidæ carnis hujus constitutione, » etc.

(54) *Καὶ λόγος*. « Sermo, » vel, « ratio. »

(55) *Παραστάτιδες*. Sic Regg. bm, ph, Coisl. 1, Comb., etc. In ed., παραστάδες.

(56) *Τῶν τοῦ νοῦ κινημάτων*. Sic quinque Regg., Or. 1, Comb., etc. Deest τῶν in ed.

(57) *Ἐξαιρόμενον*. Quatuor Colb. et Or. 1, ἐξαιρούμενον.

(58) *Προσκροτούμενα*. Nicet., προσκρούμενα.

(59) *Αἰγυπτίοις*. Comb., τοῖς Αἰγυπτίοις.

(60) *Σύστοιχος*. « Ejusdem cum hoc mundo ordinis. Tum quia, » inquit Nicetas, « septem dierum spatio mundus omnibus suis numeris absolutus est, tum quia expletis septem annorum millibus, mundi finis futurus est. » Anonymus in Reg. a : Διὰ τὸ ἑπτὰ αἰῶσι τὸν κόσμον περιορίζεσθαι.

(61) *Ἐπί*. Sic codd. Mendose in Par. ed., ἐπεί.

(62) *Ἐπεί*. Sic codd. Prave in Par. ed., ἐπί.

(63) *Τοῦ μυστηρίου*. Sic Regg. bm, ph, Or. 1, etc. Deest τοῦ in ed.

ρὲς (64) ὁ λόγος ἡμῖν ἂν (65) ἔχῃ, μηδ' εὐδιάλυτον, ἀλλ' ὅλος (66) συνεστὼς ᾖ, καὶ στεῤῥὸς, καὶ τῷ καθαρτικῷ πυρὶ δεδοκιμασμένος, καὶ παντὸς ὑλώδους ἐλεύθερος, καὶ ἀπέριττος, καὶ τοῖς καλοῖς ἄνθραξι βοηθώμεθα, τὸ διανοητικὸν ἡμῶν ἀνάπτουσι καὶ καθαίρουσι, παρὰ τοῦ πῦρ ἐλθόντος βαλεῖν ἐπὶ τῆς γῆς, τὸ τῶν μοχθηρῶν ἕξεων ἀναλωτικὸν, καὶ τὴν ἄναψιν ἐπισπεύδοντος. Ὅσον μὲν οὖν σαρκῶδες τοῦ λόγου καὶ τρόφιμον, μετὰ τῶν ἐντοσθίων (67) καὶ τῶν κρυφίων τοῦ νοῦ βρωθήσεται καὶ ἀναλωθήσεται, καὶ εἰς πέψιν πνευματικὴν ἀναδοθήσεται, ἄχρι κεφαλῆς καὶ ποδῶν, τῶν τε πρώτων (68) περὶ θεότητος θεωρημάτων, καὶ τῶν τελευταίων τῆς σαρκώσεως (69) φροντισμάτων. Οὐκ ἐξοίσομεν δὲ οὐδὲν, οὐδὲ εἰς τὸ πρωῒ καταλείψομεν (70)· ὅτι μηδὲ ἐκφορὰ τοῖς ἔξω τὰ πολλὰ τῶν ἡμετέρων μυστηρίων, μηδὲ ὑπὲρ τὴν νύκτα ταύτην ἔστι τις κάθαρσις, καὶ τὸ τῆς ἀναβολῆς οὐκ ἐπαινετὸν τοῖς τοῦ Λόγου μεταλαμβάνουσιν. Ὥσπερ γὰρ τὴν ὀργὴν μὴ διημερεύειν, ἀλλὰ προκαταλύειν ἡλίου καλὸν (71), καὶ τῷ Θεῷ φίλον, χρονικῶς τε καὶ ἀναγωγικῶς (ἐπιδύεσθαι γὰρ ὀργιζομένοις ἡμῖν οὐκ ἀσφαλὲς τὸν τῆς δικαιοσύνης ἥλιον)· οὕτω τὴν τοιαύτην βρῶσιν μὴ διανυκτερεύειν (72), μηδὲ εἰς τὴν ἑξῆς ἀποτίθεσθαι. Ὅσον δὲ ὀστῶδες καὶ ἄβρωτον, καὶ ἡμῖν δυσθεώρητον, οὐδὲ συντριβήσεται, κακῶς διαιρούμενον καὶ νοούμενον (ἐῶ γὰρ λέγειν, ὅτι μηδὲ, κατὰ τὴν ἱστορίαν, τοῦ Ἰησοῦ [73] συνετρίβη, καίτοι γε τοῦ θανάτου τοῖς σταυρωταῖς ἐπισπευδομένου, διὰ τὸ Σάββατον)· οὐδὲ (74) ἀποῤῥιφήσεται καὶ περισυρήσεται (75)· ἵνα μὴ δοθῇ τὰ ἅγια τοῖς κυσὶ καὶ κακοῖς τοῦ Λόγου σπαράκταις, ὥσπερ οὐδὲ τοῖς χοίροις τὸ λαμπρὸν τοῦ Λόγου καὶ μαργαρῶδες· ἀλλὰ πυρὶ καταναλωθήσεται, τῷ καὶ τὰ (76) ὁλοκαυτώματα, τὰ πάντα ἐρευνῶντι καὶ εἰδότι Πνεύματι λεπτυνόμενα καὶ σωζόμενα, οὐκ ἀπολλύμενα καθ' ὑδάτων, οὐδὲ σπειρόμενα· ὥσπερ ἡ κεφαλὴ τοῦ μόσχου παρὰ Μωϋσέως, ἡ σχεδιασθεῖσα τῷ Ἰσραὴλ, εἰς ὀνειδισμὸν τῆς σκληρότητος (77).

ΙΖ'. Ἄξιον δὲ μηδὲ τὸν τῆς βρώσεως τρόπον παραδραμεῖν, ὅτι μηδὲ ὁ νόμος, ἄχρι καὶ τούτου, τὴν θεωρίαν φιλοπονῶν ἐν τῷ γράμματι. Ἀναλώσομεν (78) γὰρ τὸ θῦμα κατὰ σπουδὴν, καὶ ἄζυμα ἐπὶ πικρίδων συνέσθοντες (79), καὶ τὰς ὀσφύας περιεζωσμένοι, καὶ τὰ ὑποδήματα περικείμενοι, καὶ πρεσβυτικῶς βακτηρεύοντες. Κατὰ σπουδὴν μὲν, ἵνα μὴ πάθωμεν ὅπερ ὁ Λὼτ ἐκεῖνος ἀπηγόρευται παρὰ τῆς

tionis expers atque aquosum nobis fidei doctrina habeat, nec ejusmodi, ut facile dissolvi queat, sed tota densa et solida, atque igne purgante explorata, et ab omni crassiore ac superflua materia pura et libera sit, utque bonis illis carbonibus, intellectum nostrum accendentibus et purgantibus, ab eo adjuvemur, qui idcirco in terram venit, ut ad improbas animi habitudines absumendas ignem mitteret [30], ejusque accensionem adurgeret. Quidquid porro carneum et esculentum habet doctrina, cum intestinis abditisque mentis partibus **858** comedetur et absumetur [31], atque ad spiritualem concoctionem digeretur, ad caput usque ac pedes, hoc est, primas de Divinitate contemplationes et postremas Incarnationis meditationes. Nec vero quidquam efferemus, nec usque ad mane relinquemus [32], quoniam nec ad exteros magna nostrorum mysteriorum pars efferenda est, nec ultra hanc noctem purgatio ulla superest, nec in iis qui Verbi participes fiunt, procrastinatio laudem habet. Quemadmodum enim præclarum ac Deo gratum est, ut ira per omnem diei cursum minime duret, verum ante solem occidat [33], sive id temporali modo, sive anagogico intelligas (nec enim nobis irascentibus justitiæ solem occumbere tutum est); ita nec hujusmodi escam pernoctare, nec in posterum diem recondi expedit. Quidquid autem osseum minimeque ad edendum aptum est, hancque rationem habet, ut difficillime intelligi queat, id nec confringetur [34], hoc est, male dividetur atque intelligetur (mitto enim dicere, quod, nec, quantum ad historicum sensum, os Jesu confractum est, idque cum carnifices [35] ipsius mortem ob Sabbatum adurgerent); nec projicietur et raptabitur, ne sancta canibus dentur, ac sceleratis Verbi discerptoribus, quemadmodum nec porcis [36] quod in Verbo splendidum et gemmeum est, verum igne absumetur, quo et holocausta, a Spiritu omnia scrutante et sciente attenuata et servata, non autem in aquis pereuntia, nec dispersa; quemadmodum vituli illius ab Israel tumultuarie confecti caput a Moyse in duritiæ illius probrum sparsum est [37].

XVII. Ne modus quidem manducationis prætereundus est, cum nec lex ipsa eum prætermiserit, sed contemplationem in verbis et littera eousque elaboraverit. Victimam enim festinanter absumemus, et azymos panes cum lactucis agrestibus comedentes, et lumbis accincti, et calceamentis instructi, ac denique, senum more, baculum gestantes [38]. Festinanter quidem, ne in eam culpam incidamus,

[30] Luc. xii, 49. [31] Exod. xii, 8. [32] ibid. 10. [33] Ephes. iv, 26. [34] Exod. xii, 46. [35] Joan. xix, 33. [36] Matth. vii, 6. [37] Exod. xxxii, 19 sqq. [38] Exod. xii, 3 sqq.

(64) *Μηδ' ὑδαρές*. Jes., μηδ' ὑδαρῶδες.
(65) *Ἄν*. Deest in sex Regg. et Or. 1.
(66) *Ὅλος*. Or. 1. ὅλως.
(67) *Ἐντοσθίων*. Coisl. 2, aliique nonnulli, ἐντοσθιδίων. Or. 1, ἐνδοσθίων.
(68) *Πρώτων*. Reg. bm, πρῶτον.
(69) *Σαρκώσεως*. Reg. bm, σαρκός.
(70) *Ἐξοίσομεν... καταλείψομεν*. Reg. pb et Coisl. 1, ἐξοίσωμεν... καταλείψωμεν.
(71) *Καλόν*. Nonnulli addunt, τε.
(72) *Διανυκτερεύειν*. Sic Reg. pb et Or. 1. In ed., διανυκτεύειν.
(73) *Τοῦ Ἰησοῦ*. In nonnullis, τὸ Ἰησοῦ.
(74) *Οὐδέ*. Or. 1, οὔτε.
(75) *Περισυρήσεται*. Or. 1, περισυρίσεται.
(76) *Τῷ καὶ τά*. Sic Regg. bm, pb, novem Colb., Comb., etc. In ed., ᾧ καὶ τά.
(77) *Τῆς σκληρότητος*. Sic quinque Regg., etc. Deest τῆς in ed.
(78) *Ἀναλώσομεν*. Sic quatuor Regg. Alii, ἀναλώσωμεν, male.
(79) *Συνέσθοντες*. Comb., ἔσθοντες.

a qua Lot divino interdicto avocabatur; ne circumspiciamus, ne stemus in omni circumjacente regione; in montem, salutis causa, confugiamus, ne 859 Sodomitico illo et inusitato igne simul involvamur, nec propter nostram in deterius conversionem, quæ ex cunctatione nasci solet, in salis statuam concrescamus [39]. Cum lactucis autem agrestibus [40], quoniam vita divinæ legi consentanea, iis præsertim qui incipiunt, acerba et ardua est, voluptatibusque sublimior. Nam etsi novum jugum suave est, et onus leve, ut ex Scriptura audis [41]; id tamen propter spem fit ac mercedem, hujus vitæ molestiis et ærumnis longe uberiorem: alioqui enim quis non Evangelium legalibus præceptis multo laboriosius atque ærumnosius esse dixerit? Nam cum lex peccatorum duntaxat fines prohibeat, nobis ipsæ etiam causæ, propemodum ut actiones, crimini vertuntur. *Non adulterium committes*, inquit lex [42]: at tu, ne concupisces quidem [43], ex curioso ac studioso contuitu animi affectum incendens. *Non occides*, ait illa [44]: at tu, ne, si feriaris quidem, referies [45], quin potius percutienti teipsum expones. Quanto tandem hæc illis sapientiora! *Non pejerabis*, inquit illa [46]: at tu, penitus nec jurabis, nec parvum, nec magnum [47]; quod scilicet ex juramento perjurium nascatur. *Non junges domum cum domo*, ait illa, *nec agrum cum agro* [48], tyrannide pauperem opprimens: at tu, libenti animo, justis etiam rationibus quæsitas opes excuties, atque in pauperum subsidium spoliaberis [49], ut leviter crucem tollas divitiasque ab aspectu remotas assequaris.

A ἐντολῆς· μὴ περιβλεψώμεθα, μὴ στῶμεν ἐν πάσῃ (80) τῇ περιχώρῳ· εἰς τὸ ὄρος ἀποσωθῶμεν (81), μὴ συμπαραληφθῶμεν τῷ Σοδομιτικῷ καὶ ξένῳ πυρὶ, μηδ' εἰς στήλην ἁλὸς παγῶμεν, ἐκ τῆς ἐπὶ τὸ χεῖρον ἐπιστροφῆς, ὅπερ ἐργάζεται μέλλησις. Ἐπὶ δὲ πικρίδων, διὰ τὸ πικρὸν τοῦ κατὰ Θεὸν βίου, καὶ πρόσαντες, τοῖς ἀρχομένοις μάλιστα, καὶ ἡδονῶν ὑψηλότερον. Εἰ γὰρ καὶ χρηστὸς ὁ νέος ζυγὸς, καὶ τὸ φορτίον ἐλαφρὸν, ὥσπερ ἀκούεις· ἀλλὰ διὰ τὴν ἐλπίδα τοῦτο καὶ τὴν ἀντίδοσιν, πολλῷ τῆς ἐνταῦθα κακοπαθείας οὖσαν δαψιλεστέραν· ἐπεὶ ἄλλως γε, τίς οὐκ ἂν εἴποι, πολὺ τῶν νομικῶν διατάξεων τὸ Εὐαγγέλιον ἐργωδέστερον εἶναι καὶ μοχθηρότερον; Τοῦ γὰρ νόμου τὰ τέλη τῶν (82) ἁμαρτημάτων κωλύοντος, ἡμεῖς καὶ τὰς αἰτίας, ὡς πράξεις σχεδὸν, ἐγκα-
B λούμεθα. *Οὐ μοιχεύσεις* (83), φησὶν ὁ νόμος· σὺ δὲ, οὐδὲ ἐπιθυμήσεις, ἐκ περιέργου θέας καὶ φιλοπόνου φλέγων τὸ πάθος (84). *Οὐ φονεύσεις*, ἐκεῖνος· σὺ δὲ, οὐδὲ ἀντιπλήξεις, ἀλλὰ καὶ σεαυτὸν ἐμπαρέξεις τῷ παίοντι. Ὅσον ταῦτα ἐκείνων (85) φιλοσοφώτερα! *Οὐκ ἐπιορκήσεις*, ἐκεῖνος· σὺ δὲ (86), οὐδὲ ὀμῇ τὴν ἀρχὴν, οὐ μικρὸν, οὐ μεῖζον, ὡς τοῦ ὅρκου τὴν ἐπιορκίαν τίκτοντος. *Οὐ συνάψεις οἰκίαν πρὸς οἰκίαν*, ἐκεῖνος, *καὶ ἀγρὸν πρὸς ἀγρὸν*, καταδυναστεύων τοῦ πένητος· σὺ δὲ, ἀποθήσῃ καὶ τὰ δικαίως κτηθέντα προθύμως, καὶ γυμνωθήσῃ τοῖς πένησιν, ἵνα κούφως τὸν σταυρὸν αἴρῃς, καὶ πλουτήσῃς τὰ μὴ ὁρώμενα.

XVIII. Jam lumbi, mutis quidem animantibus remissi ac soluti sint [50]: neque enim illis inest ratio, quæ voluptatibus imperet; quanquam hæc quoque motus naturalis libidinisque modum norunt. Tibi autem per zonam ac temperantiam restringatur pars illa, quæ libidine æstuat, ac velut hinnitum edit [51] (nam hoc verbo Scriptura, hujus affectus turpitudinem exagitans, utitur); ut, mortificatis membris, quæ sunt super terram [52], Pascha pure comedas, solitarii illius Joannis et præcursoris [53], magnique veritatis præconis, præcinctionem imitans. Sed et aliam zonam novi, nimirum militarem et virilem, juxta quam Euzoni Syriæ et Monozoni quidam nominantur [54]; ac Deus ipse Jobum alloquens: *Nequaquam*, inquit [55], *verum accinge ut vir lumbos tuos*, et da responsum virile; quibus

C ΙΗ'. Ὀσφὺς δὲ, τοῖς μὲν αλογοις, ἄνετος ἔστω καὶ ἄδετος· οὐδὲ γὰρ λόγον ἔχουσι, τὸν κρατοῦντα τῶν ἡδονῶν· οὔπω λέγω, ὅτι κἀκεῖνα ὅρον οἶδε τῆς φυσικῆς κινήσεως· σοὶ καὶ ἀναστελλέσθω ζώνῃ καὶ σωφροσύνῃ (87) τὸ ἐπιθυμητικὸν καὶ χρεμετιστικὸν (ὡς ἡ θεία [88] φησὶ Γραφὴ, τὸ τοῦ πάθους αἰσχρὸν διασύρουσα), ἵνα καθαρῶς ἐσθίῃς τὸ Πάσχα, νεκρώσας τὰ μέλη τὰ ἐπὶ τῆς γῆς, καὶ τὴν Ἰωάννου ζώνην μιμούμενος, τοῦ ἐρημικοῦ, καὶ προδρόμου, καὶ μεγάλου τῆς ἀληθείας κήρυκος. Οἶδα καὶ ζώνην ἄλλην, τὴν στρατιωτικὴν λέγω καὶ ἀνδρικὴν, καθ' ἣν Εὔζωνοι Συρίας καὶ Μονόζωνοί τινες ὀνομάζονται· καθ' ἣν καὶ τῷ Ἰὼβ χρηματίζων φησὶν ὁ Θεός· *Μὴ, ἀλλὰ ζῶσαι ὥσπερ ἀνὴρ τὴν ὀσφύν σου*, καὶ δὸς ἀπόκρισιν ἀνδρικήν· ἣν καὶ ὁ θεῖος Δαβὶδ (89) περιεζῶσθαι
D δύναμιν ἐκ Θεοῦ μεγαλαυχεῖ, καὶ τὸν Θεὸν (90) αὐτὸν

[39] Gen. xix, 24 sqq. [40] Exod. xii, 8. [41] Matth. xi, 30. [42] Exod. xx, 14. [43] Matth. v, 28. [44] Exod. xx, 13. [45] Matth. v, 39. [46] Exod. xx, 7. [47] Matth. v, 34. [48] Isa. v, 8. [49] Matth. xix, 21. [50] Exod. xii, 11. [51] Jer. v, 8. [52] Coloss. iii, 5. [53] Matth. iii, 4. [54] IV Reg. v, 2. [55] Job xxxviii, 3.

(80) *Πάσῃ*. Sic codd. In ed., πᾶσι.
(81) *Ἀποσωθῶμεν*. Colb. b, ἀνασωθῶμεν.
(82) *Τῶν*. Sic codd. In ed., τοῦ.
(83) *Μοιχεύσεις*. Savil., μοιχεύσῃς.
(84) *Τὸ πάθος*. « Animi affectum, » id est, « libidinem. »
(85) *Ὅσον ταῦτα ἐκείνων*. In nonnullis, ὅσῳ ταῦτα ἐκείνου, etc. « Quanto hæc exquisitioris et severioris disciplinæ. » Billius in prima ed.: « Quanto tandem hæc illis altiora ac difficiliora. »
(86) *Σὺ δέ*, etc. Bill.: « At tu, nec ullo modo jurabis. »
(87) *Ζώνῃ καὶ σωφροσύνῃ*. Par., ζώνην καὶ σωφροσύνην.
(88) *Ὡς ἡ θεία*, etc. Alludit ad hæc verba Jerem. v, 8: « Unusquisque ad uxorem proximi sui hinniebat. »
(89) *Ἣν καὶ ὁ θεῖος Δαβίδ*. Intelligit hæc Davidis verba, psal. xvii, 40: « Præcinxisti me virtute ad bellum. »
(90) *Καὶ τὸν Θεόν*, etc. Sic in psal. xcii, 1: « Indutus est Dominus fortitudinem, et præcinxit se. »

A εἰσάγει ἐνδεδυμένον δύναμιν καὶ περιεζωσμένον, δηλαδὴ κατὰ τῶν ἀσεβῶν· εἰ μή τῳ φίλον, τὸ περιὸν τῆς δυνάμεως, καὶ οἷον ἀνεσταλμένον, οὕτω παραδηλοῦσθαι, καθὸ καὶ φῶς ἀναβάλλεται, ὡς ἱμάτιον. Τὸ γὰρ ἄσχετον αὐτοῦ τῆς δυνάμεως καὶ τοῦ φωτὸς τίς ὑποστήσεται; Ζητῶ, τί κοινὸν ὀσφύϊ καὶ ἀληθείᾳ; τί δαὶ τῷ ἁγίῳ Παύλῳ νοεῖται τὸ φάσκειν· *Στῆτε οὖν περιεζωσμένοι* (91) *τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ*; Μήποτε ὡς τοῦ θεωρητικοῦ τὸ ἐπιθυμητικὸν περισφίγγοντος, καὶ οὐκ ἐῶντος ἀλλαχοῦ φέρεσθαι; Οὐ γὰρ ἐθέλει τὸ περί τι διακείμενον ἐρωτικῶς, πρὸς τὰς ἄλλας ἡδονὰς τὴν αὐτὴν ἔχειν δύναμιν.

etiam viribus beneficio divino accinctum se esse David gloriatur [56], ac Deum **860** quoque ipsum potentia indutum atque accinctum inducit [57], nempe adversus impios : nisi tamen malit quispiam potentiæ exuberantiam ac veluti restrictionem his verbis significari : quo etiam sensu, lumine, sicut vestimento [58], amictus dicitur. Insuperabilem enim potentiæ ipsius ac luminis vim quis sustinebit ? Quæro quid lumbis cum veritate commune sit, et quæ Pauli mens fuerit, cum diceret : *State igitur succincti lumbos vestros in veritate* [59] ? Num forte quod speculatio concupiscentiam coerceat, nec aliorsum ferri sinat? Nec enim fieri potest, ut qui rei cujuspiam amore flagrat, parem ad alias voluptates vim habeat.

ΙΘʹ. Τὰ δὲ ὑποδήματα, ὁ μὲν τῆς ἁγίας γῆς καὶ B θεοστιβοῦς ψαύειν μέλλων, ὑπολυέσθω, καθὰ (92) καὶ Μωϋσῆς ἐκεῖνος ἐπὶ τοῦ ὄρους, ἵνα μηδὲν νεκρὸν φέρῃ, μηδὲ μέσον Θεοῦ καὶ ἀνθρώπων. Ὡς δὲ καὶ εἴ τις μαθητὴς ἐπὶ τὸ Εὐαγγέλιόν πέμπεται, φιλοσόφως καὶ ἀπερίττως (93)· ὃν δεῖ (94) πρὸς τῷ ἀχάλκῳ, καὶ ἀράβδῳ, καὶ μονοχίτωνι, ἔτι καὶ γυμνοποδεῖν (95), ἵνα φανῶσιν οἱ πόδες ὡραῖοι τῶν εὐαγγελιζομένων εἰρήνην, καὶ ἄλλο πᾶν ἀγαθόν. Ὁ δὲ φεύγων Αἴγυπτόν τε καὶ τὰ Αἰγύπτια, ὑποδεδέσθω, τῆς τε ἄλλης ἀσφαλείας ἕνεκα καὶ τῆς πρὸς τοὺς σκορπίους καὶ τοὺς ὄφεις, οὓς καὶ πολλοὺς Αἴγυπτος τρέφει, ὥστε μὴ βλάπτεσθαι παρὰ τῶν τηρούντων τὴν πτέρναν, οὓς πατεῖν ἐκελεύσθημεν. Περὶ δὲ τῆς βακτηρίας οὕτως ἔχω, καὶ τοῦ περὶ ταύτην (96) αἰνίγματος. C Τὴν μὲν ὑπερειστικὴν οἶδα, τὴν δὲ ποιμαντικήν τε καὶ διδασκαλικήν, καὶ τὰ λογικὰ πρόβατα ἐπιστρέφουσαν. Ἀλλὰ σοὶ νῦν τὴν ὑπερείδουσαν ὁ νόμος διακελεύεται, μήπου τὸν λογισμὸν ὀκλάσῃς, αἷμα Θεοῦ, καὶ πάθος ἀκούων, καὶ θάνατον, μήπου περιενεχθῇς ἀθέως, ὡς Θεοῦ συνήγορος· ἀλλ' ἀνεπαισχύντως καὶ ἀνενδοιάστως, φάγε τὸ σῶμα, πίε τὸ αἷμα, εἰ τῆς ζωῆς ἐπιθυμητικῶς ἔχεις, μήτε τοῖς περὶ σαρκὸς (97) ἀπιστῶν λόγοις, μήτε τοῖς περὶ τὸ πάθος βλαπτόμενος. Ἐρηρεισμένος ἵστασο, πάγιος, βεβηκώς, ἐν μηδενὶ σαλευόμενος ὑπὸ τῶν ἀντικειμένων, μηδὲ πιθανότητος λόγοις παρασυρόμενος. Ἐπὶ τὸ ὕψος σεαυτοῦ στῆθι, ἐν ταῖς αὐλαῖς Ἱερουσαλὴμ στῆσον τοὺς πόδας, ἐπὶ τῆς πέτρας (98) ἔρεισον, ἵνα μὴ σαλεύηταί σου τὰ κατὰ Θεὸν διαβήματα. D

XIX. Jam qui terram sanctam ac divinis vestigiis impressam contacturus est, calceamenta solvat, quemadmodum et Moyses ille in monte [60], ut nihil mortuum ferat, nec inter Deum atque homines intermedium. Consimili modo si quis discipulus ad prædicandum Evangelium mittitur [61], frugalitati ac simplicitati studeat : quippe quem, præter id quod nec æs, nec baculum, nec duplicem tunicam habeat, etiam nudis pedibus iter facere oporteat, ut pulchri pedes evangelizantium pacem [62], et quodlibet aliud bonum, appareant. At vero qui Ægyptum ac res Ægypti fugit, calceos sumat [63], ut tutus sit, cum ab aliis rebus, tum a scorpiis et serpentibus, quos permultos Ægyptus alit, ut ab iis, qui calcaneum observant, et quos calcare jussi sumus [64], minime vulneretur. Jam de baculo [65] atque ejus significatione ita sentio. Nam cum alter fulciendi vim habeat, alter pastoris et doctoris proprius sit, atque oves ratione præditas convertat, in viamque reducat : hic lex fulcientem baculum tibi præscribit, necubi animo titubes, dum Dei sanguinem et Passionem et mortem audis, ac dum Dei patronus atque defensor videri cupis, impie corruas. Quin potius, sine pudore ac dubitatione corpus ede, sanguinem bibe, si modo vitæ desiderio teneris, nec sermonibus de carne fidem abrogans, nec ad eos, qui de passione habentur, impingens. Innixus sta, firmus et stabilis, atque ita comparatus, ut nulla in re quatiaris ab adversariis, nec verborum lepore atque illecebris abripiaris. In fastigio tuo sta, in atriis Jerusalem pedes statue [66], in petra suffulci, **861** ut tui secundum Deum gressus non moveantur.

Κʹ. Τί φῄς; Οὕτω ταῦτα ἔδοξεν, Αἴγυπτον ἐξελθεῖν, τὴν σιδηρᾶν κάμινον, καταλιπεῖν σε τὴν ἐκεῖσε πολυθεΐαν (99), καὶ ὑπὸ Μωϋσέως ἀχθῆναι, καὶ τῆς

XX. Quid ais? Itane fixum ac decretum est, ut ex Ægypto, hoc est, ex fornace ferrea [67], excedas, impiumque deorum multorum cultum illic vigentem

[56] Psal. XVII, 33. [57] Psal. XCII, 1. [58] Psal. CIII, 2. [59] Ephes. VI, 14. [60] Exod. III, 5. [61] Luc. X, 3 sqq. [62] Isa. LII, 7. [63] Exod. XII, 11. [64] Luc. X, 19. [65] Exod. XII, 11. [66] Psal. CXXI, 2. [67] Deut. IV, 20.

(91) *Περιεζωσμένοι*. Tres Regg. et novem Colb., περιζωσάμενοι.
(92) *Καθά*. Or. 1, καθώς.
(93) *Καὶ ἀπερίττως*. Deest in Jes.
(94) *Δεῖ*. In nonnullis, χρή.
(95) *Γυμνοποδεῖν*. Sic tres Regg., Coisl. 1, Or. 1, Par., etc. In Par. ed., γυμνοποδεῖ.
(96) *Περὶ ταύτην*. Coisl. 1 et Jes., περὶ ταύτης.
(97) *Μήτε τοῖς περὶ σαρκός*, etc. Bill. in prima edit. « Nec doctrinæ carnis fidem abrogans, nec Passionis sermonibus offensus. »
(98) *Ἐπὶ τῆς πέτρας*. « In petra, » id est, « in Christo, » juxta Apost. I Cor. x, 4, « Petra autem erat Christus. »
(99) *Πολυθεΐαν*. Coisl. 1 et Or. 1 addunt, ἀθεΐαν, « impiam, sacrilegam. »

relinquas, atque a Moyse, ipsiusque legibus ac militari imperio ducaris? Consilium quoddam tibi porrigo, nequaquam meum, imo admodum quoque meum, si rem spiritualiter expenderis. Vasa aurea et argentea Ægyptiis commodato pete [68]: cum his te itineri committe: ex alienis facultatibus viaticum tibi para, imo ex tuis potius. Servitutis enim ac confectorum laterum merces tibi debetur. Callide tu quoque aliquid circa mercedis flagitationem comminiscere: pulchre frauda. Esto sane, gravibus hic laboribus vexatus es, cum luto colluctans, id est, cum ærumnoso et impuro corpore, ac domos alienas et caducas exstruens, quarum memoria cum sonitu perit. Quid? Gratisne et absque pretio egrederis? Quid? An Ægyptiis et adversariis potestatibus ea relinques, quæ male adepti sunt, ac pejus consument? Nullum jus in ea habent; sacrilegio compilarunt, eripuerunt ei, qui dixit: *Meum est argentum, et meum est aurum* [69], *daboque ei, cui voluero* [70]. Heri illa possidebant: sic enim permittebatur. Hodie ea tibi Dominus offert ac tradit, honeste et ad salutem usuro. Amicos nobis de mammona iniquitatis comparemus, ut, cum defecerimus, in judicii tempore recipiamus [71].

XXI. Si Rachel quædam es, aut Lia, hoc est, patriarchica et magna anima, patris quoque tui idola, quæcunque inveneris, surripe, non ut serves, sed ut deleas [72]. Si autem sapiens Israelitis, ad terram promissionis transfer; eoque nomine discrucietur persecutor, atque ex fraude sibi facta hoc intelligat, quod tyrannide ac servitute meliores frustra opprimebat. Hoc si feceris, atque ita ex Ægypto excesseris, ignis, mihi crede, ac nubis columna tibi die ac nocte iter præmonstrabit [73], desertum mitigabitur, mare tibi scindetur, Pharao demergetur, panis pluet, petra scaturiet, Amalec opprimetur; non armis tantum, sed etiam hostilibus justorum manibus, precationem simul atque insuperabile crucis tropæum signantibus; fluminis cursus inhibebitur [74], sol sistetur, lunæ cursus reprimetur, muri, nullis etiam machinis admotis, corruent, crabrones præcurrent, viam Israeli munientes **862**, atque alienigenas arcentes; reliqua etiam omnia, quæ post hæc, et simul cum his, memoriæ prodita sunt, ne nimis longum sermonem producam, Dei beneficio tibi concedentur. Ac tale est festum, quod hodierno die agitas; tali epulo, tum natalitio, tum funebri, quantum in te est, accipias, ob eum, qui, tua causa, et natus, et passus est; tale tibi Paschatis mysterium. Hæc lex adumbravit; hæc Christus perfecit, ille, inquam, litteræ abrogator, ille Spiritus initiator, qui, ut ex eo, quod passus est, ad patiendum nos erudit, ita ex eo, quod glorificatus est, hoc nobis affert, ut simul glorificemur.

A ἐκείνου (1) νομοθεσίας καὶ στρατηγίας; Εἰσηγοῦμαί τι καὶ τῶν οὐκ ἐμῶν, μᾶλλον δὲ καὶ λίαν ἐμῶν, ἂν πνευματικῶς θεωρῇς. Χρῆσαι παρ' Αἰγυπτίων σκεύη χρυσᾶ καὶ ἀργυρᾶ· μετὰ τούτων ὅδευσον· ἐκ τῶν ἀλλοτρίων ἐφοδιάσθητι, μᾶλλον δὲ τῶν σῶν· χρεωστεῖταί σοι μισθὸς τῆς δουλείας καὶ τῆς πλινθείας· σόφισαί τι καὶ σὺ περὶ τὴν ἀπαίτησιν· καλῶς ἀποστέρησον. Ἔστω, τεταλαιπώρηκας ἐνταῦθα, τῷ πηλῷ μαχόμενος, τῷ μοχθηρῷ τούτῳ καὶ ῥυπαρῷ σώματι, καὶ πόλεις οἰκοδομῶν ἀλλοτρίας καὶ σφαλεράς, ὧν ἀπολεῖται τὸ μνημόσυνον μετ' ἤχου. Τί δαί; προῖκα ἐξέρχῃ καὶ ἀμισθί; Τί δαί; καταλείψεις Αἰγυπτίοις καὶ ταῖς ἀντικειμέναις δυνάμεσιν, ἃ κακῶς ἐκτήσαντο, καὶ χεῖρον δαπανήσουσιν; Οὐκ ἔστιν ἐκείνων· ἐσύλησαν, ἥρπασαν τοῦ εἰπόντος· *Ἐμόν* B *ἐστι τὸ ἀργύριον* (2), *καὶ ἐμόν ἐστι τὸ χρυσίον, καὶ δώσω αὐτὸ ᾧ βούλομαι.* Χθὲς ἦν ἐκείνων· συνεχωρεῖτο γάρ. Σήμερον σοὶ προσάγει καὶ δίδωσιν ὁ Δεσπότης, καλῶς χρησομένῳ καὶ σωτηρίως. Κτησώμεθα ἡμῖν αὐτοῖς φίλους ἐκ τοῦ μαμμωνᾶ τῆς ἀδικίας, ἵν' ὅταν ἐκλίπωμεν, ἀντιλάβωμεν ἐν καιρῷ κρίσεως.

ΚΑ'. Εἰ μέν τις εἶ Ῥαχὴλ, ἢ Λεία, ψυχὴ πατριαρχικὴ καὶ μεγάλη, καὶ τὰ εἴδωλα κλέψον, ἅπερ ἂν εὕρῃς, τοῦ σοῦ πατρὸς, οὐχ ἵνα φυλάξῃς, ἀλλ' ἵν' ἀφανίσῃς· εἰ δὲ Ἰσραηλίτης σοφὸς, πρὸς τὴν γῆν τῆς ἐπαγγελίας μετένεγκε· καὶ περὶ τούτων ὁ διώκτης ἀλγησάτω, καὶ γνώτω κατασοφισθεὶς, ὅτι μάC την ἐτυράννει καὶ κατεδουλοῦτο τοὺς κρείττονας. Ἂν οὕτω ποιῇς, καὶ οὕτως ἐξέλθῃς Αἴγυπτον, εὖ οἶδα, στύλῳ πυρὸς καὶ νεφέλης ὁδηγηθήσῃ νυκτὸς καὶ ἡμέρας, ἔρημος ἡμερωθήσεται, θάλασσά σοι τμηθήσεται, Φαραὼ βαπτισθήσεται, ἄρτος ὀμβρήσει, πέτρα πηγάσει, Ἀμαλὴκ καταπολεμηθήσεται· οὐχ ὅπλοις μόνον, ἀλλὰ καὶ πολεμίαις χερσὶ (3) δικαίων, εὐχὴν ὁμοῦ τυπούσαις, καὶ σταυροῦ τρόπαιον τὸ ἀήττητον· ποταμὸς ἀνακοπήσεται, ἥλιος στήσεται, σελήνη σχεθήσεται, τείχη κατενεχθήσεται, καὶ δίχα μηχανημάτων, σφηκίαι προδραμοῦνται, ὁδοποιοῦσαι τῷ Ἰσραὴλ, καὶ τοὺς ἀλλοφύλους ἀνείργουσαι (4)· τἄλλα τε ὅσα ἐπὶ τούτοις καὶ σὺν τούτοις ἱστόρηται, ἵνα μὴ μακρὸν ἀποτείνω λόγον, παρὰ Θεοῦ σοι δοθήD σεται. Τοιαύτην ἑορτὴν ἑορτάζεις σήμερον· τοιοῦτον ἑστιᾷ (5) τὸ ἐπὶ σοὶ τοῦ γεννηθέντος γενέθλιον, καὶ τοῦ παθόντος (6) ἐπιτάφιον· τοιοῦτόν σοι τὸ τοῦ Πάσχα μυστήριον. Ταῦτα ὁ νόμος ὑπέγραψε· ταῦτα Χριστὸς ἐτελείωσεν, ὁ τοῦ γράμματος (7) καταλυτὴς, ὁ τελειωτὴς τοῦ Πνεύματος, ὃς οἷς ἔπαθε, τὸ πάσχειν διδάσκων, οἷς ἐδοξάσθη, τὸ συνδοξασθῆναι χαρίζεται.

[68] Exod. xi, 2. [69] Agge. ii, 9. [70] Daniel iv, 14. [71] Luc. xvi, 9. [72] Gen. xxxi, 19, [73] Exod. xiii 12. [74] Jos. iii, 15.

(1) *Ἐκείνου.* Or. 1, ἐκεῖσε.

(2) *Ἐμόν ἐστι τὸ ἀργύριον.* Sic nonnulli codd. Deest ἐστι in edit.

(3) *Πολεμίαις χερσί.* Coisl. 1, ἀπολέμοις πολεμίαις, « imbellibus justorum pugnantium armis. »

(4) *Ἀνείργουσαι.* Comb., ἀπείργουσαι.

(5) *Τοιοῦτον ἑστιᾷ.* Legendum videtur, τοιοῦτον ἑστιᾷς· « Talibus epulis natalitia et funus illius, qui pro te natus et passus est, celebra. »

(6) *Παθόντος.* In quibusdam, θανόντος, « mortuus est. »

(7) *Γράμματος.* Bill. « legis. »

ΚΒ'. Ἔστι τοίνυν (8) ἐξετάσαι πρᾶγμα καὶ δόγμα, τοῖς μὲν πολλοῖς παρορώμενον, ἐμοὶ δὲ, καὶ λίαν ἐξεταζόμενον. Τίνι γὰρ τὸ ὑπὲρ ἡμῶν αἷμα, καὶ περὶ τίνος ἐχέθη, τὸ μέγα καὶ περιβόητον τοῦ Θεοῦ, καὶ ἀρχιερέως, καὶ θύματος; Κατειχόμεθα (9) μὲν γὰρ ὑπὸ τοῦ πονηροῦ, πεπραμένοι ὑπὸ τὴν ἁμαρτίαν, καὶ ἀντιλαβόντες τῆς κακίας τὴν ἡδονήν. Εἰ δὲ τὸ λύτρον οὐκ ἄλλου τινὸς, ἢ τοῦ κατέχοντος γίνεται, ζητῶ τίνι τοῦτο εἰσηνέχθη, καὶ δι' ἥντινα τὴν αἰτίαν; Εἰ μὲν τῷ πονηρῷ, φεῦ τῆς ὕβρεως· εἰ μὴ παρὰ τοῦ Θεοῦ μόνον, ἀλλὰ καὶ τὸν Θεὸν αὐτὸν λύτρον ὁ λῃστὴς λαμβάνει, καὶ μισθὸν οὕτως ὑπερφυῆ (10) τῆς ἑαυτοῦ τυραννίδος, δι' ὃν καὶ ἡμῶν φείδεσθαι δίκαιον ἦν· εἰ δὲ τῷ Πατρὶ, πρῶτον μὲν πῶς; Οὐχ ὑπ' ἐκείνου γὰρ ἐκρατούμεθα. Δεύτερον δὲ, τίς ὁ λόγος, Μονογενοῦς αἷμα τέρπειν Πατέρα, ὃς οὐδὲ τὸν Ἰσαὰκ ἐδέξατο παρὰ τοῦ πατρὸς προσφερόμενον, ἀλλ' ἀντηλλάξατο τὴν θυσίαν, κριὸν ἀντιδοὺς τοῦ λογικοῦ θύματος; Ἢ δῆλον, ὅτι λαμβάνει μὲν ὁ Πατὴρ, οὐκ αἰτήσας (11), οὐδὲ δεηθεὶς, ἀλλὰ διὰ τὴν οἰκονομίαν, καὶ τὸ χρῆναι (12) ἁγιασθῆναι τῷ ἀνθρωπίνῳ τοῦ Θεοῦ τὸν ἄνθρωπον· ἵν' αὐτὸς ἡμᾶς ἐξέληται, τοῦ τυράννου βίᾳ κρατήσας, καὶ πρὸς ἑαυτὸν (13) ἐπαναγάγῃ διὰ τοῦ Υἱοῦ μεσιτεύσαντος, καὶ εἰς τιμὴν τοῦ Πατρὸς τοῦτο οἰκονομήσαντος, ᾧ τὰ πάντα παραχωρῶν φαίνεται. Τὰ μὲν δὴ Χριστοῦ τοιαῦτα, καὶ τὰ πλείω σιγῇ σεβέσθω. Ὁ δὲ χαλκοῦς ὄφις κρεμᾶται (14) μὲν κατὰ τῶν δακνόντων ὄφεων, οὐχ ὡς τύπος (15) δὲ τοῦ ὑπὲρ ἡμῶν παθόντος, ἀλλ' ὡς ἀντίτυπος· καὶ σώζει τοὺς εἰς αὐτὸν ὁρῶντας, οὐχ ὅτι ζῇ πιστευόμενος, ἀλλ' ὅτι νενέκρωται, καὶ συννεκροῖ τὰς ὑπ' αὐτὸν (16) δυνάμεις, καταλυθεὶς, ὥσπερ ἦν ἄξιος. Καὶ τίς ὁ πρέπων αὐτῷ παρ' ἡμῶν ἐπιτάφιος; *Ποῦ σου, θάνατε, τὸ κέντρον; Ποῦ σου, ᾅδη, τὸ νῖκος;* Τῷ σταυρῷ βέβλησαι, τῷ ζωοποιῷ τεθανάτωσαι. Ἄπνους (17), νεκρὸς, ἀκίνητος, ἀνενέργητος, κἂν, εἰ τὸ (18) σχῆμα σώζεις ὄφεως, ἐν ὕψει στηλιτευόμενος (19).

ΚΓ'. Μεταληψόμεθα (20) δὲ τοῦ Πάσχα, νῦν μὲν

XXII. Enimvero alienum non fuerit, rem ac doctrinam inquirere, a multis quidem neglectam, meo autem judicio, studiose perquirendam. Eccui enim ille pro nobis sanguis, et quam ob causam fusus est, ille, inquam, magnus et nobilis Dei, tum pontificis, tum victimæ sanguis? Nos enim a diabolo detinebamur, utpote qui venundati essemus sub peccato, ac vitium cum voluptate commutassemus. Quod si redemptionis pretium non alii ulli, quam ei, qui captivos tenet, persolvitur, quæro cui tandem oblatum est, et quam ob causam? Si pravo illi, o gravem contumeliam! si non a Deo solum, sed Deum quoque ipsum pro redemptionis pretio latro accipit, adeoque insigne et excellens tyrannidis suæ præmium, cujus causa nobis quoque parci æquum erat: si autem Patri, primum quomodo id factum est? Nec enim ab ipso tenebamur. Deinde, quæ ratio afferri potest, ut Unigeniti sanguine Pater oblectetur, qui ne Isaac quidem a patre oblatum acceperit, sed ariete, in rationalis victimæ locum substituto, sacrificium permutarit? Perspicuum utique est, Patrem quidem accepisse, non tamen quod petierit, aut eo opus habuerit, verum certa concilii ratione et dispensatione, et quia, per humanitatem a Deo assumptam, homini sanctitatem afferri oportebat; ut, tyranno per vim superato, nos liberaret, atque ad se per mediatorem Filium reduceret, hoc, ad Patris honorem, cui in omnibus rebus cedere perspicitur, dispensantem. **863** Ac de Christo hæc nobis dicta sint, aliaque multo plura silentii honore afficiantur. At vero, serpens æneus adversus serpentum morsus suspenditur [75], non tamen ut Christi pro nobis passi typus, verum ut antitypus: atque iis qui ipsum intuentur, salutem affert, dum non vita frui, sed mortuus esse, ac subditas sibi potestates secum interimere creditur, oppressus nimirum et exstinctus, sicut merebatur. Et quod tandem illi congruens epitaphium canemus? *Ubi est, mors, stimulus tuus? Ubi tua, inferne, victoria* [76]? Crux te prostravit, vitæ auctor tibi necem attulit. Exanimis es, mortuus, immobilis; iners, serpentis licet figuram serves, in sublimi loco ignominiose pendes.

XXIII. Jam vero Paschatis participes erimus,

[75] Num. XXI, 8. [76] Ose. XIII, 14; I Cor. XV, 55.

(8) *Ἔστι τοίνυν.* Or. 1, Ἔστι λοιπόν, « Cæterum. »
(9) *Κατειχόμεθα.* Comb., ἐκρατούμεθα.
(10) *Ὑπερφυῆ.* Reg. ph, ὑπερφυᾶ
(11) *Οὐκ αἰτήσας*, etc. Or. 1 addit, δέ. Observat scholiastes, duplex esse redimendi genus; alterum, « quo pretium ei, a quo qui captus tenetur, solvitur, et pecunia ab eo redimitur; » alterum, « quo quis pro reo pati sustinet in ipsius unius commodum. » Sic Christus pro nobis cruciatus pertulit, ac sic ejus passione nihil diabolo datum. Præterea sanguis Christi Patri oblatus est, « non quod unigeniti Filii cruore effuso delectaretur, » ut his verbis declarat idem scholiastes: Οὔτε τῷ Πατρὶ αἷμα τοῦ Μονογενοῦς προσφέρεσθαι ὑποτιθέμεθα. Sed indicat, Filium sua sponte hominis reatum in se transtulisse ac mortem subiisse, ut hominem redimeret, ac cum Deo in gratiam restitueret, illatamque divinæ majestati injuriam sarciret.
(12) *Τὸ χρῆναι.* Reg. ph et Or. 1. τῷ χρῆναι.
(13) *Ἑαυτόν.* Sic plures Regg. et Colb., Coisl. 1, etc. In ed., αὐτόν.
(14) *Κρεμᾶται.* Reg. bm, aliique nonnulli, κρεμνᾶται.
(15) *Οὐχ ὡς τύπος*, etc. « Gregorius, inquit Nicetas, serpentem æneum Christi typum haudquaquam esse censet (neque fas est ac pium perversum spiritum Christi typum vocari); verum antitypum, id est, contrariam figuram. Etenim serpens a principio homini exitium attulit, Christus autem postea salutem. »
(16) *Ὑπ' αὐτόν.* Sic Regg. bm, ph, Or. 1, Comb., etc. In ed., ὑπ' αὐτῷ.
(17) *Ἄπνους.* Plures codd. addunt, εἶ.
(18) *Τό.* Reg. bm, τι.
(19) *Στηλιτευόμενος.* Bill. « decoris et ignominiæ notis inustus. »
(20) *Μεταληψόμεθα.* Reg. ph, μεταληψώμεθα, « participes simus. »

Ὁ Ἱερεὺς λέγει. Σύ ἔπλασάς με, καὶ ἔθηκας ἐπ' ἐμὲ τὴν χεῖρά σου· τῆς σῆς ἐξουσίας ἐν ἐμοὶ τὴν εἰκόνα ὑπέγραψας· τοῦ λόγου τὸ δῶρον ἐνέθηκας· εἰς τρυφήν μοι τὸν παράδεισον ἤνοιξας· τῆς σῆς γνώσεως τὴν διδασκαλίαν παρέδωκας· ἔδειξάς με τὸ δένδρον τῆς ζωῆς· μοι ξύλον ὑπέδειξας· τοῦ θανάτου τὸ κέντρον ἐγνώρισας· ἑνός μοι φυτοῦ τὴν ἀπόλαυσιν ἀπηγόρευσας· ἐξ αὐτοῦ μόνου οὖν εἶπάς μοι μὴ φαγεῖν· ἔφαγον, νόμον ἠθέτησα· γνώμη τῆς ἐντολῆς παρημέλησα· ἐγὼ δὲ τοῦ θανάτου τὴν ἀπόφασιν ἥρπασα.

Ὁ Λαὸς λέγει. Κύριε, ἐλέησον

Ὁ Ἱερεὺς λέγει. Σύ μοι, ὦ Δέσποτα, τὴν τιμωρίαν μετέβαλες· ὡς ποιμὴν ἀγαθὸς εἰς πλανώμενον ἔδραμες· ὡς πατὴρ ἀληθινὸς ἐμοὶ τῷ πεπτωκότι συνήλγησας· πᾶσι τοῖς πρὸς ζωὴν φαρμάκοις κατέδησας. Αὐτός μοι προφήτας ἀπέστειλας· δι' ἐμὲ τὸν νοσοῦντα, νόμον εἰς βοήθειαν ἔδωκας. Αὐτός μοι τὰς πρὸς ὑγιείαν ὧ παρανομηθείσας, διηκόνησας· φῶς τοῖς πλανωμένοις ἀνέτειλας· τοῖς ἀγνοοῦσι, ὁ ἀεὶ παρὼν ἐπεδήμησας· ἐπὶ τὴν παρθενικὴν ἦλθες νηδύν. Ὁ ἀχώρητος Θεὸς ὤν, οὐχ ἁρπαγμὸν ἡγήσω τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσας μορφὴν δούλου λαβών· τὴν ἐμὴν ἐν σοὶ φύσιν ηὐλόγησας· ὑπὲρ ἐμοῦ τὸν νόμον ἐπλήρωσας, τοῦ πτώματός μου τὴν ἀνάστασιν ὑπηγόρευσας. Ἔδωκας τοῖς ὑπὸ τοῦ ᾅδου κρατουμένοις τὴν ἄφεσιν· τοῦ νόμου τὴν ἀρὰν ἀπεσόβησας· ἐν σαρκὶ τὴν ἁμαρτίαν κατήργησας· τῆς σῆς ἐξουσίας μοι τὴν δυναστείαν ἐγνώρισας· τυφλοῖς τὸ βλέπειν ἀπέδωκας· νεκροὺς ἐκ τάφων ἀνέστησας· ῥήματι τὴν φύσιν ἀνώρθωσας· τῆς σῆς εὐσπλαγχνίας μοι τὴν οἰκονομίαν ὑπέδειξας· τῶν πονηρῶν τὴν βίαν ὑπένεγκας· τὸν νῶτόν σου δέδωκας εἰς μάστιγας· τὰς δὲ σιαγόνας σου ὑπέθηκας εἰς ῥαπίσματα· οὐκ ἀπέστρεψας δι' ἐμὲ τὸ πρόσωπόν σου ἀπὸ αἰσχύνης ἐμπτυσμάτων.

Ὁ Λαὸς λέγει. Κύριε, ἐλέησον.

Ὁ Ἱερεὺς λέγει. Ὡς πρόβατον ἐπὶ σφαγὴν ἦλθες, μέχρι σταυροῦ τὴν ἐμὴν κηδεμονίαν ὑπέδειξας· τῷ σῷ τάφῳ τὴν ἐμὴν ἁμαρτίαν ἐνέκρωσας· εἰς οὐρανὸν τὴν ἐμὴν ἀπαρχὴν ἀνεβίβασας· τῆς σῆς ἀφίξεώς μοι τὴν παρουσίαν ἐμήνυσας, ἐν ᾗ μέλλεις ἔρχεσθαι κρῖναι ζῶντας καὶ νεκρούς, καὶ ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.

Ὁ Λαὸς λέγει. Κατὰ τὸ ἔλεός σου Κύριε.

A explicabilis est tuæ sapientiæ potentia. Nullus sermo dimetietur benignitatis tuæ erga homines pelagus. Fecisti me hominem, tanquam erga humanum genus benignus, non quod servitio meo indigeres, cum ego potius tuo opus haberem dominio. Me cum non essem, misericordia tua produxisti, cœlum mihi quasi tectum constituisti: terram ut in ea ambularem stabilivisti: propter me mare frenasti; propter me naturam animalium creasti; omnia subjecisti sub pedibus meis, neque benignitatis erga me tuæ quidquam omisisti.

Populus. Kyrie, eleison.

Sacerdos. Tu formasti me et posuisti super me manum tuam, potestatis tuæ in me imaginem de-
B scripsisti: rationis donum indidisti: paradisum mihi ad oblectamentum meum aperuisti: cogitationis tuæ doctrinam tradidisti: arborem mihi, lignum vitæ ostendisti, et mortis stimulum significasti, unius plantæ fruitionem mihi prohibuisti, ex ea sola dixisti ne comederem: comedi, legem insuper habui, et ex animi sententia præceptum neglexi; ego autem sententiam mortis rapui.

Populus. Kyrie, eleison.

Sacerdos. Tu mihi, Domine, pœnam transtulisti: tu velut pastor bonus, ad errantem cucurristi; tanquam pater verus, mihi, cum cecidissem, condoluisti, omnibusque ad vitam remediis confovisti. Ipse ad me prophetas misisti; propter me ægrotan-
C tem, legem ad auxilium dedisti: ipse mihi ad sanandum ea in quibus prævaricatus eram, quæ opus erant administrasti: errantibus lumen exortus es: ignorantibus tu semper præsens advenisti, et in virginalem uterum venisti. Incircumscriptus Deus exsistens, non rapinam arbitratus es esse æqualem Deo, sed temetipsum exinanivisti formam servi accipiens: meam in te naturam benedixisti: mei causa legem implevisti: quomodo a lapsu meo surgerem, suggessisti. Illis quos infernus detinebat, remissionem dedisti, legisque maledictionem abstulisti. In carne peccatum destruxisti; potestatis tuæ auctoritatem mihi demonstrasti: cæcis visum restituisti: mortuos ex sepulcris excitasti: verbo
D solo naturam suscitasti: clementiæ tuæ dispensationem mihi ostendisti: malignorum violentiam sustinuisti: dorsum tuum ad flagella dedisti; maxillas quoque alapis, nec avertisti propter me faciem tuam ab ignominia sputorum

Populus. Kyrie, eleison.

Sacerdos. Tanquam ovis ad immolationem venisti, usque ad crucem mei curam ostendisti; tuo sepulcro meum peccatum interemisti: in cœlum primitias meas elevasti: adventus tui præsentiam mihi significasti, in quo venturus es judicare vivos et mortuos, et reddere unicuique secundum opera ejus

Populus. Secundum misericordiam tuam, Domine.

Sacerdos. Istius meæ libertatis offero tibi symbola, et verbis tuis res effectas ascribo. Tu mihi mysticam hanc tradidisti carnis tuæ, in pane et vino participationem. A

Populus. Credimus.

Sacerdos. Ea enim nocte qua ipse tradidisti te ipsum ex propria potestate.

Populus. Credimus.

Sacerdos. Accipiens panem in sanctas immaculatas et intaminatas manus tuas innuisti sursum ad proprium tuum Patrem, Deum nostrum et Deum omnium. Gratias egisti † benedixisti † sanctificasti † fregisti, dedisti sanctis tuis discipulis et apostolis, dixistique : Accipite, edite, hoc est corpus meum quod pro vobis et pro multis frangitur, B et datur in remissionem peccatorum, hoc facite in meam commemorationem. Similiter postquam cœnatum est, accepisti calicem, et miscuisti illum ex genimine vitis et aqua, gratias egisti † benedixisti † sanctificasti, † dedisti sanctis tuis discipulis et apostolis, et dixisti : Bibite ex eo omnes : hic est sanguis meus novi testamenti, qui pro vobis et pro multis effunditur in remissionem peccatorum : hoc facite in meam commemorationem. Quotiescunque enim manducabitis panem hunc, et calicem istum bibetis, mortem meam annuntiabitis, et resurrectionem ascensionemque meam confitebemini donec veniam.

Populus. Amen. *Ter*. Mortem tuam, etc.

C *Sacerdos*. Igitur, Domine, memores tuæ super terram descensionis, et mortis vivificæ, tuæque triduanæ sepulturæ, et ex mortuis resurrectionis, et in cœlos ascensionis, sessionisque ad dexteram Patris, venturique e cœlis, secundi terribilis et gloriosi adventus tui. *Alta voce*. Tua ex tuis donis tibi offerentes, secundum omnia, per omnia, et in omnibus.

Populus. Te laudamus, tibi benedicimus

Diaconus. Inclinate capita Deo cum timore.

Sacerdos inclinatus dicit secreto :

Ipse igitur, Domine, tua voce hæc proposita transmuta (22) : ipse præsens, mysticam hanc liturgiam perfice : ipse nobis tuæ adorationis et cultus D memoriam conserva. Ipse Spiritum tuum sanctum

Ὁ ἱερεὺς λέγει. Ταύτης μου τῆς ἐλευθερίας προσφέρω σοι τὰ σύμβολα, τοῖς ῥήμασί σου ἐπιγράφω τὰ πράγματα. Σύ μοι τὴν μυστικὴν ταύτην παρέδωκας τῆς σῆς σαρκὸς, ἐν ἄρτῳ καὶ οἴνῳ τὴν μέθεξιν.

Ὁ λαὸς λέγει. Πιστεύομεν.

Ὁ ἱερεὺς λέγει. Τῇ γὰρ νυκτὶ ᾗ παρεδίδης αὐτὸς σεαυτὸν, τῆς σεαυτοῦ ἐξουσίας.

Ὁ λαὸς λέγει. Πιστεύομεν

Ὁ ἱερεὺς λέγει. Λαβὼν ἄρτον ἐν ταῖς ἁγίαις καὶ ἀχράντοις καὶ ἀμωμήτοις σου χερσὶν, ἔνευσας ἄνω πρὸς ἴδιόν σου Πατέρα Θεὸν ἡμῶν καὶ Θεὸν τῶν ὅλων· ηὐχαρίστησας † ηὐλόγησας † ἡγίασας † ἔκλασας, μετέδωκας τοῖς ἁγίοις σου μαθηταῖς καὶ ἀποστόλοις εἶπας· Λάβετε, φάγετε· τοῦτό μου ἐστὶν τὸ σῶμα, τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν κλώμενον, καὶ διαδιδόμενον εἰς ἄφεσιν ἁμαρτιῶν· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. Ὡσαύτως μετὰ τὸ δειπνῆσαι, λαβὼν ποτήριον, καὶ ἐκέρασας αὐτὸ ἐκ γεννήματος ἀμπέλου καὶ ἐξ ὕδατος, ηὐχαρίστησας † ηὐλόγησας † ἡγίασας † μετέδωκας τοῖς ἁγίοις σου μαθηταῖς καὶ ἀποστόλοις, εἶπας· Πίετε ἐξ αὐτοῦ πάντες· τοῦτό μου ἐστὶν τὸ αἷμα, τὸ τῆς καινῆς διαθήκης, τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. Ὁσάκις γὰρ ἐσθίετε τὸν ἄρτον τοῦτον, πίνετε δὲ καὶ τὸ ποτήριον τοῦτο, τὸν ἐμὸν θάνατον καταγγέλλετε, καὶ τὴν ἐμὴν ἀνάστασιν ὁμολογεῖτε ἄχρις οὗ ἂν ἔλθω

Ὁ λαὸς λέγει. Ἀμήν. *Γ'*. Τὸν θάνατόν σου, κ.τ.λ.

Ὁ ἱερεὺς λέγει. Ὥστε οὖν, Δέσποτα, μεμνημένοι τῆς ἐπὶ γῆς συγκαταβάσεως, καὶ τοῦ ζωοποιοῦ θανάτου, καὶ τῆς τριημέρου σου ταφῆς, καὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως, καὶ τῆς εἰς οὐρανοὺς ἀνόδου, καὶ τῆς ἐκ δεξιῶν τοῦ Πατρὸς καθέδρας, καὶ τῆς μελλούσης ἀπ' οὐρανῶν δευτέρας καὶ φοβερᾶς, καὶ ἐνδόξου σου παρουσίας. *Ἐκφωνήσει*. Τὰ σὰ ἐκ τῶν σῶν δώρων σοι προσφέροντες, κατὰ πάντα, καὶ διὰ πάντα καὶ ἐν πᾶσιν.

Ὁ λαὸς λέγει. Σὲ αἰνοῦμεν, σὲ εὐλογοῦμεν.

Ὁ διάκονος λέγει. Κλίνατε Θεῷ μετὰ φόβου.

Ὁ ἱερεὺς λέγει ἐν ἑαυτῷ κλίνας·

Αὐτὸς οὖν, Δέσποτα, τῇ σῇ φωνῇ τὰ προκείμενα μεταποίησον· αὐτὸς παρὼν, τὴν μυστικὴν ταύτην λειτουργίαν κατάρτισον· αὐτὸς ἡμῖν τῆς σῆς λατρείας τὴν μνήμην διάσωσον. Αὐτὸς τὸ Πνεῦμά σου

(22) Hujus orationis sententiam explicavimus in notis ad eumdem locum Liturgiæ Copticæ, quæ expressius significat realem Christi in altari præsentiam : de qua controversia moveri nulla potest, cum illa verba παρών, *præsens*, ita explicentur, *qui coram nobis positus es*. De momento consecrationis peractæ non disputant Orientales, ideoque frustra in illorum orationibus significatio quæreretur, reali transmutationi contraria. Invocant Christum, ut mysterium hoc perficiat : non negant idcirco, consecrationem jam factam, cum ejus auctorem et perfectorem, ut præsentem et coram se positum alloquantur. Sed tunc demum perfectum mysterium esse credunt, cum omnia quæ ex instituto Christi, per apostolos tradito observanda sunt, perfecere. Causam transmutationis principem, Christum et Spiritum sanctum agnoscunt : ministerialem, sacerdotem qui verba Christi rite pronuntiat, et ab eo petit, ut mittat Spiritum sanctum, qui omnia consummet atque perficiat. Sed hæc fusius explicata sunt.

Eadem nota dispunximus absurdissimum Claudii Salmasii commentarium in illam periodum invocationis Spiritus sancti, quæ est in Liturgia Coptica. Græca lectio illum ita refellit, ut cum tali interpretatione stare nullatenus queat, atque adeo, si quid obscuritatis foret in Copticis aut Arabicis exemplaribus, discuteretur illa subito. Quæ igitur ad alias invocationis formulas adnotavimus, abunde sufficiunt.

τὸ πανάγιον κατάπεμψον, ἵνα ἐπιφοιτήσαν τῇ ἁγίᾳ καὶ ἀγαθῇ καὶ ἐνδόξῳ αὐτοῦ παρουσίᾳ ἁγιάσῃ καὶ μεταποιήσῃ τὰ προκείμενα, τίμια καὶ ἅγια δῶρα ταῦτα, εἰς αὐτὸ τὸ σῶμα καὶ τὸ αἷμα τῆς ἡμετέρας ἀπολυτρώσεως.

Ὁ λαὸς λέγει. Πρόσχωμεν.

Ὁ διάκονος λέγει. Ἀμήν.

Ὁ ἱερεὺς ἐκφωνήσει. Καὶ ποιήσει τὸν μὲν ἄρτον τοῦτον· γένηται εἰς τὸ ἅγιον σῶμά σου, τοῦ Κυρίου δὲ καὶ Θεοῦ καὶ Σωτῆρος, καὶ Παμβασιλέως ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ εἰς ζωὴν τὴν αἰώνιον τοῖς ἐξ αὐτοῦ μεταλαμβάνουσιν.

Ὁ λαὸς λέγει. Ἀμήν.

Ὁ ἱερεὺς λέγει. Τὸ δὲ ποτήριον τοῦτο, τὸ τίμιόν σου αἷμα, τὸ τῆς καινῆς διαθήκης σου, τοῦ Κυρίου δὲ, καὶ Θεοῦ καὶ Σωτῆρος, καὶ Παμβασιλέως ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ εἰς ζωὴν τὴν αἰώνιον τοῖς ἐξ αὐτοῦ μεταλαμβάνουσιν.

Ὁ λαὸς λέγει. Ἀμήν.

Ὁ ἱερεὺς λέγει καὶ ὁ λαὸς ἀποκρίνεται τὸ, Κύριε ἐλέησον.

Σὲ δυσωποῦμεν, Χριστὲ ὁ Θεὸς ἡμῶν.

Τῆς Ἐκκλησίας σου, Κύριε, τὴν κρηπῖδα κατάπηξον.

Τῆς ἀγάπης ἡμῖν τὴν ὁμόνοιαν ῥίζωσον.

Τῆς πίστεως τὴν ἀλήθειαν αὔξησον.

Τῆς σῆς εὐσεβείας ἡμῖν τὴν ὁδὸν εὐθυτόμησον.

Τοὺς ποιμένας ὀχύρωσον.

Τοὺς ποιμαινομένους ἀσφάλισαι.

Δὸς τῷ κλήρῳ τὴν εὐκοσμίαν.

Τοῖς μοναχοῖς τὴν ἐγκράτειαν.

Τοῖς ἐν παρθενίᾳ τὸ σωφρονεῖν.

Τοῖς ἐν σεμνῷ γάμῳ τὴν εὐζωΐαν.

Τοῖς ἐν μετανοίᾳ τὸ ἔλεος.

Τοῖς πλουτοῦσι τὴν ἀγαθότητα.

Τοῖς πενομένοις τὴν ἐπικουρίαν.

Τοῖς πτωχοῖς τὴν βοήθειαν.

Τοὺς πρεσβύτας περίζωσον.

Τοὺς νέους σωφρόνισον.

Τοὺς ἀπίστους ἐπίστρεψον.

Παῦσον τῆς Ἐκκλησίας τὰ σχίσματα.

Τῶν αἱρέσεων κατάλυσον τὰ φρυάγματα.

Πάντας ἡμᾶς πρὸς τὴν τῆς σῆς εὐσεβείας ὁμόνοιαν σύναψον.

Ὁ λαὸς λέγει. Κύριε ἐλέησον.

Ὁ ἱερεὺς λέγει. Μνήσθητι, Κύριε, τῆς εἰρήνης τῆς ἁγίας, μόνης, καθολικῆς, καὶ ἀποστολικῆς σου Ἐκκλησίας, τῆς ἀπὸ περάτων ἕως περάτων τῆς οἰκουμένης, καὶ τῶν ἐν αὐτῇ ὀρθοδόξων ἐπισκόπων, τῶν ὀρθοτομησάντων τὸν λόγον τῆς ἀληθείας.

Ἐκφωνήσει.

Ἐξαιρέτως τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου ἀρχιερέως ἡμῶν ἀββᾶ Δ'. πάπα καὶ πατριάρχου τῆς μεγαλοπόλεως Ἀλεξανδρείας, καὶ ὑπὲρ τῶν περιόντων ἐπισκόπων, πρεσβυτέρων, διακόνων, ἀναγνωστῶν, ψαλτῶν, ἐξορκιστῶν, μοναζόντων, ἀειπαρθέ-

A mitte, ut adveniens sancta, bona, et gloriosa sua præsentia, sanctificet et transmutet proposita pretiosa, et sancta dona ista, in ipsum corpus et sanguinem nostræ liberationis.

Populus. Attendamus.

Diaconus. Amen.

Sacerdos alta voce. Et faciat, panem quidem istum fieri sanctum corpus tuum Domini Dei et Salvatoris, supremique Regis omnium nostrum Jesu Christi, in remissionem peccatorum, et ad vitam æternam communicantibus ex illo.

Populus. Amen.

Sacerdos. Calicem autem istum, pretiosum tuum B sanguinem novi testamenti tui, Domini, Dei Salvatoris, et supremi Regis omnium nostrum Jesu Christi, in remissionem peccatorum, et ad vitam æternam communicantibus ex illo.

Populus. Amen.

Sacerdos dicit sequentia et populus respondet, Kyrie eleison.

Te obsecramus, Christe Deus noster.

Ecclesiæ tuæ, Domine, fundamentum confirma.

Charitatis nobis concordiam radicitus insere.

Fidei veritatem auge.

Pii tui cultus viam rectam nobis dirige.

C Pastores robora.

Eos qui pascuntur, securos præsta.

Da clero morum honestatem,

Monachis temperantiam,

Illis qui virginitatem servant temperantiam,

Illis qui sunt in honorabili conjugio, bonam vitam,

Illis qui in pœnitentia sunt, misericordiam,

Divitibus bonitatem,

Indigentibus adjutorium,

Pauperibus auxilium.

Senes robore accinge.

Juvenes temperantes effice.

Infideles converte.

Comprime Ecclesiæ schismata.

D Hæreseon fremitus destrue.

Nos omnes ad pii cultus tui concordiam conjunge.

Populus. Kyrie eleison.

Sacerdos. Memento, Domine, pacis sanctæ, unius, catholicæ, et apostolicæ tuæ Ecclesiæ, quæ est a finibus usque ad fines orbis, et eorum qui in illa sunt orthodoxorum episcoporum, qui recte dispensant verbum veritatis.

Elevans vocem.

Præcipue sanctissimi et beatissimi pontificis nostri abba N. papæ et patriarchæ magnæ civitatis Alexandriæ, et pro illis qui superstites sunt, episcopis, presbyteris, diaconis, anagnostis, psaltis, exorcistis, monasticam vitam et perpetuam virgini-

tatem profitentibus, continentibus, viduis, orphanis, laicis, et pro omni plenitudine fidelium sanctæ Dei Ecclesiæ.

Populus. Kyrie eleison.

Sacerdos. Memento, Domine, eorum qui pie regnant (23).

Memento, Domine, eorum qui sunt in palatio, fratrum nostrorum fidelium et orthodoxorum, et totius exercitus.

Memento, Domine, eorum qui offerunt sancta hæc dona, et pro quibus et per quos obtulerunt, mercedemque cœlestem retribue illis omnibus.

Memento, Domine, eorum qui sunt in montibus, speluncis, et cavernis terræ.

Et eorum qui in captivitate sunt, fratrum nostrorum, illisque pacificum reditum ad propria concede.

Diaconus. Orate pro captivis.

Populus. Kyrie eleison.

Tunc inclinat sacerdos caput, dicens secreto.

Memento, Domine, etiam miseræ meæ et infelicis animæ, et humiliationis meæ, et remitte mihi omnia delicta mea et ubi abundavit peccatum, abundantiorem præsta gratiam tuam : neque propter peccata mea et immunditiam cordis mei defraudes populum tuum gratia tui sancti Spiritus.

Attollit caput et dicit alta voce.

Populus enim tuus et Ecclesia tua deprecatur te, et per te atque tecum Patrem dicens.

Populus. Miserere nobis, Deus Salvator noster. *Ter.*

Sacerdos. Miserere nobis, Deus Salvator noster. *Ter.*

Populus. Kyrie eleison. *Ter.*

Sacerdos. Memento, Domine, aeris et fructuum terræ.

Memento, Domine, convenientis ascensionis aquarum fluvialium.

Memento, Domine, imbrium et satorum terræ.

A νων, ἐγκρατῶν, χηρῶν, ὀρφανῶν, λαϊκῶν, καὶ ὑπὲρ παντὸς τοῦ πληρώματος, τῆς ἁγίας τοῦ Θεοῦ Ἐκκλησίας τῶν πιστῶν.

Ὁ λαὸς λέγει. Κύριε ἐλέησον.

Ὁ ἱερεὺς λέγει. Μνήσθητι, Κύριε, τῶν εὐσεβῶς βασιλευσάντων.

Μνήσθητι, Κύριε, τῶν ἐν τῷ παλατίῳ, ἡμῶν ἀδελφῶν πιστῶν, καὶ ὀρθοδόξων, καὶ παντὸς τοῦ στρατοπέδου.

Μνήσθητι, Κύριε, τῶν προσφερόντων τὰ ἅγια δῶρα ταῦτα, καὶ ὑπὲρ ὧν, καὶ δι' ὧν προσεκόμισαν, καὶ μισθὸν οὐράνιον παράσχου πᾶσιν αὐτοῖς.

Μνήσθητι, Κύριε, καὶ τῶν ἐν ὄρεσι, καὶ σπηλαίοις, καὶ ταῖς ὀπαῖς τῆς γῆς.

Καὶ τῶν ἐν αἰχμαλωσίαις ὄντων ἀδελφῶν ἡμῶν,
B καὶ εἰρηνικὰς ἀποκαταστάσεις εἰς τὰ ἴδια χάρισαι.

Ὁ διάκονος λέγει. Προσεύξασθε ὑπὲρ τῶν αἰχμαλώτων.

Ὁ λαὸς λέγει. Κύριε ἐλέησον.

Τότε κλίνει ἱερεὺς τὴν ἑαυτοῦ κεφαλὴν λέγων καθ' ἑαυτὸν ἐν ἑαυτῷ.

Μνήσθητι, Κύριε, καὶ τῆς ἐμῆς ἀθλίας καὶ ταλαιπώρου ψυχῆς, ταπεινώσεώς μου, καὶ συγχώρησόν μοι πάντα τὰ ἐμὰ πλημμελήματα καὶ ὅπου ἐπλεόνασεν ἡ ἁμαρτία, περίσσευσόν σου τὴν χάριν, καὶ μὴ διὰ τὰς ἐμὰς ἁμαρτίας, καὶ τὴν βεβήλωσιν τῆς καρδίας μου, ὑστερήσῃς τὸν λαόν σου τῆς χάριτος τοῦ ἁγίου σου Πνεύματος.

C *Ὑψώσει τὴν κεφαλὴν καὶ ἐκφωνήσει.*

Ὁ γὰρ λαός σου, καὶ ἡ Ἐκκλησία σου ἱκετεύει σε, καὶ διὰ σοῦ καὶ σὺν σοὶ τὸν Πατέρα λέγουσα.

Ὁ λαὸς λέγει. Ἐλέησον ἡμᾶς, ὁ Θεὸς, ὁ Σωτὴρ ἡμῶν. *Γ'.*

Ὁ ἱερεὺς λέγει. Ἐλέησον ἡμᾶς, ὁ Θεὸς, ὁ Σωτὴρ ἡμῶν. *Γ'.*

Ὁ λαὸς λέγει. Κύριε ἐλέησον. *Γ'.*

Ὁ ἱερεὺς λέγει. Μνήσθητι, Κύριε, τοῦ ἀέρος καὶ τῶν καρπῶν τῆς γῆς.

Μνήσθητι, Κύριε, τῆς συμμέτρου ἀναβάσεως τῶν ποταμείων ὑδάτων.

Μνήσθητι, Κύριε, τῶν ὑετῶν καὶ τῶν σπορίμων τῆς γῆς.

(23) Verti posset, *qui pie regnaverunt* ; sed utramque significationem expressit Coptica Liturgia, ut etiam versiones Arabicæ. Qui hac Liturgia, aut aliis Alexandrini ritus utebantur Christiani, ex vetusta consuetudine, et ex Pauli apostoli præcepto, orabant pro imperatoribus et regibus, quorum nullus tunc Christiani nominis hostis non erat. Mox oratum est pro iisdem, postquam Christo nomen dederunt, non quod Christiani essent, sed quod imperatores. Illi vero cum a Constantino usque religionem servassent, vere *pii et Christum amantes* dicebantur, unde hæc formula in codices liturgicos ubique recepta est. Videtur autem ea sola ratione conservata fuisse, quod illam immutari debere nemo crederet, cum id fieri non posset absque regnantis principis contumelia. Itaque hæsit in libris Missalibus, quamvis in aliquibus leviter immutata ; nam in multis, simpliciter oratio fit pro regibus. Nestoriani veterem
D formulam absque mutatione retinuerunt ; ut legitur in Græca ista, nempe dum officio satisfacere videbantur, principes quosdam suæ sectæ Christianos animo designabant, ut Tartaros illos, quorum imperator a Ginghizchano profligatus est, et Indos quosdam in Malabarica regulos. Similiter Jacobitæ Ægyptii de regibus Æthiopiæ et Nubiæ cogitabant, qui erant, ut sunt etiamnum, Alexandrinæ sedi subjecti. De Muhamedanis Califis, Sultanis, aut aliis, verba Liturgiarum non possunt intelligi : nec tamen inde sequitur vetustiores esse Liturgias Muhamedano imperio, ut nunc se habent. Sunt sane institutæ longe ante illa tempora, cum ex Græcis expressæ sint, sed aliquam diversis locis mutationem passas esse negari non potest : at neque designari quidquam quod ad insinuandam realis transmutationis doctrinam pertineat.

Εὔφρανον πάλιν καὶ ἀνακαίνισον τὸ πρόσωπον A τῆς γῆς.

Τοὺς αὔλακας αὐτῆς μέθυσον, πλήθυνον τὰ γεννήματα αὐτῆς· παράστησον ἡμῖν αὐτὰ εἰς σπέρμα, καὶ εἰς θερισμὸν, καὶ νῦν εὐλογῶν εὐλόγησον. Τὴν ζωὴν ἡμῶν οἰκονόμησον. Εὐλόγησον τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου, διὰ τοὺς πτωχοὺς τοῦ λαοῦ σου, διὰ τὴν χήραν, καὶ τὸν ὀρφανὸν, διὰ τὸν ξένον, καὶ τὸν προσήλυτον, καὶ δι' ἡμᾶς πάντας τοὺς ἐλπίζοντας ἐπὶ σοὶ, καὶ ἐπικαλουμένους τὸ ὄνομά σου τὸ ἅγιον. Οἱ γὰρ ὀφθαλμοὶ πάντων εἰς σὲ ἐλπίζουσι, καὶ σὺ δίδως τὴν τροφὴν αὐτῶν ἐν εὐκαιρίᾳ. Ποίησον μεθ' ἡμῶν κατὰ τὴν ἀγαθότητά σου, ὁ διδοὺς τροφὴν πάσῃ σαρκί. Πλήρωσον χαρᾶς καὶ εὐφροσύνης τὰς καρδίας ἡμῶν, ἵνα ἐν πᾶσι, πάντοτε πᾶσαν αὐτάρκειαν ἔχοντες, περισσεύσωμεν εἰς πᾶν ἔργον ἀγαθὸν, τοῦ ποιεῖν τὸ θέλημά σου τὸ ἅγιον. B

Ὁ λαὸς λέγει. Κύριε ἐλέησον.

Ὁ ἱερεὺς λέγει, καὶ ὁ λαὸς ἀποκρίνεται.

Κύριε ἐλέησον.

Χάρισαι τῷ λαῷ σου τὴν ὁμόνοιαν.

Τῷ κόσμῳ τὴν εὐστάθειαν.

Τῷ ἀέρι τὴν εὐκρασίαν.

Τοῖς νοσοῦσι τὴν σωτηρίαν.

Τοῖς δεομένοις τὴν ἀνάψυξιν.

Τοῖς ἐν ἐξορίαις τὴν ἄνεσιν.

Τοῖς ὀρφανοῖς τὴν βοήθειαν.

Ταῖς χήραις τὴν ἀντίληψιν.

Τοῖς θλιβομένοις ἐπάρκησον εἰς ἀγαθόν. C

Τοὺς ἑστῶτας ὀχύρωσον.

Τοὺς πεπτωκότας ἔγειρον.

Τοὺς ἑστηκότας ἀσφάλισαι.

Τῶν κεκοιμημένων μνήσθητι.

Τῶν ἐν ὁμολογίᾳ τὰς πρεσβείας πρόσδεξαι.

Τοὺς ἡμαρτηκότας καὶ μετανοήσαντας, συναρίθμησον μετὰ τῶν πιστῶν σου.

Τοὺς πιστοὺς συναρίθμησον μετὰ μαρτύρων σου.

Μιμητὰς τοὺς παρόντας ἐν τῷ τόπῳ τούτῳ τῶν ἀγγέλων κατάστησον.

Καὶ ἡμᾶς τῇ σῇ χάριτι πρὸς τὴν σὴν κεκλημένους διακονίαν ἀναξίους ὄντας ὑπόδεξαι.

Ὁ λαὸς λέγει. Κύριε ἐλέησον. D

Ὁ ἱερεὺς λέγει. Μνήσθητι, Κύριε, καὶ τῆς πόλεως ἡμῶν ταύτης, καὶ τῶν ἐν ὀρθοδόξῳ πίστει οἰκούντων ἐν αὐτῇ, καὶ πάσης πόλεως καὶ χώρας σὺν παντὶ τῷ κόσμῳ αὐτῶν. Καὶ ῥῦσαι ἡμᾶς ἀπὸ λιμοῦ καὶ λοιμοῦ, σεισμοῦ καὶ καταποντισμοῦ (1) πυρὸς, καὶ ἀπὸ αἰχμαλωσίας βαρβάρων, καὶ ἀπὸ τῶν ἀλλοτρίων μαχαιρῶν, καὶ ἐπαναστάσεως ἐχθρῶν τε καὶ αἱρετικῶν.

Ὁ λαὸς λέγει. Κύριε ἐλέησον.

Ὁ ἱερεὺς λέγει. Μνήσθητι, Κύριε, τῶν προλαβόντων ὁσίων Πατέρων ἡμῶν ὀρθοδόξων ἐπισκόπων, καὶ πάντων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων, ἁγίων Πατέρων, πατριαρχῶν, ἀποστόλων, προφητῶν, κηρύκων, εὐαγγελιστῶν, μαρτύρων, ὁμολογητῶν,

Lætifica etiam et renova faciem terræ.'

Sulcos ejus inebria, multiplica genimina ejus: præbe nobis illa ad semen et ad messem, et nunc benedicens benedicito. Vitam nostram rege: benedic coronæ anni benignitatis tuæ, propter pauperes populi tui, propter viduam et orphanum, propter hospitem et advenam, et propter nos omnes sperantes in te, et invocantes nomen tuum sanctum. Oculi enim omnium in te sperant, et tu das escam illorum in tempore opportuno. Fac nobiscum secundum bonitatem tuam, qui das escam omni carni. Imple gaudio et lætitia corda nostra, ut in omnibus semper omnem sufficientiam habentes, abundemus in omne opus bonum, ad faciendam voluntatem tuam sanctam.

Populus. Kyrie eleison.

Sacerdos dicit et populus respondet.

Kyrie eleison.

Concede populo tuo concordiam,

Mundo præclarum statum,

Aeri temperiem,

Ægrotantibus salutem,

Indigentibus refrigerium,

Illis qui in exsiliis sunt, quietem,

Orphanis auxilium,

Viduis protectionem.

Angustiatis subministra quantum opus est, ut bene sint.

Stantes confirma.

Eos qui ceciderunt erige.

Securos præsta eos qui stant.

Mortuorum reminiscere.

Eorum qui in confessione sunt, intercessiones suscipe.

Eos qui peccaverunt, et egerunt pœnitentiam, annumera cum fidelibus tuis.

Fideles annumera cum martyribus tuis.

Eos qui in hoc loco præsentes sunt, imitatores angelorum constitue.

Et nos gratia tua ad tuum vocatos ministerium indignos licet suscipe.

Populus. Kyrie eleison.

Sacerdos. Memento, Domine, et urbis nostræ hujus et habitantium in ea in orthodoxa fide, omnis quoque urbis et regionis, cum omni populo ejus: et libera nos a fame et peste, a terræ motu, a submersione, ab igne, a captivitate barbarorum, a gladiis alienis, ab insultu hostium et hæreticorum.

Populus. Kyrie eleison.

Sacerdos. Memento, Domine, eorum qui dudum obierunt sanctorum Patrum nostrorum; orthodoxorum episcoporum, et omnium qui a sæculo tibi placuerunt sanctorum Patrum, patriarcharum, apostolorum, prophetarum, prædicatorum, evangeli-

(1) Legit interpres: καταποντισμοῦ, πυρός, virgula interposita. Edit.

starum, martyrum, confessorum, omnisque spiritus justi, in fide Christi consummati.

Alta voce.

Præcipue sanctissimæ, gloriosissimæ, immaculatæ, et benedictionibus cumulatæ, dominæ nostræ Deiparæ et semper virginis Mariæ.

Sancti gloriosi, prophetæ, præcursoris, baptistæ, et martyris Joannis.

Sancti Stephani primi diaconi et primi martyris.

Et sancti et beati Patris nostri Marci, apostoli et evangelistæ.

Et sancti Patris nostri Gregorii.

Eorumque quorum hodie memoriam facimus, et omnis chori sanctorum tuorum, quorum precibus et intercessionibus miserere nostri, et salva nos, propter nomen tuum sanctum, quod invocatum est super nos.

Diaconus recitat Diptycha.

Sacerdos dicit secreto.

Memento, Domine, eorum qui pridem obdormierunt, in orthodoxa fide, patrum et fratrum nostrorum, et fac animas eorum quiescere, cum sanctis et justis. Deduc eos et congrega in locum herbidum, super aquam refectionis, in paradiso voluptatis, et cum illis quorum nomina recitavimus.

Tunc commemorationem facit vivorum et mortuorum, et post Diptycha sacerdos dicit.

Memento, Domine, eorum quorum meminimus, et quorum non meminimus fidelium et orthodoxorum, cum quibus et nobis cum ipsis, tanquam bonus et benignus erga homines Deus.

Populus. Remitte, parce, condona.

Sacerdos. Tu enim es Deus noster, misericors, nolens mortem peccatoris, sed potius ut convertatur et vivat. Deus, visita nos in salutari tuo, fac nobiscum secundum mansuetudinem tuam, qui facis longe plura quam petimus, aut cogitamus, ut in hoc, sicut et in omnibus, glorificetur et exaltetur, laudetur et benedicatur, et sanctificetur sanctum, honorandum et benedictum nomen tuum, cum immaculato tuo Patre et sancto Spiritu.

Populus. Sicut erat, est, et erit.

Diaconus. Descendite, diaconi.

Sacerdos. Pax omnibus.

Populus. Et cum spiritu tuo.

Proœmium fractionis (24).

Sacerdos. Jesu Christe, nomen salutare, qui di-

καὶ παντὸς πνεύματος δικαίου, ἐν πίστει Χριστοῦ τετελειωμένου.

Ἐκφωνήσει.

Ἐξαιρέτως τῆς παναγίας ὑπερενδόξου, ἀχράντου, ὑπερευλογημένης δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.

Τοῦ ἁγίου ἐνδόξου προφήτου, προδρόμου, βαπτιστοῦ, καὶ μάρτυρος Ἰωάννου.

Τοῦ ἁγίου Στεφάνου τοῦ πρωτοδιακόνου καὶ πρωτομάρτυρος.

Καὶ τοῦ ἁγίου καὶ μακαρίου Πατρὸς ἡμῶν Μάρκου, τοῦ ἀποστόλου καὶ εὐαγγελιστοῦ.

Καὶ τοῦ ἐν ἁγίοις Πατρὸς Γρηγορίου.

Καὶ ὧν ἐν τῇ σήμερον ἡμέρᾳ τὴν ὑπόμνησιν ποιούμεθα, καὶ παντὸς χοροῦ τῶν ἁγίων σου, ὧν ταῖς εὐχαῖς καὶ πρεσβείαις, καὶ ἡμᾶς ἐλέησον, καὶ σῶσον διὰ τὸ ὄνομά σου τὸ ἅγιον, τὸ ἐπικληθὲν ἐφ' ἡμᾶς.

Ὁ διάκονος λέγει τὰ Δίπτυχα.

Ὁ ἱερεὺς λέγει ἐν ἑαυτῷ.

Μνήσθητι, Κύριε, τῶν προκεκοιμημένων ἐν τῇ ὀρθοδόξῳ πίστει πατέρων ἡμῶν καὶ ἀδελφῶν, καὶ ἀνάπαυσον τὰς ψυχὰς αὐτῶν μετὰ ὁσίων, μετὰ δικαίων. Ἔχθρεψον, σύναψον εἰς τόπον χλόης, ἐπὶ ὕδατος ἀναπαύσεως, ἐν παραδείσῳ τρυφῆς, καὶ μετὰ τούτων ὧν εἴπομεν τὰ ὀνόματα αὐτῶν.

Τότε μνημονεύει ζώντων καὶ νεκρῶν, καὶ μετὰ δίπτυχα ὁ ἱερεὺς λέγει.

Μνήσθητι, Κύριε, ὧν ἐμνήσθημεν, καὶ ὧν οὐκ ἐμνήσθημεν, πιστῶν καὶ ὀρθοδόξων, μεθ' ὧν καὶ ἡμῖν σὺν αὐτοῖς ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Θεός.

Ὁ λαὸς λέγει. Ἄνες, ἄφες, συγχώρησον.

Ὁ ἱερεὺς λέγει. Σὺ γὰρ εἶ ὁ Θεὸς ἡμῶν, ἐλεήμων, ὁ μὴ βουλόμενος τὸν θάνατον τοῦ ἁμαρτωλοῦ ὡς τοῦ ἐπιστρέψαι καὶ ζῆν αὐτόν. Ὁ Θεὸς, ἐπίσκεψον ἡμᾶς ἐν τῷ σωτηρίῳ σου· ποίησον μεθ' ἡμῶν κατὰ τὴν ἐπιείκειάν σου, ὁ ποιῶν ὑπὲρ ἐκ περισσοῦ ὧν αἰτούμεθα, ἢ νοοῦμεν· ἵνα σου καὶ ἐν τούτῳ καθὼς καὶ ἐν παντὶ δοξασθῇ καὶ ὑψωθῇ καὶ ὑμνηθῇ, καὶ εὐλογηθῇ καὶ ἁγιασθῇ τὸ πανάγιον καὶ ἔντιμον, καὶ εὐλογημένον σου ὄνομα, ἅμα τῷ ἀχράντῳ σου Πατρὶ καὶ ἁγίῳ Πνεύματι.

Ὁ λαὸς λέγει. Ὡς ἦν, καὶ ἔστι, καὶ ἔσται.

Ὁ διάκονος λέγει. Κατέλθετε, οἱ διάκονοι.

Ὁ ἱερεὺς λέγει. Εἰρήνη πᾶσιν.

Ὁ λαὸς λέγει. Καὶ τῷ πνεύματί σου.

Προοίμιον τῆς κλάσεως.

Ὁ ἱερεὺς λέγει. Ἰησοῦ Χριστὲ, τὸ σωτήριον

(24) Hæc oratio non habetur in Copticis exemplaribus. Continet autem brevem et distinctam theologiæ Orientalis explicationem, istis verbis : *qui sacerdotes quidem in ordine ministrorum constituisti, per invisibilem autem tuam potestatem, ea transmutasti*, vel ad verbum *transelementasti*. Concilium Romanum anno 1079 in causa Berengarii ait (Tom. X *Concil.*, ed. Paris, p. 378) : *Panem et vinum per sacræ orationis verba et sacerdotis consecrationem Spiritu sancto invisibiliter operante converti substantialiter in corpus Dominicum, natum de Virgine.* Remigius (*In I Cor.* c. x) : *Panis quem frangimus, utique primum consecratur a sacerdotibus et a Spiritu sancto.* Ascelinus ep. 2 ad Berengarium (Tom. IX *Concil.*, p. 1058) : *Panem*, ait, *et vinum in altari, Spiritus sancti virtute per sacerdotis ministerium, verum corpus verumque sanguinem Christi effici :* quæ testimonia ex multis aliis selecta, variis ex Ambrosiano, Gothico, Mosarabico aliisque auctoritatibus confirmantur : tantum abest, ut quisquam olim existima-

A ὄνομα, ὁ τὰ θεῖα καὶ ἄχραντα καὶ ἐπουράνια ταῦτα μυστήρια διατυπώσας· ὁ τοὺς μὲν ἱερεῖς ἐν τάξει ὑπηρετῶν στήσας· διὰ δὲ τῆς ἀοράτου σου δυνάμεως αὐτὰ μεταστοιχειώσας. Ὁ τοῖς καθαροῖς τῇ καρδίᾳ ἐπιφαινόμενος, καὶ τοῖς γνησίως προσιοῦσι διὰ σεαυτοῦ * παρέχοντος.

Ὁ τότε εὐλογήσας, καὶ νῦν εὐλόγησον.

Ὁ τότε ἁγιάσας, καὶ νῦν ἁγίασον.

Ὁ τότε κλάσας, καὶ νῦν διάθρεψον.

Ὁ τότε διαδοὺς τοῖς ἑαυτοῦ μαθηταῖς καὶ ἀποστόλοις, καὶ νῦν, Δέσποτα, διάδος ἡμῖν καὶ παντὶ τῷ λαῷ σου, φιλάνθρωπε, παντόκρατορ, Κύριε ὁ Θεὸς ἡμῶν.

Ὁ διάκονος λέγει. Προσεύξασθε.

Ὁ λαὸς λέγει. Κύριε ἐλέησον.

Ὁ ἱερεὺς λέγει. Εἰρήνη πᾶσιν.

B *Ὁ λαὸς λέγει.* Καὶ τῷ πνεύματί σου.

Εὐχὴ τῆς κλάσεως.

Ὁ ὤν, ὁ ἦν, ὁ ἐλθών, καὶ πάλιν ἐρχόμενος· ὁ ἐν δεξιᾷ τοῦ Πατρὸς καθήμενος· ὁ ἄρτος, ὁ καταβὰς ἐκ τοῦ οὐρανοῦ, καὶ ζωὴν διδοὺς τῷ κόσμῳ· ὁ μέγας ἀρχιερεύς, ὁ ἀρχηγὸς τῆς σωτηρίας ἡμῶν· τὸ φῶς ἀληθινὸν τὸ πρὸ πάντων αἰώνων. Ὃς ὢν ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ τοῦ ἰδίου σου Πατρός· ὁ εὐδοκήσας καὶ καταξιώσας κατελθεῖν ἐκ τῶν ὑψωμάτων τοῦ οὐρανοῦ, ἐκ κόλπων τοῦ ἀπροσίτου φωτός, καὶ ἀληθινοῦ καὶ ἀοράτου μόνου Πατρός. Σαρκωθεὶς δὲ ἐκ Πνεύματος ἁγίου, καὶ ἐκ τῆς πανενδόξου, ἀχράντου, ἁγίας δεσποίνης ἡμῶν Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας, καὶ τελέως ἐνανθρωπήσας· καὶ κατὰ μετάστασιν, τὴν ἀνθρωπότητα ἀναλλοιώσας· ἑνώσας ἑαυτῷ καθ' ὑπόστασιν, C ἀφράστως καὶ ἀπερινοήτως, ἀτρέπτως δὲ καὶ ἀσυγχύτως, ψυχὴν ἔχουσαν λογικήν τε καὶ νοεράν, οὕτως προῆλθες ἐξ αὐτῆς θεανθρωπωθείς· ὁμοούσιος Πατρὶ κατὰ τὴν θεότητα, καὶ ὁμοούσιος ἡμῖν κατὰ τὴν ἀνθρωπότητα. Οὐ δύο πρόσωπα οὖν, οὐδὲ δύο μορφὰς ἤγουν, οὐδὲ ἐν δυσὶ φύσεσι γνωριζόμενος, ἀλλ' εἷς Θεός, εἷς Κύριος, μία οὐσία, μία βασιλεία, μία δεσποτεία, μία ἐνέρ-

vina, immaculata, et cœlestia hæc mysteria designasti: qui sacerdotes quidem in ordine ministrorum constituisti, per invisibilem autem tuam potentiam ea transformasti: qui mundis corde exhiberis et illis qui sincere accedunt, per te ipsum ea præbes.

Qui tunc benedixisti, etiam nunc benedic.

Qui tunc sanctificasti, etiam nunc sanctifica.

Qui tunc fregisti, etiam nunc frange.

Qui tunc dedisti discipulis et apostolis tuis, etiam nunc, Domine, da nobis et omni populo tuo, benigne, omnipotens, Domine Deus noster.

Diaconus. Orate.

Populus. Kyrie eleison.

Sacerdos. Pax omnibus.

Populus. Et cum spiritu tuo.

Oratio fractionis (25).

Qui es, qui eras, qui venisti, et iterum venturus es, qui ad dexteram Patris sedes: panis qui de cœlo descendisti et das vitam mundo: Pontifex magnus, auctor et princeps salutis nostræ. Lux vera exsistens ante omnia sæcula: qui es splendor gloriæ et character substantiæ Patris proprii tui: qui per beneplacitum tuum dignatus es descendere de excelsis cœli, ex sinu luminis inaccessibilis, et veri, invisibilisque solius Patris. Quique incarnatus de Spiritu sancto, et ex gloriosissima, immaculata, sancta, domina nostra, Deipara et semper virgine Maria, perfecte homo factus es: non per transmutationem, humanitatem mutans, sed uniens tibi eam secundum hypostasin, modo inexplicabili, et inintelligibili, sed absque mutatione et confusione, animam habentem rationalem et intellectu præditam. Ita ex ea processisti, Deus homo factus, consubstantialis Patri secundum divinitatem, et consubstantialis nobis secundum humanitatem. Non duas personas, aut duas formas habens, neque in duabus naturis agnitus: sed unus Deus, unus Dominus: una substantia, unum regnum, una dominatio,

verit detrimentum inferri sacro sacerdotum ministerio, si Christo et Spiritui sancto ut causæ principi, consecratio tribuatur. In ultima parte, ut in multis aliis, erratum est a librario, qui scripsit διὰ σεαυτοῦ παρέχοντος, cum manifeste παρέχων legi debeat. Hoc loco deficit versio Arabica.

(25) Neque illa exstat in Copticis codicibus: sed quamvis isti alios antiquitate non superent, hæc tamen oratio ob perspicuam Jacobiticæ doctrinæ expositionem, Chalcedonensi concilio vetustior esse non potest, cum unius naturæ in Christo confessionem contineat, sed absque confusione, aut alteratione. Quod sequitur, agnoscere Jacobitas Christum esse *consubstantialem Patri secundum divinitatem: consubstantialem nobis secundum humanitatem*, etsi mirum illis videri possit, qui illorum opinionem non novere, nisi ex vulgatis auctoribus, verissimum tamen est. Quæ enim in hac oratione leguntur reperimus in Coptico Euchologio Bibliothecæ Regiæ, ubi inter *Theotokia*, seu preces ad Deiparam, hæc occurrunt: *Verbum factum est homo, absque divisione, unus ex duobus, divinitate pura absque corruptione, æqualis*, sive, *consubstantialis Patri: humanitate indivisa, consubstantialis nobis*. Reliqua totidem verbis exprimuntur in hymno ad Christum. Plura de illorum opinione circa Incarnationem reperiuntur in Historia patriarchali (*Hist. Patr. Alex.*, p. 305, 361, 365, 471 et 582), et de illa dicendum erit alibi fusius. Sed hæc oratio accurate illam explicat, D magnamque habere debet auctoritatem: cum variis fidei confessionibus, theologorumque sententiis accurate respondeat.

Orationes fractionis aliæ quæ sequuntur, ea præsertim quæ occurrit ultimo loco, cum exstent in Copticis exemplaribus, jam explicatæ sunt in notis ad Gregorianam illa lingua Liturgiam. Ex utriusque porro codicis comparatione, si quæ erat in alterutro obscuritas, plene discutitur, et veræ, non metaphoricæ transmutationis fides quam continent, egregie confirmatur tribus diversis linguis, Græca, Ægyptiaca, et Arabica. Ista vero ultima lingua, cum plures versiones habeamus, crescit majorem in modum testium veteris fidei numerus, inter quos nullus, aut interpretando, litteralem et simplicem significationem, ad figuratas locutiones avertit, aut per observationem adjunctam, ut aliter quam verba sonant intelligerentur, admonuit.

A una operatio, una hypostasis, una voluntas, una natura Dei Verbi incarnata et adorata. Crucifixus autem sub Pontio Pilato, confessusque præclaram confessionem : passus et sepultus resurrexisti tertia die, et ascendens in cœlum, consedisti ad dexteram magnitudinis Patris, conculcasti mortem, infernum spoliasti, confringens portas æreas, et vectes ferreos rupisti, captivum Adamum revocasti ex corruptione, nosque liberasti a diaboli servitute.

Idcirco rogamus et imploramus te, benigne, bone, præstare nobis dignare, ut puro corde audeamus absque timore, invocare omnium Dominum cœlestem Deum, Patrem sanctum, et dicere, etc.

B *Oratio alia fractionis* (26).

Tu enim es Verbum Patris, ante sæcula Deus, magnus Pontifex, qui pro salute generis humani incarnatus, et homo factus es, advocasti ad te ex omnibus gentibus genus electum, regale sacerdotium, gentem sanctam, populum in acquisitionem. Idcirco rogamus et imploramus te, benigne, bone Domine, ne in reprehensionem et confusionem, non in judicium et condemnationem peccatorum nostrorum, fiat hoc sacrificium, quod pro infirmitatibus nostris obtulimus, sed quemadmodum sanctissima tua hæc et pretiosa munera omni sanctitate replere dignatus es, per illapsum sanctissimi tui Spiritus super illa, ita et nostrum peccatorum, servorum tuorum sanctificare dignare animas, corpora, C spiritus, et conscientias, ut anima illuminata, facie non confusa, corde puro, conscientia hypocrisis vacua, labiis sanctificatis, charitate perfecta, fide secura, audeamus cum fiducia, absque timore, dicere sanctam orationem quam tradidisti sanctis tuis discipulis, et sacris apostolis, dicendo : Quando orabitis, in hunc modum orate : *Pater noster*, etc.

Populus. Sanctificetur, etc.

Oratio alia fractionis.

Benedictus es, Christe Deus omnipotens liberator Ecclesiæ tuæ : o Verbum quod cogitatione assequuntur, et homo quem intuentur. Qui per incomprehensibilem incarnationem tuam, præparasti nobis D panem cœlestem, hoc corpus tuum quod constituisti in sacramento, sanctissimum in omnibus. Miscuisti nobis calicem ex vite vera, divino scilicet atque immaculato latere tuo. Qui postquam tradidisses spiritum, ex eodem latere effudisti sanguinem et aquam, in quibus sanctificatio esset universo mundo. Posside nos, bone Domine, indignos servos tuos: fac nos populum acquisitionis, regale sacerdotium, gentem sanctam. Sanctifica etiam nos, Deus, sicut sanctificasti proposita hæc sancta munera, et fecisti ea invisibilia ex visibilibus, mysteria quæ solus intelligis, Domine Deus et Salvator noster

γεια, μία ὑπόστασις, μία θέλησις, μία φύσις τοῦ Θεοῦ Λόγου σεσαρκωμένη, καὶ προσκυνουμένη. Σταυρωθεὶς δὲ ὑπὸ Ποντίου Πιλάτου, καὶ ὁμολογήσας τὴν καλὴν ὁμολογίαν· παθὼν καὶ ταφεὶς καὶ ἀναστὰς τῇ τρίτῃ ἡμέρᾳ, καὶ ἀνελθὼν εἰς οὐρανοὺς, καὶ καθίσας ἐν τῇ δεξιᾷ τῆς μεγαλωσύνης τοῦ Πατρὸς, πατήσας τὸν θάνατον, καὶ τὸν ᾅδην σκυλεύσας, συντρίψας πύλας χαλκᾶς, καὶ μοχλοὺς σιδηροῦς συνθλάσας, καὶ τὸν αἰχμάλωτον Ἀδὰμ ἀνακαλεσάμενος ἐκ φθορᾶς, καὶ ἡμᾶς ἐλευθερώσας ἐκ τῆς τοῦ διαβόλου δουλείας.

Δι' ὃ δεόμεθα καὶ παρακαλοῦμέν σε, φιλάνθρωπε, ἀγαθὲ, καταξίωσον ἡμᾶς ἐν καθαρᾷ καρδίᾳ τολμᾷν ἀφόβως ἐπιβοᾶσθαι τὸν πάντων δεσπότην ἐπουράνιον Θεὸν, Πατέρα ἅγιον, καὶ λέγειν, κ. τ. λ.

Εὐχὴ ἄλλη τῆς κλάσεως.

Σὺ γὰρ εἶ ὁ Λόγος τοῦ Πατρὸς, ὁ προαιώνιος Θεὸς, ὁ μέγας Ἀρχιερεὺς, ὁ ἐπὶ σωτηρίας τοῦ γένους τῶν ἀνθρώπων σαρκωθεὶς καὶ ἐνανθρωπήσας, καὶ προσκαλεσάμενος ἑαυτῷ ἐκ πάντων τῶν ἐθνῶν γένος ἐκλεκτὸν, βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον, λαὸν εἰς περιποίησιν. Δι' ὃ δεόμεθα, καὶ παρακαλοῦμέν σε, φιλάνθρωπε, ἀγαθὲ Κύριε, μὴ εἰς ἔλεγχον καὶ ὄνειδος, μὴ εἰς κρῖμα, μηδὲ εἰς κατάκριμα τῶν ἡμετέρων ἁμαρτιῶν γενηθήτω ἡ θυσία αὐτή· ὑπὲρ γὰρ τῶν ἀσθενειῶν ἡμῶν προσηνέγκαμεν· ἀλλ' ὥσπερ τὰ πανάγιά σου τίμια δῶρα ταῦτα πάσης ἁγιωσύνης ἐμπλῆσαι κατηξίωσας, διὰ τῆς ἐπιφοιτήσεως τοῦ παναγίου σου Πνεύματος ἐπ' αὐτῶν, οὕτως καὶ ἡμῶν τῶν ἁμαρτωλῶν, δούλων σου, ἁγιάσαι καταξίωσον τὰς ψυχὰς, τὰ σώματα, τὰ πνεύματα, τὰς συνειδήσεις, ὅπως πεφωτισμένῃ ψυχῇ, ἀνεπαισχύντῳ προσώπῳ, καρδίᾳ καθαρᾷ, συνειδήσει ἀνυποκρίτῳ, ἡγιασμένοις χείλεσιν, ἀγάπῃ τελείᾳ, ἐλπίδι ἀσφαλεῖ, τολμῶμεν μετὰ παῤῥησίας, ἄνευ φόβου, λέγειν τὴν ἁγίαν προσευχὴν, ἣν μετέδωκας τοῖς ἰδίοις τοῖς ἁγίοις σου μαθηταῖς καὶ ἱεροῖς ἀποστόλοις. Ὅταν προσεύχησθε, οὕτως προσεύχεσθε ὑμεῖς. *Πάτερ ἡμῶν*, κ. τ. λ.

Ὁ Λαὸς λέγει. Ἁγιασθήτω.

Εὐχὴ ἄλλη τῆς κλάσεως.

Εὐλογητὸς εἶ, Χριστὲ ὁ Θεὸς, ὁ παντοκράτωρ, ὁ λυτρωτὴς τῆς ἑαυτοῦ Ἐκκλησίας· ὦ Λόγε, ὃν προνοοῦσιν αὐτὸν, καὶ ἄνθρωπε, ὃν προθεωροῦσιν αὐτόν. Ὁ διὰ τῆς ἀκαταλήπτου αὐτοῦ σαρκώσεως, ἑτοιμάσας ἡμῖν ἄρτον ἐπουράνιον, τοῦτο τὸ σῶμά σου, ὃν ἔθου ἐν μυστήριον· καὶ πανάγιον ἐν τοῖς ἅπασιν. Ἐκέρασας ἡμῖν ποτήριον ἐξ ἀμπέλου ἀληθείας, ἐκ θείας καὶ ἀχράντου σου πλευρᾶς. Ὁ καὶ μετὰ δεδωκέναι τὸ πνεῦμα ἐκχέων ἐξ αὐτῆς αἷμα καὶ ὕδωρ, οἷς ἁγιασμὸς τῷ κόσμῳ παντί. Κτῆσαι ἡμᾶς, ἀγαθὲ Κύριε, τοὺς ἀναξίους δούλους σου· ποίησον ἡμᾶς λαὸν περιούσιον, βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον. Ἁγίασον καὶ ἡμᾶς, ὁ Θεὸς, ὥσπερ ἡγίασας τὰ προκείμενα καὶ ἅγια δῶρα ταῦτα, καὶ ἐποίησας αὐτὰ ἀόρατα ἐκ τῶν ὁρατῶν, μυστήρια ὧν· προνοοῦσιν, αὐτά σοι, Κύριε ὁ Θεὸς, ὁ Σωτὴρ

(26) *Benedictus es, Christe Deus noster.* Cum hæc oratio legatur in Coptico exemplari, multa quæ in ea observatu dignissima sunt, exposuimus in notis ad eumdem locum, quas vide.

ἡμῶν Ἰησοῦς Χριστός. Σὺ οὖν, Κύριε, διὰ τῆς A πολλῆς σου εὐσπλαγχνίας κατηξίωσας ἡμᾶς διὰ τοῦ βαπτίσματος γενέσθαι εἰς υἱοὺς καὶ κληρονόμους. Ἐδίδαξας ἡμᾶς τὸν τύπον τῆς προσευχῆς ὅς ἐστιν ἐμμυστήριος, τοῦ προσεύχεσθαι ἐν αὐτῇ τὸν ἄχραντόν σου Πατέρα. Σὺ οὖν καὶ νῦν, δέσποτα Κύριε, καταξίωσον ἡμᾶς ἐν ἁγιασμένῃ συνειδήσει, καὶ λογισμῷ ἀγαθῷ ὃν πρέπει..... πόθῳ καὶ παῤῥησίᾳ ἀγαθῇ τολμᾷν ἐπικαλεῖσθαι τὸν ἐν τοῖς οὐρανοῖς ἅγιον Θεὸν, Πατέρα σου, καὶ λέγειν.

Ὁ λαὸς λέγει. Πάτερ ἡμῶν. *Καὶ μετὰ τὸ* Πάτερ ἡμῶν *ὁ ἱερεὺς λέγει.*

Ναὶ, Κύριε, Κύριε, ὁ δεδωκὼς ἡμῖν τὴν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν δύναμιν τοῦ ἐχθροῦ, σύντριψον καὶ καθυπόταξον τὰς κεφαλὰς τῶν ἐχθρῶν ἡμῶν ὑπὸ τοὺς πόδας ἐν B τάχει, καὶ πᾶσαν τὴν κακότεχνον αὐτῶν ἐπίνοιαν τὴν καθ' ἡμῶν διασκέδασον, ὅτι σὺ εἶ βασιλεὺς ἡμετέρων πάντων, Χριστὲ ὁ Θεός· καὶ σοὶ τὴν δόξαν καὶ τὴν εὐχαριστείαν καὶ τὴν προσκύνησιν ἀναπέμπομεν, καθ' ἑκάστην ἡμέραν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, κ. τ. λ.

Ὁ διάκονος λέγει. Τὰς κεφαλὰς ὑμῶν.

Εὐχὴ τῆς κεφαλοκλισίας.

Ὁ κλίνας οὐρανοὺς καὶ κατελθὼν ἐπὶ τῆς γῆς, εἰς σωτηρίαν τοῦ γένους τῶν ἀνθρώπων, ὁ τῆς σῆς χάριτος πᾶσαν ἐξαπλώσας τὴν εὐθηνίαν· ὁ ποιῶν πάντα ὑπὲρ ἐκ περισσοῦ, ὧν αἰτούμεθα, ἢ νοοῦμεν· φιλάνθρωπε, ἀγαθὲ, ἔκτεινόν σου τὴν χεῖρα τὴν ἀόρατον, τὴν εὐλογημένην, τὴν μεστὴν ἐλέους καὶ οἰκτιρμῶν, καὶ εὐλογῶν εὐλόγησον τοὺς δούλους σου, C καὶ καθάρισον αὐτοὺς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος· καὶ ποίησον ἡμᾶς μετόχους καὶ συσσώμους γενέσθαι τῇ σῇ χάριτι, ὅπως ἐν ἁγιότητι καὶ δικαιοσύνῃ σοι τὴν ἱκεσίαν προσάγοντες, καὶ σοὶ πρέπει πᾶσα δόξα, μεγαλοσύνη, κράτος τε καὶ ἐξουσία, ἅμα τῷ ἀχράντῳ σου Πατρὶ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, κ. τ. λ.

Εὐχὴ ἄλλη ὁμοίως.

Πρόσχες, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐξ ἁγίου τοῦ κατοικητηρίου σου, καὶ ἀπὸ θρόνου τῆς βασιλείας σου, καὶ ἐλθὲ εἰς τὸ ἁγιάσαι ἡμᾶς τοὺς ἐπικλίναντάς σου. Ὁ ἄνω τῷ πατρὶ συγκαθήμενος, καὶ ὧδε ἡμῖν ἀοράτως συνών· καὶ καταξίωσον τῇ κραταιᾷ σου χειρὶ, μεταδοῦναι ἡμῖν τοῦ ἀχράντου σώ- D ματός σου, καὶ δι' ἡμῶν παντὶ τῷ λαῷ. Σὺ γὰρ εἶ ὁ κλῶν καὶ κλώμενος, καὶ ἄκλαστος· καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ Πατρὶ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, κ. τ. λ.

Jesu Christe. Tu igitur, Domine, per multam tuam misericordiam præstare nobis dignatus es, ut per baptismum efficeremur filii et hæredes. Docuisti nos formam orationis mysticam, qua oraremus immaculatum Patrem tuum. Tu ergo etiam nunc, Dominator Domine, dignos effice nos, ut cum conscientia sanctificata, et mente bona qualis filios decet, cum desiderio, et fiducia bona audeamus invocare, qui in cœlis est sanctum Deum Patrem tuum, et dicere.

Populus. Pater noster, *et posteaquam recitata est Oratio Dominica, sacerdos dicit.*

Ita, Domine : Domine, qui dedisti nobis potestatem calcandi serpentes et scorpios, omnemque potestatem inimici, contere et subjice capita inimicorum nostrorum sub pedibus nostris velociter, omnemque dolosam eorum adversus nos cogitationem dissipa, quoniam tu es Rex omnium nostrum, Christe Deus ; tibique gloriam, et gratiarum actionem et adorationem quotidie offerimus, simulque Patri tuo qui sine principio est, et sancto Spiritui, nunc, etc.

Diaconus. Inclinate capita vestra, etc.

Oratio inclinationis capitis.

Qui inclinans cœlos descendisti in terram, ad salutem humani generis, qui gratiæ tuæ omnem abundantiam explicasti : qui omnia facis abundantius quam petimus et cogitamus : benigne, bone, extende manum tuam invisibilem, benedictam, plenam misericordiæ et miserationum, et benedicens benedic servis tuis, eosque munda ab omni inquinamento carnis et spiritus : et fac nos participes esse et concorporeos tuæ gratiæ, ut in sanctitate et justitia tibi supplicationem offeramus : et te decet omnis gloria, magnitudo, potestas et imperium, cum immaculato tuo Patre et sancto Spiritu, nunc, etc.

Oratio alia similiter dicenda.

Attende, Domine Jesu Christe Deus noster, ex sancto habitaculo tuo, et ex throno gloriæ regni tui, et veni ad sanctificandum nos qui inclinamur coram te. Qui sursum sedes cum Patre, et hic nobiscum invisibiliter ades : dignareque potenti manu tua, participes facere nos immaculati corporis tui et pretiosi sanguinis, et per nos omnem populum. Tu enim es qui frangis et frangeris, quamvis infractus (27), et tibi gloriam referimus cum Patre et sancto Spiritu, nunc, etc.

(27) Sententia hæc, et aliæ similes quæ in Græcorum Orientaliumque libris passim occurrunt, illis qui veram elementorum in corpus et sanguinem Christi transmutationem rejiciunt, venire nunquam possunt in mentem : nec ab illis, quacunque ratione illas torqueant, possunt explicari. Christum scilicet, Orientales in Eucharistia præsentem ita agnoscunt, ut viventem, sacerdotemque secundum ordinem Melchisedech, Pontificem futurorum bonorum, qui sacramentum quod ipse instituit, præsentia sua, et ineffabili operatione Spiritus sancti perficiat. Eo spectant illa quæ superius leguntur : *Qui tunc benedixisti, etiam nunc benedic : qui tunc sanctificasti, etiam nunc sanctifica : qui tunc fregisti, etiam nunc frange : qui tunc dedisti discipulis et apostolis tuis, etiam nunc, Domine, da nobis et omni populo tuo.* Igitur sacerdos antequam eucharisticum panem frangat, quod facere debet, ut Christi exemplum imitetur, eum invocat, ut fractioni præsens sit, eamque sanctificet : eaque ratione, Christus frangit per sacerdotis ministerium, sicut benedicit et sanctificat eodem illius ministerio. Cum vero panis ille

Diaconus. Attendamus Deo cum timore.

Oratio libertatis, seu absolutionis (28).

Pax omnibus.

Agnus Dei, qui tollis peccatum mundi, qui sanguinem tuum maculæ omnis expertem profudisti ad vitam mundi, et in redemptionem permutationemque omnium tradidisti te ipsum, liberans a morte in qua detinebamur, venundati sub peccato. Qui facis voluntatem timentium te, et orationem eorum exaudis salvasque ipsos: qui justum Job exaudivisti eum, mane surgens, offerret sacrificia pro liberis propriis dicens, ne forte cogitaverint filii mei mala in corde suo coram Deo: exaudi me quoque miserabilem peccatorem et inutilem servum tuum, dum deprecor pro famulis tuis, patribus meis et fratribus, et pro me quoque misero. Benigno vultu et oculo sereno respice super nos hac hora, et dimitte nobis omnem iniquitatem omnemque transgressionem, et inobedientiam contra legem et præcepta tua: omnem quoque reatum conscientiæ, omnem

A *Ὁ διάκονος λέγει.* Πρόσχωμεν Θεῷ μετὰ φόβου.

Εὐχὴ τῆς ἐλευθερίας

Εἰρήνη πᾶσιν.

Ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου· τὸ πανάσπιλον αὐτοῦ αἷμα διαχύσας ἐπὶ τὴν τοῦ κόσμου ζωὴν, καὶ εἰς λύτρον καὶ ἀντάλλαγμα πάντων, ἑαυτὸν παρέδωκας, ἐκ θανάτου λυτρωσάμενος, ἐν ᾧ κατειχόμεθα, πεπραμένοι ὑπὸ τὴν ἁμαρτίαν. Ὁ τῶν φοβουμένων αὐτὸν ποιῶν τὸ θέλημα, καὶ τῆς δεήσεως αὐτῶν εἰσακούων, καὶ σώζων αὐτούς. Ὁ τοῦ δικαίου Ἰὼβ εἰσακούσας ἀνιστάμενος τὸ πρωῒ καὶ ὑπὲρ παιδίων φίλτρων θυσίας προσαγαγὼν εἰπὼν, μήπως ἐνενόησαν υἱοί μου πονηρὰ ἐν τῇ καρδίᾳ αὐτῶν ἔναντι Θεοῦ. Καὶ ἐμοῦ τοῦ ἐλεεινοῦ καὶ ἁμαρτωλοῦ, καὶ ἀχρείου σου δούλου,
B ἱκετεύω ὑπὲρ τῶν σῶν οἰκετῶν, πατέρων μου καὶ ἀδελφῶν, καὶ ὑπὲρ τῆς ἐμῆς ἀθλιότητος. Εὐμενεῖ προσώπῳ καὶ γαληνῷ ὄμματι, ἔπιδε ἐφ' ἡμᾶς ἐν ταύτῃ τῇ ὥρᾳ· καὶ πάρες οὖν ἡμῖν πᾶσαν ἀθετηρίαν, καὶ πᾶσαν παράβασιν, καὶ παρακοὴν νόμου

consecratus sit ipsum corpus vivum Christi Domini, dicunt Coptitæ, Christum esse ipsum qui ut Deus, præsens omnipotenti virtute sua, sacramenta per Spiritum sanctum invisibiliter perficiens: per sacerdotem visibiliter operans, frangit, id est, idem facit quod in Eucharistiæ institutione fecerat. Esse quoque ipsum qui frangitur: quia corpus ejus vivum, sub specie panis frangitur, manet tamen ἄκλαστος quia nulli jam passioni est obnoxium, idem corpus. Ita Nestoriani in Liturgiis suis dicunt, *Oblationem vivam et rationalem primitiarum nostrarum, victimamque non immolatam, Deo offerri.* Item, *Agnum Dei qui quotidie sacrificatur sacramentaliter, et vivit in sæcula:* et alia de quibus videndæ notæ ad Theodori Liturgiam. Pari intellectu Græci dixerunt, Christum esse in sacramento eum qui offert, et qui offertur, secuti Gregorium Theologum, qui ita locutus est in *Apologetico*: Ὅτι μηδεὶς ἄξιος τοῦ μεγάλου καὶ Θεοῦ, καὶ θύματος, καὶ ἀρχιερέως, ὅστις μὴ πρότερον ἑαυτὸν παρέστησε τῷ Θεῷ θυσίαν ζῶσαν, ἁγίαν. *Dignum esse neminem magno Deo, hostia et pontifice, qui non prius exhibuerit se Deo hostiam vivam, et sanctam.* Ea occasione turbæ non mediocres excitatæ sunt in Ecclesia Constantinopolitana anno Christi 1156 sub Manuele Comneno (*a*), de quibus Cinnamus l. IV, Nicetas l. VII, et auctores alii fuse scripserunt. Nempe cum Basilius diaconus interpretando Evangelium, publice hanc doctrinam ex pulpito prædicasset, Michael protecdicus Ecclesiæ Constantinopolitanæ, Nicephorus Basilacius, et alii, eam, tanquam hæresin Nestorianam induceret, impugnaverunt, quibus adhæsere Soterichus Panteugenus patriarcha Anthiocenus designatus, Eustathius metropolita Dyrrachii, et alii nonnulli. Synodo habita eodem anno, anathema pronuntiatum in illos est, qui explicatam a Basilio doctrinam impugnarent. Totam istius controversiæ historiam accurate ex Græcis auctoribus explicavit Leo Allatius (*Exercit.* 26, *adv. Creighton.* p. 522 et seq.); tum multa theologorum veterum et recentiorum testimonia collegit, non modo ex libris editis, sed etiam ex manuscriptis. Ea omnia Dositheus patriarcha Hierosolymitanus, transtulit in *Enchiridion* suum (p. 47 et seq.), seu editionem Tractatus quem, titulo *Scuti fidei orthodoxæ*, scripserat, quique synodi Hierosolymitanæ seu Bethleemiticæ, quia in ea probatus et confirmatus fuerat, nomine Lutetiæ olim editus est. Tantum abest porro, ut quod anno 1672 scripserat, synodoque proposuerat, retractaverit, quin potius ea novis et quidem multis argumentis confirmavit. Quod ab Allatio descripsit magnam testimoniorum partem, id eum λατινόφρονα fuisse non probat, cum in odio Romanæ Ecclesiæ consenuisse eum sciant omnes, qui Constantinopoli aut Hierosolymis illum viderunt, et satis demonstret Nectarii, cujus discipulus fuit, liber *adversus primatum Romani pontificis*; cujus operis, auctorem illum
C potius quam editorem fuisse, fama in Oriente fuit. Verum cum illud publicaverit et in Præfatione qua Nectarii vitam breviter complexus est, illum ab inimicitiis quas contra Latinos perpetuo exercuerat, impense laudaverit, non minus quam Meletium Syrigum, cujus refutationem Confessionis Cyrilli Lucaris simul edidit, frustra illius in Latinos propensio quæritur, a qua longissime remotus fuit. Cum vero Allatianam testimoniorum ex Græcis auctoribus collectionem in opus suum transfudit, eadem opera nullam inter Græcos Latinosque de eucharistiæ fide controversiam esse professus est; agnovitque nihil ab Allatio referri, quod Græcis ignotum foret aut improbatum. De eadem controversia videnda etiam quæ scripsit idem Allatius in Præfatione ad *Excerpta varia rhetorum et sophistarum* (*Romæ* 1641), in qua multos et quidem gravissimos Wolphii, dum Nicetam interpretatus est, errores emendat.

(28) Intelligenda est oratio *Absolutionis* quæ
P. 503, C.) F. 24 v. i. *Εὐνομιανοὶ* πρὸς τὴν ἐξ ἀνθρώπων δόξαν ἐπτοημένοι καὶ σοφοί τινες διατοῦτο (6) καὶ ὑπέρογγοι.

P. 503, C. *τὸ σκολιὸν καὶ γριφοειδὲς (7) ἐπεισήγαγεν*) F. 25 r. m. (ad : *γριφοειδές*) τὸ αἰνιγματῶδες καὶ σκοτεινόν.

P. 503. D. *ὅ μοι λέγειν ὁ λόγος ἀπ' ἀρχῆς ὥρμησε (8). τοῦτο δὲ ἦν τί ; (9) τὸ μὴ ληπτὸν εἶναι ἀνθρωπίνῃ διανοίᾳ τὸ Θεῖον, μὴ δ' ὅλον ὅσον ἐστὶ*
A *φαντάζεσθαι.*) F. 25 r. s. μηδ' ὅλον ὅσον ἐστὶ πίπτον (10) εἰς φαντασίαν. F. 25 r. m. οὐκ ἂν ἠρώτησεν, εἰ μὴ πάνυ ἐθάῤῥει ταῖς ἀποδείξεσι. τοιοῦτον γὰρ καθ' *Ἑρμογένην* (11) τὸ σχῆμα τῆς ἐρωτήσεως.

F. 25 r. i. ἡ λογικὴ φύσις δύναται ἀνατείνεσθαι πρὸς Θεὸν καὶ τῆς αὐτοῦ μετέχειν πληρώσεως.

P. 503, E. *μακρὰν γὰρ τῆς θείας φύσεως φθόνος*) F. 25 r. i. τὰ δὲ μεταξὺ αἰτιολογίαν τινὰ ἔχει βραχεῖαν τοῦ μακρὰν τῆς θείας καὶ ἀπαθοῦς φύσεως φθόνον ἀποσκηνοῦν. F. 25 v. s. εἰ γὰρ ἀγαθὸς ὁ Θεός· οὐδεὶς γάρ, φησίν, ἀγαθός, εἰ μὴ εἷς ὁ Θεός· ἀγαθῷ δὲ οὐδεὶς ἐγγίνεται φθόνος, καθά φησι καὶ *Πλάτων* (12), πῶς ἂν εἰκότως διὰ φθόνον τὸν περὶ τὰς λογικὰς φύσεις λέγοιτο ἀποκρύπτειν ἑαυτόν; ὧν δὴ λογικῶν φύσεων καὶ ἡ παραγωγὴ (13) καὶ ὑπό-
B στασις τῆς ἄκρας αὐτοῦ ἦν ἀγαθότητος. Ibid. πῶς ὁ κυριεύων πάντων φθονήσειε τοῖς κυριευομένοις; τί γὰρ τῶν ἀγαθῶν ἔχουσιν, ὃ μὴ ἐκεῖθεν αὐτοῖς χορηγεῖται; πᾶσα γὰρ δόσις ἀγαθὴ ἄνωθεν αὐτοῖς ἐστιν (14).

P. 504, B. *οἱ ἐγγυτέρω Θεοῦ καὶ τῶν ἀνεξιχνιάστων αὐτοῦ κριμάτων ἐπόπται καὶ θεωροί*) F. 25 v. i. ἐπόπτας δὲ καὶ θεωροὺς εἶπεν, ἀπὸ τῆς ἐν ἡμῖν ἀκριβεστέρας αἰσθήσεως τὴν τρανεστέραν (15) κατάληψιν τῶν τοῦ Θεοῦ ἀνεξιχνιάστων ὁδῶν (16)..., κατὰ τὸν μέγαν εἰπεῖν *Ἀπόστολον*, αὐτοῖς χαριζόμενος.

(1) In præcedd. sermo de aientibus et negantibus in Deo.

(2) Scribe : μηδεμιᾶς. Sic B. μὴ δὲ μιᾶς in verbis Gregorii Or. XX, p. 380, A. ubi Edd. recte μηδεμιᾶς. Conf. annott. f. 19 r. s.

(3) Materiam dicit, loquendi usu Aristotelico. Vid. Trendelenburg. *ad Aristot. De Anima* p. 324.

(4) Μέλλει B. cum Reg. a. Μέλει codd. ap. M. Μέλλοι E., Gregorii verba in comm. repetens, cum Edd. Eadem discrepantia p. 503, A. εἰ τὸ πᾶν ὑπὸ τοῦ παντὸς *μέλλει* περισχεθήσεσθαι, ut est in Edd.; nam μέλλοι Reg. bm. tres Colb. et Comb. habent. Tu videas quæ in *Nov. Annal. Philol.* Vol. 49, Fasc. 4, p. 391 sq. annotavi. Deinde nostro loco, ubi B. *παραστήσασθαι*, Edd. *παραστήσεσθαι*, uti περισχεθήσεσθαι p. 503, A. Sed aoristus stare potest. Conf. Lobeck. *ad Phryn.* p. 744 sqq. Ceterum τελείως pro τελέως E., Gregorii verba in commentariis repetens, uti in eorum explicatione. Sed usitata Gregorio forma τέλεος magis Platonica, quam τέλειος. Conf. modo Or. XXXI, p. 563, C. 564, D. 565, C. Vide Sinner. *ad Greg. Naz. Or. Fun. in Cæsar.* p. 22, meque ad Jo. Glyc. *De V. S. R.* p. XXII. Jamblich. *De Myst.* p. 3, 28 ed. Gal. τούτων (cod. Basil. τούτου) οὐδὲν ἀπολείψομεν εἰς τὴν τελείαν (cod. Bas. melius τελέαν) ἀπόδειξιν.

(5) Παραστατικὸν cum genitivo, *quod declarandi vim habet*, f. 249 r. i. item reperitur. Παραστατικόν et δηλωτικόν coniuncta f. 98 r. m. Conf. Basil. T. I, p. 527, C. et v. quæ de verbo παριστάναι monui *Animadvss. in Bas.* I, p. 35.

(6) Scribe : διὰ τοῦτο, et ὑπέρογκοι. Priorem corruptelam etiam f. 140 r. s. 173 v. s. 246 r. s. notatam videbis, ejusque exempla etiam alias in cod. Bas. sæpe occurrunt, v. c. f. 256 v. m. Est etiam, ubi διὰ cum articulo insequente conflatum reperitur, ita quidem, ut accentum retineat; cf. f. 150 v. i. Literarum γγ pro γκ, ut in ὑπέρογγοι, male positarum exemplum f. 266 v. m. ubi ἐγγυμονεῖ pro ἐγκυμονεῖ.

(7) Γριφοειδὲς B. optime cum Reg. bm. Coisl. 1. quos C. secutus, qui in quibusdam γριφῶδες scriptum testatur. Atque sic Ed. Bas.; τρυφοειδές, pessime Ed. Par. cuius loco genuinum γριφοειδές Montacut. codicum ga. et pet. fide fretus reponi jussit. Scholiastes apud C. αἰνιγματωδές (leg. αἰνιγματῶδες) interpretatur. Alias γρίφον i. q. γριφοειδές. Conf. El. f. 118 v. s. et v. Prolegomn. in Jo. Glyc. *De V. S. R.* p. XXXII.

C (8) Edd. melius ὥρμησεν. Conf. annott. ad p. 506, C. Ὥρμητο nonnulli apud C. Gregorius simili loco Or. XXX, p. 553, E. ὅπερ ὡρμήθη λέγειν ὁ λόγος, ubi λέγειν et λόγος item conjuncta et λόγον in personam animatum vides eo loquendi usu, de quo v. *Animadvss. in Basil.* I. p. 15. 60. Ceterum λόγος non minus recte ὁρμᾶν quam ὁρμᾶσθαι dicitur. Vid. Ast. *Lex Plat.* t. II, p. 474.

(9) Vulgo : τοῦτο δὲ τί ἦν; in quibus Or. 1. τί male omittit. Præstat autem vulgatæ lectio codicis B., siquidem Gregorius interrogandi voces interrogationi lubenter postponit. Sic, ut alia omittam, τίς haud semel postpositum Or. XXXII, p. 591, A. E.; πῶς in clausula p. 591, E. Alia ex hoc genere dabit *Basil. Plot.* p. 41 sq. Mox scrib. μηδ', coll. annot. f. 19 r. s.

(10) Scribe : πῖπτον.

(11) Hermog. Περὶ Εὑρ. IV, 6. καθόλου γὰρ ὁ ἐρωτῶν, ὡς εἰς νίκην τῇ ἐρωτήσει θαῤῥῶν, ἐρωτᾷ.

D (12) *Timæ.* p. 29, E. ἀγαθῷ... οὐδεὶς περὶ οὐδενὸς οὐδέποτε ἐγγίγνεται φθόνος. Conf. Schwegler. *Comm. in Arist. Metaphys.* p. 23. De scriptura οὐθείς, in Platone minime ferenda, v. Lobeck. *ad Phryn.* p. 181 sq. Trendelenburg. *ad Aristot. De Anima* p. 201 sq. Quæ præcedunt : οὐδεὶς... θεός, ex Matth. 19, 17.

(13) Id est *procreatio*, ex eo usu verbi παράγειν, cujus exempla f. 160 r. m. ἡμεῖς... ἐξ οὐκ ὄντων παρήχθημεν. f. 257 v. s. (Θεὸς) ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι βουλήσει καὶ δυνάμει παραγαγών. Adde f. 193 v. i. 194 v. s. et v. *Animadvss. in Basil.* I, p. 92. De voce παραγωγὴ conf. El. f. 132 r. i. 180 r. i. EidemDeus ὁ παραγωγεὺς τῶν ὅλων. Conf. f. 194 r. s.

(14) Jacob. Ep. 1, 17.

(15) Usitata Eliæ utraque forma et τρανής, ut hoc loco, et τρανός, de qua conf. f. 27 v. s. 63 r. m. 151 v. m. Vid. *Animadvss. in Basil.* I, p. 190.

(16) Conf. Ep. ad Rom. 11, 33.

504, B. *ἐν ἴχνεσιν ἀβύσσου περιπατοῦντες, τὸ δὴ λεγόμενον.*) *Job.* xxviii, 16, fontem indicante Elia f. 25 v. i.

P. 504, B. *ἵνα μὴ τῷ ῥᾳδίῳ τῆς κτήσεως ῥᾴστη γίνηται* (1) *καὶ ἡ τοῦ κτηθέντος ἀποβολή. φιλεῖ γὰρ τὸ μὲν πόνῳ* (C.) *κτηθὲν μᾶλλον κρατεῖσθαι, τὸ δὲ ῥᾳδίως κτηθὲν καὶ ἀποπτύεσθαι* (2) *τάχιστα, ὡς πάλιν ληφθῆναι δυνάμενον. καὶ οὕτως εὐεργεσία καθίσταται τὸ μὴ πρόχειρον τῆς εὐεργεσίας*) F. 26 r. s. οὐχ ὅλον ὅσον ἐστὶν ἑαυτὸ ἐνδίδωσι τὸ Θεῖον, τάχα μέν, ἵνα μὴ τῷ ἑτοίμῳ περιφρονῆται τῆς καταλήψεως, ὡς καὶ ἐν ἄλλοις εἴπομεν (3). εἴωθεν γὰρ τὸ προχείρως καταλαμβανόμενον ῥᾳδίως περιφρονεῖσθαί τε καὶ ἀποβάλλεσθαι, διὰ τὴν ῥᾴστην τε καὶ πρόχειρον τούτου πάλιν ἀνάληψιν.

P. 504, D. *τυχὸν... τοῖς ἐνταῦθα κεκαθαρμένοις καὶ μακροθυμοῦσι πρὸς τὸ ποθούμενον.*) F. 26 r. m. (Θεός) οὐχ ἁπάσας ἡμῖν τὰς ἀκτῖνας τῆς αὐτοῦ φωτοληψίας ἐνδίδωσι. et : οὐδὲ γὰρ ἐκεῖνος (Lucifer) ὅλον τὸ φῶς ἐχώρησεν, ἀλλ' ὅσον ἦν ἐφικτὸν αὐτῷ, ἢ ὅλον τὸ ἐνδεδομένον. F. 26 v. s. τῶν... τοῖς ἐξ ἐγκρατείας νίτροις καὶ ταῖς μικτικαῖς (4) πόαις τῆς πρακτικῆς εἰς βάθος καθαιρομένων καὶ..... ὡς διὰ κλίμακός τινος τῆς πρακτικῆς εἰς θεωρίαν ἀναπηδώντων τοῖς μὲν μᾶλλον, τοῖς δὲ ἧττον αἱ ἐκεῖθεν ἐλλάμψεις οἱονεί τις ἀῤῥαβὼν (5) καὶ γεῦμά τι ἐνταῦθα ἐνδίδονται τοῦ τελείου, ἐκεῖθεν ταμιευομένου ὃ δὴ καὶ ὁ *Δαυῒδ* αἰνιττόμενος καὶ δεικνύς, ὡς αἱ ἐνταῦθά τισιν ἐλλάμψεις διδόμεναι οἱονεὶ πρόγευμά τί ἐστι τῆς τελείας ἐκεῖθεν ἐλλάμψεως. nim. Ps. 16, 17. Ibid. (e *Gregorii* Orat. Fun. in S. Basil., p. 835, A.) συνεποπτεύοντες τὴν ἁγίαν καὶ μακαρίαν Τριάδα καθαρώτερόν τε καὶ τελεώτερον, ἧς νῦν μετρίας δεδέγμεθα τὰς ἐμφάσεις, ἐνταῦθα σταίημεν τῆς ἐφέσεως.

P. 504, D. *καὶ τοῦτό ἐστιν ἴσως, ὃ ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ* (6), *τὴν ἡμετέραν παχύτητα, δι' ἣν ὀλίγοι καὶ μικροὶ διακύπτουσιν.*) F. 26 v. m. γνόφον μὲν καλεῖ (7) τὸ ἡμέτερον σῶμα διὰ τὸ πάχος καὶ τὸν ἐντεῦθεν ἐκ τῶν παθῶν ζόφον. ἐπιπροσθεῖ

A γὰρ τῷ ἐν ἡμῖν νοερῷ, ὥσπερ τὸ νέφος τῷ ἡλίῳ, καὶ οὐ συγχωρεῖ καθαρῶς ἐντρανίζειν τῷ τῆς δικαιοσύνης ἡλίῳ. F. 26 v. i. συνέδησε Θεὸς τὴν ψυχὴν ἡμῶν σώματι. Ibid. (ad: *ἡμῶν* p. 504, D.) ἡμεῖς μὲν. . . κυρίως ἐσμὲν ἡ ψυχή, καὶ ταύτης μᾶλλον ὁ νοῦς, ἡμέτερον δὲ τὸ σῶμα, περὶ ἡμᾶς δὲ τὰ ἐκτός, οἷον χρήματα καὶ ὅσα τοιαῦτα (8). ἵσταται οὖν μέσος ἡμῶν, τουτέστι τῆς ψυχῆς ἡμῶν, καὶ τοῦ Θεοῦ ὁ σωματικὸς οὗτος γνόφος. F. 27 r. s. (τὸ σῶμα) μέσον αὐτοῦ ἱστάμενον καὶ Θεοῦ, ἀποτειχίζει ἀπὸ τοῦ Θεοῦ καὶ οὐ συγχωρεῖ καθαρῶς ἐνατενίζειν αὐτῷ. Ibid. locutio : ἐκλεπτύνειν ἀσιτίαις τὴν τοῦ σώματος παχύτητα. et deinceps hæc : νῦν μὲν γὰρ διὰ τὸ πάχος ἐπιπροσθεῖ τὸ σῶμα τῇ ψυχῇ, μετὰ δὲ τὴν ἀνάστασιν λεπτότερόν τε καὶ καθαρώτερον ἀπολαβόντες αὐτό,
B καθαρώτερόν τε ὀψόμεθα καὶ τρανότερον.

P. 505, A.) F. 27 r. i. ἀδύνατον... ὄψιν... χωρὶς ἀέρος πεφωτισμένου πλησιάσαι τινὶ τῶν ὁρατῶν καὶ τοὺς τύπους τῶν ὁρωμένων ἐκμάξασθαι. ἐν ᾗ ὡς ἐν κηρῷ τυποῦνται καὶ οἱονεὶ διαγράφονται καὶ δι' αὐτῆς τῇ τε μνήμῃ καὶ τῇ καθ' ὅλου αἰσθήσει παραπέμπονται.

P. 505, A.) F. 27 v. s. ὅπερ δέ ἐστιν ὁ ἀὴρ τοῖς χερσαίοις τε καὶ πτηνοῖς, τοῖς μὲν τοῦ ἀναπνεῖν αἴτιος ὤν, τοῖς δὲ πρὸς τούτῳ καὶ ὄχημα τούτοις γινόμενος, τοῦτο τὸ ὕδωρ τοῖς νηκτοῖς. Ibid. τὰ δὲ περὶ τούτων ἀκριβέστερον ἐρευνήσας ἐν τῇ εἰς τὴν ἑξαήμερον βίβλῳ τοῦ μεγάλου *Βασιλείου* (9) εὑρήσεις.

P. 505, A. *ἀμήχανον τοῖς ἐν σώμασι* (10) *δίχα τῶν σωματικῶν πάντη γενέσθαι μετὰ τῶν νοου-*
C *μένων. ἀεὶ γάρ τι παρεμπεσεῖται τῶν ἡμετέρων, κἂν ὅτι μάλιστα χωρίσας ἑαυτὸν τῶν ὁρωμένων ὁ νοῦς καὶ καθ' ἑαυτὸν γενόμενος προσβαλεῖν* (11) *ἐπιχειρῇ τοῖς συγγενέσι καὶ ἀοράτοις.*) F. 27 r. m. ἀμήχανον εἶναι τὸν δεσμώτην τοῦ σώματος νοῦν ἀποδύσασθαι τέλεον τὰ σωματικὰ μορφώματα καὶ τυπώματα, καὶ γυμνὸν τῶν τοιούτων τοῖς νοητοῖς συγγενέσθαι. κἂν γὰρ ὅτι μάλιστα μύσαι (12) τὰς αἰσθήσεις σπουδάσῃ, καὶ καθ' ἑαυτὸν γεγονὼς ἐπι-

(1) Γένηται Edd. minus bene.

(2) Sic B. cum Edd.; ἀποπτύεται Or. 1. qua lectione enuntiationis tenor male infringitur.

(3) Conf. El. f. 205 v. i. 204 r. s. 305 v. m. ibique annott.

(4) Legendum : σμηκτικαῖς. Vid. Lobeck. *ad Phryn.* p. 254 sqq. qui tamen adjectivum σμηκτικὸς neglexit. *Herbis variis* L. male.

(5) Conf. 2 Cor. 1, 22. 5, 5. Ephes. 1, 14.

(6) Psal. 17, 13. καὶ ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ Conf Or. XVII p. 320, A. ibique annott. Contra hymnus in Deum in Greg. Naz. Opp. T. II, p. 286 (conf. annot. f. 78 r. s.) illi ὑπερφανέας καλύπτρας tribuit; sic enim Cod. Mon. 547 pro vulg. ὑπερνεφέας κ.

(7) Nimirum Gregorius in iis, quæ verba allata præcedunt : μέσος ἡμῶν τε, καὶ Θεοῦ ὁ σωματικὸς οὗτος ἵσταται γνόφος, ὥσπερ ἡ νεφέλη πάλαι (vulgo : τοπάλαι) τῶν Αἰγυπτίων καὶ τῶν Ἑβραίων. ubi Scholiastes apud C., immemor Exodi 14, 20, hæc perperam annotat : νεφέλην λέγει τὸ ἐπίπροσθεν (l. ἐπιπροσθοῦν, v. *Anim. in Basil.* I, p. 2 et cf. El. f. 17. v. i. 27 r. s.) τῇ ψυχῇ σῶμα. Rectius hæc adhibuisset Gregorii verbis Or. XXVIII, p. 497, C. ubi corpus νεφέλη vocatur Vox γνόφος ad sensuum tenebras translata Or. XXXII p. 589, C. ubi vid. El. f. 205 v. m. Adde Corder. Onomast. Dionys. v. γνόφος.

(8) Sunt hæc Basilii, ad quem Elias f. 205 v. m. 308 v. m. in eodem argumento provocat, et cuius verbis f. 291 v. m. tacite utitur; vid. Homil. in illud : πρόσεχε σεαυτῷ, Opp. T. II, p. 18, C. Cf.
D Creuzer. *ad Olympiod. Comm. in Alcib.* I. p. 171. Zell. *Comm. in Aristot. Eth. Nicom.* IX, 4, 3. p. 392 sq. Mox f. 26 r. s. leg. αὐτῆς sc. ψυχῆς, pro αὐτοῦ.

(9) *In Hexaëm.* Hom. VII, Opp. T. I, p. 63, D. E.

(10) Sic B. cum o. ap. M. et Reg. bm. Vulgo : σώματι.

(11) Προσβάλλειν Edd. et E. in seqq. qui etiam f. 64 r. s. et f. 76 v. m. τῇ θεωρίᾳ προσβάλλειν ponit. Idem tamen προσβαλεῖν f. 27 v. m. huc respiciens istis verbis : εἰπών, μὴ δύνασθαι τὸν δέσμιον νοῦν καθαρῶς γυμνωθῆναι τῶν τῇδε καὶ ἀΰλως τοῖς θείοις προσβαλεῖν. itemque f. 28 r. i. ad p. 505, E. Θεολογίᾳ προσβαλεῖν apud Gregor. Or. XX, p. 376, D. et ex eo ap. El. f. 62 v. m. Hisce usus Eliæ locis, translatam verbi προσβάλλειν significationem ejusque variam constructionem illustravi in *Nov. Annal. Philol.* Vol. 49, Fasc. 4, p. 418 sq. Ceterum conf. annott. ad Or. XXXI, p. 573, A.

(12) Conferendus Gregor. Or. II, p. 14, D. et loco gemino Or. XX, p. 376, A. μύσαντα τὰς αἰ-

χειροίη τοῖς συγγενέσι καὶ ἀοράτοις προσβάλλειν, οὐχ ἕξει παντελῶς τὸ γυμνωθῆναι τῶν φαντασιῶν. ἀεὶ γὰρ ἐφέλκεται (1) τὰ εἴδη καὶ τὰς μορφὰς καὶ τὰ σχήματα, ὡς ἐν κηρῷ τινι τῷ μνημονευτικῷ ἐντετυπωμένα. συγγενῆ δὲ τῷ νῷ τὰ νοερὰ καὶ νοητὰ καλεῖ διὰ τὸ νοερὸν τοῦ νοῦ καὶ ἀσώματον.

P. 505, B.) F. 28 r. s. πῦρ δὲ (τὸ Θεῖον λέγεται nim. *Deuteron.* 4, 24) ὡς καθαρτικόν τε καὶ ἀναλωτικὸν τῆς ὕλης τε καὶ τῆς μοχθηρᾶς ἕξεως, ὡς καὶ τὸ πῦρ τῆς μὴ συγγενοῦς ὕλης τῷ χρυσίῳ (2).

P. 505, A.) F. 28 r. m. (inter alia ex *Dionysio Areop.*) ὀνομάζεται δὲ ὁ Πατὴρ *νοῦς ἀνόητος* (3), τὸ μὲν διὰ τὸ ὑπεργονίμως γόνιμον καὶ ὑπεραΰλως ἄϋλον αὐτοῦ, τὸ δὲ ὡς μήτε νοῶν, ὡς νοοῦσιν οἱ νοεῖν δυνάμενοι, μήτε τινὶ τῶν πάντων νοούμενος. Ibid. (Λόγος ὁ Υἱός) ὡς ἐκ τοῦ νοῦ τοῦ μεγάλου προελθὼν ἀδιαστάτως τε καὶ ἀχρόνως καὶ ἀπαθῶς.

P. 505, C. *Λόγον δὲ τίνα παρὰ τὸν ἡσυχάζοντα ἐν ἡμῖν ἢ χεόμενον;*) F. 28 v. s. λόγον δὲ ἡσυχάζοντα τὸν ἐνδιάθετον καλεῖ. ἔστι γὰρ ἐνδιάθετος λόγος κίνημα τῆς ψυχῆς, ἐν τῷ διαλογιστικῷ (4) συνιστάμενον ἄνευ τινὸς ἐκφωνήσεως. ὅθεν πολλάκις καὶ σιωπῶντες λόγον ὅλον παρ' ἑαυτοῖς διεξερχόμεθα καὶ ἐν τοῖς ὀνείροις διαλεγόμεθα. κατὰ τοῦτο δὲ μάλιστα λογικοὶ πάντες ἐσμέν. καὶ γὰρ οἱ ἐκ γεννήσεως κωφοὶ καὶ οἱ διά τι νόσημα ἢ πάθος τὴν φωνὴν ἀποκοπέντες (5) οὐδὲν ἧττον λογικοί εἰσιν. ἡσυχάζοντα οὖν λόγον τὸν ἐνδιάθετον καλεῖ, χεόμενον δὲ τὸν προφορικόν. ὁ δὲ προφορικὸς λόγος ἐν τῇ φωνῇ καὶ ἐν (6) ταῖς διαλέκτοις τὴν ἐνέργειαν ἔχει, ἤγουν ὁ διὰ γλώσσης καὶ στόματος χεόμενός τε καὶ (7) προφερόμενος λόγος. ἔστι δὲ ἄγγελος νοήματος.

P. 505, D. *ἢ δεῖ τούτων ἀποστάντας ἡμᾶς αὐτὸ καθ' ἑαυτὸ τὸ Θεῖον ἐκ τούτων* [8] *ἰδεῖν, ὡς οἷόν τε, μερικήν τινα φαντασίαν ἐκ τῶν εἰκασμάτων συλλεγομένους;*) F. 27 v. i. ἀδύνατον γὰρ εὑρεθῆναι ἐν τῇ κτίσει εἰκόνα ἀπαραλλάκτως (9) πρώτην φύσιν παραδεικνύουσαν.

P. 505. E. *τίς οὖν μηχανὴ ἐκ τούτων τε καὶ μὴ ταῦτα;*) F. 29 r. m. τίς... μηχανὴ ἐκ τούτου (10) μέν, ὡς ἐξ εἰκασμάτων, ἀμυδρῶς τὸ Θεῖον γινώσκε- A σθαι, μὴ ταῦτα δὲ εἶναι διὰ τὸ ἀεί τι παρεμπίπτειν τοῖς περὶ τούτων νοήμασι;

P. 505, E. *κάμνει ἐκβῆναι τὰ σωματικὰ ὁ ἡμέτερος νοῦς καὶ γυμνοῖς ὁμιλῆσαι τοῖς ἀσωμάτοις*) F. 29 r. m. κάμνει ἤτοι ἀσθενεῖ, ἀδυνατεῖ, ἀμηχανεῖ ὁ ἡμέτερος νοῦς ὑπεκδῦναι τὰ σωματικὰ ταῦτα... καὶ ἀσωμάτως ὁμιλῆσαι τοῖς ἀσωμάτοις καὶ τοῖς ἀΰλοις συγγενέσθαι ἀΰλως, μηδέν τι τῶν αἰσθητῶν ἐφελκόμενος. F. 29 r. i. loculio: χωρὶς τῶν σωματικῶν τῇ πρώτῃ αἰτίᾳ προσβάλλειν.

P. 506, A. *ἐφίεται μὲν πᾶσα λογικὴ φύσις Θεοῦ καὶ τῆς πρώτης αἰτίας καταλαβεῖν. εἰ* [11] *δὲ ἀδυνατεῖ δι' ἃς εἶπον αἰτίας. κάμνουσα δὲ τῷ πόθῳ καὶ οἷον σφαδάζουσα καὶ τὴν ζημίαν οὐ φέρουσα, δεύτερον ποιεῖται πλοῦν* [12], *ἢ πρὸς* B *τὰ ὁρώμενα βλέψαι καὶ τούτων τι ποιῆσαι Θεόν*... (B.)... *ἢ διὰ τοῦ κάλλους τῶν ὁρωμένων καὶ τῆς εὐταξίας Θεὸν γνωρίσαι, καὶ ὁδηγῷ τῇ ὄψει τῶν ὑπὲρ ὄψιν χρήσασθαι.*) F. 29 r. i. ἐφίεται μέν... καταλαβεῖν, τί τὴν φύσιν ἐστὶ καὶ οὐσίαν.—οὐ γὰρ τὸ ὅτι ἔστι Θεὸς καταλαβεῖν ἀδυνατεῖ.—ἀδυνατεῖ δὲ διὰ τὸν ἐπιπροσθοῦντα τῷ νοῒ ζόφον καὶ τὸ προκάλυμμα. Ibid. (ad: *σφαδάζουσα*) τουτέστι χαλεπῶς φέρουσα. F. 29 v. s. (ad: *δεύτερον ποιεῖται πλοῦν*) τουτέστι δευτέραν τινὰ ὁδὸν ἔρχεται, τῆς πρώτης ἀποτυχοῦσα. ἔστι δὲ παροιμία τοῦτο ἐπὶ τῶν τῆς πρώτης βουλῆς ἢ πράξεως ἀποτυγχανόντων καὶ πρὸς δευτέραν τινὰ ὁρμώντων ταττομένη. καὶ οἱ ναυτιλλόμενοι γάρ, εὐφόρου ἀνέμου ἀποτυχόντες, ὃ δὴ C πρῶτος παρ' ἐκείνοις πλοῦς καὶ λέγεται καὶ ἔστι, ταῖς κώπαις ἀποχρῶνται ἐπὶ τὸν δεύτερον πλοῦν ἐρχόμενοι. F. 29 v. m. (ad: *ὁδηγῷ* cet.) διδασκάλῳ τῇ ὄψει χρησάμενοι τῶν ὑπὲρ τὴν ὄψιν καὶ πρὸς τὸν τούτων πάντων ἀναδραμόντες αἴτιον.

P. 506, B. C.) F. 29 v. m. τούτοις... ὁ δεύτερος οὗτος πλοῦς... ἀσεβείας γέγονε πρόξενος. F. 29 v. i. εἰδικὸν αἴτιον ἡ διατυπουμένη ἐν τῷ νῷ τοῦ τεχνίτου καὶ διασκευαζομένη κατὰ διάνοιαν καὶ εἰδοποιουμένη διαμόρφωσις. Ibid. εἰδικὸν δὲ αἴτιον (13) τὴν ἐν αὐτῷ (Deum intellige) τῶν δημιουργημάτων γνῶσίν φαμεν, ἣν ἐξ ἀϊδίου καὶ προαιώνιον ἔσχεν, οὐχ ὕστερον

σθήσεις. ibique El. f. 63 r. i. Adde Eliam f. 41 r. m. (τῶν αἰσθήσεων) ὡσανεὶ μυουσῶν. Olympiodor. Comm. in Plat. *Gorg.* (in Nov. Annal. Phil. t. 14, Fasc. 2) p. 278 sq. δεῖ τοὺς μέλλοντας τῶν παθῶν ἀπαλλάττεσθαι μύειν καὶ ἀνέχεσθαι. Vide insuper Creuzer. ad Plot. *De Pulcr.* p. 358 sq. 430.

(1) Conf. annott. ad f. 41 r. m.

(2) Conf. f. 140 v. m. 182 r. m. 249 v. s. Vid. *Animadv. in Basil.* I, p. 188 (ad p. 165, E.) et quæ Ullmannus in *Gregorio Naz.* p. 324, 497, Thomasius in *Origene* p. 100 attulerunt. Præivit Clem. Alex. *Strom.* V, p. 549. 592. VII, p. 719, laudatus Rittero *Hist. Philos.* t. 5, p. 460. Ceterum locus geminus est Deuteron. 9, 3.

(3) *De Div. Nom.* cap. 1, § 1, p. 284, C. ed. Cord.

(4) Elias f. 363 r. s. ubi eadem fere de λόγῳ docet, λογιστικῷ pro διαλογιστικῷ ponit et statim post γινόμενον pro συνιστάμενον. Ad rem conf. Gregor. Carm. Ined. I, vs. 267 sqq. ap. Toll. *Ins. It. It.* p. 28, qui p. 29 et p. 153, a. de λόγῳ ἐνδιαθέτῳ et προφορικῷ paucis monuit. Secundum Platonem (*Soph.* p. 163, E. *Defin.* p. 414, C.) Gregorio λόγος est quasi quoddam ῥεῦμα. Vid. Hoeschel. *ad Gregor. Naz. Definitt.* p. 28 ed. a. 1599.

(5) Ἀποβάλλοντες Elias f. 363 r. s.

(6) Ἐν omissum f. 363 r. s.

(7) Verba: χεόμενός τε καὶ omissa f. 363. r. s.

(8) Ἐκ τούτων, quod E. et Edd. omittunt, B.
D probante L. addit cum duobus Regg. tribus Colb. Coisl. 1. et Or. 1. Sed temere ista ex seqq. huc illata sunt.

(9) Adjiciendum: τήν. Conf. Greg. p. 505, B: τῆς πρώτης φύσεως. ubi v. l. θείας φ. ex glossa. 506, A. τῆς πρώτης αἰτίας.

(10) Leg. τούτων, i. e. *ex rebus terrestribus*, et mox τούτου, sc. τοῦ θείου, pro τούτων. Cf. Greg. p. 505, D. Ταῦτα *hæc citeriora et terrestria* dici notum est. Vid. Krabing. *ad Greg. Nyss. de Anima et Resurr.* p. 303 sq. Ante μηχανὴ B. ἡ recte om. Cf. Ast. *Lex. Plat.* t. 2, p. 344.

(11) Sic B.; tu deleto εἰ et conjungito καταλαβεῖν δέ, ut est in Edd. Εἰ δὲ..., κάμνουσα τῷ πόθῳ L.

(12) Ad hæc m. rec. f. 29 r. m. » δεύτερον πλοῦν ποιεῖν. « imo ποιεῖσθαι. De hoc proverbio vide Eliam f. 29 v. s.; plura dabit Wyttenbach. *ad Platon. Phæd.* p. 263 sq. Ap. El. f. 1. ὃς δὴ πρῶτος.

(13) De εἰδικῷ sive εἰδικωτάτῳ αἰτίῳ conf. El. f. 34 r. m. 69 v. m. 168 r. m.

αὐτῷ ἐπιγενομένην, ἀλλὰ συναιωνίζουσαν καὶ συμπαρεκτεινομένην ἀεί.

P. 506, C. (*ἀστέρων πλῆθος*) *οἷς καὶ τὸ πᾶν ἄγειν δεδώκασιν* [1], *κατὰ τὸ ποιὸν ἢ ποσὸν τῆς κινήσεως.*) F. 30 r. i. οἱ. . . *Ἕλληνες* διὰ τῆς τῶν ἄστρων τούτων τῶν κινουμένων, πρὸς τῆς ἐν τῷ ζωδιακῷ κύκλῳ ἐπιπλοκῆς ἐγγύτητός τε καὶ ἀποστάσεως κατὰ τοιόνδε ἢ τοιόνδε σχῆμα συνερχομένων ἀλλήλοις, τὰς γενέσεις τε καὶ τὰ συμβαίνοντα ἡμῖν πλάττουσιν. ἡμεῖς δὲ σημεῖα μὲν ἐκ τούτων γίνεσθαι ὁμολογοῦμεν... τῶν δὲ ἡμετέρων... πράξεων οὐδαμῶς ταῦτα αἴτια εἶναι ἀποφαινόμεθα. *ποσὸν* μὲν οὖν ἐνταῦθα λέγει ὁ ἅγιος τὸν ἀριθμόν, ἐν ᾧ τῶν ἀστρῴων διαστημάτων τε καὶ κινήσεων (F. 30 v. s.) ἐξαριθμοῦσι τὸ μέτριον οἱ περὶ ταῦτα δεινοί. *ποιὸν* δὲ τὸ διάφορον τῶν σχημάτων, οἷς ἀλλήλοις οἱ κινούμενοι τῶν ἀστέρων πρὸς τοὺς ἐν τῷ ζωδιακῷ κύκλῳ ἐπιπλεκόμενοι, διαφόρους κατὰ τούτους καὶ τὰς γενέσεις ἀποτελοῦσι καὶ τὰ συμβαίνοντα. ἢ διὰ μὲν τοῦ *ποσοῦ* τὰς συνελεύσεις τῶν ἀστέρων τῶν εἰς ταὐτὸ συντρεχόντων, δύο ἢ καὶ τριῶν τυχόν, καὶ τάδε ἢ τάδε ἀποτελούντων, ἐσήμανε, διὰ δὲ τοῦ *ποιοῦ* τὰ σχήματα, τριγωνισμοὺς τυχὸν ἢ καὶ ἄλλο τι τοιοῦτον, οἷς *Ἕλληνες*, περὶ γενεθλιαλογίας καὶ τερατολογίας ἀπασχολούμενοι καὶ πρόνοιαν ἐξελόντες, ἀπρονοήτως τε καὶ ὡς ἔτυχε τὰ καθ' ἡμᾶς ἄγεσθαι ληρωδοῦσι.

F. 32 r. m. τὸ.. *τάχα* (507, C.) προστεθὲν πιθανὸν ὁμοῦ καὶ ἐπιεικῆ τὸν λόγον εἰργάσατο.

P. 508, A.) F. 32 v. s. ἡμᾶς... ὁ λόγος πρὸς τὸν παραγωγέα τούτων (nim. τῶν ὁρωμένων) ταῖς κατὰ μικρὸν προόδοις ἐχειραγώγει... ἐκ τούτων τὸν οὐσιώσαντά τε καὶ τάξαντα συλλογιζόμενος.

P. 508, A. [2] F. 32 v. i. τοῦ δὲ ταῦθ' οὕτως ἔχειν, μάρτυρα παράγει τῶν θύραθέν τινα ποιητήν. *Ὀππιανὸς* οὗτός ἐστιν, εἰ καὶ μὴ ὀνομαστὶ αὐτοῦ μνημονεύει. *θνητῷ γάρ*, φησίν, *ἀμήχανον ἐξονομῆναι, οἵῃ σὺν φιλότητι διακρίνας ἐκέδασεν αἰθέρα καὶ ἠέρα καὶ χυτὸν ὕδωρ* [3]. καὶ πάλιν· *πάντα δ' ἐν* A *ἀλλήλοις ἐάσιν* (F. 33 r. s.) *ὁμοφροσύνης ὑπὸ δεσμά.*

P. 508, B.) F. 33 r. s. Θεόν, πρὸς τὸ οἰκεῖον εἶδος ἕκαστον τῶν κτισμάτων κινήσαντά τε καὶ οὐσιώσαντα. F. 33 r. m. λαβὼν . . . τὸ σὺν λόγῳ τὸ πᾶν ἄγεσθαι καὶ κυβερνᾶσθαι. Ibid. τὸ πᾶν . . . τοὺς ἐξ ἀρχῆς ἐντεθέντας αὐτῷ λόγους διασώζει. Ibid. τὸ. . ἐξ ἀρχῆς τοῦτο (τὸ πᾶν) συστησάμενον καὶ μέχρι τοῦ νῦν κυβερνῶν. Ibid. ὁρίζονται δ' *Ἕλληνες* τὴν μὲν τύχην σύμπτωσιν καὶ συνδρομὴν δύο τινῶν αἰτίων ἀπὸ προαιρέσεως μὲν τὴν ἀρχὴν ἐχόντων, ἄλλο δέ τι περὶ τὸ προαιρούμενον ἀποτελούντων.

P. 508, C.) F. 33 v. s. ὁ καθαρὸς νοῦς, ἐν μὲν τῇ τῶν ὁρατῶν φυσικῇ θεωρίᾳ γενόμενος, ἢ τοὺς φυσικοὺς λόγους αὐτῶν ἐρευνᾷ, ἢ αὐτὴν τὴν αἰτίαν ζητεῖ, ἐν B δὲ τῇ τῶν ἀοράτων διατρίβων, τούς τε φυσικοὺς αὐτῶν λόγους ζητεῖ καὶ τὴν αἰτίαν τῆς γενέσεως αὐτῶν — —. ἐν δὲ τῷ Θεῷ γενόμενος, τοὺς περὶ τῆς οὐσίας αὐτοῦ πρῶτον λόγους ζητεῖ μὲν ὑπὸ τοῦ πόθου φλεγόμενος, οὐκ ἐκ τῶν κατ' αὐτὸν δὲ τὴν παραμυθίαν εὑρίσκει· ἀμήχανον γὰρ τοῦτο καὶ ἀνένδεκτον πάσῃ γεννητῇ φύσει ἐξ ἴσου· ἐκ δὲ τῶν περὶ αὐτὸν παραμυθεῖται. F. 33 v. m. (Θεόν) τὸν ποιητὴν πάντων καὶ συνοχέα καὶ προνοητήν. Ibid. ἔδειξε... Θεὸν αἴτιον τῶν πάντων, καὶ τὴν ἐξ αὐτοῦ πρόνοιαν ταῦτα συνέχουσαν.

P. 508, D.) F. 33 v. i. ἀκραιφνῆ τὴν οὐσίαν (Θεοῦ) οὐδεὶς ἐκείνων (prophetarum) εἶδε.

P. 508. D. *ἐπειδὰν τὸ θεοειδὲς τοῦτο καὶ θεῖον,* C *λέγω δὲ τὸν ἡμέτερον νοῦν τε καὶ λόγον, τῷ οἰκείῳ* [4] *προσμίξῃ καὶ ἡ εἰκὼν ἀνέλθῃ πρὸς τὸ πρωτότυπον, οὗ νῦν ἔχει τὴν ἔφεσιν.*) F. 34 r. s. τῶν . . . τῆς ἰδίας φύσεως ἀγαθῶν ἐνετυπώσατο ὁ Θεὸς αὐτῇ (animæ) τὰ μιμήματα, ἀλλ' ἡ κακία τῷ θεοειδεῖ τούτῳ χαρακτῆρι περιχυθεῖσα, τὸ κάλλος αὐτοῦ ἠμαύρωσε τοῖς αἰσχροῖς συγχέασα χρώμασι. Ibid. ἐπειδὰν (5) . . . ὁ νοῦς πρὸς τὸν νοῦν ἤτοι πρὸς τὸν Θεὸν διὰ τῆς κατ' ἀρετὴν ὑψώσεώς τε καὶ θεώσεως ἀναδράμῃ (6),... τηνικαῦτα... τῆς ἐφέσεως στήσεται.

(1) Δεδώκασι Edd. absque ὑποστιγμῇ, recte. Alia ratio est locorum Or. XXVIII, p. 503, D. 513, A. Or. XXXI, pag. 584, D. Or. XXXII, p. 596, D. quibus ν paragogicum in clausula vel intercisione enuntiationis, etiam ante consonantem, in Cod. B. recte additum. Vid. Jacobs. Præf. ad Ælian. H. A. p. XXIII sq. Krabing. ad Gregor. Nyss. *De Prec.* p. 123.

(2) Clemencetus ad Gregorii verba : τὸν εἰρηκότα, hæc annotavit : » Schol. τὸν Πλάτωνα. Quod verisimilius quidem dictum videtur de isto philosopho, quam de Oppiano, ut Billius [secutus ille Eliam] in notis vult. « Recte; nimirum Gregorius verbis illis : τίς ταῦτα ἔμιξε καὶ ἐμέρισεν; cet. Platonem respexit in *Timæo* p. 35, A. seqq. Quæ apud Gregorium, p. 508, B. insequuntur : τί τὸ ταῦτα κεκινηκός, καὶ ἄγον τὴν ἄληκτον φορὰν καὶ ἀκώλυτον; cet. in marg. Coisl. 3. Platoni itidem adscribi Clemencetus testatur. Et sunt sane illorum similia, quæ Plato *De Legg.* X, p. 897. C. de anima mundi docet.

(3) Sunt versus Oppiani *Hal.* I, 411—413, et 415. 416. ab Elia suæ orationi accommodati et, quod nemo non videt, memoriter excitati. Nam illa vs. 411. θνητῷ . . . ἐξονομῆναι, a poëta παρενθετικῶς enunciata, ad prægressa in vss. 410. 411 : εἴτ' οὖν . . . ναιετάεις, pertinent; deinde ille Jovem alloquendo (conf. vs. 409. Ζεῦ μάκαρ —) ita pergit vss. 412. 413 : οἵῃ σὺν φιλότητι διακρίνας ἐκέδασσας, | αἰθέρα τ' αἰγλήεντα καὶ ἠέρα καὶ χυτὸν ὕδωρ. in quibus, apud Eliam mutilatis, m. 2. mg. καὶ γαῖαν post αἰθέρα addidit, pessime, quum vs. 414. verba : καὶ χθόνα παμμήτειραν, sequantur. Denique ista apud Eliam : πάντα . . . δεσμά, sic habent D apud Oppianum vs. 415. 416. πάντα δ' ἐν ἀλλήλοισι ὁμοφροσύνης ὑπὸ δεσμῷ, | ἀῤῥήκτῳ συνέδησας——. quibuscum mire consentiunt Basilii verba, a me illustrata *Animadvss.* I, p. 9 sq.

(4) Confirmat B. lectionem a C. e Reg. bm. Coisl. 3 etc. receptam. Eamque habet Par. Aliæ pessime : οἰσείῳ. Elias τὸ οἰκεῖον optime interpretatur τὸν νοῦν sive τὸν Θεόν. Conf. f. 27 r. m. Fons apud Platonem *De Rep.* VI, p. 490, B. Ceterum in iis, quæ apud Gregorium præcedunt, loco vulgatæ lectionis : ὡς ἐμὸς λόγος, repone : ὡς ὁ ἐμὸς λ. ex B. duobus Regg. et Or. 1. Vid. Hænsel. *ad Gregor. Naz. Or. In Nov. Dominic.* ed. peculiar. p. 43 sq. Sinner. *ad Gregor. Naz. Or. Fun. in Cæsar.* p. 23.

(5) Codex : ἐπειδᾶν —. De spiritu leni in vocibus rite conflatis cf. Or. XXXIII. 609, A. ἐμαὐτῷ. ubi insuper apostrophe addita, ut f. 280 r. m. τ' ἆλα pro τἆλλα vel potius τἄλλα. Etiam in vocibus temere conflatis lenis retinetur. Cf. f. 284 v. m. κατ-αὐτό. Ἐπειδᾶν f. 189 r. m. recurrit.

(6) Sequuntur folio 34 r. m. quæ habes f. 69 v. m.

P. 508, E. *τὸ δὲ νῦν εἶναι βραχεῖά τις* [1] *ἀπορροὴ πᾶν* (p. 509, A.) *τὸ εἰς ἡμᾶς φθάνον*) F. 34 r. i. ὁ μὲν (Θεός)... πέλαγός ἐστιν ἀόριστον γνώσεως, ἡμεῖς δὲ πεπερατωμένην ἔχομεν τὴν γνῶσιν (2). F. 34 v. s. τῆς τελεωτέρας γνώσεως ἀξιωθησόμεθα τῷ μέλλοντι αἰῶνι, ἡνίκα δὴ τελείως ἐλευθερωθῶμεν τῶν κατὰ σύνθεσιν ἑτεροτήτων ἡμῶν, κάτω τὴν αἴσθησιν μετὰ τῆς φαντασίας ἀπολιπόντες, αἵτινες νῦν τὸν νοῦν παρεμποδίζουσαι οὐ συγχωροῦσι τὰς ἐνδιδομένας ὅλας ἀκτῖνας εἰσδέχεσθαι. F. 34 v. i. (ad : *τὸ δὲ νῦν εἶναι*) περιττὸν δὲ τὸ *εἶναι* ἐνταῦθα καὶ Ἀττικὸν ἰδίωμα, ὡς τό· *οὐκ ἂν ἑκὼν εἶναι τοῦτο ποιήσαιμι.*

P. 509, B.) F. 35 v. i. ἐξ ὧν (sc. ex superstitibus post diluvium) πᾶν γένος ἀνθρώπων καὶ λοιπῶν ζώων εἰς τὸ νῦν ὁρώμενον πλῆθος ἐξήπλωτο.

P. 509, C.) F. 36 v. i. ἐδήλου δὲ ἡ μὲν κλίμαξ (3) τὴν τοῦ Κυρίου κάθοδον ἐσομένην ἐξ οὐρανῶν καὶ τὴν δι' ἀρετῆς τῶν ἀνθρώπων εἰς οὐρανοὺς ἄνοδον. Ibid. πληθὺς ἀγγέλων ἄνω καὶ κάτω διάγουσα τοὺς ἀνακειμένους τῷ Θεῷ (4) διασώζει.

P. 510, B.) F. 37 v. s. Esaiam et Ezechielem Gregorius vocat τοὺς τῶν μεγάλων ἐπόπτας θεαμάτων. F. 37 v. m. ὁ *θεολόγος* καλεῖ... τὸν Κύριον Σαβαώθ, στρατιῶν δηλαδή, τουτέστι ἐπουρανίων τάξεών τε καὶ δυνάμεων. F. 37 v. m. αὐτοῖς Σεραφίμ, μὴ δυναμένοις ἐνατενίζειν αὐτῷ (sc. Deo). F. 37 v. i. sq. πανταχοῦ δὲ τὸ *ὁμοίωμα* τίθησιν ὁ *προφήτης* (5), διδάσκων ἡμᾶς σκιαγραφίαν τινὰ τῶν θείων τεθεᾶσθαι καὶ οὐκ αὐτὴν τὴν ὁρατῶν φύσιν. F. 38 r. m. τὸ δέ· *φέγγος* τὸ *κύκλῳ αὐτοῦ* (6), οἱονεὶ οἶκον αὐτοῦ (sc. Dei) παρεδείκνυε (Ezechiel) κατὰ τό· *φῶς οἰκῶν ἀπρόσιτον* (7).

F. 38 r. i. ὑδάτων πλήθει ῥαγδαίως καταφερομένων.

P. 510, D. *τοῦ ἡγεμονικοῦ τύπωσις συγγινομένη* [8] *τοῖς μέλλουσιν ὡς παροῦσιν*) F. 38 v. s. ἐν τῷ τυποῦσθαι καὶ γράφεσθαι ἐν αὐτῷ τοὺς τύπους καὶ τὰς εἰκόνας τῶν μελλόντων πραγμάτων, δι' ὧν
A δὴ τύπων συγγίνεται τοῖς μέλλουσιν ὡς παροῦσιν. F. 38 v. m. ὁ μακάριος οὗτος πατὴρ.. τὸν νοῦν δι' ὅλου ποιωθεὶς τῷ ἁγίῳ πνεύματι. Ibid. (ex *S. Maximo*) οὐ.. λέγειν θέμις ἐπὶ τῶν θείων, τὸ φανταστὸν πάντως δεῖν παρεῖναι πρὸς διατύπωσιν τῆς φαντασίας, ἀλλὰ παραδόξως τε καὶ ὑπερφυῶς, καὶ μὴ παρόντος προσώπου καὶ φωνῶν αἰσθητῶν, μὴ κτυπουμένων δι' ἀέρος, τὴν φαντασίαν ἐνεργεῖν, ὥστε ἀληθῶς ἀκούειν καὶ ὁρᾶν τὸν τὰ θεῖα μυσταγωγούμενον. — (F. 38 v. i.) — τὴν δὲ τοῦ ἡγεμονικοῦ τύπωσιν οἶμαι κατ' ἔμφασιν αὐτὸν λέγειν τοὺς μονοτρόπως, ὡς ἐν εἰκόνι, κατὰ τὴν ἁπλῆν καὶ ἀδιάστατον τοῦ νοεροῦ προσβολὴν τοῖς ἁγίοις προφαινομένους τῶν μελλόντων τύπους.

F. 39 r. m. opposita : κατὰ μὲν τὸ ῥητόν, et κατὰ
B δὲ τὴν ἀναγωγήν (9).

P. 510, E.) F. 39 r. i. (ex *S. Maximo*) *ἀνάβασιν* (ὑπονοῶ λέγειν τὸν Θεολόγον) τήν τε τῶν αἰσθητῶν πάντων ἀπόλειψιν, οὐκ ἔτι ἐνεργούντων ἢ ἐνεργουμένων παρ' αὐτῶν κατὰ τὴν αἴσθησιν, καὶ τῆς περὶ αὐτὰ κατὰ φύσιν ἐν πνεύματι γνωστικῆς θεωρίας ὑπέρβασιν, *ἀνάληψιν* δὲ τὴν ἐν τῷ Θεῷ γενομένην αὐτῶν (F. 39 v. s.) μετὰ ταῦτα μονήν τε καὶ ἵδρυσιν.

F 39 v. m. (οὐρανός) ὅρος πάντων τῶν ὑπὸ αἴσθησιν.

P. 511, B. *ἐν μικροῖς . . . τῆς ἀληθείας ἰνδάλμασιν*) καὶ ὁμοιώμασι Elias explicandi gratia addit f. 40 r. m. Ibid. ad I *Cor.* 13, 2. τὸ *ἔσοπτρον* ἐκτυπώτερον δείκνυσι τοῦ ἐμφαινομένου τὴν μίμησιν.

P. 511, B.) F. 40 r. m. διευκρινεῖν de eo quod
C est *explicare, explanare* (10). F. 41 r. s. (λόγον) τὸν μέλλοντα τοῖς μαθηταῖς μυστικώτερον ἐπιχορηγεῖσθαι.

P. 511, C. *οἷον ὀργάνῳ μικρῷ μεγάλα δημιουργοῦμεν, τῇ ἀνθρωπίνῃ σοφίᾳ τὴν τῶν ὄντων γνῶσιν θηρεύοντες, καὶ τοῖς νοητοῖς προσβάλλοντες μετὰ τῶν αἰσθήσεων ἢ οὐκ ἄνευ αἰσθήσεων, ὑφ' ὧν περιφερόμεθα καὶ πλανώμεθα, καὶ οὐκ ἔχομεν γυμνῷ τῷ νοΐ* (11) *γυμνοῖς τοῖς πράγμασιν ἐντυγχάνοντες, μᾶλλόν τι προσιέναι*

οἱ δὲ ἅγιοι παρεάσαντες usque ad illa : μορφὴν ἐκάλεσαν. ubi qui οἱ ἅγιοι, hic οἱ θεοφόροι πατέρες. Pro ἐρεσχελίας hic αἱρεσχελίας a m. 1 : ε pro αι m. 2. sup. lin. recte. Αἱρεσχελία duplici mendo Cod. Bas. Orat. XXVII, p. 489, E. In eodem Cod. f. 1. χθαῖς pro χθὲς Or. I, p. 4, A. et χθαὶς pro χθὲς Or. I, p. 4, D. Ex eodem mendi genere est ἀναίδην pro ἀνέδην f. 253 r. s. ubi conf. annot. Ceterum in
D Cod. B. nullum vestigium scripturæ ἐρεσχηλεῖν, hodie apud Platonem a VV. DD. restitutæ. Vid. Ast. *Annot. in Plat. Phæd.* p. 296 sq.

(1) Βραχεῖα τίς B. et sexcenties alias τίς pro τις, quo mendi genere notando in posterum supersedebo. Similiter vocula τε sæpissime τὲ scripta reperitur, id quod hoc loco semel dixisse sufficiat.

(2) Elias in proximis, uti f. 77 r. m. ad Or. XX, p. 383, D., de Dei cognitione κατὰ σχέσιν καὶ οἰκείωσιν plura disputat. Conf. etiam f. 204 v. s. ad Or. XXXII, p. 590, A. Ecclesiasticum usum vocis οἰκείωσις illustravi in *Basil. Plot.* p. 31.

(3) Genes. 28, 12.

(4) De locutione : ἀνακεῖσθαι τῷ θεῷ, vid. Suicer. *Thesaur. Eccl.* v. *ἀνάκειμαι.* et Meric. Casaubon. *ad Paraphr. Enchir. Epict.* cap. 26.

(5) Ezech. 1, 5, 16, 22, 26. al. Mox leg. ἀοράτων φ.

(6) Ezech. 1, 4.

(7) I Tim. 6, 16.

(8) Συγγενομένη Edd. minus recte.

(9) Eadem inter se opposita f. 205 r. m. Quae his locis ἀναγωγή, eadem alias etiam θεωρία dicitur Conf. Hemsterhusiana, a me edita in *Nov. Annal. Philol.* Vol. 53, Fasc. 1, p. 8. Quod idem attigit, τὸ ῥητόν, alias etiam τὸ πρόχειρον. Apud Eliam f. 222 v. i. locutio : κατὰ τὸ πρόχειρον νοεῖσθαι, i. e. *ad verbum accipi et explicari, non ad sensum μυστικόν*. Conf. Has. *ad Leon. Diacon.* p. 460 ed. Bonn. Totum hoc loquendi genus attigi *Animadvss. in Basil.* I, p. 70.

(10) Eandem vim verbum διευκρινεῖν habet f. 67 v. i. διευκρινῶν τὸν λόγον : f. 76 v. s. τὰ ἤδη εἰρημένα διευκρινῶν : f. 120 r. s. 139 r. i. 160 v. i. ubi adjectum ὥσπερ translatum verbi usum declarat : f. 178 v. s. 198 r. m. διευκρινῶν τὸν λόγον καὶ τὴν αἰτίαν δήλην ποιῶν : f. 219 v. m. ἐπειδή σοι ταῦτα ἀκριβῶς διηυκρίνηται : f. 237 r. i. διευκρινεῖν τὸν λόγον, de Gregorio argumenta orationum cum pulvisculo excutiente. Conf. Krabinger. *ad Synes. C. Æ.* p. 135. Monui de hoc verbi usu ad Marc. Eugen. *De Imbecill. Hominis* in *Zeitschrift für hist. Theol.* 1845. IV. p. 61. Composito προδιευκρινεῖν Elias utitur f. 133 r. s. δῆλα τὰ ἑξῆς ὡς ἤδη προηυκρινημένα. Adverbium διηυκρινημένως attigi annott. ad f. 65 v. m.

(11) De forma νοΐ v. annott. ad Or. XX p. 383, A.

τῇ ἀληθείᾳ καὶ τὸν νοῦν τυποῦσθαι ταῖς καταλήψεσιν.) F. 41 r. m. i. (ad : *ἢ οὐκ ἄνευ αἰσθήσεων*) ὡς ἐνουσῶν μέν, μὴ μέντοι ἐνεργουσῶν, ἀλλ' ὡσανεὶ μυουσῶν. porro : ὅταν ἡσυχαζουσῶν ὁ νοῦς ἡμῶν ὅτι μάλιστα χωρίσας ἑαυτὸν τῶν ὁρωμένων καὶ καθ' ἑαυτὸν γενόμενος προσβάλλειν ἐπιχειρῇ ——. κάμνοντι γὰρ ἐκβῆναι τὰ σωματικὰ καὶ γυμνοῖς προσομιλῆσαι τοῖς ἀσωμάτοις ἀεί τι παρεμπεσεῖται τῶν αἰσθητῶν καὶ σωματικῶν. ὑπὸ τούτων γάρ, τῶν αἰσθήσεων λέγω καὶ τῶν παρεμπιπτόντων ἐντεῦθεν εἰδώλων, περιφερόμεθά τε καὶ πλανώμεθα, καὶ οὐ δυνάμεθα, γυμνῷ ποτε τῷ νῷ γυμνοῖς τοῖς πράγμασιν ἐντυγχάνοντες, μᾶλλόν τι πλησιάσαι τῇ ἀληθείᾳ καὶ τὸν νοῦν, ὥσπέρ τινα κηρόν, ταῖς τῶν νοητῶν τυποῦσθαι καταλήψεσιν. ἀεὶ γὰρ οἱ ἐκ τῶν αἰσθητῶν χαρακτῆρες παρεμπίπτοντες καθαρῶς τυπωθῆναι τοῖς τῶν νοητῶν χαρακτῆρσι τὸν νοῦν οὐκ ἐῶσι, καὶ τῇ τῶν πραγμάτων ἀληθείᾳ προσιέναι (1).

P. 512. C.) F. 42 r. m. διάρτισις et διάπλασις conjunctim posita de corporis humani fabrica, διάρτισις eodem sensu f. 42 r. i.

P. 512, C.) F. 43 r. s. κινοῦσα δὲ ἡ ψυχὴ τὸ σῶμα, συμπεριφέρεται καὶ αὕτη (2) τῷ σώματι, ὥσπερ καὶ ὁ κυβερνήτης κινῶν τὸ πλοῖον διὰ τοῦ πηδαλίου καὶ συμπεριφερόμενος αὖθις τῷ πλοίῳ (3).

P. 512, C.) F. 43, r. m. οὐ γὰρ (ὁ νοῦς) ὥσπερ τὰ σώματα περιγράφεται . . . οὐδὲ τριχῇ ἐστι διαστατὸς . . διὰ τὸ μὴ δύνασθαι κατὰ ταὐτὸν καὶ ἐν σώματι εἶναι καὶ χωρὶς τοῦ σώματος.

P. 512, D. (*ὁ νοῦς*) *πάντα ἐφοδεύων τάχει φορᾶς καὶ ῥεύσεως.*) F. 43, r. m. ἀοράτῳ φοιτήσει καὶ οἷον ῥεούσῃ καὶ ταχίστῃ φορᾷ.

P. 512, D.) F. 43 r. m. (ὁ νοῦς) διὰ τοῦ ἀέρος χωρεῖ, ὥσπερ ὀχούμενος τῷ ῥηθέντι λόγῳ (4). Ibid. παραπέμπειν, de sermone ad animum transmisso. Ibid. ὁ γὰρ λόγος οὐ νοῦ γέννημα μόνον, ἀλλὰ καὶ ὄχημα καὶ πορθμεῖον, τὸν νοῦν μετὰ τῶν πραγμάτων διὰ τοῦ ἀέρος πορθμεύων. Ibid. τί τὸ πλάτος ἐκείνου τοῦ ἔνδοθεν χωρήματος, εἰς ὃ πάντα συῤῥεῖ τὰ διὰ τῆς ἀκοῆς εἰσχεόμενα ; Ibid. διὰ γὰρ τῶν αἰσθήσεων, ὡς διά τινων θυρίδων, ὁ νοῦς τῶν ἔξωθεν ἐπιδράττεται. F. 43 r. i. συστέλλεσθαι δὲ (ὁ νοῦς λέγεται) αὖθις ἀπὸ τῶν αἰσθήσεων, ὅταν καθ' ἑαυτὸν θεωρῇ τὰ πράγματα, ἐκείνων ἠρεμουσῶν (5). Ibid. ἕκαστον δὲ τῶν εἰσιόντων φυλοκρινῶν τε καὶ ἐξετάζων οὗτος (ὁ νοῦς), τοῖς καταλλήλοις τῆς γνώσεως τόποις ἐναποτίθησιν.

P. 512, D. *τίς ἡ πρώτη πλάσις ἡμῶν καὶ σύστασις ἐν τῷ τῆς φύσεως ἐργαστηρίῳ ;*) F. 43 v. s. φύσεως δὲ ἐργαστήριον (6) τὴν μήτραν τῆς μητρός (λέγει), etc. de spatiis formationis fœtus humani.

P. 512, D.) F. 43 v. m. μεθ' ἣν (nim. μετὰ τὴν τελευταίαν τοῦ εἴδους τελείωσιν) οὐκ ἔτι προσδεομένη ἡ φύσις τοῦ ἐργαστηρίου, προφέρει τὸ βρέφος, μηδὲν ἐλλιπὲς (7) ἔχον.

F. 43, v. i. *εἴδη* (513, A.) . . . καλεῖ τὰ ὑπὸ τὸ αὐτὸ γένος, οἷον γένους ὄντος τοῦ ζώου.

P. 513, A. *πῶς τὸ αὐτὸ ζῶον* [8] *θνητὸν καὶ ἀθάνατον, τὸ μὲν τῇ μεταστάσει, τὸ δὲ τῇ γεννήσει* [9]; *τὸ μὲν γὰρ ὑπεξῆλθεν* [10], *τὸ δὲ ἀντεισῆλθεν, ὥσπερ ἐν ὁλκῷ ποταμοῦ μὴ ἑστῶτος καὶ μένοντος*) F. 44 r. m. (ad : *τὸ δὲ τῇ γεννήσει*) ἀθάνατον . . τῇ διαδοχῇ, ἐπισκευαστῆς ὥσπερ οὔσης τῆς ἀϊδιότητος, ὡς ἀεὶ τοῦ μὲν ὑπεξισταμένου, τοῦ δὲ ὑπεισερχομένου, ὥσπερ ἐν ῥεύματι ποταμοῦ, μὴ ἑστῶτος μὲν τῷ ἀεὶ φέρεσθαι, μένοντος δὲ τῷ μὴ ἐλλείπειν. καὶ ζώου τὸ μὲν θανάτῳ ῥεῦσαν ὑπεξῆλθεν, τὸ δὲ ἀντεισῆλθεν, ὁλκοῦ δίκην τῇ γενέσει σῶζον (11) ἀεὶ τὸ φθειρόμενον.

P. 513, A. *πολλὰ δ' ἂν ἔτι φιλοσοφήσαις* [12] *περὶ μελῶν καὶ μερῶν καὶ τῆς πρὸς ἄλληλα τούτων εὐαρμοστίας*) F. 44 r. m. ἤτοι ἐκ παραλλήλου τὰ αὐτὰ μέλη καὶ μέρη λέγει, ἢ μέλη μὲν τὰ μόρια τῶν μερῶν, μέρη δὲ τὰ περιεκτικώτερα καὶ ἀνομοιομερῆ, οἷον κεφαλήν, χεῖρα, πόδα καὶ τὰ λοιπά.

(1) Hæc prorsus Platonica, non minus quam Gregorii verba, quibus explicandis inserviunt. Conf. *Phæd.* p. 66, B. C. D. Similia Gregor. supra p. 565, A. et ad eum locum Elias f. 27 r. m. qui ibidem, Gregorii exemplo, uti hoc loco, eum imitatus, verbo παρεμπίπτειν, quam Platonico παραπίπτειν *Phæd.* p. 66, D., uti maluit, id quod etiam alios fecisse docui *Animadv. in Basil.* I, p. 131. Adde El. f. 29 r. m. f. 331 r. s. ex Greg. Or. VIII, p. 249, E. Cum verbo ἐφέλκεσθαι ap. El. f. 27 r. m. conf. Platonica : μήτε τινὰ ἄλλην αἴσθησιν ἐφέλκων *Phæd.* p. 65, E. Adde El. f. 27 r. m. 29 r. m. et conf. Creuzer. *ad Plotin. De Pulcr.* p. 232 sq.

(2) Noli scribere : καὶ αὐτή. Vid. annott. ad Jo. Glyc. *De V. S. R.* p. 65, 66, et conf. El. f. 71 v. i. 216 v. m.

(3) Huic imagini, Aristotelicis celebratæ, ansam dederunt, quæ Aristoteles *De Anima* I, 3, 2. de duplici navigantis motu monuit. Conf. El. f. 71 v. i. 216 v. m. Gubernatoris et navis imagine ingeniose usus est Jo. Philopon. *Comm. in Aristot. De Anima* lib. II, f. 52 r. III, f. 57 r. ed. Venet.

(4) Cum hisce, uti cum proximis, conf. f. 217 r. *m.* ubi Elias ad geminum Gregorii locum eadem, partim totidem verbis, repetit.

(5) Codex : ἡρεμουσῶν. De spiritu aspero pro leni male posito conf. f. 170 r. s. ἡρεμούσης, f. 313 v. m. ἡρέμα, f. 67 r. i. ἁπάτην. Duplici mendo cod. B. Or. XXVII, p. 489, E. αἱρεσχελία pro ἐρεσχελία. De verbo ἠρεμεῖν, cui oppositum κινεῖσθαι, et cujus apud Aristotelem non minus frequens usus quam apud Platonem, vid. Creuzer. *Annot. in Plot.* p. 164, a. Krabinger. *ad Greg. Nyss. De Anima et Resurr.* p. 270.

(6) Conf. annott. ad Or. XXVII, p. 494, C.

(7) Ante ι littera ε erasa. De crebra commutatione vocc. ἐλλιπὴς et ἐλλειπὴς v. Schæfer. ad Greg. Cor. p. 44, et quæ *ad Jo. Glyc. De V. S. R.* p. 84 annotavi.

(8) Καὶ ante θνητὸν addit, qui hæc f. 197 v. s. adfert Elias ; satis apte. Conf. annott. ad p. 500, A.

(9) Sic B. cum Edd., Schol. ap. C. et E. f. 197 v. s. Γενέσει tamen E. ad hunc locum, ut est apud Platonem loco mox laudando. De confusis γένεσις et γέννησις v. Schneider. *ad Plat. Pol.* IV, p. 436, A.

(10) Ὑπεξῆλθε Edd. et E. f. 197 v. s. Tu conf. annott. ad Or. XXVIII p. 506, C. Multus in hoc loco explicando Clemencetus. Tu conf. Plat. *Symp.* p. 207, D. Sunt enim hæc Gregorii Πλατωνικώτατα. Perverse Schol. ap. C. τῇ μὲν γεννήσει θνητόν, τῇ δὲ μεταστάσει ἀθάνατον. Plus in his Elias vidit, qui etiam f. 197 v. s. comparandus est.

(11) Codex : σώζον.

(12) Sic B. cum Edd. Σπερμολογήσαις R. ap. M. Coisl. 2 ap. C. quæ scriptura sciolo philosophiam cavillanti debetur. Conf. Gregor. Or. XXIX, p. 536, D. Or. XXIII p. 433, B.

P. 513, B. *αἱ μὲν... ὑποδέχονται διὰ τῆς ἐν μέσῳ πληγῆς* [1] *καὶ τυπώσεως*) **F. 44 v. s.** νοερόν τι χρῆμα καὶ θεῖον ὁ νοῦς τυγχάνων, ἀκοινώνητον ἂν εἶχε τὴν χάριν πάντως καὶ ἄμικτον, μὴ διά τινος ἐπινοίας φανερουμένης αὐτοῦ τῆς κινήσεως, καὶ διὰ τοῦτο τῆς ὀργανικῆς ἐδεήθη κατασκευῆς, ἵνα πλήκτρου δίκην ὀργανικοῦ τῶν φωνητικῶν μορίων ἁπτόμενος, διὰ τῆς ποιᾶς τῶν φθόγγων τυπώσεως ἑρμηνεύσῃ τὴν ἔνδοθεν κίνησιν. Ibid. (τὸ πνεῦμα) μιμεῖταί πως τὴν διὰ τοῦ αὐλοῦ γενομένην φωνήν, ταῖς ὑμενώδεσιν ἐξοχαῖς ἐν κύκλῳ περιδονούμενον. Ibid. γεγωνοτέραν αὐτὴν (vocem) ἀπεργάζεται. Ibid. ταῦτα πάντα (vocis instrumenta) τὴν ἐν ταῖς νευραῖς τοῦ πλήκτρου κίνησιν ὑποκρίνεται. F. 44 v. i. τῇ... πληγῇ τοῦ ἐντεῦθεν φερομένου πνεύματος τυπούμενος ὁ ἀήρ,.. διαπορθμεύει (τὰς φωνάς) μέχρι τῆς ἀκοῆς.

P. 513, B.) **F. 45 r. m.** αἰσθαντικὴ δὲ ὄψις, κατὰ μὲν πρῶτον λόγον, τοῦ χρώματος.

F. 45 r. i. ἡ... στρυφνότης (2) ἐπίτασις καὶ πλεονασμός ἐστι τῆς αὐστηρότητος.

F. 45 v. s. τὸ πυκνὸν καὶ τὸ μανὸν ἤγουν ἀραιόν.

P. 513, C.) **F. 45 v. m.** ὕπνος τὸ σύντονον τῆς ἐγρηγόρσεως ὑπεχάλασεν (3). **F. 46 r. m.** (δοκεῖ μοι ἐν τῷ θρεπτικῷ τῆς ψυχῆς μέρει) τῶν καθ' ὕπαρ γινομένων εἴδωλά τινα καὶ ἀπηχήματα, τῶν τε κατ' αἴσθησιν καὶ τῶν κατὰ διάνοιαν ἐνεργουμένων, ἅπερ αὐτῷ διὰ τοῦ μνημονευτικοῦ τῆς ψυχῆς εἴδους ἐνετυπώθη, ταῦτα καθὼς ἐτύγχανε ζωγραφεῖσθαι, ἀπηχήματός τινος μνημονευτικοῦ τῷ τοιούτῳ εἴδει τῆς ψυχῆς παραμείναντος. **F. 46 v. m.** Δανιὴλ καὶ Ἰωσήφ... θείᾳ δυνάμει, οὐδεμιᾶς αὐτοὺς ἐπιθολούσης αἰσθήσεως, τὴν τῶν μελλόντων γνῶσιν προεπαιδεύοντο. Ibid. φύσεως ἀκολουθίᾳ (4). Ibid. ἡ γὰρ παραμένει... τῷ μνημονευτικῷ τῆς ψυχῆς τῶν μεθημερινῶν ἐπιτηδευμάτων τὰ ἀπηχήματα, ἢ πολλάκις καὶ πρὸς τὰς ποιὰς τοῦ σώματος διαθέσεις ἡ τῶν ἐνυπνίων κατάστασις ἀνατυποῦται (5). οὕτω γάρ... ὁ νέος, σφριγώσης αὐτῷ τῆς ἡλικίας, καταλλήλῳ τῷ πάθει φαντασιοῦται. **F. 46 v. i.** ἔτι δὲ καὶ πρὸς τὰς

A τῶν ἠθῶν καταστάσεις τυποῦται πολλοῖς τὰ ἐνύπνια.

P. 513, C.) **F. 47 r. s.** τὴν δὲ μνήμην φασὶ φαντασίαν εἶναι ἐγκαταλελειμμένην ἀπό τινος αἰσθήσεως τῆς κατ' ἐνέργειαν φαινομένης, ἢ σωτηρίαν αἰσθήσεώς τε καὶ νοήσεως (6). Ibid. (ψυχή) ὅταν... τοὺς τύπους ὧν τε ἐδόξασεν, ὧν τε ἐνόησε διασώζῃ, μνημονεύειν λέγεται.

P. 513, C.) **F. 47 r. m.** ἔστι γὰρ ἀνάμνησις μνήμης ἐξιτήλου γενομένης ὑπὸ λήθης ἀνανέωσις (7). λήθη δέ ἐστι μνήμης ἀποβολή.

P. 513, C.) **F. 47 r. m.** θυμὸς δέ ἐστι ζέσις τοῦ περικαρδίου αἵματος, ἐξ ἀναθυμιάσεως τῆς χολῆς ἢ ἀναθολώσεως γινομένη. ἔστι δὲ ὅτε ὁ θυμὸς καὶ ὄρεξίς ἐστιν ἀντὶ λυπήσεως (8). ἀδικούμενοι γὰρ ἢ νο-
B μίζοντες ἀδικεῖσθαι, θυμούμεθα. καὶ γίνεται τότε μικτὸν τὸ πάθος ἐξ ἐπιθυμίας καὶ θυμοῦ. ἔστι δὲ ὁ θυμὸς ἐπὶ τῶν κατὰ φύσιν ἐχόντων τὸ δορυφορικὸν (9) τοῦ λογισμοῦ, ἔκδικος τῆς ἐπιθυμίας, ἣν διὰ τῆς *ἐφέσεως* ἐνταῦθα ἐδήλωσεν ὁ ἅγιος. ὅταν γὰρ ἐπιθυμήσωμέν τινος πράγματος καὶ κωλυθῶμεν ὑπό τινος, θυμούμεθα κατ' αὐτοῦ ὡς ἀδικηθέντες, τοῦ λογισμοῦ δηλονότι κρίναντος ἄξιον ἀγανακτήσεως τὸ γενόμενον, ἐπὶ τῶν φυλασσόντων κατὰ φύσιν τὴν οἰκείαν τάξιν.

P. 513, C. *ὅσοις ὁ μικρὸς οὗτος διοικεῖται κόσμος*) **F. 47 r. i. sq.** μικρὸς κόσμος ὁ ἄνθρωπος, ὡς ὅλοις τοῖς ἐγκοσμίοις κοινωνῶν καὶ πάντων μετέχων, μικρὸς μὲν οὖν διὰ τὴν βραχύτητα τοῦ σώματος, μέγας δὲ διὰ τὸ ἀξίωμα τῆς λόγῳ τετιμημένης ψυχῆς (10),
C καθὸ κοινωνεῖ καὶ τῇ νοερᾷ τῶν ἀγγέλων φύσει.

P. 513, D.) **F. 47 v. s.** ἡ μὲν . . . τῶν φύσεων (11) φύσις οὖσα μόνιμος, τουτέστιν ἐπὶ γῆς ἐῤῥιζωμένη, καθά φησι καὶ *Ἀριστοτέλης*, οὐ πολυειδής ἐστι τοῖς μορίοις. Ibid. τὸ τούτου (hominis) ἄνω πρὸς τὸ τοῦ ὅλου ἔχει ἄνω. μόνον γὰρ ὀρθιόν ἐστι τῶν ζώων ὁ ἄνθρωπος καὶ πρὸς οὐρανὸν ἀνατείνεται καὶ ἄνω βλέπει. ἀρχικὰ δὲ ταῦτα καὶ τὴν βασιλικὴν ἀξίαν ὑποσημαίνουσι. τὸ γὰρ μόνον ἐν τοῖς οὖσι τοιοῦτον εἶναι τὸν ἄνθρωπον, τοῖς δὲ ἄλλοις πᾶσι πρὸς τὸ κάτω νενευ-

(1) F. 82 r. s. πλῆξις ἡ φωνὴ ἀέρος. Conf. Plato *Tim.* p. 67, B.

(2) Vide Ruhnken. *ad Tim. L. V. Pl.* v. στρυφνόν, p. 237 ed. Lugd. Bat. Niclas. *ad Geopon.* L. VI, c. 11, § 2, p. 450 t. II, et de voce μανόν, quam Elias deinceps tangit, Scaliger. *ad Theophr. De C. Pl.* Lib. II, p. 110. b., B. Ruhnken. *ad Tim.* p. 176 sq. Rudolph. *ad Ocell. Lucan.* cap. 2, 198 sq.

(3) Quæ Elias in seqq. de somno disputat, eadem paullo amplificata videas f. 170 r. ubi v. annott.

(4) Id est : *rerum nexu naturali.*

(5) F. 47 v. i. ἀνατυποῦν in eodem positum argumento.

(6) Eadem f. 83 v. i. Posterior memoriæ definitio est Platonis. Conf. *Phileb.* p. 34, B. ibique Stallbaum. p. 211.

(7) Eadem fere f. 83 v. i. ubi tamen ἀπολωλυίας pro ἐξιτήλου γενομένης, et ἀνάκτησις pro ἀνανέωσις. Conf. Plat. *Phileb.* p. 34, B. de recordatione. Ejusdem est, quæ apud Eliam insequitur, oblivionis definitio. Conf. *Phileb.* p. 33, E. ibique Stallb. p. 210.

(8) Conjunge : ἀντιλυπήσεως. Conf. f. 170 r. m. Aliis ὀργὴ est ὄρεξις ἀντιλυπήσεως, θυμὸς autem, ut Eliæ, ζέσις τοῦ περικαρδίου αἵματος. Vid. *Animadv. in Basil.* I, p. 184. Macrob. in S. Sc. 2, 16 ante fin. : motus ejus (animæ) est, quidquid irascimur et in fervorem *mutuæ collisionis* (en Græcum ἀντιλυπήσεως) armamur. Ceterum Aristoteles *De Anima* I, 1, 11. utrumque, et ὄρεξιν ἀντιλυπήσεως, et ζέσιν τοῦ περὶ καρδίαν αἵματος, in ὀργῆς defi-
D nitionibus commemorat.

(9) Τὸ δορυφορικόν, i. e. *quod præsidii vim habet*, ex eo dictum verbi δορυφορεῖν usu, de quo conf. V. D. ad Athenagor. *Leg. pro Christ.* cap. 18, p. 294 ed. Maurin. et *Animadvss. in Basil.* I, p. 24. Quod θυμὸς in seqq. ἔκδικος τῆς ἐπιθυμίας dicitur, conf. f. 367 v. s.

(10) De homine *microcosmo* vid. *Animadvss. in Basil.* I, p. 164. *Archelai cum Manete Disputatio* hæc habet cap. 8. τὸ γὰρ σῶμα τοῦτο (μικρός, quod excidit, adde) κόσμος καλεῖται πρὸς τὸν μέγαν κόσμον, καὶ οἱ ἄνθρωποι ῥίζας ἔχουσι κάτω συνδεθείσας τοῖς ἄνω. quæ partim ex Platonis *Timæo* p. 90, B. — τὴν κεφαλὴν καὶ ῥίζαν ἡμῶν —, partim ex Plotini quodam loco fluxerunt, qui mihi nunc non in promptu est.

(11) Lege : φυτῶν, quod librarius properans et ad proximum φύσις respiciens, in φύσεων temere commutavit. Ceterum vid. Aristot. *De Plant.* I, 1. p. 816, a, l. 26 sq. p. 816, b, l. 6 sq. ed. Bekk.

κέναι τὰ σώματα σαφῶς δείκνυσι τὴν τῆς ἀξίας διαφοράν (1).

P. 513, D.) F. 47 v. i. ἐξ ἡγεμόνων... καὶ βασιλέων λεγομένων μελισσῶν αὐτούς τε τοὺς ἡγεμόνας γεννᾶσθαι καὶ τὰς μελίσσας (2), ἕτερόν τι εἶδος παρ' ἐκείνους, ἐκ δὲ μελισσῶν τοὺς κηφῆνας. ἐκ γῆς δὲ διάφορα ζῶα καὶ σκώληκες γεννῶνται παντοῖοι, ἐκ κοπρίων κάνθαροι καὶ μηλολόνθαι, ἐκ δὲ κάμπης ἕτερά τινα καὶ αἱ πυρολαμπίδες (3).

P. 513, D.) F. 48 r. s. τὰ μὲν... αὐτῶν (animalium) εἰσι φιλέρημά τε καὶ ὄρεια, τὰ δὲ συνανθρωπιστικά τε καὶ τὰς αὐτὰς ἡμῖν οἰκήσεις (4) καταδεχόμενα.

P. 514, B.) F. 48 v. s. πολλὰ (ζῶα)... τῆς τοῦ Θεοῦ σοφίας φυσικῶς τε καὶ αὐτοδιδάκτως ἴχνη φέρουσι, καὶ περὶ τὴν τοῦ οἰκείου συμφέροντος ὀξύτατα τύγχανουσι πρόνοιαν. ὁποῖον δή τι καὶ τὸ τῶν μυρμήκων τυγχάνει γένος, οἵτινες καὶ τὴν χειμερινὴν τροφὴν προνοητικώτατα τέμνουσι. F. 48 v. i. ἑρπιστικὰ (5) καλεῖ τὰ ἐπὶ γῆς ἕρποντα καὶ ταύτῃ ἐπισυρόμενα, οἷον τὸ τῶν ὀφέων γένος καὶ ἑτέρων οὐκ ὀλίγων.

P. 514, C. *τὴν νηκτὴν φύσιν τῶν ὑδάτων διολισθαίνουσαν καὶ οἷον ἱπταμένην κατὰ τῆς ὑγρᾶς φύσεως*) F. 49 r. m. συγγένειά τις τούτοις (aquatilibus et volatilibus) πρὸς ἄλληλα. ὥσπερ γὰρ ἔστιν ἰδεῖν τὰ πτηνὰ οἷον διανηχόμενα τὸν ἀέρα τοῖς πτεροῖς (6), οὕτω καὶ τὴν νηκτὴν φύσιν οἷον ὀλισθηρὰν καὶ ὡσπερεὶ χεομένην καὶ ἐπιπετομένην τοῖς ὕδασι καὶ τὸ ὕδωρ τέμνουσαν, ὥσπερ ἐκεῖνα ταῖς πτέρυξι, οὕτω καὶ ταύτην τῇ μὲν κινήσει τῶν πτερύγων εἰς τὸ πρόσω χωροῦσαν, τῇ δὲ τοῦ οὐραίου μεταβολῇ τὰς περιστροφὰς καὶ τὰς εὐθείας ὁρμὰς ἑαυτῇ οἰακίζουσαν.

P. 514, D.) F. 49 r. i. ἔστι γὰρ τούτων τὰ μὲν λεπιδωτά, τὰ δὲ ἀλεπίδωτα. ἀντίκειται δὲ ἡ ἰδιότης τῶν λεπιδωτῶν τῇ ἰδιότητι τῶν ἀλεπιδώτων, οὐ μόνον ἐν εἴδει ἤτοι μορφῇ, ἀλλὰ καὶ ἐν ὀνόμασι. τοιαῦτα δὲ καὶ τὰ σκληρόδερμα καὶ τὰ μαλακόδερμα καὶ ἄλλα πολλά.

P. 514, D. *τερετίσματα*) F. 49 v. m. τὰ τῶν τεττίγων ᾄσματα. ἐκαλοῦντο δὲ παρὰ τῶν παλαιῶν *μουσικῶν* τερετίσματα τὰ ἔκλυτα ᾄσματα.

P. 514, E. *τίς ὁ κύκνῳ συνυφαίνων ᾠδὴν —;*) F. 49 v. i. μεταφορικὴ μὲν καὶ τροπικὴ ἡ τοῦ συνυφαίνειν λέξις, ἀπὸ τῶν ὑφαινόντων ληφθεῖσα, σημαί-

A νει δὲ τὸ κατασκευάζειν. οὐκ εἶπε δὲ *ὑφαίνων*, ἀλλὰ *συνυφαίνων*, δεικνὺς ὅτι ὡς ὀργάνῳ τούτῳ χρώμενος ὁ πάντων τεχνίτης καὶ δημιουργὸς τὴν ᾠδὴν συνυφαίνει.

P. 515, A. (*ὁ ταώς*) *τὸν αὐχένα διάρας καὶ τὸ πτερὸν κυκλωτερῶς* [7] *περιστήσας τὸ χρυσαυγὲς καὶ κατάστερον, θεατρίζει τὸ κάλλος τοῖς ἐρασταῖς μετὰ σοβαροῦ τοῦ βαδίσματος*) F. 50 r. s. ὅρα δέ μοι καὶ τὸν λόγον τοῦ ταῦτα γράφοντος, ἐπὶ τὸ ἁβρότερον ἐνταῦθα μᾶλλον συσκευαζόμενον. ἐναπομιμεῖται γὰρ τὸ κάλλος τοῦ ταῶνος καὶ ὁ περὶ τούτου λόγος, καὶ διὰ τῆς εὐφραδοῦς φράσεως συνδιατίθεταί τε καὶ συνεξωραΐζεται, εἰ καὶ τῇ ἐπεμβολῇ περικέκοπται. λάμπει γὰρ καὶ ταῖς ἐννοίαις καὶ τῷ τοῦ λόγου ὅλῳ σώματι.

B P. 515, D. *τίνος Παλαμήδους τὰ* [8] *τακτικὰ κινήματά τε καὶ σχήματα γεράνων, ὥς φασι, καὶ ταῦτα παιδεύματα κινουμένων ἐν τάξει καὶ μετὰ ποικίλης τῆς πτήσεως;*) Ad hæc Elias f. 51 r. s. *S. Basilium* in Hexaëmero p. 74 E. sq. ed. Garn. cum ista scripturæ discrepantia expilat: *πῶς μὲν αἱ γέρανοι*) αὗται καί.—*ἐν τῇ νυκτὶ*) ἐν νυκτί.—*ἐτράπετο*) τρέπεται. —(75, A.) *τῇ μεθ' ἑαυτὴν*) ἑτέρᾳ.— F. 51 r. m. εὑρέματα ἢ παιδεύματα.

P. 516, A.) Ad locum de formicis, in quo B. cum Edd. congruit (9), Elias f. 51 v. s. *S. Basilium* in Hexaëm. p. 83, A. B. tacite exscribit; scripturæ discrepantiæ sunt istæ: *ὅς*) οἵτινες. et sic deinceps pluralis numerus, ubi Basilius singulari de

C formica loquitur.—*διὰ ῥαθυμίας*) ῥαθυμίᾳ.—*παραπέμπει τὸν χρόνον*) τὸν χρ. π.—*ἀρκοῦσαν*) ἀρκοῦσαν ἑαυτοῖς.—*ἐναπόθηται*) ἀποθησαυρίσωσι.—*ῥαθύμως*) ῥαθυμίᾳ.— *αὐτῶν διαβρόχων*) αὐτοὺς διαβρόχους.— *καὶ οὐκ... καιρῷ*) καὶ τοῦτο οὐκ ἐν παντὶ καιρῷ. — *εὐδινῇ*) εὐδιεινῇ. quod sane præstat.—*τίς ἐφίκηται λόγος;*) τίς οὖν ἐφίκοιτο λόγος τῆς τούτων συνέσεως;

P. 516, B.) Ad locum de plantarum foliis, in quo B. σκέψαι μοι, uti in proximis, loco simplicis σκέψαι habet, Elias f. 51 v. m. hæc annotat: (σκόπει) τὴν ἐν τοῖς φύλλοις φιλοτεχνίαν, πρός τε ἡδονὴν τῆς ὄψεως καὶ τὸ τῶν καρπῶν χρησιμώτατον. εὐφυῶς γὰρ καὶ χρησίμως ταῦτα σώζει τε καὶ θάλπει, τῷ τε διεσχισμένῳ καὶ ὑμενώδει σκέποντά τε ὁμοῦ καὶ πε-

(1) De hac corporis humani majestate vid. Aristot. *De Part. Anim.* IV, 10. et conf. Scip. Gentil. ad *Tasson. Hierosol.* Lib. I, 64 p. 242 sq. Isæ. *ad Lactant. Div. Inst.* II, 1, p. 617, a. b. T. 1 ed. Paris. et *ad Lact. De Opif. Dei* cap. 8, p. 712, b. t. 1 ed. Par. Nec te pœnitebit consuluisse *Animadvss. in Basil.* I, p. 72 sq 164 sq.

(2) Aristotelem *Hist. An.* V, 18, hic Noster sequitur, spreta vulgi opinione, quæ apes ex tauris nasci ferebat. Vid. Boissonad. *ad Psell. De Op. Daem.* p. 237 sq.

(3) De varia insectorum generatione, ex terra, vel ex fimo, vel ex erucis, vid. Aristot. *H. A.* V, 17, et conf. Coteler. *ad Clem. Recogn.* VIII, 25, p. 571. *PP. Apostt.* T. 1. ed. Amstelod.

(4) Conferatur S. Basilius Hom. VIII *in Hexaëm.* p. 75, C. unde Elias hoc loco profecit. De voce συνανθρωπιστικὸς monui *Animadvss. in Basil.* I, p. 63.

(5) M. 2. ῑ in ῡ recte commutavit. In contextu Gregorii B. ἑρπηστικά. cum Colb. 3. et Or. 1. Idque ex conjectura ap. M. Sed m. 2. atr., litera η̄ in ῡ refecta, vulgatam et genuinam scripturam restituit.

D (6) Elegantissimam imaginem attigi *Animadv. in Basil.* I, p. 63. nimirum ad Basilii locum Opp. T. I, p. 72, B. τῶν πτηνῶν... διανηχομένων τὸν ἀέρα. unde Elias profecit.

(7) Sic Edd. recte; κυκλωτέρως B. E. Pet. Ox. ap. M. Mox θεατρίζει B. recte cum Coisl. 1. Or. 1. etc. quos C. secutus. Edd. θεατρίζειν, idque diu est, quod Br. in θεατρίζειν commutari jussit. Verbo θεατρίζειν, sophistarum more, translato utitur Gregor. Naz. Carm. Ined. I. ap. Toll. *Insign. It. Ital.* p. 30, vs. 280. de rosa se expandente:—ὅταν, | αὔραις ῥαγεῖσα τὸν τόκον θεατρίσῃ. ubi Toll. Adde *Schol. Cod. Monac.* 204. f. 22 r. Ceterum hanc pavonis descriptionem in exemplis pictæ et florentis apud Patres Eccl. orationis Caussinus *De Eloq. Sacra et Profana* Lib. XIV, cap. 20, jure meritoque retulit.

(8) Τὰ vulgo male omissum; nimirum in τακτικὰ abiit. Similiter peccatum Or. XXIX, p. 535. C.

(9) Ibi pro vulgato ταμεῖα Comb. ταμιεῖα, qua

παίνοντα τῇ πραεία παραπομπῇ τῶν ἡλιακῶν ἀκτί- A νων. ἴδοις γὰρ ἄν, ὅτι ὧν μὲν cet. Nam inde a verbis: ὧν μέν.— *Basilium* in Hexaëm. p. 47, D. E. Elias expilat cum his varr. ll. *προσβλαβής*) πρὸς βλάβης. optime. —*πῶς κατέσχισται*) οὕτω. —*τὸ φύλλον*) τὸ φ. κατέσχισται.—*οὐδὲν ἀναίτιον*) οὐδὲν οὖν ἐν τούτοις ἀναίτιον.

F. 51 v. i. τὸ χρήσιμον et τὸ ἧδον ex adverso posita.

P. 516, B.) Ad locum de fructibus, ubi B. ὑγείαν (1) pro ὑγίειαν, Elias f. 52 r. s. *Basilium* in Hexaëm. p. 47, D. expresse laudat, ejus verbis: *αὐτῶν δὲ τῶν καρπῶν τίς ἂν ἐπέλθοι τὴν ποικιλίαν;* ita immutatis: τίς ἂν ἐπέλθοι, φησί, τὴν ποικιλίαν; Deinde χροιὰς pro *χρόας*.

P. 516, C.) F. 52 r. m. *Ποσειδώνιος* μὲν οὖν καὶ *Ἐρατοσθένης* καὶ πλάτος αὐτῆς (terræ) καὶ μῆκος B ἀποδεδώκασιν (2).

P. 516, C. *κολπούς θαλαττίους ἀλλήλοις τε καὶ τῇ γῇ συνεζευγμένους*) F. 52 r. m. τοὺς σχήματι ἰδίῳ ὑπὸ τῆς περικειμένης γῆς ἐναπολειφθέντας (3) καὶ πρός τε ἀλλήλους καὶ πρὸς τὴν γῆν συνδεδεμένους (4).

P. 516, D. *ὅπη παρείκοι*) F. 52 r. i. ἔνθα μάλιστα ὑπείκοι τε καὶ ἐνδιδοίη.

F. 52 v. m. *ἄτεχνον* δὲ νῦν (p. 517, A.) τὸ ἀχειροποίητον εἶπε καὶ θεοῦφαντον.

P. 248, A. *ὄργανόν εἰμι θεῖον, ὄργανον λογικόν, ὄργανον καλῷ τεχνίτῃ, τῷ πνεύματι ἁρμοζόμενον καὶ κρουόμενον.* —— *σήμερον κρούει τὸν νοῦν, ἠχήσω τὸν λόγον*) F. 348 r. i. σήμερον ὡς πλήκτρῳ τῷ αὐτοῦ ἐπιτάγματι κρούοντός μου τὸν νοῦν, τὴν σιγὴν ἀποτίθεμαι.

P. 248, B. C. *φθέγξομαι cet.*) F. 348 v. m. φθέγ- B ξομαι δὲ οὐ συγκεχυμένως, ἀλλὰ διηυκρινημένως.

P. 249. B. *φιλεῖ... ψυχὴ* [1]... *θάλλειν καὶ ἄνω βλέπειν, τῶν ἡδονῶν ὑποβαινουσῶν καὶ συναπομαραινομένων τῷ σώματι.*) F. 350 r. s. ἵνα μήτε τὸ σαρκικὸν φρόνημα, ἀπόλυτον ὂν καὶ ἀχαλίνωτον, ῥᾳδίως κατασπᾷ τὸν ἐπιστάτην νοῦν καὶ πρὸς κακίαν ὑποσύρῃ, μήτε ἡ τῆς ἀρετῆς ἐργασία ἀταλαίπωρος εἴη.

P. 249, B. C. *σοῦ δὲ καὶ ἄλλως ἐθαύμασα τὸ ἀρχικὸν* [2] *καὶ γενναῖον*) F. 350 r. m. θαυμάζω οὖν σου τὸ ἀρχαϊκὸν τοῦ ἤθους καὶ ἄπλαστον. τὸ γὰρ ἀρχαῖον ἐπὶ ἁπλότητος καὶ τῶν ἔξωθεν οἱ πολλοὶ καὶ τῶν καθ' ἡμᾶς λαμβάνειν εἰώθασι.

P. 249, E. *ὁ μὲν εἰσηγεῖται δρασμοὺς καὶ ὄρη καὶ ἐρημίας, καὶ ἡσυχίαν ψυχῆς καὶ σώματος, καὶ* C *τὸν νοῦν εἰς ἑαυτὸν ἀναχωρῆσαι καὶ συστραφῆναι ἀπὸ τῶν αἰσθήσεων, ὥστε ὁμιλεῖν ἀκηλιδώτως Θεῷ καὶ ταῖς τοῦ Πνεύματος αὐγαῖς καθαρῶς ἐναστράπτεσθαι, μηδενὸς ἐπιμιγνυμένου τῶν κάτω καὶ θολερῶν, μηδὲ* [3] *τῷ θείῳ φωτὶ παρεμπίπτοντος, ἕως ἂν ἐπὶ τὴν πηγὴν ἔλθωμεν τῶν τῇδε ἀπαυγασμάτων καὶ στῶμεν τοῦ πόθου καὶ τῆς ἐφέσεως, λυθέντων τῶν ἐσόπτρων τῇ ἀληθείᾳ* [4]) F. 351 r. s. ἔστι δὲ ἡσυχία μὲν σώματος, κατὰ τὸν θεῖον *Ἰωάννην* εἰπεῖν *τὸν τῆς Κλίμακος*, A ἠθῶν καὶ αἰσθήσεων ἐπιστήμη τε καὶ κατάστασις ψυχῆς δὲ λογισμῶν ἐπιστήμη καὶ ἀσύλητος ἔννοια, τοῦ νοῦ εἰς ἑαυτὸν στραφέντος ἀπὸ τῆς τῶν αἰσθήσεων περιπλανήσεως, καὶ γυμνωθέντος τῶν ἐντεῦθεν μορφωμάτων τε καὶ τυπωμάτων, καὶ κάτω τὰ τῆς φαντασίας καταλιπόντος εἴδωλα, καὶ ἀῤῥυπώτως προσομιλοῦντος Θεῷ, καὶ ταῖς ἐκεῖθεν αὐγαῖς εἰλικρινῶς ἐλλαμπομένου καὶ φωτὶ φῶς ἀεὶ προσλαμβάνοντος ἀμαυροτέρῳ τρανότερον (5), μέχρις ἂν ἐπὶ Θεόν, τὸ πρῶτον φῶς καὶ ἀκρότατον, ἀναδράμῃ, μᾶλλον δὲ ἐπὶ τὴν πηγὴν τῶν ἐνταῦθα φωτισμῶν καὶ ἐλλάμψεων, ἔνθα πᾶσα ἔφεσις ἵσταται, τοῦ μακαρίου τέλους ἐγγίσαντος. εἰ μὴ γὰρ ταῦτα ἀφῇ, οὐ δύναται πρὸς ἑαυτὸν ἐπιστραφῆναι, οὐδ' ἀνεπιθολώτως καὶ ἀνεπιπροσθήτως προσομιλεῖν Θεῷ. ταῦτα γὰρ παρεμπίπτοντα B σύγχυσιν ἀπεργάζεται.

F. 352 v. s. ταῖς κατὰ μικρὸν παιδαγωγίαις καὶ στοιχειώσεσι προσβιβάζειν τοῖς ὑψηλοτέροις.

OR. XVII.

P. 317, A. *κατὰ τοὺς τῆς τροπῆς νόμους*) F. 354 r. m. Elias de τροπῇ in universum plura disputat, in quibus ista : τὸ ὕφαλον λέγεται μὲν κυρίως ἐπὶ τῶν ἐν τῷ βυθῷ τῆς θαλάσσης κεκρυμμένων λίθων, μετενεγκὼν δὲ τοῦτο ἐκεῖθεν ὁ *Θεολόγος* ὕφαλον ἄνθρωπον τὸν κρυπτὸν ὠνόμασεν (6), καὶ γέγονεν ἀμφοῖν κοινὸν ὄνομα τοῦτο. καὶ *Δημοσθένης* τὸ ἀκονᾶν, ἐπὶ ξίφους κυρίως εἰωθὸς λέγεσθαι, ἐπὶ τὸν διερεθίζοντά τινα εἴς τι τοῦτο ἔλαβε, *τί τοῦτον, ὦ μάταιε*, λέγων, *ἀκονᾷς;* (7) καὶ *Ἡλιόδωρος* ἐν τοῖς Αἰθιο- C πικοῖς *ἡμέρας ἄρτι διαγελώσης* εἴρηκε (8), τοῦ γελαστικοῦ ἰδίου τυγχάνοντος ἀνθρώπου.

F. 354 v. i. ὁ... τῶν χαμαιζήλων ὑπεραρθεὶς εὑρήσει τὸ μόνον ἐπιθυμίας ἄξιον.

F. 355 r. s. (ὀλιγοψυχία) τὸν ἀνδρεῖον... κατακλῶσα λογισμόν.

P. 318, C. *ὁ μέγας Δαβίδ, ὁ ἐν θλίψεσι πλατυνόμενος* [9]) F. 355 v. m. (Θεός) ἐν μέσαις ταύταις χωρήτως ἔχειν καὶ ἐμπλατύνεσθαι ποιεῖ.

P. 318, D. *γόνατα παραλελυμένα παρακαλῶν* [10]) Horum verborum fontem Elias f. 355 v.

(1) Ψυχὴ B. recte, cum Reg. hu. Or. 1. Male vulgo ψυχήν, etiam apud C., qui h. l., ut sexcenties alias, bonis paratis uti dubitavit. Mox ap. El. leg. κατασπώῃ.

(2) Ἀρχικὸν B. cum Coisl. 1 : ἀρχαϊκὸν E. cum Edd. recte. Conf. infra p. 249, C. D. τοῦτο μὲν δὴ τῆς σῆς... ἁπλότητος. De usu vocis ἀρχαῖος, in bonam partem, ut Elias docet, acceptæ, vid. *Symbol. ad Philostr. V. S.* p. 73. Eum attigit Toll. *ad Gregor. Carm. Ined.* vs. 177, *Insign. It. Ital.* p. 22, ubi tamen ἀρχαίως φρονεῖν est *stolide sentire.*

(3) Codex : μὴ δέ.

(4) Hæc inde a λυθέντων, omissa in contextu, m. 2. atr. mg. addidit, neque ea desunt in Edd. Fortasse tamen quispiam hæc ex loco παραλλήλῳ ap. Gregor. Or. XX, p. 376, A. interpolata judicabit.

(5) Φωτὶ... τρανότερον. Hæc ex Gregorii Or. II, p. 15, A. sive mavis ex Or. XX, p. 376, B. Utrobique καί, vulgo ante ἀμαυροτέρῳ additum, sed ab Elia omissum, delendum censemus, quum verba φωτὶ... ἀμαυροτέρῳ et φῶς... τρανότερον reapse conjuncta sint neque copula egeant.

(6) Or. XLIII, p. 785, D. οὐχ ἁπλοῦν γένος εὑρίσκω τοὺς Ἀρμενίους, ἀλλὰ λίαν κρυπτόν τι καὶ ὕφαλον. ad quæ conf. Schol. Codd. Monacc. 204 f. 40 (sc. ταῖς θλίψεσι) τὸν ἐλπίζοντα ἐπ' αὐτὸν ἀστενο- v. et 216 f. 146 v. quorum posterior, quod obiter sit dictum, κρυπτόν τε, quod minus placet. Exempla proprii usus vocis ὕφαλος conf. Pausan. 2, 29. Lucill. *Epigr.* 122. Clem. Alex. *Pædag.* II p. 183 ed. Pott. Eum post Polluc. 1, 115. Suid. h. v. Etym. M. p. 785, 43. illustrarunt Vincent. Riccard. *ad Procl. C. Polit.* p. 120 (ad Procli de hæreticis verba ὕφαλοι πέτραι) et Matthæi. *ad Chrysost. Eclog.* T. I, p. 28. Translatum usum, de quo Pierson. *ad Mœr. Att.* p. 406, a. ed. Koch., cum proprio, uti Procl. l. l., conjungit Theophan. Ceram. *Homil.* p. 314, B. C. ed. Scors.

(7) Or. c. *Aristogiton.* cap. 10. Translati verbi ἀκονᾶν, quod illic V. quidam D. temere tentavit, exemplum etiam in Demosthenis, qui fertur, Epist. 2. hoc reperitur : οὐδ' ἐφ' ἑαυτὴν ἀκονῶν τὴν πόλιν.

(8) *Æthiop.* I, 1. Translatum et poëtis maxime tritum usum verbi γελᾶν Hænsel. *ad Greg. Naz. Or. in Nov. Dominic.* p. 71 illustravit, qui Dufresn. *ad Annæ Comn. Alexiad.* p. 21. in phrasi : ἡμέρας διαγελώσης, contulit, qui quidem flosculus ex Heliodoro decerptus est.

(9) Ps. 4, 2. ἐν θλίψει ἐπλάτυνάς με.

(10) « *Consolatur*, quod durius videtur ad meta-

m. indicans *Esai.* 35, 3. γόνατα παραλελυμένα παρακλήθητε, ad *παρακλήθητε* interpretationem adjicit: ἤγουν ἀνακτήθητε.

F. 355 v. i. ἔστι δὲ ἀκηδία (p. 318, B.)... κοσμικῶν μακαρίστρια, Θεοῦ διαβλήτωρ... γεννήτριαι δὲ αὐτῆς ἀναισθησία ψυχῆς καὶ ἀμνημοσύνη Θεοῦ.

P. 319, E. *κύκλος τίς ἐστιν... τῶν ἀνθρωπίνων* [1] *πραγμάτων*) F. 357 r. m. οὐδὲν γὰρ τῶν τῇδε μόνιμον ἕστηκε. κυκλοφορία γάρ τις, φησίν, ἐστὶν... τῶν ἀνθρωπίνων πραγμάτων, κινουμένων ἀεὶ καὶ ἀστατούντων. *Ἡροδότου* δὲ τὸ ῥητὸν λέγοντος. *κύκλος τῶν ἀνθρωπίνων ἐστὶ πραγμάτων, περιφερόμενος δὲ οὐκ ἐᾷ ἀεὶ τοὺς αὐτοὺς εὐτυχεῖν* (2).

P. 320, A. *κινεῖται* [3]) γάρ, *ἵν' οὕτως εἴπω, τὸ πᾶν περὶ τὸν ἀκίνητον καὶ σαλεύεται, λόγῳ μὲν οὐδαμῶς* [4]) F. 357 r. i. (ad.: *λόγῳ*) ἤτοι τῇ φύσει. B

P. 320, B. C. *οὐδὲν ἀκίνητον.. οὐδὲ ὁμαλόν, οὐδὲ αὔταρκες*) F. 358 r. m. τῶν ἐν ἡμῖν. ἔστι δὲ καὶ τοῦτο Ἀριστείδου, οὕτω πως ἐν τοῖς ἰδίοις λέγοντος λόγοις· *οὐδὲν τῶν ἀνθρωπίνων ἀσφαλές, οὐδ' ὁμαλόν, οὐδὲ αὔταρκες.*

F. 358 v. m. (οἱ σώφρονες) παιδεύονται ταῖς συμφοραῖς, μὴ ἐξυβρίζειν ταῖς εὐπραγίαις (5)... καὶ ὥσπερ χρυσὸς ἐν πυρί, ὅσον νόθον πρὸς ἀρετὴν καὶ κίβδηλον ἀποβαλλόμενοί τε καὶ καθαιρόμενοι τῷ πυρὶ τῶν πειρασμῶν, εὐδοκοῦσιν ἐν ἀσθενείαις.

P. 321, A. [6]) F. 358 v. m. τὸ δ' ἑξῆς ἐν τῇ διδασκαλίᾳ *Πέτρου* κεῖται. *κάμνουσα* γάρ, φησί, *ψυχή*, τουτέστι κακοπαθοῦσά τε καὶ τοῖς περιστατικοῖς σφιγγομένη, *ἐγγίζει μᾶλλον Θεῷ.*

P. 321, C.) F. 359 v. m. ταύτης (sc. τῆς πρὸς τοὺς ἄρχοντας φυσικῆς τάξεως καὶ ἀκολουθίας)... φυλαττομένης, ἀδικία πᾶσα πόῤῥω ἡμῶν ἀπελήλαται. F. 359 v. m. (εὐταξίαν) τὴν τῆς ἀδικίας ἐλάτειραν.

A P. 321, D.) F. 359 v. i. νόμον δὲ πνεύματος τὰ ὑπὸ τῶν ἀποστόλων διατεταγμένα λέγει, ὑφ' οὗ τυπούμενοί τε καὶ ἐνεργούμενοι, καὶ ἐνήργουν καὶ ἐκήρυσσον.

F. 360, v. i. τοῖς μηδεμίαν (7) ἐπιμέλειαν τοῦ διορατικοῦ τῆς ψυχῆς ποιησαμένοις.

P. 322, B. *ἐπ' αὐτῷ* [8] *βεβήκασι*) F. 361 r. s. βάσιν δὲ τὴν ἑδραίωσιν λέγει.

F. 361 v. m. ἐκ... τῆς τῶν ἀρχόντων ἀρετῆς ἢ κακίας πολλή τις ἡ τοῦ κοινοῦ πρὸς τοῦτο ἢ κἀκεῖνο ἐπίδοσις, διὰ τὸ φιλεῖν ὡς τὰ πολλὰ ἐξομοιοῦσθαι τοῖς ἄρχουσι τὸ ἀρχόμενον.

F. 362 v. s. εἰκὼν Θεοῦ πάντες οἱ ἄνθρωποι, κἂν ἡ κακία περιχυθεῖσα τοὺς θεοειδεῖς χαρακτῆρας ἐπί τινων ἠμαύρωσεν.

P. 323, B. *πρὸς βίον ἄλλον μεθισταμένην, εἰς ὃν πάντες μεταβησόμεθα, μικρὰ παίζοντες* [9] *ἐν τῷ τῆς ζωῆς τούτῳ εἴτε δεσμωτηρίῳ εἴτε σταδίῳ εἴτε προχαράγματι εἴτε σκιάσματι.*) F. 362 v. s. (ad: *παίζοντες* sive *παίξαντες*, ut ipse legit) ἤτοι ὑποκριτικῶς διαγενόμενοι. deinde: πλὴν γὰρ τῆς ἀρετῆς οὐδὲν τἆλλα τὰ τοῦ παρόντος βίου διενήνοχεν ὑποκρίσεως διὰ τὸ ταχὺ καταλύεσθαι. καὶ δεσμωτήριον μὲν τὸν παρόντα βίον ἐκάλεσε, παρὰ τοῦ προφητοῦ *Δαυῒδ* μεταλαβών· *ἐξάγαγε* γάρ, φησίν, *ἐκ φυλακῆς τὴν ψυχήν μου* (10)· στάδιον δὲ ὡς ἀγωνιστήριον, προχάραγμα δὲ ὡς σκιὰν διὰ τὸ ἀβέβαιον.

P. 323, D. [11] *παρά τινος σοι λόγος*) Elias f. 363 r. s. ad hunc locum eadem affert, quæ f. 28 C v. s. ad p. 505, C. annotat, paucis quidem immutatis, quæ illic significavimus.

F. 363 r. m. locutio: ἡ συνοχή τε καὶ κυβέρνησις τῆς κτίσεως.

F. 324, A. [12] *ὅταν... ἐλεούμενον*) F. 363 v. i.

phoram. » *Clem.* Tu præter doctam Eliæ annotationem confer, quæ de hellenistico usu verbi παρακαλεῖν monui in Scholiis ad *Dissert. Theol. De Promiss. Sp. S.* p. 65 sq. ubi hunc ipsum Gregorii locum a Matthæii conjectura: *ἀνακαλῶν*, vindicavi. — Mox ap. Gregor. p. 319, A. in vulgatis: ὁ Θεός, B. cum Regg. a. bm. articulum omittit, quo facile caremus.

(1) Sic B. cum Edd. In quibusdam Codd. ἡμετέρων, quam lectionem si quis genuinam, alteram illam ex interpretatione profectam censeat, me non adversantem habebit.

(2) Sunt Herodoti verba, memoriter et neglecto ἰωνισμῷ recitata ex libro I, cap. 207, ubi vid. Wesseling. Gregorius noster Ep. 29 (18) p. 24, C. κύκλος τῶν ἀνθρωπίνων περιτρέχει πραγμάτων.

(3) In quibusdam ap. C. Codd. κινεῖται μὲν γάρ. Haud ita male. De repetito μὲν vid. Ast. Lex. Plat. T. II, p. 303.

(4) Duo Coisl. temere addunt: τῷ καθ' ἡμᾶς. Tu conf. annot. ad f. 11 r. i. Paullo post B.: πρὸ τῶν ἡμετέρων ὀφθαλμῶν, cum Reg bm. et C. Vulgo: πρὸ τῶν ὀφθαλμῶν τῶν ἡμετέρων, significantius. Ibidem verba: σκότος εἶναι ἀποκρυφὴν αὐτοῦ ex Ps. 17, 13 docente Elia.

(5) F. 359 r. m. ἐν ταῖς εὐπραγίαις ἐξυβρίζειν. ad p. 321, B. διὰ τὸν κόρον ὑβρίζειν. Conf. annott. ad f. 305 r. m. Gregor. Naz. Ep. 20 (16) p. 19, D.: κάμνουσα γὰρ ψυχὴ ἐγγύς ἐστι Θεοῦ, φησί που θαυμασιώτατα λέγων ὁ Πέτρος. Vid. Fabric. Cod. Apocryph. N. T. p. 812.

(6) In iis quæ ap. Gregor. sequuntur ἄνω νεύωμεν B. cum Edd.; ἀνανεύωμεν Reg. bm. melius. Vid. Corder. Onomast. Dionys. v. ἀνανεύω, *Animadvss. in Basilium* I, p. 75. et conf. El. f. 272 r. s. Simplici verbo νεύειν propensionem ad divina Gregorius declarat Or. XXXVII, p. 654, B. ubi in verbis: τοῖς καλουμένοις καὶ τοῖς οὕτω νεύουσι, loco mendosi καλουμένοις, ex duobus Regg. duobus Coisl. tribus Colb. et Or. 1 reponendum: βουλομένοις, quod etiam Billius legit. Conf. seqq. p. 654, C. καὶ τὸ *βούλεσθαι* καλῶς δεῖται τῆς παρὰ Θεοῦ βοηθείας, quæ neglexit Ullmannus in *Gregorio Naz.* p. 431. καλουμένοις defendens.

(7) Codex: μηδὲμίαν.

(8) Ἐπ' αὐτῷ B. et E. nimir. τῷ λόγῳ, satis bene. Vulgata tamen lectio: ἐπ' αὐτῆς, quæ ad πέτρα ἐπαινουμένη refertur, commendatur gemino loco ap. Greg. Or. XXVI, p. 478, A. οἱ δὲ — πέτραι, τῆς πέτρας ἐκείνης ἄξιοι, ἐφ' ἧς βεβήκαμεν· quibus, uti nostro loco, ad 1 Cor. 10, 4. respicitur. De translato βεβηκέναι vid. annott. ad Jo. Glyc. *De V. S. R.* p. 84 sq. et conf. El. f. 23 r. i.

(9) Παίξαντες m. 2. atr. et E. cum Edd. recte etsi forma Atticis non usitata. V. Lob. *Phryn.*, 240.

(10) Ps. 141, 10. et conf. de hac interpretatione vocis φυλακὴ *Animadvss. in Basil.* I, p. 124.

(11) Paullo antea p. 323, D. πονέσαντι B. et E. f. 363 r. i.: πονήσαντι M. et C. ex duobus Coisl.: ποιήσαντι Edd. quibus ex lectionibus πονέσαντι non minus quam ποιήσαντι a loci sensu abhorret. De forma πονέσω vid. Buttmann. *Gr. Gr. Ampl.* T. 2, p. 222 ed. II. De confusis verbis πονεῖν et ποιεῖν v. Boissonad. in *Notic. et Extr.* t. XI, P. II, p. 218.

(12) Paullo antea p. 324, A. προκαλούμενον B. cum Regg. bm. tribus Colb. Coisl. 1. Or. 2 et Jes.

τὸ μὲν... βίαιον οὐδὲ μόνιμον, τὸ δ' εὐνοίᾳ χειρούμενον παραμένειν μάλιστα πέφυκε. A

P. 324, C. *ἔτι μικρόν, καὶ ὁ κόσμος παρέρχεται καὶ ἡ σκηνὴ καταλύεται.*) F. 364 r. m. δυσωπεῖ νῦν αὐτὸν καὶ ἐκ τοῦ παροδικὰ εἶναι τὰ τῇδε πάντα. διὸ καὶ σκηνὴν τὸν κόσμον ὀνομάζει, ἐκ μεταφορᾶς τῶν σκηνῶν, ἃς πρὸς καιρὸν πηγνύντες οἱ γεωργοὶ αὖθις καταλύουσι.

P. 325, B. *τὴν Χριστοῦ κένωσιν τὴν ὑπὲρ ἡμῶν*) F. 365 r. m. λέγεται δὲ κένωσις ἡ εἰς ἔνδυμα ταπεινότερον τῆς ἀξίας αὐτοῦ ἀμεταβόλως ὑπόβασις, καὶ ἡ τῆς ἀνθρωπίνης μορφῆς ἐπαμφίασις.

OR. X.

P. 239, A. *ἵν' ἔχω τὴν ἀπραγμοσύνην καὶ τὸ φιλοσοφεῖν ἐν ἡσυχίᾳ, πάντα παρεὶς τοῖς βουλομένοις, ἐμαυτῷ δὲ προσλαλῶν καὶ τῷ Πνεύματι.*(1)) B F. 366 r. i. ἔργον.. ἡσυχίας προηγούμενον ἀμεριμνία πάντων πραγμάτων, εὐλόγων τε καὶ ἀλόγων, προσευχὴ ἄοκνος, ἐξ ἧς τὸ προσλαλεῖν Θεῷ ἡμῖν περιγίνεται, καὶ τρίτον ἐργασία καρδίας ἄσυλος.

F. 366 v. s. locutio : ὅλον τοῖς τῆς διανοίας κινήμασι προσηλοῦσθαι.

P. 239, C. *ταῦτα—*) F. 367 r. m. ταῦτα διελογιζόμην, καὶ τοῖς τοιούτοις διαλογισμοῖς ἐταλαντεύετό (2) μου ἡ ψυχή.

P. 239, C. *γράφειν.. σκιὰς καὶ ὀνείρατα καὶ τοῖς ματαίοις ἀναπλασμοῖς ἑστιᾶν τὴν διάνοιαν*) F. 367 r. m. (ad : *ἑστιᾶν*) εὐφραίνειν τε καὶ τέρπειν. Ibid. (ad : *ὀνείρατα*) ἅπερ ἀκηδιάσασά ποτε καὶ χαυνωθεῖσα ἡ ψυχὴ ἀναπλάττειν εἴωθε καθ' ἑαυτήν.

P. 239, C. *νῦν δὲ τί ;* cet.) F. 367 r. m. τὰ βουλευόμενα τῷ μεγάλῳ τούτῳ... διαπέπτωκε τῶν (3) τοῦ πατρὸς λόγων καὶ τῶν.. Βασιλείου ὑπερισχυσάντων.

P. 239, C. *γῆρας φρονήσεως*) F. 367 r. i. ὥσπερ ἐστὶ γῆρας σώματος, οὕτω καὶ φρονήσεως, σταθηρότητός (4) τε καὶ τελειότητος.

F. 367 r. i. καλεῖ δὲ καὶ λιμένα τὸ γῆρας (p. 239, C.), ὡς ἐνόμιζον (5) γαλήναις καὶ ἀταραξίᾳ παθῶν.

P. 239, D. *πλουτοῦντος Θεῷ*) Elias hæc explicans f. 367 r. i. utitur locutione : πλουτεῖν Θεῷ, καὶ πᾶσι τοῖς πνευματικοῖς εὐθηνεῖσθαι.

F. 367 v. s. ὠργίζετό τε καὶ ἐκυμαίνετο. ἔστι γὰρ ὁ θυμὸς οἷον ἔκδικος.

P. 239, D. *προσγελῶ τῷ πνεύματι, καὶ ἡ καρδία μου καθίσταταί μοι*) F. 367 v. s. ἡ ψυχή μου διακέχυται ὑφ' ἡδονῆς καὶ προσμειδιᾶν δοκεῖ, πρώην σκυθρωπάζουσα καὶ κατηφιῶσα, καὶ ἡ καρδία μοι ἐν ἱλαρᾷ νῦν καταστάσει ἐστί, πρώην θολωθεῖσα καὶ ταραχθεῖσα.

F. 367 v. i. sq. ubi de lapsu : ἐκεῖθεν... ἡμῖν καὶ τὰ μυρία τῶν κακῶν ἐπεισέφρησε (6) πάθη.

P. 240, A. *σκηνὴν δὲ ἄλλος ἄλλην εὐπρεπεστέραν προβέβληται* F. 368 r. s. (ad : *σκηνήν*) ὑπόκρισιν.. ἐπίκρυψιν κοσμιωτέραν ἐνδείκνυται.

F. 368 r. s. ξυνωρὶς οὐκ ἀνώνυμος ὄντες τε καὶ λεγόμενοι. Ibid. περισσοτέρως τῷ πρὸς ἀλλήλους τρωθέντες ἔρωτι (7).

F. 368 v. m. τὸ δὲ *ἴσως* παρενθεὶς (p. 240, D.), τὸ δοκοῦν αὔθαδες τεθεράπευκεν.

quos C. recte secutus; προκαλοῦμεν Edd. inepte. Tu v. annott. ad f. 256 v. s.

(1) Paullo post p. 239, B. m. 2. atr. mg. addit omissa in contextu : ἡλιοῦ (l. Ἠλιοῦ) *περιενόουν τὸν* Κάρμηλον, et sic Bas. M. C.; περινοούντων Bill. pessime. — P. 239, B. minus recte B. ἐφ' οἷς et τοὺς πολεμίους pro vulgatis : ὑφ' οἷς et πολέμους.

(2) Ταλαντεύεσθαι sive ταλαντοῦσθαι est *alternis motibus agitari*. Vid. Wesseling. *ad Diod. Sic.* L. XI, c. 22, T. I p. 420, b. 421, a. Ruhnken. *ad Tim. Lex. V. Pl.* p. 247 sq. Jacobs. *ad Achill. Tat.* p. 461.

(3) Id est : *irrita sunt reddita patris et Basilii oratione.* De hac potestate verbi διαπίπτειν monui ad Jo. Glyc. *De V. S. R.* p. 120, a.

(4) Metaphoram et scripturam vocis σταθηρότης illustravi *Animadvss. in Basil.* I p. 176.

(5) Scribendum certissima emendatione : ἐνορμίζον, quod *portus* imagini unice accommodatum.

(6) De verbo ἐπεισφρεῖν v. Boissonad. *Anecd.* t. 3, p. 112.

(7) Hæc delibata ex Gregorii *Or. Fun. in Basil.*, quæ est XLIII, p. 788, A. ξυνωρὶς οὐκ ἀνώνυμος, (del. ὑποστιγμή) καὶ ὄντες παρ' αὐτοῖς καὶ ἀκούοντες, uti sequentia ex eadem Or. p. 785, C. οὕτως ἐπ' ἀλλήλοις ἐτρώθημεν. De translato ξυνωρὶς v. Sinner. *ad Greg. Naz. Or. Fun. in Cæsar.* p. 25. Translatum τρωθῆναι attigi *Animadvss. in Basil.* I, p. 142.

ADDITAMENTA AD ELIAE COMMENTARIOS.

Or. XXVII, p. 487, A.) Initium Commentariorum C Fol. 1 r. s. quo Elias *Eunomianos* etiam ἀνομοίους et ἐξουκοντίους appellari solitos docet, Leunclavius Annott. in Greg. Nyss. De Hom. Opif. ed. Oporin. p. 330 ipsis Eliæ verbis retulit.

P. 494, D.) F. 11 r. m. de *Pythagora* : οὗτος... φιλόσοφος ὤν, αὐτός τε σιωπὴν ἤσκησε, καὶ τοῖς φοιτῶσι τούτῳ ἐπέταττε πρὸ πάντων ἐπὶ πενταετίᾳ σιγᾶν, ἀκροωμένοις μόνον. εἶτα παρεχώρει λέγειν, ὡς ἤδη λόγου δύναμιν κτησαμένοις. Ὀρφικοὺς δὲ κυάμους λέγει, οὓς ἐξ *Ὀρφέως* παρείληφει *Πυθαγόρας* μὴ ἐσθίειν. ὁ γάρ τοι *Ὀρφεὺς* ἐδογμάτισε, κυάμους μὴ ἐσθίειν φιλόσοφον, οἶμαι διὰ τὸ χύειν αἷμα, ὅπερ ὡς θερμαντικὸν εἰς ἀφροδίσια ἐγείρει, ἢ διὰ τὸ ἀναπέμπειν εἰς τὸν ἐγκέφαλον παχεῖς ἀτμοὺς καὶ ἀχλυώδεις, καταθολοῦντας τῶν βεβρωκότων τὸν νοῦν καὶ συγχέοντας τὸν λογισμὸν καὶ τοὺς ὀνείρους τεταραγμένους ποιοῦντας. τοῦτο δὲ τὸ δόγμα μετ' ἐκεῖνον *Πυθαγόρας* ἐκράτυνε. τὸ δὲ *καὶ τὴν περὶ τὸ· αὐτὸς ἔφα καινοτέραν ἀλαζονείαν* τοιοῦτόν ἐστι· οἱ Πυθαγόρειοι περί τινος ἀποφαινόμενοι καὶ λόγον ἀπαιτούμενοι τῶν λεγομένων ἤτοι ἀπόδειξιν καὶ βεβαίωσιν, *αὐτὸς ἔφα*, ἀπεκρίνοντο, τουτέστι, αὐτὸς εἶπεν ὁ Πυθαγόρας, ἀξιοπίστους καὶ ἀναντιῤῥήτους νομίζοντες τοὺς ἐκείνου λόγους. Πυθαγόρας δὲ τοῦτο παρέδωκεν αὐτοῖς, καινήν τινα καὶ ξένην ἀλαζονείαν.

P. 494, D.) F. 11 r. i. post verba : τὸ περὶ πρ. φ. δ. πρ. ἐκράτυνε, adde : μεταβαίνειν ἀπὸ τοῦδε τοῦ σώματος ληρῶν εἰς ἐκεῖνο καὶ αὖθις εἰς ἕτερον, καὶ περιόδους τοιαύτας τελεῖν κατὰ ἀναλογίαν τῶν

ἰδίων ἁμαρτημάτων. διὸ καὶ τὰς μαθήσεις ἀναμνήσεις ἐκάλει τῆς προτέρας γνώμης, ἧς εἰς λήθην ἐλθούσας μετὰ τὸ ἐνδεδέσθαι τοῖς σώμασι, μόλις ποτὲ αὖθις εἰς ἀνάμνησιν ἔρχεσθαι. Priorem loci particulam Leunclavius Annott. in Greg. Nyss. De Hom. Opif. p. 360 sq. græce retulit.

P. 495, A.) F. 12 r. m. *Πτολεμαῖος*... ὁ Ἀλεξανδρεὺς καὶ *Ἥρων* καὶ οἱ κατ' αὐτοὺς μαθηματικοὶ τὸν ἀέρα λέγουσιν ἐκ δυοῖν τούτοιν συνεστάναι, τοῦ πλήρους καὶ τοῦ κενοῦ, ὑπ' ἀμφοῖν περιπεπλεγμένον καὶ διατετμημένον, ὥσπερ σπόγγον τινά, κενώματα μεταξὺ τοῦ σώματος ἔχοντα. ὅτι γὰρ σῶμα καὶ ὁ ἀήρ, δῆλον etc.

P. 495, B.) F. 12 v. m. *κόσμων* δὲ, τῶν παρὰ *Δημοκρίτῳ*. οὗτος γὰρ καὶ οἱ κατ' αὐτὸν πολλοὺς ἔλεγον καὶ ἀπείρους, ἵνα μή, φησίν, ἡ δύναμις ἡ θεία περικλείηται καὶ ἡ τοῦ Θεοῦ ἄπειρος ἀγαθότης.

Or. XXVIII, p. 498, B.) F. 17 v. s. *Πλάτων*... καὶ πρὸ τούτου *Ἑρμῆς*, ὁ παρ' Ἕλλησι *τρισμέγιστος* ἐπικληθείς, κενῇ οἰήσει δουλεύοντες καὶ δόξαν τοῦ Θεὸν κατειληφέναι, τί τὴν φύσιν ἐστί, βουλόμενοι ἀπενέγκασθαι, τοιούτοις τοῖς ῥήμασιν οὐκ ἀπονήρως· τοῦτο γὰρ *οὐκ ἀτέχνως*· ἀλλὰ καὶ σφόδρα πανούργως καὶ τεχνικῶς ἐχρήσαντο, δι' ὧν ὑπελάμβανον καὶ κατειληφέναι φύσιν Θεοῦ νομισθῆναι, καὶ τοὺς ἐλέγχους διαφυγεῖν. τὸ γὰρ *χαλεπὸν* οὐ τὸ ἀδύνατον, ἀλλὰ τὸ δυσχερὲς καὶ δύσκολον ὑποσημαίνειν βούλεται. εἰ οὖν οὐκ ἀδύνατον νοῆσαι Θεόν, τί τὴν φύσιν ἐστίν, ἀλλὰ δυσχερές, καταληφθήσεται πάντως ποτὲ τοῖς τὴν ἕξιν τελεωτέροις, ὅπερ ἄτοπον. *Θεὸν γὰρ οὐδεὶς ἑώρακέ ποτε* (Jo. 1, 18), ἤτοι ἔγνωκε, τί τὴν φύσιν ἐστίν, οὐδ' αἱ πρωτοταγεῖς τῶν ἄνω δυνάμεων, ὡς εὐθὺς ἐρεῖ. ἀλλὰ τοῦτο μὲν τοιοῦτον *Πλάτωνος* καὶ *Ἑρμοῦ* τὸ πονήρευμα. ἵνα δὲ μὴ τὸ νοηθὲν ἐκφράσαι ἀπαιτούμενοι καὶ μὴ δυνάμενοι κατάφωροι γένοιντο καὶ διελέγχοιντο, προκαλύμματι τάχα καὶ τοῦτο ἠσφαλίσαντο, ἐπενεγκόντες ἀνέκφραστον εἶναι τὸ νοηθέν.

P. 499, A.) F. 18 v. s. τὸ δὲ· *ἃ ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε*, καὶ τὰ ἑξῆς (1 *Cor.* 2, 9. ap. Gregor.) ἀπὸ τῆς λεγομένης ἀποκρύφου βίβλου *Ἠλιοῦ* τοῦ προφήτου μετέλαβεν ὁ Ἀπόστολος. ἅπερ νῦν τέως ἀκατάληπτα ὄντα τελείοις γενομένοις ὕστερον καὶ τὸ θνητὸν ἀποβαλοῦσι τοῦ σώματος καταληφθήσεται.

P. 507, A.) F. 31 r. i. τὸ δὲ ἑξῆς ἐπιφωνηματικόν· ὢ *τῆς γελοίας κληροδοσίας*· φησὶ γὰρ *Ὅμηρος*· *τριχθὰ δὲ πάντα δαίδασται* (l. δέδ.), *ἕκαστος δ' ἔμμορε τιμῆς* (Il. XV, 189.).

P. 507, B.) F. 31 v. i. δαίμονας δὲ καὶ θεούς τινὲς μὲν τοὺς αὐτοὺς ὠνόμαζον, τινὲς δὲ θεοὺς μὲν τοὺς μείζονας καὶ προγενεστέρους, δαίμονας δὲ τοὺς ἐλάττονας καὶ μεταγενεστέρους, ἕτεροι δὲ τοὺς ἥρωας. φησὶ γὰρ καὶ *Ἡσίοδος*· *τρὶς γὰρ μύριοι εἰσὶν ἐπιχθόνιοι* (m. 2 recte ἐπὶ χθονὶ) *πολυβοτείρη* (m. 2. recte πουλυβ.) *δαίμονες ἀθάνατοι φύλακες θνητῶν ἀνθρώπων*.

P. 512, C.) F. 42 v. s. ἡ.. κατὰ σύνθεσιν ἕνωσις ἡ καθ' ὑπόστασίν ἐστιν ἕνωσις (verba: ἡ καθ'... ἐστιν in mg. a. m. 1.), ἥτις μίαν ὑπόστασιν τῶν ἑνουμένων ἀποτελεῖ σωμάτων, σώζουσα τὰς συνελθούσας πρὸς ἕνωσιν φύσεις καὶ τὴν τούτων διαφορὰν καὶ τὰ τούτων φυσικὰ ἰδιώματα ἀσύγχυτά τε καὶ ἄτρεπτα ἐν ἑαυτῇ, αὐτὴ δὲ πρὸς ἑαυτὴν οὐδὲ μίαν (l. οὐδεμίαν) ὑποστατικὴν ἔχει διαφοράν. Ad hæc m. rec. mg. *Unio hyposta ica Thome.*

P. 513, D.) F. 47 v. m. πολλή τις ἡ τοῦ ἀνθρώπου πρὸς τὰ ἄλλα ζῶα διαφορά, κἀκείνων πρός τε τὸν ἄνθρωπον καὶ πρὸς ἄλληλα. — — εἰ δὲ τὰς αἰτίας τούτων ζητοίης, ἀφθόνους σοι παρέξει ἡ περὶ ζώων ἱστορίας βίβλος (nim. *Aristotelis*) καὶ αὐτὴ δὲ ἡ περὶ χρείας μορίων (nim. *Galeni*). Ibid. γεννᾶσθαι... λέγεται, οὐκ ἐκ τῶν αὐτῶν τὰ αὐτὰ μόνον, ὡς *Ἀριστοτέλης* ἐν τῇ περὶ ζώων γενέσει (m. 2 mg. recte: γενέσεως) βίβλῳ διέξεισι — ἀλλὰ καὶ ἐξ ἑτέρων ἕτερα.

P. 515, D.) F. 50 v. i. *ποῖος*, φησίν, *Εὐκλείδης ἴσχυσε μιμήσασθαι ταῦτα*; ἦν δὲ ὁ *Εὐκλείδης*

A οὗτος γεωμετρίας διδάσκαλος, ὃς καὶ γεωμετρικὰ βιβλία συντάξας, περὶ σχημάτων ἔγραψε. γραμμὰς δέ τινας διαγράφων, ἐκέλευε τὰ σχήματα τούτων ἀφελεῖν τῆς ὕλης καὶ κατὰ νοῦν τυποῦντας, θεωρεῖν διὰ τούτων ἕτερά τινα νοητά. οὐκ οὔσας οὖν εἶπε γραμμάς, ὡς μὴ παραμενούσας τῇ θεωρίᾳ μετὰ τὴν τῶν τύπων ἀφαίρεσιν, ἢ ὡς οὐκ οὔσας νῦν οὕτως ἐν χρήσει ὥσπερ ἐκείνῳ πάλαι, κάμνοντι ταῖς περὶ τῶν τοιούτων ἀποδείξεσι. τὸ γὰρ ἄχρηστον ἴσον τῷ μὴ ὄντι.

P. 516, A.) F. 51 r. m. Κνωσσὸς πόλις Κρήτης, ἐν ᾗ *Δαίδαλος* ὁ ἀνδριαντοποιὸς ἢ ἀγαλματογλύφος. ὃς ἐδόκει τῇ τῆς τέχνης ἀκριβείᾳ μονονουχὶ τοῖς ἀψύχοις ἐμπνεῖν ζωήν, τήν τε Ἀριάδνην καὶ χορὸν γυναικῶν περὶ αὐτὴν κατεσκεύασεν, οὗπερ *Ὅμηρος* μέμνηται λέγων· *ἐν δὲ χορὸν ποίκιλλε περικλυτὸς ἀμφιγυήεις τῷ εἴκελλον* (l. εἴκελον) *οἷον ποθ'* (l. οἷόν ποτ') *ἐν Κνωσσῷ εὐρείῃ* (l. εὐρ.) *Δαίδαλος ἤσκησεν καλλιπλοκάμῳ Ἀριάδνῃ*.

B Or. XXIX, p. 525, E.) F. 95 r. m. πῶς γὰρ θέμις τὸ ἐκ τοῦ Θεοῦ καὶ ἴδιον αὐτοῦ γέννημα, καθὼς φησιν ὁ μέγας *Ἀθανάσιος*, εἰπεῖν ἐξ οὐκ ὄντων;

P. 527, D.) F. 82 v. i. εἰρωνικῶς δὲ *περιδέξιον* τὸ μὴ τοιοῦτον εἴρηκεν, ἢ τάχα καὶ ὡς διλήμματον προενηνεγμένου. περιδέξιον γὰρ ἐκάλουν ἄνδρα οἱ παλαιοὶ τὸν ἀμφιδέξιον, ἤγουν τὸν ἐπίσης ἀμφοτέραις χρώμενον ταῖς χερσίν. οὕτως *Ὅμηρος* περὶ Ἀστεροπαίου· *βάλλων ἀμφοτέρῃσιν* εἴρηκε.

P. 529, D.) F. 86 r. i. περιττὴν δὲ σοφίαν τὴν σοφιστικήν φησιν, ᾗ χρώμενοι οἱ αἱρετικοί, τὰ σοφιστικὰ ταῦτα σοφίσματα προετείνοντο. ἐξ ἧς καὶ οὗτος τὰς ἀφορμὰς λαμβάνων, ἀπόροις τὰ ἐκείνων ἔλυεν ἄπορα, ὥσπερ καὶ νῦν πεποίηκεν, ἐξ *Ἀριστοτέλους* τὴν ἀφορμὴν τοῦ παρόντος λαβὼν προβλήματος. ἐκεῖνος γὰρ ἀντικαθιστάμενος πρὸς *Πλάτωνα*, λέγοντα τὸν χρόνον ἐν γενέσει, οὕτως συνελογίζετο, ὡς διὰ βραχέων εἰπεῖν. εἰ μὲν ὁ χρόνος ἐν γενέσει, χρόνος καὶ ἡ γένεσις, καὶ λοιπὸν ἐρωτᾷ περὶ τούτου πάλιν τοῦ χρόνου. καὶ εἰ καὶ οὗτος ἐν γενέσει, χρόνος

C αὖθις ἡ γένεσις, περὶ οὗ ἐρωτῶν ὁμοίως, εἰς ἀπέραντον ἀναβαίνω (ἀναβαίνει m. 2 sup. li. recte), καὶ οὕτως τὸ ἀΐδιον ἀναφαίνεται. εἰ δ' οὐκ ἐν γενέσει, πάλιν ὁ χρόνος ἀΐδιον. τὸ γὰρ ὂν μέν, ἐν γενέσει δὲ πάντως ἀΐδιον.

P. 531, A.) F. 89 r. m. ὥσπερ δὲ *Πλάτων* καὶ οἱ περὶ τοῦτον, οἳ ἀπὸ τούτου ἀγέννητον τὴν ὕλην καὶ τὰς ἰδέας ἔλεγον, οὕτω καὶ *Μανιχαῖοι*, δύο ἀρχὰς ληροῦντες, ἀγαθὸν καὶ κακόν, φῶς καὶ σκότος, ἀγέννητον τὸ σκότος εἰσάγουσιν.

P. 534, C.) F. 103 r. s. τρισκαίδεκα εἰδῶν ὄντων παραλογισμοῦ, καθὼς τὸ τῶν σοφιστικῶν ἐλέγχων βιβλίον διέξεισιν, ἓν τούτων ἐστὶ τὸ παρὰ τὸ πῆ καὶ ἁπλῶς λεγόμενον. γίνεται δέ, ὅταν τις τὸ πῆ καὶ μερικῶς εἰρημένον ἁπλῶς καὶ καθολικῶς εἴπῃ. sequitur exemplum Aethiopis albi.

Or. XXX, p. 543, A.) F. 125 v. i. hæc porro de *Origene*: οὗτος γὰρ πρὸς τοῖς ἄλλοις, οἷς ἐδυσσέβει κατὰ τῆς ἁγίας Τριάδος, οὐκ ἔλεγε κατὰ τὸν ἀληθῆ

D τῆς ὀρθοδοξίας λόγον σάρκα ἐψυχωμένην (m. 1 ἐμψ. sed μ erasum) ψυχῇ λογικῇ καὶ νοερᾷ τὸν τοῦ Θεοῦ Λόγον ἐκ τῆς Παρθένου ἀνειληφέναι (f. 126 r. s.), ἀλλ' ἤδη πρὸ καταβολῆς κόσμου ἡνῶσθαι αὐτὸν τῷ νῷ, ἐκείνῳ διεβεβαιοῦτο τῷ, ὡς ἔφασκεν, ἐκλελεγμένῳ ἀπὸ μυριάδων καὶ κλόνον οὐχ ὑπομείναντι, καὶ ἅμα αὐτῷ ἐπ' ἐσχάτων ἐνηνθρωπηκέναι τὸν Κύριον (τ. Κ. punctis sup. et inf. lin. notata) τῶν χρόνων καὶ σάρκα ἀναλαβεῖν ἀνθρωπίνην, ἣν καὶ πάλιν ἀποθέσθαι διισχυρίζετο.

P. 545, C.) F. 128 v. i. *εἰ καὶ τὸ συναμφότερον ἕν, ἀλλ' οὐ τῇ φύσει*· τοῦτο γὰρ τῆς τοῦ *Εὐτυχοῦς* συγχύσεως, συγχέοντος τὰς φύσεις μετὰ τὴν ἕνωσιν· *ἀλλὰ τῇ συνόδῳ* τε καὶ συνελεύσει τῶν δύο φύσεων εἰς μίαν σύνθετον ὑπόστασιν. οὔτε γὰρ τὴν τῶν φύσεων ἀρνούμεθα διαφοράν, ὡς ἐκεῖνος μετὰ τὴν ἕνωσιν, ἐξ ὧν ὁ εἷς συνετέθη Χριστός, ἀσυγχύτους μεμενηκέναι τὰς φύσεις πιστεύοντες, οὔτε τὴν καθ' ὑπόστασιν ἀγνοοῦμεν ἕνωσιν.

P. 555, C.) F. 145 r. p. m. ταῦτα δὲ τῆς τοῦ

Ἀπολιναρίου αἱρέσεως ἐναργῶς εἰσιν ἀνατρεπτικά, ὃς μετὰ τῶν ἄλλων ἀσεβειῶν ἄψυχον σάρκα καὶ ἄνουν ἀνειληφέναι τὸν Κύριον ἐδογμάτιζεν, ἀντὶ ψυχῆς δὲ καὶ νοῦ τυγχάνειν αὐτοῦ τὴν θεότητα.

Or. XXXI, p. 560, D.) F. 155 v. i. *Σίμων*.. καὶ *Μαρκίων* αἱρεσιάρχαι. καὶ οἱ μὲν ἀπὸ *Σίμωνος* ἐτίμων τὴν ὀγδοάδα διὰ τοὺς παρ' αὐτοῖς αἰῶνας. ἐμυθολόγησε γὰρ ὅτι ὁ Βυθὸς τῇ ἑαυτοῦ Σιγῇ συγγενόμενος, ἐγέννησε τὸν Νοῦν καὶ τὴν Ἀλήθειαν. καὶ ἔπλασε προπάτορας μὲν αἰῶνας τὸν Βυθὸν καὶ τὴν Σιγήν, ὡς εἴρηται, ἐκ δὲ τούτων δευτέρους τὸν Νοῦν καὶ τὴν Ἀλήθειαν, καὶ ἀπὸ τούτων τρίτους τὸν Λόγον καὶ τὴν Ζωήν, καὶ ἀπὸ τῶν τρίτων τετάρτους τὸν Ἄνθρωπον καὶ τὴν Ἐκκλησίαν. οἱ δ' ἀπὸ *Μαρκίωνος* αὐξήσαντες τὴν νόσον, ἐσέβοντο τριακάδα διὰ τοὺς περὶ τούτοις (F. 156 r. s.) τριάκοντα αἰῶνας. ἐλήρουν γὰρ ὅτι (sequuntur, quæ habes in Excerptis, hisce adjectis :) οἱ τοῖς προαπηριθμηθεῖσιν ὀκτὼ συναριθμούμενοι, δέκα καὶ ὀκτὼ γίνονται. ὁ δὲ Ἄνθρωπος καὶ ἡ Ἐκκλησία ἑτέρους αἰῶνας δώδεκα, μεθ' ὧν ὁμοῦ τριάκοντα γίνονται. περιττὸν δὲ καὶ τὰ τούτοις (l. τούτων) ὀνόματα γράφειν, διὰ τὸ γραῶδες αὐτῶν καὶ παγγέλαστον καὶ κατάπτυστον. Similia Elias f. 301 v. m. ad Or. XXXIII, p. 614, C.

P. 566, B.) F. 165 r. p. m. τοὺς δὲ Φάνητας πλὴν ὀλίγων οἶμαι πολλοὺς ἀγνοεῖν, ὅτι εἷς μὲν οὗτος, κἂν πληθυντικῶς λέγηται, ἐν δὲ τοῖς *Ὀρφικοῖς* ποιήμασιν εἰσάγεται μετὰ τῶν ἄλλων θεῶν καὶ ὁ Φάνης οὗτος περὶ τὴν πυγὴν ἔχων τὸ αἰδοῖον, ὁμοίως δὲ καὶ ὁ Ἠρικαπαῖος. καὶ ὁ μὲν Φάνης τῆς ζωογόνου δυνάμεως προεστηκέναι λέγεται, ὁ δὲ Ἠρικαπαῖος ἑτέρας, ἀλλόκοτοι cet.

P. 566, C.) F. 165 v. m. τί ἐροῦσι πρὸς τὸ παρ' *Ὁμήρου* ἐκ προσώπου τοῦ Ποσειδῶνος λεχθέν; οὐ γὰρ ἂν καὶ τοῦτο ἀλληγορήσουσι. εἰσάγει γὰρ *Ὅμηρος* τὸν Ποσειδῶνα ταῦτα λέγοντα καὶ τρόπον τινὰ φυσιολογοῦντα, Διῒ μὲν (sic m. 2 ; m. 1. δι' ἐμὲ δὲ) τὸν αἰθέρα προσκληρωθῆναι ἐν τῇ τοῦ παντὸς διανομῇ, τῷ δ' Ἅδῃ τὸν ἐπώνυμον τῶν νεκρῶν τόπον, ἤτοι τὸν καταχθόνιον, αὐτῷ δὲ τῷ ταῦτα ληροῦντι τὴν θάλασσαν. ἡ γῆ δὲ ξυνή, φησί, πάντων, ἤτοι κοινή, καὶ μακρὸς Ὄλυμπος. οἵτινες cet. in Excerptis.

P. 574, B. *ὥς τις... ἐφιλοσόφησεν*) F. 176 r. i. ταῦτα δὲ ἐκ τῆς ἀποκαλύψεως ἐστὶ *Γρηγορίου τοῦ θαυματουργοῦ*, ὅντινα καὶ ὡς θεοφόρον ἐξυμνεῖ ὁ θεόπνευστος οὗτος καὶ ὁμώνυμος.

P. 575, B. *συναριθμούμενον*) F. 179 v. i. (τὸ Πνεῦμα) συναριθμεῖται παρὰ τῶν εὐσεβῶς θεολογούντων εἰς συμπλήρωσιν τῆς ἁγίας Τριάδος. οὐ γὰρ ἂν εἴη τριάς, μὴ καὶ τούτου συναριθμουμένου, καθὼς ἐμυσταγωγήθη ὁ μέγας καὶ *θαυματουργὸς Γρηγόριος*.

P. 582, D. E.) F. 191 r. i. εἰς τὸν γεννώμενον, ὡς ἡμεῖς λέγομεν καὶ δοξάζομεν, εἰς τὸν κτιζόμενον, ὡς *Ἀρειανοί* φασιν, καὶ εἰς τὸν ἀπὸ Μαρίας ἀρχόμενον, κατὰ *Φωτεινὸν* τὸν Σιρμίου, λέγοντα τοῦτον ἄρξασθαι τοῦ εἶναι ἀπὸ Μαρίας, μὴ πρότερον ὄντα ὅλως, καὶ εἰς τὸν ἀναλύοντα ὅθεν εἰς τὸ εἶναι προῆλθε, κατὰ *Μάρκελλον τὸν Ἀγκύρας*. οὗτος γὰρ ἐδογμάτιζεν ὅτι ὡς Λόγος προελθὼν καὶ τὴν οἰκονομίαν τελέσας, αὖθις ἀνελύθη εἰς τὸν Πατέρα, ἀφ' οὗ εἰς τὸ εἶναι προῆλθε. ἄνουν δὲ ἄνθρωπον τὸν Χριστὸν *Ἀπολινάριος* ἐκήρυσσεν, ἀρκεῖν λέγων ἀντὶ νοῦ τὴν θεότητα.

— — (F. 191 v. s.) — — καὶ ὄντα δὲ τοῦτον ὁ αὐτὸς ἐδογμάτιζε λέγων, ὅτι ὢν ἄνθρωπος, κατῆλθεν εἰς γῆν, ἐπιφερόμενος ἰδίαν σάρκα, προαιώνιον καὶ συνουσιωμένην. — — καὶ φαινόμενον δὲ αὐτὸς πάλιν ἔλεγε, δοκήσει καὶ φαντασίᾳ τοῦτον ἐνανθρωπῆσαι ληρῶν, φαινόμενον μὲν ἄνθρωπον, μὴ ὄντα δέ. — — ὁμοίως δὲ καὶ εἰς πολλά, φησί, πνεύματα τὸ ἓν καὶ τὸ αὐτὸ πνεῦμα διῄρουν, εἰς τὸ ἄκτιστον, ὡς ἡμεῖς λέγομεν ὀρθῶς δοξάζοντες, καὶ εἰς τὸ κτίσμα, ὡς *Μακεδόνιος*, ἐπισκοπήσας ἐν Κωνσταντίνου πόλει, καὶ εἰς τὸ ἐνέργημα, ὡς *Εὐνόμιος* καὶ πρὸ αὐτοῦ *Ἀέτιος*, καὶ εἰς τὸ ψιλὸν ὄνομα, ὡς ὁ Λίβυς *Σαβέλλιος*.

Or. XXXII, p. 596, A.) F. 214 r. i. ὁ.. *Πύῤῥων* Ἐπικούρου μὲν γέγονε μαθητής, ἐδογμάτιζε δὲ πάντων ἀκαταληψίαν. διὸ καὶ τοὺς αὐτοῦ λόγους καὶ συλλογισμοὺς οἱ μὲν ἐνστάσεις ὠνόμασαν, ὡς ἐμποδίζοντας πᾶσι ζητήμασιν, οἱ δὲ (F. 214 v. s.) ἐφέξεις, ὡς ἐπέχοντας αὐτὰ καὶ κωλύοντας, διὰ τὸ δογματίζειν ὅτι πάντα ἀκατάληπτα, οἱ δὲ ἀντιθέσεις, ὡς πᾶσιν ἀντιλέγοντας. τοιοῦτος μὲν ὁ *Πύῤῥων*. ὁ δὲ *Χρύσιππος* ἀδελφιδοῦς μὲν ἦν Πλάτωνος, δεινοτάτοις δὲ καὶ δυσεκλύτοις ἐκέχρητο συλλογισμοῖς ἐν ταῖς διαλέξεσιν, ὡς καὶ τέχνην αὐτὸν παραδοῦναι τῶν τοιούτων συλλογισμῶν, ὧν τὰς διαλύσεις οἱ μεταγενέστεροι φιλόσοφοι γράψαντες ἀντιπαραδεδώκασι.

(Or. VI, p. 191; B.) F. 244 r. p. m. ἱστορεῖ δὲ *Ἰώσηπος* ἐν τῇ τῆς Ἱερουσαλὴμ ἁλώσει, τῇ ὑπὸ Ῥωμαίων ἐπὶ Οὐεσπασιανοῦ καὶ Τίτου τοῦ υἱοῦ αὐτοῦ γενομένῃ, γυναῖκά τινα τοὔνομα Μαρίαν, πατρὸς Ἐλεαζάρου, τὸ ἑαυτῆς θυσαμένην τέκνον, βρῶμα ἴδιον ποιήσασθαι, ὅπερ καὶ *λιμοῦ φάρμακον* εἶπε. *Σύμμαχος* δὲ καὶ *Θεοδοτίων* Ναζιραίους τοὺς ἡγιασμένους ἐκδεδώκασιν εἶναι καὶ τοὺς ἐκ μήτρας ἀφωρισμένους Θεῷ.

P. 194, C.) F. 250 v. m. εἰρήνην δὲ πάντα νοῦν ὑπερέχουσαν τὸ Πνεῦμα τὸ ἅγιον ἐδέξατο ὁ θεῖος *Κύριλλος*. τοῦτο γὰρ ὑπερέχει πάντα νοῦν, οὐ μόνον ἀνθρώπινον, ἀλλὰ καὶ πνευματικόν, δι' οὗ καὶ τὰ πάντα ὁ μονογενὴς Υἱὸς τῷ Πατρὶ κατήλλαξεν.

Or. XXIII, p. 432, B.) F. 265 r. i. τοῦτο δὲ κεκίνηκε τὸ νόημα, τὴν ἐσφαλμένην ὑπόνοιαν τῶν *Τριθειτῶν* διορθούμενος.

Or. XXII, p. 424, C.) F. 284 r. m. κατὰ.. τὴν τῶν *Θεοπασχιτῶν* ὑπόληψιν εἰ ὁ Υἱὸς ἔπαθε καὶ ἀπέθανε κατὰ τὴν θείαν ἑαυτοῦ φύσιν, δυὰς γέγονεν ἡ τριάς, τοῦ Υἱοῦ ἀποθανόντος, καὶ ἦν ἄρα δυὰς μέχρι τῆς ἐκ νεκρῶν ἀναστάσεως αὐτοῦ.

Or. XXXIII, p. 614, B. C.) F. 301 v. m. *Οὐαλεντῖνος* τὴν μίαν ἀρχήν, τὸν ἕνα Θεὸν εἰς δύο κατατέμνων ἐν τῷ δογματίζειν δύο ἀρχὰς ἤτοι δύο θεούς, ἄλλον παρὰ τὸν ἀγαθὸν ἔλεγε τὸν Δημιουργόν, καὶ τὸν μὲν ἀγαθὸν ὠνόμαζε Πατέρα τοῦ Μονογενοῦς, τὸν δὲ Δημιουργὸν ἐκάλει δίκαιον. τὸν μὲν γὰρ ἐν τῷ νόμῳ κελεύειν, ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ ἐκκόπτειν καὶ ὀδόντα ἀντὶ ὀδόντος, τὸν δὲ ἐν τῷ εὐαγγελίῳ παραινεῖν τῷ ῥαπιζομένῳ τὴν δεξιὰν σιαγόνα στρέφειν καὶ τὴν ἄλλην τῷ παίοντι, καὶ τὸν μὲν προστάξαι μισεῖν τὸν ἐχθρόν, τὸν δὲ μᾶλλον ἀγαπᾶν αὐτόν, καὶ τὰ τοιαῦτα.

P. 614, C.) F. 302 v. i. *Μαρκίων* πολλὰς καὶ ποικίλας θεολογίας φλυαρήσας, ὑπέθετο καὶ δημιουργὸν Θεόν, ἐκ τῶν εἰκοσιτεσσάρων στοιχείων ἤτοι γραμμάτων συγκείμενον, οὗ κεφαλὴν μὲν τὸ ἄλφα καὶ τὸ ω, τράχηλον δὲ τὸ β καὶ τὸ ψ, ὤμους δὲ τὸ γ καὶ τὸ χ, στῆθος δὲ τὸ δ καὶ τὸ φ, καὶ τὰ ἑξῆς μέρη τὸν ὅμοιον τρόπον ἄχρι ποδῶν, οὓς εἶναι (f. 302 r. s.) τὸ μ καὶ τὸ ν. ταῦτα δὲ τὰ εἰκοσιτέσσαρα στοιχεῖα καὶ ἀριθμοὺς ἐκάλεσεν, ὡς ἀριθμῶν δηλωτικά, ὧν ἕκαστον ἐμφαίνειν ἔλεγεν ἑκάστην δύναμιν τοῦ τοιούτου θεοῦ, περὶ ὧν περιττὸν λέγειν διὰ τὸ γραῶδες καὶ ληρῶδες αὐτῶν.

P. 614, C.) F. 302 r. s. *Μοντανὸς*.. γυναῖκά τινα μαινάδα καὶ μάχλον ἐπισυρόμενος, ἐτόλμησεν ἅγιον Πνεῦμα ταύτην προσαγορεῦσαι. Eadem Elias f. 280 r. m. ad Or. XXII, p. 421, E.

P. 614, C. *Μανοῦ τὴν ὕλην μετὰ τοῦ σκότους*) F. 302 r. s. *Μανὸς*.. ἀμφότερα ταῦτα ἄκτιστα καὶ συνάναρχα τῷ Θεῷ ὑπέθετο καὶ ἐδογμάτισεν.

P. 614, C.) F. 302 r. m. *Ναυάτος*, πρεσβύτερος ὢν τῆς Ῥωμαίων ἐκκλησίας, οὐκ ἐδέχετο εἰς μετάνοιαν τοὺς παραπεσόντας εἰς ἄρνησιν τῆς πίστεως. ἀλλ' οὐδ' ἄλλον (cod. ἄλον) τινὰ μετὰ τὸ βάπτισμα ἁμαρτήσαντα, δεῖν ἔλεγε δέχεσθαι εἰς μετάνοιαν. ἀλλ' οὐδὲ τοὺς δευτερογαμοῦντας προσίετο. ὃν καθελόντες οἱ ὀρθόδοξοι, ὡς ἀθετοῦντα τὴν μετάνοιαν καὶ καθαρὸν ἑαυτὸν λέγοντα καὶ ἀνέγκλητον, *καθαρὸν* αὐτὸν εἰρωνικῶς προσηγόρευσαν. Similia Elias f. 280, r. p. m. ad Or. XXII, p. 421, E.

II.

BASILII ALIORUMQUE SCHOLIA IN S. GREGORII ORATIONES,

E CODICIBUS MONACENSIBUS EXCERPTA.

COD. 34.

Basilii Scholia in Gregorii Naz. Orationes.

Λόγος α. περὶ θεολογίας.

Fol. 309, r. form. : οἱ πάντ' εἰδέναι βρενθυόμενοι.

F. 310 v. *κατεβλακευμένοις :* μωραίνουσι. *Ξενοφῶν* ἐν τῷ περὶ ἱππικῆς βλακὸν τὸν νωθρὸν ἐκάλεσεν, ὅπερ τοῖς προκειμένοις συνᾴδει· *τὰ ὦτα διεφθαρμένῳ καὶ νοθρῷ* (1) *τὴν διάνοιαν.*

F. 315 v. *σφαδάζουσα :* σχετλιάζουσα, χαλεπῶς φέρουσα. οὕτως Ἀττικοί.

F. 325 v. *ἀγνοῶν καὶ αὐτὸ τοῦτο τὴν ἄγνοιαν :* ἀγνοεῖν ἄγνοιάν ἐστιν τὸ ἐξ ἄκρας ἀνοίας καὶ ἀμαθίας μηδὲ αὐτὸ τοῦτο νοεῖν καὶ συναισθάνεσθαι, ὅτι ἀμαθαίνει καὶ ἀνοηταίνει (f. 326 r.) καὶ οὐκ οἶδεν (2), οὐδὲ ὅτι ἀγνοεῖ ἐννοεῖ καὶ αἰσθάνεται, ὅπερ ἐστὶν ἡ λεγομένη διπλῆ ἄγνοια. οὕτω δὲ *Πλάτων* βούλεται ταύτην καλεῖν, πρῶτος εἰς ταύτην ἐληλυθὼς τὴν ἔννοιαν.

F. 329 v. τὸ *ὀκνεῖν* φοβεῖσθαί ἐστι καὶ ἀναβάλλεσθαι ἐπὶ μελλούσης ἐνεργείας, ἣν ἐνεργήσειεν ἄν τις (3).

Λόγος β. εἰς Κυπριανόν.

F. 330 v. *ἐμπύρευμα :* κυρίως βραχύ τι λείψανον πυρὸς ἐναπομένον τῇ σποδιᾷ. εἴρηται δὲ ἐπὶ λειψάνου γνώσεως, ἀρετῆς καὶ κακίας, μνήμης καταχρηστικῶς (4).

Λόγος γ. εἰς τοὺς Μακκαβαίους.

F. 334 v. *κατά :* σημαίνει δὲ ἡ πρόθεσις καὶ... ὁμοιότητα. *Φερεκράτης· μιξόφρυξ* (5), *μέλαινα ἐπιεικῶς κατ' ἐμέ*, ἀντὶ τοῦ ὁμοία ἐμοί. ὁμοίως καὶ *Ἡρόδοτος* κέχρηται ἐν τῇ β περὶ ἴβιδος.

Περὶ ἁγίου Πνεύματος.

F. 382 r. *ἀποκνήσαντες :* εἰς ὄκνον καὶ ῥαθυμίαν ἐλθόντες. εἴρηται ἀπὸ τοῦ ὄκνου. ὁ δὲ ὄκνος φόβου εἶδος. διαιρεῖται γὰρ ὁ φόβος εἰς ὄκνον, ὅς ἐστι φόβος μελλούσης ἐνεργείας, εἰς κατάπληξιν, ἥ ἐστι φόβος ἐκ μεγάλης φαντασίας, εἰς ἔκπληξιν, ἥ ἐστι φόβος ἐκ συνήθους (6) φαντασίας, εἰς ἀγωνίαν, ἥ ἐστι φόβος διαπτώσεως ἤγουν ἀποτυχίας, εἰς αἰδῶ, ἥ ἐστι φόβος

A προσδοκίας ψόγου, καὶ αἰσχύνην, ἥ ἐστι φόβος ἐπ' αἰσχρῷ πεπραγμένῳ.

F. 386 r. *πόθεν :* τινὲς συνάπτουσιν ἐγκλίνοντες τὸ πόθεν, ὡς ὀξυνομένου δῆθεν, ἀγνοοῦντες ὅτι βαρύτονον ὄν, ἀντὶ ἀποφάσεως κεῖται ἐπίσης τῷ οὐδαμῶς. πολὺ δὲ τοῦτο παρὰ τῇ *τραγῳδίᾳ* καὶ τοῖς *κωμικοῖς* καὶ τῷ *Πλάτωνι.*

F. 392 v. λέγει ἐκ τῆς Ἑλληνικῆς ματαιότητος εἰς τὴν Ἐκκλησίαν εἰσφρῆσαι ὑποβάσεις τινὰς τῶν οὐσιῶν, ἐκ τῶν ἀνωτάτω καὶ θείων μέχρι καὶ τῶν ἐσχάτων παραδιδούσεις (7). πολλὰ τοιαῦτα *Ἰουλιανὸς* ὁ τὰς χαλδαϊκὰς γράψας ὑποτυπώσεις ματαιολογεῖ. οὐχ ἧττον δὲ καὶ οἱ τούτου ἐδαττολόγησαν ἐξηγηταί, *Πορφύριος* καὶ *Ἰάμβλιχος* καὶ *Πρόκλος* ὁ Πλατωνικός, ἀπὸ τοῦ πρώτου αἰτίου καθυπόβασιν (8) πάντα βαθμηδὸν κατιέναι κατασειρὰς σειρὰς ἄχρι τῶν τελευ-

B ταίων καὶ τὴν τῶν ὄντων, ὡς αὐτοί φασι, ἀποπεράτωσιν, ὡς ἐκ τούτων καὶ περὶ τῶν ἀχρόνως καὶ ἀπαραλλάκτως τὸ ἔστιν ἐχόντων καὶ ὁμοούσιον θείων ὑποστάσεων καὶ τούτους τὰ τοιαῦτα συλλογιζομένους κατασοφίζεσθαι.

F. 394. v. *διαγράψομεν :* τουτέστιν ἀθετήσομεν τὸ ἀγέννητον.

Εἰς ἑαυτὸν καὶ πρὸς τοὺς λέγοντας τὴν καθέδραν ἐπιθυμεῖν Κωνσταντίνου πόλεως.

F. 409 r. *κομψῶν :* τὸν ἀλαζονικὸν ἡ λέξις σημαίνει καὶ στωμύλον, καὶ τὸν κόλακα καὶ ἡδύν (9).

F. 410 v. *ἐρικνωμένων·* ῥυτιδομένων ῥυσῶν (10).

Εἰς τὸ (11) *ἀπολογητικὸν διὰ τὸ μὴ καταδέξασθαι τὸν πρεσβύτερον.*

C F. 424 v. *μηδαμοῦ κιβδήλου ἠχήν :* — μεταφορικῶς ἀπὸ τῶν ἀδοκίμων νομισμάτων, οἷς Ἀθηναῖοι μίσει τῷ πρὸς τοὺς Χίους τὸ χ στοιχεῖον ἐπέγραφον, καὶ τῷ δακτύλῳ ἀνακρούοντες ἐτεκμαίροντο ἤχῳ τὸ εὔροιζόν τε καὶ δόκιμον. ἀπὸ τοῦ ἀδοκίμου οὖν χρυσίου τε καὶ ἀργυρίου εἴρηται.

F. 431 r. *ἀποδυσπετεῖ :* δυσχεραίνει καὶ δυσκόλως φέρεται καὶ ἐπιπηδᾷ.

(1) Scribe : νωθρῷ. Sic paullo ante Gregor. Or. 28, p. 498, C. Ibid. vulgo : καταβεβλακευμένοις. Κατεβλακευμένοις duo Colb. Or. 1. et Bud. Sic quoque B. E. qui f. 17 v. m. ex Basilio hisce profecit : τοῖς φιλοσάρκοις καὶ τρυφηλοῖς καὶ ἀναπεπτωκόσι καὶ διεῤῥυηκόσιν ὑπὸ τῆς τρυφῆς, ἢ καὶ τοῖς μωραίνουσιν, ὡς *Ξενοφῶν* φησι, τὸ κατεβλακευμένον κατὰ τῶν τοιούτων τιθείς. Ceterum Xenoph. Π. Ἱππ. non βλακός, sed βλάξ (9, 12) et βλακωδέστερος ἵππος (9, 1).

(2) Adde, quod excidit : ὅτι οὐδὲν οἶδεν. Ὅτι οὐκ οἶδεν minus recte apud Boissonad. *ad Æn Gaz.* p. 222 ubi hoc scholium editum est. Omissionis causa homœoteleuton fuit.

(3) C. infra f. 382 r. et Animadv. in Basil. I, p. 94.

(4) Conf. Cod. 204 f. 24 r. Cod. 216 f. 96 v.

(5) Scribe : μιξόφρυς, et cf. Poll. 2, 49. ubi Cratinus laudatur.

(6) Scribe : ἐξ ἀσυνήθους.

(7) Ita Codex ; fortasse legendum προϊούσας.

(8) Scribe : καθ' ὑπόβασιν, et mox : κατὰ σειράς, deleto altero σειράς, deinde καὶ *εἰς* τήν.

(9) Conf. f. 464 v.

(10) Scribe : *ἐῤῥικνωμένων :* ἐῤῥυτιδωμένων, ῥυσσῶν. Vid. Ruhnk. Tim. L. V. Pl. p. 228 sq. Animadvss. in Basil. I, p. 33 sq.

(11) Scribe : Εἰς τὸν —.

A *Εἰς Γρηγόριον ἐπίσκοπον Νύσσης.*

F. 440 v. *Θώμεθα ταῖς ἀκοαῖς θύραν* (1) : — τί ; οἷόν τέ ἐστιν τιθέναι ἀκοαῖς καὶ καταφράττειν, ὥστε μὴ ἀκούειν ; ἔστιν γάρ τινα τῶν λεγομένων μηδὲ ἀκούειν, ὡς ἐν θύρᾳ τῶν ὄντων (2) κλειομένων. ἔστιν δὲ καὶ καλῶς ἀνοιγομένων ἀκούειν ἀγαλλίασιν καὶ εὐφροσύνην. κλείεσθαι δὲ δεῖ οὐ κατὰ τὸν Ἰθακήσιον ἐκεῖνον κηρῷ, ἀλλὰ λόγῳ καὶ νόμων θείῳ (3), ὡς μὴ τὰ τῶν Σειρήνων καὶ ἡδονῶν ἐπάσματα ἐπαΐειν καταχηλοῦντα καὶ πρὸς ὄλεθρον κατασπῶντα.

F. 464 v. *κομψοί* : εἶπουν κομπηροὶ καὶ ὑπερήφανοι.

Περὶ δογμάτων καὶ καταστάσεως ἐπισκόπου σχεδιασθείς.

F. 491 v. *οἷον μύσαντα τὰς αἰσθήσεις* : — τουτέστι κλείσαντα, καμμύσαντα καὶ συστείλαντα.

COD. 204.

SCHOLIA ANONYMI IN GREGORII NAZ. ORATIONES.

Λόγος ε.

F. 22 r. *θεατρίσασα* : ὡς ἐν πομπῇ καὶ θεάτρῳ προπέμψασα. τοὺς γὰρ ἀριστεῖς καὶ βασιλεῖς καὶ στρατηγοὺς τοὺς νενικηκότας καὶ τοὺς πολεμίους ἡττήσαντας καὶ ὑποσπόνδους πεποιηκότας, μετὰ τῶν λαφύρων καὶ τῶν αἰχμαλώτων ἐστεφανωμένους διὰ μέσης ἦγον δορυφοροῦντες τῆς πόλεως καὶ εὐφημοῦντες. τοῦτο οὖν πομπεύειν καὶ θεατρίζειν ἐκάλουν καὶ παραπέμπεσθαι ὑπὸ (τῶν ?) πολλῶν.

Λόγος ϛ.

F. 24 r. *μέγα μνήμης ἐμπύρευμα* : κυρίως λείψανον πυρὸς ἐναπομένον τῇ σποδιᾷ. εἴρηται δὲ καὶ ἐπὶ λειψάνου γνώσεως, ἀρετῆς, κακίας.

Ibid. *οὐδὲν αἱρεῖ με τῶν ὅσα τερπνὰ τοῖς ἄλλοις* : ἐπαίρει, λαμβάνει, καὶ καταδουλοῖ καὶ πρὸς ἑαυτὸν ἕλκει.

Λόγος ζ.

F. 29 v. *φθέγξομαι τοιγαροῦν οὐ μαλακόν τι καὶ ἀναβεβλημένον, οὐδὲ τῆς ἡδίστης τῆς πολλῆς* (4) *ἁρμονίας* · οὐχ ἁπαλὸν καὶ ἔκλυτον καὶ ὕπτιον, ἢ ἀνακεκρουμένον καὶ ἄρυθμον καὶ ἐμμελὲς μᾶλλον, οἷον τὰ τῶν κιθαρῳδῶν εἰσιν ᾄσματα, τῆς ἡδονῆς μόνον ἐκλύοντα καὶ ἐκθηλύνοντα τὸν ἀκούοντα, ἀλλὰ λίαν ἀνδρικόν, φησί, καὶ σύντονον.

F. 30. r. θεωρία ἡ νοερὰ λέγεται ἐνέργεια, ἐξ οὗ καὶ θεωρητικὴ φιλοσοφία ἡ νῷ μόνῳ θεωρουμένη.

Ibid. *θεωρίαν εὔστοχον* : εὐεπίκουλον (5).

F. 31 r. *σοφίζεσθαί* ἐστι τὸ λόγοις ἀπατᾶν.

Ibid. *μεταποιηθῶμεν τῆς ἐκεῖθεν λαμπρότητος* : τοῦτο τὸ ἀντιποιεῖσθαι σημαίνει καὶ ἀντέχεσθαι. *Πλάτων* ἐν τῷ Πολιτικῷ· *ἥκιστα βασιλικῆς μεταποιούμενος τέχνης* (6).

Λόγος θ.

F. 37 r. ἡ κατὰ τὰ φιλικὰ σχέσις. . . τριττή, ἢ ὡς ποιημάτων πρὸς ποιητάς (7), ἢ ὡς πατέρων πρὸς υἱούς, ἢ φίλου πρὸς φίλον.

F. 40 v. *λίαν κρυπτόν τι καὶ ὕφαλον* : ἐκ παραλλήλου τὸ αὐτό, ἐκ μεταφορᾶς τῶν ὑφάλων πετρῶν, αἷστισι διὰ τὸ κρύπτεσθαι ὑπὸ τῶν ὑδάτων τῆς θαλάσσης αἱ νῆες προσοκέλλουσιν (8).

Ibid. τρίβωνες δὲ περιβλήματά τινα, τῶν ῥητόρων μὲν ἐρυθροί τε καὶ φοινικοί, φαιοὶ δὲ τῶν φιλοσόφων. παράσημον δὲ τοῦτο ἦν αὐτοῖς καθ' ἑκάστην φορούμενον, ὡς τοῖς πολιτευομένοις τὸ νυνὶ σκαραμάλιον (9).

F. 41 v. (10). περὶ τῆς στροφῆς τῆς σφενδόνης Γύγου : *Πλάτων* μὲν ἐν Πολιτείᾳ φησί, ὡς ὁ Γύγης Λυδὸς μὲν τὸ γένος ἦν, ποιμὴν δὲ τὸ ἐπιτήδευμα, καί
B ποτε ποιμαίνων ἐν ὄρει εὗρεν ἐν σπηλαίῳ ἵππον χαλκοῦν καὶ τούτου ἐντὸς νεκρὸν ἄνθρωπον, δακτύλιον φοροῦντα, ὃν λαβὼν ἔσχε. καὶ ὅτε μὲν ἐβούλετο ἀφανὴς γενέσθαι· στρεπτὸς γὰρ ἦν ὁ δακτύλιος· τὴν σφενδόνην ἔστρεφεν· ἐμφανίζεσθαι δὲ τοῖς παροῦσιν ἐθέλων, ἐν τάξει μένειν ἠφίει. οὗτός ποτε πρὸς τὰ βασίλεια τῶν Λυδῶν γενόμενος καὶ στρέψας τὴν σφενδόνην, ἀφανίζεται καὶ εἰσιὼν κτείνει τὸν βασιλέα, καὶ ἔσχεν αὐτοῦ τὴν γυναῖκα. *Πλάτων* δὲ εἰσφέρει τὸν μῦθον, ὅτι ὁ δίκαιος ἀνήρ, κἂν τοῦ Γύγου λάβοι τὸν δακτύλιον, ὡς μὴ ὁρᾶσθαι, οὐδὲ οὕτω ὤφειλεν ἀδικεῖν. δεῖ γὰρ τὸ καλὸν δι' αὐτὸ ἐπιτηδεύεσθαι, καὶ μὴ δι' ἄλλο τι. *Ἡρόδοτος* δέ φησι, ὡς ἐπιτροπῇ τῆς δεσποίνης ἀναιρεῖ τὸν ταύτης γαμέτην Γύγης.

F. 42 r. *εἰ καὶ πεζοὶ παρὰ Λύδιον ἅρμα ἐθέομεν* : παροιμία ἐπὶ τῶν ἐρίζειν ἐθελόντων καὶ μὴ κατα-
C λαμβανόντων ὅτι τάχιστα τὰ δύο (11) ἅρματα. εἰ καὶ πεζοὶ οὖν, φησί, ἦμεν, ἀλλ' ὅμως τάχιστα ἐπίσης ἐθέομεν κατὰ τὸ Λύδιον ἅρμα, ἐχόμενοι τῶν μαθημάτων. ἢ ἡμεῖς οἱ λοιποὶ ὡς πεζοὶ ἦμεν μὴ καταλαβόντες τὸν Βασίλειον, ὥσπερ Λύδιον ἅρμα τάχιστα τοῖς μαθήμασι φερόμενον. Ibid. Πέλοψ ὁ Λυδὸς ἅρμα ἔχων ἐξαίρετον πολλοὺς νικήσας προσκαλεῖτο ὡς (12) ἀγῶνα τὸν νικήσαντα τοῦτον ἔχειν τὴν αὐτοῦ θυγατέρα. ἡμεῖς τοίνυν παραλύδον (13) ἅρμα ἐθέομεν, ἀντὶ τοῦ ἀπελειπόμεθα, ὡς τοῦ ταχέος ἅρματος διὰ τοῦτο Λυδίου δεικνυμένου.

Ibid. Μολιόνη τις γυνὴ περὶ τὴν Θρᾴκην οἰκοῦσα υἱοὺς ἔσχεν, Ὦτον καὶ Ἐφιάλτην, οἳ κατ' ἐνιαυτὸν ηὐξάνοντο, ὡς ἡ παλαιοτάτη (?) εἶχε, κατὰ μὲν τὸ μῆκος πῆχυν ἕνα, κατὰ δὲ τὸ πλάτος τριπάλαιστον. ὑβρι-
D σταὶ δὲ οὗτοι γεγόνασι καὶ ὑπερήφανοι, καί ποτε ἐβουλεύσαντο τὴν Ὄσσαν ἐπιθεῖναι τῷ Ἄθῳ· ὄρη δὲ ταῦτα κατὰ τὴν Θρᾴκην· καὶ δι' αὐτῶν ἀνιέναι εἰς

(1) Θύρας cod. 204 f. 70 v. Ibid. ter deinceps ἔστι pro ἐστιν. Ibid. ante τιθέναι recte additum θύρας.

(2) Scribe : ὡσὰν θύρᾳ. In Cod. 204 f. 70 v. s. eodem modo peccatum. Idem recte τῶν ὤτων.

(3) Scribe : νόμῳ θείῳ, uti est in Cod. 204 f. 70 v.

(4) Lege : τοῖς πολλοῖς, et deinceps : οὐχ... ἐκμελὲς... τῇ ἡδονῇ. Ceterum conf. Schol. Cod. 216, f. 219 r. et Animadv. in Basil. 1, p. 21 sq.

(5) Schol. Cod. 499 f. 53 r. εὐεπήβολον. Tu lege : εὐεπίβολον. Ceterum conf. Schol. Cod. 499 f. 23 v.

(6) Male Schol. Cod. 499 f. 54 v. ἀντιποιούμενος, apte tamen hæc adjicit : καὶ *Θουκυδίδης· καὶ μάλιστα ὡς ἀρετῆς μεταποιούμενοι*, ἀντὶ τοῦ ἀντεχόμενοι, ἀντιποιούμενοι. Cet. sup. leg. μεταποιεῖσθαι.

(7) Sic ; leg. ποιητῶν πρὸς ποιήματα.

(8) Conf. Schol. Cod. 216 f. 146 v. et annott. ad El. f. 354 r. m.

(9) Conf. Schol. Cod. 216 f. 147 r. et vid. Boissonad. in *Notic. et Extr.* t. 11 P. 2 p. 56. Οἱ πολιτευόμενοι sunt *ascetæ*, *monachi*.

(10) Cod. Monac. 151 f. 62 sqq. hæc habet, quæ inscriptio prodit : συναγωγὴ καὶ ἐξήγησις εἰς ὧν ἐμνήσθη ἱστοριῶν ὁ ἐν ἁγίοις Γρηγόριος ἐν τῷ εἰς τὸν μέγαν Βασίλειον ἐπιταφίῳ λόγῳ. In quibus narratio de Gyge numero quinta f. 64 r., de Lydio curru undecima, de Molionidis decima tertia f. 65 r. exstat. Conf. Creuzer. Meletem. P. 1, p. 72 sqq. p. 80 sqq. p. 82 sqq.

(11) Legendum : τὰ Λύδια, e Cod. 499 f. 77 v.

(12) Leg. : προὐκαλεῖτο εἰς —. Inseq. mendosa.

(13) Sic ; lege : παρὰ Λύδιον. In seqq. verba : ὡς... εἶχε, mendosa.

τὸν Ὄλυμπον θεοῖς μάχεσθαι. οἷς Ζεὺς ὀργισθεὶς κεραυνὸν ἐπαφῆκε, καὶ ἀπώλλοντο (1) διὰ τὴν ὑπερηφανίαν. κεραυνωθήσεσθαι τῇ μητρὶ προκεχρησμῴδητο. A

F. 45 r. *τάριχος* λέγεται πᾶν τὸ παττόμενον ἁλσὶ καὶ ἰσχνὸν καὶ κατεσκελετευμένον τῶν ἰχθύων καὶ τῶν ἄλλων κρεῶν.

F. 46 r. *τὸ δὲ μέγιστον τῷ* (2) *πάντας ἡττᾶσθαι τῆς αὐτοῦ διανοίας :* Ἰσοκράτειον ἐν τῷ πρὸς Νικοκλέα· *ἀρχικὸς εἶναι*, φησί, *βούλοιο μὴ χαλεπότητι, μηδὲ τὸ* (3) *σφόδρα κολάζειν, ἀλλὰ τῷ πάντας ἡττᾶσθαι τῆς σῆς διανοίας.*

F. 50 r. *οὐδὲ δὴ* (*ἐδεήθη*) *δημοσίου κηρύγματος τοῦ, Κράτης Κράτητα Θηβαῖον ἐλευθεροῖ :* ὁ *Κράτης* φιλόσοφος ἦν κυνικός. οὗτος, ὡσπερεὶ μερίζων ἑαυτὸν εἴς τε τὸν Κράτητα καὶ τὸν περὶ οὗ τὴν φωνὴν ἀφίησιν, ἔφη· *ὦ ἄνδρες, ὁ Κράτης*, τουτέστιν ἐγώ, *τὸν Κράτητα*, τουτέστιν ἐμέ, *τὸν Θηβαῖον ἐλευθεροῖ*, ἀντὶ τοῦ, ἐγὼ ἐμαυτὸν ἐλευθερῶ. μηδὲ δουλῶσθαι (4) χρήμασι ἢ κτήμασι. ἀφεὶς γὰρ τὴν τοὺς συμπολίτας καὶ τὰ ἑαυτοῦ πάντα, οὕτως τὴν φωνὴν ταύτην ἀφῆκεν.

Ibid. *εἴσω τὰ κάλλη στρέφων :* τὰ ἔξω καὶ σωματικὰ εἴσω μεταστρέφων κάλλη, ὡς μὴ τὴν ἔξω καλλύνειν σπεύδειν, ἀλλὰ τὴν ἔνδον καὶ ψυχικὴν φαιδρύνειν ὡραιότητα.

Λόγος ια.

F. 62 r. *περιάμματα* τὰ κατὰ τὰς χεῖρας καὶ τοὺς βραχίονας καὶ τοὺς αὐχένας κλωσμάτιά τινα βεβαμμένα καὶ σελήνια μηνίσκων χρύσεα καὶ ἀργύρεα ἢ καὶ τῆς εὐτελεστέρας ὕλης, τὰ ἀπὸ (5) τῶν γραϊδίων τοῖς βρέφεσιν ἐπιδεσμούμενα. *ἐπᾴσματα* δὲ τὰ ὑπὸ τῶν αὐτῶν τοῖς νηπίοις ἐπᾳδόμενα, ἐπιψιθυριζουσῶν εἰς ἀποτροπιασμὸν καὶ ἅμα ταῖς γλώσσαις ἐπιλιχμουσῶν (6) τὰ μέτωπα καὶ ἀποπτυουσῶν μετὰ τοῦ φυσᾶν ἑκατέρωθεν.

F. 64 r. *μεταποιῇ :* μεταπλάττῃ.

Ibid. *βάσανός ἐστι καὶ αὕτη :* δοκιμασία.

F. 67 v. *εἴ τις ἔστι καὶ κοιλίας κάθαρσις* —: μὴ ὡς ἔτυχε, φησὶ δέχεσθαι τὰ διὰ τῶν αἰσθήσεων εἰς τὴν φαντασίαν, καθάπερ εἴς τινα γαστέρα, πεμπόμενα, ἀλλὰ τῷ διαλογιστικῷ καὶ διανοητικῷ ταῦτα οἷον ἀναπεμπαζομένους καὶ ἀναδιδόντας κατεργάζεσθαι καὶ νοερῶς καταλεαίνειν εἰς πνευματικὴν τροφήν. ἡ μεταφορὰ ἀπὸ τῶν ζώων τῶν τὰς τροφὰς τῷ μηρυκισμῷ ἀναδιδόντων.

F. 69 v. *κεναῖς ἐλπίσιν ἐξαπατώμεθα :* οἷά τινες ματαίαις θερμαινόμενοι ἐλπίσιν, ἀπατώμεθα πολλάκις, ἁγνείᾳ τεθαῤῥηκότες ἤ τινι ἑτέρᾳ τῶν σεμνοτέρων πολιτείᾳ, μυρίων ἑτέρων ἁμαρτημάτων ὄντες ἀνάπλεοι (7).

Λόγος ιβ.

F. 69 v. *οὐδ' ἔστι σταθμὸς* —: ὡς ἐπὶ ζυγοῦ γὰρ καὶ τρυτάνης ἀντιταλαντευόμενος, φησί, ὁ φίλος καθέλκε (8) πάντα κουφίζων ἄνω.

F. 70 v. *θώμεθα ταῖς ἀκεαῖς θύρας.* Vide excerpta e Cod. 34 f. 440 v.

Ibid. *ταῦτα τῶν σωφρονούντων :* τουτέστι τῶν ἐγκρατούντων τοῦ σώματος καὶ τῶν σωματικῶν πάντων ἀφροντιστούντων καὶ οἷον ἀπολυομένων καὶ χωριζομένων τοῦ σώματος. τοῦτο γὰρ φιλοσοφίας ὅρος ἀληθής, ὃς καὶ τοῖς ἔξω πρεσβεύεται. ὁ γὰρ τῷ ὄντι φιλόσοφος, κατὰ νοῦν ἀεὶ ἐνεργῶν, τὸν νοῦν καὶ τὴν ψυχὴν ἔξω τῶν σωματικῶν καθιστὰς καὶ μηδεμίαν ποιούμενος ἐπιστροφήν, ὅ τι μὴ πᾶσα ἀνάγκη, τρόπον τινὰ τοῦ σώματος χωριζόμενος ἀπολύεται.

Λόγος ιγ.

F. 71 v. *τὸ ὑπὲρ τὴν δυάδα γενέσθαι* · πᾶν τὸ ἔνυλον, εἰ καὶ τὸ ἁπλοῦν ἔχει καὶ μονοειδές, κἂν εἰ πρὸς τὰ παχυμερέστερα οὕτως νομίζηται, ἀλλ' ἐν δυάδι θεωρεῖται. ἔχει γὰρ τὸ ὑλικὸν ὑποκείμενον καὶ τὸ εἶδος. πᾶν γὰρ κτίσμα ἐξ ὕλης καὶ εἴδους. τοῖς οὖν ὑπεραναβᾶσι πᾶν τὸ ἐν κτίσμασι Θεῷ (9) συγγενέσθαι καὶ τὰ λοιπά. ἢ ὑλικὴν δυάδα, ὁ ἐξ ἧς (10) *συζυγίας* εἶπε, τὴν τοῦ σώματος παράζευξιν πρὸς τὴν ψυχὴν ἔφη, ὡς ἐντεῦθεν αὐτῇ τοῦ μὴ πρὸς Θεὸν ἀνανεύειν συμβαίνοντος, τῇ σωματικῇ προσπαθείᾳ συνδεδεμένῃ. B

F. 72 v. *πτερωτήν* · τὸν ἀλείπτην καὶ οἷον πτεροῦντα καὶ πρὸς τοὺς ἀγῶνας κουφίζοντα (11).

F. 73. *ταλαντεύεται* · ὡς ἐπὶ ταλάντοις καὶ σταθμοῖς σταθμίζεται καὶ ζυγοστατεῖται.

F. 74 r. τὸ *παρακαλεῖν* ἢ ἁπλῶς τὸ καλεῖν σημαίνει, ἢ τὸ προτρέπεσθαι, ἢ παραμυθεῖσθαι καὶ εὐφραίνειν. τὸ γὰρ σύνηθες ἐπὶ τῆς ἱκεσίας ἐνδιαβέβληται.

F. 75 v. *πρύμναν . . . ἐκρουσάμην* · παροιμιῶδες τοῦτό φησι. πρύμναν δὲ κρούεσθαί ἐστι τὸ κατὰ τὴν πρώραν καὶ εἰς τὸ ἔμπροσθεν ἐλαύνοντά τινα, μεταβαλόντα κατὰ πρύμναν καὶ εἰς τοὐπίσω ἐλαύνειν. προσορμῶντες δὲ μάλιστα τοῦτο ποιοῦσιν. ἀπὸ γοῦν τοῦ ἐκείνους τοῦτον ὑπερείδειν καὶ συνηγορεῖν, μεταβαλεῖν δὲ αἴφνης καὶ εἰς συνηγορίαν Βασιλείου τραπέσθαι, τοῦτο πρύμναν κρούσασθαι ἔφη. C

F. 82 v. εἴρηται ἀπὸ τοῦ ῥιπίζω ὁ εὐρίπιστος καὶ ταχέως μεταβαλλόμενος.

F. 83. τὸ *περιποππύζεσθαι* κολακεύεσθαί ἐστι. πεποιημένη γὰρ ἡ φωνὴ ἀπὸ τῶν ἵππων, οὓς διά τινος ἠρεμαίου ψόφου τοῦ διὰ χειλέων ἀκρῶν οἱ ἱπποκόμοι κολακεύουσι (12).

COD. 216.

Εἰς τὸ ἅγιον πάσχα καὶ τὴν βραδύτητα.

F. 1 r. *ἀλλήλους περιπτυξώμεθα* · τὸ ἀγαπητικὸν καὶ φιλάδελφον καὶ συνδετικὸν πρὸς ὁμόνοιαν ἐν τούτῳ δεικνύοντες. τὸ γὰρ περιπτύσσεσθαι τὸ οἱονεὶ προσφύεσθαι καὶ περιπλέκεσθαι ἀλλήλοις δηλοῖ. D

F. 2 v. *πλάστην* · ἠθῶν. *διδάσκαλον* · δογμάτων.

Ibid. locutio : ὥσπερ ἱμάτιόν τι ἀποδύσασθαι τὸν παλαιὸν ἄνθρωπον.

F. 6 v. δοκεῖ μοι . . . ἀντιδιαστέλλειν τῇ λιθίνῃ καρδίᾳ, τουτέστι τῇ σκληρᾷ καὶ ἀνενδότῳ καὶ ἀντι-

(1) Scribe : ἀπώλοντο. Post Ὄλυμπον adde καί.
(2) Scribe : τό, nimir. Or. 43, p. 801, E.
(3) Scribe : τῷ. Isocratea in Gregorio etiam alias a scholiastis notantur.
(4) Fortasse leg. : — μὴ δεδουλῶσθαι διδάσκων. et mox : τὴν κτῆσιν τοῖς συμπολίταις.
(5) Scribe : ὑπό.
(6) Fortasse legendum : ἐπιλιχμαζουσῶν.
(7) Eadem forma f. 187 r. reperitur.
(8) Scribe : καθέλκει. Vid. Animadv. in Basil. I p. 151. Quæ f. 70 v. sequuntur, ταῦτα cet. attuli Animadv. in Basil. I p. 187 sq. uti p. 7 ista ex f. 71 v. πᾶν τὸ ἔνυλον.... θεωρεῖται.
(9) Adde : ἐξεγένετο, quod Cod. 499 f. 141 r. habet.
(10) Scribe : ὃ ἑξῆς.
(11) Conf. Symbol. ad Philostr. V. S. p. 125.
(12) Conf. Cod. 216 f. 293 v.

τυπούσῃ, τὴν σαρκίνην, ὅ ἐστι τὴν μαλακὴν καὶ ῥᾳδίως ὑπείκουσαν.

Λόγος β. τοῦ αὐτοῦ εἰς τὸ ἅγιον πάσχα.

F. 14 v. *οἰκονομία* . . . ἐπὶ Θεοῦ ἡ τοῦ οἰκείου μεγέθους ἑκούσιος συγκατάβασις.

F. 18 r. τὸ γυμνὸν εἶναι τὸν ἄνθρωπον τριχῶς ἐξηγεῖται. γυμνὸς γάρ, φησίν, ἦν κατὰ τὴν ἁπλότητα τοῦ τρόπου. οὔπω γὰρ ἡ διπλόη ἐπετηδεύθη καὶ πονηρία (1).

F. 18 v. *θεούμεθα*· θεῖοι καὶ θεοὶ χρηματίζομεν.

F. 30 v. *εἰς φῶς ἅπαντα καὶ τάξιν καὶ εἶδος ἔρχεται*· ὁ τοῦ ἀληθινοῦ κάλλους τῶν ἀρετῶν δημιουργός, καὶ τὰ ἡμέτερα πλημμελῶς ἰδὼν καὶ ἀτάκτως κινούμενα, εἰς τάξιν αὐτὰ ἐκ τῆς ἀταξίας ἤγαγε.

Λόγος γ. τοῦ αὐτοῦ περὶ ἐγκαινίων.

F. 50 v. ἑορτάζομεν δὲ τὰ ἐγκαίνια διὰ ταύτην τὴν αἰτίαν, ἵνα τὰ καλὰ τῇ μνήμῃ φυλάττηται καὶ μὴ ἐξίτηλα τῷ χρόνῳ γένηται καὶ τῷ βυθῷ τῆς ἐπιλησμοσύνης παραῤῥεύσῃ σκοτιζόμενα καὶ καλυπτόμενα.

F. 53 r. ad verba : *τὴν ἐπέχουσαν τέως ἀταξίαν* cet. citatur Plato in Timæo p. 30, A. loco supra f. 30 v. expresso.

Τοῦ αὐτοῦ εἰς τοὺς Μακκαβαίους.

F. 94 r. τὰ ἐπὶ ξυροῦ ἱστάμενα οὐχ ἑδραίαν ἔχουσι τὴν βάσιν, ἀλλ' ἀνέδραστον καὶ ταλαντευομένην ἑκατέρωθεν.

Λόγος ϛ. εἰς τὸν ἅγιον τοῦ Χριστοῦ μάρτυρα Κυπριανόν.

F. 96 v. ἔστι δὲ *ἐμπύρευμα* κυρίως βραχύ τι πυρὸς λείψανον ἐν σποδιᾷ κεκρυμμένον. καταχρηστικῶς δὲ καὶ μεταφορικῶς ἐμπύρευμα λέγεται καὶ τὸ ἐναπομεῖναν ἔν τινι κατάλειμμα μνήμης καὶ σωζόμενον.

F. 97 r. *δεύτερον δέ, ὃ καὶ μέγιστον, τὸ μὴ κατόπιν* cet. : δεύτερον δὲ εὐεργετήθημεν, ὅτι κἂν ὑπερήμεροι, ἀλλ' οὖν συνεστώσης ἔτι τῆς πανηγύρεως ἤλθομεν, καὶ κατὰ τὴν ἐν τῷ *Πλάτωνος* Γοργίᾳ παροιμίαν οὐ κατόπιν ἑορτῆς ἐδράμομεν. οὔπω γὰρ τέλεον παρῆλθεν, ἵνα ὀπίσω αὐτῆς ἔλθωμεν.

Λόγος ζ. εἰς τοὺς λόγους καὶ εἰς τὸν ἐξισωτὴν Ἰουλιανόν.

F. 108 r. *μέχρις ἂν τοῖς ποτίμοις* cet. : μέχρις ἂν ποτίμῳ λόγῳ οἷον ἁλμυρὰν ἀκοὴν ἀποκλύσωμαι, τοῦτο δὴ τὸ τοῦ *Πλάτωνος*, τουτέστι ἕως ἂν ἀπονίψωμαι τὰ Ἑλληνικὰ ἀκούσματα καὶ μαθήματα ἐν τοῖς γλυκέσι καὶ πνευματικοῖς λόγοις καὶ δόγμασι (2).

F. 109 r. *φθέγξομαι* cet. : φθέγξομαι δέ, καθὰ πρὸ ἡμῶν ὁ Προυσαεὺς ἔφη *Δίων* (f. 109 v.) περὶ Τιμοθέου τοῦ αὐλητοῦ, οὐ μαλακὸν αὔλημα καὶ ἀναβεβλημένον, οὐδὲ τῶν πρὸς ἄνεσιν καὶ εὐθυμίαν ἀγόντων, οὐδέ τι τῶν τῆς κιθαρῳδίας ἰδίων καὶ πρὸς ἡδονὴν ἐπιτετηδευμένων.

Λόγος ὄγδοος, τοῦ αὐτοῦ εἰς τὰ ἅγια θεοφάνια εἴτουν γενέθλια.

F. 122 v. *μὴ ἀκοὴν καταυλήσωμεν: jubet Theologus* μὴ διὰ τῶν ὤτων διεφθαρμένην μελῳδίαν τῶν ψυχῶν καταχεῖν. ἀνελευθερίας γὰρ πάθος καὶ ταπεινότητος ἐκ τοῦ τοιοῦδε τῆς μουσικῆς εἴδους ἐγγί-
A νεσθαι πέφυκε. τινὲς γοῦν πρὸς αὐλὸν κορυβαντιῶσι καὶ ἐκβακχεύονται. ἐκθηλύνει δὲ καὶ χαυνοῖ τὴν ὄσφρησιν ἡ ὀσμὴ τῶν βλακικῶν μυρῶν.

F. 123 r. καλῶς δὲ συνῆψε τοῖς κώμοις καὶ ταῖς μέθαις τὰς κοίτας καὶ τὰς ἀσελγείας. ἐκ γὰρ ἐκείνων αὗται γεννῶνται. ὁ γὰρ κωμάζων μεθύει, ὁ δὲ μεθύων πρὸς κοίτην ὁρᾷ, ὁ δὲ (?) ἀσελγαίνει τῷ οἴνῳ πρὸς παρανόμους μίξεις καὶ ἡδονὰς ἀνδραποδώδεις ἀναφλεγόμενος.

Ibid. ubi de eo, quod est περιττόν, Gregorius monet, Scholiastes : λέγει δέ που καὶ *Πλάτων*, ὅτι φλυαρία ἐστὶ πᾶν τὸ περιττόν, εἴτε ἐν λόγοις, εἴτε ἐν πράγμασι.

F. 123 v. ἰστέον δέ, ὅτι *ἄγροικος* μέν ἐστι ὁ ἐν ἀγροῖς αὐλιζόμενος, *ἀγροῖκος* δὲ ὁ ἀμαθὴς καὶ ἀπαίδευτος καὶ τὸ ὅλον ἀνόητος (3).

B F. 124 r. *Πλάτων* ἐν Τιμαίῳ λέγει, ὅτι τὸ ἦν καὶ τὸ ἔσται χρόνου εἰσὶν εἴδη, ἡμεῖς δὲ οὐκ ὀρθῶς ταῦτα φέρομεν εἰς ἀΐδιον οὐσίαν. λέγομεν γάρ, ὡς εἰ ἦν, ἔστι τε καὶ ἔσται. τὸ ἔστι δὲ μόνον κατὰ τὸν ἀληθῆ λόγον προσήκει. ἐκεῖθεν οὖν λαβὼν ὁ Θεολόγος τὴν χρῆσιν, φησίν, ὅτι *τὸ ἦν καὶ ἔσται τοῦ καθ' ἡμᾶς εἰσι χρόνου τμήματα καὶ τῆς ῥευστῆς φύσεως*. τῶν γὰρ ἀνθρωπίνων πραγμάτων ἐν κινήσει καὶ ῥοῇ τυγχανόντων, τοιοῦτος καὶ ὁ χρόνος αὐτῶν γνωρίζεται, τὸ μέν τοι (4) παρερχόμενος, τὸ δέ τι μέλλων, τὸ δὲ ἐνεστὼς αὐτῷ, παντελῶς ἀθήρατον, πρὶν γνωσθῆναι, διὰ πᾶν (5) οἴχεται.

Ibid. ὁ νοῦς, εἰκότως ὡς εἰκὼν Θεοῦ, δέχεται τούτου θεωρίαν ἀμυδρὰν καὶ μικράν.

F. 124 v. διὰ τί δὲ καὶ ἐννοεῖται τὸ Θεῖον καὶ τελείως οὐ καταλαμβάνεται; ἐμοὶ δοκεῖ, ἵνα διὰ....
C τοῦ ποσῶς ὁρᾶσθαι καὶ καταλαμβάνεσθαι ἀμυδρῶς ἄγῃ ἡμᾶς πρὸς ἑαυτό.

F. 128 r. ἦν γυμνὸς ὁ ἄνθρωπος κατὰ τὴν ἁπλότητα τοῦ τρόπου, κατὰ τὴν ἄτεχνον ζωὴν καὶ κατὰ τὸ ἀναμφίαστον. ὕστερον γὰρ μετὰ τὴν παράβασιν ἡ διπλόη, αἱ τέχναι, τὰ ἄμφια.

F. 133 v. ἡ Αἴγυπτος ποτὲ μὲν εἰς τὸν ἐνεστῶτα κόσμον λαμβάνεται, ποτὲ δὲ εἰς τὴν σάρκα, ποτὲ δὲ εἰς ἁμαρτίαν, ποτὲ δὲ εἰς ἄγνοιαν, ποτὲ δὲ εἰς τὴν κάκωσιν.

Λόγος ἔννατος, τοῦ αὐτοῦ ἐπιτάφιος εἰς τὸν μέγαν Βασίλειον.

F. 135 r. παθαινομένης καὶ ἀπολοφυρομένης διαθέσεως ἀναφώνημα τό· *ἔμελλεν ἄρα*, τουτέστι ἀπέκειτο ἄρα καὶ τοῦτο.

F. 141 v. παροιμία δέ ἐστι τὸ *ἔξω τοῦ σκοποῦ*
D *βάλλειν*, ἐπὶ τῶν ἀποτυγχανόντων, ἐκ μεταφορᾶς τῶν τοξευόντων καὶ ἀστοχούντων.

F. 146 r. *ξεναγεῖται*· ξενοδοχεῖται.

Ibid. *ἐρεσχελεῖται*· ἐριστικῶς ἐρωτᾶται.

F. 146 v. *οὐχ ἁπλοῦν.. κρυπτόν τε καὶ ὕφαλον*· ἐοίκασι ταῖς ὑφάλοις πέτραις, αἵτινες ὕδωρ ὀλίγον ἐπικείμενον ἔχουσαι, κινδύνου παραίτιοι τοῖς πλέουσι γίνονται, συντρίβουσαι τὰ προσεγγίζοντα ταύταις πλοῖα.

F. 147 r. χιτῶνες φαιοὶ ἦσαν οἱ τρίβωνες, ὑπὸ φιλοσόφων φορούμενοι.

F. 148 r. *οἱ μὲν γὰρ τῶν σωμάτων* cet. : κατὰ

(1) Conf. f. 128 r. Ante πονηρία adde ἡ. Insequentia f. 18 v. attuli Animadv. in Basil. I p. 149. uti p. 141 prægressa f. 14 v.

(2) Conf. Symbol. ad Philostr. V. S. p. 73, ubi hæc attuli. De insequentibus f. 109 r. conf. Animadv. in Basil. I p. 22, ubi etiam illa ex fol. 122 v. ad partes vocata.

(3) Scribendum primo loco : ἀγροῖκος, secundo ἄγροικος. Confer Polluc. Lib. IX sub init.

(4) Scribe : τι, et mox αὐτοῦ.

(5) Cod. 484 f. 75 r. διαπτᾶν, recte, si διαπτὰν scribatur. Post ἀθήρατον *ὂν* excidisse videtur.

γὰρ τὸ ὑπὸ *Πλάτωνος* ῥηθὲν, ὁ μὲν τῶν σωμάτων ἔρως ῥέει ὁμοίως τοῖς τοῦ ἔαρος ἄνθεσιν· *ἐπειδὴ καὶ τὸ σῶμα λήγει* (1) *ἀνθοῦν*. ὥσπερ γὰρ τῆς ἀναπτούσης τὴν φλόγα ὕλης δαπανηθείσης, καὶ αὐτὴ ἡ φλὸξ τῇ ὕλῃ συναπέρχεται καὶ ἀποσβέννυται, οὕτως ἐὰν μαρανθῇ τὸ ὑπέκκαυμα τοῦ ἔρωτος, τουτέστι τὸ κάλλος τοῦ σώματος, οὐχ ὑφίσταται οὐδὲ ὁ πόθος, ἀλλὰ λύεται. ὁ δὲ κατὰ Θεὸν ἔρως ὁ σώφρων ἐπειδὴ ψυχῆς ἐπιθυμεῖ, πράγματος ἀθανατου, διὰ τοῦτο καὶ μόνιμός ἐστι, καὶ ὅσῳ πλέον φαντάζεται καὶ θεωρεῖ τὸ τῆς ψυχῆς κάλλος καὶ τὴν ἐν ἀρετῇ προκοπὴν, τοσούτῳ μᾶλλον συσφίγγει ἑαυτῷ καὶ ἀλλήλοις τοὺς ἐπιθυμοῦντας τῆς αὐτῆς ἀρετῆς.

F. 149 r. *εἰ τὸ πάντα ἐν πᾶσι κεῖσθαι μὴ πειστέον τοῖς λέγουσιν, ἀλλ' ἡμῖν γε πειστέον, ὡς ἐν ἀλλήλοις καὶ παρ' ἀλλήλοις ἐκείμεθα*· τὸ δὲ τὰ πάντα ἐν πᾶσι κεῖσθαι εἶπε μὲν καὶ *Ἐμπεδοκλῆς*, εἶπε δὲ καὶ *Ἀναξαγόρας*, πλὴν οὐ μετὰ τῆς αὐτῆς γνώμης ἀμφότεροι. ἀλλ' ὁ μὲν *Ἐμπεδοκλῆς* περὶ τῶν τεσσάρων εἶπε στοιχείων, ὅτι οὐ μόνον διωρισμένα εἰσὶ καὶ καθ' ἑαυτά, ἀλλὰ καὶ ἀλλήλοις μέμικται. καὶ δῆλον ἐντεῦθεν· πᾶν γὰρ ζῶον τοῖς τέσσαρσι στοιχείοις ζωογονεῖται. ὁ δὲ *Ἀναξαγόρας* παλαιὸν εὑρὼν δόγμα, ὅτι οὐδὲν ἐκ τοῦ (2) μηδαμῇ γίνεται, γένεσιν μὲν ἀνῄρει, διάκρισιν δὲ εἰσῆγεν ἀντὶ γενέσεως. ἐλήρει γὰρ ἀλλήλοις μὲν μεμίχθαι ταῦτα, διακρίνεσθαι δὲ αὐξανόμενα. καὶ γὰρ ἐν τῇ αὐτῇ γονῇ καὶ τρίχας εἶναι καὶ ὄνυχας, καὶ φλέβας καὶ ἀρτηρίας, καὶ νεῦρα καὶ ὀστᾶ, καὶ τυγχάνειν μὲν ἀφανῆ διὰ μικρομέρειαν, αὐξανόμενα δὲ κατὰ μικρὸν διακρίνεσθαι. *πῶς γὰρ ἂν*, φησίν, *ἐκ μὴ τριχὸς γένηται* (3) *θρὶξ, καὶ σὰρξ ἐκ μὴ σαρκός;* οὐ μόνον δὲ τῶν σωμάτων, ἀλλὰ καὶ τῶν χρωμάτων ταῦτα κατηγόρει. καὶ γὰρ ἐνεῖναι τῷ λευκῷ τὸ μέλαν ἔλεγε, καὶ τῷ λευκῷ (4) τῷ μέλανι. τὸ αὐτὸ δὲ ἐπὶ τῶν ῥοπῶν ἐτίθει, τῷ βαρεῖ τὸ κοῦφον σύμμικτον εἶναι δοξάζων καὶ τοῦτο αὖθις ἐκείνῳ. ἅτινα πάντα ψευδῆ ἐστι. πῶς γὰρ τὰ ἐναντία τοῖς ἐναντίοις συνέσονται;

F. 152 v. *ἀστρονομίας... τοσοῦτον λαβὼν, ὅσον μὴ* cet. : ἀστέρων μὲν... πλοκὰς καὶ σχήματα, δι' ὧν ἀναιρεῖται ἡ πρόνοια, καὶ γένεσιν καὶ εἱμαρμένην, καὶ τὰ ἀποτελεσματικὰ καὶ τὸ τῇ φορᾷ τῶν ἄστρων διδόναι τὰ ὄντα καὶ τὰ γινόμενα διέπτυσε. τὸ δὲ εἰδέναι, πῶς γίνονται αἱ τῶν τεσσάρων ὡρῶν ἐναλλαγαὶ διὰ τῆς τεταγμένης τῶν φωστήρων κινήσεως, καὶ τὸ διὰ τῆς ἁρμονίας τῶν οὐρανίων τὸν Δημιουργὸν θαυμάσαι, καὶ τὸ συμμέτρως τὰ ἀπ' αὐτῶν σημεῖα περιεργάζεσθαι, ἐπομβρίαν δηλοῦντα ἢ αὐχμοὺς ἢ πνευμάτων κινήσεις ἤ τι τοιοῦτον, οὐκ ἀπώσατο, ἀλλὰ προσεδέξατο.

F. 153 r. τὸ τοῦ σώματος ἀσθενὲς καὶ ἡ νοσοκομία οὐ μικρὸν εἰς φιλοσοφίαν δοκεῖ τῷ *Πλάτωνι*.

F. 161 r. *ἔτνος* δέ ἐστι τὸ συγκοπὲν καὶ σχισθὲν ὄσπριον, οἷον κύαμος ἤ τι τοιοῦτον (5).

F. 176 v. *εἶναι γὰρ, οὐ δοκεῖν ἐσπούδαζεν* A ἄριστος· ὁ ἅγιος, τοῦτο δὴ τὸ τοῦ *Αἰσχύλου*, οὐχὶ δοκεῖν δίκαιος, ἀλλ' εἶναι ἤθελεν, ἔσχατον εἰδὼς ὅρον ἀδικίας κατὰ *Πλάτωνα*, τὸ δοκεῖν δίκαιον εἶναι μὴ ὄντα.

F. 184 v. *Νῶε... κόσμου δευτέρου σπέρματα*· Νῶε δι' εὐτελοῦς ξύλου καὶ ἐλαχίστου σμικρὰ ζώπυρα τοῦ τῶν ἀνθρώπων διέσωσε γένους.

F. 185 v. κατὰ τὸν Ἑβραῖον *Φίλωνα*, οὐκ ἔστιν ἀρτίπους ἡ ἐν θνητῷ τῷ σώματι ἀρετή, ἀλλὰ παραπλήσιόν τι πάσχουσα νάρκῃ, μικρὸν ὅσον ὑποχωλαίνει. *ἐνάρκησε* γάρ, φησί, *τὸ πλάτος τοῦ μηροῦ καὶ ἐπέσκαζε* (6). ὁ δὲ μηρὸς γενέσεως σύμβολον, ἐπεὶ τὸ παιδοποιὸν μόριον περὶ τὸν μηρόν ἐστι.

F. 194 r. ὅταν προσφέρωμεν (7) αὐτοῖς, ὅτι ὁ θεὸς αὐτῶν ὁ Κρόνος κατέπινε τοὺς παῖδας αὐτοῦ, φασὶν ὅτι ἄλλο τί ἐστι τὸ δι' ὑπονοίας δηλούμενον

F. 201 v. *οὐ γὰρ τὰ αὐτὰ φθέγξομαι μόνον*, B *ἀλλὰ καὶ περὶ τῶν αὐτῶν*· κατὰ . . . τὸν *Πλάτωνα*, τὰ αὐτὰ περὶ τῶν αὐτῶν φθέγξομαι, τουτέστι τὰ αὐτὰ ῥήματα καὶ νοήματα περὶ τῶν αὐτῶν πραγμάτων.

Λόγος ἑνδέκατος, τοῦ αὐτοῦ εἰς τὸ ἅγιον βάπτισμα.

F. 224 r. *ἕως εὐχῆς πρόκειται προθεσμία καὶ ἀσχολίας τιμιωτέρα*· ὁ καιρὸς ὁ πρὸ τῆς μεταλήψεως τῆς μυστικῆς τραπέζης . . . ἐστὶν οὐ γαμικῆς μόνον ὁμιλίας, ἀλλὰ καὶ ἀσχολίας ὑπέρτερος κατὰ τὸν *Πίνδαρον*, τουτέστι καὶ προτιμότερος καὶ τιμιώτερος πάσης ἄλλης φροντίδος καὶ ἐργασίας.

F. 233 v. *τῶν ἀπειροκάλων*· τουτέστι τῶν φιλοδόξων, τῶν ἀπείρων τοῦ καλοῦ, τουτέστι τῆς ταπεινώσεως, καὶ τῶν ἀμέτρως καλυνομένων (8).

F. 234 v. *τοιούτους λόγους χαίρειν ἐάσαντες*· C τῆς δημώδους παροιμίας ἐστὶν ὁ λόγος. οἱ γὰρ παλαιοὶ τοῖς μισουμένοις ἀπαντῶντες, τὸ *χαίρειν* μόνον ἐπιλέγοντες παρέτρεχον. ἐδήλου δὲ τὸ *χαίρειν* τουτὶ τὸ οἰμώζειν, κατ' ἀντίφρασιν.

Λόγος δωδέκατος (*in S. Gregorium Nyss.*)

F. 249 r. λέγει δέ που καὶ *Θέογνις* ὁ ποιητής, ὅτι πιστὸς ἀνὴρ χρυσῷ τε καὶ ἀργύρῳ ἀντερίζασθαι ἄξιος.

Λόγος ιδ.

F. 279 v. ἔστι δὲ κάμπη μὲν καὶ ἀκρὶς καὶ βροῦχος ζωΰφια, ἐρυσίβη δὲ ὡς κονιορτώδης φθορὰ σίτου.

F. 293 v. ποππυσμὸς . . ποιά τίς ἐστι τῶν ἱπποκόμων φωνή, πεποιημένη πρὸς κολακείαν τῶν σκιρτώντων ἵππων.

Λόγος ιε.

F. 300 r. *τῆξαι φιλονεικῶ . . . πράξεων*· τοσοῦ- D τον οὖν ἀνθεκτέον τοῦ σώματος, ὅσον, φησὶ *Πλάτων*, ὑπηρεσίαν φιλοσοφίᾳ κτωμένους, ἐοικότα λέγων τῷ *Παύλῳ*, ὃς παραινεῖ, μηδεμίαν ἔχειν τοῦ σώματος πρόνοιαν εἰς ἐπιθυμιῶν ἀφορμήν (9).

Ibid. ὅπερ τῆξαι θέλω, ἵνα μὴ ὡς ἐν βορβόρῳ ταῖς ἡδοναῖς αὐτοῦ καταῤῥύπτωμαι, ἢ ὥς φησιν ὁ *Πυθαγόρας*, ἵνα μὴ χαλεπώτερον ἐμαυτῷ κατασκευάσω τὸ δεσμωτήριον.

F. 306 r. conjunctim posita περιττὸς et βλαχικός.

(1) Schol. Cod. 484 f. 123 r. λέγει, male. Tu v. *Alcib.* I, p. 131, C.

(2) Cod. 484 f. 125 r. apte supplet : μὴ ὄντος καί.

(3) Scribe : γένοιτο.

(4) Cod. 484 f. 125 v. τὸ λευκόν, recte.

(5) Conf. Schol. Cod. 499, fol. 84 r. ibique annott.

(6) Genes. 32, 25.

(7) Scribe : προφέρωμεν, quod *exprobrandi* potestatem habet. Conf. annot. ad El. f. 293 r. i.

(8) Lege : καλλυνομένων.

(9) Hæc, uti plura in his Scholiis, Basiliana. Conf. Animadv. in S. Basil. De Leg. G. L. in Jahnii Arch. f. Phil. u. Pædag. v. 13 Fasc. 3, p. 466. Ibid., p. 468, et An. in Basil. I p. 123 sq. inseq. attuli, in quibus recte, opinor, καταῤῥυπῶμαι scribi jussi. Nec non illa f. 318 v. Basilii sunt. Cf. An. I p. 163, 170 sq.

F. 318 v. *εἰ μὲν οὐδέν ἐστι σοι σύντριμμα οὐδὲ μώλωψ*· τοῦ *Ἡσαΐου*. . . ἐστὶ καὶ τό· *οὔτε τραῦμα, οὔτε μώλωψ, οὔτε πληγὴ φλεγμαίνουσα*. ἔστι δὲ τραῦμα μὲν λύσις τῆς τοῦ σώματος συνεχείας, κατὰ μικρόν τι μέρος τῆς συναφείας διακοπείσης, μώλωψ δὲ ἴχνος πληγῆς ὕφαιμων, θλασθέντος τοῦ σώματος ἐκ τῆς ἀντιτυπίας τοῦ πλήξαντος, φλεγμονὴ δὲ ὄγκος πυρώδης, συῤῥυέντων ἐπὶ τὸ ἀσθενῆσαν μέρος τῶν ὑγρῶν καὶ τῇ παρὰ φύσιν θερμασίᾳ φλεγόντων τὸ πεπονθός. ταῦτα δὲ πάθη σώματος ὄντα, εἰς ψυχὴν μεταφέρει τροπολογῶν ὁ θεολόγος, καὶ τραῦμα μὲν ἴσως λέγει τὰς πρὸς ἀλλήλους διαφορὰς καὶ μάχας καὶ τὰ ἐντεῦθεν σχίσματα, μώλωπα δὲ τὴν ὕπουλον καρδίαν, καὶ φλεγμονὴν τὴν ἐξ ἀλόγου οἰήσεως ἔπαρσιν.

Λόγος ιϚ.

F. 329 r. σφακελισμὸς δὲ καλεῖται ἡ θλίψις τοῦ ἐγκεφάλου μετὰ φλεγμονῆς, πύρωσις δὲ ἡ παρὰ φύσιν θερμασία, εἴτουν ὁ πυρετός (1).

COD. 499.

Λόγος δ.

F. 22 r. *φαρμάσσειν*· — γοητεύειν τῷ γλυκεῖ τῆς προσλαλιᾶς.

F. 23 v. *χθὲς ἦσθα θεατρικός, σήμερον φάνηθι θεωρητικός*· ἐπὶ θεωρίᾳ ἀσχολούμενος εἴτουν νοερῶς ἐνεργῶν. τοῦτο γάρ ἐστι θεωρία. ἐξ οὗ καὶ θεωρητικὴ φιλοσοφία λέγεται ἡ νῷ μόνῳ ἐνεργουμένη.

F. 24 r. *νῦν αἰγιαλοῖς μὲν κύματα σπένδεται*· — σπένδεται, φιλιοῦται τοῖς αἰγιαλοῖς τὰ θαλάττια κύματα, ἀψοφητὶ τούτοις προσπαίζοντα. ἡλίῳ τὸ νέφος σπένδεται τῷ μὴ ἐπιλυγάζειν (2).

F. 31 r. τυποῦσθαι δὲ τὸ ἡγεμονικὸν ἔφη, οἷον οὐ λόγους ἀκοῦον, ἀλλὰ τύπους, ὡς ἐν κηρῷ γραφίδος ἐν διανοίᾳ, τῶν λεκτέων καὶ πρακτέων ὑπὸ τοῦ ἁγίου Πνεύματος δεχόμενον.

F. 32 v. *συκάμινα κνίζοντα*· τὸ κατατέμνεσθαι κνίζεσθαι λαμβάνεται. ταύτῃ *Ὑπερείδης* ἐχρήσατο τῇ λέξει.

Λόγος ε (3).

F. 35 v. *εἰ μή τι τολμητέον καὶ μεῖζον*· εἴληπται δὲ τό· *εἰ μή τι*, καὶ ἀντὶ τοῦ πλήν. οὕτω *Πλάτων* ἐν τῷ Ἀλκιβιάδει ἐχρήσατο.

Ibid. *ἐπίδοσις* ἡ αὔξησις, ἡ πρὸς τὸ καλὸν προκοπὴ καὶ προσθήκη λέγεται.

F. 38 v. *μεταίχμιον* δὲ λέγεται ὁ μεταξὺ δύο φαλάγγων τόπος, ἀπὸ τῆς αἰχμῆς παρωνομασμένος.

F. 50 r. ὁ κότινος στεφανός ἐστι ἀπὸ ἀγριελαίας διδόμενος ἐν τῇ Ὀλυμπίᾳ. τὰ μῆλα δὲ ἐν τοῖς Πυθίοις ἐδίδοτο, ἃ οἱ Δελφοὶ τῷ Ἀπόλλωνι ἦγον. ἡ δὲ πίτυς ἐν τοῖς Ἰσθμίοις γέρας ἦν, ἅπερ Ἴσθμια τῷ Ποσειδῶνι ἦγον οἱ Κορίνθιοι ἐν τῷ Ἰσθμῷ. ὕστερον δὲ σέλινα ἐν αὐτῷ ἐδίδοτο τῷ Ἰσθμῷ τῆς Κορίνθου. τὰ δὲ σέλινα ἆθλος ἐν τοῖς Νεμείοις ἐδίδοτο, ἃ Νέμεα ἦγον οἱ Νεμεάται τῷ Ἡρακλεῖ ἐν τῇ Νεμέᾳ τῆς Ἀργολικῆς — (4). ἔστιν οὖν κότινος, μῆλα, πίτυς, σέλινα.

Λόγος ζ.

F. 50 v. ἡ τοῦ ἴσως ἐνδοίασις τοῦ ἠθικοῦ λόγου πέφυκε. τὸ δὲ *φαῦλον* ὁμώνυμός ἐστι φωνή, εἰς πολλὰς σημασίας διαιρουμένη. λέγεται γὰρ φαῦλον τὸ ἁπλοῦν, ὡς *Εὐριπίδης*· *φαῦλος, ἄκομψος*. τὸ κακόν, ὡς *Πλάτων* ἐν τῷ Περὶ ψυχῆς *φαῦλον πρᾶγμα* ἔφη. λέγεται δὲ καὶ ἐπὶ τοῦ τυχόντος, ὡς παρὰ τῷ αὐτῷ· *πρᾶγμα δ' ἔσται, ὡς ἔοικεν, οὐ φαῦλον*, οὐδεμιᾶς δεόμενον ἀρετῆς, καὶ ἐπὶ τοῦ μοχθηροῦ, ὡς δοῦλοι δεσπόταις, καὶ ἐπὶ τῶν μεγάλων *Σοφοκλῆς*· *εἰ μικρὸς ὢν τὰ φαῦλα νικήσας ἔχω*. καὶ ἐπὶ τοῦ ῥᾳδίου· *καὶ φαῦλον ἴσως αὐτοῖς προστάξομεν*. εἴρηται δὲ καὶ ἐπὶ τοῦ εὐτελοῦς (5).

B Ibid. *εἰ δ' οὖν*· ἐλλειπτικῶς εἴρηται τοῦτο, ὡς λείποντος ὅλου κώλου τοῦ προκειμένου. — ῥητορικαὶ οὖν εἰσιν αὗται (6) συντάξεις, ὡς τό· *ἀμέλει*, ὡς τό· *εἶεν*, ὡς τό· *μὲν οὖν* γε. εἰσὶ γὰρ ταῦτα συνταγματικὰ ἐπιῤῥήματα, ἀντὶ λόγων ὁλοκλήρων κείμενα.

F. 51 r. ἀποκλύσωμαι τοῖς πρὸς πόσιν ἐπιτηδείοις ἤτοι τοῖς τοῦ Γρηγορίου ἠδέσι λόγοις καὶ πνευματικοῖς τὸ ἁλμυρὸν καὶ ἀηδὲς τῆς Ἑλληνικῆς παιδείας.

Λόγος θ.

F. 67 r. *ἐπ' οὐδενὸς . . . οὐκ ἔστιν, ἐφ' ὅτινι οὐχί*· — τουτέστιν ἐν πᾶσι τοῖς κατορθώμασιν ἁπάντων ἀνθρώπων ἐκράτει ὁ μέγας Βασίλειος —. ἡ δὲ παράλληλος τῶν ἀποφάσεων θέσις οὐχ, ὥς τινες, περιττή, ἀλλὰ κάλλους ἐργαστική ἐστι. *Δημοσθένης* ἐν τῷ κατὰ Ἀριστοκράτους· *οὐδ' ἔστιν οὐδείς*, ἀντὶ τοῦ, οὐδείς ἐστι· καὶ οὐχ ἁπλῶς ἡ δευτέρα ὡς περιττὴ εἴληπται, ἀλλὰ καὶ ἐπὶ βεβαιώσει ἀρνήσεως ἡ παρ-
C άλληλος χρῆσις ἐστὶ καὶ ἐπιτάσει τῶν ὑποκειμένων· κἂν τῷ περὶ στεφάνου· *οὔτε γάρ, εἰς τὴν πόλιν εἰσελθόντων, οὐδεὶς οὐδὲν οὐδὲ ἀδίκως ὑμῖν ἐνεκάλεσεν*. τέσσαρα οὖν ἀντὶ τοῦ ἑνός. κἀνταῦθα οὖν μετὰ κάλλους ἐπίτασιν σημαίνουσι τοῦ λεγομένου.

F. 72. ἐγκύκλιον παίδευσίν φασι καὶ τὴν καθόλου εἶναι, οἷον γραμματικήν, ῥητορικήν, φιλοσοφίαν καὶ μαθηματικὴν καὶ πᾶσαν, ὡς ἔπος εἰπεῖν, τέχνην καὶ ἐπιστήμην, καθ' ἃς, ὥσπερ διά τινος κύκλου, δεῖ τὸν σοφὸν περιιέναι. φασὶ δὲ καὶ ἰδικῶς ἐγκύκλιον τὴν ποιητικήν. περὶ ἧς καὶ *Πρόκλος* ὁ Πλατωνικὸς ἐν μονοβίβλῳ περὶ κύκλου ἐπιγραμένῃ (7) τὰς τῶν ποιητῶν διέξεισι ἀρετὰς καὶ τὰ ἴδια. καὶ *Ἀριστοτέλης* ἐν τῇ λογικῇ τάδε φησί· *τὰ ἔπη κύκλος*, καθὸ πᾶσα ποίησις περὶ τοὺς αὐτοὺς μύθους καταγίνεται, καὶ περὶ τὰς
D αὐτὰς ἱστορίας ὥσπερ διά τινος περιάγεται κύκλου.

F. 84 r. *ἔτνος*· εἶδος ὀσπρίου. οἱ μὲν κύαμον, οἱ δὲ τὸ καλούμενον πισσάριον, οἱ δὲ ἕψημα ἀθηρῶδες (8). ἀφ' οὗ καὶ ἀθήρα κάθαρμα, ἔνθεν ἐτνήρυσις παρ' *Ἀριστοφάνει*. οὕτως *Διογενιανός*.

F. 89 v. *εἶεν*· ταῦτα μὲν οὕτως. ἡ ἐκ προσῳδίας καὶ τοῦ πνεύματος καὶ τὰ τῆς σημασίας ἔσται φα-

(1) Conf. Schol. Cod. 499, fol. 193 r. ibique annott.
(2) De forma ἐπιλυγάζειν v. Ruhnk. *ad Tim. L. V. Pl.* p. 118, b. sq. Scholium ex parte attuli Animadv. in Basil. I p. 23. Ibid. p. 3 scholium præcedens f. 23 v., et p. 18 inseq. f. 31 r. ad partes vocavi.
(3) In Cod. 499 f. 34 r. incipit: τί δὲ —; in Cod. 204 f. 19 v. τί δαὶ —; quod præstat.
(4) In C. ante ἔστιν script. compendium. Schol. attuli in Jahnii Arch. f. Phil. v. 13, Fasc. 3, p. 460.
(5) Vid. Ruhnken. *ad Tim. L. V. Pl.* v. *φαῦλον*, p. 268 sq.
(6) Supplendum: αὗται αἱ.
(7) Scribe: ἐπιγεγραμμένῃ.
(8) Post ἀθηρῶδες, cujus in proximis καὶ ἀθάρα pro κάθαρμα repone, Scholia Cod. 204 f. 45 r. sic pergunt: τοῦτο γὰρ διασυρόμενον (l. δασυνόμ.) σημαίνει. ἀφ' οὗ καὶ ἀθήρα. ἔνθεν καὶ ἐτνήρυσις παρὰ *Ἀριστοφάνει*. ἔτνος οὖν τὸ ἐριχθὲν (l. ἐρειχθέν) καὶ συγκοπὲν ὄσπριον, ἀπὸ τοῦ ἐρείκω τὸ σχίζω. Vid. Ruhnken. *ad Tim. L. V. Pl.* v. *ἔτνος*, p. 124.

νερά. τοῦ γὰρ πρώτου ει ψιλουμένου καὶ περισπωμένου, τοῦ δὲ δευτέρου δασυνομένου· οὕτως γὰρ καὶ οἱ τεχνικοὶ προσάγουσι καὶ τὰ ἀκριβῆ δείκνυσι τῶν ἀντιγράφων· ἔσται τὸ δηλούμενον ἀντὶ τοῦ *ὑπάρχει* ἓν τῶν εἰρημένων [Cod. 204 f. 45 r. ὑπάρχει ἕν, φησί, τοῦτο τὸ εἰρημένον]. παρατηρητέον γάρ, ὡς [Cod. 204 addit : ἐπίῤῥημα ὂν συντακτικὸν καὶ περιοριστικὸν] οὐκ ἐπὶ ἀναπαύσει τελείου λόγου, ἀλλ' ὅτι [Cod. 204. ὁ *εἶεν* σύνδεσμος] καὶ ἕτερον [Cod. 204. τι] ἐπιφέρεται λέγον [Cod. 204. ἐπιφέρων ἐπιλέγεται]. ἐν ἀρχῇ δὲ λόγου εὑρισκόμενον ἀντὶ παρακελεύσεως εἴρηται, ὁμοίως τῷ· *ἄγε*. ἴσως ἀντὶ τοῦ· *εἶα*, κατὰ τροπὴν τοῦ α εἰς ε, ὡς· *ἕνεκα*, *ἕνεκεν*.

F. 96 r. *τὸν ἀνδρεῖον καλέσαι θρασὺν* cet. : κατὰ μὲν... τὸ πρόχειρον τὸ ἐγγίζειν καὶ τὸ παρομοιοῦσθαι νοεῖται ἁπλῶς (nim. παραπεπηγέναι ap. Gregor.). [Cod. 402 f. addit : ὡς ἐντεῦθεν ὑπονοεῖσθαι τὸν μὲν φρόνιμον πανοῦργον, τὸν δὲ σώφρονα ἠλίθιον, δειλὸν τὸν προμηθῆ, θρασὺν τὸν ἀνδρεῖον, τὸν οἰκονομικὸν φειδωλόν, τὸν ἐλεύθερον ἄσωτον.] καὶ ἄλλως δὲ παραπεπηγέναι λέγεται ταῦτα, καθό, ὥσπερ ἐγκεντρίδες φυτῶν ἐν τῇ αὐτῇ ῥίζῃ καὶ τῷ αὐτῷ στελέχει διάφοροι, ἐμπεπήγασι ἐν τῷ αὐτῷ γένει, λέγω τῇ ποιότητι, αἵ τε κακίαι καὶ αἱ ἀρεταὶ πεφυκυῖαι (1).

Λόγος ια.

F. 125 r. *κῶμος*· ἡ μέθη καὶ ἡ ἀπὸ μέθης ἀσέλγεια καὶ ᾠδὴ πορνικὴ καὶ τὸ κοίμημα.

Λόγος ιγ.

F. 145 v. *ἐνταῦθά μοι τὰ δράματα*· ἤτοι τὰ περὶ τὴν ὑπόθεσιν πράγματα συνέβη, καὶ τὰ δεινὰ συνέπεσε. τῶν γὰρ ποιημάτων τὰς (2) ἐν ταῖς ὑποθέσεσι συμφοράς τε καὶ κινδύνους καὶ θανάτους περιέχοντα δράματα ἐκάλουν.

F. 150 r. *τοῦτο... κόθορνος*· τοῦτο (nim. Arii dogma)... κόθορνον (καλεῖ), ὡς ἐπαμφοτερίζον κατὰ τὸν νοῦν —. κόθορνος... ὑποδήματός τι εἶδος πλατύ, ἀμφοτέρως ἐφαρμόζον τοῖς ποσί.

F. 152 v. *ἃ — ἐχαρίζοντο* (margo : γρ. ἠρανίζοντο ἢ ἐαρίζοντο)· ὡς ἀπὸ ἐράνου συντελούμενα προσεφέροντο, ἢ ἐαρίζοντο, ὥς τινα ἐαρινὰ κομίζοντες ἄνθη, ἢ καὶ ἀνθέων συνεπιβαλλομένων.

F. 153 v. *τὸ τῆς ἀνδρίας φιλότιμον*· ἐπὶ ἀγαθοῦ ἐνταῦθα τὸ φιλότιμον εἴληπται. τὴν γὰρ ἐπίδειξιν τῆς καρτερίας καὶ τὴν ὑπὲρ ἀρετῆς τιμὴν σημαίνει.

Λόγος ιδ.

F. 160 v. περὶ τῶν ἐξ Ἰουδαίων πιστευσάντων εἰς Χριστὸν ποιεῖται τὸν λόγον, οἷς ἀπαρχὴ γεγόνασιν οἱ θεσπέσιοι μαθηταί, ἀπρὶξ τῆς εἰς Χριστὸν ἀγάπης ἐχόμενοι.

F. 161 r. τὸ *σχολῇ* ἀντὶ τοῦ *μόλις* καὶ δυσχερῶς ἢ βραδέως, ἢ ἀντὶ τοῦ οὐδαμοῦ (3) ἐκληπτέον.

F. 162 v. ἡμῶν ἕκαστος οὐ κυρίως εἷς λεχθείη ἄν. πῶς γάρ; καὶ τῷ σώματι πολλοί τινες, καὶ τῇ ψυχῇ οὐχ ἁπλοῖ, ἀλλὰ ποικίλοι τινὲς καὶ πολλοὶ ταῖς γνώμαις καὶ ταῖς ὁρμαῖς εὑρισκόμενοι.

F. 167 r. *εἴσω συννενευκότας*· εἴσω συννεύειν ἐστὶ τὸ κατὰ διάνοιαν νοερῶς ἐνεργεῖν, σύννουν (4) ἑαυτῷ προσέχοντα καὶ τῷ νοῒ μὴ πρὸς ἄλλο τι πτοούμενον τῶν ἐκτός.

Ibid. *ἵν' ἔχω τὸ ἐπιτίμιον*· ἀλλαχοῦ τὸ ἐπίτιμον εὗρον, ὅπερ ἐστὶ τὸ μὴ ἄτιμον. οὕτω καὶ ὁ *ῥήτωρ* ἀφίησι τῷ Μενεκράτει τὴν καταδίκην· *καὶ ἤδη ἐπίτιμος β'* (5). ἐπιτιμία δὲ ἡ εὐπορία ἢ ἡ μὴ ἀτιμία λέγεται. καὶ ἀλλαχοῦ ὁ αὐτός· *ὁσάκις αὐτὸς κινδυνεύοντα περὶ τῆς πατρίδος καὶ τῆς ἐπιτιμίας καὶ τοῦ βίου πάντα διεσώσατο.*

Λόγος ιε. (Initium : Ἄνδρες —).

F. 171 r. *ὢ πῶς συνεζύγην* cet. : ἡ νοερὰ ψυχὴ διαποροῦσα δὴ ἅμα καὶ ἀσχάλλουσα ταῦτα διέξεισιν.

F. 177 v. *ὥσπερ ἐν παιδιᾷ ψήφων*· περὶ τούτων καὶ ἀλλαχοῦ εἶπε, ψήφοις παίζειν τὴν ὄψιν. ἔστι γὰρ καὶ τοιαύτη ματαιότης, ὡς ψήφους τινὰς δεικνύναι τοὺς θαυματοποιούς, καὶ φαίνεσθαι μὲν τόσα ἐρευνωμένους τὰ δὲ (6) μὴ τοσαῦτα καταλαμβάνεσθαι, οὐ γοητείᾳ τυχόν, ἀλλὰ ταχύτητι τοῦ χρωμένου ἀποπλανῶντος τὴν αἴσθησιν. καὶ ὥσπερ ἐν τῷ παιγνίῳ τῶν ψήφων πολὺ τὸ μάταιον ἔχοντες (7) καὶ τὴν ταχεῖαν ἀπὸ τῆσδε πρὸς τήνδε τὴν ψῆφον μεταβαλὸν καὶ ἀποπλάνησιν τῆς ὄψεως, οὕτω καὶ τὰ ῥευστὰ καὶ πρόσκαιρα ταῦτα ἄλλοτ' εἰς ἄλλους (8) μεταῤῥιπτεῖται καὶ μετατίθεται μετὰ καὶ τοῦ ἔχειν τὸ μάταιον ἄφατον, ὥσπερ αἱ ψῆφοι, καὶ τὴν τῆς αἰσθήσεως πλάνην καὶ ὄψεως.

F 182 v κερδῷον οἱ Ἕλληνες τὸν Ἑρμῆν προσαγορεύουσιν, ὡς κέρδους ποιητικόν. ἢ διὰ τὸ κερδάλεον καὶ ἐντρεχὲς αὐτοῦ ἐπὶ τῇ κλεπτικῇ οὕτω κεκλῆσθαι νομίζω. τὴν γὰρ ἐντρέχειαν κέρδος ὠνόμαζον οἱ παλαιοί.

Λόγος ιϛ. (Initium : *Τί* —)

F. 188 r. *μυδῶσιν νεκροῖς τὰ ἔνδον*· σεσήπασιν. ἐστὶ δὲ δευτέρας συζυγίας τῶν περισπωμένων, καὶ σημαίνει τὸ οἰδαίνειν καὶ φυσᾶσθαι καὶ ὀγκοῦσθαι. οἰδαίνουσι γὰρ καὶ οἱ τάφοι καὶ μυδῶσι (9) τοῖς νεκροῖς κατὰ τὰ ἔνδοθεν.

F. 193 r. ἡ σῆψις τοῦ μυελοῦ *σφακελισμὸς* λέγεται, καὶ τὸ ῥῆμα· *ἐσφακέλισε τὸ ὀστέον*, ἀντὶ τοῦ, ὁ ἐντὸς τοῦ ὀστέου μυελὸς ἐσάπη. γίνεται δὲ ἐκ τοῦ σφακελισμοῦ σπασμός. λέγεται δὲ σφάκελος καὶ ὁ μέσος τῆς χειρὸς δάκτυλος. σφάκελος καὶ ὁ λεγόμενος σφυγμὸς καὶ παλμός (10).

F. 194 v. μὴ μόνον τὴν κακίαν ἀμεταστρεπτὶ (11) φεύγωμεν, ἀλλὰ καὶ τῆς ἀρετῆς νεανικῶς ἀντεχώμεθα.

(1) Scholium attuli Animadvv. in Basil. I p. 151. Conf. annot. ad El. f. 308 r. m.
(2) Scribe : τά.
(3) Scribe : οὐδαμῶς.
(4) Post σύννουν in Cod. hoc scripturæ compendium : ō quod nondum extricavi.
(5) Sic Cod. scripturæ compendio.
(6) Fortasse legendum : τάδε.
(7) Fortasse legendum : ἔχοντι, et mox μεταβολήν.
(8) Scribe : εἰς ἄλλα.
(9) V. Ruhn. *ad Tim. L. V. Pl.* v. μυδᾶν, p. 184 sq.
(10) Vid. Ruhnken. *ad Tim. L. V. Pl.* p. 122 sq.
(11) Vid. Ruhnken. *ad Tim. L. V. Pl.* v. ἀμεταστρεπτί, p. 25 sq.

INDICES.

INDEX I, AUCTORUM QUI IN ELIAE COMMENTARIIS EXCITANTUR.

INDEX II, AUCTORUM, QUI IN SCHOLIIS EXCITANTUR.

INDEX III, SCRIPTORUM, QUI IN ANNOTATIONIBUS EXCITANTUR, ILLUSTRANTUR, EMENDANTUR, VINDICANTUR.

INDEX IV, RERUM QUÆ IN ANNOTATIONIBUS ILLUSTRANTUR, VEL OBITER NOTANTUR.

INDEX V, EORUM QUÆ EX GENERE GRAMMATICO, LEXICOGRAPHICO ET CRITICO IN ANNOTATIONIBUS TRACTANTUR.

NICETÆ SERRONII (1)

COMMENTARIUS

IN S. GREGORII NAZIANZENI ORATIONES I ET XI.

(Olim XLI et VI.)

ACCEDUNT DUORUM ANONYMORUM SCHOLIA.

(Ex editione Christ. Frid. Matthæi, *S. Gregorii Nazianzeni Orationes binæ* (in editt. 1 et 11, olim 41 et 6) *Græce et Latine ; varias lectiones, commentarium duplicem et scholia nunquam antea edita ex codd. mss. Mosquensibus adjecit*, etc., Mosquæ 1780 in-4°.)

NOTITIA CODICUM MOSQUENSIUM.

I. *Codices orationum* (2).

—

Codex chartaceus sæc. xv, foliorum CCCLXV, bibliothecæ sanctissimæ Synodi, in folio, num. LXVII. Continet :

a) Gregorii Nazianzeni XVI orationes cum interpretatione Nicetæ metropolitæ Heracleensis.

b) Apocalypsin Joannis Theologi cum commentario Andreæ Cæsariensis.

Præterea in hoc codice notabilia sunt :

1) Fol. 1. Index omnium quæ in eo continentur.

2) Fol. 2. Nota Symeonis cujusdam, qui eum dicavit sanctæ lauræ Athanasii in monte Atho, quæ repetita quoque est fol. 364, 365. Eam hic ascribere placuit. Habet autem sic : Παροῦσα θεία καὶ ἱερὰ βίβλος ἐγεγόνει παρ' ἐμοῦ τοῦ ἐλαχίστου ἐν ἱερομονάχοις Συμεὼν τοῦ Μαλεσηνοῦ. Καὶ ὡς αὐτὴ μαρτυρεῖ, ἐπιμελῶς πάνυ καὶ λίαν καλῶς. Ἐπεὶ οὖν οὕτω κεκοπίακα καὶ οὕτως ἐπεμελησάμην, θέλω καὶ σφόδρα ἀποδέχομαι, ἵνα καὶ μετὰ θάνατόν μου εὑρίσκηται εἰς τὴν καθ' ἡμᾶς σεβασμίαν καὶ ἱερὰν βασιλικὴν μεγάλην λαύραν τοῦ ἁγίου Πατρὸς ἡμῶν Ἀθανασίου, ὅπως καὶ οἱ ἀναγινώσκοντες αὐτὴν εὔχωνται ὑπὲρ ἐμοῦ τοῦ ἐλαχίστου καὶ ἁμαρτωλοῦ, ὡς ἂν παράσχοι μοι ὁ πανάγαθος Θεὸς τὴν τῶν ἁμαρτημάτων ἄφεσιν. Ὁ γοῦν βουληθεὶς ἆραι ταύτην καὶ ἰδιοποιήσεσθαι ἢ μεταδώσειν πρός τινα ἔξω τῆς ἱερᾶς ταύτης λαύρας, κἂν ὁποῖος ἄρα καὶ εἴη, ἵν' ἐπισπᾶται τὰς ἀρὰς τῶν τριακοσίων δέκα καὶ ὀκτὼ θεοφόρων Πατέρων τῶν ἐν Νικαίᾳ καὶ τοῦ ἁγίου Πατρὸς ἡμῶν Ἀθανασίου καὶ τῶν ἐν τῇ ἱερᾷ ταύτῃ λαύρᾳ εὐαρεστησάντων τῷ Θεῷ ἁγίων Πατέρων, καὶ ἐμοῦ τοῦ ἁμαρτωλοῦ, ἵνα κληρονόμος τῆς αἰωνίου κολάσεως γένηται.

3) Fol. 2. verso, leguntur varia epigrammata in Gregorium et Nicetam.

I.

Ἂν ὠκεανὸς τὰς θαλάσσας ἐξάγῃ,
Αἰθὴρ δ' ὁ λαμπρὸς κερματίζῃ τὴν φλόγα,
Βροντὴν δ' ἀκουστὴν συνθλιβεὶς ἀὴρ φέρῃ·
Πῶς οὐχὶ ῥεῖθρα πνευματόρρυτον χύσιν,
Ποταμὸς ἀκένωτος ἐκ διδαγμάτων,
Ὁ Γρήγορος νοῦς πλημμυρήσει πανσόφως,
Ὡς εἰς ἑκατὸν ἐξενεγκεῖν τὴν χάριν,
Καὶ πῦρ φλογίζον καὶ καθαῖρον τὴν ὕλην,
Νόθους δαπανῶν, εὐσεβεῖς δὲ λαμπρύνον ;
Καὶ βροντὰς ἀφεὶς αἰθεροδρόμους λόγους,
Βροτοὺς ἀνυψώσειεν εὐσεβοφρόνως.
Καὶ δὴ κατιδὼν ὡς θεογράφους πλάκας,
Ἐκ τῶν ἀΰλων μυστικῶν ἀκουσμάτων,
Τὴν βίβλον ὧδί συλλαβὼν εὐθυβόλως,
Ἔγγραφε καὶ χάραττε καρδίας πλάτη,
Κάλλη νοητῶν σωστικῶν σπουδασμάτων,
Τύπους ἀτερπεῖς σῆς ψυχῆς ἀποξέων·
Ὡς ἂν διαρθῇς εἰς ποθουμένην πόλιν,
Ἐν ᾗ τὰ λαμπρὰ τῆς Ἐδὲμ λάβῃς γέρα.

II.

Εἰς τὸν ἐξηγητήν.

Εὕροις δ' ἀμοιβὴν τῶν πόνων ἀρχυθύτα,
Νικητικῶς ἄριστα τὴν κλῆσιν φέρων,
Αἴγλης ἀμαρύγματα πρὸς θεοπτίαν,
Ἀνθ' ὧν συναπήστραψας ἡμῖν ἀφθόνως,
Χάριν θεουργὸν πανσόφῳ Γρηγορίῳ.

III.

Ἐνθάδε πηγὴ ναμάτων ζωηρρύτων,
Καὶ κλίμαξ ἀνάγουσα πρὸς θεωρίαν,
Καὶ κῆπος ἡδὺς ἀκηράτων ἀνθέων,
Ἅπας ὁ διψῶν πίνε, βαῖνε καὶ τρύγα,
Ἄρδευε τὸν νοῦν αὖθις ὡς αὐαλέον.
Ἡμεῖς δὲ Χριστὸν δεξιὸν ἐπιστάτην
Νῦν προσλαβόντες τῶνδε τῶν πονημάτων,
Πρὸς τὴν καταρχὴν ἐξαπλοῦμεν τὰς χεῖρας.

(1) Nicetas, cognomento *Philosophus*, primum episcopus Serronis, deinde archiepiscopus Heracleæ, sæculo XI, scripsit commentarium in Gregorii orationes sexdecim et brevem in quædam ejus poemata Enarrationem. EDIT.

(2) Præter orationes in quibusdam codicibus, quos hic recensui, leguntur quoque carmina, epistolæ, vita, testamentum et explicationes historiarum, quarum in orationibus fit mentio. Vide cod. C, D, E, G, M, N, O, J, V, T.

4.) Fol. 3. Conspicitur imago S. Gregorii scribentis. A

5.) Fol. 4. Legitur Λαύρας, quæ nota in plerisque codicibus, qui olim in laura S. Athanasii fuerunt, reperitur.

6) Tandem singulis orationibus ascripta reperiuntur argumenta et epigrammata Phile, quæ hic deinceps reddidi (3).

Στίχοι τοῦ Φιλῆ εἰς τοὺς λόγους τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου τοῦ Θεολόγου.

I.

Εἰς τὸν α' (in editis olim 41, nunc 1) λόγον.

Εἰ ζῇ τὰ νεκρὰ τῆς φθορᾶς ἐφθαρμένης,
Ἔδειξε Χριστὸς ἐκ ταφῆς ἀνη[γερμένος]·
Εἰ ζῇ δὲ καὶ νοῦς εἰς ψυχὴν ἥκων λόγων,
Ὁ Γρήγορος νοῦς εὐφυῶς ἂν δεικνύει (4). B

II.

Εἰς τὸν β' (in editis olim 42, nunc 45) λόγον.

Πῶς δευτερίζεις πρῶτος ὢν ἀλλοτρόπως.
Ταῖς ὑπερλάμπροις συμπλοκαῖς τῶν δογμάτων,
Καὶ τοῖς δυσλήπτοις τῶν νοημάτων λόγοις,
Ἐξ ὧν τὸ θαῦμα τῆς θεωρίας φέρεις;

Εἰς τὸν αὐτόν.

Ἔμπνευσις ἰδοὺ τοῖς θανοῦσι δευτέρα,
Νοημάτων ἔχουσα καὶ τέχνης βάθος.
Παρῆκε γὰρ τὴν (et supra δὴ) Ἐλισσαίου τρίτην
Ὁ Γρήγορος νοῦς τῆς σκιᾶς πεπαυμένης.

III.

Εἰς τὸν γ' (in editis olim 43, nunc 44) λόγον.

Ἄρτι προΐσχει πᾶσα τέρψις χαρίτων,
Πᾶν ἑστιῶσα τῶν ἐν αἰσθήσει γένος.
Ἥρους γὰρ αὐτὴν τὴν ἀνάστασιν λόγος,
Νῦν δεξιοῦται πᾶν καλὸν συνεισφέρων, C
Πόλον διαυγῆ καλλιλαμπῆ φωσφόρον,
Τὴν γῆν πολύχρουν ἠρινῶν ἐξ ἀνθέων,
Ἄρδην θάλατταν πᾶσαν ἡμερουμένην,
Τὸ μεῖζον αὐτοὺς εὐσταλεῖς τοὺς ἀέρας,
Πηγὰς, ποταμοὺς, πᾶσαν ἅμα τὴν κτίσιν.
Ἄνθρωπε, λοιπὸν εἰς ὑπέρτερον βίον,
Ὡς ἀγχίνους, πρόβαινε θᾶττον μὴ φθάσαν
Τὸ τοῦ τέλους πρόστιμον ἁρπάξειέ σε.
Ἡμεῖς δὲ ταῦτα νῦν φράσαντες, ὡς σθένος,
Ὑψηγορικῶν ἐγκαινισμάτων λόγους,
Γράφοντες ἔνθεν ἀνυμνοῦμεν τὸν λόγον.

Εἰς τὸν αὐτὸν λόγον.

Μάμας ἀμολγαῖς εὐπαθῶν πρὶν δορκάδων,
Πανηγυρικοὺς δεῦρο θηλάζει κρότους,
Καὶ τοῦ χρόνου δείκνυσι τὴν βασιλίδα,
Ἢ Πάσχα καινὸν καὶ ψυχῶν ἔαρ φύει.

IV.

Εἰς τὸν δ' (in editis olim 44, nunc 41) λόγον. D

Ἀλλ' οὐδ' ὁ νυνὶ συντεθεὶς, Πάτερ, λόγος,
Τοῦ πανσόφου Πνεύματος ἐγράφη δίχα·
Καὶ γὰρ ἕνα κρίνει σε τῶν ἀποστόλων,
Γλώττης ξένης πνέοντα πυρφόρον μένος.

V.

Εἰς τὸν ε' (in editis olim 22, nunc 15) λόγον.

Ἔδειξε Γρηγόριος ἐκ τοῦ νῦν λόγου,
Πῶς δύναται νοῦ ζωγραφεῖν πάντα χρόα.
Μικροῦ γὰρ αὐτοὺς ἠνθρακωμένους βλέπω,
Τοὺς παντοδαποὺς τῷ Θεῷ στεφανίτας.

VI.

Εἰς τὸν ϛ' (in editis olim 18, nunc 24) λόγον.

Ὁ Κυπριανὸς πρὶν μὲν ἦν γόης μέγας·
Ἐς ὕστερον δὲ, τῷ Θεῷ μείζων θύτης.
Ταύτης δὲ τῆς χάριτος οὐκ ἔχων κόρον,
Καὶ μαρτυρικὸν δείκνυται θῦμα ζέον.

VII.

Εἰς τὸν ζ' (in editis olim 9, nunc 19) λόγον.

Τὸν ἐξισωτὴν τῶν βασιλείων φόρων,
Ὁ Γρήγορος νοῦς δεξιοῦται τοῖς λόγοις·
Καὶ τοὺς φόρους τίθησι μετριωτέρους,
Εὐσπλαγχνίας πλάστιγγας αὐτῷ ῥυθμίσας.

VIII.

Εἰς τὸν η' (in editis olim et nunc 38) λόγον.

Ἄνθρωπε, συστάληθι πιστεύσας μόνον,
Καὶ μηδὲν ἀμφίβαλλε τὸ πρᾶγμα βλέπων.
Τὰς γὰρ φύσεις ἤμειψεν ὁ κτίστης λόγος,
Σαρκὸς μετασχὼν καὶ θεὸς μείνας πάλιν.

IX.

Εἰς τὸν θ' (in editis olim 20, nunc 43.) λόγον.

B Ζῆς μάλα σεμνῶς καὶ τελευτήσας, μάκαρ.
Ὁ σύννομος γὰρ αὖθις ἐψύχωσέ σε,
Μονῳδίας ἔντεχνον ἰσχὺν ἐγχέας,
Ὡς πνεῦμα καὶ φῶς τῇ σκιᾷ τοῦ λειψάνου.

X.

Εἰς τὸν ι' (in editis olim et nunc 39.) λόγον.

Γυμνὸν θεωρῶν τὸν Θεὸν καὶ Δεσπότην,
Ἄνθρωπε, γυμνώθητι παθῶν καὶ δράμε.
Ὁ γὰρ ποταμὸς τοῦ προκειμένου λόγου,
Παντὸς μολυσμοῦ τὰς ψυχὰς ἀποπλύνει.

XI.

Εἰς τὸν ια' (in editis olim et nunc 40) λόγον.

Ἰδοὺ πάλιν βάπτισμα καὶ φώτων χύσις.
Δὶς γάρ σε, πιστὲ, πρὸς τὸ καλὸν ὀτρύνω.
Σὺ γοῦν πάλιν πλύνθητι καὶ φῶς εἰσδέχου,
Καὶ τοῖς ὑποχραίνουσι μὴ χρῶ πρακτέοις.

XII.

C *Εἰς τὸν ιβ' (in editis olim 6, nunc 11) λόγον.*

Ἔδειξε Γρηγόριος ἐκ τοῦ νῦν λόγου
Τὴν τῷ φίλῳ πρέπουσαν εἰς φίλους σχέσιν.
Τῷ γὰρ ἀδελφῷ τοῦ Βασιλείου τάδε
Σοφῶς δι' αὐτὸν ὡς τροφὴν καταρτύει.

XIII.

Εἰς τὸν ιγ' (in editis olim et nunc 21) λόγον.

Ἀθανάσιε, τάχα καὶ ζῇς καὶ πνέεις,
Ὡς οὐ παρελθὼν τὸν βραχὺν τοῦτον βίον.
Ἀθάνατον γὰρ πανταχοῦ σε δεικνύων
Ὁ Γρήγορος νοῦς, τόνδε σοι πνεῖ τὸν λόγον.

XIV.

Εἰς τὸν ιδ' (in editis olim 32, nunc 43) λόγον.

Ἐπισκοπικὴν σεμνύνων παρουσίαν,
Τὴν τῶν λόγων τράπεζαν εἰς μέσον τίθης.
D Καὶ γὰρ ἀγαθὸς ἑστιάτωρ εὑρέθης,
Τὸ δογματικὸν, Πάτερ, ἐγχέας πόμα.

XV.

Εἰς τὸν ιε' (in editis olim 16, nunc 14) λόγον.

Τράπεζαν ἁβρὰν καὶ πρυτανεῖον μέγα,
Τὸν δεῦρο σαφῶς ὀργανοῖς, Πάτερ, λόγον·
Καὶ τοῖς φίλοις πένησιν αὐτὸν ἐκδίδως,
Οἷς δὴ συναλγεῖν ἀξιοῖς τοὺς εὐπόρους.

XVI.

Εἰς τὸν ις' (in editis olim 15, nunc 16) λόγον.

Οὐρανόθεν χάλαζα ῥιφεῖσα βρύχει·
Πλὴν τὸν μὲν ἐκ γῆς πάντα καρπὸν συντρίβει,
Ποιεῖ δὲ τὸν νῦν αἰθεροδρόμον λόγον,
Πληγῆς πονηρᾶς ἀντιφάρμακον πόαν.

(3) Habet quoque codex bibliothecæ Vindobonensis apud Lambec. III, p. 184

(4) Δεικνύει. Forte, δεικνύοι. EDIT.

Ex hoc codice varias lectiones in hac editione notavi et Nicetæ commentarium inde edidi. A

B. Codex (5) membranaceus sæc. XI aut XII. Continet 9 orationes cum commentario Nicetæ. Folia habet 495. Servatur in bibliotheca tabularii imperialis Mosquensis (*In der Bibliothek des Reichs-Archivs*). Hujus usum debeo Gerhardo Friderico a Muller, Rossici imperii consiliario status, viro perillustri et generosissimo.

Istæ orationes hoc ordine leguntur :

1) Fol. 1. Ἀναστάσεως ἡμέρα.

2) Fol. 18. Ἐπὶ τῆς φυλακῆς μου.

3) Fol. 140. Ἐγκαίνια τιμᾶσθαι.

4) Fol. 172. Περὶ τῆς ἑορτῆς βραχέα.

5) Fol. 229. Τί δὲ οἱ Μακκαβαῖοι.

6) Fol. 265. Μικροῦ Κυπριανός.

7) Fol. 297. Τίς ἡ τυραννίς.

8) Fol. 330. Χριστὸς γεννᾶται.

9) Fol. 374. Ἔμελλεν ἄρα πολλάς.

In hac oratione quædam in fine exciderunt. Nam quæ in editione Parisina 1609, pag. 372 A, a vocabulis καὶ προστίθεται τοῖς ἱερεῦσιν ὁ ἀρχιερεύς leguntur, ea hic in codice a manu recentiori, omissa interpretatione Nicetæ, ascripta sunt.

C. Codex bibliothecæ (6) sanctissimæ Synodi, in folio, num. LVIII, membranaceus, foliorum CCCCII, sæc. IX (7). Continet XLIX orationes cum scholiis. Fuit quondam in monasterio Iberorum montis Athus. Nam fol. 1 legitur, τῶν Ἰβήρων. In fine plerarumque orationum hic notati sunt στίχοι, ut in codicibus V. et N. Testamenti. Post orationem quadragesimam nonam, folio 402 verso, legitur oratio a manu recentiori sæc. XV, cujus hic est index : Πρὸς Εὐάγριον μοναχὸν περὶ Θεότητος. Incipit : Σφόδρα σε θαυμάζω. Hæc in fine est mutila. Reperitur quoque ibi ab eadem manu hæc nota : Ἰστέον, ὅτι κατά τινας ὁ λόγος οὗτος ἀμφιβάλλεται. In editis est oratio XLV. [Nunc inter epistolas reposita, ed. Bened. tom. II, *ep.* 243, *ad Evagrium*. Edit.]

D. Codex ejusdem bibliothecæ in fol., num. LIV, membranaceus, sæc. XI, foliorum CCCXCXVII. Hic olim fuit in monasterio Batopedii, ut fol. 2 legitur. Continet L orationes cum scholiis (8).

E. Codex ejusdem bibliothecæ num. LV, in folio, foliorum CLXXV, sæc. XI aut XII. Continet XXV orationes (9) cum scholiis nonnullis. Hic a principio est mutilus. Exciderunt enim quatuor orationes cum initio quintæ. Præter istas orationes continet :

a) Exemplum Testamenti Gregorii Nazianzeni.

b) Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Γρηγορίου τοῦ Θεολόγου ἐξήγησιν τῶν ἐπιταφίων ἱστοριῶν τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Βασιλείου τοῦ μεγάλου. Incipit : Πρώτη ἐστὶν ἱστορία ἡ περὶ τῶν Πελοπίδων.

In fronte folii a manu recentiori legitur : Οὐκ ἔστιν αὕτη ἡ ἐξήγησις τοῦ Ἁγίου, ἀλλὰ Νόννου τοῦ ἀββᾶ.

c) Συναγωγὴν καὶ ἐξήγησιν, ὧν ἐμνήσθη ἱστοριῶν ὁ ἐν ἁγίοις Γρηγόριος ἐν τῷ *Εἰς τὰ Φῶτα* λόγῳ, οὗ B ἡ ἀρχή · Πάλιν Ἰησοῦς ὁ ἐμός. Incipit : Πρώτη ἐστὶν ἱστορία ἡ περὶ τῆς γονῆς.

d) Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Γρηγορίου τοῦ Θεολόγου ἐξήγησιν τῶν ἐν τῷ πρώτῳ στηλιτευτικῷ ἱστοριῶν *κατὰ Ἰουλιανοῦ τοῦ παραβάτου*. Incipit (10) : Λόγος ὁ στηλιτευτικός.

e) Ἐξήγησιν τῶν ἐν τῷ β' λόγῳ. Incipit : Πρώτη ἐστὶν (11) ἱστορία ἡ περὶ τοῦ (11*) Ἀριάδνης.

f) Δοξολογίαν τοῦ ἁγίου Γρηγορίου τοῦ Θεολόγου. Incipit (12) : Σὲ καὶ νῦν εὐλογοῦμεν.

Fuit hic codex olim in bibliotheca S. Lauræ Athanasii, quod ex hac nota, quæ in ultimo folio legitur, intelligitur : Οἱ μη' (i. e. 48) ἀναγινωσκόμενοι λόγοι τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Γρηγορίου C τοῦ Θεολόγου. (13) Βιβλίον τῆς γ' θέσεως.

F. Codex ejusdem bibliothecæ num. LVI, in fol., foliorum CCCXVI, scriptus est in charta bombycina sæc. XV aut XIV. Continet XVI orationes cum Nicetæ interpretatione. Hic variis in locis a vermibus adrosus est.

G. Codex ejusdem bibliothecæ in fol., num. LIX, membranaceus, sæc. X aut XI, foliorum CCCXXXV. Continet orationes XXXI. Prima, quæ est *in Cæsarium fratrem*, a principio est mutila.

H. Codex ejusdem bibliothecæ num. LX, in fol., chartaceus, sæc. XIV. Continet in foliis CCCXII orationes XVI cum commentario Nicetæ. Fuit hic codex olim in monte Atho in monasterio Dionysii, ut fol. 2 notatum est. In fine hujus codicis, fol. 312,

(5) A principio a manu recentiori hæc nota legitur : Ἐκ τῶν τοῦ Διονυσίου ἱερομονάχου καὶ μεγάλου πρωτοσυγκέλου. D

(6) In hoc a manu recentiori quibusdam orationibus præfixa leguntur epigrammata, diversa a supra laudatis. In orationem, Ἀναστάσεως ἡμέρα, hoc :

Τὸ Πάσχα Χριστοῦ δεξιὰν ἀρχὴν ἔχων,
Λαμπρῶς πανηγύριζε καὶ θεοφρόνως.

In orationem, Φίλου πιστοῦ, hoc :

Πιστῶν φίλων ἐνταῦθα λαβοῦ λαμπάδα
Τριῶν, Βασιλείου τε καὶ Γρηγορίων.

(7) Hic codex paulo negligentius scriptus est quam reliqui.

(8) Ista scholia partim a prima manu, partim a secunda et recentiori provenerunt. In prima oratione tamen ita evanuerunt, ut vix legi possint. Horum scholiorum nulla vestigia reperi in editione Billii

(9) In hoc codice oratio, Τάδε λέγει Σολομών, ut spuria notatur. Ita enim ibi in principio legitur : Οὗτος ὁ λόγος ἀμφιβάλλεται, ὅτι οὐκ ἔστι τοῦ Θεολόγου, ἀλλὰ τοῦ ἁγίου Γρηγορίου τοῦ Θαυματουργοῦ, καθὼς καὶ ὁ Σουΐδας γράφει. Suidæ verba tom. I, pag. 498, sic se habent : Ἔγραψε δὲ μετάφρασιν εἰς τὸν Ἐκκλησιαστήν, ἐλάχιστον μέν, πάνυ δὲ θαυμαστὸν λόγον.

(10) Hoc primum Græce edidit Montacutius Etonæ, in-4, anno 1610, p. 127 sqq. (Reeuditur infra.)

(11) Vide modo laudatum libellum, p. 159.

(11*) *Τοῦ*. Forte, τῆς. Edit.

(12) Vide Montf. *Bibl. Coislin.*, cod. LI, p. 118, et LXV, p. 120, necnon Fabric. *Bibl. Gr.* vol. VII, p. 515.

(13) Vid. Montf. *Bibl. Coislin.*, cod. VIII, p. 43, et quæ nos notavimus in *Notitia codd. mss. Mosq.*, cod. XXVI, p. 38.

a manu altera legitur: Ἐγράφη καὶ ἐτελειώθη ἡ A θεία καὶ θεολογικὴ καὶ ἱερὰ αὕτη βίβλος ἐν ἔτει ,ςωμζ'. (i. e. post Christum natum 1349), καὶ εὔχεσθαι (*sic*) τὸν γράψαντα οἱ ἀναγι. (*Sic*). Ibidem ab alia etiam manu legitur: Ἀφιερώθη καὶ τοῦτο, ὡς καὶ τὰ λοιπὰ ὑπ' ἐμοῦ Μαξίμου ἁμαρτωλοῦ μοναχοῦ ἐν τῷ ἁγίῳ ὄρει ἐν τῇ ἁγίᾳ μονῇ τοῦ κυροῦ Διονυσίου, διὰ μνημόσυνον τοῦ ἐμοῦ πεφιλημένου πατρός. Ὁ δὲ συλλῆσαι (*sic*) θελήσας, ἐχέτω τὰς ἀρὰς τῶν ἁγίων Πατέρων. Τμήματα ιζ' καὶ λειτουργίαι δ'.

I. Codex (14) ejusdem bibliothecæ num. LXI, in fol. Continet in foliis CCLXXXVIII orationes XXXI. Scriptus est in membranis sæc. x. Fuit olim in laura Athanasii in monte Atho. Nam fol. 1 legitur: Βιβλίον τῆς τρίτης θέσεως α'. In fine singularum orationum notatus est numerus versuum. Inest B quoque explicatio signorum scribæ, quam jam edidit Montf. *Bibl. Coislin.* cod. CCXLIII, p. 300. Est hic codex unus ex pulcherrime scriptis. Exornatus est multo auro variisque coloribus. Nota scribæ in fine hæc reperitur: Ἐτελειώθη ἐν Κυρίῳ ἡ πανάγαστος αὕτη δέλτος τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Γρηγορίου τοῦ Θεολόγου μηνὶ Ἰουνίῳ, ε' ἡμέρᾳ καταπαυσίμῳ, ὥρᾳ θ', ἰνδικτ. γ', ἔτους ἀπὸ κτίσεως κόσμου ,ςυπγ' (6483, i. e. post Christum natum 975), γραφεῖσα διὰ χειρὸς Νικολάου μοναχοῦ καὶ πρεσβυτέρου μονῆς τῆς ὑπεραγίας Θεοτόκου, ἧ ἐπώνυμον ὁ Πελεκᾶν. Ὑπὲρ οὗ, πᾶς ὁ ἐντυγχάνων ταύτῃ τῇ βίβλῳ, ἔσο ὑπερευχόμενος διὰ τὸν Κύριον.

In hoc codice fol. 122 verso legitur nota a prima manu scripta cinnabari, quæ refertur ad verba, θάνατον πλησιάσαντες.* Ἐπεὶ γὰρ φθόνῳ, κ. τ. λ. (vid. edit. operum Gregor. ed. Bened. p. 836 C et p. 837 E) quæque ita se habet: Ἐν πολλοῖς τῶν ἀντιγράφων καὶ ἕτερά τινα διὰ μέσου κείμενα εὕρομεν, ἔνθα τὸ σημεῖον ὁρᾷς διὰ τῆς κιναβάρεως (est vero istud signum eo in loco, ubi ego stellam posui)· ἅπερ ἔδοξεν ἡμῖν ἢ μὴ εἶναι τοῦ Πατρὸς, ἢ μὴ εἶναι ἀνόθευτα, ὅμως καὶ ταῦτα πρὸς ἀκριβῆ τῶν ἐντυγχανόντων γνῶσιν μετὰ τὴν συμπλήρωσιν (post finem orationis fol. 126) τοῦ παρόντος λόγου γραφῆναι συνείδομεν. Rursus fol. 126 ante istum suspectum locum hæc nota legitur: Ἔχει δὲ καὶ τὰ ἐν τῷ προγεγραμμένῳ λόγῳ, ὡς ἐν παραθήκῃ φερόμενα, καθάπερ ἀνωτέρω ἐν τῷ ἐκ τῆς ἀρχῆς τετάρτῳ σελλιδίῳ, ὡς ἐσημειωσάμεθα οὕτως. Locus incipit sic: Καὶ τί δεῖ μοι πλειόνων ἐγκαινίων. Desinit fol. 127 in verbis, ἀπαθανατισθέντες καὶ Θεῷ πλησιάσαντες. Post ista verba tertia nota repetitur: Ἔστιν ὑποθέσθαι τοῦ Ἁγίου εἶναι καὶ ταῦτα· ἐπειδὴ γὰρ ὁ Πατὴρ τὸν παρόντα λόγον σχεδίως, ἅτε ἐπ' ἐκκλησίας, προσεφώνησεν, εἰκὸς μετὰ τοῦτο αὐτὸν σχολαιότερον διελθὼν ἀθετεῖσθαι ταῦτα ἠθέλησεν. Οὕτω μᾶλλον ἐγὼ περὶ τούτων εἰκάζω.

K. Codex (15) ejusdem bibliothecæ num. LXII, in fol. Scriptus est sæc. x. Continet in foliis CCLX orationes XVI. In hoc folio 1 est tabula picta, divisa in duas partes. Vetustate autem ita pleraque deleta sunt, ut neutrius partis argumentum cognosci possit. Fol. 2 legitur index orationum litteris aureis, scriptis in cinnabari. Has litteras subinde renovavit recentior manus minio. In fine additur etiam explicatio istorum signorum, de quibus modo dixi in recensione codicis I. In ipso opere initia et indices orationum necnon litteræ initiales auro et cinnabari necnon aliis coloribus sunt conspicua. Sæpe etiam imagines sunt adjectæ, quæ argumentum orationum exhibent. Fol. 4 in fine a manu recentiori legitur: Ξηροποτάμου (quod monasterii nomen est montis Atho) Γεννάδιος ἱερομόναχος.

L. Codex (16) ejusdem bibliothecæ num. LXIII, in fol. Scriptus est in membranis sæc. x. Complectitur in foliis CCCLXXXIII orationes XXIII. Fuit quondam in monasterio Iberorum montis Athus. Nam fol. 3 legitur: τῶν Ἰβήρων. Ante orationes Gregorii Nazianzeni inserta sunt duo folia membranacea sæc. IX in quibus pars orationis Joannis Damasceni legitur. Indicem habet: Ἰωάννου πρεσβυτέρου καὶ μοναχοῦ Δαμασκηνοῦ λόγος εἰς τὴν κοίμησιν τῆς παναγίας Θεοτόκου. Incipit: Ἔστι μὲν ἀνθρώπων οὐδείς.

In hoc codice locus ille orationis XLIII, de quo C supra dixi in recens. cod. I, separatim legitur. In fine orationis XXV (nunc XXIII), quæ hic est XXIII, quædam exciderunt.

M. Codex membranaceus sæc. x, foliorum CCCLXI, ejusdem bibliothecæ, in folio, num. LXIV. Continet:

a) XXVII orationes Gregorii Nazianzeni. Etiam hic ille locus cum ista, de qua supra dixi nota in cod. I, separatim legitur. Præterea in oratione IV (nunc V), quæ hic est XXI, fol. 271, in margine legitur locus, qui in editis reperitur pag. 119, A, B, a verbis, καὶ γὰρ εἰ τὴν ὀρθήν, ad verba, καταλείψαντος. Indicem habet iste locus, ἐν ἄλλῳ (scil. ἀντιγράφῳ). Ergo olim videtur abfuisse a quibusdam codd.

D b) Συναγωγὴν καὶ ἐξήγησιν, ὧν ἐμνήσθη ἱστοριῶν ὁ ἐν ἁγίοις Πατὴρ ἡμῶν Γρηγόριος ἐν τῷ *Εἰς τὰ Φῶτα* λόγῳ, οὗ ἡ ἀρχή· *Πάλιν Ἰησοῦς*. Incipit: Οἱ θεολόγοι τῶν Ἑλλήνων.

c) Ἐξήγησιν ἱστοριῶν τῶν ἐν τῷ πρώτῳ Στηλιτευτικῷ. Incipit: Λόγος στηλιτευτικός.

d) Ἱστορίας τοῦ δευτέρου Στηλιτευτικοῦ. Incipit: Ἀριάδνη θυγάτηρ.

N. Codex (17) membranaceus, sæc. x aut IX scriptus, foliorum CCCLIV. Est ejusdem bibliothecæ, in fol., num. LXV. Continet LI orationes cum scho-

(14) Hic codex in primis dignus est qui a futuro editore diligenter comparetur cum editis.

(15) Etiam hic codex est unus ex diligentissime scriptis.

(16) Hic est unus ex diligentissime et pulcherrime scriptis.

(17) A folio 209 ad 216 secunda manus sæc. XV quæ exciderant adjecit.

(18) Scholia a manu recentiori scripta videntur. Sæpe etiam alieno loco leguntur. Exempli causa,

liis. Olim fuit in monte Atho, in monasterio Athanasii, quod Laura appellatur.

O. Codex membranaceus sæc. XI aut X, foliorum CCCXCI. Servatur in eadem bibliotheca, estque in fol., num. LXVI. Continet XLIX orationes. Orationis autem primæ, quæ est in editis quoque prima (nunc secunda), initium deest.

P. Codex in charta bombycina sæc. XIV, foliorum DXVI. Fuit quondam in monasterio Iberorum. Nunc in eadem Mosquensi bibliotheca servatur, de qua modo dixi, estque in fol., num. LXVIII. Continet XVI orationes cum commentario Nicetæ. Nicetæ interpretatio hunc habet indicem : Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Νικήτα μητροπολίτου Σεῤῥῶν ἐξήγησις εἰς τὸν Θεολόγον. A principio nonnulla scripta sunt minus diligenter a manu recentiori in B charta vulgari, in his oratio, Ἀναστάσεως ἡμέρα.

Q. Codex membranaceus sæc. XI aut X foliorum CCIX. Est ejusdem bibliothecæ, in fol., num LXIX. Continet :

a) XIII orationes Gregorii Nazianzeni.

b) Μαρτύριον τῶν (19) ἁγίων καὶ ἐνδόξων τοῦ Χριστοῦ μαρτύρων Εὐστρατίου, Αὐξεντίου, Εὐγενίου, Μαρδαρίου καὶ Ὀρέστου. Μηνὶ δεκεμβρίῳ ιγ'. Incipit : Βασιλεύοντος Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ.

Hoc in fine est mutilum. Desinit enim in verbis, Καθεσθέντων οὖν αὐτῶν, ὁ ἅγιος Εὐστράτιος εἶπε.

R. Codex ejusdem bibliothecæ in quarto, num. CCLXXXI, foliorum CCCXXXV. Scriptus est in charta sæc. XV. Fuit quondam in monasterio Batopedii. C Continet XI orationes cum Commentario (20) Nicetæ.

S. Codex ejusdem bibliothecæ in quarto, num. CCLXXXII, sæc. XII aut XI, foliorum DXXXV. Scriptus est in membranis. Fuit quondam in monasterio Iberorum. Continet XIV orationes cum commentario anonymi. Est hic codex variis in locis in superiori parte putredine adesus. Cæterum accurate et pulcherrime scriptus. In fine hæc scribæ D nota legitur : Θεοῦ τὸ δῶρον καὶ πόνος Κωνσταντίνου.

T. Codex ejusdem bibliothecæ in folio, num. V. Hunc recensui in *Notitia codd. mss. Græcorum*, quæ prodiit Mosquæ 1776, in fol., vid. p. 8 et 9. Continet præter alia XVI orationes (21) Gregorii Nazianzeni et Vitam ejusdem, quæ ibi tribuitur Gregorio presbytero.

V. Codex ejusdem bibliothecæ, num. XLI, in fol., membranaceus, sæc. X aut XI. Continet præter alia epistolas aliquot Gregorii Nazianzeni. Hunc l. l. recensui p. 61.

X. Codex chartaceus sæc. XVII, bibliothecæ Typographei synodalis, num. IV, in quarto. Continet præter alia unam Gregorii Nazianzeni orationem cum scholiis. Incipit : Ἐγκαίνια τιμᾶσθαι. Scholia incipiunt : Ὡς ἓν ἀπρόσιτον καὶ ἀδιάδοχον.

Hunc diligentius recensui in *Notitia codd. mss.*

II. *Codices carminum.*

A. Codex bibliothecæ sanctissimæ Synodi, num. LIII, in fol. Scriptus est sæc. XII in membranis. Fuit quondam in monasterio Iberorum. Continet in foliis CCXC Gregorii Nazianzeni LV carmina (22) cum paraphrasi.

B. Codex ejusdem bibliothecæ num. CCXLVIII, in quarto. Scriptus est in charta, sæc. XVII. Fuit quondam in monasterio Iberorum. Continet præter alia XIV carmina cum scholiis.

C. Codex ejusdem bibliothecæ num. CCXLVII, in quarto. Hic ab Absalomo monacho scriptus traditur anno mundi 7118, Christi 1610, mensis Maii die 12. Est chartaceus. Continet inter alia XXXIII carmina cum scholiis modo inter versus, modo in margine.

D. Codex bibliothecæ Typographei synodalis, num. V, in quarto, de quo diligentius exposui in *Notitia codicum mss. Mosquensium.*

E. Codex ejusdem bibliothecæ num. XLI, in quarto. Vide eamdem *Notitiam.*

scholia orationis φίλοι πιστοί, leguntur in margine orationis : Λύει μοι τὴν γλῶσσαν. Scholia ad orationem, Ἀναστάσεως ἡμέρα, quæ prima est in hoc codice, maxima ex parte deleta sunt. Ex hoc codice infra quædam excerpsi, quæ a scribis aliis recentiori tempore adjecta sunt.

(19) Vid. Fabric. *Bibl. Gr.*, vol. IX, p. 78.

(20) Indicem habet : Νικήτα διακόνου καὶ διδασκάλου τῆς τοῦ Θεοῦ μεγάλης Ἐκκλησίας ἑρμηνεία εἰς τοὺς ῥηθέντας ὁσίους λόγους παρὰ τοῦ Θεολόγου Γρηγορίου.

(21) Hunc codicem in hac editione non contuli, quia unus est ex negligentissime scriptis, quod comparandis nonnullis Novi Fœderis libris, quos etiam continet, intellexeram.

(22) Ex hoc codice speciminis causa edidi duplicem paraphrasin carminis *De libris canonicis V. et N. Testamenti.* — Hanc Paraphrasin edimus inter scholia quæ Gregorii carminibus subjiciuntur. EDIT. PATR.

NICETÆ SERRONII COMMENTARIUS

IN ORATIONEM I, OLIM XLI.

S. P. N. Gregorii Theologi, archiepiscopi Constantinopolitani, oratio prima, interpretata a beatissimo et clarissimo metropolitano Heracleæ domino Niceta Serronio.

(1) Cum D. Gregorius invito animo sacerdos creatus fuisset, et, patre jam senescente, Nazianzeni gregis curam susciperet, atque id, quod patri deerat, suppleret : eam rem permoleste ferens, in Pontum profugerat, illicque conquiescebat; ac non multo post ipso Paschatis die Nazianzum reversus est, civiumque hortatu in medium ecclesiæ prodiens, hanc orationem pronuntiavit. Deinde vero magnum apologeticum (1*) per otium conscripsit. Demonstrativa porro est hæc oratio, duplex habens argumentum, Paschalis nempe festi solemnitatem, et tarditatem in suscipienda Ecclesiæ Nazianzenæ præfectura. Nam et festum diem laudibus prosequitur, et tarditatis suæ rationem reddit : tametsi hæc defensionis pars paucis absolvatur. Pascha autem non, ut quibusdam visum est, salutiferæ passionis nomen est, verum dictio hæc *transitum* significat, quemadmodum idem auctor, oratione II de *Paschate* interpretatur. Sic enim incipit.

Resurrectionis dies. Quoniam, inquit, Resurrectionis dies est, quo ad vos accessi, viri Nazianzeni (ad illos enim hanc orationem habet vir divinus et vere theologus), hunc ipsum diem, ut bonum signum atque omen accipio, quod ipse quoque ab ignavia et infirmitate resurgam, ac mihi sermonum meorum auspicium, plebisque docendæ ac moderandæ principium faustum et felix erit. Age igitur ob splendidam hanc divinamque festivitatem spiritualiter splendescamus, virtutum videlicet amictu et ornamento illustrati (2). Nos mutuo complectamur, dilectionem et fraternitatem atque arctissimam concordiam hoc signo exprimentes. Nam verbum περιπτύσσεσθαι, quasi coalescere, et complexu hærere significat.

Dicamus, fratres, etiam his qui nos oderunt. Hoc autem ab Isaia sumptum est, cujus hæc verba sunt : *Dicite his qui vos oderunt et exsecrantur : Fratres nostri estis* [1]. Sensus autem est hujusmodi : His etiam, qui nos odio insectantur, dicamus : O fratres, id est, eos fratrum nomine appellemus. Hoc

A *Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν ἀρχιεπισκόπου Κωνσταντινουπόλεως Γρηγορίου τοῦ Θεολόγου λόγος α', ἑρμηνευθεὶς ὑπὸ τοῦ μακαριωτάτου καὶ ὑπερτίμου μητροπολίτου Ἡρακλείας κυροῦ (3) Νικήτα τοῦ Σεῤῥῶν.*

Col. 395 A 3. *Ἀναστάσεως... περιπτυξώμεθα.* Ἄκων χειροτονηθεὶς ἱερεὺς ὁ θεῖος Γρηγόριος, ὥστε λοιπὸν γηράσαντος τοῦ πατρὸς ἀντιλαμβάνεσθαι τοῦ κατὰ Ναζιανζὸν ποιμνίου, καὶ ἀναπληροῦν τὸ πατρικὸν ὑστέρημα, δυσχεράνας ἔφυγεν εἰς τὸν Πόντον, κἀκεῖσε ἡσύχαζε, καὶ μετὰ καιρὸν ἐπανῆκεν ἀπὸ τοῦ Πόντου ἐν ἡμέρᾳ τοῦ Πάσχα, καὶ παρακληθεὶς ἔστη μέσον τῆς ἐκκλησίας, καὶ τὸν παρόντα λόγον ἀπεστομάτισεν. Ὕστερον δὲ τὸν μέγαν Ἀπολογητικὸν συνέταξε κατὰ σχολήν. Ἔστι δὲ οὗτος ὁ λόγος πανηγυρικὸς, διπλῆν ἔχων ὑπόθεσιν, αὐτήν τε τὴν B ἑορτὴν καὶ τὴν βραδυτῆτα τῆς προστασίας τῆς κατὰ Ναζιανζὸν Ἐκκλησίας. Πανηγυρίζει τε (4) ὑμνῶν τὴν ἑορτὴν, καὶ ὑπεραπολογεῖται τῆς βραδυτῆτος, εἰ καὶ τὰ τῆς ἀπολογίας ἐν ὀλίγῳ μέρει τοῦ ὅλου λόγου συμπεπεράτωται. Τὸ δὲ Πάσχα, οὐκ ἔστιν ὄνομα τοῦ σωτηρίου πάθους, ὥς τινες ἐνόμισαν, ἀλλ' ἡ λέξις αὕτη δηλοῖ *τὴν διάβασιν*, καθὼς ἐν τῷ δευτέρῳ τοῦ Πάσχα λόγῳ ὁ μέγας οὗτος Θεολόγος Πατὴρ ἑρμηνεύει· Ἄρχεται δ' οὕτως·

Ἐπειδὴ, φησὶν, ἀναστάσεως ἡμέρα ἐστὶ, καθ' ἣν πρὸς ὑμᾶς ἐπεδήμησα, αὐτὴν ταύτην τὴν ἡμέραν, ὡς ἀγαθὸν δέχομαι σύμβολον, ὅτι ἀναστήσομαι κἀγὼ ἀπὸ τῆς δειλίας καὶ ἀσθενείας, καὶ ἔσται μοι ἡ ἀρχὴ τῶν λόγων μου καὶ ἡ ἀρχὴ τοῦ διδάσκειν καὶ τοῦ C προΐστασθαι δεξιὰ, τουτέστιν ἀγαθὴ καὶ ἐπιτηδεία. Ἄγε οὖν ἐπὶ τῇ λαμπρᾷ ταύτῃ ἑορτῇ καὶ πανηγύρει, πνευματικῶς λαμπρυνθῶμεν, τῇ περιβολῇ τῶν ἀρετῶν φαιδρυνόμενοι, καὶ ἀλλήλους περιπτυξώμεθα, τὸ ἀγαπητικὸν, καὶ φιλάδελφον καὶ συνδετικὸν πρὸς ὁμόνοιαν ἐν τούτῳ δεικνύοντες. Τὸ γὰρ περιπτύσσεσθαι, τὸ οἱονεὶ προσφύεσθαι καὶ περιπλέκεσθαι ἀλλήλους δηλοῖ.

D Ibid. 5. *Εἴπωμεν... πεποθόσι.* Τοῦτο ἐκ τῆς προφητείας Ἡσαΐου ἔλαβεν ὁ Θεολόγος, λέγοντος· *Εἴπατε τοῖς μισοῦσιν ὑμᾶς καὶ βδελυσσομένοις· Ἀδελφοὶ ἡμῶν ἐστε.* Ὁ δὲ νοῦς τοῦ λόγου τοιοῦτός ἐστιν, ὅτι Καὶ αὐτοῖς τοῖς μισοῦσιν ἡμᾶς εἴπωμεν τὸ, Ὦ ἀδελφοὶ, τουτέστι καλέσωμεν αὐτοὺς τῇ προσ-

[1] Isa. LXVI, 5.

(1) Interprete Billio, p. 1090, qui Pselli scholia interseruit.

(1*) Id est orationem II, olim I.

(2) Additur apud Billium : « Sciendum porro, aliud ἑορτὴν esse, et aliud πανήγυριν. Ἑορτὴ enim est velut sancti cujusdam memoria : ducitque hoc nomen etymologiam ἀπὸ τοῦ εὖ ὁρούειν, id est, grassari ad res honestas et laudabiles : πανήγυρις autem, est Pascha et Ascensio aliaque mystica festa : πανήγυρις vero dicitur ἀπὸ τοῦ πάντας γηρύειν, id est loqui. »

(3) De voce κυροῦ cf. Ern. Dronke Præfationem ad Gregorii *Carmina selecta* (tom. XXXVIII, infra).

(4) Γάρ interponit b.

ηγορίᾳ τῶν ἀδελφῶν. Τοῦτο γὰρ ἀπόδειξις ἀγαθῆς περὶ αὐτοὺς διαθέσεως. Δεῖ γὰρ καὶ τοῖς ἐχθροῖς λέγειν τό, Ὦ ἀδελφοί, καὶ μὴ μόνον τοῖς δι' ἀγάπην τι πεποιηκόσιν ἢ πεπονθόσι, ὥσπερ οἱ ἐν Ναζιανζῷ καὶ ἐποίησάν τι δι' ἀγάπην καὶ ἔπαθον. Ἐποίησαν μὲν γὰρ τὴν πρὸς τὸν Θεολόγον τοῦτον Πατέρα παράκλησιν (1), ἵνα τὴν ἱερωσύνην καταδέξηται καὶ ποιμάνῃ (2) αὐτούς. Ἔπαθον δὲ τὸ μὴ εἰσακουσθῆναι παρ' αὐτοῦ. Καὶ αὖ πάλιν αὐτὸς ἔπαθε τὴν βίαν καὶ ἐποίησε τὴν εὐπείθειαν.

Col. 395 A 7. *Συγχωρήσωμεν... ταχυτητες.* Συγχωρήσωμεν διὰ τὴν Ἀνάστασιν πρὸς (3) τὰ αἰτιάματα, ἃ ἔχομεν ἀλλήλους αἰτιᾶσθαι, δῶμεν συγγνώμην ἀλλήλοις, ὑμῖν μὲν ἐγώ, ὁ παρ' ὑμῶν (4) τυραννηθεὶς τὴν καλὴν τυραννίδα. Τοῦτο γὰρ νῦν προστίθημι (5), ὅτι καλή ἐστιν αὕτη ἡ τυραννίς· ἐπεὶ πρότερον οὐκ ἐδόκει μοι καλή, ἀλλὰ βιαία, ἀλλὰ ἀσύμφορος. Καλὴν δὲ αὐτὴν νῦν λέγω, ὡς ἀπὸ διαθέσεως ἀγαθῆς γεγενημένην. Ὑμεῖς δὲ πάλιν δότε συγγνώμην ἐμοί, εἴ τί μοι μέμφοισθε τῆς βραδυτῆτος, καὶ ὅτι οὐκ αὐτίκα ἐπέδραμον καλούμενος. Καίτοιγε, εἰ καὶ μὴ παρ' ὑμῖν, ἀλλὰ τῷ Θεῷ (6) κρείττων ἐστὶν ἡ λελογισμένη αὕτη βραδυτής, παρὰ τὴν ἑτέρων ἀπερίσκεπτον ταχυτῆτα.

Ibid. 12. *Ἀγαθὸν... δύναμιν.* Κατασκευάζει ἐνταῦθα, ὅτι ἀμφότερα ἐπαινετῶς ἐποίησε. Καὶ πρότερον, τὴν ἀναχώρησιν, διὰ τὸ φοβηθῆναι τὸ μέγεθος τῆς ἱερωσύνης· καὶ δεύτερον, τὴν ἐπάνοδον, διὰ τὸ μὴ περιπεσεῖν τῷ τῆς ἀπειθείας ἐγκλήματι. Καὶ τὰ παραδείγματα τῆς τε βραδυτῆτος (7) καὶ τῆς προθυμίας, ἀπὸ τῆς ἱστορίας λαμβάνει τῆς Παλαιᾶς. Ἀγαθὸν γάρ, φησί, καὶ τὸ ὑποχωρῆσαι πρὸς ὀλίγον καὶ τὴν προστασίαν παραιτήσασθαι, κἂν αὐτὸς ὁ Θεὸς κελεύῃ, καὶ αὖθις τὸ προσδραμεῖν. Καὶ ταῦτα οὐκ αὐτὸς ἀναπλάττω, ἀλλ' εὑρίσκω καὶ τὸν Μωϋσέα καὶ τὸν Ἱερεμίαν ἀποστελλομένους παρὰ τοῦ Θεοῦ, καὶ παραιτουμένους. Ὁ μὲν γὰρ Μωϋσῆς κελευόμενος παρὰ (8) τοῦ Θεοῦ πρὸς Φαραὼ ἀπελθεῖν βασιλέα Αἰγύπτου, καὶ εἰπεῖν αὐτῷ, ἵνα ἀποστείλῃ τὸν λαὸν αὐτοῦ, τουτέστι τοὺς Ἰουδαίους, παρῃτεῖτο, προφασιζόμενος, ὅτι βραδύγλωσσός ἐστι καὶ ἰσχνόφωνος, καὶ εἶπε· *Δέομαι, Κύριε, προχείρισαι ἄλλον δυνάμενον, ὃν ἀποστελεῖς.* Ὁ δὲ Ἱερεμίας προφητεύειν εἰς τὰ ἔθνη πεμπόμενος, καὶ αὐτὸς ἀνεβάλετο (9) λέγων· *Ὁ ὤν, Δέσποτα Κύριε, ἰδοὺ οὐκ ἐπίσταμαι λαλεῖν, ὅτι νεώτερος ἐγώ εἰμι.* Οὗτοι μὲν οὖν κελεύοντι τῷ Θεῷ ὑπεχώρησαν· ὁ μέν, τὸ βραδύγλωσσον δεδοικώς, ὁ δέ, τὴν νεότητα. Ὁ δὲ Ἀαρὼν καὶ Ἡσαΐας, καλοῦντι τῷ Θεῷ ἑτοίμως προσέδραμον. Ὁ μὲν γὰρ Ἀαρὼν ἀκούσας παρὰ Κυρίου, *Πορεύθητι εἰς συνάντησιν Μωσέως εἰς τὴν ἔρημον*, εὐθὺς ἐβάδισε, καὶ συνήντησεν αὐτῷ, μηδέν τι διακριθείς,

enim argumentum est animi erga eos bene affecti. Nam hostibus quoque dicendum est: O fratres, et non his tantum, qui propter charitatem aliquid fecerunt aut passi sunt, quemadmodum Nazianzenis contigerat, qui propter charitatem aliquid fecerant et passi fuerant: fecerant enim, quatenus Theologum hortati fuerant, vel potius compulerant, ut sacerdotium susciperet, ipsosque pasceret. Passi autem fuerant, quatenus id ab eo nequaquam impetraverant. Rursus ipse et vim passus erat, et rursus intulerat, quod morem ipsis gerere detrectasset.

Remittamus ob resurrectionem omnes culpas, quas utrinque objicere possumus. Veniam alii aliis demus, vobis quidem ego, qui a vobis rectam et laudabilem vim perpessus sum. Jam enim hoc adjicio, nimirum quod vis hæc nobis allata, bona et laudanda sit: quoniam ante haudquaquam mihi bona videbatur, verum sæva et incommoda. Bonam autem eamdem nunc dico, utpote a bono animi affectu natam. Vos autem vicissim mihi ignoscite, si quid mea vos tarditas offenderit, et quia non statim, ut vocatus sum, accurri. Quanquam si non apud vos, certe apud Deum præstantior est circumspecta hæc tarditas aliorum inconsulta celeritate.

Bonum enim est, etc. Utrumque se recte ac laudabiliter fecisse confirmat, tum quod prius secesserit, sacerdotii magnitudinem reformidans, tum quod postea reversus sit, ne in crimen inobedientiæ incurreret. Atque exempla timoris et alacritatis a Veteris Testamenti historia desumit. Bonum enim est, inquit, et ad aliquod tempus recedere, ac præfecturam fugere, etiamsi Deus ipse id jubeat, et rursus accurrere. Neque hæc mihi ipse fingo; verum et Mosem, et Hieremiam, cum a Deo mitterentur, hanc provinciam a se rejecisse comperio. Moses enim, cum ei a Deo imperatum esset, ut Pharaonem Ægypti regem adiret, eique denuntiaret ut ipsius populum, hoc est Judæos, emitteret, id facere recusabat, tarditatem linguæ vocisque gracilitatem excusans, ac dicens: *Obsecro, Domine, elige alium viribus valentem, quem mittas*[2]. Hieremias autem, cum ad promulgandam gentibus prophetiam mitteretur, cunctabatur ipse quoque his verbis utens: *Qui es, Domine, ecce nescio loqui, quia adolescentior ego sum*[3]. Vides quemadmodum hi Dei jussa detrectarint, atque id muneris repudiarint, ille tarditatem linguæ veritus, hic adolescentiam. At vero Aaron et Isaias, cum a Deo vocarentur promptis animis accurrunt. Nam cum Aaroni a Deo dictum fuisset: *Proficiscere obviam Mosi in desertum*[4], confestim ad iter se accinxit, atque ipsi occurrit, nihil secum disceptans, simulque in Ægyptum profectus est: ita ut, juxta divinum oracu-

[2] Exod. IV, 13. – [3] Jerem. I, 6. – [4] Exod. V, 27.

(1) Ante ἵνα addit b μᾶλλον δὲ βίαν.
(2) Ποιμαίνῃ b.
(3) Πάντα pro πρός b, recte.
(4) Ὁ παρ' ὑμῖν b.
(5) Νῦν προστίθημι habet paulo post ante ἐπεί b.
(6) Παρὰ τῷ Θεῷ b.
(7) Δειλίας pro βραδυτῆτος b.
(8) Ὑπό loco παρά b.
(9) Ἀνεβάλλετο b.

lum, Moses quidem graciliter et tenui voce ad Aaronem loqueretur, Aaron autem Mosis verba ad Pharaonem populumque magna et clara voce transmitteret. Eodem modo Isaias, cum eum, quem in throno excelso et elato conspicatus fuerat, dicentem audivisset : *Quem mittam et quis proficiscetur ad populum hunc*, nempe Judæorum? dixit : *Ecce ego, mitte me* [5-6].

(*Magni Basilii interrogatio* [1]). Verum quid fuit causæ, quare Moses tergiversaretur, Isaias contra accurreret? *Responsio* : Nimirum quia Moses negotium, cujus causa mittebatur, exploratum habebat : ac proinde id muneris suscipere gravabatur, partim Pharaonis duritiem oculis sibi proponens, partim etiam populi contumaciam moresque vix tractabiles. Periculum enim fecerat Judæorum ingratitudinis : quippe qui, beneficio quoque affecti, ipsum fuga Ægyptum relinquere coegissent. Isaias autem, cum remissis ipsi peccatis audivisset : *Quis ibit ad populum hunc?* atque existimaret eam ob causam nuntium quæri, ut pari beneficio fruerentur illi, ad quos mitteretur, præ animi lætitia seipsum offert, ut illis quoque peccata remitterentur, *Ecce ego*, inquit, *mitte me*. Quare, non sine ratione, et ille mandatam sibi provinciam deprecabatur, et hic cupide ambiebat. Verum ne quis a Theologo quæreret, quare cum accurrere ad Deum et secedere inter se pugnent, utrumque bonum esse diceret, ipse objectioni occurrens, solutionem infert. Si enim, inquit, hæc duo, secessio videlicet atque accedendi promptitudo, pie fiant, neutrum horum turpe censebitur. Quonam autem modo eam rem et pie recusabit ac defugiet quispiam, et pia rursus alacritate ad eam accedet? Illud quidem, ob propriam infirmitatem, nimirum cum aliquis ipsam animo reputans, ministerii demandati magnitudinem perhorrescit: hoc autem ob vocantis potentiam, nempe cum quis certa fide sibi persuadens nihil esse, quod Deus non possit, imperantem sequitur, eique obtemperat. Animadverte igitur, quonam pacto Theologus ostendere volens, nec eorum, qui refugerunt, timiditatem, nec eorum, qui prompte se obtulerunt, alacritatem reprehendendam esse, ad utramque personam respexerit, vocantis scilicet et ejus qui vocatur, ut ostendat, si quidem vocantem spectemus, convenire, ut qui vocatur, pareat : sin autem eum qui vocatur, par esse ut vocantem revereatur, ac munus sibi commissum detrectet. Atque hac ratione, quamvis recedere et accurrere inter se dissideant, ob diversam tamen causam utrumque laudis nomen habebit.

A καὶ συνεπορεύθη εἰς Αἴγυπτον. Ὥστε κατὰ τὸν θεῖον χρησμὸν, τὸν μὲν Μωσέα ἰσχνῇ καὶ λεπτῇ τῇ φωνῇ λαλεῖν πρὸς τὸν Ἀαρών· τὸν δὲ Ἀαρὼν, τὰ τοῦ Μωϋσέως ῥήματα μεγαλοφώνως διαπορθμεύειν πρὸς τὸν Φαραὼ καὶ πρὸς τὸν λαόν. Ἡσαΐας δὲ καὶ αὐτὸς ἀκούσας (2) παρὰ τοῦ ὀφθέντος αὐτῷ ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου, *Τίνα ἀποστείλω, καὶ τίς πορεύσεται πρὸς τὸν λαὸν τοῦτον*, δηλαδὴ τῶν (3) Ἰουδαίων; εἶπεν. *Ἰδοὺ ἐγὼ, ἀπόστειλόν με.*

Col. 395. B 1. *Τοῦ* [(4) *μεγάλου Βασιλείου*. *Ἐρώτησις*.] Διατί δὲ δήποτε Μωσῆς μὲν παρῃτεῖτο, Ἡσαΐας δὲ προσέτρεχεν; *Ἀπόκρισις*. Ὅτι Μωσῆς μὲν ᾔδει τὴν ὑπόθεσιν, ἧς ἕνεκα ἀπεστέλλετο· διὰ τοῦτο ὤκνει, πρός τε τὸ ἀνένδοτον τῆς καρδίας τοῦ (5) Φαραὼ ἀποβλέπων, καὶ πρὸς τὸ δυσπειθὲς πάλιν καὶ δυσ-
B άγωγον τοῦ λαοῦ. Πεῖραν γὰρ εἶχε τῆς ἀγνωμοσύνης τῶν Ἰουδαίων, ὅτι καὶ εὐεργετηθέντες αὐτὸν ἐφυγάδευσαν. Ἡσαΐας δὲ μετὰ τὸ ἀφεθῆναι τὰς ἁμαρτίας αὐτοῦ, ἀκούσας, *Τίς πορεύσεται πρὸς τὸν λαὸν τοῦτον;* καὶ νομίσας, ὅτι ἐπὶ τούτῳ ζητεῖται ὁ ἀποστελλόμενος, ἵνα τὰ παραπλήσια κἀκεῖνοι εὐεργετηθῶσι, πρὸς οὓς ἀποστέλλεται, ὑπὸ περιχαρίας (6) ἑαυτὸν ὑποβάλλει, ἵνα κἀκείνοις ἀφεθῶσιν αἱ ἁμαρτίαι. *Ἰδοὺ*, φησὶν, *ἐγὼ, ἀπόστειλόν με*. Ὥστε εὔλογος κἀκείνου ἡ παραίτησις καὶ τούτου ἡ προθυμία. Ἵνα δὲ μή τις εἴπῃ τῷ Θεολόγῳ· Πῶς ἐναντία ὄντα ἀλλήλοις, τὸ προσδραμεῖν τῷ Θεῷ καλοῦντι, καὶ τὸ ὑποχωρῆσαι, σὺ λέγεις ἀμφότερα εἶναι ἀγαθά; αὐτὸς προλαβὼν ἐπάγει τὴν λύσιν. Εἰ γὰρ εὐσεβῶς, φησὶ, καὶ ἡ ὑποχώρησις καὶ ἡ προθυμία γένηται, οὐδέτε-
C ρον τούτων φαῦλον κριθήσεται. Πῶς δὲ καὶ παραιτήσεταί τις εὐσεβῶς καὶ προθυμηθήσεται εὐσεβῶς; Τὸ μὲν, διὰ τὴν οἰκείαν ἀσθένειαν, ὅταν τις εἰς ταύτην ἀποβλέπων, τὸ μέγεθος τῆς διακονίας εὐλαβῆται· τὸ δὲ, διὰ τὴν τοῦ καλοῦντος δύναμιν, ὅταν τις πιστεύσας, ὅτι πάντα δυνατὰ τῷ Θεῷ, ἀκολουθῇ αὐτῷ ἐπιτάττοντι. Ὅρα τοίνυν, πῶς θέλων ὁ Θεολόγος Πατὴρ συστῆσαι, ὅτι οὔτε ἡ δειλία τῶν ὑποχωρησάντων μεμπτὴ, οὔτε ἡ προθυμία τῶν ὁρμησάντων (7), πρὸς ἀμφότερα ἀπεῖδε τὰ πρόσωπα, τουτέστι πρὸς τὸ καλοῦν καὶ (8) καλούμενον, ἵνα δείξῃ τοῦ μὲν καλοῦντος ἄξιον, τὸ τὸν καλούμενον ὑποτάσσεσθαι· τοῦ δὲ καλουμένου, τὸ τὸν καλοῦντα κατευλαβεῖσθαι καὶ ἀναδύεσθαι. Ὥστε κατὰ τοῦτον τὸν λόγον καὶ τὸ
D ὑποχωρῆσαι καὶ (9) προσδραμεῖν ἐναντία ὄντα, ἄμφω ἐπαινετὰ ἔσται ἐκ τῆς αἰτίας.

Mysterium unxit me, mysterio, etc. Sæpenumero mysterii nomen festo tribuere solet, quoniam nos ob mysteria quædam facta, miraculaque designata festa celebramus. Ac nunc igitur propter arcanam

Ibid 6. *Μυστήριον*... *συναριστάμενον*. Μυστήριον, τὴν ἑορτὴν εἴωθε πολλάκις ὀνομάζειν, διότι ἐπὶ μυστηρίοις τισὶ γενομένοις καὶ θαύμασι τὰς ἑορτὰς ἄγομεν. Καὶ νῦν οὖν διὰ τὸ μυστικὸν τῆς ἑορτῆς καὶ

[5-6] Isa. vi, 8.

(1) Inclusa desunt apud Billium.
(2) Ἀκηκοώς b.
(3) Τὸν τῶν b.
(4) Inclusa omittit b [et ed. Clemenceti].
(5) Τοῦ abest b.
(6) Περιχαρείας b.
(7) Χωρὶς ἐπαίνου addit b.
(8) Πρὸς τό repetit hic b.
(9) Καὶ τό b

ἀπόῤῥητον τοῖς πολλοῖς, μυστήριον αὐτὴν καλεῖ. Καὶ A λέγει, ὅτι Ἐν ἑορτῇ ἐγενόμην ἱερεὺς, τῇ τῆς Χριστοῦ γεννήσεως ἴσως, καὶ ἐν ἑορτῇ ὑπεχώρησα, τῇ τῶν Φώτων τάχα, καὶ ἐν ἑορτῇ ἐπανῆλθον, τῇ τοῦ Πάσχα. Τῆς μὲν οὖν ὑποχωρήσεως καὶ τῆς ἐπανόδου τὴν αἰτίαν εἴρηκεν. Αὐτὸς γὰρ ἦν κύριος καὶ τοῦ φυγεῖν καὶ τοῦ ἐπανελθεῖν, καὶ ᾔδει περὶ αὐτῶν. Τῆς δὲ χρίσεως, οὐκέτι. Ἕτεροι γὰρ αὐτὸν ἔχρισαν. Ἐχρίοντο δὲ πάλαι μὲν οἱ ἱερεῖς καὶ ἀρχιερεῖς τῷ νομικῷ χρίσματι· ὕστερον δὲ τῷ πνευματικῷ, ὅπερ ἐστὶ χειροθεσία καὶ τοῦ ἁγίου Πνεύματος ἐπίκλησις. Ἀλλὰ τίς ἡ αἰτία τῆς ὑποχωρήσεως; Ἵνα, φησὶν, ἐμαυτὸν ἐπισκέψωμαι καὶ ἴδω, εἰ ἄρα τῆς ἱερωσύνης εἰμὶ ἄξιος. Τίς δὲ ὁ λόγος τῆς κατὰ τὸ Πάσχα ἐπανόδου; Ἵνα αὐτὴν, φησὶ, τὴν ἡμέραν καλὴν συνεργὸν ἔχω καὶ σύμμαχον, λύουσάν μοι καὶ τὴν ἀσθένειαν καὶ B ἀδυναμίαν τὴν πρὸς τὴν ἱερωσύνην καὶ τὴν δειλίαν, ἣν εἶχον, εὐλαβούμενος τὴν μεγάλην ταύτην ἀξίαν καὶ τὸ τοῦ πράγματος μέγεθος. Ἐδειλίων γὰρ, ὡς ἀσθενὴς, ἀναδέξασθαι λαοῦ προστασίαν. Λέγει δὲ ταῦτα, μετριάζων ὁ μέγας. Διὰ τοῦτο γὰρ, φησὶν, ἐπανῆλθον κατὰ τὴν ἡμέραν τῆς ἀναστάσεως τοῦ Χριστοῦ, ἵνα ὁ σήμερον ἐκ νεκρῶν ἀναστὰς, κἀμὲ νεάζειν καὶ ἀκμάζειν πνευματικῶς καὶ ἐν τοῖς πνευματικοῖς παρασκευάσῃ ἢ καινοποιήσῃ τῷ Πνεύματι, τουτέστι μεταβαλεῖ (1) ἀπὸ δειλοῦ καὶ ἀσθενοῦς εἰς θαρσαλέον καὶ ἰσχυρόν· ὥστε θαῤῥούντως καὶ εὐτόνως ἀφηγεῖσθαι τῆς ποίμνης. Μεταβαλεῖ δὲ, τῷ θείῳ Πνεύματι, καὶ τὸν καινὸν ἐνδύσας ἄνθρωπον, τὴν ἱερωσύνην φημί. Ἡ γὰρ χρίσις καὶ ἁμαρτίας C λύει, καθά τισι τῶν Πατέρων ἔδοξε, καὶ νέον ἄνθρωπον (2) ποιεῖ τὸν χριόμενον. Δῷ (3) τῇ καινῇ κτίσει, τοῖς διὰ τοῦ βαπτίσματος ἀναγεννωμένοις, οἵτινες οὐκ ἐξ αἱμάτων, ἀλλ' ἐκ Θεοῦ γεννῶνται, πλάστην ἀγαθὸν καὶ διδάσκαλον (πλάστην μὲν, ὡς διὰ τοῦ βαπτίσματος τρόπον τινὰ πλάττοντα (4)· διδάσκαλον δὲ, ὡς τὴν πίστιν αὐτοῖς ἐξηγούμενον· ἢ πλάστην μὲν τῶν ἠθῶν, διδάσκαλον δὲ τῶν δογμάτων), Χριστῷ καὶ συννεκρούμενον, διὰ τῆς πρὸς τὰ πάθη νεκρώσεως· καὶ συνανιστάμενον, τῇ ἀναζωώσει τῶν ἀρετῶν· ὁ γὰρ νεκρὸς τῇ ἁμαρτίᾳ γενόμενος, ζῇ πάντως τῇ ἀντικειμένῃ ἀρετῇ. Ἐκ τοῦ Ἀποστόλου δὲ τὰς χρήσεις (5) ταύτας ἔλαβεν ὁ Θεολόγος. Λέγει γάρ που Ἐφεσίοις γράφων ὁ μακάριος Παῦλος, ὅτι *Ἐδιδάχθητε ἀποθέσθαι τὸν παλαιὸν ἄνθρωπον τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς σαρκὸς*, ἤτοι (6) D τῆς ἀπάτης· *ἀνανεοῦσθαι δὲ τῷ πνεύματι τοῦ νοὸς ὑμῶν, καὶ ἐνδύσασθαι τὸν καινὸν ἄνθρωπον τὸν κατὰ Θεὸν κτισθέντα.* Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· Ἐμάθετε, ὦ Ἐφέσιοι, ὥσπερ ἱμάτιον ἀποδύσασθαι τὸν παλαιὸν ἄνθρωπον, τουτέστι τὴν ἐφάμαρτον ζωὴν, ἀνανεοῦσθαι δὲ, τὴν πνευματικὴν

festi causam, atque in vulgus ignotam, festum ipsum mysterii nomine appellat, aitque : In die festo sacerdos factus sum, fortasse Natalis Christi, et in festo die secessi, Luminum fortasse, et in festo die redii, Paschalis scilicet. Ac secessionis quidem reditusque causam exposuit, quod et fuga et reversio ipsius arbitrii essent : unctionis autem non item, quoniam alii ipsum unxerant. Ungebantur enim olim sacerdotes et pontifices legali unctione : postea vero spirituali : quæ quidem est manuum impositio, sanctique Spiritus invocatio. At quænam causa fuit secessionis? ut, inquit, meipsum inspicerem, ac viderem num sacerdotio dignus essem. Quæ autem ratio, cur ad Paschatis diem rediret? Ut, inquit, diem hunc præclarum adjutorem atque auxiliarium habeam, cujus ope tum infirmitate et administrandi sacerdotii impotentia liberer, tum ea timiditate qua obsidebar, hujus dignitatis magnitudinem, reique pondus et gravitatem extimescens. Verebar enim, ut infirmus, populi regendi provinciam subire, quæ etiam ad vitandam arrogantiæ suspicionem dicit. Ob hanc enim causam, inquit, ad diem Resurrectionis Christi reversus sum, ut qui hodie a mortuis surrexit, me quoque ita afficiat, ut spiritualiter juvenescam, atque etiam spiritualiter florescam. Vel etiam Spiritu innovet (id est, ex meticuloso et infirmo in fortem et præfidentem Spiritus opera commutet, ita ut audacter et constanter ovili præsim). Novoque homine induat, id est, sacerdotio; nam unctio quoque peccata delet, quemadmodum nonnullis Patribus visum est, ac novæque creaturæ, id est, his qui per baptismum renovantur, qui quidem non ex sanguinibus, sed ex Deo nascuntur [7], fictorem bonum et magistrum donet (fictorem quidem, ut per baptismum quodammodo fingentem; magistrum autem, ut fidem ipsis enarrantem; vel fictorem quidem morum, magistrum autem doctrinæ Christianæ), cum Christo morientem, per affectuum animi mortificationem, et resurgentem per redivivas virtutes. Nam qui peccato mortuus est, virtute contraria procul dubio vivit. Atque hæc a Paulo mutuatus est. Sic enim quodam Epist. ad Ephesios loco scribit : *Edocti estis deponere veterem hominem, qui corrumpitur secundum desideria erroris. Renovamini autem spiritu mentis vestræ, et induite novum hominem, qui secundum Deum creatus est* [8]. Quod perinde est ac si diceret : Discite, o Ephesii, veterem hominem, id est, flagitiosam vitam non secus ac vestem quamdam exuere. Renovamini autem spirituali regeneratione, per spiritum, qui in mente vestra habitat Quæ quidem verba commutans Theologus, dixit :

[7] Joan. I, 13. [8] Ephes. IV, 21-24.

(1) *Μεταβαλεῖ.* Forte μεταβάλῃ. Edit.
(2) Ἄνθρωπον omittit b.
(3) Δῷ. Forte, δῷ δέ. Edit.
(4) Καὶ δημιουργοῦντα τοὺς βαπτιζομένους addit b.
(5) Et hic et paulo inferius in hac oratione legitur in utroque cod. Χρήσεις. Quod ideo moneo, ne quis ῥήσεις conjiciat. Videatur Philo p. 727 edit. Colon. Allobrog. 1613. Nec aliena sunt quæ Phavorinus in *Lexicon* suum retulit : Χρῆσις λέγεται, ἡ τῶν ἀρχαίων ποιημάτων μαρτυρία. Pag. 1874, vers. 73. Conf. Suiceri *Thesaurum eccl.* in Χρῆσις. Conf. etiam Cuperi *Observatt.* l. I, c. 16, p. 117 sqq.
(6) Τῆς σαρκὸς ἤτοι omittit b.

Me quoque innovet Spiritu. Et rursus : Edocti estis virtutem eximiæ instar cujusdam vestis induere. Hanc enim novum hominem vocat, qui secundum Deum creatur, hoc est, ut gratum est Deo.

Heri agnus mactabatur, et postes ungebantur (1), etc. Postquam pro seipso causam dixit Theologus, commode jam ad festi quoque mysteria progreditur eaque allegorice tractat, aitque : Heri spiritualis agnus, Christus videlicet, per divinum panem mactatus est, atque uncti sunt postes nostri, actio nimirum et contemplatio, ac primi animi motus et sensus, qui quidem divino sanguine delibuti sunt. Atque Ægyptus quidem, id est, peccatum quod nos persequebatur, primogenita sua pereuntia luctu prosecuta est, id est, ipsas etiam primas materias et occasiones. Nam cum lex vetus peccatorum fines puniat, nos principia quoque ipsorum, ut quæ actionibus causam præbeant, radicitus evellere atque exstirpare jubemur. Vel etiam per primogenita, perfectiora et graviora peccata intelligi possunt, vel simpliciter priora delicta : quæ quidem Christo pro nobis immolato sunt exstincta. Nos autem præteriit exterminator diabolus qui primos bonos animæ nostræ partus, velut primogenita quædam, opprimere contendit. Et signaculum, quod pretiosi sanguinis profusione constat, dæmoni quidem exterminanti, propter vim suam et potentiam formidabile est; venerabile autem propter dignitatem et excellentiam, utpote regium. Ac sacro sanguine non solum uncti et signati sumus, sed etiam quasi muro quodam undique septi. Etenim vis illius ad omnem nostram essentiam permeat, ita ut utramque hominis partem simul circummuniat. Porro hæc de agno historia continetur in secundo Moysis libro Exod. XII, quam fusius in secunda orat. *De Paschate* persequitur Theologus (2).

Hodie Ægyptum omnino fugimus, etc. (3). Hesterno die, inquit, illa contigerunt, quæ diximus. Hodie autem, id est Dominico die, quo Christus revixit, ac transitum ab interitu ad immortalitatem, et a rebus injuriæ obnoxiis ad ea quæ ab omni injuria tuta sunt, nobis innovavit, Ægyptum omnino fugimus, non modo peccati periculum aversati, sed ipsam etiam ad peccatum habitudinem ex animo et sincere detestati. Hac autem mente præditis amarulentus dominus videbitur spi-

A ἀναγέννησιν (4), διὰ τοῦ ἐν τῷ νοΐ ὑμῶν κατοικοῦντος πνεύματος. Ὅπερ μεταβαλὼν εἶπεν ὁ Θεολόγος· Κἀμὲ καινοποιήσῃ τῷ Πνεύματι. Καὶ αὖθις· Ἐδιδάχθητε ἐνδύσασθαι, ὡς λαμπρὰν ἐσθῆτα, τὴν ἀρετήν. Ταύτην γὰρ ὀνομάζει καινὸν ἄνθρωπον, κτιζόμενον κατὰ Θεόν, τουτέστιν ὡς ἀρέσκοντα (5)

Col. 397 A 5. *Χθὲς... ἐτειχίσθημεν.* Περὶ τῶν καθ' ἑαυτὸν ἀπολογησάμενος ὁ Θεολόγος, χωρεῖ νῦν καὶ ἐπὶ τὰ κατὰ τὴν ἑορτήν, ἃ καὶ ἀλληγορεῖ, καί φησιν, ὅτι Χθὲς ὁ λογικὸς ἀμνός, ὁ Χριστός, διὰ τοῦ θείου ἄρτου ἐσφαγιάσθη, καὶ ἐχρίσθησαν ἡμῶν αἱ φλιαί, ἡ πρᾶξις καὶ ἡ θεωρία καὶ αἱ πρῶται τοῦ νοῦ κινήσεις καὶ αἰσθήσεις ἐχρίσθησαν (6) διὰ τοῦ θείου αἵματος. Καὶ ἡ μὲν Αἴγυπτος, ἡ διώκουσα ἡμᾶς ἁμαρτία, ἐθρήνησεν ἀπολλύμενα τὰ ἑαυτῆς πρωτότοκα, B τουτέστι καὶ αὐτὰς τὰς πρώτας ὑποθέσεις καὶ ἀφορμάς. Τοῦ γὰρ παλαιοῦ νόμου τὰ τέλη τῶν ἁμαρτημάτων κολάζοντος, ἡμεῖς καὶ τὰς ἀρχὰς αὐτῶν, ὡς αἰτίας τῶν πράξεων, ῥιζόθεν ἀνασπᾷν ἐκελεύσθημεν. Ἢ καὶ πρωτότοκα, τὰ τελεώτερα μᾶλλον τῶν ἁμαρτημάτων καὶ μείζονα. Ἢ ἁπλῶς, τὰ πρότερα πλημμελήματα, ἅπερ ἀπώλλοντο (7) Χριστοῦ τυθέντος ὑπὲρ ἡμῶν. Ἡμᾶς δὲ παρῆλθεν ὁ ὀλοθρεύων διάβολος, ὃς ἀναιρεῖν ἐπείγεται, ὥσπερ τινὰ πρωτότοκα, τοὺς πρώτους ἀγαθοὺς τόκους τῆς ψυχῆς ἡμῶν. Καὶ ἡ σφραγίς, ἡ διὰ τῆς χρίσεως τοῦ τιμίου αἵματος, φοβερὰ μέν ἐστι τῷ ὀλοθρεύοντι δαίμονι, διὰ τὴν δύναμιν αὐτῆς· αἰδέσιμος δέ, διὰ τὸ ἀξίωμα· βασιλικὴ (8) γάρ. Καὶ τῷ ἱερῷ αἵματι οὐ μόνον C ἐχρίσθημεν καὶ ἐσφραγίσθημεν, ἀλλὰ καὶ ὡσεὶ τεῖχος αὐτὸ κυκλόθεν (9) περιβαλλόμεθα. Διήκει γὰρ αὐτοῦ (10) πρὸς πᾶσαν τὴν οὐσίαν ἡμῶν ἡ (11) δύναμις, ὥστε συναμφότερα περιτειχίζειν καὶ τὸ σῶμα καὶ τὴν ψυχήν. Κεῖται δὲ πᾶσα ἡ περὶ τοῦ ἀμνοῦ ἱστορία ἐν τῷ δευτέρῳ Μωσαϊκῷ βιβλίῳ, ὅπερ Ἔξοδος ἐπιγέγραπται, περὶ ἧς ἱστορίας πλατύτερον ἐν τῷ δευτέρῳ λόγῳ τοῦ Πάσχα ὁ Θεολόγος διέξεισιν.

Ibid. 8. *Σήμερον . . . φυράματος.* Χθὲς μέν, φησίν, ἐκεῖνα ἐγένετο, ἅπερ εἰρήκαμεν. Σήμερον δέ, κατὰ τὴν Κυριακὴν ἡμέραν, καθ' ἣν ὁ Χριστὸς ἀνεβίω, καὶ ἀνεκαίνισεν (12) ἡμῖν τὴν ἀπὸ φθορᾶς εἰς ἀφθαρσίαν διάβασιν, καὶ τὴν ἀπὸ τῶν ἐπηρεαζομένων πρὸς τὰ ἀνεπηρέαστα, καθαρῶς ἐφύγομεν Αἴγυπτον· D οὐ μόνον τὸν κίνδυνον τῆς ἁμαρτίας ἐκκλίναντες, ἀλλὰ καὶ αὐτὴν τὴν πρὸς τὴν ἁμαρτίαν διάθεσιν ἀπὸ καρδίας καθαρῶς μισήσαντες. Οὕτω δὲ διακειμένοις ἡμῖν, πικρὸς φανεῖται δεσπότης ὁ νοητὸς Φαραὼ

(1) PSELLUS. *Et postes ungebantur.* Actio scilicet et contemplatio, quæ mentis sunt apparitrices. Atque eam ob causam luxit Ægyptus primogenita. Primigenis enim cogitationibus meis Deo immolatis, ut per eas nullus adversario pateat aditus, universum nequitiæ et perversitatis caliginosum agmen ingemuit. (*Ex Billio.*)

(2) Orat. XLV, olim XLII.

(3) PSELLUS : *Hodie fugimus Ægyptum et Pharaonem.* Nam cum crassa corporis moles, quasi Pharao quispiam, principatum animæ accepit, pravæque cogitationes velut quidam operum præfecti urgent, hominemque interiorem cogunt munitiones haudquaquam divinas ædificare, per quas mens in cœlum evehitur, hujusmodi exstructiones quæ munitæ videntur, luto sunt persimiles, coctis lateribus confectæ, qui quidem omni ex parte perfluunt, atque infirmis cogitationibus quasi paleis perexiguis compositæ. (*Ex Billio.*)

(4) Ἀνανέωσιν loco ἀναγέννησιν b.

(5) Ὡς ἀρέσκει Θεῷ b, quod probo.

(6) Δέ interponit b.

(7) Ἀπώλοντο b.

(8) Βασιλικόν b. Βασιλικὴ refertur ad σφραγίς.

(9) Κύκλωθεν b.

(10) Αὐτοῦ abest b.

(11) Ἡ αὐτοῦ b.

(12) Ἐνεκαίνισεν b, quod probo.

διάβολος· βαρεῖς δὲ ἐπιστάται, οἱ συνεργοῦντες αὐτῷ A δαίμονες· καὶ ἡ ἁμαρτία, πηλὸς καὶ πλινθεία· πηλὸς μὲν λεγομένη, ὅταν πρὸς τὰς ἡδονὰς φαῦλοι (1) ὦμεν· πλινθεία δὲ, ὅταν πως συστελλώμεθα. Τηνικαῦτα δὲ καὶ ἑορτάσιμος ἡμῖν ἔσται ἡ ἐκ τῆς ἁμαρτίας πρὸς τὴν δικαιοσύνην διάβασις, καὶ ᾄσομεν τὰ ἐξόδια καὶ διαβατήρια, οὐκέτι κωλυόμενοι ἑορτάζειν· ὥσπερ οὐδὲ οἱ Ἰσραηλῖται μετὰ τὴν τῆς Ἐρυθρᾶς διάβασιν· οὐδὲ χρώμενοι τῇ σεσηπυίᾳ καὶ ὀξώδει ζύμῃ τῆς ἁμαρτίας, ἀλλ' ὡς ἐν ἑπτὰ ἡμέραις, τῷ ἑπταδικῷ τούτῳ βίῳ, τὴν ἄζυμον καὶ καθαρὰν ἀρετὴν καὶ θεολογίαν μετιόντες. Εἰλικρίνεια γάρ ἐστι, βίου καθαρότης· ἀλήθεια δὲ, δογμάτων ὀρθότης. Ἐν κεφαλαίῳ οὖν διὰ τῆς εἰλικρινείας καὶ ἀληθείας, τὴν πρακτικὴν καὶ θεολογικὴν φιλοσοφίαν ἐσήμανεν. B Ὥσπερ δὲ οἱ Ἰσραηλῖται ἐκ τῆς Αἰγύπτου ἐξιόντες, οὐδὲν ἐπεφέροντο Αἰγύπτιον κρᾶμα καὶ φύραμα, εἰ μὴ μόνον ἄλευρα· οὕτω χρὴ καὶ ἡμᾶς ἐκ τῆς ἁμαρτίας ἀναχωροῦντας, μὴ φυλάττειν τι τῆς προτέρας κακίας λείψανον, ἀλλὰ τὴν ἀρετὴν ἄζυμον ἔχειν, μὴ φυραθεῖσαν ἢ ἀνακραθεῖσαν, οἷά τινι ζύμῃ, τῇ παλαιᾷ καὶ πικρᾷ ἕξει, ἣν ἐσιτούμεθα, ὅτε ἐν Αἰγύπτῳ τῇ ἁμαρτίᾳ διήγομεν. Τί δὲ τὸ Αἰγυπτιακὸν φύραμα, αὐτὸς ὁ Θεολόγος ἑρμηνεύει, ὅτι Τὸ ἄθεον δόγμα, ἢ τὸ σκοτεινὸν καὶ ῥυπαρὸν ἔργον.

ritualis Pharao diabolus, graves item et acerbi præfecti, hoc est, dæmones ipsius adjutores, grave etiam lutum et lateritium opus, id est peccatum, quod quidem lutum dicitur, cum voluptatibus flagitiose indulgemus; lateritium autem opus, cum aliquantulum nos ipsos colligimus. Tum vero nobis transitus ille a peccato ad justitiam cum solemnitate celebrandus erit, atque hymnos egressioni et transitui congruentes cantabimus, non jam a quoquam prohibiti quominus festum celebremus, quemadmodum nec Israelitæ post maris Rubri transitum, nec putri fœtidoque peccati fermento utentes, verum in septenaria hac vita, quasi in septem paschalibus diebus fermenti expertem puramque virtutem ac theologiam consectantes. Sinceritas enim, est vitæ puritas; veritas autem doctrinæ fideique integritas et rectitudo. In summa itaque per sinceritatem et veritatem activam et theologicam sapientiam designavit. Porro quemadmodum Israelitæ ex Ægypto excedentes nullam secum Ægyptiacam mistionem ac conspersionem præter farinam solam deferebant: sic nobis etiam, cum a peccato recedimus, providendum est, ne quas pristinæ malitiæ reliquias servemus, verum ut infermentatam virtutem habeamus non conspersam ac permistam cum veteri atque amara animi habitudine, quasi fermento quodam, quo vescebamur, cum in peccato, tanquam in Ægypto, commoraremur. Quid autem sit Ægyptiacum fermentum, Theologus ipse interpretatur, impia nempe doctrina, aut tenebrosa et sordida actio.

Col. 397 B 3. *Χθὲς συνεσταυρούμην... συνεγείρομαι.* Τὸ χθὲς δύναται καὶ ὅλον τὸν καιρὸν τῆς Τεσσαρακοστῆς αἰνίττεσθαι. Χθὲς οὖν, φησὶν, C συνεσταυρούμην Χριστῷ, τῶν γηΐνων ὑψούμενος, καὶ τῆς κατ' ἐνέργειαν ἁμαρτίας ἀπεχόμενος, καὶ συνενεκρούμην καὶ συνεθαπτόμην καὶ πρὸς αὐτὰ τὰ πάθη καὶ τὴν κατὰ νοῦν ἁμαρτίαν μένων νεκρὸς καὶ ἀκίνητος. Σήμερον ἐνεργοῦμαι τὸ δοξάζεσθαι τὸ ζωοποιεῖσθαι, τὸ ἐξανίστασθαι. Κατὰ ἀντίθεσιν δὲ σχηματίζει τὸν λόγον ὁ Θεολόγος. Ἀντίκειται γὰρ τῇ μὲν ἀδοξίᾳ τοῦ σταυροῦ, ἡ δόξα, τῇ δὲ νεκρώσει, ἡ ζωὴ, τῇ δὲ ταφῇ, ἡ ἀνάστασις. Καὶ ὅρα ἀκολουθίαν· Πρῶτον γὰρ σταύρωσις, ὅπερ ἐστὶ κώλυσις τῆς κατ' ἐνέργειαν ἁμαρτίας· δεύτερον νέκρωσις, ἤγουν συστολὴ τῆς κατὰ νοῦν φαύλης κινήσεως· τρίτον ταφὴ, τουτέστιν ἀναίρεσις καὶ αὐτῆς τῆς πρὸς τὰ πάθη ἐνεργείας· τέταρτον, ἀνάστασις. Ὅταν γὰρ ἀποσχώμεθα τοῦ κατ' ἐνέργειαν ἁμαρτάνειν, D εἶτα ἐντεῦθεν προκόψωμεν εἰς τὸ μηδὲ κατὰ νοῦν πολεμεῖσθαι, ἀλλὰ πᾶσαν κίνησιν ἁμαρτητικὴν οἱονεὶ θάψωμεν, τότε ὁ λόγος μόνος ἐν ἡμῖν, ὥσπερ ἐκ νεκρῶν ἐγηγερμένος, ἀναφαίνεται.

Heri cum Christo in crucem agebar, etc. Per hoc adverbium, *heri*, potest et totum Quadragesimæ tempus significari. Heri igitur, inquit, cum Christo in crucem suffigebar, a terrenis rebus mentem subvehens, atque ab actu peccati abstinens, et commoriebar et consepeliebar, nimirum quoad ipsos etiam affectus et peccati cogitationem mortuus atque immobilis manens. Hodie Dei operatione glorificor, vivificor et resurgo. Antithesis autem figura utitur Theologus. Crucis enim ignominiæ opponitur gloria, mortificationi vita, sepulturæ resurrectio. Ac vide, quam apto ordine hæc verba disposita sint. Præcedit enim crucifixio, id est, ea vis, qua nos ipsos frenamus, ne peccatum in actus exeat. Sequitur mortificatio, hoc est, vitiosorum animi motuum compressio. Huic proxima est sepultura, id est, ipsius quoque circa animi turbulentos motus actionis exstinctio. Postremum locum tenet resurrectio. Nam cum ab operibus malis abstinuerimus, ac deinde eo progressi fuerimus, ut ne in animo quidem oppugnemur, sed omnes vitiosos motus exciderimus, et velut sepultura affecerimus, tum demum sola in nobis velut a morte excitata ratio elucet.

Ibid. 6. *Ἀλλὰ . . . οἰκειότατον.* Ἐντεῦθεν ἐπὶ τὸ τῆς συμβουλῆς εἶδος χωρεῖ ὁ μέγας Πατὴρ, καὶ προτρέπεται Χριστῷ καρποφορεῖν. Δίκαιον γὰρ, ὅτι καὶ αὐτὸς ὑπὲρ ἡμῶν ἔπαθεν, ἵνα τὴν ἀπάθειαν ἡμῖν προξενήσῃ, καὶ ὑπὲρ ἡμῶν ἀνέστη, ἀπαρχὴ γενόμενος ἀναστάσεως, ἵνα βεβαίαν ἔχωμεν τὴν ἐλπίδα τῆς ἀναστάσεως. Τῆς γὰρ κεφαλῆς ἀναστάσης, δεῖ πάν-

Sed..... maxime propriam, etc. Transit jam ad deliberativi generis speciem Theologus, atque hortatur, ut Christo munera offeramus: æquum est enim, quoniam ipse quoque nostra causa passus est; ut nobis passionum immunitatem conciliaret; ac pro nobis resurrexit, primitiæ videlicet resurrectionis factus, ut firmam resurrectionis spem

(1) Χαῦνοι b, quod magis convenit τῷ συστέλλεσθαι.

animis infixam habeamus. Nam cum caput resurrexerit, universum etiam corpus resurgere necesse est. Atque offerre jubet, non aurum et argentum, gemmasque pretiosas, parva enim terrenaque hæc sunt, nimirum quæ a terra oriantur, atque in terra remaneant, nec dominos suos comitentur, quæ etiam homo sceleratissimus facile paraverit, et in quæ majori animi studio et contentione incumbunt improbi, atque ii, quos mundi princeps in servitutem redegit. Sic autem vocatur diabolus, non quod mundi et rerum terrenarum imperium teneat (absit!), sed quod eos, qui improbe et scelerate vivunt, in potestate habeat. Peccatum autem plerisque Scripturæ locis mundi nomine appellatur, juxta illud, quod discipulis Christus dicebat : *Vos non estis de mundo, sicut ego non sum de mundo* [9], id est, non estis ex eorum numero, qui vitiis flagitiisque delectantur, quemadmodum nec ego. Terrenum igitur munus Theologus rejicit, ut quod soli divites offerre queant. Nihil autem magnum atque honorificum est apud Deum, quod non pauper quoque donare possit. Inducit autem alterum oblationis genus, quod omnibus commune est, divitibus juxta ac pauperibus, dicens : Nosmetipsos offeramus, qui quidem Deo possessio sumus longe pretiosissima maximeque propria : pretiosissima quidem, quoniam ipsius manibus effecti sumus, ac propter nos omnia, quæ oculis cernuntur, facta sunt. Maxime autem propria ob inspirationem divinæque imaginis similitudinem et rationem. Nam cum res omnes a Deo creatæ, ipsius bonitatis, quantum ad essentiam, participes sint, uberius etiam animantia, quibus, et quatenus sunt, et quatenus vitam habent, communicatur divina bonitas, in hoc eximia est hominis conditio, quod præter ea, quæ jam dicta sunt, ratione quoque præditus sit. Affinis enim quodammodo maximeque propinquus est Deo : tametsi ille incomparabili magnitudine nos superet.

A τως καὶ ἅπαν τὸ σῶμα ἀναστῆναι. Καὶ καρποφορεῖν κελεύει οὐ χρυσὸν καὶ λίθους καὶ ἄργυρον. Μικρὰ γὰρ ταῦτα καὶ εὐτελῆ, ἀπὸ γῆς τε ὄντα καὶ τῇ γῇ ἐναπομένοντα, ἀλλ' οὐκ ἀκολουθοῦντα τοῖς κτησαμένοις, ἃ καὶ κάκιστος ῥαδίως ἐκτήσατο, καὶ περὶ ἃ οἱ φαῦλοι μᾶλλον σπουδάζουσιν, καὶ οὓς ὁ κοσμοκράτωρ ἔχει καταδουλώσας. Οὕτω δὲ ὀνομάζεται ὁ διάβολος, οὐχ ὅτι τοῦ κόσμου κρατεῖ καὶ τῆς κτίσεως, ἄπαγε, ἀλλ' ὅτι ἐκείνων κρατεῖ, τῶν τὴν κακίαν ἐργαζομένων, ἥτις κόσμος πολλαχοῦ εὑρίσκεται λεγομένη, κατὰ τὸ πρὸς τοὺς μαθητὰς ὑπὸ Χριστοῦ εἰρημένον· *Ὑμεῖς οὐκ ἐστὲ ἐκ τοῦ κόσμου, καθὼς ἐγὼ ἐκ τοῦ κόσμου οὐκ εἰμί*· τουτέστιν, οὐκ ἐστὲ ἐκ τῶν ἀγαπώντων τὴν πονηρίαν ὥσπερ οὖν οὐδὲ ἐγώ. Τὴν B μὲν οὖν γηΐνην καρποφορίαν ὁ Θεολόγος ἐκβάλλει, ὡς μόνοις τοῖς πλουσίοις δυνατὴν οὖσαν. Οὐδὲν δὲ μέγα παρὰ Θεῷ, ὃ μὴ καὶ πένης δωρεῖσθαι δύναται. Εἰσάγει δὲ τὴν κοινὴν, ἣν ὁμοίως πάντες καρποφορεῖν δύνανται, κἂν πλούσιοι ὦσιν, κἂν πένητες, λέγων· Καρποφορήσωμεν ἡμᾶς αὐτοὺς, οἵτινες κτῆμά ἐσμεν τῷ Θεῷ τιμιώτατον καὶ οἰκειότατον· τιμιώτατον μὲν, ὅτι ταῖς αὐτοῦ χερσὶ διηρτίσθημεν καὶ δι' ἡμᾶς πάντα γέγονε τὰ ὁρώμενα· οἰκειότατον δὲ, διὰ τὴν ἔμπνευσιν καὶ τὸ κατ' εἰκόνα καὶ διὰ τὸν λόγον. Πάντα μὲν γὰρ τὰ ὑπὸ Θεοῦ γενόμενα κοινωνοῦσι τῆς αὐτοῦ ἀγαθότητος, κατὰ τὸ εἶναι. Ἐκ περισσοῦ δὲ τὰ ζῶα. Κατά τε γὰρ τὸ εἶναι καὶ κατὰ τὸ τῆς ζωῆς μετέχειν κοινωνοῦσι τοῦ ἀγαθοῦ. Ὁ δὲ ἄνθρωπος, καὶ κατὰ τὰ προειρημένα μὲν, οὐ μὴν ἀλλὰ καὶ κατὰ τὸ λο- C γικόν. Οἰκειότερος γάρ πώς ἐστι πρὸς Θεὸν τῶν αἰσθητῶν ὁ ἄνθρωπος, εἰ καὶ ἁπάντων ὁ Θεὸς ἀσυγκρίτως ὑπέρκειται.

Imaginis decus imagini reddamus, etc. Reddamus, inquit, imagini Dei, id est animæ, imaginis decus, divinas nempe formas, quas peccatum obscuravit. Apte autem dixit, Reddamus, quippe quod debeatur. Illud enim reddere quis dicitur, quod debet. Nos igitur, qui imaginis dignitatem accepimus, eamdem haud dubie a Deo reposcemur. At sancto quidem Cyrillo unum idemque significare videntur, secundum imaginem et secundum similitudinem : verum reliqui Patres in hac sunt sententia, ut per imaginem intelligendi vim arbitriique libertatem et principatum designari putent, per similitudinem autem, virtutum perfectionem, quantum quidem hominis naturæ datur assequi. Hæ enim veluti notæ quædam sunt divinæ naturæ, tranquillitas nullis curis ac distractionibus interrupta, integritas, bonitas, sapientia, justitia, puritas ab omni labe peccati. Reddamus itaque animæ nostræ quod ipsi proprium est. Habet autem hoc proprium, quod ad Creatoris imaginem facta est. Atque etiam dignitatem nostram intelligamus, id est, magnitudinem veteremque nobilitatem. Eam autem cognoverimus, si eam talem receperi-

Col. 597 B 12. *Ἀποδῶμεν... ἡμᾶς ἄνθρωπος.* Ἀποδῶμεν, φησὶ, τῇ ψυχῇ, τῇ εἰκόνι τοῦ Θεοῦ, τὸ κατ' εἰκόνα ἀξίωμα, δηλαδὴ τοὺς θείους χαρακτῆρας, οὓς ἡ ἁμαρτία ἠμαύρωσε. Καλῶς δὲ εἶπεν, Ἀποδῶμεν, ὡς ὀφειλόμενον. Ἐκεῖνο γάρ τις ἀποδιδόναι λέγεται, ὅπερ κεχρεώστηκε. Καὶ ἡμεῖς οὖν, λαβόντες τὸ κατ' εἰκόνα, ἀπαιτηθησόμεθα πάντως αὐτὸ παρὰ τοῦ δόντος Θεοῦ. Καὶ τῷ μὲν ἁγίῳ Κυρίλλῳ, τὸ αὐτὸ καὶ ἓν εἶναι δοκεῖ, τὸ κατ' εἰκόνα καὶ τὸ καθ' ὁμοίωσιν· τοῖς δὲ λοιποῖς θείοις Πατράσι, κατ' εἰκόνα μὲν, τὸ D νοερὸν καὶ αὐτεξούσιον καὶ τὸ ἀρχικόν· καθ' ὁμοίωσιν δὲ, τὸ ἐν ἀρεταῖς τέλειον, ὡς ἐφικτὸν ἀνθρώπου φύσει, τὸ ἀγαθὸν, τὸ σοφὸν, τὸ δίκαιον, τὸ πάσης κακίας ἐλεύθερον, τὸ ἀμέριμνον, τὸ ἀπερίσπαστον καὶ ἀκέραιον. Αὗται γὰρ οἱονεὶ χαρακτῆρες τῆς θείας ὑπάρχουσι φύσεως. Ἀποδῶμεν οὖν τῇ ἡμετέρᾳ ψυχῇ τὸ οἰκεῖον αὐτῇ. Οἰκεῖον δὲ αὐτῇ, τὸ κατὰ τὴν εἰκόνα εἶναι τοῦ κτίσαντος, πρὸς ἣν καὶ γέγονεν. Ἀλλὰ καὶ τὸ ἀξίωμα ἡμῶν γνωρίσωμεν, τουτέστι τὸ μέγεθος καὶ τὴν ἐξ ἀρχῆς εὐγένειαν. Γνωρίσωμεν δ' ἂν, ἀναλαβόντες αὐτὸ τοιοῦτον, οἷον ἐξ ἀρχῆς ἐλάβομεν· ὡς νῦν ἄλλοι ἀντ' ἄλλων γενόμενοι, οὐ γνωρίζομεν ἑαυτοὺς, ὥσπερ εἴ τις ἄλλος ἀντ' ἄλλου γενόμενος,

[9] Joan. xvii, 16.

λέγει, μὴ γινώσκειν ἑαυτὸν διὰ τὴν ἀλλοίωσιν. Γνῶμεν οὖν, ἡλίκοι παρὰ Θεοῦ γεγόναμεν καὶ τὸ ἀρχέτυπον τιμήσωμεν ἐν τῷ τηρεῖν τὴν εἰκόνα ἀμόλυντον. Γίνεται δὲ αὕτη ἡ τιμὴ, διὰ τῆς ἀπηκριβωμένης μιμήσεως, καὶ ὅταν τὸ παράδειγμα ὅμοιον τῷ ἀρχετύπῳ φαίνηται. Γνῶμεν καὶ τοῦ μυστηρίου τὴν δύναμιν, τουτέστι τῆς ἑορτῆς τὴν αἰτίαν καὶ τὸν σκοπόν. Δι' ἡμᾶς γὰρ πᾶσα ἡ φιλάνθρωπος τοῦ Δεσπότου οἰκονομία γέγονε, καὶ ὑπὲρ ἡμῶν σαρκὶ θανάτου ἐγεύσατο ὁ ἀθάνατος. Γενώμεθα ὡς Χριστὸς, ἐπεὶ καὶ Χριστὸς ὡς ἡμεῖς. Ὁ κορυφαῖός φησι Πέτρος, ὅτι *Χριστὸς ἔπαθεν ὑπὲρ ἡμῶν, ἡμῖν ὑπολιμπάνων ὑπογραμμόν*. Γέγονε γὰρ ὁ Σωτὴρ ὑπογραμμὸς τοῖς ἀνθρώποις, τυπούμενος αὐτοῖς καὶ λαμβάνων ἀπαθῶς τὰ νοήματα τοῦ κόσμου τούτου. Τὸ οὖν, Γενώμεθα ὡς Χριστὸς, οὕτω νοήσεις· Γενώμεθα καθαροὶ καὶ ἀπαθεῖς, ἐπεὶ καὶ Χριστὸς ταπεινώσας ἑαυτὸν καὶ συγκαταβὰς ἡμῖν, μεμένηκεν, ὅπερ ἦν, καθαρὸς καὶ ἀπαθής· *Ἁμαρτίαν γὰρ οὐκ ἐποίησεν, οὐδ' εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ*. Ὁ μὲν Θεὸς ὢν, ἄνθρωπος γέγονε. Δεῖ οὖν καὶ ἡμᾶς, θεοὺς γενέσθαι. Ἀλλ' ἐκεῖνος μὲν δι' ἡμᾶς ἄνθρωπος, ἡμεῖς δὲ ὑπὲρ ἑαυτῶν θεοί. Καὶ ἐκεῖνος μὲν ἀντὶ τῆς ἀκροτάτης δόξης, τὴν ἀκροτάτην ἀναλαβόμενος ἀτιμίαν· ἡμεῖς δὲ, ἀντὶ τῆς ἀκροτάτης ἀτιμίας, τὴν ἀκροτάτην τιμήν. Κἀκεῖνος μὲν φύσει γενόμενος ἄνθρωπος, ἡμεῖς δὲ θέσει θεοί. Γέγονε γὰρ, ὅ ἐσμεν, κατ' οἰκονομίαν, ἵν' ἡμεῖς γενώμεθα, ὅ ἐστιν ἀντιμετρουμένης, ὡς οἶδεν αὐτὸς, τῇ αὐτοῦ κενώσει τῆς τῶν χάριτι σωζομένων θεώσεως, ὅλων θεοειδῶν καὶ ὅλων Θεοῦ χωρητικῶν καὶ μόνου γενησομένων. Τοῦτο γὰρ ἡ τελείωσις, πρὸς ἣν σπεύδουσιν οἱ ταύτην ἀληθῶς ἔσεσθαι τὴν ἐπαγγελίαν πιστεύσαντες.

A mus, qualem primum accepimus. Nam nunc alii ex aliis facti nosmet haudquaquam agnoscimus, perinde sane ac si quis in alium hominem translatus, affirmet se sibi ipsi ignotum esse, propter ejusmodi immutationem. Intelligamus igitur, quales a Deo creati sumus, atque exemplar nostrum honoremus, nimirum imaginem a vitiorum sordibus immunem servando. Porro hic honor in accuratissima imitatione consistit, cum exemplum exemplaris sui similitudinem retulerit. Vim etiam mysterii cognoscamus, id est, festi causam et scopum. Nostra etenim causa totum incarnationis Dominicæ mysterium contigit, atque immortalis ille mortem pro nobis quantum ad carnem degustavit. Simus ut Christus, quoniam Christus quoque sicut nos. B Petrus apostolorum princeps ait : *Christus passus est pro nobis, relinquens nobis exemplum* [10]. Salvator enim mortalibus exemplum factus est, ipsis sese informans, ac mundi hujus cogitationes, circa turbulentos tamen animi motus, suscipiens. Efficiamur ut Christus, qui se ipsum ita humiliavit, atque ad infirmitatem nostram demisit, ut tamen, quod erat, permaneret, nempe purus, et turpium affectuum expers. *Peccatum enim non fecit, nec inventus est dolus in ore ejus* [11]. Atque ille quidem, cum Deus esset, homo factus est. Proinde nos quoque deos fieri oportet. Cæterum ille propter nos homo, nos autem propter nosmetipsos dii : atque ille pro summa gloria summam ignominiam suscipiens, nos autem pro extrema ignominia summum honorem. C Hoc præterea interest, quod ille natura homo factus est, nos autem adoptione dii. Hoc enim consilio id quod sumus factus est, ut nos id, quod ipse est, efficiamur, compensata nimirum ipsius inanitione quemadmodum ipse novit, cum eorum, qui per gratiam salutem consequuntur, deificationem, ita ut toti deiformes, et toti Dei capaces, toti denique ipsius unius simus. Hoc enim est ea perfectio, ad quam properat, qui hanc pollicitationem certa fide exspectant.

Col. 597 C 7. *Προσέλαβε... πτώματι*. Εἰσὶ τὰ ῥήματα ταῦτα σαφῆ καὶ οὐδεμιᾶς ἑρμηνείας δεόμενα. Προσέλαβε γὰρ ὁ Χριστὸς τὸ χεῖρον, τὴν ἀνθρωπότητα, ἵνα δῷ τὸ βέλτιον, τὴν θεότητα. Καὶ πλούσιος ὢν τῇ θεότητι, ἐπτώχευσε τῇ σαρκὶ, ἵν' ἡμεῖς πλουτήσωμεν τὴν θεότητα. Καὶ δούλου μορφὴν ἐφόρεσεν, ἵν' ἡμεῖς τὴν ἀπὸ τῆς δουλείας τοῦ διαβόλου καὶ τῶν παθῶν ἐλευθερίαν λάβωμεν· ὅπερ δηλοῖ, ὅτι εἴχομεν ἐξ ἀρχῆς τὴν ἐλευθερίαν ἀπωλέσαμεν δὲ ταύτην. Δεῖ οὖν ἀπολαβεῖν, ἣν ἔχοντες ἀπεβάλομεν. Κατέβη πρὸς ἡμᾶς ὁ Ὕψιστος, ἵν' ἡμεῖς οἱ ταπεινοὶ ὑψωθῶμεν, ὑπεραρθέντες τῆς τῶν γεηρῶν σχέσεως καὶ πτερωθέντες πρὸς τὰ οὐράνια. Ἐπειράσθη ἐν τῇ ἐρήμῳ εἰς γαστριμαργίαν, φιλοδοξίαν, φιλοχρηματίαν, καὶ νενίκηκεν ἐν τῇ τρίτῃ ταύτῃ προσβολῇ καὶ πείρᾳ τὸν πειραστὴν, ἡμῖν τὴν νίκην πραγματευόμενος. Ἀλλὰ ἠτιμάσθη ὁ τῆς δόξης Κύριος, ἵνα δοξάσῃ τοὺς ἀτίμους ἡμᾶς· ἀπέθανεν, ἵνα τῷ θανάτῳ αὐτοῦ σωθῶμεν· κατέβη καὶ ἀνέβη, ἵνα ἡμεῖς ἀκολουθήσωμεν αὐτῷ, καὶ ἵνα κάτω κειμένους ἐν τῷ τῆς ἁμαρτίας πτώματι πρὸς ἑαυτὸν ἑλκύσῃ, ὡς ἡ ὑπόσχεσις.

Assumpsit quod deterius erat, ut det, etc. Perspicua sunt hæc verba, nec ulla interpretatione opus habent. Accepit enim Christus quod deterius est, humanitatem scilicet, ut det quod præstantius est, nempe Divinitatem : et cum dives esset, quantum ad Divinitatem, pauper, quantum ad carnem, factus est, ut nos Divinitatis opes consequamur. Servi D præterea formam gestavit, ut nos ex diaboli affectuumque servitute in libertatem asseramur. Non dixit, libertatem accipiamus, sed recipiamus ; ut indicet nos a principio quidem libertatem habuisse, verum eam amisisse. Quare nobis ea recipienda est, quam habentes perdidimus. Descendit ad nos Altissimus ille, ut nos abjecti et humiles in sublime feramur, supra terrenarum rerum affectionem evecti, atque ad cœlestia tanquam pennis sublati. Tentatus est, ac triplici tentationum telo in deserto petitus est Christus a diabolo, gulæ nempe, ambitionis et avaritiæ : atque in hoc triplici certamine tentatorem superavit, nobis videlicet victoriam acquirens. Quin etiam contemptus est ille gloriæ Do-

[10] I Petr. II, 5. [11] ibid. 22.

minus, ut nos infames ornet atque illustret. Mortuus est, ut per ejus mortem salutem assequamur. Descendit atque ascendit, ut nos ipsum sequamur, atque ut humi jacentes in peccati lapsum ad seipsum trahat, quemadmodum se facturum recepit, dicens : *Cum exaltatus fuero, omnia traham ad meipsum* [12].

A Ἐπηγγείλατο γὰρ λέγων· *Ὅταν ὑψωθῶ, πάντας ἑλκύσω πρὸς ἐμαυτόν.*

Omnia quispiam donet, omnia ei, etc. Enumeravit ea, quæ Christus pro nobis passus est, beneficiaque in nos collata, ut probet nos non ex gratuita munificentia in eum liberales esse, sed ex debito. Et quidem superius videbatur rerum crassarum et terrenarum oblationem prorsus rejicere, cum dicebat : Aurum fortasse putatis me dicere, aut argentum? imo nosipsos Deo offeramus. Nunc autem ostendit se non omnino hujusmodi munera improbare, sed quod majus est anteferre, nempe ut nosipsos offeramus. Ait igitur, Omnia det quispiam, et aurum et gemmas et vestes, det autem ex debito : quandoquidem priores beneficentiæ partes Christus occupans, mortem pro nobis excepit, ac seipsum pro nobis in sacrificium Patri obtulit. Nam illi peccaveramus, et proinde ipsi nostræ redemptionis pretium persolvendum erat, ut nos condemnatione solveremur. Absit enim ut tyranno diabolo Domini sanguis oblatus fuerit. Pretium autem redemptionis pro nobis Christus est, et culpæ succidaneus, utpote qui naturam nostram salutis nostræ causa susceperit, perinde ac si quis pro reo aut captivo seipsum substituat, ad ea perpetienda, quæ illum pati necesse erat. Quanquam autem, inquit, bona sit omnis oblatio, quam quispiam bene de se merito Christo fecerit, nihil tamen tam eximium daturus est, quam si seipsum obtulerit hujus mysterii rationem intelligentem, id est, cogitantem quæ Resurrectionis causa sit, quidque mortalibus afferre possit, eamque cognitionem actionibus declaraverit, ac propter illum omnia factus fuerit, quæcunque ipse propter nos factus est, id est, sine reprehensione incedens per omnes Christi ætates et potentias, spiritualiter purificatus, corde circumcisus, in templo docens, nundinatores ejiciens, lapidatus, aliaque omnia, partim faciens, partim patiens, quæ ipse nostra causa, vel fecit, vel passus est, nobis exemplum relinquens.

Col. 400 A 5. *Πάντα . . . γενόμενον.* Ἀπηριθμήσατο τὰ δι' ἡμᾶς πάθη τοῦ Χριστοῦ καὶ τὰς δοθείσας ἡμῖν εὐεργεσίας, ἵνα δείξῃ μὴ κατὰ χάριν αὐτῷ καρποφοροῦντας, ἀλλὰ κατὰ χρέος. Καὶ ἄνω μὲν ἐδόκει τέλεον ἐκβάλλειν τὴν διὰ τῶν ὑλῶν καρποφορίαν, ἐν οἷς ἔλεγε· Χρυσόν με ἴσως οἴεσθε λέγειν ἢ ἄργυρον, καρποφορήσωμεν ἡμᾶς αὐτούς· νῦν δὲ δείκνυσιν, ὅτι οὐ παντελῶς ἀποδοκιμάζει τὰ τοιαῦτα, ἀλλὰ προτιμᾷ τὸ μεῖζον, τουτέστι τὸ ἑαυτοὺς προσ-B άγειν. Φησὶ γοῦν· Πάντα διδότω τις, καὶ χρυσὸν καὶ λίθους καὶ ὑφάσματα· διδότω δὲ κατὰ ὀφειλήν. Ἐπεὶ προλαβὼν ὁ Χριστὸς τὸν ὑπὲρ ἡμῶν ἀνεδέξατο θάνατον, καὶ ἑαυτὸν τῷ Πατρὶ προσέφερεν θυσίαν ὑπὲρ ἡμῶν. Αὐτῷ γὰρ πεπλημμελήκαμεν, καὶ αὐτὸν ἔδει τὸ ὑπὲρ ἡμῶν λύτρον δέξασθαι καὶ ὄντως ἡμᾶς λυθῆναι τῆς κατακρίσεως. Μὴ γὰρ γένοιτο τῷ τυράννῳ τὸ τοῦ Δεσπότου αἷμα προσενεχθῆναι. Λύτρον δὲ ὁ Χριστὸς καὶ ἀντάλλαγμα, ὡς τὰ ἡμῶν ὑπὲρ ἡμῶν ἀναδεξάμενος· ὥσπερ ἐάν τις ὑπὲρ τοῦ ὑπευθύνου ἢ αἰχμαλώτου ἐκδῷ ἑαυτὸν, ὥστε παθεῖν, ἃ ἐκεῖνον ἔδει παθεῖν. Καλὴ μὲν οὖν, φησὶ, καὶ πᾶσα καρποφορία, ἣν ἂν δώσῃ τις τῷ εὐεργέτῃ Χριστῷ· οὐδὲν δὲ τοιοῦτον δώσει μέγα, οἷον ἑαυτὸν τοῦ μυστηρίου συνιέντα τουτέστι C νοοῦντα, τίς ἡ τῆς ἀναστάσεως αἰτία, καὶ τί δύναται χαρίζεσθαι τοῖς ἀνθρώποις, καὶ τὴν γνῶσιν ταύτην δεικνύντα ἐπὶ τῶν πράξεων, καὶ πάντα γενόμενον διὰ Χριστὸν, ὅσα ἐκεῖνος δι' ἡμᾶς, τουτέστιν ἀμέμπτως ὁδεύοντα διὰ πασῶν τῶν ἡλικιῶν Χριστοῦ καὶ δυνάμεων, ἁγνιζόμενον πνευματικῶς, περιτεμνόμενον τὴν ἐν καρδίᾳ περιτομὴν διδάσκοντα ἐν τῷ ἱερῷ, τοὺς θεοκαπήλους ἐλαύνοντα λιθαζόμενον, τὰ ἄλλα ποιοῦντα ἢ πάσχοντα, ὅσα καὶ αὐτὸς ὑπὲρ ἡμῶν ἐποίησεν ἢ ἔπαθεν, ἡμῖν ὑπολιμπάνων ὑπογραμμόν.

Ac vobis quidem, ut cernitis, pastor hic bonus, etc. Auditores ad fructus Deo offerendos excitans Theologus, hoc faciendum esse probat, tum a persona Christi, cum dixit eum pro redemptionis pretio seipsum nobis dedisse, tum nunc etiam a persona Patris, addens, Quoniam hic quoque pastorem sive episcopum me dispensat. Presbyter etenim jam sum atque hoc pater, non sperat, sed videt : nondum autem sum episcopus, sed me post mortem suam futurum sperat pater, optatque, ut hujusmodi munere dignus sim, ut non mercenarius sim, neque fur, sed pastor : atque a vobis, qui ab eo pascimini, petit, ut me cum a vita migrarit, pastorem accipiatis, morigerique animi specimen præbeatis. Æquum est autem, ut paternæ petitioni cedatis. Pastor etenim bonus est (quod de seipso Christus prædicavit) animamque suam pro nobis ovibus po-

Ibid. B 1. *Καρποφορεῖ . . . πνεύματος.* Διεγείρων τοὺς ἀκούοντας εἰς τὸ καρποφορεῖν ὁ Θεολόγος, D κατασκευάζει τὸ δεῖν τοῦτο γενέσθαι καὶ ἀπὸ τοῦ Χριστοῦ, εἰπὼν, ὅτι κἀκεῖνος λύτρον ἔδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν. Κατασκευάζει δὲ νῦν καὶ ἀπὸ τοῦ ἰδίου Πατρὸς, προσθεὶς, ὅτι καὶ οὗτος ἐμὲ ὑμῖν ποιμένα, εἴτουν ἐπίσκοπον, προμνηστεύεται. Πρεσβύτερος γὰρ ἤδη εἰμί· καὶ τοῦτο ὁ Πατὴρ οὐχ ἐλπίζει, ἀλλὰ βλέπει· οὔπω δέ εἰμι ἐπίσκοπος, ἀλλὰ τοῦτο ὁ Πατὴρ ἐλπίζει γενέσθαι με μετὰ τὸν αὐτοῦ θάνατον, καὶ εὔχεται, ἄξιόν με γενέσθαι τοῦ πράγματος, ὡς μὴ μισθωτὸν εἶναι, μηδὲ κλέπτην ἀλλὰ ποιμένα. Καὶ παρ' ὑμῶν αἰτεῖ τῶν ὑπ' αὐτοῦ ποιμαινομένων, ἵνα με μετ' αὐτὸν τὸν ποιμαίνοντα δέξησθε καὶ τὴν εὐπείθειαν ἐπιδείξησθε. Δίκαιοι δ' ἂν εἴητε, αἰτοῦντι τῷ πατρὶ πείθεσθαι. Ποιμὴν γάρ ἐστι καλὸς (ὃ περὶ αὐτοῦ ὁ Σωτὴρ εἶπε), καὶ τὴν ψυχὴν αὐτοῦ ὑπὲρ ὑμῶν

[12] Joan. XII, 32.

τῶν προβάτων τίθησι. Δίδωσι δὲ καὶ ἑαυτὸν διπλοῦν ὑμῖν ἀνθ' ἁπλοῦ. Κἀμὲ γὰρ εἰς τὴν προστασίαν μεθ' ἑαυτοῦ ἔταξε· κἀγὼ διπλῆν αὐτῷ μέλλω χρείαν πληροῦν, καὶ τοῦ γήρως βακτηρία γενόμενος καὶ τοῦ πνεύματος. Ὑποστηρίζω τε γὰρ τὸν πατέρα κεκμηκότα τῷ χρόνῳ, καὶ τὰς πνευματικὰς αὐτῷ καὶ ἐκκλησιαστικὰς συνεισενέγκω φροντίδας.

Col. 400 B 6. *Καὶ προστίθησι . . . ἄξιον.* Καὶ δύο, φησὶ, ναοὺς ὑμῖν ὁ πατὴρ ἐχαρίσατο. Ἕνα μὲν ἄψυχον, ὃν ἐν Ναζιανζῷ φιλοτίμως ἀνήγειρε, περικαλλῆ τινα καὶ οὐράνιον. Οὐράνιον δὲ εἶπεν αὐτὸν, τάχα μὲν διὰ τὸ ὕψος, τάχα δὲ διὰ τὸ ἡμισφαιρικὸν σχῆμα τῆς ὀροφῆς, ἴσως δὲ καὶ διὰ τὸ τὸν πάντα ναὸν τύπον ἀποσώζειν τοῦ οὐρανοῦ· ἕτερον δὲ ἔμψυχον. Ἑαυτὸν δὲ οὕτω λέγει ὁ Θεολόγος κατὰ τὸ ἀποστολικόν· *Οὐκ οἴδατε, ὅτι ναὸς Θεοῦ ἐστε;* Καὶ ἀναγκάζεται μὲν, ὡς ἐν συγκρίσει, εἰπεῖν ἑαυτὸν πολλῷ μείζονα καὶ ὑψηλότερον τοῦ ἀψύχου ναοῦ· ἐπεὶ δὲ φορτικόν ἐστι τὸ ἑαυτὸν ἐπαινεῖν, ἐκκλίνει τὴν περιαυτολογίαν, καὶ μέσως πως λέγει, ὅτι προστίθησι τῷ ἀψύχῳ μὲν, περικαλλεῖ δὲ ναῷ, ἐμὲ τὸν ὁποιονοῦν καὶ ἡλίκον, τουτέστιν οἷον ἂν καὶ ὅσον κρίνοι τις. Πλὴν ὁποῖος ἂν καὶ εἴην, τῷ πατρὶ τιμιώτατος σφόδρα εἰμί. Τοιοῦτον οὖν με παρ' αὐτῷ ὄντα, ὑμῖν ἐπιδέδωκε. Καὶ οὐκ ἔστιν εἰπεῖν, ὅτι εἰς μὲν τὸ ἀνεγεῖραι τὸν ἄψυχον ναὸν πολλοῦ πόνου καὶ ἀναλωμάτων ἐδέησε τῷ πατρὶ, εἰς ἐμὲ δὲ οὐχί· πολλοῖς γὰρ κἀγὼ ἱδρῶσι καὶ πόνοις, τοῖς τῶν μαθημάτων, διʼ ἀσκήσεως τοιοῦτος συνετελέσθην. Ἐπεὶ δὲ πολλάκις τινὰ τῶν πραγμάτων οὐκ ἄξια τῶν πόνων ἀποβαίνουσιν, ὁ Θεολόγος μέσος χωρῶν, οὔτε κρύπτει τοῦτο, ὅτι ἄξιος ἀπέβη τῶν πόνων, οὔτε πάλιν ἀπαυθαδειάζεται, ἀλλ' ἐπεύχεται μόνον· εἴη δὲ εἰπεῖν, ὅτι καὶ τῶν πόνων ἄξιον.

A nit. Quin et pro simplici duplicem vobis seipsum offert: nam me quoque ad vos regendos socium adsciscit: atque ipse ego duplicem usum atque operam illi præstabo, nimirum et senectutis subsidium factus, et spiritus. Nam et patrem senectute fractum et confectum fulciam, et spirituales atque ecclesiasticas curas cum ipso sustinebo.

Atque inanimato templo animatum, etc. Duo templa, inquit, pater vobis dono dedit, alterum quidem inanime quod Nazianzi magnifice exstruxit, perelegans quoddam et cœleste. Cœleste autem ipsum dixit, vel propter altitudinem, vel propter semicircularem tecti figuram, vel etiam fortasse quia templum omne cœli figuram servat, alterum autem animatum, sic autem seipsum appellat, secundum illud Apostoli: *Nescitis,* B *quod templum Dei estis*[13]? Ac cogitur quidem, ut in comparatione, multo majorem et sublimiorem seipsum inanimato templo dicere. Verum quoniam grave est invidiæque plenum proprias laudes prædicare, ad vitandam ostentationis speciem medio quodam modo ait: Inanimi quidem huic, cæterum peregregio templo adjungit me, qualemcunque tandem et quantulumcunque, id est, qualem et quantum judicaveritis. Verum qualiscunque sim, patri tamen sum charissimus, et commendatissimus. Talem me igitur pater tantique apud se pretii, vobis porrexit. Nec vero hoc dici possit, ad erigendum quidem inanimatum templum multo labore multisque sumptibus opus fuisse patri; ad me autem non item. C Multis enim ipse quoque sudoribus, tum disciplinarum, tum piæ exercitationis, talis effectus sum. Quoniam autem plerumque accidit, ut quædam nequaquam pro laborum ratione succedant, Theologus medium iter tenens, nec hoc reticet, quod laboribus a patre susceptis responderit, nec rursus hoc arroganter affirmat, verum rem potius optandi forma exprimit. Atque utinam laboribus quoque dignum addere liceat.

Ibid. 11. *Καὶ . . . μεγαλοψυχίας.* Ἔτι ἐμφιλοχωρεῖ ὁ Θεολόγος τῷ λόγῳ τῷ περὶ τῆς τοῦ πατρὸς ἐπιδόσεως· καὶ εἰπὼν, ὅτι Πάντα προστίθησιν ὑμῖν τὰ ἑαυτοῦ, πρὶν ταῦτα ἀπαριθμήσασθαι, μεταξὺ ἐθαύμασε καὶ ἀνεφθέγξατο, Ὢ τῆς μεγαλοψυχίας! τῆς πρὸς τὴν καρποφορίαν δηλαδὴ ἁπλότητος. Οἱ μὲν γὰρ ἔξω σοφοὶ μεγαλοψυχίαν ὁρίζονται, ψυχῆς ἀρετὴν, καθ' ἣν τινες εὖ δύνανται φέρειν τὰ συμβαίνοντα· οἱ δὲ ἡμέτεροι διδάσκαλοι, ὡς ἐπιτοπολὺ τὴν ἐλευθεριότητα καὶ μεγαλοδωρίαν, μεγαλοψυχίαν ὀνομάζουσιν. Ὥσπερ οὖν καὶ νῦν ὁ Θεολόγος τὸν ἑαυτοῦ πατέρα μεγαλόψυχον, εἴτουν μεγαλόδωρον, ἐκάλεσεν· οἱονεὶ δὲ ἐπιδιορθούμενος, ὃ εἶπεν, οὐ μεγαλοψυχίαν, ἀλλὰ μᾶλλον φιλοτεκνίαν, τὸ πρᾶγμα προσαγορεύει. Διὰ γὰρ τὴν ἀγάπην, φησὶν, ὑμῶν, τῶν πνευματικῶν αὐτοῦ τέκνων, τοσαύτην ἐπεδείξατο τὴν ἁπλότητα. Ἐπεὶ οὖν ἡ φιλοτεκνία αἰτία γέγονε τῆς μεγαλοψυχίας καὶ τῆς ἁπλότητος, κυριώτερον ἂν εἴη, τὸ πᾶν φιλοτεκνίαν λέγειν, ἀπὸ τῆς αἰτίας καὶ τὸ αἰτιατὸν ὀνομάζοντας. Τάχα δ' ἄν τις καὶ κατὰ τοὺς ἔξω τὴν μεγαλοψυχίαν νοήσας ἐνταῦθα, οὐδ' οὕτω κακῶς ἐπιβαλεῖ. Ἐπειδὴ γὰρ παρ' ἐκείνοις ὁ μεγαλόψυχος

Suaque omnia vobis proponit, etc. Adhuc in eodem sermone de patris oblatione immoratur: cumque dixisset, Omnia sua vobis proponit, priusquam hæc recenseat, interea cum admiratione sic loquitur: O miram animi magnitudinem, id est, o insignem in offerendo munere simplicitatem. Externi enim sapientes μεγαλοψυχίαν, id est *magnanimitatem*, definiunt animæ virtutem, per quam nonnulli quæ acD cidunt, recte ferre possunt. At nostri doctores ut plurimum liberalitem et magnificentiam magnanimitatem nominant. Quemadmodum hoc quoque loco Theologus patrem magnanimum, id est, munificum vocavit. Cæterum quasi corrigens quod dixit, eam rem non magnanimitatem, sed paternum potius amorem appellat. Ob amorem enim vestri, inquit, hoc est, spiritualium suorum filiorum, tantæ simplicitatis specimen edidit. Quoniam igitur paternus amor magnanimitati et simplicitati causam præbuit, rectius fuerit totum hoc paternam indulgentiam dicere, nimirum causæ nomen affecto tribuentes. Quod si quis etiam juxta externorum philosophorum sententiam, hoc loco magnanimitatem intellexe-

[13] I Cor. III, 16.

rit, ne sic quidem fortasse aberraverit. Quoniam enim apud illos, qui animæ magnitudine præditus est, vitæ suæ non parcit, hac quoque laude patrem ornatum esse Theologus testatur. Ait enim: Pastor est bonus, animamque suam pro ovibus ponit. Illud etiam adjecit: Me quoque filium suum optat talem pastorem fieri, ponentem videlicet animam pro vobis. Quam ob causam ipse admiratione exclamavit. O miram animi magnitudinem! Tum ne quis existimaret, quod pater, ut magnanimus, filium periculis objiciens minus amanter in ipsum affectus sit, huic suspicioni occurrit, dicens: Aut, ut verius loquar, paternum amorem. Nam sic, atque ob hujusmodi causas, filium periculis exponere, non est, inquit, hominis liberos odio habentis, verum impense amantis. Quamobrem etsi magnanimitatem eam rem nominavit, quoniam cum multis laboribus, curis, et periculis ipsi luctandum erat, tamen quia propter vos utilitatemque vestram, et propter Deum res ejusmodi perferendæ sunt, id totum, paternus amor dicendus est. Hæc locutus Theologus, statim ea quæ a patre offeruntur, enumerat. Hæc porro sunt tria. Ac si quidem rem simpliciter complecti voluisset, ita dixisset: Quoniam seipsum dat, et me et templum. Nunc vero magnificam et excellentem oblationem augens et amplificans, tum sua, tum paterna subdividit, varians ac multiplicans nomina. Nam canitiem patrem vocat, juventutem seipsum: et rursus patrem testatorem, seipsum autem hæredem, utpote episcopali throno successurum. Habetis autem, inquit, mecum sermones meos, atque ex his utilissimos quosque et sanctissimos. Non enim ad gratiam docebo, sed ad utilitatem, non ostentabunde, sed spiritualiter, neque ea, quæ oratoria suppeditat exercitatio, sed quæ inserit Spiritus sanctus. Etenim humani sermones aures tantum permulcent ac deliniunt, nec ulterius progrediuntur: at spirituales ad animam permeant. Eos enim insculpit Spiritus in humanis cordibus, tanquam in tabulis. Cumque dixisset, lapideis, tropum hunc explicuit, adjungens, Vel etiam carneis. Solida enim sunt et lapis, et caro: atque ea, quæ in hæc inciduntur, eam rationem habent, ut vix deleri queant. Hoc autem ab Apostolo sumptum est, qui sic ad Corinthios scripsit: *Quoniam estis epistola Christi, ministrata a nobis, inscripta, non atramento, sed Spiritu Dei viventis, non in tabulis lapideis, sed in tabulis cordis carnalibus*[14]. Quod etiam ab Ezechiele mutuatus est Apostolus, per quem ait Deus: *Dabo eis cor alterum, et spiritum novum dabo eis, et evellam cor eorum lapideum ex carne ipsorum, et dabo eis cor carneum, ut in præceptis meis ambulent*[15]. Dixit etiam alicubi Sirach: *Omnis homo ab adolescentia vergit ad malum, et non potuisti corda eorum ex lapideis carnea facere.* Proinde nunc, cum dixit Theologus: Tabulis lapideis sive carneis, videtur mihi non interpretandæ dictionis causa hoc dixisse, sed magis ut distinctio-

A οὐκ ἔστι φιλόζωος, τοῦτο προσμαρτυρεῖ καὶ τῷ πατρὶ αὐτοῦ ὁ Θεολόγος. Εἶπε γὰρ, ὅτι Ποιμήν ἐστι καλὸς, καὶ τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων. Προσέθηκε δὲ, ὅτι Καὶ ἐμὲ τὸν υἱὸν αὐτοῦ εὔχεται τοιοῦτον ποιμένα γενέσθαι, τιθέντα δηλαδὴ τὴν ψυχὴν ὑπὲρ ὑμῶν. Ἐπὶ τούτοις ἐβόησε μετὰ θαύματος τὸ, Ὢ τῆς μεγαλοψυχίας! Εἶτα, ἵνα μή τις ὑπολάβῃ, ὅτι τὸν υἱὸν ὁ Πατὴρ, ὡς μεγαλόψυχος εἰς κινδύνους ἐπιδιδοὺς, οὐ φείδεται αὐτοῦ, διορθοῦται τὴν ὑπόνοιαν ταύτην εἰπών· Ἢ, τό γε ἀληθέστερον εἰπεῖν, τῆς φιλοτεκνίας.. Τὸ γὰρ οὕτως καὶ ἐπὶ τοιούτοις ἐκδιδόναι τὸν υἱὸν, οὐκ ἔστι, φησὶ, μισοτέκνου, ἀλλὰ μάλιστα φιλοτέκνου. Ὥστε εἰ καὶ μεγαλοψυχίαν τὸ πρᾶγμα ὠνόμασα, διὰ τὸ μέλλειν πόνοις καὶ κινδύνοις ὁμιλεῖν, ἀλλ' οὖν ἐπεὶ δι' ὑμᾶς καὶ τὴν ὑμετέραν B ὠφέλειαν καὶ διὰ Θεὸν τὰ τοιαῦτα χρὴ διαθλεῖν φιλοτεχνία τὸ πᾶν ἐστι. Ταῦτα εἰπὼν ὁ Θεολόγος, ἀπαριθμεῖται εὐθὺς καὶ τὰ παρὰ τοῦ πατρὸς καρποφορούμενα. Τὰ δέ ἐστι τρία. Κἂν μὲν ἁπλῶς εἰπεῖν ἐβούλετο, εἶπεν ἂν, ὅτι Ἑαυτὸν δίδωσι καὶ ἐμὲ καὶ τὸν ναόν. Νῦν δὲ τὴν φιλότιμον καρποφορίαν ἐπαύξων καὶ μεγαλύνων, ὑποδιαιρεῖ καὶ τὰ ἑαυτοῦ καὶ τὰ τοῦ πατρὸς, ποικίλλων καὶ πολυπλασιάζων τὰ ὀνόματα. Καὶ πολιὰν μὲν λέγει, τὸν πατέρα· νεότητα δὲ, ἑαυτόν. Καὶ αὖθις κληροδότην μὲν τὸν πατέρα· ἑαυτὸν δὲ, κληρονόμον, ὡς μέλλοντα τὸν θρόνον τῆς ἐπισκοπῆς διαδέχεσθαι καὶ κληρονομεῖν. Ἔχετε δὲ, φησὶ, μετ' ἐμοῦ καὶ τοὺς ἐμοὺς λόγους, καὶ τούτων τοὺς ἱερωτέρους καὶ ὠφελιμωτέρους. Οὐ γὰρ πρὸς χάριν C διδάξω, ἀλλὰ πρὸς ὠφέλειαν· οὐδ' ἐπιδεικτικῶς, ἀλλὰ πνευματικῶς· οὐδ' ἅπερ ἡ τῶν λόγων ἄσκησις δίδωσιν, ἀλλ' ἅπερ ἐντίθησι τὸ Πνεῦμα τὸ ἅγιον. Οἱ μὲν γὰρ ἀνθρώπινοι λόγοι, τὰς ἀκοὰς μόνον θέλγουσιν, οὐ παραιτέρω προϊόντες· οἱ δὲ πνευματικοὶ, εἰς τὴν ψυχὴν διαβαίνουσιν. Ἐντυποῖ γὰρ αὐτοὺς τὸ Πνεῦμα, ὥσπερ πλαξὶ, ταῖς ἀνθρωπίναις καρδίαις. Καὶ λιθίναις δὲ εἰπὼν, ἡρμήνευσε τὴν τροπὴν, ἐπαγαγὼν, Εἴτουν σαρκίναις. Ἀντιτυπὲς γὰρ καὶ λίθος καὶ σὰρξ, καὶ τὰ ἐγκολαπτόμενα δυσέκνιπτα. Εἴληπται δὲ ὁ λόγος ἐκ τοῦ Ἀποστόλου, γράφοντος Κορινθίοις, ὅτι *Ἐστὲ ἐπιστολὴ Χριστοῦ, διακονηθεῖσα ὑφ' ἡμῶν, ἐγγεγραμμένη οὐ μέλανι, ἀλλὰ Πνεύματι Θεοῦ ζῶντος· οὐκ ἐν πλαξὶ λιθίναις, ἀλλ' ἐν πλαξὶ καρδίας σαρκίναις.* Ἔλαβε δὲ καὶ D ὁ Ἀπόστολος τὴν χρῆσιν ἀπὸ τοῦ Ἰεζεκιὴλ, δι' οὗ φησιν ὁ Θεός· *Δώσω αὐτοῖς καρδίαν ἑτέραν, καὶ πνεῦμα καινὸν δώσω ἐν αὐτοῖς· καὶ ἐκσπάσω τὴν καρδίαν αὐτῶν τὴν λιθίνην ἀπὸ τῆς σαρκὸς αὐτῶν καὶ δώσω αὐτοῖς καρδίαν σαρκίνην, ὅπως ἐν τοῖς προστάγμασί μου πορεύσωνται.* Λέγει δέ που καὶ ὁ θαυμάσιος Σιράχ· *Πᾶς ἄνθρωπος ἐκ νεότητος ἐπὶ τὸ πονηρὸν, καὶ οὐκ ἴσχυσαν τὰς καρδίας αὐτῶν ἀντὶ λιθίνων ποιῆσαι σαρκίνας.* Καὶ νῦν οὖν εἰπὼν ὁ Θεολόγος, Πλαξὶ λιθίναις, εἴτουν σαρκίναις, δοκεῖ μοι μὴ ἑφερμηνεύειν τὴν λέξιν, ἀλλὰ μᾶλλον ἀντιδιαστέλλειν τῇ λιθίνῃ καρδίᾳ, τουτέστι τῇ σκληρᾷ καὶ ἀνενδότῳ καὶ ἀντιτυπούσῃ τὴν σαρκίνην, ὅ ἐστι τὴν μαλακὴν καὶ ῥᾳδίως ὑπείκουσαν, καὶ δεχομένην

[14] II Cor. III, 2. [15] Ezech. XXXVI, 26-27.

τὰ καλὰ γράμματα. Οὐ γὰρ ἁπλῶς πάσῃ καρδίᾳ ἐντυποῖ τοὺς θείους λόγους τὸ Πνεῦμα τὸ ἅγιον, ἀλλὰ τῇ σαρκίνῃ, τουτέστι τῇ εὐαισθήτῳ. Σαρκὸς γὰρ τὸ αἰσθάνεσθαι· λίθου δὲ ἴδιον τὸ ἀναίσθητον. Ἢ τάχα καὶ λιθίνας καὶ σαρκίνας λέγει τὰς καρδίας ὁ Θεολόγος· λιθίνας μὲν, διὰ τὸ στεῤῥὸν καὶ τὸ δυσαπάλειπτα εἶναι τὰ ἐν αὐταῖς γράμματα· σαρκίνας δὲ, διὰ τὸ αἰσθητικόν. Διὸ ἐπάγει, ὅτι ἐν ταῖς τοιαύταις οἱ λόγοι οὐκ ἐξ ἐπιπολῆς χαραχθήσονται, οὐδὲ οἷον ἄνωθεν ἐπιχρωσθήσονται, ἵνα καὶ ῥᾳδίως ἀπαλείφοιντο· ἀλλ' εἰς βάθος ἐνσημανθήσονται, ὥστε παραμένειν. Καὶ ἐνσημανθήσονται οὐ μέλανι, ἀλλὰ χάριτι. Ἡ μὲν γὰρ τῶν δικαίων καρδία, ὥς φησιν ὁ μέγας Βασίλειος, Πνεύματι Θεοῦ ζῶντος καταγέγραπται· ἡ δὲ τῶν ἀδίκων καρδία, οὐ Πνεύματι, ἀλλὰ μέλανι, τῷ συγγενεῖ τοῦ σκότους καὶ ἐχθρῷ τοῦ φωτός.

A nem ponat inter lapideum cor, id est, durum et inflexile ac rigidum, et inter carneum, id est, molle facileque cedens, bonasque litteras excipiens. Neque enim citra discrimen in omni corde divinos sermones insculpit Spiritus sanctus, sed in carneo, id est, recte et facile sentiente. Carnis enim est, sentire; lapidum autem proprium, sensu carere. Vel etiam lapidea et carnea pectora dicit Theologus, lapidea quidem ob soliditatem, et quia ægre obliterantur, quæ in ipsis inscribuntur; carnea autem ob vim sensibilem. Unde etiam subjungit: Quod in hujusmodi cordibus sermones non leviter et superficie tenus insculpentur, ac velut superne illinentur, ut facile quoque aboleri possint, sed penitissime consignabuntur, ut perma- B neant: et quidem consignabuntur, non atramento, sed gratia. Justorum enim pectus, ut est apud magnum Basilium, spiritu Dei viventis perscriptum est: injustorum autem, non spiritu sed atramento tenebrarum cognato, et lucis hoste.

Col. 400 C 7. *Ταῦτα μὲν... ἐπαγγελίας*. Ἐπεσφράγισε τὰ ῥηθέντα τοῦ πατρὸς ἐγκώμια, καὶ δευτέρων αὖθις ἤρξατο, ἐξομοιῶν αὐτὸν τῷ Ἀβραὰμ, ὁμοίως ἐκείνῳ τὴν πρῴην πλάνην καταλιπόντα. Ἐκ γὰρ τῆς τῶν Ὑψισταρίων λεγομένης αἱρέσεως, εἰς τὴν εὐσέβειαν μετελήλυθεν. Οὐ μόνον δὲ διὰ τοῦτο Ἀβραὰμ ὀνομάζει τὸν ἑαυτοῦ πατέρα, ἀλλὰ καὶ ὡς γηραιὸν, καὶ ὡς φιλόξενον, καὶ ὡς προσάγοντα τὸν υἱὸν τῷ Θεῷ, εἰ καὶ ἑκούσιος ἦν αὕτη ἡ προσαγωγὴ, καὶ οὐχὶ κατὰ τὴν τοῦ Ἀβραὰμ ἐξ ἐπιτάγματος. Πατριάρχην δὲ αὐτὸν καλεῖ, ὡς πατέρα καὶ ἄρχοντα τῆς πόλεως, ὅσον ἐπὶ τοῖς ἐκκλησιαστικοῖς πράγμασι. Κανόνα δὲ τῆς ἀρετῆς, ὡς πᾶσαν ἐν ἑαυτῷ συλλαβόντα τὴν ἀρετὴν καὶ τοὺς ἄλλους πρὸς ταύτην εὐθύνοντα, καὶ τὸ μὲν ἄρτιον δοκιμάζοντα καὶ κατέχοντα, καθάπερ ὁ κανὼν, τὸ δὲ περιττὸν καὶ ἐλλεῖπον, ὡς κακίαν, ξέοντα καὶ ἀποδοκιμάζοντα. Τῆς δὲ ἱερωσύνης τελείωσιν, ὡς πάντα τὰ τῆς ἱερωσύνης ἐντελῶς ἔχοντα. Ἑαυτὸν μέντοι μονογενῆ ὠνόμασεν ὁ Θεολόγος, βιασάμενος τὸν λόγον, ἵνα μηδ' ἐν τούτῳ τῆς κατὰ τὸν Ἰσαὰκ ἐλαττωθείη θυσίας· παρεμυθήσατο δὲ τὴν τόλμαν, ἐπαγαγὼν τὸν ἐξ ἐπαγγελίας. Εἰ γὰρ καὶ μὴ μονογενὴς ἦν κατὰ τὴν γέννησιν, ἐπεὶ μετ' αὐτὸν καὶ Γοργονία καὶ Καισάριος ἐγεννήθη, ἀλλ' οὖν κατὰ τὴν ἐπαγγελίαν μονογενὴς ἦν. Μόνος γὰρ τοῖς γονεῦσιν ἐξ ἐπαγγελίας ἐτέχθη, ὥσπερ καὶ ὁ Ἰσαὰκ τῇ Σάῤῥᾳ καὶ τῷ Ἀβραάμ. Ἢ τάχα μονογενῆ ἑαυτὸν λέγει, ὡς μόνον ὑπολειφθέντα τῷ πατρὶ, τῶν ἄλλων ἤδη τέκνων τετελευτηκότων.

Atque hæc vobis offert venerandus hic, etc. Postquam superiores patris laudes absolvit, secundas jam exorditur, similem eum esse dicens Abrahæ, ut qui non secus atque ille, pristinum errorem reliquerit. Nam ex ea secta, quæ Hypsistariorum dicitur, ad veræ pietatis doctrinam migravit. Nec eam tantum ob causam patrem suum Abrahæ nomine appellat, sed etiam ut senem, ut hospitalem, ut Deo filium offerentem: tametsi voluntaria fuerit hæc oblatio, non autem imperata, quemadmodum illa Abrahæ. Patriarcham autem eum vocat, ut patrem et principem civitatis, quantum quidem ad res ecclesiasticas attinet. Virtutis autem normam ut qui omnes virtutis partes complexus sit, C aliosque ad eam dirigat, et rectum quidem regulæ instar exploret ac retineat, superfluum autem et deficiens abradat atque improbet. Jam sacerdotii quoque perfectionem eum vocat, ut omnibus rebus, quæ ad sacerdotium requiruntur, abunde instructum. Seipsum tamen unigenitum Theologus nominavit, vim orationi afferens, ut ne hac quoque parte inferius quidquam pater sacrificio illo Isaaci habeat. Verum hoc aliquanto audacius dictum mitigavit, addens, ex pollicitatione. Nam etsi unigenitus non erat, quantum ad nativitatem, quandoquidem post eum et Gorgonia et Cæsarius procreati sunt: tamen, si promissi rationem spectemus, unigenitus erat. Solus enim ex pollicitatione a pa- D rentibus progenitus est, quemadmodum Isaac ab Abrahamo et Sara. Vel fortasse unigenitum se dicit, quod solus patri reliquus esset aliis liberis jam extremo vitæ die perfunctis.

Ibid. 12. *Ὑμεῖς . . . ἐπιβούλως*. Τοιαύτη μὲν, φησὶν, ἡ τοῦ πατρὸς καρποφορία. Δεῖ δὲ καὶ ὑμᾶς καρποφορεῖν τῷ Θεῷ καὶ ἡμῖν τὴν εὐπείθειαν καὶ τὸ καλῶς ποιμαίνεσθαι. Ποιμανθείητε δ' ἂν καλῶς, εἰς μὲν τὴν πρακτικὴν ἀρετὴν, ὥσπερ εἰς μαλακήν τινα καὶ χλοερὰν πεδιάδα κατασκηνούμενοι, καὶ τὸ τῆς ψυχῆς πιαίνοντες πρόσωπον. Τῇ δὲ γνώσει καὶ τῇ θεωρίᾳ καὶ τῷ ποτίμῳ τῶν θείων Γραφῶν, ὡς ὕδατι ἀναπαύσεως ἐκτρεφόμενοι. Οὐ μόνον δὲ, ἀλλὰ

Vos autem, et Deo, et nobis, id muneris, etc. Atque hujusmodi, inquit, est patris mei oblatio. Vobis autem faciendum etiam est, ut Deo, et nobis, obedientiæ munus offeratis, recteque pascamus. Id porro consequemini, si in ea virtute, quæ in actione versatur, tanquam in molli quodam et viridi campo habitetis, animamque saginetis, scientia autem et speculatione ac divinarum Scripturarum dulcibus fluentis tanquam aqua refectionis

dignoscamini, recteque pastorem cognoscatis (ne a falsis magistris decipiamini, atque in ipsos quasi in pastores incidatis, cum fures sint et latrones) atque a pastore cognoscamini, non admiscentes scilicet vos alienis gregibus (quæ res ignorationem et errorem pastoribus parit), verum signa et notas circumferentes quas verus pastor vobis injecit atque impressit. Ex Evangelio autem hæc quoque paraphrastice transtulit. *Cognosco enim meas*, inquit Christus [16], *et cognoscor a meis* : per cognitionem fortasse affinitatem et necessitudinem intelligens, quasi diceret : Ego necessitudine jungar ovibus meis, et ipsæ mihi jungentur. Sequamini vocantem pastoraliter et libere, id est, citra fucum et aperte, ac pro potestate, ut pastorem decet. Per ostium autem, id est, per catholicam doctrinam, quæ fidelibus omnibus aperta est, ac per ipsam Scripturam, per quam ad fidem introducimur : vel etiam per Christum, qui dixit : *Ego sum ostium* [17]. Alienum autem et mendacem minime sequamini, qui non per Evangelii viam incedit, nec per ostium, hoc est, Christum ingreditur, sed prædonum more per caulam prosilit. Præceps enim et violentus est hæreticorum omnium impetus, nec, ut disciplinæ ratio postulat, per legitimum ostium ad fidem et Ecclesiam ingrediuntur.

Nec externam vocem audiatis, suffurantem, etc. Dixit Christus in Evangelio : *Oves meæ alienorum vocem non norunt* [18]. Illic igitur mutuatus Theologus, hoc loco ait, nec externam vocem audiatis : quæ quidem furatur et decipit, atque ab una et uniente veritate in diversas opiniones dispergit, quæ quidem ob acclivitatem montes metaphorice dicuntur, ob sterilitatem autem solitudines, ob præcipitia autem barathra. Illud vero, Locos, quos non visitat Dominus, omnia quæ dicta sunt explicat. Hic autem locus habetur in Proverbiis Salomonis : *Qui enim oberrat in portis, demorabitur in locis, quos non visitat Æternus.* Jam hujusmodi vox hæreticorum homines a sana doctrina et fide abducit, quæ est in sanctam Trinitatem : quam vocem sanæ doctrinæ oves meæ semper audierunt, atque utinam audiant. Deprædatur item vox hæretica, id est, velut spolia diripit, ac per adulterinos et improbos sermones, eos qui simpliciores sunt, a Christo avertit et separat, qui verus et primus est pastor : primus quidem, quia dux et auctor fidei nostræ dictus est [19], perfectamque doctrinam auspicatus est : verus autem, ob excellentissimam perfectionem. Atque ex Apostolo hæc quoque sumpta sunt. Scribit enim ad Colossenses : *Videte ne quis vos deprædetur per philosophiam, et inanem fallaciam* [20]. Externam igitur philosophiam sanctus Paulus inanem fallaciam nominavit : Theologus autem, sermones adulterinos et corruptos. Postea voto orationem concludit. Optat enim ut pastores atque

καὶ τὸν ποιμένα καλῶς γινώσκοντες, ὥστε μὴ ἀπατᾶσθαι παρὰ τῶν ψευδοδιδασκάλων, μηδὲ περιπίπτειν αὐτοῖς, ὡς ποιμέσι, κλέπταις οὖσι καὶ λῃσταῖς. Καὶ γινωσκόμενοι αὖθις ὑπὸ τοῦ ποιμένος, μὴ παραμιγνύντες δηλονότι ἑαυτοὺς τοῖς ἀλλοτρίοις θρέμμασιν, ἐξ ὧν ἡ ἄγνοια τοῖς ποιμέσι γίνεται. Ἀλλὰ τὰ ἐπίσημα φέροντες καὶ τοὺς χαρακτῆρας, οὓς ὁ ἀληθινὸς ποιμὴν ὑμῖν ἐπιβέβληκε καὶ ἐνετύπωσεν. Ἐκ τοῦ Εὐαγγελίου δὲ καὶ ταῦτα παραπέφρασται. *Γινώσκω γάρ*, φησὶν ὁ Χριστὸς, *τὰ ἐμὰ, καὶ γινώσκομαι ὑπὸ τῶν ἐμῶν*. Γνῶσιν ἴσως λέγων, τὴν οἰκείωσιν, τουτέστι προσοικειωθήσομαι τοῖς προβάτοις τοῖς ἐμοῖς, καὶ αὐτὰ ἐμοὶ οἰκειωθήσονται. Ἑπόμενοι δὲ καὶ τῷ καλοῦντι ποιμενικῶς καὶ ἐλευθερίως, τουτέστιν ἀδόλως καὶ φανερῶς καὶ ἐξουσιαστικῶς καὶ ὡς ἐλευθέροις πρέπον. Διὰ τῆς θύρας δὲ, ἤγουν διὰ τῶν καθολικῶν δογμάτων, τῶν ἅπασι πιστοῖς ἀναπεπταμένων, καὶ δι' αὐτῆς τῆς Γραφῆς, δι' ἧς εἰς τὴν πίστιν εἰσαγόμεθα. Ἢ καὶ διὰ τοῦ Χριστοῦ τοῦ εἰπόντος· *Ἐγώ εἰμι ἡ θύρα*. Ἀλλοτρίῳ δὲ καὶ ψευδοποιμένι μὴ ἀκολουθοῦντες, ὅστις οὐ διὰ τῆς τοῦ Εὐαγγελίου ὁδοῦ πορεύεται, οὐδὲ διὰ τῆς θύρας Χριστοῦ εἰσέρχεται, ἀλλὰ λῃστρικῶς διὰ αὐλῆς ὑπερπηδᾷ. Βίαιον γὰρ ἅπαν τῶν ἑτεροδόξων τὸ ὅρμημα, καὶ οὐ κατὰ τάξιν διὰ τῆς νομίμου θύρας ἡ πρὸς τὴν πίστιν καὶ τὴν Ἐκκλησίαν εἴσοδος.

Col. 401 A 1. *Μηδὲ ξένης... ἀμήν.* Εἴρηκεν ὁ Χριστὸς ἐν τῷ Εὐαγγελίῳ, ὅτι *Τὰ πρόβατα τὰ ἐμὰ οὐκ οἴδασι τῶν ἀλλοτρίων τὴν φωνήν*. Ἐκεῖθεν οὖν λαβὼν ὁ Θεολόγος φησὶν ἐνταῦθα, ὅτι Μηδὲ τῆς ξένης φωνῆς ἀκούετε, ἥτις ὑποκλέπτει καὶ ἀπατᾷ καὶ διασκορπίζει ἀπὸ τῆς μιᾶς καὶ ἑνοποιοῦ ἀληθείας εἰς διαφόρους δόξας· αἵτινες δόξαι διὰ μὲν τὸ ἄναντες, ὄρη λέγονται τροπικῶς· διὰ δὲ τὸ ἄκαρπον, ἐρημίαι· διὰ δὲ τὸ κρημνῶδες, βάραθρα. Τὸ δὲ, Καὶ τόπους, οὓς οὐκ ἐπισκοπεῖ Κύριος, τῶν ῥηθέντων ἑρμηνευτικόν ἐστιν. Εἴληπται δὲ τὸ ῥητὸν ἀπὸ τῶν Παροιμιῶν Σολομῶντος. *Ὁ πλανώμενος γὰρ*, φησὶν, *ἐν πύλαις, αὐλισθήσεται ἐν τόποις, οἷς οὐκ ἐπισκοπεῖται ὁ Αἰώνιος*. Ἡ τοιαύτη τῶν ἑτεροδόξων φωνὴ, ἀπάγει μὲν ἀπὸ τῆς ὑγιοῦς πίστεως, τῆς εἰς τὴν ἁγίαν Τριάδα, ἧς ἤκουσεν ἀεὶ φωνῆς, τῆς περὶ τῆς ὑγιοῦς δηλαδὴ πίστεως, τὰ ἐμὰ πρόβατα. Γένοιτο δὲ καὶ ἀκούειν. Συλαγωγεῖ (1) δὲ ἡ τῶν αἱρετικῶν φωνὴ, τουτέστιν ὡς λάφυρα διαρπάζει καὶ ἀπάγει τοὺς ἁπλουστέρους, λόγοις παρασήμοις καὶ ἀδοκίμοις (τοιοῦτον γὰρ τὸ κίβδηλον), καὶ χωρίζει ἀπὸ Χριστοῦ τοῦ ἀληθινοῦ καὶ πρώτου ποιμένος· πρώτου μὲν, ὅτι αὐτὸς ἀρχηγὸς τῆς πίστεως ἡμῖν ἐχρημάτισε καὶ τῆς τελείας κατῆρξε διδασκαλίας· ἀληθινοῦ δὲ, διὰ τὸ κυρίως καὶ καθ' ὑπεροχήν. Ἐκ δὲ τοῦ Ἀποστόλου καὶ ταῦτα ἐλήφθη. Γράφει γὰρ Κολοσσαεῦσι· *Βλέπετε, μήτις ὑμᾶς ἔσται ὁ συλαγωγῶν διὰ τῆς φιλοσοφίας καὶ κενῆς ἀπάτης*. Τὴν ἔξω οὖν φιλοσοφίαν ὁ μὲν ἅγιος Παῦλος κενὴν ἀπάτην ὠνόμασεν· ὁ δὲ Θεολόγος, λόγους παρακεχαραγμένους καὶ διε-

[16] Joan. x, 14. [17] ibid. 7. [18] ibid. 5. [19] Hebr. xii, 2. [20] Col. ii, 8.

(1) Et hic et paulo inferius in loco Paulino suprascriptum reperitur primæ syllabæ alterum λ in cod. a.

φθαρμένους. Εἶτα καὶ εἰς εὐχὴν κατακλείει τὸν λόγον. A Εὔχεται γὰρ τῶν τοιούτων ἀλλοφύλων δογμάτων πόῤῥω γενομένους, καὶ ποιμένας καὶ ποίμνιον, ὥσπερ τινὸς φαρμακώδους βοτάνης καὶ θάνατον ἐπαγούσης, ἓν εἶναι πάντας καὶ νεμομένους καὶ νέμοντας. Καὶ μήτε νῦν διαζευχθῆναι, μήτε ἐν τῇ μελλούσῃ ζωῇ καὶ ἀναπαύσει. Τοῦτο δὲ ἐκ τοῦ Εὐαγγελίου ἔλαβεν. Εἴρηκε γὰρ ὁ Χριστὸς πρὸς τὸν Πατέρα περὶ τῶν μαθητῶν· *Τήρησον αὐτοὺς ἐν τῷ ὀνόματί σου, ἵνα ὦσιν ἕν.*

oves ab hujusmodi alienis dogmatibus tanquam a venenosa quadam herba, morbumque et mortem invehente, procul se removeant, atque unum omnes sint, tam qui pascuntur, quam ii quibus pascendi gregis cura incumbit; ac neque in hoc sæculo, neque in futura vita et requie inter se disjungantur. Quod etiam ipsum ex Evangelio sumpsit Theologus. Dixit enim de discipulis Christus ad Patrem: *Serva eos in nomine tuo, ut unum sint* [21]. [(5) Hic autem epilogus communis est precatio, eorum quæ contraria et dira ac detestanda sunt aversionem continens.]

ΤΟΥ ΑΥΤΟΥ

Ἑρμηνεία εἰς τὸν β' (1) *Λόγον τοῦ Θεολόγου.*

Πρόλογος.

B Ἐπίσκοπος (2) Σασίμων ἄκων χειροτονηθεὶς ὑπὸ τοῦ μεγάλου Βασιλείου ὁ Θεολόγος Γρηγόριος, καὶ τυραννηθῆναι δόξας ὁ μέγας οὗτος Πατὴρ, ἀφίσταται μὲν τῆς ἐπισκοπῆς ταύτης εὐθέως, ἀφικνεῖται δὲ πρὸς Ναζιανζόν. Ὅπερ μαθὼν ὁ μέγας Βασίλειος, προτρέπεται τὸν ἀδελφὸν αὐτοῦ Γρηγόριον, τὸν Νύσσης, ἀπελθεῖν εἰς ἐπίσκεψιν ὁμοῦ καὶ παραμυθίαν τοῦ φίλου καὶ λύσιν τῶν ἐν μέσῳ σκανδάλων. Τοῦτον δὲ δεξάμενος ἐκεῖνος ἡδέως, τὸν παρόντα λόγον ἐκφωνεῖ· πρῶτα μὲν ἐγκωμιάζων τὴν ξυνωρίδα τούτων τῶν ἀδελφῶν, εἶτα καὶ καθαπτόμενος τῆς τοῦ φίλου πρὸς αὐτὸν διαθέσεως, ὅτι ἐπισκοπῇ τοιαύτῃ τὸν ὁμόψυχον ἐπεκήρυξε, τὸν ἡσυχίας ἐραστὴν, τῇ πάσης ἐμπεπλησμένῃ ταραχῆς καὶ συγχύσεως. Ἔπειτα πρὸς τὸν τηνικαῦτα παρόντα σύλλογον κατὰ τὴν ἐκ- C κλησίαν ἀποστρέψας τὸν λόγον (ἑορτὴν γὰρ μαρτύρων ἐδόξαζον καὶ ἑώρταζον), διδασκαλικὴν προσάγει τὴν παραίνεσιν, πρὸς τὰ καλὰ μὲν παροξύνων, τῶν δὲ φαύλων ἀποτρεπόμενος.

EJUSDEM

Interpretatio in secundam Theologi orationem (6).

Prologus.

Cum invitus episcopus Sasimorum ordinatus esset a magno Basilio Theologus Gregorius, vim pati existimans magnus ille Pater, confestim ab hoc episcopatu recedit, Nazianzumque petit. Quo cognito, magnus Basilius hortatur fratrem suum Gregorium Nyssenum, proficiscatur ad invisendum simul et consolandum amicum, tollendaque e medio scandala. Ad quem læte exceptum ille præsentem habuit orationem. Primum quidem, laudata horum fratrum concordia, carpit amici sui erga se animi dispositionem, quoniam tali episcopatui unanimem suum præfecit quietis cupidissimum, omni repleto confusione et tumultu; deinde ad concionem astantem in ecclesia oratione versa (festum enim martyrum agebant celebrabantque), hortativam profert admonitionem, ad bona eos excitans et a malis deterrens.

Col. 832 B 6. *Φίλου πιστοῦ... εὐωδέστερον.* Ἀπὸ γνώμης τὸ προοίμιον. Φησὶ γὰρ Ἰησοῦς ὁ τοῦ Σιράχ· *Φίλου πιστοῦ οὐκ ἔστιν ἀντάλλαγμα, καὶ οὐκ ἔστι σταθμὸς τῆς καλλονῆς αὐτοῦ*· καὶ πάλιν· *Φίλος πιστὸς, σκέπη κραταιά· ὁ δὲ εὑρὼν αὐτὸν, εὗρε θησαυρόν.* Τὰ (3) δὲ ἑξῆς ἀπὸ τοῦ Σολομῶντος παρεφράσθη, λέγοντος· *Ἀδελφὸς ὑπὸ ἀδελφοῦ βοηθούμενος, ὡς πόλις ὀχυρά. Ἰσχύει γὰρ* (4) *ὥσπερ μεμοχλευμένον βασίλειον.* Τὸ δὲ, θησαυρὸς ἔμψυχος, ἐκ τῶν ἔξω. Ἀλέξανδρος γὰρ ἐρωτηθεὶς, ποῦ τοὺς θησαυροὺς ἔχει, τοὺς φίλους D παρόντας ὑπέδειξεν, οἵτινες ἔμψυχος ἦσαν θησαυρός. Λέγει δέ που καὶ Θέογνις ὁ ποιητὴς, ὅτι Πιστὸς ἀνὴρ χρυσῷ τε καὶ ἀργύρῳ ἀντερείσασθαι ἄξιος, ἤγουν ἀντισταθμηθῆναι. Τὸ δὲ, *Ὑπὲρ χρυσίον καὶ λίθον τίμιον πολὺν*, ἐκ τοῦ Δαυΐδ. Ἐκ δὲ τοῦ Ἄσματος τῶν ᾀσμάτων τὸ, *Κῆπος κεκλεισμένος, καὶ πηγὴ ἐσφραγισμένη*, ἧς καὶ τὴν ἑρμηνείαν ὁ Θεολόγος προσέθηκεν, ὅτι Ἡ πηγὴ καὶ ὁ κῆπος διὰ τοῦτό εἰσι κεκλεισμένα, ἵνα κατὰ τὸν τῆς χρείας καιρὸν ἀνοί-

Amico fideli.... fragrantius. — Ex sententia principium. Ait enim filius Sirach Jesus: *Amico fideli nulla est comparatio, nec ulla est digna ponderatio contra bonitatem illius* [22]; et rursus: *Amicus fidelis, protectio fortis. Qui autem invenit illum, thesaurum invenit* [23]. Quæ autem sequuntur, ex Salomone desumpta sunt dicente: *Frater a fratre adjutus, sicut urbs munita; viget enim quemadmodum munitum palatium* [24]. Hoc autem, vivus thesaurus, ex historia externa. Alexander enim interrogatus, ubi thesauros haberet, præsentes ostendit amicos, qui vivus erant thesaurus. Dicit quoque alicubi Theognis poeta, quod fidelis vir auro et argento qui opponatur dignus, id est qui pensetur. *Super aurum et lapidem pretiosum multum*, ex David [25]; atque e canticorum Cantico illud: *Hortus conclusus, fons signatus* [26]; cujus et interpretationem Theologus adjecit: Quoniam fons et hortus ob idipsum conclusi sunt, ut in utilitatis tempore aperiantur et communicentur. Rursumque illud, *filii lucis*, ex

[21] Joan. XVII, 11. [22] Eccli. VI, 15. [23] ibid. 14. [24] Prov. XVIII, 19. [25] Psal. XVIII, 11. [26] Cant. IV, 12.

(1) Olim VI, nunc XI.
(2) Hanc præfationem omittit cod. h.
(3) Τό h. Mox laudat Theog. v. 77, quem vide.
(4) Δέ pro γάρ h.

(5) Inclusa adduntur apud Billium.
(6) Pauca tantum in hanc orationem scholia ex Græco Nicetæ Latine edidit Billius p. 535.

Evangelio. Namque ait: *Ut filii lucis fiatis* [27]. Homo autem Dei et Moyses vocatus est [28], et quidam propheta in Regibus [29]; atque Timotheum sic nominavit Apostolus [30]. In Exodo quoque dicitur: *Sacerdotes ad Deum propius accedentes* [31]. Daniel autem vir nominatus est desideriorum [32]; bonorum quidem adjecit Theologus. Sunt ideo et viri desideriorum malorum. Est igitur amicus fidelis solatii portus. Quod si vero dignus est qui pulcherrimis designetur nominibus, quibus et exornat divina Scriptura sanctos, id vero Dei jam donum est, meritumque meum excedit, ait, mihi talem contigisse amicum (quod si judicio præditus sit et utraque doctrina instructus, doctrina quidem externa, nec non nostra præclarus). Si autem ab amico missus sit consolaturus nos, id est a magno Basilio, quem et eodem honore dignum ac Nyssenum prædico, prout parem virtute et erga nos amore, hoc jucundius est pontificali unguento, quod in pontificis caput profusum, primo eum ornabat, deinde barbam, cum ad ima vestimenta descenderet [33]. Oportet et unguentum intelligere Spiritum sanctum. Hic enim primum totius corporis caput, quod est Christus, implevit; dein descendit in apostolorum chorum qui sunt Christi vultus ornamentum; postea devenit et in reliquum corpus, id est Ecclesiam. Ex David autem hæc quoque excerpuntur dicente: *Ecce quam bonum et quam jucundum habitare fratres in unum! Sicut unguentum quod descendit in barbam, barbam Aaron, quod descendit in oram vestimenti ejus* [34]. Ora autem idem est quod stolam vocamus.

A γωνται καὶ μεταλαμβάνωνται. Πάλιν τὸ μὲν, *υἱοὶ φωτὸς*, ἐκ τοῦ Εὐαγγελίου. Ἵνα γάρ, φησὶν, *υἱοὶ φωτὸς γένησθε*. Ἄνθρωπος δὲ τοῦ Θεοῦ καὶ ὁ Μωϋσῆς εἴρηται, καί τις προφήτης ἐν ταῖς Βασιλείαις. Καὶ τὸν Τιμόθεον οὕτως ὀνομάζει ὁ Ἀπόστολος. Ἐν δὲ τῇ Ἐξόδῳ πάλιν εἴρηται· *Οἱ ἱερεῖς οἱ ἐγγίζοντες Κυρίῳ τῷ Θεῷ*. Ὁ δὲ Δανιὴλ *ἀνὴρ* ὠνομάσθη *ἐπιθυμιῶν*. Τὸ δὲ, τῶν (1) κρειττόνων, προσέθηκεν ὁ Θεολόγος· διότι εἰσὶ καὶ ἄνδρες ἐπιθυμιῶν τῶν χειρόνων. Ἔστι μὲν οὖν (2) ὁ πιστὸς φίλος, λιμὴν ἀναψύξεως (3). Ἂν δὲ καὶ ἄξιος καλεῖσθαι τὰ κάλλιστα τῶν ὀνομάτων, καὶ οἷς τιμᾷ ἡ θεία Γραφὴ τοὺς ἁγίους (4), τοῦτο δῶρον Θεοῦ, καὶ ὑπὲρ τὴν ἐμὴν ἀξίαν, τὸ ἐπιτυχεῖν με, φησὶ (5), τοιούτου φίλου [ἂν (6) δὲ καὶ συνετὸς εἴη καὶ ἄκρος κατ' ἀμφότερα,
B τήν τε ἔξω παίδευσιν δηλαδὴ καὶ τὴν ἡμετέραν, λαμπρότερος]. Εἰ δὲ καὶ παρὰ φίλου ἀπέσταλται παρηγορήσων ἡμᾶς, τουτέστι παρὰ τοῦ μεγάλου Βασιλείου, ὃν καὶ ὁμότιμόν φημι τῷ Νύσσης, ἤγουν ἴσον κατά τε τὴν ἀρετὴν καὶ κατὰ τὴν πρὸς ἐμὲ φιλίαν, τοῦτο χαριέστερόν ἐστι τοῦ ἀρχιερατικοῦ μύρου ὅπερ κατὰ τὴν κεφαλὴν (7) τοῦ ἀρχιερέως χυθὲν, πρῶτον αὐτὸν (8) ἐκόσμει, εἶτα τὸν πώγωνα, ἔπειτα κατῄει καὶ μέχρι τῶν ἄκρων (9) ἐνδυμάτων αὐτοῦ. Χρὴ δὲ μύρον νοεῖν, καὶ τὸ ἅγιον Πνεῦμα. Τοῦτο γὰρ πρῶτον τὴν τοῦ παντὸς σώματος κεφαλὴν, ἥτις ἐστὶν ὁ Χριστὸς, ἐπλήρου· μεθ' ὃν κατέβαινεν ἐπὶ τὸν χορὸν τῶν ἀποστόλων, κόσμον ὄντα τοῦ προσώπου Χριστοῦ· εἶτα κατῆλθε καὶ ἐπὶ τὸ λοιπὸν σῶμα, τουτέστι τὴν
C Ἐκκλησίαν. Ἐκ τοῦ Δαυῒδ δὲ καὶ ταῦτα εἴληπται, λέγοντος· *Ἰδοὺ δὴ, τί καλὸν ἢ τί τερπνὸν, ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπιτοαυτό; Ὡς μύρον ἐπὶ κεφαλῆς τὸ καταβαῖνον ἐπὶ πώγωνα, τὸν πώγωνα τὸν Ἀαρὼν, τὸ καταβαῖνον ἐπὶ τὴν ὤαν τοῦ ἐνδύματος αὐτοῦ*. Ὢα δέ ἐστιν, ὃ καλοῦμεν ἐπιτραχήλιον (10).

An vero... effinxit. — An vero, ait, congruenter et sufficienter oratio virum depinxit; aut imitabor diligentes pictores; et sicut illi corpora adumbrantes, secunda et tertia manu ea perficiunt absolvuntque coloribus, sic et ego sæpius orationis induco colores, ut descriptum a me perfectiorem vobis ob oculos ponam. Neque autem majus habeo, neque præclarius exemplar quam Moysen et Aaron. Quemadmodum enim illi, sic et magnus Basilius et Nyssenus Gregorius, fratres et carne et pietate. Magnus Basilius legislator, id est canonici juris doctor in sacerdotibus et monachis illustrissimus; Nyssenus vero sacerdotum aliorum sanctissimus, sicut hic Aaron. Magnus Basilius, spiritualis Pharaonis Deus, sicut Moyses visibilis. In Exodo enim

Col. 833 A. *Ἆρ' οὖν... ἀνετυπώσατο*. Ἆρά γε, φησὶ, συμμέτρως καὶ ἀρκούντως ὁ (11) λόγος τὸν ἄνδρα εἰκόνισεν; Ἢ μιμήσομαι τοὺς ἐπιμελεῖς τῶν ζωγράφων· καὶ ὥσπερ ἐκεῖνοι ταῖς σκιαῖς τὰ σώματα προχαράσσοντες, δευτέρᾳ καὶ τρίτῃ χειρὶ ταύτας ἐπακριβοῦσι καὶ τελειοῦσι τοῖς χρώμασιν, οὕτω κἀγὼ πολλάκις ἐπιβαλῶ τοῦ λόγου τὰ χρώματα, ἵνα τὸν εἰκονιζόμενον παρ' ἐμοῦ παραστήσω ὑμῖν ἐντελέστερον. Οὐκ ἔχω δὲ μεῖζον, οὐδὲ γνωριμώτερον παράδειγμα, τοῦ κατὰ Μωϋσέα καὶ Ἀαρών. Ὥσπερ γὰρ
D ἐκεῖνοι, οὕτω καὶ ὁ μέγας Βασίλειος καὶ ὁ Νύσσης Γρηγόριος, ἀδελφοὶ καὶ κατὰ σάρκα καὶ κατὰ τὴν εὐσέβειαν. Καὶ ὁ μὲν μέγας Βασίλειος, νομοθέτης, ἤγουν κανονιστὴς ἐν ἱερεῦσι καὶ μονασταῖς ἐπιφανέστατος· ὁ δὲ Νύσσης, ἱερέων τῶν ἄλλων ἁγιώτατος,

[27] Joan. XII, 36. [28] Deut. XXXIII, 1. [29] IV Reg. I, 9. [30] I Tim. VI, 11. [31] Exod. XIX, 22. [32] Dan. IX, 23. [33] Psal. CXXXII, 1. [34] ibid. I, 2.

(1) Τῶν abest h.
(2) Φησίν addit h.
(3) Hic addit h, Ἂν δὲ συνετὸς εἴη καὶ ἄκρος κατ' ἀμφοτέραν τὴν παίδευσιν, τήν τε ἔξω φημὶ καὶ τὴν ἡμετέραν, λαμπρότερος. Hæc paulo post habet a.
(4) Hic addit h, Οἷον λέγω τὸ, σκεῦος ἐκλογῆς, καὶ τὸ, πιστὸς θεράπων, καὶ, λειτουργὸς Κυρίου, καὶ τὰ ὅμοια.
(5) Φημί a.
(6) Inclusa paulo superius habet h.
(7) Κατὰ τῆς κεφαλῆς h.
(8) Αὐτὴν h.
(9) Τῶν interponit h.
(10) Περιτραχήλιον h.
(11) Ἐμός in marg. addit h.

ὡς ἐκεῖ Ἀαρών (1). Καὶ ὁ μὲν μέγας Βασίλειος, Θεὸς τοῦ νοητοῦ Φαραώ, ὡς ὁ Μωϋσῆς τοῦ αἰσθητοῦ. Εἴρητο (2) γὰρ πρὸς αὐτὸν ἐν τῇ Ἐξόδῳ· *Ἰδού, δέδωκά σε Θεὸν Φαραώ*, ἤγουν ἐχειροτόνησά σε. Ὁ (3) Ἰσραὴλ δὲ νοητός, ὁ εὐσεβὴς λαός, οὗ προΐστατο ὁ θεῖος Βασίλειος, καὶ ᾧ ἐνομοθέτει. Νεφέλη δέ, ἡ τοῦ νομικοῦ γράμματος παχύτης, οὗ (4) εἴσω χωρῶν (5) τῇ διανοίᾳ ἐπώπτευε τὰ θεῖα μυστήρια, τὰ ἀπόῤῥητα τοῖς ἄλλοις, καὶ ἐμυσταγώγησε (6) ταῦτα διδάσκων· ἢ ὡς εἰς νεφέλην, εἰς τὰ ἄδυτα τοῦ Πνεύματος εἰσῄει καὶ ταῦτα ἐθεώρει. Σκηνὴ δὲ ἡ μὲν νομική, τυπική τις ἦν, ἣν ἐτεχνίτευσε μὲν Βεσελεήλ, ἐπήξατο δὲ Μωϋσῆς. Ἀληθινὴ δὲ σκηνή, καθά φησιν ὁ Ἀπόστολος, ἡ Ἐκκλησία τῶν Χριστιανῶν. Ἱερεῖς δὲ ἀμφότεροι· καὶ ὁ μὲν μέγας Βασίλειος ἔξαρχος τῶν ἱερέων, καὶ μυσταγωγῶν διὰ τοῦ Νύσσης ἑτέρους καὶ ἱλεῶν αὐτοῖς τὸν Θεόν· ὁ δὲ Νύσσης μετὰ τὸν μέγαν Βασίλειον εὐθύς. Καὶ ὅπερ ἐν τῇ Ἐξόδῳ εἴρηται πρὸς Μωϋσῆν περὶ τοῦ Ἀαρών, ὅτι *Αὐτὸς ἔσται σοι εἰς στόμα* (7), *σὺ δὲ αὐτῷ ἔσῃ τὰ πρὸς* (8) *Θεόν*, τοῦτο καὶ οὗτοι ἦσαν ἀλλήλοις. Καὶ τότε μὲν ἐκεῖνοι ταῖς δέκα πληγαῖς τὴν Αἴγυπτον ἐβασάνισαν (9)· νῦν δὲ οὗτοι τὴν σκοτεινὴν καὶ διώκτριαν ἁμαρτίαν. Ἐκεῖνοι τὴν Ἐρυθρὰν ἔτεμον, καὶ οὗτοι τὴν θάλασσαν τῶν παθῶν. Ἐκεῖνοι τὸν Ἰσραὴλ ἔσωσαν, καὶ τοὺς Αἰγυπτίους ἀπέπνιξαν· οὗτοι τοὺς εὐσεβεῖς διεφύλαξαν, τοὺς δὲ δαίμονας ἢ τοὺς αἱρετικοὺς κατεπόντισαν. Ἐκεῖνοι τὸ μάννα ἐξ οὐρανοῦ εἵλκυσαν καὶ ὕδωρ πολὺ καὶ παράδοξον, τὸ μὲν ἐξ ἀκροτόμου πέτρας ἐξήνεγκαν, τὸ δὲ ἐγλύκαναν, τὸ ἐν τῇ Μεῤῥᾷ δηλαδή. Ἔστι δὲ καὶ ἐν τούτοις (10) ἄρτος μὲν οὐράνιος, ἡ πνευματικὴ τροφή· (11) ὕδωρ δέ, τὸ ζωηρὸν νᾶμα τῆς διδασκαλίας τοῦ Χριστοῦ, ὅς ἐστιν ἡ πέτρα κατὰ τὸν Ἀπόστολον. Γλυκαινόμενον δὲ (12) ὕδωρ ἐνταῦθα νοήσεις, τὸ ἀπὸ τῶν Ἑλληνικῶν λόγων εἰς Χριστὸν μεταγόμενον καὶ εὐσεβῶς μεταλαμβανόμενον. Ἐκεῖνοι μυστικῶς καὶ συμβολικῶς τῇ τῶν χειρῶν ἐκτάσει τὸν σταυρὸν τυποῦντες, τὸν Ἀμαλὴκ ἐτροπώσαντο, καὶ οὗτοι τὸν διάβολον. Ἐκεῖνοι πρὸς τὴν γῆν τῆς ἐπαγγελίας ἔσπευδον καὶ τοὺς ἄλλους ὡδήγουν· καὶ οὗτοι εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.

ad eum dictum est: *Ecce dedi te Deum Pharaoni* [35], scilicet ordinavi te. Israel autem spiritualis, pius populus, cui præerat magnus Basilius, et cujus legislator erat. Nubes, legalis litteræ crassitudo, quam intellectu ingrediens divina inspexit mysteria, aliis nefanda, initiavitque hæc docens; vel sicut in nubem, in adyta Spiritus penetravit, eaque contemplatus est. Tabernaculum quidem legale, allegoricum quoddam erat, quod exstruxit Beseleel, direxitque Moyses [36]. Verum autem tabernaculum, ut ait Apostolus [37], Christianorum Ecclesia. Ambo autem sacerdotes: magnus quidem Basilius sacerdotum princeps, et cæteros per Nyssenum dirigens, propitiumque eis Deum efficiens; Nyssenus autem post magnum Basilium primus. Et quod in Exodo dictum est ad Moysen de Aaron, quoniam *Ipse erit tibi in corpus, tu autem ei eris in rebus quæ ad Deum pertinent* [38]. Quod et ii sibi erant invicem. Tunc illi quidem decem plagis Ægyptum vexaverunt; hi vero tenebrosam vexatricemque iniquitatem. Primi Rubrum sciderunt, hi vero passionum mare; primi Israel salvum fecerunt, Ægyptiosque demerserunt; hi vero pios servaverunt, dæmonesque vel hæreticos obruerunt. Primi manna de cœlo traxerunt, et aquam multam hominumque fidem superantem, partim ex prærupta petra elicientes, partim edulcantes, in Merrha videlicet. Est autem et in iis panis quidem cœlestis, spiritualis cibus; aqua autem, vivificans torrens doctrinæ Christi, qui est petra juxta Apostolum [39]. Edulcatam vero aquam hic existimabis, ex ethnica sapientia ad Christum conversum, et pie mutatum. Illi scite et symbolice manuum extentione crucem figurantes, Amalec fuderunt; hi vero diabolum. Illi ad promissionis terram properabant cæterosque ducebant; hi vero ad regnum cœlorum.

Col. 835 C 2. *Τούτων ὁ μέν. . . . φοβερώτερον.* Ἀπὸ τῶν δύο φησὶ τούτων (13), ὁ μὲν μέγας Βασίλειος κρυπτόμενόν με καὶ ἡσυχάζοντα, εἰς μέσον ἤγαγε καὶ ἐχειροτόνησεν, ἀναξίως κινηθεὶς τοῦ ἐν αὐτῷ Πνεύματος. Τοῦτο δέ φημι, διὰ τὴν βίαν, καὶ διὰ τὸ ἐμβαλεῖν με εἰς θορύβους καὶ ταραχάς. Τοιοῦτον γὰρ τὸ χωρίον τὰ Σάσιμα. Λέγω γάρ, ὅτι ἀναξίως ἐκινήθη, κἂν τραχύτερος ὁ λόγος. Πάντως δὲ ὁ μέγας Βασίλειος, φίλος ὤν, ὑπομενεῖ πάντα καὶ πάσχων καὶ ἀκούων. Ἡ γὰρ ἀγάπη πάντα στέγει, πάντα ὑπομένει. Ὁ δὲ Νύσσης Γρηγόριος, ἦλθε παραμυθησόμενος καὶ καταλλάξων καὶ προσημερώσων διὰ

Horum alter.... summopere reformidant. — Ex duobus illis, inquit, alter magnus Basilius me absconditum et otiantem in medium produxit et ordinavit, impulsus non ut dignum erat Spiritu qui in ipso est. Hoc autem dico, propter vim, quoniam in tumultus et turbationes injectus sum. Tale enim Sasimorum oppidum. Dico enim quod indigne impulsus est, etsi asperior sermo sit. Omnino enim magnus Basilius, cum sit amicus, omnia feret tum perpetiens, tum audiens. Nyssenus autem Gregorius venit consolaturus, et auxiliaturus, et mansuefacturus propter Spiritum qui est in ipso. Et mihi

[35] Exod. VII, 1. [36] Exod. XXXVI, 1. [37] Hebr. VIII, 2. [38] Exod. IV, 16. [39] I Cor. X, 4.

(1) Ὁ Ἀαρών h.
(2) Εἴρηται h.
(3) Ὁ abest h.
(4) Ἣ h.
(5) Hic addit h, ἤγουν πρὸς τὸ βάθος εἰσδύνων.
(6) Ἐμυσταγώγει h.
(7) Τὰ πρὸς τὸν λαόν addit h.
(8) Πρὸς τὸν Θεόν h.
(9) Ἐβασάνιζον h.
(10) Δὲ παρὰ τούτοις h. Mox idem post οὐράνιος addit ὁ Χριστός.
(11) Hic addit h, Ἐγὼ γάρ, φησίν, ὁ ἄρτος εἰμὶ τῆς ζωῆς, ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς.
(12) Μέν pro δέ h.
(13) Ἀπὸ τούτων, φησί, τῶν δύο h.

quidem magnum est quod et nunc venit. Hoc tamen molestum est, quod serius quam res postularet, accesserit, et postquam me aggressus est vicitque, invitum persuadens ordinari magnus Basilius. Rogo te igitur, cognominem meum, cur, cum te mihi opus esset, non veneris, ad mihi auxiliandum, sed serius? Nunquid te, ut fratris amantem, vis nobis a fratre tuo illatæ puduit? An tu quoque, ut imperium gerens, iniquo animo tulisti quod non audiens fuerim ipsi post ordinationem meam? Clamabo ad te, iisdem usus quibus Job verbis, ipse quoque dolore affectus, ut ille ad amicum loquens, non quidem iniquum, quales erant Job amici, neque de iisdem calamitatibus. Quid igitur ait ille? Cui adhæres? cui opem ferre paras? Annon ei, cui robur multum, et brachium validum est? Equidem addam, et cui multa sapientia et scientia. Multi enim consueverunt semper ad validiorem sese convertere partem, et amicorum infirmiores conculcare, potentibus autem ferre auxilium. Quod quidem igitur tu novisti, nempe cui opem ferre volueris. Mihi enim nefas de te quidquam, quod ab honesto alienum sit, pronuntiare; tum, quoniam virtutis omnis exemplar te et normam existimo, tum, quoniam mihi Scripturæ lege interdicitur, ne promptus sim ad judicandum, sive damnans, sive culpa liberans. Dixit enim Salomon: *Ne sis promptus in verbis* [40]. Idem et Apostolus: *Nolite ante tempus judicare* [41]. Ego vero paratus sum propter amicitiam, et tibi et cuivis rationem reddere et prudentiæ meæ, et cautionis, etsi nonnulli eam inobedientiam vocaverint; ut discas quod non omnino indignum habeas amicum, neque inconsideratum, sed in quibus niti cum fiducia convenit confidentem, timentemque, secundum Psalmum [42], ubi est timor: quippe reformidandum est non episcopatus dignitatem et magnitudinem reformidare.

A τοῦ ἐν αὐτῷ Πνεύματος. Καὶ ἐμοὶ μὲν μέγα ἐστὶν, ὅτι καὶ νῦν ἦλθε· μέμφομαι δὲ, ὅτι μετὰ τὴν χρείαν ἦλθε καὶ μεθὸ κατέδραμέ μου καὶ ἥττησέ με, ἄκοντα πείσας χειροτονηθῆναι ὁ μέγας Βασίλειος. Ἐρωτῶ οὖν τὸν ὁμώνυμόν μοι· Διατί, ὅτε σου ἔχρῃζον, οὐχ ἦλθες, ἵνα μοι συμμαχήσῃς, ἀλλ' ὕστερος τοῦ καιροῦ; Ἆρα ὡς φιλάδελφος ᾐσχύνθης τὴν τυραννίδα, ἣν ἐτυράννησέ με ὁ ἀδελφός σου; ἢ καὶ σὺ ὡς δυνάστης ἐδυσχέρανας, διότι ἠπείθουν αὐτῷ πρὸς τὸ χειροτονηθῆναι; Φθέγξομαί τι πρὸς σὲ, ἀφ' ὧν εἶπεν ὁ Ἰὼβ, ἀλγῶν κἀγὼ, ὡς ἐκεῖνος καὶ πρὸς φίλον διαλεγόμενος, εἰ καὶ μὴ φαῦλον, οἷοι ἦσαν οἱ τοῦ Ἰὼβ, μηδὲ ἐφ' ὁμοίοις ταῖς συμφοραῖς. Τί οὖν εἶπεν ἐκεῖνος; Τίνι πρόσκεισαι, ἢ τίνι μέλλεις βοηθεῖν; πότερον οὐχ, ᾧ πολλὴ ἰσχὺς, καὶ ᾧ βραχίων κραταιός B ἐστιν; Ἐγὼ δὲ προσθείην, καὶ ᾧ πολλὴ σοφία καὶ ἐπιστήμη. Ἔθος γὰρ τοῖς πολλοῖς, ἀεὶ πρὸς τὸ δυνατὸν μετατίθεσθαι μέρος, καὶ τοὺς μὲν ἀσθενεστέρους τῶν φίλων καταπατεῖν, θεραπεύειν δὲ τοὺς κρατοῦντας. Τοῦτο μὲν οὖν σὺ οἶδας, τουτέστι τίνι μέλλεις βοηθεῖν. Ἐμοὶ γὰρ οὐ δίκαιον περὶ σοῦ ἀποφαντικῶς λέγειν τι τῶν οὐ καλῶν. Τὸ μὲν, ὅτι καλοῦ παντὸς τύπον σε καὶ κανόνα ἥγημαι· τὸ δὲ, ὅτι καὶ ὑπὸ τῆς Γραφῆς νουθετοῦμαι, μὴ ταχὺς εἶναι εἰς κρίσιν, ἤτοι εἰς ἀπόφασιν, ἢ εἰς κατάκρισιν· τοῦ μὲν σοφοῦ Σολομῶντος λέγοντος· *Μὴ ἴσθι ταχὺς ἐν λόγοις*· τοῦ δὲ Ἀποστόλου· *Μὴ πρὸ καιροῦ τι κρίνετε*. Ἐγὼ δὲ ἕτοιμός εἰμι διὰ φιλίαν, καὶ σοὶ καὶ παντὶ δοῦναι λόγον τῆς ἐμῆς προμηθείας καὶ ἀσφα-C λείας, κἂν τινες αὐτὴν ἀπείθειαν ὀνομάζουσιν (1)· ἵνα μάθῃς, ὅτι οὐ πάνυ (2) φαῦλον ἔχεις φίλον καὶ ἀπερίσκεπτον, ἀλλὰ θαῤῥοῦντα μὲν, ἃ θαῤῥεῖν ἄξιον, ἐκεῖ δὲ φοβούμενον, κατὰ τὴν ψαλμῳδίαν, οὗ ἔστι φόβος. Φοβερὸν γὰρ, τὸ μὴ φοβεῖσθαι τὸ τῆς ἐπισκοπῆς ἀξίωμα καὶ μέγεθος.

Quidnam igitur placet..... rerum impetus. — Apologiam, ait, in tempus aliud transferamus. Nunc vero dicamus aliquid, quod hoc solemnitatis tempus deceat. Immunes nos reddamus, fratres, juxta Pauli adhortationem, omnis carnis et spiritus inquinamenti [43]. Audiamus Isaiam dicentem: *Lavamini, mundi fiatis* [44]. Lavemur aqua pœnitentiæ et lacrymarum, et sicut ad Romanos scribit Apostolus: *Exhibeamus corpora nostra, hostiam viventem, sanctam, Deo placentem, rationabile obsequium nostrum* [45]. Animadverte autem verbi cujusque concinnitatem. Non enim dixit: Faciamus membra nostra hostiam, sed *exhibeamus*; quasi diceret, nihil commune habeamus reliquum ad ea, neque distrahamus ad propria officia, postquam universa ea Deo consecravimus; sed omnem immunditiam reliquam a membris, quæ sunt hostia, præcidamus, hostia enim aliorum est initium, nec quidquam prodest habere immundum. Ideo opor-

Col. 856 B 11. *Τί οὖν δοκεῖ... ἐπαναστάσεις.* Τὴν μὲν ἀπολογίαν, φησὶν, εἰς ἄλλον καιρὸν ὑπερθώμεθα· νῦν δὲ εἴπωμέν τι πρέπον τῷ καιρῷ τούτῳ τῆς πανηγύρεως. Ἐλευθερωθῶμεν, ἀδελφοὶ, κατὰ τὴν Παύλου παραίνεσιν, ἀπὸ παντὸς μολυσμοῦ σωματικοῦ καὶ ψυχικοῦ. Ἀκούσωμεν Ἡσαΐου λέγοντος· *Λούσασθε, καθαροὶ γίνεσθε*· καὶ νιψώμεθα τῷ D ὕδατι τῆς μετανοίας καὶ τῶν δακρύων· καὶ καθὼς Ῥωμαίοις γράφει ὁ Ἀπόστολος· *Παραστήσωμεν τὰ σώματα ἡμῶν, θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον τῷ Θεῷ, τὴν λογικὴν ἡμῶν λατρείαν*. Ὅρα δὲ τὴν ἀκρίβειαν ἑκάστης λέξεως. Οὐ γὰρ εἶπε· Ποιήσωμεν τὰ μέλη ἡμῶν θυσίαν, ἀλλὰ, *Παραστήσωμεν*· ὡς ἂν εἰ ἔλεγε, μηδὲν κοινὸν ἔχωμεν λοιπὸν πρὸς αὐτὰ, μηδὲ καθέλκωμεν πρὸς ἰδιωτικὰς διακονίας, τῷ Θεῷ καθάπαξ αὐτὰ ἀφιερώσαντες. Ἀλλὰ καὶ πάντα μῶμον λοιπὸν περιέλωμεν ἀπὸ τῶν μελῶν, ἐπειδὴ θυσία ταῦτά ἐστι. Ἡ γὰρ θυσία, ἀπαρχὴ τῶν ἄλλων ἐστὶ, καὶ οὐδὲν ὀφείλει ἔχειν ἀκάθαρτον.

[40] Prov. xxv, 11. [41] I Cor. iv, 5. [42] Psal. xiii, 5. [43] II Cor. vii, 1. [44] Isa. i, 16. [45] Rom. xi, 1.

(1) Quartæ syllabæ in cod. a inscriptum est ω.

(2) Vocabulo πάνυ in cod. a inscriptum est πάντη.

διὸ χρὴ πάντοθεν ἄμωμον τηρεῖσθαι τὸ σῶμα τὸ A ἡμέτερον, ἵνα ἄξιον εἴη τοῦ θυσιάζεσθαι τῷ Θεῷ. Ἐπειδὴ δὲ εἶπε, Παραστήσατε θυσίαν, ἵνα μή τις νομίσῃ, ὅτι κατασφάξαι κελεύει τὰ σώματα, ταχέως ἐπήγαγε, *ζῶσαν*. Καὶ προσέθηκεν, *ἁγίαν καὶ εὐάρεστον*, διαιρῶν αὐτὴν ἀπὸ τῆς Ἰουδαϊκῆς. Ἡ τοιαύτη γὰρ θυσία, εὐαρεστήσεως· ἡ δὲ τῶν Ἰουδαίων, ἀκάθαρτος. Ἐκείνη τὸ τεθυμένον νεκρὸν ἀπέφηνεν· αὕτη τὸ τεθυμένον, ζῶν ἐργάζεται· ὅτε γὰρ νεκρώσομεν ἡμῶν τὰ μέλη, τότε δυνησόμεθα ζῆν. Κἀκείνη μὲν σωματική, αὕτη δὲ λογική, τουτέστιν οὐδὲν ἔχουσα παχὺ, οὐδὲ αἰσθητόν. Λογικὴ δὲ λατρεία ἐστὶν, ἡ πνευματικὴ διακονία, ἡ κατὰ Χριστὸν πολιτεία. Καθάπερ οὖν ὁ ἐν τῷ οἴκῳ τοῦ Θεοῦ διακονούμενος, οἷος ἂν ᾖ, συστέλλεται τότε καὶ ἱερώτερος γίνεται· οὕτω καὶ ἡμᾶς τὸν ἅπαντα βίον διακεῖσθαι χρὴ, ὡς B λατρεύοντας καὶ ἱερωμένους. Τὴν μέντοι λατρείαν, ἔντευξιν ὁ Θεολόγος ὠνόμασε. Δι' αὐτῆς γὰρ ἐντυγχάνομεν καὶ ὁμιλοῦμεν Θεῷ. Οὐδὲν γὰρ οὕτω τῷ καθαρῷ Θεῷ τίμιον, ὡς καθαρότης ἢ κάθαρσις. Ἔστι δὲ καθαρότης μὲν, τὸ ἤδη καθαρθῆναι· κάθαρσις δὲ, τὸ ἔτι καθαίρεσθαι· ἢ καθαρότης μὲν, τὸ μὴ ἐμπεσεῖν εἰς μολύσματα· κάθαρσις δὲ, τὸ μετὰ τὸ ἐμπεσεῖν ἀπονίπτεσθαι. Ἐὰν τοίνυν βουλώμεθα ἑορτάζοντες θεραπεύειν τοὺς μάρτυρας, τοῦτο τοῖς ἄθλοις αὐτῶν χαρισώμεθα, τὸ καὶ αὐτοὶ στεφανωθῆναι, ὡς νικηταὶ τῆς ἁμαρτίας καὶ τῶν δαιμόνων, καὶ τὸ ἐπιτυχεῖν τῆς αὐτῆς δόξης, οὐ μόνον τῆς παρὰ τῶν ἀνθρώπων, ἀλλὰ καὶ τῆς μελλούσης, ἧς μικρά εἰσιν ὑπομνήματα, αἱ ὁρώμεναι τιμαὶ, αἱ παρ' ἡμῶν τοῖς C μάρτυσι προσαγόμεναι. *Οὐκ ἔστιν ἡμῖν ἡ πάλη*, κατὰ τὸν Ἀπόστολον, *πρὸς αἷμα καὶ σάρκα*, ἤγουν πρὸς ἀνθρώπους, ἀλλὰ πρὸς τοὺς ἀσάρκους δαίμονας, οἵτινες *ἀρχαὶ* μὲν λέγονται, ὡς ἀρχηγοὶ τῶν παθῶν, οἷς οἱ ταλαίπωροι ἑκόντες δουλεύομεν· *ἐξουσίαι* δὲ, ὡς διὰ μέσων τῶν παθῶν κατεξουσιάζοντες ἡμῶν· *κοσμοκράτορες* δὲ, ὡς καταχρατοῦντες τῶν τὰ κοσμικὰ φρονούντων. *Τὰ πνεύματα τῆς πονηρίας, τὰ ἐν τοῖς ἐπουρανίοις*, ἤγουν τὰ ἐν τῷ ἀέρι στρεφόμενα. Λέγεται γὰρ καὶ ὁ ἀὴρ, οὐρανὸς, ὅπερ ἑρμηνεύων ὁ Θεολόγος, ἐπήγαγε, καὶ περὶ τὰ οὐράνια. Ἀγωνισώμεθα οὖν πρὸς τὸν ἐμφύλιον ἐν ἡμῖν πόλεμον· λέγει γὰρ ὁ Ἀπόστολος, εἶναί τινα ἐν τοῖς μέλεσιν ἡμῶν νόμον ἁμαρτίας, τὸν ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοὸς, D ἤγουν τῷ φυσικῷ, καὶ ποιοῦντα πολλάκις ἑαυτῷ (1) τὸν νοῦν αἰχμάλωτον καὶ ὑποχείριον. Ἀντιπαραταξώμεθα δὲ καὶ πρὸς τὰς ἔξωθεν ἐπερχομένας ἐπαναστάσεις.

Col. 837 B 1. *Ἐνέγκωμεν..... μετριώτερον.* Ὑπέμειναν, φησὶν, οἱ μάρτυρες θηρία καὶ ξίφος καὶ πῦρ· ὑπομείνωμεν καὶ ἡμεῖς, ὡς μὲν θηρίον, τὸν θυμόν· ὡς δὲ ξίφος τμητικὸν, τὴν γλῶσσαν· ὡς δὲ πῦρ, τὴν ἡδονὴν κατασβέσωμεν. Πάσας τὰς αἰσθήσεις δουλαγωγήσωμεν· θῶμεν θύρας ταῖς ἀκοαῖς, εὐκαίρως ἀνοιγομένας πρὸς τὰ θεῖα ῥήματα καὶ εὐκαίρως κλειομένας πρὸς τὰ θέλγοντα καὶ βλάπτοντα

[46] Ephes. vi, 12. [47] Rom. vii, 23.

(1) Suprascriptum αὐτόν a.

tet omnino immaculatum corpus nostrum servemus, ut dignum sit quod Deo offeratur. Postquam autem dixit, exhibeatis hostiam, ne quis existimaret quod immolari jubeat corpora, protinus adjicit, *viventem*; et deinde, *sanctam et Deo placentem*, a Judaica secernens eam. Hæc enim beneplacita est hostia, Judæorum vero immunda; ista enim immolatum mortuum ostendit; hæc autem immolatum viventem efficit. Nam membra nostra cum mortificaverimus, tunc vivere poterimus. Ista quidem corporalis, hæc autem rationabilis, nihil scilicet pingue vel sensile habens. Rationabile autem obsequium est, spirituale ministerium, juxta Christum administratio. Sicut igitur qui in Dei domo ministrat, qualis esset, tunc coarctatur et sanctior fit, sic et nosmetipsos per omnem vitam quasi adorantes et sanctificatos præbeamus necesse est. Quod quidem obsequium precationem Theologus appellavit. Namque per illud quasi adhæremus Deo. Neque enim purus Deus tanto in pretio quidquam habet, quam puritatem aut purgationem. Puritas autem jam purificati est, et purgatio adhuc se purificantis. Puritas quippe, non in inquinamenta incidere; purgatio autem, post inquinationem mundari. Si igitur festum agentes martyres honore prosequi voluerimus, hoc laboribus eorum indulgeamus, scilicet ut et ipsi coronemur, quasi peccati dæmonumque victores, et eamdem consequamur gloriam, non eam modo quæ ex hominibus venit, sed et eam quæ futura est, cujus monimenta exigua sunt qui oculis cernuntur quique a nobis martyribus tribuuntur honores. *Non est nobis colluctatio*, juxta Apostolum, *adversus carnem et sanguinem* [46], scilicet adversus homines, sed adversus carnis expertes dæmones, qui *principatus* dicuntur, quasi passionum principes, quibus miseri ultro servimus; *potestates* vero, quippe qui per passiones dominationem in nobis exercent; *rectores mundi*, ut iis imperantes qui terrestria sapiunt. *Spiritus* autem *nequitiæ*, *in cœlestibus*, scilicet in aere volitantes. Dicitur enim et aer, cœlum, quod interpretatus Theologus adjecit, et quæ circa cœlestia feruntur. Certamen igitur ineamus adversus innatum nobis bellum. Ait enim Apostolus [47] esse quamdam in membris nostris peccati legem legi mentis adversantem, naturæ scilicet, efficientemque plerumque sibi mentem captivam subjectamque. Nos quoque instruamus adversus earum, quæ externe accidunt, rerum impetus.

Sustineamus.... ut mitius loquar. — Sustinuerunt, ait, martyres belluas, et gladium, et ignem. Sustineamus et nos, velut belluam, iram; velut præacutum gladium, linguam; velut ignem, voluptatem exstinguamus. Omnes sensus in servitutem addicamus. Apponamus auribus nostris januas, quæ ad divina verba tempestive aperiantur, et ad illecebrosa noxiaque modulamina tempestive clau-

dantur. Regamus oculum, ne per eum in nobis magnum incidat cupiditatis semen; linguam, ne quid vetitum loquamur; tactum rabie laborantem ad inutiles et noxios attactus; gustum deliciarum appetentem et vellicantem. Undique enim refrenandus est petulans, et in esca, et in strato, et in societate, et in oculis, et in auribus, et in gula, atque etiam in naribus. Et quemadmodum boves annulis et funibus, sic et luxuriosus thuribus et unguentis et suavi coronarum odore trahitur. Hoc est quod ait Jeremias [48], quoniam *Ascendit mors per fenestras.* Per sensus enim, sicut per fenestras, in animam ingreditur peccati mors. Præter cætera, risum etiam fugiamus. Et sicut in tertio Regum libro, Eliæ ad Deum accedenti adversus Israel, et dicenti [49]: *Domine, prophetas tuos interfecerunt, et altaria tua everterunt, et ego relictus sum solus, et quærunt animam meam*, respondit oraculum: *Reliqui mihi septem millia virorum, qui non flexerunt genu ante Baal* (idolum autem erat Baal quod Judæi tunc colebant). Neque nos peccato indulgeamus propter penuriam; sed sicut tres pueri auream imaginem, quam statuit Nabuchodonosor, non adoraverunt, sic et nos turbulentam peccati imaginem, a diabolo erectam, ne adoremus. Qui ventrem pro Deo habet voluptatis causa, avaritiam quoque ventri suppeditantem pro Deo habeat necesse est. Qui enim ante Baal genu flexit ob penuriam, scilicet ingluviem, auream quoque imaginem, avaritiam dico, ob metum adoraret; quippe qui non aliam præsentis vitæ causam post aurum novisset. Ne probrum inferamus animæ per improbam vivendi rationem, sed juxta apostolicam adhortationem [50], assumamus scutum fidei, quo omnia diaboli ignita tela restinguere poterimus. Hoc vero bellum, scilicet adversus passiones, grave est, sicut adversus tyrannos; et peccatum devincere, magnum tropæum, sicut et martyrum qui persecutores superaverunt. Quod si sic undique concurrimus ad sanctorum festa, vere martyres colimus; si congredimur ut carnalibus et brevi perituris deliciis fruamur, utque alimenta, quæ mox evacuantur, inferamus, et ut martyrum templa crapulæ et ebrietatis loca efficiamus; si festorum tempus tempus negotiationum ducimus, conventusque nobis fiat ut venalium permutationem faciamus, non ut divinitatem assequamur, cujus mediatores sunt sancti martyres, hortando quidem populum ut ascendat, ac veluti Deus efficiatur; Deum autem rogando, ut inclinet se atque opem ferat: primum quidem, quod id huic tempori conveniat, haud agnosco. *Quid enim paleæ cum tritico?* ait Dominus per Jeremiam [51]. Quid carnis voluptati commune cum martyrum certaminibus? Deinde equidem volo audacius aliquid dicere. Reveritus vero festam hanc diem, blasphemiam reticeo. Cæterum, non delicias et ebrietatem a nobis martyres exposcunt, ut mitius loquar. Sed hic Theologus bla-

ἄσματα. Κυβερνήσωμεν τὸν ὀφθαλμὸν, μήποτε δι' αὐτοῦ ἡμῖν λαῦρον ἐμπέσῃ τῆς ἐπιθυμίας τὸ κύημα· τὴν γλῶτταν, μὴ φθεγξώμεθα μηδὲν ἀπηγορευμένον· τὴν ἀφὴν λυττῶσαν πρὸς τὰς περιέργους καὶ βλαβερὰς ἐπαφάς· τὴν γεῦσιν, λιχνευομένην περὶ τὰ ἡδύσματα καὶ σπαράττουσαν· πάντοθεν γὰρ ἀγωγιμός ἐστιν ὁ ἀκόλαστος, καὶ ἀπὸ ἐδωδῆς, καὶ ἀπὸ στρωμνῆς, καὶ ἀπὸ συναναστροφῆς, καὶ ἀπὸ τῶν ὀφθαλμῶν, καὶ ἀπὸ τῶν ὤτων, καὶ τῶν γνάθων, ἀλλὰ καὶ ἐκ τῶν μυκτήρων. Καὶ καθάπερ οἱ βόες τοῖς κρίκοις καὶ τοῖς σχοινίοις, οὕτω καὶ ὁ ἀκόλαστος θυμιάμασι καὶ μύροις καὶ ταῖς ἀπὸ τῶν στεφάνων εὐωδίαις περιέλκεται· καὶ τοῦτό ἐστιν, ὅ φησιν Ἱερεμίας, ὅτι *Ἀνέβη θάνατος διὰ τῶν θυρίδων*· διὰ γὰρ τῶν αἰσθήσεων, ὡς διὰ θυρίδων, εἰσέρχεται εἰς τὴν ψυχὴν ὁ τῆς ἁμαρτίας θάνατος. Πρὸς τοῖς ἄλλοις, καὶ τὸν γέλωτα φύγωμεν· καὶ ὥσπερ ἐν τῇ τρίτῃ τῶν Βασιλειῶν τῷ Ἠλίᾳ ἐντυγχάνοντι τῷ Θεῷ κατὰ τοῦ Ἰσραὴλ, καὶ λέγοντι, *Κύριε, τοὺς προφήτας σου ἀπέκτειναν, καὶ τὰ θυσιαστήριά σου κατέστρεψαν, κἀγὼ ἀπελείφθην μόνος, καὶ ζητοῦσι τὴν ψυχήν μου*· λέγει ὁ χρηματισμὸς, *Κατέλιπον ἐμαυτῷ ἑπτακισχιλίους ἄνδρας, οἵτινες οὐκ ἔκαμψαν γόνυ τῷ Βάαλ* (εἴδωλον δὲ ἦν ἡ Βάαλ ὑπὸ τῶν Ἰουδαίων τότε τιμώμενον)· οὕτω μηδὲ ἡμεῖς ὑποκύψωμεν τῇ ἁμαρτίᾳ διὰ τὴν χρείαν· ἀλλ' ὥσπερ οἱ τρεῖς παῖδες τῇ εἰκόνι τῇ χρυσῇ, ἣν ἔστησεν ὁ Ναβουχοδονόσορ, οὐ προσεκύνησαν· οὕτω καὶ ἡμεῖς τῷ ἐμπαθεῖ εἰδώλῳ τῆς ἁμαρτίας, ὅπερ ἵστησιν ὁ διάβολος, μὴ προσκυνήσωμεν. Ὁ τὴν κοιλίαν φιληδονίας ἕνεκα θεοποιήσας, ἐξ ἀνάγκης τὴν ταύτης συστατικὸν θεοποιεῖ φιλαργυρίαν· ὁ γὰρ προσκυνήσας τῇ Βάαλ διὰ τὴν χρείαν, τουτέστι τὴν γαστριμαργίαν, καὶ τῇ εἰκόνι τῇ χρυσῇ, τῇ φυλαργυρίᾳ φημὶ, διὰ τὸν φόβον προσκυνήσειεν, αἰτίαν ἄλλην περιποιητικὴν τῆς παρούσης ζωῆς μετὰ τὸν χρυσὸν οὐκ εἰδώς. Μὴ καθυβρίσωμεν τὴν ψυχὴν διὰ κακίας, ἀλλὰ κατὰ τὴν ἀποστολικὴν παραίνεσιν, ἀναλάβωμεν τὸν θυρεὸν τῆς πίστεως, ἐν ᾧ δυνησόμεθα πάντα τὰ βέλη τοῦ Πονηροῦ τὰ πεπυρωμένα σβέσαι. Καὶ οὗτος ὁ πόλεμος, ὁ πρὸς τὰ πάθη, φημὶ, δεινός ἐστιν, ὥσπερ ὁ πρὸς τοὺς τυράννους· καὶ τὸ νικῆσαι τὴν ἁμαρτίαν, μέγα τρόπαιον, ὡς τὸ περιγενέσθαι τῶν διωκόντων οἱ μάρτυρες. Ἐὰν οὕτω πάντοτε συντρέχωμεν εἰς τὰς τῶν ἁγίων ἑορτὰς, ἀληθῶς τιμῶμεν τοὺς μάρτυρας· ἐὰν δὲ συνερχώμεθα, ἵνα τρυφήσωμεν σαρκικῶς καὶ προσκαίρως, καὶ ἵνα τὰ κενούμενα βρώματα εἰσενέγκωμεν, καὶ ἵνα ποιήσωμεν τοὺς ναοὺς τῶν μαρτύρων, χωρία κραιπάλης καὶ μέθης, καὶ ἐὰν τὸν καιρὸν τῶν ἑορτῶν, καιρὸν συναλλαγμάτων ὑπολαμβάνωμεν, καὶ ἡ σύνοδος ἡμῖν γένηται, ἵνα ὠνίων διάμειψιν ποιησώμεθα, οὐχ ἵνα τῆς θεώσεως ἐπιτύχωμεν, ἧς μεσῖται γίνονται οἱ ἅγιοι, τὸν μὲν λαὸν παρακαλοῦντες ἀναβαίνειν καὶ θεοῦσθαι, τὸν δὲ Θεὸν ἱκετεύοντες ἐπικλίνεσθαι καὶ βοηθεῖν, πρῶτον μὲν, οὐδὲ τὸν καιρὸν ἐπιγινώσκω, καιρὸν ἑορτῆς. *Τί γὰρ τὸ ἄχυρον πρὸς τὸν σῖτον;* φησὶν ὁ Κύριος διὰ Ἱερεμίου· τί δὲ κοινὸν τῇ τῆς σαρκὸς

[48] Jerem. IX, 21. [49] III Reg. XIX, 10 sqq. [50] Ephes. VI, 16. [51] Jerem. XXIII, 28.

τρυφῇ πρὸς τοὺς ἀγῶνας τῶν μαρτύρων; Ἔπειτα θέλω μὲν εἰπεῖν τι τολμηρόν· αἰδούμενος δὲ τὴν ἑόρτιον ταύτην ἡμέραν, σιωπῶ τὸ βλάσφημον· πλὴν, οὐ τρυφὴν καὶ μέθην παρ' ἡμῶν ἀπαιτοῦσιν οἱ μάρτυρες, ἵνα μετρίως εἴπω. Ἀλλ' ἐνταῦθα μὲν ὁ Θεολόγος τὴν βλασφημίαν ἐσίγησεν· ἐν δὲ τοῖς θείοις αὐτοῦ ἔπεσιν, αὐτὴν ἐξελάλησεν, εἰπὼν, ὅτι τοῖς δαίμοσιν οἱ πάλαι γαστριζόμενοι καὶ τρυφῶντες ἑόρταζον· οἱ δὲ Χριστιανοὶ τούτων ἐλευθερωθέντες, πνευματικὰς συνόδους τοῖς ἀθλοφόροις συνεστησάμεθα· νῦν δὲ ἀκούσατε, τί φοβοῦμαι, ὦ φιλόκοσμοι καὶ φιλογάστορες· πρὸς τοὺς δαιμονικοὺς αὐτομολεῖτε τύπους, τουτέστιν ἐὰν γαστρίζησθε ἐν ταῖς ἑορταῖς τῶν ἁγίων καὶ ταῖς πανηγύρεσιν, οὐ τοὺς ἁγίους τιμᾶτε, ἀλλὰ τοὺς δαίμονας.

A sphemiam obticuit. In divinis autem ipsius verbis eam protulit, dicens quod olim ventri dediti et luxuriantes, dæmonum festa agebant; Christiani vero, iis liberati, spirituales conventus sanctis athletis constituimus. Nunc autem audite, quid timeo, o mundi vel ventris amatores, ad dæmonica transfugitis exemplaria, id est, si ventri indulgetis in sanctorum festis et solemnitatibus, non sanctos colitis, sed dæmones.

Col. 840 A 6. *Μὴ τοίνυν.... τὴν εὐσέβειαν.* Μὴ ἀνάγνως, φησὶν, ἑορτάζωμεν τὰς ἑορτὰς τῶν ἁγίων· ἀλλ' ὥσπερ πάντα ἡμῖν ἐστι πνευματικὰ, καὶ κατὰ τὸν Σιράχ, *Στολισμὸς ἀνδρὸς, καὶ γέλως ὀδόντων, καὶ βῆμα ποδὸς ἀναγγελεῖ περὶ αὐτοῦ*, εἰς πάντα φθάνοντος τοῦ λόγου, ἤτοι τοῦ εὐαγγελικοῦ, ἢ τοῦ κατὰ τὸ καθῆκον· οὕτω καὶ ἡ ἐν ταῖς ἑορταῖς ἔστω φαιδρότης. Οὐ γὰρ κωλύω τὴν ἐν ταύταις ἄνεσιν, ὥστε καὶ δαψιλεστέραν τῆς συνήθους παραθέσθαι τράπεζαν, καὶ διαχυθῆναι μετρίως, ἀλλὰ κολάζω τὴν ἀμετρίαν, ἥτις πανταχοῦ βλαβερόν ἐστιν. Ἂν οὕτω συνερχώμεθα καὶ οὕτως ἑορτάζωμεν, μέγα μέν ἐστιν εἰπεῖν, ὅτι καὶ ἡμεῖς τῶν αὐτῶν ἐπάθλων τοῖς μάρτυσιν ἐπιτύχωμεν. Τούτοις γὰρ ἐκεῖνα ἀπόκειται, *Ἃ μήτε ὀφθαλμὸς εἶδε*, καθὼς φησιν ὁ Ἀπόστολος, *μήτε οὖς ἤκουσε, μήτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη*. Οὐδὲ γὰρ ἀνθρώπινος νοῦς τῇ εὐκολίᾳ ἐπὶ πάντα φερόμενος καὶ ἀναπλάττων ἐν ἐξουσίᾳ μακαριότητα καὶ εὐδαιμονίαν, ἐκεῖνα τὰ ἀγαθὰ δύναται ἀνατυπώσασθαι, *ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν*, τοῖς δι' αἵματος τελειωθεῖσι καὶ τὴν Χριστοῦ μιμησαμένοις σφαγήν. Τέως δὲ εἰ καὶ τῶν ἴσων βραβείων τοῖς ἀθληταῖς μὴ ἐπιτύχωμεν, ἀλλ' οὖν τὴν δόξαν αὐτῶν ὀψόμεθα καὶ ἀκουσόμεθα καὶ ἡμεῖς· *Εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου*, καὶ τῷ φωτὶ τῆς ἁγίας Τριάδος τελεώτερον ἐλλαμφθησόμεθα, ἣν ὁμολογοῦμεν παρρησίᾳ· καὶ εἴθε ὁμολογοίημεν ἄχρι τελευτῆς, τὴν καλὴν παρακαταθήκην, ἣν παρὰ τῶν ἁγίων Πατέρων ἐλάβομεν, τῶν ἐν Νικαίᾳ συνηθροισμένων, τῶν ἐγγυτέρω τῆς Χριστοῦ παρουσίας καὶ τῆς πρώτης πίστεως τῶν ἀποστόλων. Εἰκότως δὲ Χριστὸν μὲν τὸ μυστήριον τῆς ἐνανθρωπήσεως ὁ Θεολόγος ἐκάλεσε· πρώτην δὲ πίστιν, τὴν θεολογίαν. Ὁ γὰρ μὴ πιστεύσας πρότερον εἶναι Θεὸν, οὐκ ἂν οὐδὲ ἐνανθρωπῆσαι τοῦτον δι' ἡμᾶς πιστεύσειε. Προηγεῖται γὰρ τῆς περὶ ἡμᾶς οἰκονομίας ἡ ἀληθὴς θεολογία.

Ne igitur....... pietatem efferentes. — Ne impure, ait, sanctorum festa celebremus; sed sicut omnia B nobis spiritualia sunt, et juxta Sirach filium [52]: *Indumentum viri, et dentium risus, et pedis incessus de ipso annuntiant*, verbo ad omnia pertingente, sive evangelico, sive ad id quod decet spectante: talis sit et in festis lætitia. Non enim animi relaxationem in eis interdictam volo, adeo ut lautior solito instruatur mensa, et moderata adhibeatur hilaritas; sed eam, quæ modum excedit, reprehendo, velut omni modo noxiam. Si nos ita conveniamus ac festa celebremus, magnum quidem fuerit affirmare nos eadem ac martyres præmia consecuturos. Quos enim hæc manent, *quæ nec oculus vidit*, ut ait Apostolus [53], *nec auris audivit, nec in cor hominis ascendit.* Neque enim humanus intellectus facile ad omnia conversus, et pro potestate beati- C tudinem ac felicitatem fingens, bona illa informare potest, *quæ præparavit Deus diligentibus se*, sanguine perfectis Christique occisionem imitatis. Quod si non eadem atque martyres præmia referamus, gloriam vero eorum videbimus et audiemus nos quoque, *Venite in gaudium Domini mei;* et sanctæ Trinitatis lumine perfectius collustrabimur, quam libere confitemur. Atque utinam usque in finem confiteamur præclarum illud depositum, quod a sanctis Patribus accepimus, Nicææ congregatis, Christi præsentiæ nascentique fidei apostolicæ propioribus! Fortasse autem Christum Incarnationis mysterium Theologus vocavit; primam vero fidem, Theologiam. Qui enim non prius esse Deum crediderit, neque eum pro nobis fuisse in- D carnatum credet. Namque erga nos Providentiam primo in loco ponit vera theologia.

Col. 840 D 1. *Ὁ δὲ Θεός.... αἰώνων. Ἀμήν.* Εἰς εὐχὴν κατακλείει τὸν λόγον ὁ Θεολόγος. Ἔλαβε δὲ τὸ μὲν, ὁ Θεὸς *τῆς εἰρήνης*, ἐκ τοῦ ἁγίου Παύλου· ὁμοίως καὶ τὸ, ὁ καταλλάξας ἡμᾶς ἑαυτῷ διὰ τοῦ σταυροῦ, ἐχθροὺς ὄντας διὰ τῆς ἁμαρτίας. Καὶ τὸ εὐαγγελισάμενος εἰρήνην τοῖς ἐγγὺς καὶ τοῖς μακράν· ὅπερ ὁ ἅγιος Παῦλος ἐκ τοῦ Ἡσαΐου λαβὼν ἡρμήνευσεν, ἐγγὺς μὲν καλέσας τοὺς ὑπὸ νόμον, μακρὰν δὲ, τοὺς ἔξω νόμου. Τὸ δὲ, ὁ τῆς ἀγάπης

Deus autem....... sæculorum. Amen. — Precatione concludit orationem Theologus. Sumpsit autem hæc verba, Deus *pacis*, ex sancto Paulo [54]; pariterque illa [55], qui nos sibi per crucem reconciliavit, cum peccato inimici essemus. Necnon illud [56], faustum pacis nuntium, tum his qui prope erant, tum his qui longe, attulit. Quod quidem sanctus Paulus ex Isaia sumptum interpretatus est, propiores quidem vocans eos qui sub lege

[52] Eccli. xix, 27. [53] I Cor. ii, 9. [54] Rom. xv, 33; xvi, 20; II Cor. xiii, 11, etc. [55] Ephes. ii, 16; Rom. v, 10. [56] Ephes. ii, 17.

erant, remotiores vero, qui extra legem erant. Hoc autem, charitatis Pater, et ipsa charitas, ex Theologo Joanne est. Ait enim ille: *Charitas ex Deo est* [57]; et: *Deus charitas est* [58]. Atque in Evangelio secundum Joannem dicit Dominus [59]: *Mandatum novum do vobis: ut diligatis invicem, sicut dilexi vos.* Vetus quidem mandatum erat se invicem diligere. *Diliges* enim, inquit, *proximum tuum sicut te ipsum* [60]. Sed Dominus novum effecit illud hac mutatione, jubens eos alios diligere super se ipsos, sicut et ipse dilexit nos, et pro nobis morti semetipsum tradidit. Ideoque dixit: *Majorem illa charitatem nemo habet, ut aliquis animam suam ponat pro amicis suis* [61]. Dicens igitur Theologus quod dedit Deus recte atque honeste vim afferre, et recte item propter metum cedere, ad prius propositum sermonem vertere videtur, quoniam ipsi quidem vim intulit magnus Basilius, hoc recte faciens, ut doctrina sua iis qui sub ipso erant prodesset; rursusque ipse vim passus est et vi coactus est ad episcopatum, illudque propter metum. Inobedientiæ enim reformidavit crimen, ita ut cum ratione declinaret et cunctaretur, et rursus cum ratione fiduciam concepit et ordinationem sustinuit. Ac deinde subjiciens Theologus, quod Deus et parvos greges gratia sua magnificat, obiter creditum sibi gregem innuit, Sasimorum scilicet, qui admodum parvus erat, indigensque et angustus. Deinde sumpsit ex Apostolo illud: *Ipse nos consolabitur consolatione multa* [62], id est, sublevabit in magno solatio. Orans vero Deum ut seipsum multa dignetur consolatione, vehementi se propter ordinationem suam mœrore affectum fuisse ostendit. Ideo congruam ab eo consolationem petit. Ex Epistola ad Hebræos desumptum est illud: *Refecit nos in omni opere bono*, scilicet perfecit; ex Davide autem illud: *Sicut lætantium omnium habitatio est in te* [63]; similiterque illud: *Ego in justitia apparebo conspectui tuo: satiabor cum apparuerit gloria tua* [64]. Hic enim splendor justis quasi gustus et pignus est; tunc perfecte accipient et satiabuntur Dei gloria, quam in justitia contemplabuntur, scilicet per virtutem eorum, in Christo Jesu Domino nostro.

A Πατὴρ καὶ ἡ ἀγάπη, ἐκ τοῦ Θεολόγου Ἰωάννου ἐστί. Φησὶ γὰρ ἐκεῖνος· *Ἡ ἀγάπη ἐκ τοῦ Θεοῦ ἐστι*, καὶ, *ὁ Θεὸς ἀγάπη ἐστίν*. Ἐν δὲ τῷ κατὰ Ἰωάννην Εὐαγγελίῳ λέγει ὁ Κύριος· *Ἐντολὴν καινὴν δίδωμι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους, καθὼς ἠγάπησα ὑμᾶς*. Καὶ μὴν παλαιὰ ἦν ἐντολὴ, τὸ ἀγαπᾷν ἀλλήλους. *Ἀγαπήσεις* γὰρ, φησὶ, *τὸν πλησίον σου ὡς ἑαυτόν*. Ἀλλ' ὁ Χριστὸς καινὴν αὐτὴν ἐποίησε τῷ τρόπῳ, κελεύσας ἀλλήλους ἀγαπᾷν ὑπὲρ ἑαυτοὺς, καθὼς καὶ αὐτὸς ἠγάπησεν ἡμᾶς, καὶ ὑπὲρ ἡμῶν εἰς θάνατον ἔδωκεν ἑαυτόν· διὸ καὶ ἔλεγε· *Μείζονα ταύτης ἀγάπην οὐδεὶς ἔχει, ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ*. Εἰπὼν μέντοι ὁ Θεολόγος, ὅτι Ἔδωκεν ὁ Θεὸς καὶ τυραννεῖν καλῶς, καὶ τυραννεῖσθαι διὰ τὸν φόβον, δοκεῖ πρὸς τὴν ἐξ
B ἀρχῆς ὑπόθεσιν τρέπειν τὸν λόγον, ὅτι ἐτυράννησε μὲν αὐτὸν ὁ μέγας Βασίλειος καλῶς τοῦτο ποιῶν, ἵνα ὠφελῶνται διὰ τῆς τούτου διδασκαλίας οἱ ὑπ' αὐτόν· ἐτυραννήθη δὲ πάλιν αὐτὸς καὶ ὑπεκάμφθη βίᾳ πρὸς τὴν ἐπισκοπήν· καὶ τοῦτο, διὰ τὸν φόβον· ἐφοβήθη γὰρ τὸ ἔγκλημα τῆς ἀπειθείας, ὥστε καὶ εὐλόγως παρῃτεῖτο καὶ ἀνεδύετο, καὶ πάλιν μετὰ λόγου ἐθάῤῥησε καὶ ὑπέδυ τὴν χειροτονίαν. Αὖθις δὲ ἐπαγαγὼν ὁ Θεολόγος, ὅτι ὁ Θεὸς καὶ τὰ μικρὰ ποίμνια μεγαλύνει διὰ τῆς αὐτοῦ χάριτος, ἠνίξατο τὸ ἐμπιστευθὲν αὐτῷ ποίμνιον, τὸ τῶν Σασίμων, σφόδρα μικρὸν ὑπάρχον καὶ πενιχρὸν καὶ στενόν· εἶτα ἔλαβεν ἐκ τοῦ Ἀποστόλου τὸ, *Αὐτὸς ἡμᾶς παρακαλέσει παρακλήσει πολλῇ*, τουτέστι παρηγορήσει ἐν μεγάλῃ παραμυθίᾳ. Εὐχόμενος δὲ πολλῆς
C παρακλήσεως ἀξιωθῆναι, ἐμφαίνει, ὅτι πολλὴν λύπην ἔσχεν ἐν τῇ χειροτονίᾳ· διὸ ἀνάλογον ζητεῖ ταύτῃ καὶ τὴν παραμυθίαν. ἐκ τῆς πρὸς Ἑβραίους δὲ εἴληπται καὶ τὸ, *Καταρτίσειεν ἡμᾶς ἐν παντὶ ἔργῳ ἀγαθῷ*, ἤγουν τελειώσειεν Ἐκ δὲ τοῦ Δαυῒδ τὸ, *ὡς εὐφραινομένων πάντων ἡ κατοικία ἐν σοί*· ὁμοίως δὲ τὸ, *Ἐγὼ ἐν δικαιοσύνῃ ὀφθήσομαι τῷ προσώπῳ σου· χορτασθήσομαι ἐν τῷ ὀφθῆναί μοι τὴν δεξιάν σου*. Ἡ γὰρ ἐνταῦθα ἔλλαμψις, οἱονεὶ γεῦμα καὶ ἀῤῥαβών ἐστι τοῖς δικαίοις. Τότε δὲ τέλεον ἀπολήψονται καὶ χορτασθήσονται τῆς τοῦ Θεοῦ δόξης, ἣν θεωρήσουσιν ἐν δικαιοσύνῃ, τουτέστι διὰ τὴν ἀρετὴν αὐτῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

[57] I Joan. IV, 7. [58] ibid. 8. [59] Joan. XIII, 34. [60] Levit. XIX, 18. [61] Joan. XV, 13. [62] II Cor. I, 4. [63] Psal. LXXXVI, 7. [64] Psal. XVI, 15.

ΝΟΝΝΟΥ ΣΥΝΑΓΩΓΗ ΚΑΙ ΕΞΗΓΗΣΙΣ

ΩΝ ΕΜΝΗΣΘΗ ΙΣΤΟΡΙΩΝ

Ο ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΗΡ ΗΜΩΝ ΓΡΗΓΟΡΙΟΣ

ΤΩΝ ΕΝ ΤΩ ΠΡΩΤΩ ΣΤΗΛΙΤΕΥΤΙΚΩ.

—

NONNI COLLECTIO ET EXPOSITIO

HISTORIARUM

QUARUM S. P. N. GREGORIUS MEMINIT IN PRIORE INVECTIVA ADVERSUS JULIANUM IMP.

(Ex libro cui titulus : *S. Gregorii Nazianzeni in Julianum invectivæ duæ cum scholiis Græcis nunc primum editis Omnia ex bibliotheca clariss. viri D. Henrici Savilii edidit Montagu Etonæ* 1610, in 4°.)

—

(1) Ὁ λόγος ὁ στηλιτευτικὸς, ψόγος ἐστὶ τῶν Ἰουλιανῷ A πεπραγμένων. Διαφέρει δὲ ψόγου ὁ στηλιτευτικὸς, ὅτι ὁ μὲν ψόγος, διὰ τῶν ἐγκωμιαστικῶν κεφαλαίων προέρχεται, οἷον γένους, ἀνατροφῆς, πράξεων, συγκρίσεως· (2) στηλιτευτικὸς δὲ εἴρηται ἀπὸ μεταφορᾶς τῆς στήλης· στήλη δέ ἐστιν, ἢ λίθος, ἢ χαλκὸς, ἐν ἐπιμήκει τετραγώνῳ σχήματι, ἐν ᾗ (3) ἐγγέγραπται ἡ τοῦ στηλιτευομένου ὕβρις. Οἷον Ἀθηναῖοι τὸν Ζηλείτην Ἄρθμιον, τὸν διαφθείροντα τοὺς Ἕλληνας χρήμασιν, ἐπὶ τῷ μᾶλλον ὑπακοῦσαι τῷ Πέρσῃ, ἐν στήλῃ ἀνέγραψαν, ἀτιμώσαντες καὶ αὐτὸν καὶ ἅπαν τὸ γένος αὐτοῦ, ἐξουσίαν δεδωκότες ἐν τοῖς γράμμασι τῷ βουλομένῳ αὐτὸν ἀποκτεῖναι, ἐγγράψαντες καὶ τὴν αἰτίαν ἐν αὐτῇ τῇ στήλῃ, ἥτις ἦν αὐτῷ τῷ Ἀρθμίῳ ψόγος· Ὅτι, φησὶ, τὸν χρυσὸν τὸν ἐκ τῶν Μήδων εἰς Πελοπόννησον ἤγαγεν. Εἰδέναι δὲ χρὴ, ὅτι πολλάκις, B καὶ εὐεργετῶν αἱ εὐεργεσίαι ἐν ταῖς στήλαις ἀνεγράφοντο, ὥσπερ (4) ἡ τοῦ Λεύκωνος, τοῦ ἄρχοντος Βοσπόρου ἀνεγράφη ἐν Ἀθήναις. Καὶ ἡ μὲν ὑπόθεσις αὕτη· περὶ δὲ τῶν *Ἱστοριῶν* ὡς οἷόν τε, διὰ βραχυτάτων ἐπιμνησθησόμεθα.

(5) Oratio hæc invectiva (quam στηλιτευτικὴν Græci vocant) vituperatio est rerum a Juliano gestarum. Hoc autem differt invectiva oratio a vituperatrice, quod in vituperatione oratio per demonstrativi generis capita progrediatur, ut per genus, educationem, actiones, comparationem ; in invectiva autem, solum per res gestas, aut etiam, si ita res tulerit, per comparationem. Steliteuticum autem hoc dicendi genus nuncupatur, translatione ducta ἀπὸ τῆς στήλης, id est *a columna*. Est porro columna lapis aut æs oblongum quadrata figura in quo inscribitur ejus, qui invectiva oratione proscinditur, contumelia. Verbi gratia, Athenienses Zeliten, qui Græcos pecuniis corruptos eo adduxerat, ut Persarum regi parere quam liberi esse mallent, in columna insculpserunt, eum cum toto genere ignominia notantes, atque ipsius obtruncandi licentiam publico edicto cuivis concedentes, causamque in columna inscribentes, quod e Media aurum in Peloponnesum attulisset. Scire autem est operæ pretium, quod eorum quoque, qui de republica præclare meriti fuerant, beneficia in columnam incidebantur. Sic egregia Leuconis et Bosphori in Rempublicam merita Athenis insculpta sunt. Hæc de orationis hujus inscriptione. Nunc ad historias veniamus, easque, quam brevissime fieri poterit, explicemus.

α'. Περὶ Ἐμπεδοκλέους καὶ Ἀρισταίου, καὶ Ἐμπεδοτίμου, καὶ Τροφωνίου.

Ὁ μὲν Ἐμπεδοκλῆς Σικελιώτης ἦν τὸ γένος, Πυθαγόρειος δὲ τὴν φιλοσοφίαν. Βουλόμενος δὲ κενοδο- C ξῆσαι, ὡς ὅτι ἀνιερώθη καὶ μετάρσιος γέγονεν εἰς

1. *De Empedocle, Aristæo, Empedotimo et Trophonio.*

Empedocles, genere Siculus, fuit Pythagoricæ philosophiæ sectator. Hic inanis gloriæ cupiditate inflammatus, quasi sublimis in cœlum raptus, atque

(1) Demosth. *Φιλ. γ'.*

(2) Supple ex Anonymo *ad orationem I in Julianum* infra : Ὁ δὲ στηλιτευτικὸς διὰ τῶν πράξεων μόνον· εἰ τύχοι δὲ καὶ συγκρίσεως, quæ propter homœoteleuton sunt omissa et legit interpres.

(3) Anonym. ᾧ.

(4) Anonym. ὕβρις. εἰδέναι δὲ χρὴ .... ἀνεγράφοντο, omissis intermediis et quæ sequuntur usque ad finem Prologi.

(5) Textus Latinus is est quem dedit Billius in sua editione Operum Gregorii Naz. Ex diverso exemplari prodiit, ut patet, et in multis discordat a Græco Nonni. Nihil tamen mutamus ut exemplaris utriusque lectio servetur

in deorum immortalium numerum ascitus et consecratus esset, in Ætnæ ignem sese conjecit. Hic porro ignis Vulcani crateres, hoc est foramina appellatur. Sic miser vi flammæ absumptus interiit. At vero Deus hujusmodi exitium inanis gloriæ desiderio contractum in publicum proferre volens, effecit ut ad convincendam eorum, qui vano famæ studio flagrarent, stultitiam, calceus ipsius ex igne incolumis egereretur. Atque ita perspicuum omnibus factum est, eum divinitatem haudquaquam adeptum fuisse, verum per inanem gloriæ amorem omnino exarsisse. Trophonius autem, Aristæus, et Empedotimus Lebadia Bœotiæ urbe orti sunt, vaticinandique artem coluerunt : qui etiam inanis famæ studio incensi, ac divinitatis opinionem sibi apud homines conciliare cupientes, in specus quasdam se præcipites dederunt, ut prorsus de medio tollerentur, nec quidquam ex corporis eorum reliquiis inveniri posset. Hic eorum fuit exitus. Cæterum cognitum est eos illic mortem obiisse, quod circa hunc locum oraculum exstiterit. Est autem proverbium, in Trophonii specum oraculi causa proficisci, de hominibus pallidis atque a risu abhorrentibus. Quisquis enim ad oraculum illud se conferebat, tristis perpetuoque pallore affectus recedebat. Quod quidem argumento erat hos vates pallore confectos nec in subterraneo hujusmodi loco in risum unquam solutos interiisse. Trophonius porro et Agamedes, ipsius germanus, divinandi arte donati sunt, quod pecuniis suis templum Apollinis Delphicum exstruxissent.

A οὐρανούς, ἔβαλεν ἑαυτὸν ἐν τῷ ἀναδιδομένῳ πυρὶ τῆς Αἴτνης. Τοῦτο δὲ τὸ πῦρ λέγεται, *οἱ τοῦ Ἡφαίστου κρατῆρες*. Καὶ αὐτὸς μὲν ἀπώλετο ὑπὸ τοῦ πυρός. Ὁ δὲ Θεὸς βουλόμενος δημοσιεῦσαι αὐτοῦ τὴν κενοδοξίαν, τὸ σάνδαλον αὐτοῦ ἀποπτυσθῆναι σῶον ἐκ τοῦ πυρὸς ἐποίησε. Καὶ οὕτως ἐγνώσθη πᾶσιν, ὅτι Θεὸς μὲν οὐ γέγονε, κατεκάη δὲ εἰς τέλος ἀξίως τῆς οἰκείας κενοδοξίας. Οἱ δὲ περὶ τὸν Τροφώνιον καὶ Ἐμπεδότιμον καὶ Ἀρισταῖον ὑπῆρχον μὲν ἐκ τῆς Βοιωτίας, πόλεως Λεβαδίας, μάντεις δὲ ταῖς τέχναις· καὶ οὗτοι βουλόμενοι κενοδοξῆσαι καὶ δεῖξαι, ὅτι ἀνελήφθησαν, ἑαυτοὺς ἔν τισιν ὑποβρυχίοις σπηλαίοις ἔβαλον, ἐπὶ τῷ τεθνάναι, καὶ μὴ εὑρεθῆναι αὐτῶν τὰ λείψανα. Οὗτοι δὲ τεθνήκασιν· ἐγνώσθησαν δὲ ὅτι ἐκεῖσε ἀπέθανον, διὰ τὸ μαντεῖον φανῆναι περὶ τὸν τόπον. Ἔστι δέ τις παρ-
B οιμία ἡ λέγουσα· *Εἰς Τροφωνίου μεμάντευσαι.* Λέγεται δὲ ἐπὶ τῶν ὠχριώντων, καὶ μηδέποτε γελώντων. Πᾶς γὰρ ὁ καταβαίνων εἰς τὸ μαντεῖον ἐκεῖνο, ἀγέλαστος ἀνῄει καὶ ὠχριῶν διηνεκῶς. Ἔλεγχος δὲ ἦν οὗτος αὐτῶν τούτων, ὅτι ὠχριάσαντες, καὶ μηδέποτε ἐν τῷ ὑποβρυχίῳ γελάσαντες τεθνήκασιν. Ἠξιώθησαν δὲ ὁ Τροφώνιος καὶ Ἀγαμήδης ὁ ἀδελφὸς αὐτοῦ μαντεύεσθαι, διὰ τὸ κτίσαι αὐτοὺς ἀπὸ οἰκείων χρημάτων τὸ ἱερὸν τὸ ἐν Δελφοῖς τοῦ Ἀπόλλωνος.

2. *De Proteo.*

Hic Proteus genere Thrax erat, filiosque habuit Molum et Telegonum : qui cum loca omnia latrociniis infesta tenerent, ab Hercule propter Geryonis boves illac iter faciente interempti sunt. Proteus igitur ob filiorum amissionem luctu perditus ac desperatione fractus in mare præcipitem se dedit, ac deorum miseratione immortalitatem est consecutus, marinusque dæmon effectus est, atque in Pharia insula domicilium sibi fixit. Hic etiam cum phocis versari dicitur. Idem Alexandri Helenam, cum a Græcia Trojam navigaret, accepit, ipsique inane Helenæ simulacrum dedit. Postea autem cum Menelaus confecto bello Trojano Helenam in Ægypto esse rescivisset, atque ad Proteum se contulisset, eam ab eo accepit. Hac porro facultate præditus esse Proteus credebatur, ut quoties a quibusdam adiretur, sese transformaret, ac nunc hoc, nunc illud efficeretur.

β'. *Περὶ τοῦ Πρωτέως.*

Οὗτος ὁ Πρωτεὺς Αἰγύπτιος μὲν ἦν τὸ γένος· εἶχε
C δὲ δύο υἱούς, Μῶλον καὶ Τηλέγονον. Τούτους λῃστὰς ὄντας ὁ Ἡρακλῆς ἐλθὼν ἀπέκτεινεν ἀπερχόμενος διὰ τοὺς Γηρυόνου βοῦς. Τοῦτον οὖν ἀθυμοῦντα τὸν Πρωτέα διὰ τὴν ἀποβολὴν τῶν τέκνων, καὶ ῥίψαντα ἑαυτὸν εἰς θάλασσαν, οἱ θεοὶ ἐλεήσαντες ἀπηθανάτισαν· καὶ γέγονε δαίμων θαλάττιος καὶ ἔρχεται καὶ οἰκεῖ τὴν Φαρίαν νῆσον. Οὗτος λέγεται καὶ μετὰ τῶν φωκῶν ἐνδιαιτᾶσθαι. Οὗτος καὶ τοῦ Ἀλεξάνδρου τὴν Ἑλένην ἔλαβεν ἐλθόντος ἀπὸ τῆς Ἑλλάδος, καὶ δέδωκεν αὐτῷ τὸ εἴδωλον τῆς Ἑλένης. Ὕστερον δὲ Μενελάου μετὰ τὸν Τρωϊκὸν πόλεμον μαθόντος, ὡς εἰς Αἴγυπτόν ἐστιν ἡ Ἑλένη, καὶ ἐλθόντος παρὰ τὸν Πρωτέα, δέδωκεν αὐτὴν αὐτῷ. Λέγεται δὲ οὗτος ὁ Πρωτεὺς μεταμορφοῦσθαι πρὸς τοὺς ἐντυγχάνοντας, καὶ ποτὲ μὲν φαί-
D νεσθαι τοιόσδε, ποτὲ δὲ τοιόσδε.

3. *De Hercule et incendio.*

Crebro sermone jactatur, Herculem Jovis et Alcmenæ filium præstanti virtute heroem duodecim certamina confecisse. De ipsius autem incendio et conflagratione hæc memoriæ prodita sunt. Uxorem habebat nomine Dejaniram, quam superato rivali Acheloo ab Œneo acceperat, ex eaque Hyllum procreavit. Hanc ergo Dejaniram cum in patriam suam duceret, Nessus Hippocentaurus ad ipsius aspectum amore exarsit, atque in flumine quodam cum ea congredi tentavit. Quod cum Hercules intellexisset, sagittæ ictu eum oppressit. Moriens autem ille

γ'. *Περὶ Ἡρακλέους καὶ τῆς πυρᾶς αὐτοῦ.*

Πολὺς μὲν ὁ λόγος θρυλλεῖ τὸν Ἡρακλέα, ὅτι υἱὸς ὢν τοῦ Διὸς καὶ Ἀλκμήνης, ἥρως τε ὤν, τοὺς δώδεκα ἄθλους ἐξήνυσεν. Ἡ δὲ νῦν ἐν τῷδε τῷ χωρίῳ περὶ τῆς πυρᾶς ἱστορία ἐστὶν αὕτη· Οὗτος ὁ Ἡρακλῆς εἶχε γυναῖκα ὀνόματι Δηϊάνειραν, ἣν ἔλαβεν ἐξ Οἰνέως, ἀντεραστὴς γενόμενος Ἀχελώῳ τῷ ποταμῷ· ἐξ ἧς ἔτεκε καὶ τὸν Ὕλλον. Ταύτην τοίνυν τὴν Δηϊάνειραν, ἅμα τῷ λαβεῖν καὶ ἀποφέρειν ἐν τῇ οἰκείᾳ πατρίδι, ἰδὼν ὁ Νέσσος εἷς τῶν Ἱπποκενταύρων, ἠράσθη αὐτῆς, καὶ κατά τινα ποταμὸν ἠβουλήθη αὐτῇ συγγενέσθαι. Ὁ οὖν Ἡρακλῆς μαθών, κατατοξεύει τὸν

Νέσσον. Ἀποθνήσκων δὲ ἐκεῖνος, ἐκ τοῦ αἵματος ἑαυτοῦ δίδωσι τῇ Δηϊανείρᾳ, ὑπειπών τε καὶ ἀπατήσας, ὅτι Ἔσται σοι τοῦτο τὸ αἷμα πρὸς φίλτρον τοῦ Ἡρακλέους· ἵνα, φησὶν, ἐὰν μάθῃς, ὅτι ἄλλης ἐρᾷ, χρίσῃς ἐκ τοῦ αἵματος τούτου τὸ ἔνδυμα τοῦ Ἡρακλέους, καὶ μεθιστᾷς αὐτὸν εἰς τὸν ἑαυτῆς πόθον. Τοῦτο οὖν τὸ αἷμα εἶχεν ἡ Δηϊάνειρα. Τοῦ οὖν Ἡρακλέους τῆς Ἰόλης τῆς τοῦ Εὐρύτου θυγατρὸς ἐρασθέντος καὶ λαβόντος, καὶ διὰ τοῦ Λίχα πέμψαντος αὐτὴν ὡς αἰχμάλωτον πρὸς τὴν Δηϊάνειραν, εἰς ἔννοιαν καὶ ζηλοτυπίαν ἐκινήθη ἡ Δηϊάνειρα, καὶ βουληθεῖσα τὸν ἔρωτα μεταστῆσαι εἰς ἑαυτὴν, τὸν χιτῶνα τοῦ Ἡρακλέους χρίει τῷ αἵματι τοῦ Νέσσου, καὶ δίδωσιν ἐνδύσασθαι τῷ Ἡρακλεῖ· τὸ δὲ ἦν ἀνδροφόνον τὸ αἷμα. Ἐνδυσαμένου γὰρ τοῦ Ἡρακλέους, ὑφῆψεν ὁ χιτὼν, καὶ κατέφλεξεν αὐτόν· ὁ δὲ καιόμενος καὶ ῥίψας ἑαυτὸν ἐν τῷ πλησίον ποταμῷ, θερμὸν τὸ ὕδωρ ἐποίησεν· ἐξ οὗ λοιπὸν γεγόνασιν αἱ Θερμοπύλαι, μεταξὺ Θετταλίας καὶ Φωκίδος.

δ'. Περὶ τῆς Πέλοπος κρεουργίας (1).

Τάνταλος Φρυγίας ἦν βασιλεύς· οὗτος γεννᾷ τὸν Πέλοπα. Τούτῳ τῷ Ταντάλῳ ποτὲ οἱ θεοὶ ἐπεξενώθησαν. Λαβὼν οὖν τὸν Πέλοπα τὸν ἴδιον υἱὸν ὁ Τάνταλος, κατασφάττει, καὶ κρεουργεῖ, καὶ ἕψει, καὶ παρατίθησιν εὐωχίαν τοῖς θεοῖς. Τούτων δὲ τῶν κρεῶν, ἡ Δημήτηρ βαλοῦσα χεῖρα, ἔλαβε καὶ ἔφαγεν ἀπὸ τοῦ ὤμου· οἱ δὲ ἄλλοι θεοὶ ἐλεήσαντες τὸν Τάνταλον, καὶ θαυμάσαντες ὅτι τοῦ παιδὸς αὐτοῦ κατεφρόνησε, συντιθέασι τὰ κρέα, καὶ ἀποτελοῦσι σῶον τὸν Πέλοπα. Ἦν δὲ λεῖπον ἐκεῖνο ὃ ἔφαγεν ἐκ τοῦ ὤμου ἡ Δημήτηρ. Προσθέντες οὖν ἐλεφάντινόν τι κατὰ τὸν ὦμον, ἐπλήρωσαν σῶον τὸν Πέλοπα. Οὕτω οὖν λοιπὸν ἅπαν τὸ Πελοπιδῶν γένος ἐκ τούτου ἦν ἐπίσημον, ἐχόντων πάντων ἐν τοῖς ὤμοις τὸν ἐλεφάντινον τόπον.

ε'. Περὶ τῆς τῶν Φρυγῶν ἐκτομῆς.

Κατὰ τὴν Φρυγίαν ἐσέβοντο τὴν μητέρα τῶν θεῶν τὴν Ῥέαν ὑπὲρ πάντα θεόν. Ταύτῃ οὖν τὰς τελετὰς ποιοῦντες οἱ Φρύγες, κατέτεμνον ἑαυτοὺς μαχαίραις, οὐκ ἀποκτεῖναι ἐθέλοντες, ἀλλὰ μόνον αἱμάξαι. Τοῦτο δὲ ἐποίουν κηλούμενοι αὐλοῖς, ἵνα ἀπόνως φέρωσι πληττόμενοι. Μετὰ δὲ τὰς πληγὰς, πρὸς ἀκαθάρτους μίξεις ἐχώρουν, γυναικῶν δὴ λέγω, οὐκ ἀνδρῶν.

ϛ'. Περὶ τοῦ Μίθρου.

(2) Ὁ τοίνυν Μίθρας νομίζεται παρὰ Πέρσαις εἶναι ὁ ἥλιος, καὶ θυσιάζουσιν αὐτῷ, καὶ τελοῦσί τινας τελετὰς εἰς αὐτόν. Οὐ δύναται οὖν τις εἰς αὐτὸν τελεσθῆναι, εἰ μὴ πρότερον διὰ τῶν βαθμῶν τῶν κολάσεων παρέλθοι. Βαθμοὶ δέ εἰσι κολάσεων, τὸν μὲν ἀριθμὸν ὀγδοήκοντα, ἔχοντες δὲ ὑπόβασιν καὶ ἀνάβασιν. Κολάζονται γὰρ πρῶτον τὰς ἐλαφροτέρας, εἶτα τὰς δραστικωτέρας· καὶ εἶθ' οὕτω μετὰ τὸ παρελθεῖν διὰ πασῶν τῶν κολάσεων, τότε τελεῖται ὁ τελούμενος. Αἱ δὲ κολάσεις εἰσὶ, τὸ διὰ πυρὸς παρελθεῖν, τὸ διὰ κρύους, διὰ πείνης καὶ δίψης, διὰ ὁδοιπορίας πολλῆς, καὶ ἁπλῶς διὰ πασῶν τῶν τοιούτων.

ζ'. Περὶ τῆς ἐν Ταύροις ξενοκτονίας.

Ταῦροι ἔθνος ἐστὶ περὶ τὴν Σκυθίαν. Ἐν τούτοις μετετέθη ὑπὸ τῆς Ἀρτέμιδος ἡ θυγάτηρ Ἀγαμέμνο-

(1) Scholium hoc omittitur in editione Billii.

A cruorem suum Dejaniræ impertit, fraudulento animo subflatus, ei ad sui amore inflammandum Herculem hunc cruorem adjumento fore, ut si quando, inquit, eum mulieris alterius amore flagrare senseris, hoc sanguine vestem ipsius tingas, atque ita ipsius amorem ad te revoces. Dejanira ergo hunc cruorem asservabat. Cumque Hercules Iolam quam misere deperibat, accepisset, eamque per Lichen velut captivam, ad Dejaniram misisset, zelotypia percita, Herculisque amorem ad se revocare cupiens, ipsius vestem Nessi sanguine delibutam ipsi induendam dedit. Exitiosus porro erat hic cruor. Cum ergo hujusmodi vestem Hercules induisset, statim succensus atque exustus est. In hac autem conflagratione cum in propinquum amnem
B se conjecisset, calidam aquam effecit. Ex quo deinceps exstiterunt Thermopylæ inter Thessaliam et Phocidem.

4. De Pelopis laniatione.

Tantalus rex erat Phrygiæ. Pelopem genuit. Ab hoc Tantalo dii quondam hospitio recepti sunt. Sumens ergo filium suum Pelopem Tantalus, mactat, laniat, coquit apponitque diis in cibum. Ceres cum manu ex hoc cibo sumpsisset, ex humero comedit. Cæteri autem dii, misericordia commoti admiratique quod Tantalus proprio filio non pepercisset, carnes conjungunt salvumque Pelopem
C faciunt. Deerat autem hoc frustum ex humero quod comederat Ceres. Addentes ergo dii aliquid eboris humero Pelopem integrum restituerunt. Ideo nunc genus Pelopidum ex hoc deinceps fuit insignitum, omnibus in humero habentibus locum eburneum.

5. De Phrygum exsectione.

In Phrygia præ cæteris diis colebatur Rhea mater deorum. In hujus ergo sacris Phryges cultris seipsos incidebant, non ut sibi necem afferrent, sed ut sanguinem duntaxat extraherent. Hoc autem cum faciebant, tibiis deliniebantur, ut ictus sine doloris sensu perferrent. Post plagas vero ad impuros et nefarios concubitus ruebant, mulierum dico, non virorum.

D *6. De Mithra.*

Hic Mithra apud Persas sol esse existimatur, eique victimas immolant, ac sacra quædam in ipsius honorem faciunt. Nullus porro ipsius sacris initiari potest, nisi prius per quasdam suppliciorum gradus transierit. Sunt autem tormentorum gradus octoginta, partim remissiores, partim intentiores. Primum enim levioribus suppliciis, deinde acrioribus afficiuntur, atque ita post decursa omnia tormenta ipsius sacris imbuuntur. Igni quippe et aqua atque hujusmodi suppliciorum generibus excruciantur.

7. De hospitum cæde apud Tauros

Tauri populi sunt circa Scythiam. Apud eos a Diana translata est Iphigenia Agamemnonis filia,

(2) Similia num. 47 infra.

cum in Aulide jam jamque a Græcis mactanda esset, nisi ipsi dea vicarium cervum pro victima supposuisset. Cum ergo Iphigenia apud Tauros esset, ne ab hospitibus, qui eo appellebant, agnosceretur, idcirco eos Dianæ immolari permittebat. Atque hæc est hospitum cædes, cujus mentionem Gregorius facit. Postea autem cum Orestes ab Erynnibus perterrefactus atque agitatus ad Tauros perrexisset, atque ad necem velut hospes arreptus, Iphigeniæque ut sacerdoti oblatus fuisset, per eburneum humerum ab ea agnitus est, liberque dimissus. Atque ipse deinceps acceptam sororem in Græciam reduxit.

A νος ἡ Ἰφιγένεια, ἐν τῷ μέλλειν αὐτὴν θύεσθαι ὑπὲρ τῶν Ἑλλήνων ἐν τῇ Αὐλίδι· ὑπὲρ ἧς ἔλαφον ἡ θεὸς ἀμείψασα, δέδωκε θῦσαι. Αὕτη οὖν ἡ Ἰφιγένεια, οὖσα ἐν τοῖς Ταύροις, διὰ τὸ μὴ ἐπιγνωσθῆναι παρὰ τῶν ἐπιξενουμένων, τίς ἐστιν, ἐτέτρεπε θύειν αὐτοὺς τῇ Ἀρτέμιδι· καὶ αὕτη ἦν ἡ ξενοκτονία, ἣν λέγει ὁ θεῖος Γρηγόριος. Ὕστερον δὲ ὁ Ὀρέστης δειματούμενος ὑπὸ τῶν Ἐριννύων, καὶ ἐλθὼν παρὰ τοῖς Ταύροις, καὶ συλληφθεὶς ὡς ξένος ἐπ' ἀναιρέσει, καὶ προσενεχθεὶς ὡς ἱερείᾳ τῇ Ἰφιγενείᾳ, ἐπεγνώσθη διὰ τοῦ ἐλεφαντίνου ὤμου καὶ ἀφείθη τῆς θυσίας· οὕτω λοιπὸν λαβὼν ὁ Ὀρέστης τὴν ἰδίαν ἀδελφὴν, λέγω δὴ τὴν Ἰφιγένειαν, κομίζει εἰς τὴν Ἑλλάδα.

8. *De mactatione regiæ puellæ apud Trojam.*

Cum Achilles, Polyxenam Priami filiam in matrimonium accipere cupiens, Trojam ingressus esset, a Paride in Apollinis templo ex insidiis obtruncatus est. Postmodum autem Pyrrho filio suo ad virilem ætatem pervecto in somnis apparuit, ostenditque necesse esse Polyxenam, quæ ei mortis causam attulerat, sibi immolari. Pyrrhus itaque eam parta victoria acceptam ad Achillis patris tumulum jugulavit.

η'. *Περὶ τῆς ἐπὶ Τροίαν θυσίας τῆς βασιλικῆς κόρης.*

B Πολυξένη ἐστὶ θυγάτηρ Πριάμου, ἣν ὁ Ἀχιλλεὺς βουληθεὶς γῆμαι, εἰσῆλθεν ἐν τῇ Τροίᾳ· καὶ κατὰ λόχον τινὰ τοξεύεται ὑπὸ Πάριδος ἐν τῷ ναῷ τοῦ Ἀπόλλωνος, καὶ ἀποθνήσκει· ἐν ὑστέρῳ δὲ χρόνῳ ἀνδρωθέντι Πύῤῥῳ τῷ υἱῷ αὐτοῦ, ἐφαίνη κατ' ὄναρ, δεῖν αὐτῷ τυθῆναι τὴν Πολυξένην δι' ἣν ἀπώλετο. Καὶ ὁ Πύῤῥος ὢν ἐν Τροίᾳ, καὶ πυρπολήσας τὸ Ἴλιον, ταύτην μετὰ τὴν νίκην λαβὼν, σφάττει ἐπὶ τῷ τάφῳ τοῦ Ἀχιλλέως τοῦ οἰκείου πατρός.

9. *De Menœceo.*

Menœceus Creontis Thebarum regis filius erat. Cum ergo septem duces Thebis bellum intulissent, oraculum edidit Tiresias vates, fore ut statim bellum conficeretur, ac victoria penes Thebanos esset, si quispiam regii sanguinis atque indigenarum ex serpentis dentibus enatorum sese ultro morti offerret. Quocirca ille inscio patre ac veste mutata in confertam hostium aciem impetum fecit, ab iisque interemptus est.

θ'. *Περὶ τοῦ Μενοικέως.*

Ὁ Μενοικεὺς Κρέοντος ἦν υἱὸς, βασιλέως Θηβῶν. Πολεμουμένης οὖν τῆς ἰδίας πατρίδος τῶν Θηβῶν, ὑπὸ τῶν ἑπτὰ στρατηγῶν, ἐχρησμῴδησε Τειρεσίας μάντις ὢν παραυτίκα παύσεσθαι τὸν πόλεμον, καὶ C ἔσεσθαι αὐτοῖς νίκην, εἰ τοῦ βασιλικοῦ γένους τῶν αὐτοχθόνων, τῶν ἀναδοθέντων ἐκ τῶν ὀδόντων τοῦ δράκοντος, τὶς ἑαυτὸν δῷ πρὸς ἀναίρεσιν. Μαθὼν τοῦτο ὁ Μενοικεὺς, καὶ θέλων ἐλευθερῶσαι τῆς πολιορκίας τὴν πόλιν, δέδωκεν ἑαυτὸν πρὸς ἀναίρεσιν, δίχα τοῦ πατρὸς αὐτοῦ Κρέοντος.

10. *De filiabus Scedasi.*

Peloponnesiaco bello cum Lacedæmonii Athenienses vi atque armis superassent, socios quoque suos bello lacessendos sibi putarunt. Atque expeditione adversus Thebanos suscepta, priusquam castra urbi admovissent, in Leuctris Thebanorum urbe inito prælio fusi ac profligati sunt, cum dux Thebanorum Epaminondas insignem in eo certamine operam navasset. Hæc autem clades Lacedæmoniis ob hujusmodi causam in Leuctris accidit: Scedasus Leuctrensis tres filias habebat. Quidam autem Lacedæmonii olim ab ipsis hospitio excepti puellas constuprarunt. Ac metuentes, ne patri suo illæ acceptam injuriam narrarent, manus ipsis intulerunt. Reversus ergo in patriam Scedasus, re cognita, diris omnibus Lacedæmonios ad ipsum filiarum sepulcrum devovit, miseraque omnia imprecatus est. Ac proinde Lacedæmonii apud Leuctra rem infeliciter gesserunt.

ι'. *Περὶ τῶν Σκεδάσου θυγατέρων.*

Οἱ Λακεδαιμόνιοι ἐν τῷ Πελοποννησιακῷ πολέμῳ, μετὰ τὸ κατακράτος νικῆσαι τοὺς Ἀθηναίους, ἠβουλήθησαν καὶ τοὺς ἰδίους συμμάχους πολεμῆσαι· καὶ ὁρμήσαντες κατὰ Θηβαίων, πρὶν προσεγγίσαι τῇ πόλει, γενόμενοι ἐν Λεύκτροις (πόλις δὲ αὕτη Θηβῶν), συμβαλόντες ἡττήθησαν, Ἐπαμινώνδου στρατηγοῦ Θηβαίων εὐδοκιμήσαντος. Τὸ δὲ πάθος τοῖς Λακεδαιμονίοις γέγονεν ἐν Λεύκτροις ἐξ αἰτίας D τοιαύτης· Σκέδασος Λευκτραῖος ὢν, εἶχε τρεῖς θυγατέρας. Τινὲς δὲ τῶν Λακεδαιμονίων πάλαι παρ' αὐταῖς ἐπιξενωθέντες, μίξει τὰς κόρας ἐνύβρισαν· φοβηθέντες οὖν οἱ Λακεδαιμόνιοι, μήπως δημοσιεύσωσι τῷ ἰδίῳ πατρὶ τὴν ἀσέλγειαν, ἀναιροῦσιν αὐτάς. Ἐπανελθὼν δὲ ἐν τῇ ἰδίᾳ πόλει τοῖς Λεύκτροις ὁ Σκέδασος, καὶ μαθὼν τὸ γεγονὸς, κατηράσατο πᾶσι Λακεδαιμονίοις, παρ' αὐτὸν τὸν τάφον τῶν θυγατέρων αὐτοῦ, ἀτυχῆσαι. Διὸ καὶ ἡ ἀτυχία ἔφθασεν ἐν Λεύκτροις τοὺς Λακεδαιμονίους.

11. *De Laconicis adolescentibus.*

Lacedæmonii cum cives suos ac liberos fortitudine ac tolerantia excellere cuperent: verberibus eos exercebant, eique qui dolores fortius pertulisset, præmium persolvebant.

ια'. *Περὶ τῶν Λακωνικῶν ἐφήβων.*

Οἱ Λακεδαιμόνιοι βουλόμενοι καρτερικοὺς καὶ ἀνδρείους εἶναι τοὺς ἑαυτῶν πολίτας καὶ παῖδας, ἐγύμναζον ταῖς μαστιγώσεσι, καὶ τῷ ἐπὶ πλέον καρτεροῦντι ἆθλον ἐδίδοτο.

ιβ'. *Περὶ τῆς Ἀρτέμιδος.*

Τὸ δὲ κατὰ τὴν Ἄρτεμιν, αὕτη παρθένος οὖσα καὶ σώφρων ἡ θεὸς, ἔχαιρε τοῖς αἵμασι τῆς ξενοκτονίας τιμᾶσθαι.

ιγ'. *Περὶ τοῦ κωνείου τοῦ Σωκράτους.*

Σωκράτης τὸ μὲν γένος ἦν Ἀθηναῖος, φιλόσοφος δὲ τὴν παίδευσιν. Τοῦτον ὡς δαιμόνια καινὰ παρεισφέροντα τῇ πολιτείᾳ ᾐτιάσαντο Ἄνυτος καὶ Μέλιτος· κατεκρίθη οὖν ὡς διαφθείρων τοὺς νέους ἀποθανεῖν πιόντα κώνειον· καὶ πιὼν ἀπέθανεν.

ιδ'. *Περὶ τοῦ Ἐπικτήτου σκέλους.*

Ἐπίκτητος φιλόσοφος ἦν· οὗτος ἐδέθη ὑπὸ τυράννου τὸ σκέλος· ὕστερον δὲ ἠβουλήθη λῦσαι αὐτὸν ὁ τύραννος. Ἠρώτα οὖν αὐτὸν οὕτω· Θέλεις, ὦ Ἐπίκτητε, λύσω σε; Ὁ δὲ ἀπεκρίνατο· Τί γὰρ, δέδεμαι; ὡς τῆς ψυχῆς αὐτοῦ δῆθεν μὴ δεδεμένης. Λέγεται οὖν μὴ τὸ σῶμα εἶναι ἄνθρωπος, ἀλλ' ἡ ψυχή.

ιε'. *Περὶ Ἀναξάρχου.*

Ἀνάξαρχος φιλόσοφος ἦν. Οὗτος συσχεθεὶς ὑπὸ Ἀρχελάου τοῦ τυράννου, καὶ βληθεὶς ἐν ὅλμῳ, ἐπτίσσετο μοχλῷ ξυλίνῳ. Πτίσσεσθαι δέ ἐστι, τὸ δίκην πτισσάνης τύπτεσθαι· ἔνθεν δὲ καὶ πτισσάνη παρὰ το πτίσσεσθαι. Πτισσόμενος δὲ οὕτως ἔφη· Πτίσσε, πτίσσε τὸν Ἀναξάρχου θύλακον, οὐ γὰρ πτίσσεις Ἀνάξαρχον· αἰνιττόμενος, οἷα φιλόσοφος δῆθεν, τοῦ σώματος μηδένα λόγον ποιεῖσθαι.

ις'. *Περὶ τοῦ Κλεομβρότου πηδήματος.*

Κλεόμβροτος Ἀμβρακιώτης τὸ γένος. Πόλις δὲ αὕτη ἐπὶ τῆς παλαιᾶς Ἠπείρου. Ἐντυχὼν τῷ *Φαίδωνι*, τῷ περὶ ψυχῆς διαλόγῳ Πλάτωνος, καὶ μαθὼν, ὡς ἄμεινόν ἐστι τῇ ψυχῇ ὁ χωρισμὸς τοῦ σώματος, ἔῤῥιψεν ἑαυτὸν ἀπὸ τοῦ τείχους, καὶ τέθνηκεν· ἵνα δῆθεν ἡ ψυχὴ αὐτοῦ ἐξελθοῦσα χωρισθῇ τοῦ σώματος.

ιζ'. *Περὶ τῶν κυάμων.*

Πυθαγόρειοι γένος φιλοσόφων, ἐκ Πυθαγόρου τοῦ Σαμίου. Οὗτοι δι' αἰνιγμάτων τὰ τῆς φιλοσοφίας ἐμάνθανον δόγματα. Παρεδίδοτο δὲ μετὰ τῶν ἄλλων καὶ τοῦτο τὸ αἴνιγμα, *Κυάμους μὴ ἐσθίειν*· τουτέστι, μὴ προδιδόντας τὸ δίκαιον δωροδοκεῖσθαι χρήμασιν. Οἱ γὰρ Ἀθηναίων πάλαι δικασταὶ ἀντὶ ψήφων κυάμοις ἐχρῶντο πρὸς κατάκρισιν ἐν τοῖς δικαστηρίοις. Φησὶν οὖν, ἐκ τῶν κυάμων τῶν ἐκ τοῦ δικαστηρίου μὴ δεῖν ἐσθίειν.

ιη'. *Περὶ Θεανοῦς.*

Αὕτη ἡ Θεανὼ ὑπὸ τυράννου συνεσχέθη ἐπὶ τῷ εἰπεῖν τῆς πατρίδος τὰ ἀπόῤῥητα· καὶ μὴ θέλουσα, τὴν ἑαυτῆς γλῶτταν ἀποδακοῦσα, ἐνέπτυσε τῷ τυράννῳ.

ιθ'. *Περὶ Ἐπαμινώνδα.*

Ὁ Ἐπαμινώνδας τὸ γένος ἦν Θηβαῖος, στρατηγὸς μέγιστος, ὁ ἀριστεύσας ἐν τῷ Λευκτρικῷ πολέμῳ, μαθητὴς γενόμενος Φιλολάου τοῦ Πυθαγορείου. Οὗτος πολεμῶν ἐνεκρατεύετο πάνυ καὶ ἀπὸ βρωμάτων

(1) Hæc desunt apud Billium.

A 12. *De cruore ad altare fuso.*

Diana, quamvis virgo, ac pudicitiæ laude clara, cruoribus tamen illis oblectabatur, qui in hospitum cæde fundi solebant.

13. *De Socratis cicuta.*

Socrates patria Atheniensis erat, vitæ instituto philosophus. Hunc velut dæmonem quemdam in Rempublicam perniciose introducentem Anytus et Melitus in judicium vocarunt. Atque ipse velut pueros corrumpens ad cicutæ poculum damnatus est, quo hausto e vita excessit.

14. *De Epicteti crure.*

Epictetus philosophus erat. Huic a Macedone tyranno crus vinculis astrictum est. Postea autem cum eum solvere tyrannus vellet, ex eoque quæreret : Visne, Epictete, te solvam? Quid, inquit, an
B sum astrictus? Quibus videlicet verbis hoc significabat, animam suam nequaquam vinctam fuisse. Itaque non corpus homo esse dicitur, sed anima.

15. *De Anaxarcho.*

Anaxarchus philosophiam profitebatur. Hic ab Archelao tyranno correptus atque in mortarium conjectus lignea sude tundebatur. Πτίσσεσθαι enim est ptissanæ instar atteri, unde et ptissana dicta est. Cum ergo tunderetur, Tunde, inquit, Anaxarchi utrem; neque enim Anaxarchum tundis. His nimirum verbis, ut philosophus, significans nullam corporis rationem a se haberi.

16. *De saltu Cleombroti.*

C Cleombrotus Ambraciotes, quæ veteris Epiri civitas est, cum in Platonis dialogum de anima, cui *Phædo* titulus est, incidisset, didicissetque magis esse e re animæ separari a corpore, quam cum eo conjungi, e muro se præcipitem dedit, stulteque interiit, ut videlicet animus ipsius e corporis vinculis evolaret.

17. *De fabis Pythagoricis.*

Pythagoreorum secta a Pythagora Samio fluxit. Qui autem ejusmodi sectæ sese addixerant, philosophiæ dogmata per symbola quædam et ænigmata discebant. Inter alia autem hoc quoque ænigma ipsis tradebatur, fabas minime edendas esse, hoc est, non esse prodendum jus, nec judiciorum fidem
D pecunia commutandam. Olim enim Athenienses judices ad proditorum condemnationem fabis calculorum loco utebantur. Interdicit ergo suis Pythagoras ne judiciales fabas edant.

18. *De Theano* (1).

Theano, cum a tyranno vinculis constricta teneretur ut patriæ secreta declararet, et nollet, ipsa linguam suam dentibus procidit et in faciem tyranni exspuit.

19. *De Epaminonda et Scipione.*

Epaminondas genere Thebanus erat, duxque maximus, qui in Leuctrico prælio Thebanorum copiis præfuit. Præceptorem habuit Philolaum Pythagoreum. Hic in bellis eximia continentiæ laude flo-

rebat, tum a ciborum copia, tum a rebus venereis, tum denique ab omni voluptatis genere sese abstinens. Quo etiam factum est, ut maxima adversus Lacedæmonios tropæa erexerit. Huic et vitæ genere et moribus non dissimilis exstitit Scipio Romanorum imperator. Cujus singularis quoque virtus emicuit in bello Carthaginensi. Unde etiam a devicta gente Africani nomen retulit. Africani enim erant Carthaginenses.

A καὶ ἀπὸ ἀφροδισίων καὶ πάσης ἡδυπαθείας· διὸ καὶ μέγιστα κατὰ Λακεδαιμονίων ἔστησε τρόπαια. Ὁ δὲ Σκιπίων, καὶ αὐτὸς στρατηγὸς Ῥωμαίων, ὅμοιος κατὰ τὴν δίαιταν καὶ τὸ ἦθος Ἐπαμινώνδα· ἠρίστευσε δὲ καὶ αὐτὸς, ἐν τῷ πρὸς Καρχηδονίους πολέμῳ, ὡς ἐκ τῆς νίκης τοῦ ἔθνους, τὴν ἐπωνυμίαν λαβεῖν καὶ κληθῆναι Σκιπίων Ἀφρικανός· Καρχηδόνιοι γὰρ οἱ Ἀφροί.

20. *De Alpheo fluvio* (1).

Alpheus fluvius est Arcadiæ. Arcadiæ autem urbs Peloponnesi. Est et in Sicilia fons quidam Arethusa nomine. Ferunt autem Alpheum Arethusæ amore captum per mare in Arethusam influere, nec maris contagione infici, sed puros atque integros latices ad amasiam secum ferre.

20. *De his qui pedibus illotis vivunt, atque humi cubant.*

Selli gens est Dodonæa, ex qua fagi sacerdotes creabantur. In hac autem fago Jovis oraculum erat, vocabaturque quercus Dodonæa. Atque hi sacerdotes, ut qui Deo ancillarentur, pudicitiam colebant, nec balneis utebantur, nec in tecto, sed in nuda humo dormiebant, quemadmodum his verbis testatur poeta :

Hos juxta Sellis sedes est fixa prophetis,
Qui nec humi somnos carpunt, nec balnea curant.

B

κ'. *Περὶ τῶν ἀνιπτοπόδων καὶ χαμαιευνῶν.*

Παρ' Ὁμήρῳ τῷ ποιητῇ Σελλοὶ ἔθνος Δωδωναῖον. Ἐκ τούτων ἱερεῖς τῆς φηγοῦ προεβάλλοντο· αὕτη δὲ ἡ φηγὸς μαντεῖον ἦν τοῦ Διὸς, ἡ καλουμένη Δωδωναία δρῦς. Οὗτοι οὖν οἱ ἱερεῖς, οἷα Θεοῦ ὄντες θεραπευταὶ, ἁγνεύοντες οὔτε ἐλούοντο, οὔτε ἐν κλίνῃ ἐκάθευδον, ἀλλὰ χαμαὶ, ὥς φησιν ὁ ποιητὴς ἐν τούτῳ τῷ ἔπει·

. . . ἀμφὶ δὲ Σελλοὶ
Συνναίουσ' ὑποφῆται ἀνιπτόποδες χαμαιεῦναι.

21. *De Solonis inexplebilitate.*

Solon Atheniensis legislator erat. A quo cum postulatum esset, ut juventuti leges scriberet, jurisjurandi religione cives eo adegit, ut decem annos ipsius legibus acquiescerent, ac postea, si minus ipsis arriderent, eas abrogarent. Id autem hoc consilio faciebat, ut ipsi legibus illius aliquantulum obtemperare assuescerent. Non enim erat ignarus fore ut, si leges quas ipsis ferebat, semel degustassent, ægre ab his postea divellerentur. Accepto ergo a civibus jurejurando, cum leges ipsis imposuisset, Athenis excessit, decennium ab urbe abfuturus. Peragratis autem multis urbibus in Lydiam quoque ad Crœsum profectus est. Hunc itaque rex admiratione afficere cupiens, ad thesauros suos duxit, ipsique quantum auro afflueret, ostendit. Moxque eum a thesauris redeuntem interrogavit, ecquis tandem ex omnibus mortalibus ipsi beatissimus videretur, existimans utique eum felicitatis primas ipsi daturum. Solon autem Tellum Atheniensem sibi omnium beatissimum videri respondit. Beatitudinem enim non in opibus ac superbia, sed in vitæ tranquillitate constituebat. Inexplebilem itaque Solonem Crœsus vocat, quod majores opes auro Lydio videre exoptaret. Sunt autem divitiæ genus quoddam felicitatis in rebus externis situm. Est quippe triplex felicitas, animæ tranquillitas, corporis sanitas, et rerum externarum affluentia. Ac proinde adjiciendum erat Soloni : Si animo quoque præstantissimus esses, o Crœse, abunde tibi est opum ad explendos externæ felicitatis numeros.

κα'. *Περὶ Σόλωνος ἀπληστίας.*

Σόλων νομοθέτης ἦν Ἀθηναίων. Οὗτος αἰτούμενος νομοθετῆσαι τοὺς νόμους, ἀπῄτησε τοὺς πολίτας ὅρκους, ὅτι δὴ δεκαετίαν στέρξωσι καὶ ἐμμείνωσι
C τοῖς παρ' αὐτοῦ τιθεμένοις νόμοις· καὶ λοιπὸν, εἰ μὴ συναρέσουσιν αὐτοῖς, τὸ τηνικάδε λύσουσι. Τοῦτο δὲ ἐποίησεν, ἵνα τέως προσεθίσῃ αὐτοὺς ἐμμεῖναι ἐπ' ὀλίγον χρόνον τοῖς νόμοις. Ἤδει γὰρ ὡς εἰ γεύσωνται τῆς νομοθεσίας, λοιπὸν δυσμεταθέτως σχήσουσιν αὐτῆς. Λαβὼν τοίνυν ὁ Σόλων τὸν ὅρκον παρὰ τῶν Ἀθηναίων, καὶ νομοθετήσας αὐτοῖς, ἐξῆλθεν ἀπὸ Ἀθηνῶν ὀφείλων τὴν δεκαετίαν ἔξω ποιῆσαι. Περιπολῶν οὖν τὰς πόλεις, ἦλθε καὶ εἰς Λυδίαν παρὰ Κροῖσον τὸν βασιλέα. Ὃν ἐλθόντα ὁ Κροῖσος, εἰς θαῦμα θέλων κινῆσαι, ἔπεμψεν εἰς τοὺς θησαυροὺς αὐτοῦ· ἐπανήκοντα δὲ ἀπὸ τῶν θησαυρῶν τὸν Σόλωνα, ἤρετο ὁ Κροῖσος, τίνα νομίζοι εὐδαιμονέστερον πάντων ἀνθρώπων, ὑπολαμβάνων, ὅτι δὴ αὐτὸν πρὸ πάντων εἴποι. Ὁ δὲ Σόλων ἀπεκρίνατο, Τέλλον τὸν
D Ἀθηναῖον. Ὡρίζετο γὰρ ὁ Σόλων, οὐ τὸν πλοῦτον καὶ τὴν περιφάνειαν εὐδαιμονίαν, ἀλλὰ τὸν ἀπαθῶς ζήσαντα, ἀποθανόντα δὲ ἀριστεύσαντα. Νῦν οὖν ἄπληστον καλεῖ τὸν Σόλωνα, ὡς πλείονα πλοῦτον τοῦ Λυδίου χρυσοῦ ὀρεγόμενον θεάσασθαι. Καὶ ὁ πλοῦτος δὲ εὐδαιμονία τις περὶ τὰ ἐκτός. Τρεῖς δὲ εὐδαιμονίας οἶδεν ὁ λόγος· τὴν ἐν ψυχῇ ἀπάθειαν, τὴν ἐν σώματι ὑγείαν, τὴν περὶ τὰ ἐκτὸς πολυτέλειαν. Ἐχρῆν οὖν τὸν Σόλωνα προσθεῖναι, ὅτι Εἰ καὶ τῇ ψυχῇ ἧς ἄριστος, ἱκανός σοι ὁ πλοῦτος πρὸς τὴν περὶ τὰ ἐκτὸς εὐδαιμονίαν.

(1) Græca, quæ apud Nonnum desunt, exhibet Cosmas Hierosolymitanus ad λόγ. ξζ' S. Gregorii. Similia enim apud utrumque non semel legere est. Vide Opp. Gregorii nostræ edit. tom. IV.

κβ'. Περὶ Σωκράτους φιλοκαλίας.

Ὁ Σωκράτης φιλόσοφος ὢν περιῆγε τὴν ἀγορὰν, καὶ τὰ μειράκια προετρέπετο ἐπὶ φιλοσοφίαν· καὶ μάλιστα ἐνόμιζεν εἶναι πρὸς φιλοσοφίαν ἐπιτήδεια τὰ περικαλλῆ μειράκια· τοὺς γὰρ εὐμόρφους λέγουσιν εἶναι καὶ εὐφυεῖς. Ἦν οὖν δόξα παρὰ Ἀθηναίοις, ὅτι παιδεραστὴς ἦν ὁ Σωκράτης, διὰ τὸ ἐπιλέγεσθαι τοὺς εὐμόρφους. Εὑρίσκεται δὲ καὶ ὁ Πλάτων ἐν τῷ *Θεαιτήτῳ*, καὶ πανταχοῦ οὕτω λέγων περὶ Σωκράτους· ὅτι Καλὸς ὁ Θεαίτητος, καὶ καλὸς ὁ Χαρμίδης. Ἄντικρυς οὖν ἐν τοῖς λόγοις ἔμφασιν παρέχει ὁ Πλάτων, ὅτι Σωκράτης ὑπωπτεύθη τοιοῦτος εἶναι, διὰ τὰς τοιαύτας, ὡς εἶπον, ἀντερωτήσεις· ὅτι καλὸς μὲν ἦν, οὐ τὴν ὄψιν, ἀλλὰ τὴν ψυχήν. Ὑπενοήθη δὲ ὅτι καὶ τῷ Ἀλκιβιάδῃ συγγίνεται κατὰ τὸν αἰσχρὸν ἔρωτα. Οἱ δὲ περὶ Σωκράτους λέγοντες, φασὶν ὅτι συνεγένετο πᾶσιν, οὐ κατὰ τὸν ἐμπαθῆ ἔρωτα, ἀλλὰ κατὰ τὸν ἔνθεον.

A

22. *De Socratico pulchritudinis amore.*

Socrates philosophus forum circumibat, juvenesque ad philosophiæ studium hortabatur, ac præsertim eleganti forma præditos, quos ad philosophiam aptos esse judicabat. Nam qui liberali forma sunt, eosdem quoque egregia animi indole esse ferunt. In hanc ergo opinionem adducti sunt Athenienses, ut Socratem puerorum amore correptum esse putarent, quod pulcherrimos quosque deligeret. Quin ipse quoque Plato tum in *Theæteto*, tum passim in suis scriptis ita Socratem loquentem inducit, Pulcher est Theætetus, pulcher Charmides. Ac plane in dialogis suis ostendit Socratem hujusmodi suspicione laborasse, propter tales, ut verisimile est, adversarias percunctationes. At vero
B ille animi non corporis pulchritudinem intelligebat. Quanquam Atheniensibus in hanc suspicionem venit, ut eum obscenæ libidinis causa cum Alcibiade consuetudinem habere existimarent.

κγ'. Περὶ Πλάτωνος λιχνείας.

Πλάτων ὁ φιλόσοφος ἀκούων, ὅτι μεγαλοφυὴς ὁ Διονύσιος ὁ τῆς Σικελίας τύραννος, ἔπλευσε πρὸς αὐτόν. Καὶ οἱ μὲν ἐξηγηταὶ νῦν τοῦ Πλάτωνος λέγουσιν ὅτι ἔπλευσε διὰ δύο αἰτίας· ἵνα καὶ ἱστορήσῃ τὸ ἐν τῇ Αἴτνῃ πῦρ ἀναδιδόμενον, καὶ ἵνα πείσῃ Διονύσιον φιλοσοφῆσαι. Ὁ δὲ μακάριος Γρηγόριός φησιν, ὅτι διὰ τοῦτο ἀπῆλθεν ὁ Πλάτων ἐν Σικελίᾳ, διὰ τὴν πολυτέλειαν τῶν ἀρίστων, ὧν ἐποίει Διονύσιος· καὶ ποιεῖται τεκμήριον, ὅτι ἀληθῶς διὰ τὴν λιχνείαν ἔπλευσε τὸ πραθῆναι αὐτὸν παρὰ Διονυσίου. Ἐπράθη δὲ τῷ ὄντι Πόλλιδι τῷ ναυάρχῳ τῶν Λακεδαιμονίων, διάγοντι τηνικαῦτα ἐκεῖσε· εἶτα ὁ Πόλλις ἐλθὼν εἰς Αἴγιναν πωλεῖ αὐτὸν πεντήκοντα μνῶν τῷ Ἀννικάρῳ.

Πολλοὶ δὲ καὶ τῶν Στωϊκῶν ἀρχαῖοί φασιν, ὡς διὰ λιχνείαν πρὸς τὸν Διονύσιον ἀπῆλθεν ὁ Πλάτων, οἷς καὶ ὁ Γρηγόριος μᾶλλον συντίθεται, καὶ οὐ τοῖς νεωτέροις Πλάτωνος ἐξηγηταῖς. Λέγει δὲ καὶ ὁ Ξενοφῶν *εἰς τὴν πρὸς Αἰσχίνην ἐπιστολὴν*, ὡς διὰ λαιμαργίαν ὁ Πλάτων εἰς τὴν Σικελίαν ἀπῆλθε πρὸς Διονύσιον τὸν τύραννον.

23. *De Platonis liguritione.*

Philosophus Plato cum Dionysium Siciliæ tyrannum ingenii magnitudine atque indole præstare intellexisset, ad eum navigavit. Ac Platonis quidem interpretes duplicem hujus navigationis causam afferunt, alteram, ut ignem illum qui ex Ætna erumpebat, viseret; alteram, ut Dionysium ad amplexandam philosophiam hortaretur. Ac beatus Gregorius hanc ipsi adeundæ Siciliæ causam fuisse ait, ut magnificis et opiparis Dionysii cœnis frueretur. Idque hac de-
C mum conjectura vere colligi censet, quod a Dionysio propter ipsius liguritionem venditus sit. Revera enim venditus est, utpote a Dionysio Pollidi Lacedæmonio Navarcho, qui tum illic degebat, dono oblatus: ac deinde ab ipso Pollide, cum in Æginam appulisset, Aniceri quinquaginta minis venditus.

[Multi autem inter antiquiores Stoicos Platonem dicunt liguritionis causa ad Dionysium perrexisse, quos audiendos potius existimat Gregorius quam recentes Platonicos. Xenophon *in epistolam ad Æschinem* ait Platonem deliciarum Sicularum amore Dionysium tyrannum adiisse (1).]

κδ'. Περὶ Ξενοκράτους ὀψοφαγίας.

Ξενοκράτης καὶ Ἀριστοτέλης μαθηταὶ τοῦ Πλάτωνος, Οἵτινες καὶ διεδέξαντο αὐτοῦ τὴν διατριβήν· καὶ ὁ μὲν Ξενοκράτης ἐποίησε Στωϊκὴν αἵρεσιν, ὁ δὲ Ἀριστοτέλης τὴν Περιπατητικήν. Λέγεται δὲ ὅτι οὕτω σώφρων ἦν ὁ Ξενοκράτης, καὶ οὕτως ὑπέταξε τὰ πάθη τῷ λόγῳ, ὅτι καὶ τρυφῶν οὐκ ἐκινεῖτο πρὸς τὰ ἀφροδίσια. Ὁ οὖν μακάριος Γρηγόριος κατηγορεῖ αὐτοῦ ὡς λαιμάργου καὶ ὀψοφάγου, καὶ μηδὲν παραιτουμένου ἐσθίειν ὡς φιλοσόφου. Φιλοσοφία γάρ ἐστιν ἀρετῆς ἐγκράτεια καὶ εὐταξία βρωμάτων.

24. *De Xenocratis edacitate.*

Xenocrates et Aristoteles Platonis discipuli fue-
D runt, eique in philosophiæ professione successerunt. Ac Xenocrates quidem Stoicam sectam condidit, Aristoteles autem Peripateticam. Fertur porro tanta fuisse in Xenocrate pudicitiæ laus, ut, cum etiam mollius et delicatius viveret, nullis libidinis stimulis incitaretur. Ac proinde ita moderandos atque frenandos affectus esse dicebat, ut rationi obediant. Insectatur ergo eum Theologus ut lurconem et helluonem, nec ab ullo ciborum genere abstinentem, ut philosophum decebat. Philosophi enim est temperantiam colere, ac modum in cibis tenere.

κε'. Περὶ Διογένους στωμυλίας.

Διογένης κυνικὸς ἦν φιλόσοφος. Κυνικὸς δὲ ἤκουσεν ἀπὸ μεταφορᾶς τῶν χερσαίων κυνῶν. Ὥσπερ γὰρ οἱ κύνες οὗτοι ἔχουσί τι καὶ φυλακτικὸν καὶ διακρι-

25. *De Diogenis dicacitate.*

Diogenes Cynicus philosophus erat. Cynicus autem dictus est translatione a canibus ducta. Quemadmodum enim canes latrandi discernendique

(1) Inclusa desunt apud Billium.

facultate præditi sunt (discernunt enim domesticos A et familiares ab exteris, ac domesticos custodiunt), ad eumdem ipse quoque modum utraque facultate pollebat. Nam et philosophiæ dogmata custodiebat, et idoneos ad philosophiam ab his qui minime idonei erant, distinguebat. Merito itaque Diogenes cum talis esset, maxima dicendi libertate utebatur: atque et magnos et potentes viros et eloquentes aliosque omnes honesti causa coarguebat: idque lepidius aliquando scurriliusque faciebat. Huc igitur spectans D. Gregorius Diogenem ridiculum potius aut impostorem fuisse ait, quam philosophum. Est enim στωμυλία fraus ea, qua homines verborum lepore facetiisque circumveniuntur.

26. *De eo, qui in dolio habitabat.* B

Hæc quoque historia ad Diogenem spectat. Narrant enim eum in dolio hiemis tempore habitare solitum, ac sub vesperam quidem ingredi propter frigus, interdiu autem egredi propter solem. Unde cum aliquando ad solem apricaretur, ac superveniens Alexander solis lumen ipsi ademisset, apricantique officeret, quæreretque, nunquid vellet: Nihil, inquit, aliud, quam ut apricanti ne obstes. Aut igitur ad hanc historiam alludit Gregorius, aut, ut probabile est, ad eam quæ Ptolemæorum tempore contigit: quæ quidem ad hunc modum se habet: Sotades quispiam Alexandrinus philosophus in loco quodam stans apricabatur, ac pediculos quærebat. Hunc e sublimi conspicatus Ptolemæus descendit, ut eum in aulam duceret. Sotades au- C tem eo conspecto in dolii cujusdam jacentis fragmentum sese inclusit, sicque Ptolemæo absconditus est; postea autem ut miser et infortunatus suggillatus est. Alii dicunt Ptolemæum hoc iambicum in eum contorsisse:

Malo fortunæ guttam, quam prudentiæ dolium.

Quibus verbis significabat dolium quidem illud prudentia scatere propter Sotadem, qui eo includebatur: tamen quia ipse infortunatus esset, nihil ipsi tantam prudentiæ ubertatem profuisse. Ac talis quidem est hæc historia. Nunc ad constructionem veniamus, καὶ τῆς Διογένους στωμυλίας ὑφ' ἧς τοὺς ξένους ὑπεξίστησι, quorum verborum hic sensus est: *Diogenes dicacitate sua eos qui ipsi umbram effi-* D *ciebant submovebat.* Per tyrannos autem, tyrannicos sermones intelligit, quibus secedere cogebat eos a quibus adibatur. Quocirca sive una eademque sit dicacitatis Diogenis et dolii historia, constructio juncta est; sive duæ sint historiæ, construenda erit Diogenis dicacitas cum eo quod sequitur, ὑφ' ἧς τοὺς ξένους ὑπεξίστησι. Quod autem per tyrannos importuni atque insolentes sermones intelligantur (1), ipsemet Gregorius dixit

τικὸν (διακρίνουσι γὰρ τοὺς οἰκείους τῶν ξένων, καὶ φυλάττουσι τοὺς οἰκείους), οὕτω καὶ οὗτος ἐμιμεῖτο τὸ διακριτικὸν καὶ φυλακτικόν· καὶ ἐφύλαττε μὲν τὰ τῆς φιλοσοφίας δόγματα, διέκρινε δὲ τοὺς ἐπιτηδείους καὶ ἀνεπιτηδείους πρὸς φιλοσοφίαν. Αὐτὸς οὖν ὁ Διογένης τοιοῦτος ὤν, ἦν εἰκότως καὶ εὐπαῤῥησίαστος. Ἤλεγχεν οὖν καὶ δυνάστας καὶ ἐλλογίμους, καὶ πάντα ἄνθρωπον δῆθεν διὰ τὸ καλόν· ἐλέγχων δὲ, ἀστειότερον καὶ γελοιωδέστερον ἤλεγχε. Πρὸς τοῦτο οὖν ἀποβλέψας ὁ μακάριος Γρηγόριος λέγει, ὅτι ὁ Διογένης γελοῖος μᾶλλον ἦν καὶ ἀπατητικὸς, ἢ φιλόσοφος. Στωμυλία δέ ἐστιν ἡ κατὰ ἀστειότητα ἀπάτη προσερχομένη.

κϛ'. *Περὶ τοῦ ἐνοικοῦντος τὸν πίθον.*

Πολλαχῶς δύναται ἐξηγηθῆναι· καὶ αὕτη γὰρ περὶ Διογένους ἐστί. Λέγεται οὖν, ὅτι ἐν τῷ χειμῶνι οὗτος πίθον ᾤκει, ἐν ᾧ ἑσπέρας εἰσῄει διὰ τὸ κρύος, ἡμέρας δὲ ἐξῄει διὰ τὸν ἥλιον. Διὸ καί ποτε θερμαινομένου αὐτοῦ ἐν τῷ ἡλίῳ, ἐπέστη ὁ Ἀλέξανδρος ὁ Μακεδὼν, ἀποσκοτῶν αὐτῷ τοῦ μὴ θερμαίνεσθαι αὐτὸν ἐν τῷ ἡλίῳ, καὶ λέγων· Εἰπὲ, Διόγενες, τί βούλει σοι χαρίσωμαι; Ὁ δὲ εἶπε· Τοῦτό μοι χάρισαι τὸ μικρὸν ὑπεκστῆναί μου, ἵνα θερμανθῶ. Ἡ οὖν αὕτη ἐστὶν ἡ ἱστορία, ἢ, ὡς εἰκὸς, ἡ γενομένη ἐπὶ τοῦ Πτολεμαίου· ἔστι δὲ αὕτη· Σωτάδης τις Ἀλεξανδρεὺς φιλόσοφος, ἵστατο ἐν τόπῳ τινὶ ἐν ἡλίῳ φθειρόμενος. Τοῦτον ἄνωθεν ἔκ τινος ἀπόπτου θεασάμενος ὁ Πτολεμαῖος, κατῆλθεν ἵνα αὐτὸν λάβοι εἰς τὰ βασίλεια. Ὁ δὲ Σωτάδης ἰδὼν αὐτὸν, εἰσῆλθεν εἰς κλάσμα πίθου κειμένου, καὶ ὑπεκρύβη τὸν Πτολεμαῖον. Ὕστερον δὲ ὡς ἀτυχῆ τινες τοῦτον διέβαλλον. Ἄλλοι δὲ λέγουσιν, ὅτι αὐτὸς ὁ Πτολεμαῖος, καὶ τὸ ἰαμβεῖον τοῦτο ἀπεφθέγξατο·

Θέλω τύχης σταλαγμὸν, ἢ φρενῶν πίθον.

Αἰνιττόμενος ὅτι ὁ πίθος ἐκεῖνος μεστός ἐστι φρενῶν, διὰ [τὸ] τὸν Σωτάδην ἐντὸς αὐτοῦ εἶναι· καὶ ὅμως διὰ τὸ εἶναι αὐτὸν ἀτυχῆ, οὐδὲν αὐτὸν ὠφέλησεν ἡ τῶν φρενῶν πληθύς. Καὶ ἡ μὲν ἱστορία αὕτη· ἡ δὲ σύνταξίς ἐστιν οὕτω· Καὶ τῆς Διογένους στωμυλίας, ὑφ' ἧς τοὺς ξένους ὑπεξίστησιν· ἵν' ᾖ ὅτι ὁ Διογένης διὰ τῆς στωμυλίας ἐποίει ἀποχωρεῖν τοὺς τὴν σκιὰν αὐτῷ ποιοῦντας (τοῖς τυράννοις δὲ λέγει, ἀντὶ τοῦ, τοῖς λόγοις τοῖς τυραννικοῖς, ποιῶν ἀναχωρεῖν τοὺς ἐντυγχάνοντας), ἢ οὖν μιᾶς οὔσης τῆς κατὰ τὴν στωμυλίαν καὶ τὸν πίθον ἡ σύνταξις συνδέδεται, ἢ δύο οὐσῶν τῶν ἱστοριῶν, σύνταξαι δεῖ τὴν Διογένους στωμυλίαν μετὰ τοῦ, ὑφ' ἧς. Ὅτι δὲ τυράννους καλοῦσι τοὺς θρασεῖς λόγους, καὶ αὐτὸς ὁ θεῖος ἀνὴρ Γρηγόριος εἶπεν· ὡς ἐκ τῆς τραγῳδίας· μάλιστα γὰρ οἱ τραγικοὶ τῇ τοιαύτῃ κέχρηνται τροπῇ. Τὸ δὲ, τοὺς εὐτελεῖς ἄρτους τοῖς σησαμοῦσιν,

Ὦ ξένε, τυράννοις ἐκ πέδων μεθίστασο.
Hospes, tyrannis cede confestim via.

Per tyrannos videlicet (quod nomen olim in honore erat) placentas significans, per hospites autem cibarios et viles panes.

(1) Fallitur Nonnus, inquit Billius schol. 40, ad I *contra Julian.*, p. 409. Cum Diogenes aliquando apud quemdam cœnaret eique simul et placentæ et hordeacei panes apponerentur, submotis panibus in placentas manus injecit, illud tragicum non intempestive proferens:

ἐστὶν αὐτῷ παρῳδησις. Ἔστι μὲν τοιοῦτόν τι παρὰ τραγικοῖς, μᾶλλον δὲ παρὰ κωμικοῖς λεγόμενον, ὅτι διὰ τῶν ἡδυτέρων ἄρτων τοὺς εὐτελεῖς ἀποφαυλίζουσιν ἄρτους. Καταπαίζει οὖν ὁ θεῖος Γρηγόριος τῇ παρῳδήσει χρώμενος· Ὅτι, φησὶ, διὰ τῆς στωμυλίας τῆς ἡδυνούσης ἐν τῷ φθέγγεσθαι, ἀπεφαύλιζε τοὺς παρατυγχάνοντας, διελέγχων αὐτούς. Κατὰ δὲ τὴν ἐμὴν κρίσιν, μίαν ἥγημαι τὴν κατὰ τὴν στωμυλίαν καὶ τὸν πίθον ἱστορίαν.

κζ'. *Περὶ τοῦ Ἐπικούρου.*

A ἀποκτείνουσιν αὐτόν· ἡ δὲ Ἠριγόνη ἡ τούτου θυγάτηρ, διὰ τῆς κυνὸς τοῦ Ἰκαρίου γνοῦσα, ὅτι ἀπέθανεν, ἐποτνιᾶτο καὶ ἤσχαλλε, καὶ, καθὼς μυθεύουσιν οἱ πλανώμενοι Ἕλληνες, ταύτην ἐλεήσαντες οἱ θεοὶ διὰ τὸ πάθος, μετέθηκαν εἰς τὸν οὐρανόν· καὶ νῦν ἐστιν ἐν τοῖς ἄστροις ἡ Ἠριγόνη. Τὸ δὲ λέγειν, Μυστήριον ὑμῖν αἰσχρὸν ταῦτα ἐποίησε, οὐ περὶ τοῦ Ἰκαρίου λέγει, ἀλλὰ περὶ τῆς κατὰ τὴν Δήμητραν μυθολογίας. Λέγεται δὲ αὕτη, οὐ μόνον δεδωκέναι αὐτοῖς τὰ σπέρματα, ἀλλὰ καὶ θεσμόν τινα μυστηρίων διδάσκειν, ἅτινα τελοῦνται οἱ Ἕλληνες. Ὡς γὰρ παρὰ τοῖς θεοδιδάκτοις Χριστιανοῖς ἐστι τὸ ἅγιον φώτισμα, οὕτω καὶ παρ' ἐκείνοις ἡ τοιάδε. Ἡ δὲ τοιαύτη τῶν Ἑλλήνων ἑορτὴ λέγεται Δημήτρια (1).

ξθ'. *Περὶ τοῦ θρησκεύειν καὶ μυεῖσθαι.*

B Λέγεται, ὅτι ὁ Ὀρφεὺς Θρᾷξ ὢν τὸ γένος, καὶ θεολογήσας τὰ Ἑλλήνων μυστήρια, ἐδίδαξε πῶς δεῖ τιμᾶν θεούς. Τοῦτο οὖν τὸ τιμᾶν θεοὺς ἐκάλεσαν (2) θρησκεύειν, ὡς Θρᾳκίας οὔσης τῆς εὑρέσεως (3). Ἄλλοι δὲ ἐτυμολόγησαν, ὅτι τὸ θρησκεύειν παρῆκται ἀπὸ τοῦ οἱονεὶ θεοδερκεύειν, τουτέστι θεὸν ὁρᾷν. Τὸ δὲ μυεῖσθαι εἴρηται, ἢ παρὰ τὸ μυστήρια καὶ ἀπόῤῥητα τελεῖσθαι, ἢ διὰ τὸ μύοντας τὰς αἰσθήσεις καὶ ἐπέκεινα γινομένους πάσης σωματικῆς φαντασίας, οὕτως εἰσδέχεσθαι τὰς θείας ἐλλάμψεις.

ο'. *Περὶ τοῦ θύειν καὶ ἀστρονομεῖν.*

Λέγεται δὲ ὅτι τὸ θύειν θεοῖς Χαλδαῖοι ἐξεῦρον, εἴτουν Κύπριοι· διαφορεῖται γὰρ ἡ ἱστορία· Χαλδαῖοι δὲ ἔθνος Περσικόν. Τὴν δὲ ἀστρονομίαν λέγονται πρῶτοι εὑρηκέναι Βαβυλώνιοι διὰ Ζοροάστρου· δεύτεροι C δὲ διεδέξαντο Αἰγύπτιοι. Τὴν δὲ γεωμετρίαν (4) εὗρον Αἰγύπτιοι διὰ τὸ τὸν Νεῖλον τὴν αὐτῶν κατάρδοντα χώραν, συγχέειν τὰ τῆς δεσποτείας ἑκάστου γνωρίσματα· διαιροῦντες οὖν πολλάκις τὴν γῆν, καὶ ποικίλοις σχηματισμοῖς χρώμενοι, ἀρχηγοὶ τῆς ἐπιστήμης γεγόνασι. Τὴν δὲ μαγείαν, φασὶν, εὗρον Μῆδοι, εἶτα Πέρσαι. Διαφέρει δὲ μαγεία γοητείας, καὶ γοητεία φαρμακείας τούτοις· ὅτι ἡ μὲν μαγεία, ἐπίκλησίς ἐστι δαιμόνων ἀγαθοποιῶν, πρὸς ἀγαθοῦ τινος σύστασιν· ὥσπερ τὰ τοῦ Ἀπολλωνίου Τυανέως θεσπίσματα δι' ἀγαθὸν γεγόνασι. Γοητεία δέ ἐστιν ἐπίκλησις δαιμόνων κακοποιῶν, περὶ τοὺς τάφους εἰλουμένων, ἐπὶ κακοῦ τινος σύστασιν· γοητεία δὲ D ἤκουσεν ἀπὸ τῶν γόων καὶ τῶν θρήνων τῶν περὶ τοὺς τάφους γινομένων. Φαρμακεία δὲ, ὅταν διά τινος σκευασίας θανατηφόρου, ἢ πρὸς φίλτρον δοίη, ἢ καὶ ἄλλως πως προσαχθῇ τινι διὰ στόματος.

οα'. *Περὶ τῆς ὀνειρομαντείας.*

Τελμισσὸς, πόλις ἐστὶ Παμφυλίας· αὕτη δὲ παλαιοτάτη πόλις· ἦν δὲ καὶ ἐπὶ τῶν χρόνων τοῦ Κροίσου. Οὗτοι λέγονται πρῶτοι τοὺς ὀνείρους εὑρεῖν, καὶ διακρίνειν τὰ τέρατα. Ἔλεγον γὰρ, εἰ γέγονέ τι παράδοξον, ὅτι τόδε σημαίνει, καὶ πάντως ὡς ἂν εἶπον συνέβαινεν ἐξέρχεσθαι (5).

(1) Id. add. καὶ Ἐλευσῖνα (*f.* Ἐλευσίνια).
(2) Id. ἐκάλεσε.
(3) Ms. reg. 256 αἱρέσεως.
(4) Cod. reg. add. γεωμετρεῖν.
(5) Colb. 3 γενέσθαι.

ipsi attulerunt. Ejus itaque filia Erigone ex paterni canis latratu mortem ipsius intelligens, quiritabatur, et in summo mœrore versabatur. Atque ut opinionis errore sibi fingunt gentiles, ipsius luctu dii permoti in cœlum eam transtulerunt: ac nunc inter astra est Erigone. Quod autem ait Gregorius, Turpe vobis mysterium fecit, hæc non ad Icarium spectant, sed ad Cereris fabulam. Fertur enim Ceres, non solum ipsis semina dedisse, sed etiam legem quamdam mysteriorum, quibus gentiles initiantur. Ut enim apud divinitus edoctos Christianos est sanctus baptismus: sic etiam apud illos hujusmodi festum dicitur et mysterium. Vocantur enim hæc sacra Δημήτρια, id est Cerealia.

69. *De religionis cultu et initiatione.*

Orpheus quidam, ut ferunt, genere Thrax, de Græcorum mysteriis pertractavit, cultumque deorum tradidit. Hunc autem deorum cultum θρησκεύειν, vocavit, quasi θρησκεία, id est, religio hujus inventrix esset. Alii deductam hanc vocem putant, quasi a verbo θεοδερκεύειν, id est, *Deum videre;* μυεῖσθαι autem dictum est, quod mysteriis atque arcanis sacris imbuerentur, vel etiam quia μύοντες, id est, claudentes sensus, ac supra omnem corpoream speciem evecti, ita demum divinas illuminationes admitterent.

70. *De sacrificiis, astronomia et geometria.*

Diis sacrificare quidam Chaldæorum, alii Cypriorum inventum esse aiunt: nec enim utri hoc invenerint satis constat. Chaldæi autem Persica est natio. At vero astronomiam primi Babylonii per Zoroastrum invenisse dicuntur. Proximi eam exceperunt Ægyptii, ex immensitate terræ et locorum divisionibus prius edocti, atque ita ad scribendum adducti. Jam magiam Medi invenerunt. Differt autem magia a goetia, et goetia a pharmacia. Magia enim est bonorum dæmonum ad boni cujuspiam conciliationem et conservationem invocatio: quemadmodum Apollonii Tyanei vaticinia ob bonum exstiterunt. Goetia autem est malorum dæmonum circa sepulcra sese volutantium ad mali alicujus procurationem invocatio. Goetia autem dicta est ἀπὸ τῶν γόων καὶ τῶν θρήνων, id est, a clamoribus et luctibus, qui circa sepulcra eduntur. Pharmacia autem est, cum exitiosum quoddam medicamentum vel amatorium poculum alicui hauriendum porrigitur.

71. *De arte conjecturæ ex somniis faciendæ.*

Telmessus antiquissima Pamphyliæ urbs est, quæ Crœsi tempestate florebat. Ili primi rationem invenisse dicuntur, qua insomnia explorari ac dijudicari possent; si quid enim præter morem in somnis accidisset, quid illud portenderet, dicebant: ac quidquid dixissent, eventu ipso haud dubie comprobabatur.

72. *De divinandi arte.*

A Divinatrix scientia partim ὀρνεοσκοπητική est, quam Phryges invenerunt, partim οἰκοσκοπητική, partim ἐνόδιος, partim χειροσκόπος, partim παλματική. Ὀρνεοσκοπητική est, cum volante hac vel illa ave, ante vel retro, dextrorsum vel sinistrorsum, quid hoc significet, dicimus, quam divinationis partem Telegonus invenisse dicitur. Οἰκοσκοπητική, cum quis ea quæ in domo contingunt, enarrat, quidque hoc portendat, exponit. Verbi causa, quoniam in tecto felis, aut serpens, aut mus apparuit, aut exhaustum est oleum, aut mel, aut vinum, aut aqua, aut cinis, aut aliud quiddam, hoc significat. De quo genere opus edidit Xenocrates. Ἐνόδιος autem, cum ea quæ in via occurrunt, B enarrantur. Ut si occurrerit quispiam hoc gestans, hoc tibi accidet; si autem ille, hoc tibi eveniet. De quo genere Pollux pertractavit. Χειροσκόπος vero, cum ex manuum extensione ac rugis dicimus rem hanc illum manere, vel quod ipsius nuptiæ ambiuntur, vel quod liberos procreabit, vel hujusmodi aliquid : de quo volumen conscripsit Helenus. Παλματική denique, cum ex corporis palpitatione aliquid cognoscitur. Ut, si palpitet oculus dexter, hoc indicat, aut si humerus, aut reliqua pars corporis. De quo genere opus elucubravit Posidonius.

οβ'. *Περὶ τῆς οἰωνιστικῆς*

Τῆς δὲ οἰωνιστικῆς, τὸ μὲν ἔστιν ὀρνεοσκοπητικὸν, τὸ δὲ οἰκοσκοπητικὸν, τὸ δὲ ἐνόδιον, τὸ δὲ χειροσκοπητικὸν, τὸ δὲ παλμαστικόν. Ὀρνεοσκοπητικὸν δέ ἐστιν, ὅταν πετομένου τοῦδε ἢ τοῦδε ὄρνιθος, ἢ ἔμπροσθεν ἢ ὀπίσω, ἢ δεξιὰ ἢ ἀριστερὰ, εἴπωμεν, ὅτι τόδε σημαίνει· λέγεται δὲ ἐξευρηκέναι πρῶτος Τηλέγονος. Οἰκοσκοπητικὸν δέ ἐστιν, ὅταν τὰ ἐν τῷ οἴκῳ συμβαίνοντα ἐξηγήσηται καὶ εἴπῃ, ὅτι τόδε σημαίνει. Ἐπειδὴ ἐν τῇ στέγῃ ἐφάνη γαλῆ, ἢ ὄφις, ἢ μῦς, ἢ ἐκενώθη ἔλαιον, ἢ μέλι, ἢ οἶνος, ἢ ὕδωρ, ἢ τέφρα, ἢ ἄλλο τι, ὅτι τόδε σημαίνει· ταῦτα δὲ συνεγράψατο Ξενοκράτης. Ἐνόδιον δέ ἐστιν, ὅταν ἐξηγήσηται τὰ ἐν τῇ ὁδῷ ὑπαντῶντα· ὅταν ὅτι Ἐάν σοι ὑπαντήσῃ τις τόδε βαστάζων, τόδε σοι συμβήσεται· ἐὰν ὁ δεῖνα, τόδε· ὅπερ συνεγράψατο Πόλλης (1). Χειροσκοπητικὸν δέ ἐστιν, ὅταν διὰ (2) ἐκτάσεως τῶν χειρῶν καὶ διὰ τῶν ῥυτίδων εἴπωμεν, ὅτι τόδε ἢ τόδε αὐτὸν μένει, ἢ ὅτι γαμεῖ ἢ παιδοποιεῖ, ἤ τι τοιοῦτον· ὅπερ συνεγράψατο Ἕλενος. Παλμαστικὸν δέ ἐστι, τὸ διὰ τῆς πάλσεως τοῦ σώματος γνωριζόμενον· οἷον, ἐπάλθη ὁ δεξιὸς ὀφθαλμὸς, τόδε σημαίνει· ἢ ὁ ὦμος, ἢ ὁ μηρὸς, τόδε· ὃ συνεγράψατο Ποσειδώνιος καὶ ἄλλοι πολλοί.

73. *De Scythis, qui adversus heros suos rebellarunt.*

Quidam ex nomadibus Scythis relictis famulis C suis e Scythia latrocinandi causa excesserunt. Prius tamen eos excæcarunt, ac postea hoc muneris ipsis injunxerunt, ut cum eorum uxoribus lac coagularent. Cumque multum temporis interfluxisset, nec Scythæ patriam repeterent, uxores eorum cum excæcatis servis stupri consuetudinem habuerunt, ex ipsisque conceperunt ac pepererunt; atque ita pro Scythis qui abscesserant liberi nascuntur, servili tamen semine procreati. Ergo cum Scythæ illi, qui olim patria egressi fuerant, in Scythiam rediissent, hos ex servis progenitos ætate florentes repererunt, atque obviam ipsis cum armis euntes. Ac conserto inter eos certamine reduces illi Scythæ fusi et superati sunt. Qua clade accepta D auctor ipsis fuit quispiam, ne armis, sed verberibus cum ipsis pugnarent. Armis enim pugnare iis demum convenire, quibus cum pari conditione hostibus res esset : at virgas ipsis intentare argumentum esse herilis adversus servos potestatis. Illi itaque, servis patribus nati, cum veteres Scythas cum virgis conspexissent, velut dominis suis sese submiserunt : sicque sublatum et exstinctum est bellum.

ογ'. *Περὶ τῶν Σκυθικῶν δούλων.*

Τῶν νομάδων Σκυθῶν μέρος τι ἐξῆλθεν ἐκ τῆς Σκυθίας πλανώμενον ἐπὶ ληστείᾳ. Εἴασαν δὲ οὗτοι οἰκέτας (3), ὥστε μετὰ τῶν γυναικῶν τυρεύειν τὸ γάλα. Τοὺς δὲ οἰκέτας αὐτῶν ἐξετύφλουν οἱ Σκύθαι ζηλοτυποῦντες, καὶ οὕτω παρεῖχον αὐτοῖς τυρεύειν τὸ γάλα. Χρόνου δὲ γενομένου, καὶ τῶν Σκυθῶν τῶν ἐξελθόντων μὴ ὑποστρεφόντων, αἱ γυναῖκες φοιτῶσι πρὸς τοὺς δούλους τοὺς ἐκτυφλωθέντας καὶ συγγίνονται αὐτοῖς, καὶ συλλαμβάνουσι, καὶ γεννῶσι· καὶ γίνονται παῖδες ἀντὶ τῶν ἐξελθόντων Σκυθῶν. Ἦσαν δὲ δοῦλοι οἱ τεχθέντες κατὰ τὸ σπέρμα. Οἱ οὖν πάλαι ἐξελθόντες Σκύθαι ὑποστρέψαντες, εὗρον τούτους τοὺς γεννηθέντας ἐκ τῶν δούλων ἡβήσαντας, καὶ ἐναντιουμένους αὐτοῖς· καὶ γενομένου πολέμου μεταξὺ τῶν δουλοσπόρων καὶ τῶν ἐπανελθόντων Σκυθῶν, ἡττῶνται πάνυ οἱ ἐπανελθόντες. Τούτοις οὖν ἡττηθεῖσιν, εἷς συνεβούλευσέ τις μὴ ὅπλοις αὐτοὺς πολεμῆσαι, ἀλλὰ διὰ μαστίγων. Τὸ γὰρ δι' ὅπλων, φησὶ, πολεμῆσαί τινας, ὡς ἀπὸ ἴσων πρὸς ἴσους ἐστὶν ὁ πόλεμος· τὸ δὲ ἀπὸ μαστίγων αὐτοῖς ἐπελθεῖν, ὡς ἀπὸ δεσποτῶν εἰς δούλους ἐστίν. Οἱ οὖν δουλόσποροι, θεασάμενοι τοὺς Σκύθας μετὰ τῶν μαστίγων, ὑπέκυψαν ὡς οἰκείοις δεσπόταις, καὶ οὕτω κατελύθη ὁ πόλεμος.

74. *De Thessala equa et muliere Lacedæmonia.*

Nulla est urbs, quæ non eximium aliquod ornamentum habeat, ut Thessalia equos, Attica argenti metalla, India auream arenam. Consimilem etiam in modum Lacedæmonii venatorios canes primæ bonitatis, et mulieres strenuas et intrepidas. Habuit etiam Sicilia fontem nomine Arethusam, cujus

οδ'. *Περὶ Θετταλικοῦ ἵππου.*

Πᾶσα πόλις, ἢ χώρα ἔχει τι ἐξαίρετον ἰδίωμα· οἷον, ἡ Θετταλῶν χώρα ἔσχε τοὺς ἵππους· ἡ Ἀθηναίων, τὰ μέταλλα τοῦ ἀργύρου· ἡ Ἰνδία, τὴν χρυσίτιδα ψάμμον· ὁμοίως καὶ ἡ Λακεδαιμονίων, κύνας θηρευτικὰς (ἔνθεν καὶ οἱ Λακωνικοὶ κύνες), καὶ γυναῖκας ἀνδρείας καὶ ἀπτοήτους. Ἔσχε δὲ καὶ ἡ

(1) Cod. reg. Colb. Πόλλις
(2) Reg. add. τῆς.

(3) Id. ἐάσαντες τοὺς οἰκέτας οἴκοι.

Σικελίᾳ πηγὴν ὕδατος Ἀρέθουσαν οὕτω καλουμένην· ἧς ἐρασθῆναι τὸν Ἀλφειὸν ποταμὸν μυθεύουσι· τὸ δὲ ὕδωρ τῆς Ἀρεθούσης, ἀκραιφνές τε καὶ καθαρὸν καὶ γλυκύ. Λέγει οὖν ὁ θεῖος Γρηγόριος, ὅτι ὥσπερ ἔνιαι χῶραι καὶ πόλεις ἔσχον τι κατ' ἐξαίρετον ἰδίωμα, οὕτω τὸ δόγμα τῶν Χριστιανῶν πάντα ταῦτα, ὀρφανοτροφεῖα, ξενῶνας, νοσοκομεῖα, πτωχοτροφεῖα, καὶ πάντα τὰ τοιαῦτα ἀγαθά.

οε'. *Περὶ τῆς τοῦ Πλάτωνος Πολιτείας.*

Πλάτων ὁ φιλόσοφος συνεγράψατο σύνταγμα, ὃ *Πολιτείαν* ἐπέγραψεν. Ἐν τούτῳ τῷ συντάγματι λέγει, ὁποίαν δεῖ γενέσθαι πόλιν, καὶ ἐκ ποίων ἀνδρῶν συγκειμένην, καὶ ποίοις ἔθεσι καὶ νόμοις πολιτευομένην. Αὕτη δὲ αὐτῷ ἡ πόλις, λόγῳ μόνῳ συνέστη· ἔργῳ δὲ, οὔτε συνέστη, οὔτε ἐπολιτεύσατο. Ἐν ἐκείνῳ οὖν τῷ συντάγματι τοῦτο τὸ ῥησείδιον, ὅτι Ὑποκείσθωσαν ἡμῖν οἱ πολῖται τάδε φθεγγόμενοι, ἵν' ἴδωμεν αὐτῶν κινουμένην τὴν ἐπίνοιαν.

ος'. *Περὶ τῆς τοῦ Ἡσιόδου Θεογονίας.*

Ἡσίοδος εἷς ἐστι τῶν ποιητῶν· οὗ πράττονται τρία ποιήματα· ἡ καλουμένη *Θεογονία*, τὰ καλούμενα *Ἔργα καὶ ἡμέραι*, καὶ ἡ καλουμένη *Ἀσπίς*. Ἐν τῇ οὖν καλουμένῃ *Θεογονίᾳ* ὁ Ἡσίοδος (1) ἄρχεται (2) καταριθμεῖσθαι τὰς γενέσεις τῶν θεῶν· ὅτι ἐκ τοῦ χάους καὶ ἐκ τοῦ αἰθέρος ἐγεννήθη ὁ δεῖνα· ἐκ δὲ τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὁ Κρόνος· ἐκ δὲ τοῦ Κρόνου, ὁ Ζεὺς, ὁ Ποσειδῶν, ὁ Πλούτων. Εἶτα καταφέρει σειρὰς γενῶν καὶ θεῶν καινοτέρων ὀνόματα· καὶ ὅτι οἵδε οἱ θεοὶ, μετὰ τῶνδε ἐπολέμησαν· καὶ οἵδε ἐνίκησαν, οἵδε ἡττήθησαν, καὶ οἵδε διεσπάραξαν τόνδε ἢ τόνδε. Οἱ γὰρ Τιτᾶνες λέγονται διασπαράξαι τὸν Διόνυσον. Τὰ δὲ ὀνόματα ταῦτα, ἃ λέγει ἐνταῦθα ὁ Γρηγόριος, οἷον Κόττον καὶ Βριάρεω, ὁ Ἡσίοδος λέγει γενέσθαι τινὰς ἀνθρώπους ἀπὸ ἑκατὸν χειρῶν ἔχοντας, οἵτινες μετὰ τῶν θεῶν ἐπολέμησαν τοὺς Τιτᾶνας. Οἱ γὰρ Τιτᾶνες μυθεύονται κατὰ τῶν θεῶν ἐπαναστῆναι, ἕως οὗ ἐκεραύνωσεν αὐτοὺς ὁ Ζεύς. Ὁμοίως δὲ καὶ περὶ τῶν δρακοντοπόδων Ἡσίοδος λέγει, ὅτι ἐγεννήθησαν ἄνθρωποι δρακοντόποδες. Κεραυνοφόρους δὲ λέγει νῦν θεοὺς, ἢ αὐτὸν τὸν Δία, ὡς κεραυνὸν ἐπαφέντα τοῖς Γίγασιν, ἢ Στεροπὴν (3) ἢ Βρόντην τοὺς χαλκεύσαντας τῷ Διὶ βροντὴν καὶ τὴν ἀστραπὴν, καὶ τοὺς κεραυνούς· νήσους δὲ καὶ βέλη καὶ τάφους λέγει ἐπαφεῖσθαι τοῖς Γίγασι παρὰ τῶν θεῶν. Ταῦτα οὖν μυθολογεῖ. Τὰ δὲ πικρὰ τούτων γεννήματα λέγει, ὅτι ἐκ τοῦ αἵματος τῶν Γιγάντων ταῦτα τὰ θανατηφόρα ζῶα γεγόνασιν, ἃ αὐτὸς καταριθμεῖται, οἷον τὴν Χίμαιραν, τὸν Κέρβερον, περὶ ὧν φθάσαντες εἴπομεν. Τὸ δὲ περὶ τὰς Γοργόνας, τοιοῦτόν τι ἦν· ὅτι τρεῖς ἦσαν γυναῖκες φοβερὰ τοσοῦτον ἔχουσαι τὰ πρόσωπα, ὥστε τοὺς θεωμένους αὐτὰς παραυτίκα ἀποθνήσκειν. Λέγεται δὲ, ὅτι ὁ Περσεὺς τὴν μίαν τούτων ἀνεῖλε τῷ λογχοδρεπάνῳ.

A amore captum fuisse Alpheum amnem fabulantur. Porro fontis illius aqua pura est et limpida, miræque suavitatis. Ait ergo Gregorius : Quemadmodum nonnullæ regiones, urbes et cives proprium atque eximium aliquod decus habent : sic doctrina Christiana hæc omnia, orphanorum atque extraneorum domicilia, valetudinaria, ac loca in quibus pauperes alantur, atque omnia hujusmodi bona.

75. *De Platonis Republica.*

Philosophus Plato opus composuit, quod *De Republica* inscripsit. In eo docet qualem esse civitatem, quoque ex hominum numero constare, tum quibus moribus legibusque gubernari oporteat. Hæc porro civitas sermone solo ab eo coagmentata est : re ipsa autem nec constructa, nec gubernata. B In hoc volumine his verbis utitur : Fingamus (4) cives hujusmodi orationem habere, ut eorum consilium animique solertiam non inertem ac mortuam, sed vivam motuque incitatam videamus.

76. *De Hesiodi Theogonia.*

Hesiodi poemata tria exstant, *Theogonia*, *Opera et dies*, et *Scutum Herculis*. In *Theogonia* deorum ortus enumerare incipit, nimirum quod ex chao et æthere natus sit ille, ex cœlo et terra Saturnus, ex Saturno Jupiter, Neptunus et Pluto. Postea catenam quamdam generum deorumque recentioris nominis deducit : narratque quemadmodum hi dii cum illis dimicarint, atque hi illum aut illos discerpserint. Titanes enim Bacchum dilaniasse feruntur. C Hæc porro nomina quæ hoc loco profert Gregorius, velut Cottum et Briareum, Hesiodus homines quosdam centimanos fuisse dicit, qui simul cum diis adversus gigantes bellum gesserunt. Hos enim adversus deos insurrexisse fingunt, quoadusque tandem Jovis fulmine oppressi sunt. Consimili quoque modo homines quosdam exstitisse ait, qui draconum pedes haberent. Fulminiferos autem deos vocat, vel Jovem ipsum, ut qui gigantibus fulmen immiserit, vel etiam Steropen et Bronten, qui tonitru et fulgur Jovi fabricati sunt. Insulas porro tum pro sagittis tum pro sepulcris gigantibus immissas a diis fuisse confingit. Acerbi autem et amarulenti fetus, qui ex gigantum cruore prodierunt, mortifera hæc animantia exstiterunt, velut quæ D ipse enumerat, hydram nempe (quæ centiceps ille serpens erat, quem Hercules interfecit), chimæram, quam, cum de ea prius verba faceremus, ab anteriore parte leonem, a posteriore draconem, ac medio corpore chimæram ignem faucibus evomentem esse diximus, a Bellerophonte oppressam et exstinctam. Consimiliterque de Cerbero sermonem habuimus, nimirum canem tricipitem fuisse, qui inferorum portas sedulo custodiret, ac descendentes quidem ad inferos mulceret, eos autem qui ascendere conabantur, dentibus peteret ac devoraret : quem Hercules obtruncavit. Quod autem ad Gorgones attinet, tres erant mulieres adeo truculento atque horribili aspectu, ut quisquis eas intuebatur, statim moreretur : quarum unam lancea sua Perseus trucidasse dicitur.

(1) Id. τερατώδη καὶ μάχας τῶν θεῶν διηγεῖται.
(2) Id. add. δέ.
(3) Id. Ἀστερόπην.
(4) Hæc Nonnus ipse fingit.

A

77. *De eo quod ait Gregorius, Orpheus transeat cum sua cithara.*

Orpheus musicus tantum suavitate cantus valuit, ut eo, vel magia potius sua quercus animantesque rationis expertes atque adeo saxa et fluvios ad se pertraheret. Hujus poemata circumferuntur, quæ pro theologia gentiles habent. In his deorum ordines seriemque ac nonnullorum facinora quædam, quæque quorumdam cæremoniæ atque initiandi ritus, et qui rerum aliquarum parentes effectoresque sint recenset. Hujus igitur Orphei nonnulla producit Gregorius quæ de Jove et Cerere dicta sunt. Priora enim de Jove dicit, posteriora de Cerere. Ac sensus quidem horum versuum qui ad Jovem spectant, est talis : O Jupiter gloriose, deorum omnium maxime, qui fimo omni contineris B tam ovium, quam equorum, quamque mulorum. Quo videlicet carmine Orpheus Jovem usque etiam ad pecudum ac jumentorum stercus vivificam suam facultatem emittere significabat. Carminis autem de Cerere hic est sensus : Deam sublato corpore femora sua detexisse ut amasiis suis corporis sui copiam faceret. Quibus verbis Orpheus Cereris vim ac facultatem iis a quibus expetitur, in promptu esse innuit, eamque paratam ad sese ipsis dandam, eosque explendos. Divus itaque Gregorius hoc velut fœdum atque obscenum, atque illud etiam Jovis ut impurum traducit, meritoque sugillat.

οζʹ. *Περὶ Ὀρφέως καὶ κιθάρας.*

Ὀρφεὺς γέγονε μουσικὸς, Θρᾷξ τὸ γένος· ὃς λέγεται οὕτω προσηνῶς καὶ ἐκμελῶς (1) ᾆσαι, ὡς ἐπακολουθεῖν τῇ ᾠδῇ αὐτοῦ, μᾶλλον δὲ τῇ μαγείᾳ, τὰς δρῦς, καὶ τῶν ζώων τὰ ἄλογα, καὶ τοὺς λίθους, καὶ τοὺς ποταμούς. Τούτου δὲ φέρονται ποιήματα, ἅτινα ὡς θεολογίας ἔχουσιν Ἕλληνες. Ἐν δὲ τούτοις τοῖς ποιήμασι, διὰ μυθικῶν συμβόλων (2) λέγει τὰς τῶν θεῶν τάξεις καὶ σειρὰς, καὶ τίνων τίνα ἔργα, καὶ ποῖα τίνων τελέσματα, καὶ τίνες τίνων δημιουργοί. Τούτου τοίνυν τοῦ Ὀρφέως ἔνια ἔπη παρατίθησιν ὁ θεῖος Γρηγόριος, ἅ εἰσι περὶ τοῦ Διὸς εἰρημένα, καὶ τῆς Δήμητρος. Τὰ μὲν γὰρ πρῶτα περὶ τοῦ Διὸς λέγει, τὰ δὲ ὕστερα περὶ τῆς Δήμητρος. Καὶ ὁ νοῦς μὲν τῶν περὶ τοῦ Διὸς ἐπῶν, οὗτός ἐστιν· ὅτι Ὦ Ζεῦ ἔνδοξε καὶ μέγιστε τῶν πάντων θεῶν, περιεχόμενε τῇ κόπρῳ πάσῃ, ὅση τε προβάτων, ὅση τε ἵππων καὶ ἡμιόνων. Μηλείη δὲ κόπρος ἐστὶν ἡ τῶν προβάτων· μῆλα γὰρ τὰ πρόβατα. Διὰ τοῦδε τοῦ ἔπους δῆθεν ὁ Ὀρφεὺς ἐσήμανεν, ὅτι ὁ Ζεὺς ἄχρι καὶ τῆς κτηνώδους ὕλης ἐκπέμπει τὰς ἑαυτοῦ ζωογόνους δυνάμεις. Τοῦ δὲ περὶ τῆς Δήμητρος ἔπους ὁ νοῦς ἐστιν οὗτος· ὅτι Ἐπαιρομένη ἡ θεὰ, τοὺς ἑαυτῆς μηροὺς ἀνεσύρατο (λέγει δὲ περὶ τῶν ἱματίων), ἵνα, φησὶ, τοὺς ἐρῶντας αὐτῆς ἀξιώσῃ τῆς συνουσίας. Διὰ δὲ τούτων ὁ Ὀρφεὺς αἰνίττεται, ὅτι ἡ θεία δύναμις τοῖς ἐπιθυμοῦσιν αὐτῆς, ἕτοιμος γίνεται τοῦ ἐπιδοῦναι ἑαυτὴν καὶ μυῆσαι αὐτούς. Ὁ οὖν θεῖος Γρηγόριος, ὡς καὶ τούτου ὄντος αἰσχροῦ, καὶ τοῦ περὶ τὸν Δία ἀκαθάρτου, διασύρει καὶ διαγελᾷ αὐτοὺς ἀξίως.

C

78. *De Phanete et Ericapæo.*

In Orphicis poematis hæc duo nomina simul cum aliis multis inducuntur. Ex quibus Phanetem inducit penem retro circa nates habentem : aiuntque eum vivificæ facultatis præsidem atque antistitem esse. Consimili modo Ericapæum alii cuipiam facultati præesse narrant. Quod autem de eo, qui deos omnes devorabat, loquitur, non Ericapæum intelligit, sed Saturnum. Hic enim filios duos quos procrearat, devorasse, ac devoratos evomuisse dicitur. Nam cum Jovis loco saxum devorasset, subsidente saxo cunctos evomuit.

οηʹ. *Περὶ Φάνητος καὶ Ἠρικαπαίου.*

Ἐν τοῖς Ὀρφικοῖς ποιήμασιν εἰσηνέχθη τὰ δύο ταῦτα ὀνόματα μετὰ καὶ ἄλλων πολλῶν· ὧν, τὸν Φάνητα εἰσφέρει αἰδοῖον ἔχοντα ὀπίσω περὶ τὴν πυγήν. Λέγουσι δὲ αὐτὸν ἔφορον εἶναι τῆς ζωογόνου δυνάμεως· ὁμοίως δὲ καὶ τὸν Ἠρικαπαῖον λέγουσιν ἑτέρας ἔφορον εἶναι δυνάμεως. Περὶ δὲ τοῦ, Ὁ πάντας καταπίνων θεοὺς, οὐ λέγει περὶ τοῦ Ἠρικαπαίου, ἀλλὰ περὶ τοῦ Κρόνου. Λέγεται γὰρ οὗτος, οὓς ἔτεκεν υἱοὺς, πάλιν καταπιεῖν, καὶ ἐμέσαι οὓς ἤδη κατέπιε. Λέγεται λίθον καταπιεῖν ἀντὶ τοῦ Διὸς, καὶ τοῦ λίθου κατελθόντος ἐμέσαι πάντας.

79. *De Homero.*

Homerus in suis poematis sursum deorsumque D Saturnum et Jovem fabulose jactat, Junonem etiam et Venerem et Palladem ac multos alios deos, quos ex poesi cognitos habemus. Comicum autem eum vocat Gregorius, quod nonnulla comice ac jocose de diis protulerit, ut quod Juno eleganti veste induta egregieque ornata ad Jovem se contulerit, eumque ut voluptuarium fefellerit, ac cum ipso dormierit. Quo quid magis ridiculum excogitari possit? Tragicum vero eumdem nominat, quod quædam tristia et luctuosa de diis commentus sit : velut quod Jupiter Vulcanum in Lemnum præcipitem dejecerit : quod Venus a Diomede vulnus acce-

οθʹ. *Περὶ Ὁμήρου.*

Καὶ ἡ περὶ τοῦτον πολυθρύλλητος ἱστορία. Ἐν γὰρ τοῖς ποιήμασιν αὐτοῦ ἄνω τε καὶ κάτω, Κρόνον τε καὶ Δία μυθολογεῖ, καὶ Ἥραν καὶ Ἀφροδίτην, Ἀθηνᾶν τε ἐπὶ πᾶσι τούτοις· καὶ ἁπλῶς οὓς ἐκ τῆς ποιήσεως ἴσμεν. Κωμῳδοποιὸν δὲ τὸν Ὅμηρον ἐκάλεσεν, ὡς ἔνια ἀποσκώμματα εἰς θεοὺς εἰρηκότα (3). Τραγῳδοποιὸν δὲ, ὅτι ἔνια πένθιμα περὶ τῶν θεῶν μυθολογεῖ· οἷον, ὅτι τὸν Ἥφαιστον κατεκρήμνισεν ἐν Λήμνῳ ὁ Ζεύς· καὶ ὅτι ἐτρώθη ἡ Ἀφροδίτη ὑπὸ τοῦ Διομήδους. Ταῦτα δὲ δῆθεν δακρύων ἄξια. Τῇ μὲν γὰρ τραγῳδίᾳ ἕπεται τὰ δάκρυα· τῇ δὲ κωμῳδίᾳ, ὁ γέλως.

(1) Cod. reg. ἐμμελῶς.
(2) Id. συλλαβῶν.
(3) Id. add. ὅτι ἡ Ἥρα φορέσασα (sic) καὶ καλλωπισμένη ἀπῆλθε παρὰ τὸν Δία, καὶ ἠπάτισεν (f. ἠπάτησεν) αὐτὸν ὡς ἡδύδιον καὶ συνεκαθεύδησεν αὐτῷ. Καὶ τί τούτου γελοιωδέστερον; et ea legit interpres.

perit. Quæ profecto luctu ac lacrymis digna sunt. Tragœdiam quippe lacrymæ sequuntur, quemadmodum risus comœdiam.

π'. Περὶ Ὠκεανοῦ καὶ Τηθύος.

A

Καὶ τοῦτον δὲ τὸν μῦθον εἰσφέρουσιν οἱ ποιηταὶ, ὅτι ὁ Ὠκεανὸς πατήρ ἐστι πάντων τῶν θεῶν, ἡ δὲ Τηθὺς μήτηρ. Ἀνδρόγυνον δὲ ὁ Ὠκεανὸς καὶ ἡ Τηθύς· καὶ ὅτι πάλαι διέστησαν ἀπ' ἀλλήλων· διὰ δὲ δυσωπήσεως τῆς Ἥρας γίνεται πάλιν συνάφεια αὐτῶν καὶ φιλία. Ὁ δὲ μῦθος αἰνίττεται, ὅτι ὁ Ὠκεανὸς μὲν ἔστιν ἡ ὑγρὰ φύσις· ἡ δὲ Τηθὺς ἡ ξηρὰ, τουτέστιν, ἡ γῆ· καὶ ὅτι πάλαι τῆς ὑγρᾶς φύσεως μὴ συγγινομένης τῇ γῇ, οὐδὲν ἐζωογονεῖτο, καὶ ἀπώλλυντο πάντα. Εἶτα ἡ Ἥρα, ὡς ἔφορος οὖσα τῆς συζεύξεως, καταλλάττει τὰ δύο στοιχεῖα εἰς συνάφειαν, καὶ γίνεται λοιπὸν ζωογόνος.

80. *De Oceano et Thetide.*

Hanc quoque fabulam inducunt poetæ, Oceanum videlicet deorum omnium patrem esse, ac Thetidem matrem, ipsosque hermaphroditum quemdam esse. Aiunt etiam dissidium olim inter eos exstitisse, cæterum opera precibusque Junonis coiisse rursus inter eos amicitiam atque concordiam. Qua fabula, inquiunt, significatur per Oceanum aquam, per Thetidem autem terram intelligendam esse: quodque olim aqua nihil commercii cum terra habente nulla res in vitam producebatur, sed interibant omnia. Postea autem Junonem conjunctionis et matrimonii præsidem duo hæc elementa in concordiam reduxisse: atque ita deinceps rerum procreationem consecutam fuisse.

B

πα'. Περὶ Διὸς καὶ Ἥρας.

Ὁ Ζεὺς ἐχαρίζετο μᾶλλον τοῖς Τρωσὶ, καὶ ἐποίει ἡττᾶσθαι τοὺς Ἕλληνας διὰ τὴν ἱκεσίαν τῆς Θέτιδος, ἕνεκεν τοῦ Ἀχιλλέως, ἵνα ζητήσωσιν αὐτὸν οἱ Ἕλληνες ἡττώμενοι. Ἡ Ἥρα ἐφρόντιζε τῶν Ἑλλήνων· φροντίζουσα δὲ, βουλεύεται ἀπατῆσαι τὸν Δία, πρὸς μίξιν αὐτὸν καὶ ὕπνον ἐκβακχεύουσα, ἵνα, καθεύδοντος τοῦ Διὸς, ἀβοήθητοι οἱ Τρῶες γενόμενοι ἡττηθῶσιν ἀπὸ τῶν Ἑλλήνων. Ταῦτα οὖν βουλευσαμένη, λαμβάνει τὰ πορνικὰ καλλωπίσματα πάντα ἐκ τοῦ κεστοῦ τῆς Ἀφροδίτης. Ὁ δὲ κεστὸς μυθεύεται κάμψειόν τι εἶναι, ἐν ᾧ πάντα τὰ πρὸς κάλλος καὶ εὐμορφίαν καὶ χάριτας καὶ λαμπρότητα προσώπου ἐναπόκεινται. Εἶτα κοσμησαμένη ἄνεισι παρὰ τὸν Δία, καὶ κινεῖ αὐτὸν ἐκ τοῦ πλάσματος τούτου πρὸς ἡδονὴν καὶ λαγνείαν· ἐκ γῆς δὲ περιέβαλλεν ἑαυτῇ καὶ τῆς τῶν μύρων εὐωδίας. Καὶ γὰρ ἡ γῆ, φησὶν, ἐβλάστησε βοτάνας, οἷον λωτὸν, κρόκον, καὶ ὑάκινθον, ῥόδα, καὶ τὰ λοιπὰ ἀρώματα ἔργα μυρεψῶν, καὶ μόσχον. sibi undique injecit. Terra enim, ut inquit poeta, thos, lilia, cassiam, cinamomum, stacten, reliquaque

81. *De nubigrega Jove et Junone.*

Fabula hæc hujusmodi de causa conficta est: Jupiter in Trojanorum partem magis propendebat, atque ob Thetidis deprecationem in Achillis gratiam inferiores Græcos efficiebat, ut videlicet ipsi ab hostibus superati Achillem requirere cogerentur. At Juno Græcis consultum cupiens per venereum congressum imposturam Jovi facere meditatur. Ac posteaquam cum ipso perbacchata est, somnum ei conciliat, ut, dum ille dormit, Trojani omni auxilio destituti a Græcis vincantur. Hoc consilio inito, meretricia ornamenta ex Veneris cesto assumit. Cestum porro thecam quamdam fuisse aiunt, in qua omnia fraudum genera recondita

C

erant, quæ ad pulchritudinem et elegantiam ac venustatem vultusque splendorem usui esse possunt. Ita ornata ad Jovem ascendit, atque hujusmodi fuco eum ad voluptatem et libidinem inflammat: quinetiam e terra unguentorum suavitates herbas protulit, ut crocum, rosas, lotum, hyacinaromata unguentis accommodata.

πβ'. Περὶ τῆς Ἥρας δεδεμένης.

Ἡ Ἥρα πολλάκις ἐζηλοτύπει τὸν Ἡρακλέα. Ἐν τῷ γοῦν ὑποστρέφειν αὐτὸν ἐκ τῆς Τροίας, ὅτε μετὰ τοῦ Τελαμῶνος αὐτὴν ἐπόρθησε, διετάραξε τὴν θάλασσαν, καὶ τοὺς ἀνέμους διήγειρε· καὶ ἐχείμαζε τὸ σκάφος τῇ βίᾳ καὶ τῷ κλύδωνι τοῦ Ἡρακλέως. Τὸν δὲ ὕπνον μαγγανείᾳ τινὶ χρησαμένη προσελθεῖν ἐποίησε τῷ Διὶ, καὶ ἐφύπνωσεν αὐτὸν, ἵνα μὴ ἐγρηγορὼς βοηθήσῃ τῷ Ἡρακλεῖ χειμαζομένῳ. Μαθὼν δὲ μετὰ τὸν ὕπνον ὁ Ζεὺς τὸ κατασκεύασμα τῆς Ἥρας, τιμωρεῖται αὐτὴν οὕτω· Δύο ἄκμονας δήσας αὐτῇ περὶ τοὺς πόδας, περὶ δὲ τὰς χεῖρας πέδας ἀδιαλύτους, ἐκρέμασεν αὐτὴν ἀπὸ τοῦ οὐρανοῦ, τιμωρῶν αὐτήν.

82. *De Junone in æthere ac nubibus pendente, vinculisque ferreis astricta.*

Juno, ut passim legitur, dolore zelotypiæ adversus Herculem percita erat. Proinde cum ille Trojam cum Telamone populatus, ex ea expeditione rediret, Juno mare perturbavit, excitatisque ventis procellosum tempestuosumque reddidit. Ita et ven-

D

torum et undarum impetu navis Herculis jactabatur. Interea præstigiis quibusdam adhibitis Jovi somnum accersivit: ne, si vigilaret, Herculi tempestate jactato ac periclitanti auxilium ferret. Expergefactus itaque Jupiter intellecta Junonis fraude hoc supplicio in eam usus est: Duabus incudibus pedes ipsius astrinxit, vinctisque itidem manibus firmissimis quibusdam catenis eam e cœlo suspendit.

πγ'. Περὶ φόβου τῶν θεῶν.

Παρ' Ὁμήρῳ εἰς τὴν Υ ῥαψῳδίαν, τοῦ Ἀχιλλέως κατὰ κράτος ἀριστεύοντος, φόβος ἔλαβε τὸν Δία μήπως παρὰ τὸ εἱμαρμένον ὁ Ἀχιλλεὺς πορθήσῃ τὸ

83. *De terrore diis injecto.*

Cum Achilles omni animi corporisque robore pugnaret, egregiamque operam navaret, subiit Jovem metus, ne præter fatum ille Trojam expugna-

ret. Quo timore affectus diis liberum facit, ut quibus quisque vellet, opem ferret, atque alii Trojanis, alii Græcis auxilio essent. Hac potestate ipsis facta Jupiter quidem, ut fingunt poetæ, e cœlo tonuit : Neptunus autem mare concussit : Pluto vero cœlo ac mari commotis pertimuit, ne emota quoque terra ii qui sub terra erant, erumperent, ac res imperii sui in lucem proferrentur. Sunt autem de hac re hi Homeri versus :

Atque Erebi dominus regali sede relicta
Exsiliit pavidus, metuens ne forte superne
Concuteret terram tumidum qui temperat æquor.

84. *De nutu superciliorum et commotione crinium.*

Homerus Jovem inducit, pollicitationem hanc, qua Thetidi Achillis injuriam sese ulturum recepit superciliorum agitatione confirmantem, ac simul cum capitis nutu criniumque commotione cœlum ipsum commoventem. Ambrosios autem crines ipsius vocat, utpote quos nullus mortalium habere potest.

85. *De Marte sauciato et in Chalcoceramum incluso.*

Martem a Diomede vulneratum fuisse lib. *Iliad.* v narrat Homerus. Idem in vincula conjectus est ab Oto et Ephialto Alois filiis tyrannica natura præditis, qui circa Thessaliam exstiterunt, diisque bellum inferre meditati sunt. Mars ergo primus cum ipsis congressus est, atque ab iis superatus, in Chalcoceramo vinctus est. Est autem Chalcoceramus urbs hoc nomine appellata : vel genus est vinculi difficilis atque insolubilis. Ferunt porro Otum et Ephialtem nono ætatis anno triginta sex altitudinis cubitos habuisse, latitudinis autem novem cubitos.

86. *De amatore Veneris.*

Venus Vulcani fabri uxor erat. Hanc Mars adamavit, cumque ea adulterium perpetravit. Cujus rei certior factus Vulcanus, arte sua Marti ad subagitandam Venerem accedenti laqueos nectit, in quos imprudens ille incidit, atque a Vulcano detinetur, ac deprehenditur Venerem constuprans. Nec miseratione eorum affectus Vulcanus : quin potius ut publicam ipsis ignominiam inureret, deos accivit, libidinemque eorum ob oculos ipsis posuit. Ac tum videntes dii, quemadmodum adulter ille et adultera quasi in triumphum expositi laqueis tenerentur, magno ob eos risu diffusi sunt. Ac postea persoluta exigua pecunia Vulcano pro redemptionis pretio Mars solutus est.

87. *De bellis.*

Pallas et Juno Græcis studentes cum Venere et Marte, qui Trojanorum partes tuebantur, bellum gerebant. Possunt etiam hæc bella intelligi, quæ vel gigantes cum diis, vel Titanes ipsi cum Baccho inierunt.

88. *De Saturno et Cœli excisione.*

Poetæ Cœlum Saturni patrem fuisse fingunt. Saturnus itaque ne quis alius ex patre nasceretur, accepta falce genitalem patris sui partem excidit, atque in mare projecit ; atque exorta spuma nata

Ἴλιον. Τοῦτο δὲ φοβούμενος, ἐ[πι]τρέπει τοῖς θεοῖς τὸν βουλόμενον ᾧ βούλεται ἀπελθεῖν καὶ βοηθῆσαι. A Ἵνα οἱ μὲν τοῖς Τρωσὶν, οἱ δὲ τοῖς Ἕλλησι βοηθήσωσι. Τούτων οὖν ἐπιτραπέντων, ὁ μὲν Ζεὺς, κατὰ τὸν μῦθον, ἐβρόντησεν ἐκ τοῦ οὐρανοῦ· ὁ δὲ Ποσειδῶν σείει τὴν θάλασσαν· ὁ δὲ Ἅδης, σεισθέντων τῆς τε θαλάσσης καὶ τοῦ οὐρανοῦ, ἐφοβήθη μήπως σεισθείσης τῆς γῆς ἀνάῤῥηξις γένηται τῶν καταχθονίων, καὶ δημοσιευθῇ τὰ κατ' αὐτόν. Ἔστι δὲ τὰ ἔπη ταῦτα·

Δείσας δ' ἐκ θρόνου ἆλτο καὶ ἴαχε, μή οἱ ὕπερ- [*θεν*
Γαῖαν ἀναῤῥήξειε Ποσειδάων ἐνοσίχθων.

πδ'. *Περὶ συννεύσεως τῶν ὀφρύων.*

Ὅμηρος εἰσφέρει τὸν Δία μετὰ τὴν τῆς Θέτιδος ἱκεσίαν τὴν περὶ τοῦ Ἀχιλλέως, ὑποσχόμενον, κεκινηκότα μὲν τὰς ὀφρύας ἐν τῇ ὑποσχέσει, σείσαντα δὲ B τὰς τρίχας ἐπὶ τῇ κατανεύσει τῆς κεφαλῆς, καὶ συγκινήσαντα, φησὶ, τὸν ὅλον οὐρανὸν ἐπὶ τῇ τῶν τριχῶν κινήσει. Ἀμβροσίας δὲ τὰς τρίχας εἶπεν, οἷον, ἃς οὐδεὶς βροτῶν δύναται ἔχειν.

πε'. *Περὶ τοῦ Ἄρεως τιτρωσκομένου.*

Λέγει ὁ ποιητὴς, ὅτι ἐτρώθη ὑπὸ τοῦ Διομήδους· ταῦτα λέγει ἐν τῇ ῥαψῳδίᾳ Ε. Ἐδέθη δὲ παρὰ τοῦ Ὤτου καὶ τοῦ Ἐφιάλτου. Οὗτοι δὲ ἦσαν υἱοὶ μὲν Ἀλωέως, καὶ τύραννοι τὴν φύσιν· ἐγένοντο δὲ περὶ Θετταλίαν. Οὗτοι ἐμελέτησαν ἀνταρσίαν κατὰ τῶν θεῶν. Ὁ οὖν Ἄρης πρῶτος ἐπῆλθε κατ' αὐτῶν, εἶτα ἡττηθεὶς, ἐδέθη ἐν χαλκῷ κεράμῳ· χαλκοῦς δὲ κέραμος, ἡ πόλις ἐστὶν οὕτω καλουμένη, ἢ εἶδός τι δεσμοῦ δυσχεροῦς καὶ δυσλύτου. Λέγονται δὲ οἱ περὶ C Ὦτον καὶ Ἐφιάλτην ἐνναέτεις ὄντες, εἶναι ἐννεόργυιοι κατὰ τὸ μῆκος, κατὰ δὲ τὸ πλάτος, ἐννεαπήχεις.

πς'. *Περὶ τοῦ ἐραστοῦ τῆς Ἀφροδίτης.*

Ἀφροδίτη γυνὴ ἦν τοῦ Ἡφαίστου τοῦ χαλκέως. Ταύτης ἠράσθη ὁ Ἄρης, καὶ ἐμοίχευσεν αὐτήν. Ὁ οὖν Ἥφαιστος μαθὼν τοῦτο, τῇ τέχνῃ αὐτοῦ ἐτεχνάσατο τὰς πάγας, καὶ τίθησι τῷ Ἄρει ἐρχομένῳ ἐπὶ τῇ μοιχείᾳ τῆς Ἀφροδίτης· καὶ ἐμπίπτει εἰς τὰς πάγας καὶ κατέχεται ὁ Ἄρης, καὶ φωρᾶται μοιχεύων τὴν Ἀφροδίτην. Καὶ οὐκ ἔλυσεν αὐτοὺς ὁ Ἥφαιστος, ἀλλ' εἴασεν αὐτοὺς εἰς παραδειγματισμὸν αὐτῶν, ἕως οὗ ἐκάλεσε τοὺς θεοὺς καὶ ἐδημοσίευσεν αὐτούς. Καὶ τότε οἱ θεοὶ εἰδότες τὸ πῶς θριαμβευόμενοι (ἐν ταῖς πάγαις κατεχόμενοι ἦσαν οἱ δύο, ὅτε μοιχὸς καὶ ἡ μοι- D χαλίς), πολὺν ἐπ' αὐτοὺς κατέχεον γέλωτα· καὶ τότε λύεται ὁ Ἄρης, ὅτε μικρά τινα λύτρα δίδωσι τῷ Ἡφαίστῳ. Ἀμφιγύην δὲ τὸν Ἥφαιστον ἐκάλεσεν, ὡς χωλόν.

πζ'. *Περὶ τῶν πολέμων.*

Ἀθηνᾶ μὲν καὶ Ἥρα φροντίζουσαι τῶν Ἑλλήνων, ἐπολέμουν πρὸς Ἀφροδίτην καὶ Ἄρεα φροντίζοντας τῶν Τρώων. Εἴποις δὲ πολέμους, καὶ τοὺς ἀπὸ τῶν Γιγάντων πρὸς τοὺς ὅθεν θεοὺς, καὶ τοὺς ἀπὸ τῶν Τιτάνων πρὸς τὸν Διόνυσον.

πη'. *Περὶ Κρόνου καὶ τοῦ Οὐρανοῦ.*

Κατὰ τὸν μῦθον, ὁ Οὐρανὸς, φησὶ, γίνεται Κρόνου πατήρ. Ὁ Κρόνος οὖν μὴ βουλόμενος γενέσθαι αὐτῷ ἕτερον παῖδα, λαβὼν δρέπανον ἐκτέμνει τὰ αἰδοῖα τοῦ πατρὸς, καὶ ῥίπτει αὐτὰ εἰς τὴν θάλασσαν· καὶ ἀφροῦ

γενομένου ἐγεννήθη ἡ Ἀφροδίτη· ἔνθεν καὶ Ἀφροδίτη ὠνομάσθη ὡς ἐκ τοῦ ἀφροῦ.

A est Venus, unde etiam Ἀφροδίτη nominata est, ἐκ τοῦ ἀφροῦ, hoc est a spuma.

πθ'. *Περὶ τῆς τοῦ Διὸς πρὸς τὸν Κρόνον ἐπαναστάσεως.*

Ὁ Ζεὺς μαθὼν, ὅτι τεκνοφάγος ἐστὶν ὁ Κρόνος ὁ πατὴρ αὐτοῦ, ἐπανίσταται αὐτῷ, καὶ ἐκβάλλει αὐτὸν τῆς βασιλείας, καὶ καταταρταροῖ αὐτὸν μετὰ τῶν Τιτάνων. Κατὰ μίμησιν δὲ εἶπε τοῦ πατρὸς, ὅτι καὶ ὁ Κρόνος ἐπανέστη τῷ Οὐρανῷ, καὶ ἐξέτεμεν αὐτοῦ τὰ αἰδοῖα καὶ ἔλαβε τὴν βασιλείαν. Γλυκὺν δὲ λίθον καὶ τὸν αὐτὸν πικρὸν τυραννοκτόνον τὸν Δία καλεῖ· λίθον μὲν, ἐπειδὴ, ὡς εἶπον, ἡ Ῥέα λίθον δέδωκε τῷ Κρόνῳ καταπιεῖν ἀντὶ τοῦ Διός· τυραννοκτόνον δὲ καλεῖ, ἢ ὅτι ἐπανέστη τῷ Κρόνῳ ὁ Ζεὺς, ἢ ὅτι ὁ τούτου λίθος ἐποίησεν αὐτὸν ἐμέσαι, καὶ οὓς πρότερον κατέπιε.

89. *De insurrectione Jovis adversus Saturnum.*

Jupiter Saturnum patrem adeo crudelem atque immanem esse sentiens, ut filios suos devoraret, impetum adversus eum facit, regnumque ei abstrahit, propriumque patrem principatu exturbat. Ad imitationem autem patris hoc ab eo factum esse ait Gregorius, quoniam ipse quoque Saturnus adversus Cœlum insurrexerat, ac pudendas ipsi partes absciderat, imperiumque ad se transtulerat. Dulcem porro lapidem Jovem vocat, eumdemque acerbum tyrannicidam : lapidem quidem quoniam Rhea, ut a nobis dictum est, Saturno lapidem B Jovis loco devorandum porrexerat : tyrannicidam autem, vel quia Jupiter adversus Saturnum rebellavit, vel quia hujusmodi lapidem eos quoque, quos prius devorarat, evomere coegit.

ϟ'. *Περὶ τοῦ Κερδῴου.*

Κερδῷον θεὸν καλοῦσιν οἱ Ἕλληνες τὸν Ἑρμῆν, ὡς κέρδους περιποιητικόν. Διὸ καὶ Ἀριστοφάνης ὁ κωμικὸς ἐν τῷ δράματι τῷ *Πλούτῳ*, ἀπορῶν, τίνα δεῖ καλέσαι τὸν Ἑρμῆν, φησίν· Ἐμπολαῖον αὐτὸν ἱδρυσώμεθα, τουτέστι, κέρδους ἔφορον.

90. *De Lucreo deo.*

Lucrium deum Mercurium Græci vocant, ut lucri auctorem. Unde etiam comicus Aristophanes in *Pluto* addubitans quo nomine Mercurius appellandus sit, Statuamus eum, inquit, ἐμπολαῖον, id est quæstus et lucri præsidem.

ϟα'. *Περὶ Διὸς πάντα γινομένου.*

Ὁ Ζεὺς γενόμενος ἀετὸς διὰ μαγγανείας τινὸς, ἥρπασε τὸν Γανυμήδην, ἐρασθεὶς αὐτοῦ πρὸς παιδεραστίαν· Φρὺξ δὲ ὁ Γανυμήδης. Ὁ δὲ μῦθος ἔχει, ὅτι ἥρπασεν ὁ Ζεὺς τὸν Γανυμήδην, ἵνα ποιήσῃ αὐτὸν οἰνοχόον, ὅταν ἀριστοποιῇ τοῖς θεοῖς· οὗτος δὲ ὁ Ζεὺς γοητείᾳ τινὶ γέγονε χρυσὸς, καὶ Δανάῃ συνεγένετο· πάλιν ταῦρος, καὶ τὴν Εὐρώπην ἥρπασε· κύκνος δὲ γενόμενος, Λήδαν ἐπόρνευσε· πάλιν ταῦρος γενόμενος, τὴν Πασιφάην ἐπόρνευσε· σάτυρος δὲ γενόμενος καὶ τἄλλα μυρία κακὰ πράξας διὰ φιληδονίαν καὶ λαγνείαν.

91. *De eo qui propter mulieres quidvis efficitur.*

Jovem intelligit, qui præstigiis quibusdam in aquilam transformatus, Ganymedem rapuit, ut eo ad masculam libidinem abuteretur. Phryx autem erat Ganymedes, idcirco, ut poetæ fabulantur, a Jove raptus, ut pocillatoris munere fungeretur, cum Jupiter deos prandio excepturus esset. Idem C Jupiter præstigiosa quadam arte aurum effectus Danaen compressit. Rursus sub tauri forma Europam rapuit, quemadmodum etiam in cygnum commutatus Ledæ stuprum intulit, et in satyrum conversus Nycteidem nympham aliaque sexcenta flagitia propter voluptatem libidinemque perpetravit.

[92. (51) *De Thestii filiabus.*

Jam diximus Herculem una nocte cum L Thestii filiabus congressum fuisse, eumque Trivesperi nomen ex eo consecutum, quod tribus diebus procreatus sit.

93. *De Marte iræ præside.*

Mars bellorum præses dicitur, atque iram spirans, quoniam ea in bellis indigemus ut irascibilem animæ nostræ facultatem moveat.

94. *De Bacchi temulentia.*

Bacchum vitis ac vini atque ipsius etiam ebrietatis præsidem esse aiunt : ipsumque etiam mero se obruentem fingunt, consilioque Junonis huic vitio sese addixisse, hoc videlicet agentis, ut ille immoderato potu mentis errorem contraheret. Ipsi enim ut Jovis filio infesta erat. Omnes enim ex Jove progenitos zelotypia insectabatur.

95. *De Diana hospites odio habente.*

De Tauris et Iphigenia jam verba fecimus. Diana enim apud Tauroscythas colebatur : habebantque illi Iphigeniam Agamemnonis filiam sacerdotem hospites ipsi immolantem. Ipsa quippe hospitum cæde oblectabatur.]

D

ϟϛ'. *Περὶ τοῦ Λοξίου.*

Ὁ Ἀπόλλων μαντευόμενος, οὐ σαφῶς, οὐδὲ διαρρήδην τοὺς χρησμοὺς τοῖς χρησμῳδουμένοις ἔλεγεν, ἀλλ' ἀσαφῶς καὶ λοξῶς· διὸ ἤκουσε Λοξίας, ὡς τὰ-

96. *De Loxia oracula edente.*

Apollo vaticinans nequaquam aperte ac perspicue iis a quibus consulebatur, oracula edebat, sed obscure atque oblique. Unde etiam Loxias dictus est

(51) Inclusa omittit Nonnus.

ut contraria iis, quæ eventura erant, vaticinia efferens, ob idque multos in fraudem impellens. Quorum in numero Crœsus quoque Lydorum rex fuit. Nam cum ipse oraculum accepisset:

Crœsus Halyn penetrans regnum pervertet opimum:

incertum autem esset, quodnam regnum eversurus esset, existimans ille Apollinem de hostium regno atque imperio loqui, Halyn fluvium trajecit, propriumque imperium evertit.

A ναντία τῶν ἐκβησομένων χρησμῳδῶν. Καὶ ἐκ τούτου ἠπατῶντο πολλοί· μάλιστα δὲ πάντων ὁ Κροῖσος ὁ Λυδός. Ἦν γὰρ αὐτῷ ὁ δοθεὶς χρησμὸς οὗτος·

Κροῖσος Ἅλυν διαβὰς, μεγάλην ἀρχὴν καταλύσει.

Οὐκ ἦν δὲ σαφὲς ποίαν ἀρχὴν καταλύσει. Νομίσας οὖν ὁ Κροῖσος, ὅτι τὴν τῶν ἐναντίων ἀρχὴν λέγει, ἐπέρασε τὸν Ἅλυν ποταμὸν, καὶ τὴν οἰκείαν ἀρχὴν κατέλυσε.

97. *De immoderato et effrenato risu.*

Simul atque Vulcanus Martem adulterio cum Venere junctum laqueis suis irretivit et astrinxit, ut de ipsis triumpharet, deos convocavit: qui cum eos vidissent, effusissimum risum ediderunt. Claudicantem autem eumdem Vulcanum vocat Gregorius. Claudus enim erat hic deus (1) apud B ipsos. Tenuibus porro tibiis oblectabatur Vulcanus, quoniam tibiis incidens Mars in ejus laqueos, inutiles illæ ipsi exstiterunt.

ϞΖʹ. *Περὶ γέλωτος ἀμετρίας.*

Χωλεύοντα θεὸν λέγει τὸν Ἥφαιστον· χωλὸς γὰρ οὗτος παρ' αὐτοῖς. Ὃν ὁρῶντες ὑπηρετοῦντα καὶ χωλεύοντα, ἐγέλων οἱ θεοί· καὶ ὅτε ταῖς πάγαις τὸν Ἄρεα ὁ Ἥφαιστος διὰ τὴν μοιχείαν συνέδησεν, ἐκάλεσε τοὺς θεοὺς, καὶ πολὺν γέλωτα κατ' αὐτοῦ κατέχεον.

98. *De Jove ad pingue convivium currente.*

Jupiter in Æthiopiam ad epulas profectus est, quas Æthiopes instruxerant, ipsumque cum diis aliis invitarant. Epulæ autem illæ Æthiopum, atque earum causa sacrificium erat, quod Jovi fiebat. De qua re hæc Homeri carmina sunt:

Jupiter hesterna cœnatum luce probatos
Ivit ad Æthiopes, atque omnis turba deorum.

ϞΗʹ. *Περὶ τοῦ ἐπὶ δαῖτα τρέχειν τὸν Δία.*

Ὁ Ζεὺς ἀπῆλθεν ἐν τῇ Αἰθιοπίᾳ ἐπὶ ἄριστον. Οἱ οὖν Αἰθίοπες ἀριστοποιήσαντες, ἐκάλεσαν αὐτόν τε καὶ τοὺς ἄλλους θεοὺς σὺν αὐτῷ. Τὸ δὲ ἄριστον τὸ Αἰθιοπικὸν καὶ ἡ δίαιτα αὕτη, θυσία ἦν γινομένη τῷ Διΐ· τὰ δὲ ἔπη εἰσὶ ταῦτα·

Ζεὺς γὰρ ἐπ' Ὠκεανὸν μετ' ἀμύμονας Αἰθιοπῆας,
Χθιζὸς ἔβη μετὰ δαῖτα, θεοὶ θ' ἅμα πάντες ἕποντο.

(52) Vide finem I *Iliad.* Nam hic inanis est Nonni expositio.

ΝΟΝΝΟΥ ΣΥΝΑΓΩΓΗ ΚΑΙ ΕΞΗΓΗΣΙΣ

ΩΝ ΕΜΝΗΣΘΗ ΙΣΤΟΡΙΩΝ

Ο ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΗΡ ΗΜΩΝ ΓΡΗΓΟΡΙΟΣ

ΕΝ ΤΩ ΚΑΤΑ ΙΟΥΛΙΑΝΟΥ ΣΤΗΛΙΤΕΥΤΙΚΩ ΔΕΥΤΕΡΩ.

NONNI COLLECTIO ET INTERPRETATIO

HISTORIARUM

QUARUM S. P. N. GREGORIUS MEMINIT IN INVECTIVA II ADVERSUS JULIANUM.

1. *De Ariadnes corona.*

Ariadne Minois Cretensium regis filia, Thesei Atheniensium regis, qui eo ad interficiendum Minotaurum perrexerat, amore capta est. Hanc porro a Theseo acceptam in Naxon insulam duxit, cumque ea rem habuit, atque in ejus honorem coronam in cœlo stellis quibusdam depinxit.

C αʹ. *Περὶ τοῦ Ἀριάδνης στεφάνου.*

Ἀριάδνη θυγάτηρ ὑπῆρχε Μίνωος τοῦ Κρητῶν βασιλέως. Αὕτη ἠράσθη Θησέως τοῦ Ἀθηνῶν βασιλέως, ἐλθόντος ἐπ' ἀναιρέσει τοῦ Μινωταύρου. Ἐκ τοῦ οὖν Θησέως ἔλαβεν αὐτὴν ὁ Διόνυσος, καὶ ἀνήγαγεν ἐν τῇ Νάξῳ, καὶ συνεμίγη αὐτῇ· καὶ πρὸς τιμὴν αὐτῆς, στέφανον ἐν τῷ οὐρανῷ δι' ἀστέρων ὑπεζωγράφησεν.

β'. Περὶ τῆς Βερονίκης. A

Ἡ δὲ τοῦ πλοκάμου τῆς Βερονίκης ἐστὶν αὕτη· Βερονίκη γυνή τις ἦν τοῦ ἐν Ἀλεξανδρείᾳ Πτολεμαίου τοῦ Εὐεργέτου καλουμένου. Τοῦ οὖν ἀνδρὸς αὐτῆς τοῦ Πτολεμαίου ὄντος ἐν πολέμοις, ηὔξατο, ὅτι εἰ ὑποστρέψει ἄτρωτος, τῶν πλοκάμων τῶν ἑαυτῆς ἀπόκαρμα ἀναθήσει ἀνάθημα ἐν τῷ ἱερῷ· καὶ ἀνέθηκεν ἡ Βερονίκη τὸν πλόκαμον ἀποκείρασα τὸν ἑαυτῆς, ὑποστρέψαντος τοῦ Πτολεμαίου. Κόνων δέ τις ἦν ἀστρονόμος ἐπὶ τῶν αὐτῆς χρόνων, ὅς πρὸς κολακείαν αὐτῆς φησιν, ὅτι οἱ θεοὶ τὸν πλόκαμον τοῦτον ἐν ἄστροις ἀνέθηκαν. Καὶ νῦν ἔστι τις βοτρυοειδὴς θέσις ἀστέρων ἐν τῷ οὐρανῷ, ὃ καλοῦσι πλόκαμον Βερονίκης.

2. *De Berenices crine* (53).

Berenice Ptolemæi cognomento Evergetis uxor erat: quæ marito bellum peregre gerente hoc voto se obstrinxit ut si illæsus atque incolumis ille rediret, ipsa detonsos crines in templo donarii cujusdam loco appenderet. Quo etiam voto defuncta est. Erat autem ipsius tempore astronomus quidam Comonus nomine, qui ut ipsi adularetur, deos ipsius crinem inter astra retulisse affirmavit. Ac proinde nunc nexus quidam stellarum in cœlo est, quem Berenices crinem appellant.

γ'. Περὶ τοῦ κύκνου. B

Ἡ δὲ περὶ τοῦ κύκνου ἐστὶν αὕτη· Ὁ Ζεὺς ἐρασθείς, ὡς μέν τινες λέγουσι, τῆς Νεμέσεως, ὡς δὲ ἕτεροι, τῆς Λήδας, καὶ βουλόμενος συγγενέσθαι αὐτῇ, καὶ μὴ ὁρα[σ]θῆναι ὑπὸ τῆς Ἥρας, ἐξωμοιώθη κύκνῳ, καὶ συνεγένετο τῇ ἐρωμένῃ. Νῦν οὖν οὗτος ὁ κύκνος κατεστηρίχθη ἐν τῷ οὐρανῷ· καὶ ἔστι, φησίν, ὑποζωγραφηθεὶς καὶ ἄστρον ὁ κύκνος.

3. *De cygno.*

Jupiter, ut quidam tradunt, Nemeseos, ut autem alii, Ledæ amore inflammatus, cum eaque stupri commercium habere cupiens, ne a Junone perspiceretur, cygni formam subiit: atque ita cum amica congressus est. Nunc ergo hic cygnus in cœlo pictus est, atque inter astra collocatus.

δ'. Περὶ τοῦ ταύρου.

Ἡ δὲ περὶ τοῦ ταύρου ἐστὶν αὕτη· Ταῦρός τις ὑπὸ τοῦ Ποσειδῶνος ἀνεδόθη περὶ τὴν Ἑλλάδα. Οὗτος ἐλυμαίνετο τὴν χώραν καὶ ἐσίνετο πολλά. Ἐπὶ τοῦτον ἦλθεν ὁ Θησεύς, καὶ ἀνεῖλεν αὐτόν. Καὶ βουλόμενοι οἱ θεοὶ μέγα τὸ ἔργον τοῦ Θησέως δεῖξαι, καὶ θεραπεῦσαι τὸν Ποσειδῶνα, κατεστήριξαν τὸν ταῦρον ἐν C τῷ οὐρανῷ· καὶ νῦν ἐστι διὰ ἀστέρων ὑποζωγραφηθεὶς ὁ ταῦρος ἐν τῷ οὐρανῷ.

4. *De tauro.*

Taurus quidam a Neptuno circa Græciam emissus est: qui cum regionem totam pervastaret, maximamque perniciem ipsi afferret, tandem a Theseo interemptus est. Quocirca dii ut magnum atque illustre Thesei facinus ostenderent, simul etiam ut iram Neptuni lenirent, Taurum inter cœlestia astra defixerunt.

ε'. Περὶ τοῦ λέοντος.

Ἡ δὲ περὶ τοῦ λέοντος ἱστορία ἐστὶν αὕτη· Λέων ζῶον ἄγριον ἦν ἐν τῇ Νεμέᾳ· χώρα δὲ αὕτη τῆς Πελοποννήσου. Οὗτος οὖν ὁ λέων ἐλυμαίνετο τοὺς ἐν τῇ χώρᾳ. Εὐρυσθεὺς οὖν βασιλεύων τῶν Μυκηνῶν, καὶ μηνιῶν τῷ Ἡρακλεῖ, πέμπει αὐτὸν ἐπὶ τὸ ἀνελεῖν τὸν λέοντα· καὶ νῦν ἐστιν ὁ λέων ἐν ἄστροις.

5. *De leone.*

Leo ferum ac truculentum animal erat in Nemea. Est autem Nemea Peloponnesi regio. Hic igitur leo maximis detrimentis regionem afficiebat. Eurystheus itaque, Mycenarum rex, hoc indicat Herculi, eique negotium dat, ut leonem de medio tollat. Profectusque Hercules leonem interfecit. Quamobrem dii ut Herculis certamen clarum atque illustre redderent, stellis in cœlo leonem depinxerunt: ac nunc leo inter astra est.

ϛ'. Περὶ τοῦ Ὀφιούχου.

Ἡ δὲ περὶ τοῦ ὀφιούχου ἐστὶν αὕτη· Λέγεται εἶναι οὗτος ὁ ὀφιοῦχος ὁ Ἀσκληπιός, ὁ ἔφορος τῆς ἰατρικῆς. Σύμβολον δὲ ὁ ὄφις τοῦ ἀγήρω· λέγεται γὰρ D ἀποδύεσθαι τὸ γῆρας ὁ ὄφις καὶ ἀνανεοῦσθαι. Ἐπεὶ οὖν ὁ Ἀσκληπιὸς διὰ τῆς ἰατρικῆς ἀνανεοῖ τὰ ἀνθρώπινα σώματα, ποιοῦσιν αὐτὸν μετὰ τοῦ δράκοντος. Θέλοντες οὖν οἱ θεοὶ ἀντὶ ἀγάλματος αὐτὸν ἀνιερῶσαι, δι' ἀστέρων αὐτὸν ἀνιέρωσαν ἐν τῷ οὐρανῷ.

6. *De Ophiucho.*

Ophiuchus hic (Tullius Anguitenentem vertit) Æsculapius esse dicitur, medicinæ præses: serpens enim longissimam quamdam vitam ac senectutis expertem designat. Ferunt enim eum senectutem exuere, atque ad juventutem redire. Quoniam igitur Æsculapius artis suæ opera et adjumento corpora humana renovat, idcirco eum cum dracone collocavit. Dii autem eum statuæ loco consecrare cupientes, per stellas ipsum in cœlo consecrarunt.

ζ'. Περὶ τοῦ Σαλμωνέως.

Σαλμωνεὺς Αἰόλου μὲν ἦν υἱός, βασιλεὺς δὲ Θετταλῶν. Οὗτος ἀσεβής, φησίν, εἰς θεοὺς γενόμενος, προσάπτων ἅρματι βύρσας ξηράς τε καὶ σκληράς, καὶ λέβητάς τινας μετὰ τῶν βυρσῶν, ἤχους ἀπετέλει· μετὰ χεῖράς τε βαστάζων καιομένας λαμπάδας ἐμεγαλαύχει, καθάπερ ὁ Ζεὺς βροντᾶν τε καὶ ἀστρά-

7. *De Salmoneo e corio tonante.*

Salmoneus Æoli filius rex Thessalorum erat vir in deos impius ac nefarius. Hic coria quædam sicca et dura consuens atque accommodans, ac lebetes quosdam cum coriis pulsans, sonos quosdam edebat, atque ardentes faces manibus gestans insolenter jactabat se Jovis instar tonare ac fulgurare;

(53) Hæc et quæ sequuntur usque ad dicta de Salmoneo sine distinctione in Græco legebantur.

quoad tandem a Jove fulminis ictu oppressus est. Filiam autem impuberem reliquit nomine Tyro, quæ apud patruum Cepheum educata Enipei fluminis patrii amore flagrare cœpit. Quod cum Neptunus animadvertisset, fluvii similitudinem induit, atque Enipei loco ea potitus est: ex eoque congressu Peliam et Neleum concepit eosque utero gerebat, a Criteo postea in matrimonium accepta est, tandemque peperit, ut quidem erat hominum opinio, ex Criteo, revera autem ex Neptuno. Quanquam ex ipso quoque Criteo postea liberos extulit.

A πτειν, ἕως ὑπὸ Διὸς κεραυνωθεὶς ἀνῃρέθη· καὶ κατέλιπε θυγατέρα ἀφήλικα ὀνόματι Τυρώ. Αὕτη τραφεῖσα ὑπὸ τοῦ ἰδίου θείου πρὸς πατρὸς Κηφέως, ἠράσθη τοῦ ἐγχωρίου ποταμοῦ Ἐνιπέως. Τούτῳ δὲ τῷ ποταμῷ ὁμοιωθεὶς ὁ Ποσειδῶν συνεγένετο τῇ Τυροῖ, καὶ συνέλαβε τὸν Νηλέα καὶ τὸν Πελίαν. Ἔγκυος δὲ οὖσα ἐγαμήθη ὑπὸ Κρηθέως, καὶ ὕστερον ἔτεκεν ἡ Τυρὼ, τῷ μὲν δοκεῖν ἐκ Κρηθέως, τῇ δὲ ἀληθείᾳ ἐκ Ποσειδῶνος· ὕστερον δὲ καὶ ἐξ αὐτοῦ Κρηθέως ἔσχε παῖδα ἡ Τυρώ.

8. *De Babylonio Zopyro.*

Darius Persarum rex cum Babylonem diuturna obsidione cinctam tenuisset, nec eam expugnare posset, ob idque animo angeretur, Zopyrus quidam, vir strenuus magnitudineque animi præstans, ut res ipsa declaravit, nec obscuri apud Darium nominis, hæc machinatur: Inciso naso atque auribus, multisque sibi inflictis verberibus ad Babylonios transfugit, perinde ac gravissimis injuriis a Dario affectus. Ita simulans se erga Babylonios optime affectum esse, dux belli ab iis creatur, ac certamine quodam inito, magnam in Darii exercitu stragem edidit. Qua re benevolentiæ fidem apud eos nactus Dario diem præstituit, qua Babylonem oppugnaret. In ea itaque Babyloniis persuasit, ut sibi urbis claves traderent: quibus acceptis, portas aperuit, ac Persas introduxit. Ita in Darii imperium ditionemque redacta est Babylon. Hæc Herodotus lib. III *Histor.*

η'. *Περὶ τοῦ Ζωπύρου.*

Δαρεῖος, ὁ Περσῶν βασιλεὺς, πολιορκῶν τὴν Βαβυλῶνα ἐπὶ χρόνον πολὺν, καὶ δυσπορθήτου οὔσης B αὐτῆς, καὶ ἀσχάλλοντος ἐπὶ πολὺν καιρὸν, Ζώπυρός τις ἀνδρεῖος τὴν ψυχὴν, ὡς ἔδειξε τὸ πρᾶγμα, καὶ οὐκ ἄδοξος παρὰ τῷ Δαρείῳ, μηχανᾶταί τι τοιοῦτον· Κόψας ἑαυτοῦ τὴν ῥῖνα καὶ τὰ ὦτα, καὶ μάστιξιν ἑαυτὸν καταξάνας, δῆθεν αὐτομολεῖ πρὸς τοὺς Βαβυλωνίους, ὡς δεινὰ πεπονθὼς παρὰ τοῦ Δαρείου. Εἶτα ἀπελθὼν, προσποιεῖται εὐνοεῖν τοῖς Βαβυλωνίοις, καὶ ὑποτίθεται αὐτοῖς τινα κατὰ τοῦ Δαρείου· καὶ ἁπλῶς πίστιν ἐγγεννᾷ τοῖς Βαβυλωνίοις, στρατηγήσας ὑπὲρ Βαβυλωνίων, καὶ ἀνελὼν πολλοὺς τοῦ Δαρείου. Συνθεὶς δὲ σύνθημα μετὰ Δαρείου ἡμέραν ὡρισμένην, ἐν ᾗ δεῖ αὐτὸν προσβάλλειν τῇ Βαβυλῶνι, ἐν ταύτῃ πείθει τοὺς Βαβυλωνίους λαβεῖν τὰς κλεῖς τῶν πυλῶν. Εἶτα λαβὼν, ἤνοιξε, καὶ εἰσήγαγε τοὺς Πέρσας· καὶ οὕτως ἐχειρώθη ἡ Βαβυλών. Ταῦτα C Ἡρόδοτός φησιν ἐν τῇ τρίτῃ τῶν *Ἱστοριῶν*.

9. *De Cyro Parysatidis filio.*

Darius minor Xerxis filius ex Parysatide filios duos procreavit, Cyrum et Artaxerxem. Mortuo autem Dario de imperio fratres contendebant, atque Artaxerxi quidem ut natu majori jus temporis regnum asserebat: Cyrum autem ut juniorem et chariorem mater designabat; superior tamen obætatem fuit Artaxerxes, imperiumque obtinuit. Cyrus itaque Artaxerxi subesse nolens a fratre suo petit, ut sibi Asiæ satrapiam ac velut provinciam administrandam concederet. Quod cum impetrasset, in Ioniam descendit, illicque præfecturæ sede fixa de imperio rursus cogitare cœpit, pellectisque Lacedæmoniis quibusdam aliisque Græcis numero circiter decem millibus, ipsis persuasit, ut belli societatem cum eo inirent ipsumque sequerentur. His itaque comitatus ad Persidem usque ascendit conseitoque inter Artaxerxis Cyrique copias prælio victoriam referunt Cyri milites, tametsi perexiguo numero, si cum Artaxerxis exercitu conferantur. Græci enim aciei instruendæ peritissimi erant, ac licet perpauci, arte tamen ac solertia ingentem hostium multitudinem superabant. At Cyrus brevi victoria elatus atque insolens e phalange sua in Artaxerxis phalangem impetum facit, ut videlicet Artaxerxem ipsum obtruncaret. Ita solus a multis trucidatus est, regnique spe frustratus periit. Hæc Xenophon in rerum Græcarum H[illegible]

θ'. *Περὶ τοῦ Κύρου τοῦ Παρυσάτιδος.*

Δαρεῖος ὁ μικρὸς, ὁ υἱὸς Ξέρξου, γεννᾷ ἐκ τῆς Παρυσάτιδος δύο υἱοὺς, Κῦρον καὶ Ἀρταξέρξην. Ἀποθανόντος δὲ τοῦ Δαρείου, ἠμφισβήτουν οἱ δύο περὶ τῆς βασιλείας. Καὶ τὸν μὲν Ἀρταξέρξην, ὡς πρεσβύτερον, ἦγεν ὁ χρόνος ἐπὶ τὸ βασιλεῦσαι· τὸν δὲ Κῦρον, ὡς νεώτερον καὶ φιλούμενον, ἡ μήτηρ προεβάλλετο. Ἐπικρατεῖ δὲ ὁ Ἀρταξέρξης διὰ τὸν χρόνον, καὶ βασιλεύει. Ὁ οὖν Κῦρος μὴ θέλων ὑπείκειν τῷ Ἀρταξέρξῃ, αἰτεῖ τὸν ἴδιον ἀδελφὸν δοῦναι αὐτῷ τὴν τῆς Ἀσίας σατραπείαν, οἷον ἐπαρχότητα, καὶ λαβὼν κατῆλθεν ἐπὶ τὴν Ἰωνίαν· κἀκεῖσε καθεζόμενος, εἰς ἔννοιαν ἐλθὼν πάλιν τῆς βασιλείας, D καὶ πείσας Λακεδαιμονίων ἄνδρας τινὰς, καὶ ἄλλους Ἕλληνας, ὡς μυρίους, συνακολουθεῖν αὐτῷ. Τούτων οὖν συνακολουθούντων ἀνῆλθεν ἕως Περσίδος· καὶ συμβολῆς γενομένης μεταξὺ τῶν Ἀρταξέρξου καὶ τῶν Κύρου, νικῶσιν οἱ τοῦ Κύρου, καὶ ταῦτα ὄντες πολὺ ἐλάχιστοι πρὸς τὴν Ἀρταξέρξου στρατείαν· οἱ γὰρ Ἕλληνες ᾔδεισαν καλῶς παρατάττεσθαι· καὶ ὀλίγοι ὄντες τέχνῃ ἐνίκων τοὺς πολλούς. Ὁ γοῦν Κῦρος ἐπαρθεὶς τῇ νίκῃ, ἐφορμᾷ ἀπὸ τῆς αὐτοῦ φάλαγγος ἐπὶ τὴν φάλαγγα τοῦ Ἀρταξέρξου, ὡς δῆθεν αὐτὸν τὸν Ἀρταξέρξην κατασφάξων, καὶ διαφθείρεται μόνος ὤν· καὶ οὕτω τελευτᾷ μὴ βασιλεύσας. Ταῦτα λέγει ὁ Ξενοφῶν ἐν τοῖς *Ἑλληνικοῖς*.

ι'. Περὶ τοῦ Ἱστιαίου.

Ἱστιαῖος Σάμιος μὲν ἦν τὸ γένος· φίλος δὲ γενόμενος Δαρείου τοῦ Περσῶν βασιλέως, ἐλήφθη ὑπ' αὐτοῦ ἐν Περσίδι. Ἐκεῖ δὲ διαιτώμενος, ἐπεθύμει ἰδεῖν τὴν οἰκείαν πατρίδα· μὴ ἀπολυόμενος δὲ, γράφει τῷ ἰδίῳ ἀνεψιῷ τῷ Ἀρισταγόρᾳ μελετῆσαι ἀποστασίαν· καὶ πείθει δὲ καί τινας τῶν Ἰώνων συναποστῆναι. Γράφει δὲ, ὡς μὴ φωραθῆναι, τὸν τρόπον τοῦτον· Λαβὼν πιστὸν οἰκέτην, καὶ τούτου τὴν κεφαλὴν ξυρήσας, ἐγχαράττει τῇ κεφαλῇ ὃ ἐβούλετο δηλῶσαι· εἶτα μέλανι ἐγκαύστῳ μελαίνει τὴν χάραξιν, καὶ ἀφῆκεν ἀνενεγκεῖν τὰς τρίχας· καὶ μετὰ τὸ κομάσαι αὐτὸν, ἀποπέμπει λέγων τῷ οἰκέτῃ πάλιν ἐκεῖσε ἀποξυρηθῆναι, ἵνα γνῷ Ἀρισταγόρας τὰ γράμματα. Ἀναγνοὺς τοίνυν ὁ Ἀρισταγόρας, καὶ μαθὼν, ἐποίησε τὴν ἀποστασίαν σχεδὸν πάντων τῶν Ἰώνων. Εἶτα μανθάνει ἐν Περσίδι ὁ βασιλεὺς, καὶ σύμβουλος γίνεται τῷ Ἱστιαίῳ, ὡς Ἕλληνι, τί δεῖ ποιῆσαι· καὶ συμβουλεύεται παρὰ τοῦ Ἱστιαίου, αὐτὸν πέμψαι εἰς τὴν Ἀσίαν, ὡς ἱκανὸν ὄντα διαλῦσαι τὰ περὶ τῆς ἀποστάσεως. Ἐλθὼν οὖν ὁ Ἱστιαῖος ἐν τῇ Ἀσίᾳ, καὶ ὡς ὕποπτος γενόμενος ὅλου τοῦ πράγματος, παρὰ τοῦ Ἀρταφέρνου τοῦ ὑπάρχου Σάρδεων ἤκουσε ταῦτα· Τοῦτο τὸ ὑπόδημα ἔῤῥαψε μὲν Ἱστιαῖος, ὑπεδήσατο δὲ Ἀρισταγόρας· ὑπόδημα δὲ, τὴν ὅλην κατασκευὴν ἔλεγε. Ταῦτα ὁ Ἡρόδοτος λέγει ἐν τῇ ἕκτῃ τῶν *Ἱστοριῶν*.

ια'. Περὶ τῶν ἑκατονταχείρων.

Ὅτι γεγόνασι δύο τινὲς, ὁ Κόττος καὶ ὁ Βριάρεως ἔχοντες ἑκατὸν χεῖρας· καὶ οὗτοι μετὰ τῶν θεῶν ἐπολέμησαν πρὸς τοὺς Γίγαντας.

ιβ'. Περὶ τῆς ἀμπώτιδος.

Ἄμπωτις, ὡς ἤδη ἡμῖν εἴρηται, ἐναντία ἐστὶ τῇ ῥαχίᾳ. Ταῦτα δὲ πάθη ἐστὶ θαλάσσης στενῆς περικλειομένης ἢ ὑπὸ νήσων, ἢ ὑπὸ γωνιῶν. Ἄμπωτις δέ ἐστιν οἱονεὶ ἀνάπωτις καὶ ἀναῤῥόφη[σις] ὑποστελλομένου τοῦ ὕδατος εἰς μυχούς τινας τῆς ὑποκειμένης γῆς, καὶ μετ' ὀλίγον πάλιν ἐκφοιτῶντος. Τὸ μὲν οὖν ὑποσταλῆναι τὸ ὕδωρ ἔσω εἰς τὰ κοῖλα τῆς γῆς, λέγεται ἄμπωτις· τὸ δὲ πάλιν ἐκρεῦσαι τοῦτο, καλεῖται ῥαχία. Γίνεται δὲ τοῦτο πολλάκις τῆς ἡμέρας, μάλιστα ἐὰν πνῇ ἄνεμος. Πάσχει δὲ τὸ πάθος τοῦτο ὁ Εὔριπος περὶ τὴν Ἑλλάδα· διὸ καὶ Εὔριπος ὠνόμασται οἱονεὶ ὁ εὔτρεπτος καὶ εὐχερῶς περιπίπτων. Εἰς τοῦτον λέγεται Ἀριστοτέλης ἑαυτὸν ῥίψαι. Εἴρηται δὲ ἡμῖν τοῦτο καὶ ἐν τῷ α' λόγῳ.

ιγ'. Περὶ τῶν Ἠλυσίων πεδίων.

Ὥσπερ ὁ Χριστιανικὸς λόγος ὑπογράφει τινὰ εἶναι παράδεισον, οὕτω καὶ οἱ Ἕλληνες ὑπογράφουσί τινα χῶρον, ὃν καλοῦσι Μακάρων νήσους. Καλοῦσι δὲ αὐτὸν καὶ Ἠλύσιον πεδίον, παρὰ τὸ ἐλεύσεσθαι ἐκεῖσε τοὺς καλῶς βεβιωκότας. Ὁ δὲ Ῥαδάμανθυς υἱὸς λέγεται εἶναι τοῦ Διὸς, ἔχειν δὲ τὴν δικαστικὴν ἀξίαν, καὶ δικάζειν τοὺς ἐν Ἅδου· καὶ τοὺς μὲν ἀξίους κολάσεως, πέμπειν παρὰ τὸν Κωκυτὸν καὶ τὸν Πυρ.φλε-

10. *De Samiorum tyrannide.*

A Histiæus Samius a Dario Persarum rege, qui cum amore complectebatur, in Perside retentus est, illicque degens patriæ videndæ cupiditate flagrabat. Cumque commeatum a rege impetrare non posset, cum Aristagora consobrino suo per litteras egit, ut defectionem moliretur, atque Ionum etiam quosdam ad idem facinus sollicitaret. Sic porro scripsit: Servum quemdam cujus fidem exploratam habebat, accepit, rasoque ipsius capite, ea quæ Aristagoræ significare volebat, ipsi inussit, atque ita cum tantisper apud se tenuit, quoad crines ipsi renati essent, ac tum ipsum emittit, jubetque ut cum in Ioniam pervenerit, caput radat, ut Ari-
B stagoras litteras legat. Aristagoras itaque perlectis cognitisque Histiæi litteris omnes propemodum Iones ad defectionem impulit. Quod cum in Persidem ad regem allatum esset, ipse Histiæum ut Græcum hominem in consilium adhibet, percunctaturque quid facto opus sit, suadet ille regi, ut se in Asiam mittat. Tantum enim se illic auctoritate ac potentia florere, ut totum illud defectionis consilium facile infringere queat. Profectus igitur in Asiam, apud Artaphernem qui Sardes cum imperio tenebat in suspicionem venit, quasi totius conjurationis architectus esset. Ac proinde hæc ab eo audivit : Hanc vestem consuit quidem Histiæus, induit autem Aristagoras; per vestem videlicet totam illam fraudem proditionisque consilium intelligens.

C

11. *De centimanis.*

Diximus in superioris orationis historiis duos quosdam centimanos exstitisse, Cottum et Briareum, qui cum diis adversus gigantes bellum gesserunt.

12. *De reciprocatione Euripi.*

Ἄμπωτις, ut jam a nobis dictum est, *ῥαχίᾳ* adversatur : sunt autem hæ maris affectiones coarctati ac circumclusi vel ab insulis vel a terris; ἄμπωτις autem est velut ebibitio atque exsorbitio, colligente videlicet sese aqua in quosdam terræ subjacentis recessus, ac paulatim rursus effugiente. Cum ergo in terræ cavitates aqua sese colligit, ἄμπωτις dicitur : cum autem rursus effluit, appellatur *ῥαχία*.
D Quod quidem diei unius spatio identidem contingit, ac præsertim flante vento. Atque ita afficitur Euripus, qui circa Græciam est. Unde etiam Euripus vocatur, quasi εὔτρεπτος, facileque in orbem volubilis. In quem Aristoteles sese præcipitem egisse fertur, ut præcedente oratione diximus.

13. *De Elysiis campis.*

Quemadmodum Christiana fides atque doctrina paradisum quemdam describit, ita gentiles quoque fictitium quemdam locum describunt, quem Fortunatorum insulas vocant sive Elysium campum, quod videlicet eo veniant, qui vitæ curriculum honeste et cum virtute confecerunt. At vero Rhadamanthus Jovis filius esse, judicisque munere apud inferos fungi dicitur : atque eos quidem qui supplicio digni sunt.

ad Cocytum et Pyriphlegethontem mittere; eos autem A qui recte et cum laude vixerunt, ad beatorum insulas.

γέθοντα· τοὺς δὲ ἀγαθὰ ἐργασαμένους, παρὰ τὰς Μακάρων νήσους.

14. *De vocibus* ἑταίρου *et* προπίνειν *et* λαρυγγίζειν.

Plato aliique omnes philosophi eos, qui litterarum doctrinæque studium serio profitebantur, ἑταίρους, hoc est amicos et sodales vocabant. Julianus itaque, ut qui philosophiæ operam dedisset, nihilo se insolentiorem ob imperium magisque arrogantem et contumacem præbebat: verum ut Platonem videlicet, cæterosque philosophos imitaretur, sodales omnes vocabat: idque nominis frequens illis in colloquiis erat. Quod autem ad propinandi vocem attinet, sciendum est priscis omnibus regibus hunc morem fuisse, ut cum publicum festum celebrarent, vinum in aureis vel argenteis phialis B temperatum a pocillatore quidem ipsi acciperent, atque in sinceræ amicitiæ signum nonnihil e poculo haurirent, ac postea cui visum ipsis fuisset, poculum præberent. Idque propinare vocabatur, quod nos φιλοτησίαν, id est, ad potandum invitationem appellamus. At vero λαρυγγίζειν imitatio quædam vocis est, cum quis in verbis suis sibimet placens vocem quodammodo claudit, atque in angustum contrahit, ut in faucibus detineri videatur.

ιδ'. *Περὶ τοῦ*, Ἑταῖρε, *καὶ* Προπίνειν.

Ὁ Πλάτων καὶ πάντες οἱ φιλόσοφοι τοὺς γνησίους ἐραστὰς τῶν λόγων, ἑταίρους καλοῦσιν, οἱονεὶ φίλους. Ὁ οὖν Ἰουλιανὸς ὡς φιλοσοφήσας, οὐκ ἀπηυθαδιάζετο τῇ βασιλείᾳ, ἀλλ' ἐμιμεῖτο δῆθεν Πλάτωνα καὶ τοὺς ἄλλους πάντας, καλῶν ἑταίρους, καὶ πολὺ τοῦτο τὸ ὄνομα ἐν ταῖς συνουσίαις αὐτοῦ ἦν. Τὸ δὲ *προπίνειν*, τοῦτό ἐστι· Πάντες οἱ ἀρχαῖοι βασιλεῖς ἐπιτελοῦντες ἑορτὴν πάνδημον, ἐν φιάλαις ἢ χρυσαῖς ἢ ἀργυραῖς κιρνῶντες, ἐδέχοντο μὲν παρὰ τοῦ οἰνοχόου αὐτοί· ἀπέπινον δὲ μικρὸν ἐκ τῆς κύλικος, ὡς συμβόλου ὄντος τούτου φιλίας πολλῆς, καὶ τότε παρεῖχον ᾧ ἂν ἠβούλοντο, χαριζόμενοι καὶ τὴν κύλικα. Καὶ ἐκαλεῖτο μὲν αὐτὸ τοῦτο, *προπίνειν*· ἡ δὲ ἡμέρα, *φιλοτήσια*. Τὸ δὲ λαρυγγίζειν, μίμησίς ἐστι φωνῆς, ὅταν τις ἐπιτερπόμενος οἷς λέγει, ἐπιβήσσει πως τῇ φωνῇ καὶ στενοῖ αὐτὴν, ὥστε δοκεῖν ἐν τῷ λάρυγγι αὐτὴν παρακατέχεσθαι.

15. *De Minervæ tibiis.*

Cum Minerva quondam tibiis ludens flumen pertransiret, umbramque suam buccasque inflatas in aquis conspexisset, ob idque sibi ipsa turpis videretur: tibias, ut deformitatis causam abjecit. Cum enim quis tibia canit, flatus maxillas tumefacit, lusoremque deformem reddit. Has porro tibias in- C venisse Marsyam ferunt, atque initio cum Apolline artis certamine ab eo victum, atque ad fluminis ripam excoriatum fuisse. Unde etiam Marsyas fluvius appellatur.

ιε'. *Περὶ τῆς Ἀθηνᾶς καὶ τῶν αὐλῶν.*

Ἀθηνᾶ ποτε τοὺς αὐλοὺς λαβοῦσα, παρὰ πηγὴν ἱσταμένη ηὔλισε· θεασαμένη δὲ ἐν τῷ ὕδατι τὴν ἑαυτῆς σκιὰν, πεφυσημένας ἔχουσαν τὰς γνάθους, καὶ ἀπρεπεῖς ἐκ τούτου φαινομένας, ἔρριψε τοὺς αὐλοὺς, ὡς ἀμορφίας αἰτίους. Ἐν γὰρ τῷ αὐλεῖν, τὸ πνεῦμα ἐξογκοῖ τὰς γνάθους καὶ ἀμόρφους ποιεῖ τοὺς αὐλοῦντας. Τούτους τοὺς ῥιφέντας αὐλοὺς λέγεται Μαρσύας εὑρηκέναι, καὶ ἐρίσαι τῷ Ἀπόλλωνι, καὶ ἡττηθῆναι, καὶ ἐκδαρῆναι παρὰ τὸν ποταμόν· ἐξ οὗ Μαρσύας ὁ ποταμὸς λέγεται.

16. *De dæmonum liguritione.*

Dæmones omnes sacrificiorum nidoribus gaudentes, liguritores sunt: præsertim autem hoc nomine sugillatur Mercurius. Unde et δηλακρίων dicitur, δήων κρέα, id est, carnes persequens. Quod autem fallaces et impostores eosdem vocat Gregorius, quanquam hoc propter omnes dicit, potissimum tamen propter Apollinem, qui dubia et fallacia oracula edebat.

ιϛ'. *Περὶ τῶν λίχνων δαιμόνων.*

Ὅτι πάντες οἱ δαίμονες, κνίσσαις χαίροντες, λίχνοι εἰσί· μάλιστα δὲ κωμῳδεῖται ὁ Ἑρμῆς· διὸ καὶ λέγεται κρέα δήων Λακρίων. Ὡς ἀπατηλοὶ δὲ πάντες οἱ δαίμονες, ἐξαιρέτως δὲ ὁ Ἀπόλλων, ὅτι ἀπατηλοὺς ἔλεγε χρησμούς.

[17. *De Triptolemis, Celeis et draconibus.*

Diximus in præcedente oratione, Triptolemum et Celeum semina, hoc est triticum et hordeum a Cerere accepisse, atque alato draconum curru vectos universum terrarum orbem peragrasse, frumentum mortalibus ad serendum suppeditantes.

18. *De Orpheo et ejus nugacissima de diis conscriptione.*

Orpheus genere Thrax sono citharæ res quoque ipsas anima carentes demulcebat. Hujus poemata circumferuntur, in quibus per fabulosa symbola deorum seriem essentiæque modos, deorumque actiones facultatesque describit. Has autem fabulas Orpheus turpiter atque obscene profaneque confingit (54).]

19. *De eo, quod ait Gregorius, quercum loqui desiisse.*

Dodona urbs est in Epiro sita, in qua erat quercus Jovi sacra, in eaque oraculum cujus mulierculæ D prophetissæ erant. Atque illi qui oraculum consulebant, quercum ingrediebantur, ac tum movebatur

ιθ'. *Περὶ τοῦ λέβητος μὴ φθεγγομένου.*

Ἡ Δωδώνη πόλις ἐστὶν ἐν τῇ Ἠπείρῳ κειμένη. Ἐν ταύτῃ ἵστατο δρῦς ἱερὰ τοῦ Διός. Καὶ ἐν ταύτῃ ἦν τὸ μαντεῖον γυναικῶν οὐσῶν προφητίδων· καὶ εἰσήεσαν οἱ μαντευόμενοι παρὰ τὴν δρῦν, καὶ ἐκινεῖτο

(54) Inclusa desunt in Græco.

δῆθεν ἡ δρῦς· καὶ λοιπὸν ἐφθέγγοντο αἱ γυναῖκες λέγουσαι, ὅτι Τάδε προλέγει ὁ Ζεύς. Τὸ δὲ περὶ τοῦ λέβητος τοιοῦτόν ἐστιν· Ἐν ταύτῃ τῇ Δωδώνῃ λέγεται, ὅτι ἐν ὕψει τινὶ ἵστατο ἀνδριὰς βαστάζων ῥάβδον, καὶ παρ' αὐτὸν λέβης τις ἵστατο. Οἱ οὖν μαντευόμενοι, ἤρχοντο παρὰ τὸν τόπον τοῦτον, καὶ ηὔχοντο. Ὅτε οὖν ἤθελε χρησμῳδῆσαι αὐτοῖς ὁ θεός, ὁ ἀνδριὰς ἐκεῖνος ἔπαιε τῇ ῥάβδῳ τὸν λέβητα· εἶτα ἤχει ὁ λέβης, καὶ ἐκ τοῦ λέβητος ἦχός τις ἀπετελεῖτο ἐναρμόνιος· καὶ ἐνεφοροῦντο αἱ προφήτιδες, καὶ ἔλεγον ἃ αὐτοῖς ὁ δαίμων ἐνέβαλλε.

κ'. Περὶ τῆς Πυθίας.

Φωκὶς, χώρα ἐστὶν ἐν τῇ Ἑλλάδι. Ἐν ταύτῃ ἐστὶ πόλις καλουμένη Δελφοί. Ἐν ταύτῃ ἐστὶν ἱερὸν τοῦ Ἀπόλλωνος, ὃ καλεῖται Πυθώ. Ἐν τούτῳ τῷ ἱερῷ ἦν ὁ τρίπους, καὶ αἱ ψῆφοι αἱ μαντικαί. Καὶ αἱ μὲν μαντικαὶ ψῆφοι ἦσαν ἐν τῇ φιάλῃ τοῦ τρίποδος. Ἡνίκα οὖν ὁ μαντευόμενος ἠρώτα περὶ τῆς μαντείας, αἱ ψῆφοι ἥλλοντο καὶ ἐκινοῦντο ἐν τῇ φιάλῃ. Τότε οὖν ἡ [προφῆτις vel ἱέρεια] ἐνεφορεῖτο, καὶ ἔλεγεν ἃ ἤθελεν ὁ Ἀπόλλων· ἐκαλεῖτο δὲ ἡ προφῆτις Πυθία. Ταύτην πληροῦσθαι εἶπεν ἐνταῦθα καὶ ἐμφορεῖσθαι καὶ ἐνθουσιᾶσθαι.

κα'. Περὶ τῆς Κασταλίας.

Πηγὴ ἦν ἐν Δάφνῃ τῇ κατὰ Ἀντιόχειαν, ἐν ᾗ λέγεται τὸν Ἀπόλλωνα παρεδρεύειν, καὶ μαντείας καὶ χρησμοὺς τοῖς ἐρχομένοις, περὶ τὸ ὕδωρ λέγεσθαι· λέγεται δὲ, ὅτι ἡνίκα ἐμαντεύετό τις ἐν τῷ τόπῳ τούτῳ, αὔρας τινὰς καὶ πνοὰς τὸ ὕδωρ ἀνεδίδου, καὶ ἀναδιδομένων τῶν τοιούτων πνευμάτων, οἱ ἱερεῖς οἱ περὶ τὴν πηγὴν ἐνθουσιῶντες ἔλεγον, ἃ ἤθελεν ὁ δαίμων.

κβ'. Περὶ τοῦ Ἀπόλλωνος ἀφώνου.

Περὶ τούτου τοίνυν τοῦ ἀνδριάντος ποῦ τε ἵστατο καὶ πῶς ἐφθέγγετο, ἡμεῖς οὐχ ἱστορήσαμεν. Δεῖ δὲ νομίζειν εἶναι τὸν ἀνδριάντα ἐν Δελφοῖς, καὶ αὐτὸν φωνὴν ἄναρθρον ἀποπέμποντα. Εἰδέναι γὰρ χρὴ, ὅτι αἱ τῶν δαιμόνων φωναὶ ἄναρθροί εἰσι διὰ τὸ μὴ ἔχειν ὄργανα φωνητικὰ, ὅπως διατυπώσωσι τὴν ἐξερχομένην φωνήν.

κγ'. Περὶ τῆς Δάφνης.

Δάφνη, φησὶ, κόρη ὑπῆρχεν, ἐκ Λάδωνος τοῦ ποταμοῦ καὶ Γῆς γῆς τὴν γένεσιν εὐτυχήσασα. Αὕτη, φησὶ, περικαλλής τε οὖσα τῷ εἴδει, καὶ ὡραϊζομένη ταῖς ὄψεσι, εἰς ἔρωτα ἐκίνησε τὸν Ἀπόλλωνα· ὁ δὲ Ἀπόλλων κινούμενος ἐκ τοῦ ἔρωτος, ἐπεδίωκε τὴν Δάφνην, εἴ πως ἰσχύσει συγγενέσθαι αὐτῇ. Ἡ οὖν κόρη τὴν παρθενίαν ἐθέλουσα φυλάξαι, τῇ οἰκείᾳ μητρὶ τῇ Γῇ προσηύξατο βοηθῆσαι αὐτῇ. Ἡ δὲ Γῆ διανοίξασα τοὺς ἑαυτῆς κόλπους ἐδέξατο τὴν παῖδα· καὶ ψυχαγωγῆσαι θέλουσα τὸν θεὸν, φυτὸν ἀνῆκεν ὁμώνυμον τῇ κόρῃ· ὅπερ λαβὼν ὁ Ἀπόλλων, στέφεται παρὰ τὸν τρίποδα, ψυχαγωγούμενος ἀντὶ τῆς ἐρωμένης τῷ φυτῷ τῆς Δάφνης.

κδ'. Περὶ Διονύσου ἀνδρογύνου.

Τὸν Διόνυσον λέγουσι καὶ τὰ ἀνδρῶν ποιεῖν, καὶ τὰ γυναικῶν πάσχειν· καὶ τὰς Βάκχας περὶ αὐτὸν

A scilicet quercus, posteaque loquebantur mulieres, quidque diceret Jupiter, renuntiabant. De lebete autem ita se habet historia : In eadem urbe statua quædam erat in sublimi quodam loco erecta, virgam gestans, circa quam lebes quidam fixus erat. Ergo qui oraculum consulebant, ad hunc locum se conferebant, precesque fundebant. Cum igitur ipsis responsa dare vellet deus, statua illa lebetem virga feriebat, ac tinniebat lebes, concinnusque quidam sonus ex eo edebatur. Tum vero numine afflabantur prophetissæ, quæque ipsis dæmon suggerebat, loquebantur.

20. *De Pythia.*

In Phocide, quæ Græciæ regio est, Delphos urbs erat, in eaque Apollinis templum, nomine Pytho. B In hoc porro templo tripus erat, calculique vaticinii in tripodis phiala. Cum ergo is qui oraculum adibat, responsum petebat, calculi prosiliebant ac movebantur : ac tum prophetissa, quam Pythiam sacerdotem vocabant, numine implebatur, dicebatque quidquid Apollini collibuisset. Quod enim hoc loco Gregorius eam impleri ait, idem est quod numine afflari.

21. *De Castalia.*

Castalia fons erat in Antiochia, cui Apollinem assidere veteres dicebant, atque oracula ad aquam edere. Cumque eo quidam oraculi consulendi causa se conferebant, aqua illa, ut ferunt, auras et flatus C emittebat : ac tum sacerdotes, qui circa fontem erant, quæ dæmonis voluntas tulisset, dicebant.

22. *De statua muta.*

De hac statua, nec quo tempore, nec ubi erecta fuerit, nec quomodo loquebatur, quidquam historiis proditum reperimus. Existimandum est autem Delphicam quoque statuam, cum verba faceret, inarticulatas voces extulisse. Voces quippe dæmonum minime articulatæ sunt, eo quod vocalibus organis, quibus exeuntes voces imprimantur, careant.

23. *De Lauro.*

Daphne, ut ferunt fabulæ, Ladonis amnis (55) et Terræ filia erat. Hæc eximia formæ pulchritudine D atque elegantia Apollinem amore inflammavit, Apollo autem amoris stimulis incitatus puellam persequebatur, ut ea potiretur. At illa virginitatem tueri cupiens, parentis Terræ opem supplex imploravit. Proinde mater aperto sinu suo natam excepit, atque in Apollinis solatium arborem puellæ cognominem protulit. Quam cum ille accepisset, ea apud tripodem cinctus est, ut hac ratione adamatæ Daphnes desiderium leniret.

24. *De Baccho androgyno.*

Bacchum ferunt et masculam libidinem exercere, et femineam pati, ac Mænadibus circumse-

(55) Penes fluvii filia dicitur Ovid. *Metam.*

ptum esse. Sæpenumero diximus eum vini auctorem ac præsidem esse, illudque et viris et mulieribus dedisse, quo ingurgitati atque obruti promiscue choreas agunt. Satyros autem pastores esse aiunt; sunt tamen qui eos dæmones quosdam Bacchi asseclas esse existiment. De Phallo superiore oratione diximus, nimirum sceleratum ac nefarium quemdam hominem fuisse turpe atque obscenum veretrum habentem : ad cujus similitudinem mimi penem ex pellibus effingunt, vocantque φαλητάριον eumque in bacchanalibus per ludum circumferunt : in eoque olim perditi illi homines initiabantur.

A μαινάδας γενομένας ἐκβακχεύειν, καὶ τοὺς Σατύρους καὶ τοὺς Σειληνοὺς ἐξορχουμένους περὶ αὐτόν. Εἴπομεν δὲ πολλάκις, ὅτι αὐτὸν λέγουσιν εἶναι τοῦ οἴνου δημιουργὸν καὶ ἔφορον· καὶ ὅτι δέδωκε καὶ ταῖς γυναιξὶ καὶ τοῖς ἀνδράσι, καὶ ἔπιον, καὶ ἐμεθύσθησαν, καὶ μεθυσθέντες μετὰ τῶν γυναικῶν χορεύουσι περὶ αὐτόν. Τοὺς δὲ Σατύρους λέγουσιν εἶναι ποιμένας· ἄλλοι δὲ, θείους τινὰς δαίμονας περὶ τὸν Διόνυσον. Περὶ δὲ τοῦ φαλλοῦ ἤδη εἰρήκαμεν ἐν τῷ πρώτῳ λόγῳ, ὅτι ἀκάθαρτός τις ἦν αἰδοῖον ἔχων αἰσχρὸν, ᾧ ὁμοιοῦσι νῦν οἱ μῖμοι δερμάτινον, ὃ καλοῦσι φαλητάριον· καὶ τοῦτο ἔχουσιν ἐν τοῖς Διονυσίοις, φοροῦντες ἐν παιγνίοις καὶ ἑορτάζουσιν, ἐν ᾧ τότε ἐτέλουν ἐκεῖνοι.

25. *De Semele et tonitruo.*

Semele Cadmi filia a Jove amata atque compressa, Bacchum ex eo concepit. Quo nomine Juno zelotypiæ facibus inflammata in Semeles nutricem sese transformavit, petendumque ipsi a Jove censuit, ut cum ea ita consuetudinem haberet, quemadmodum cum Junone consuevisset. Consuevit autem cum tonitruo et fulmine. Hoc porro concilium idcirco ei Juno dedit, ut Jove ad eam cum tonitruo accedente confestim illa, ut mortalis, deflagraret, atque ita pellice defungeretur, quod etiam accidit. Nam cum Jupiter ad Semelem venisset, petiissetque illa, ut eodem modo secum congrederetur, quo cum Junone solebat : congreditur ille, eamque fulmine oppressit : ac tum acceptum Bacchum, fetum adhuc immaturum femori suo insuit, posteaque septimo mense accedens Mercurius Jovis femur aperuit : sicque natus est Bacchus accepitque eum Jupiter, atque in Nysam Thraciæ urbem deportavit, nymphisque lacte alendum tradidit.

B κε'. *Περὶ Σεμέλης.*

Σεμέλη, Κάδμου ἦν θυγάτηρ. Ταύτης ἠράσθη ὁ Ζεὺς, καὶ συγγίνεται αὐτῇ· ἣ καὶ συλλαβοῦσα εἶχεν ἐξ αὐτοῦ τὸν Διόνυσον. Ἡ δὲ Ἥρα ζηλοτύπως φερομένη, σχηματίζεται πρόσωπον τροφοῦ ἐγνωσμένης τῇ Σεμέλῃ, καὶ συμβουλεύει αὐτῇ τῇ Σεμέλῃ ἐγκύῳ οὔσῃ, ὅτι Αἴτησαι τὸν Δία συγγενέσθαι σοι ὥσπερ συγγίνεται τῇ Ἥρᾳ. Συνεγίνετο δὲ ὁ Ζεὺς τῇ Ἥρᾳ μετὰ βροντῶν καὶ κεραυνῶν. Ταῦτα δὲ συνεβούλευεν ἡ Ἥρα τῇ Σεμέλῃ, ἵνα ἐρχομένου τοῦ Διὸς μετὰ κεραυνῶν πρὸς αὐτὴν, ὡς θνητὴ καταφλεχθήσεται, καὶ μηκέτι ἔχοι τὴν ἀντίζηλον· ὃ δὴ καὶ γέγονε. Τοῦ γὰρ Διὸς ἐλθόντος πάλιν πρὸς τὴν Σεμέλην, ᾔτησεν ἡ Σεμέλη οὕτως αὐτῇ συγγενέσθαι, ὡς τῇ Ἥρᾳ· καὶ ὡς συνεγένετο αὐτῇ, κεραυνοῦται καὶ ἀπόλλυται ἡ
C Σεμέλη. Καὶ τότε λαβὼν ὁ Ζεὺς τὸν Διόνυσον ἔμβρυον ὄντα, ἔῤῥαψεν ἐν τῷ ἑαυτοῦ μηρῷ· καὶ ὕστερον ἐν τῷ ἑβδόμῳ μηνὶ ἐλθὼν ὁ Ἑρμῆς, ἀναπτύσσει τὸν μηρὸν τοῦ Διὸς, καὶ γεννᾶται, ὥς φασιν, ὁ Διόνυσος· καὶ λαμβάνει αὐτὸν εἰς Νύσσαν τῆς Θρᾴκης, κἀκεῖ παρὰ τῶν νυμφῶν γαλακτοτροφεῖται.

26. *De utroque pede claudo Vulcano.*

Claudus erat Vulcanus, unde et ἀμφιγυήεις dictus est (γυῖα enim membra sunt), arte faber ærarius. Hic Venerem in matrimonio habebat, qua Mars per adulterium abusus est. Atque eos in ipso facinore constitutos laqueis deprehendit. Deum autem eum vocat fuligine ac fumo obsitum; αἰθάλη enim genus est fumi crassioris. Fumo porro ille infectus erat, ut faber. Jam eum arte clarum et insignem appellant poetæ, quoniam illustris erat apud illos ars fabrilis. Thersitem autem Olympium idcirco eum vocat Gregorius: Homerus enim quemdam hominem inducit Thersitem nomine, claudum, gibbum, strabonem, calvum ac procacem et petulantem, atque hunc Græcorum castra secutum, non ut bellum gereret, sed ut omnibus ludibrio esset. Quoniam igitur Vulcanus claudus erat, fumoque obsitus, Deus vester, inquit ad ethnicos, Thersites est Olympius, claudus nimirum ut ille, ac procax et petulans. Quod autem mox sequitur, Non jam propter adulterium vincitur Mavors, ex eadem fabula pendet. Mars enim adulterium cum Venere perpetrans Vulcani laqueis irretitus est. Quod vero ad-

κϛ'. *Περὶ τοῦ Ἡφαίστου.*

Χωλὸς ἦν ὁ Ἥφαιστος, διὸ καὶ ἀμφιγύης· γυῖα γὰρ τὰ μέλη. Ἦν δὲ χαλκεὺς τὴν τέχνην. Τούτου γυνὴ ἦν ἡ Ἀφροδίτη, καὶ ταύτην ἐμοιχεύετο ὁ Ἄρης. Εὑρίσκει οὖν ὁ Ἥφαιστος τὴν μοιχείαν γενομένην στήσας πάγας. Θεὸν δὲ αὐτὸν λέγει κατηθαλωμένον καὶ κεκαπνισμένον· αἰθάλη γὰρ, εἶδος καπνοῦ παχυτέρου· ἐκεκάπνιστο δὲ, ὡς χαλκεύς. Κλυτοτέχνην δὲ αὐτὸν καλοῦσιν οἱ ποιηταὶ, διὰ τὸ ἔνδοξον εἶναι ἐκ τῆς
D χαλκευτικῆς τέχνης, ἢ καὶ διὰ τὸ εὐφυῶς αὐτὴν μετιέναι. Θερσίτην δὲ αὐτὸν Ὀλύμπιον καλεῖ, διὰ τοιαύτην αἰτίαν· Ὁ Ὅμηρος εἰσφέρει τινὰ ἄνθρωπον ὀνόματι Θερσίτην, καὶ χωλὸν καὶ στραβὸν καὶ κυρτὸν καὶ μαδαρὸν καὶ προπετῆ· καὶ, φησὶν, ὁ τοιοῦτος ἠκολούθει τῷ στρατοπέδῳ, οὐ διὰ τὸ πολεμεῖν, ἀλλὰ διὰ τὸ γελᾶσθαι. Ἐπεὶ οὖν ὁ Ἥφαιστος χωλὸς ἦν καὶ κεκαπνισμένος, λέγει αὐτὸς, ὅτι ὡς Θερσίτης ἦν ὁ Ἥφαιστος ὑμῶν. Ὀλύμπιον δὲ αὐτὸν εἶπεν, οἱονεὶ οὐράνιον· Ὄλυμπος γὰρ ὁ οὐρανός. Ἢ πάλιν Ὀλύμπιον αὐτὸν εἶπε, διότι ἐξ Ὀλύμπου ἦν, ἥτις ἔχει τὸ ἐργαστήριον αὐτοῦ· ὃ καὶ ἕως νῦν ἐν τῇ Λυκίᾳ λέγεται εἶναι ἐν τόπῳ τινὶ τῆς Ὀλύμπου, ἐν ᾧ αὐτόματον πῦρ ἀναδίδοται καὶ

ἐπωνόμασται Ἡφαίστειον· ἐν ᾧ τόπῳ καὶ ναὸν αὐτῷ οἱ τότε Ἕλληνες ἀνήγειραν. Ἀντικρὺ δὲ οὖσα ἡ Ὄλυμπος τῆς Κύπρου, ἔνθα φυγοῦσα ἡ Ἀφροδίτη κατῴκησε, κἀκεῖθεν ἠκολούθησε τῷ Ἄρει, καὶ ἔφυγον εἰς τὸν Λίβανον, κἀκεῖ τὸ πορνεῖον αὐτῆς συνεστήσατο, καὶ ἔλαβεν ἐκεῖ καὶ τὸν Ἄδωνιν. Θερσίτης οὖν Ὀλύμπιος καὶ ὁ χωλὸς καὶ προπετὴς θεὸς ὑμῶν εἴρηται. Τὸ δὲ, Δεσμώτης Ἄρης διὰ μοιχείαν, τῆς αὐτῆς ἐξήρτηται ἱστορίας. Μοιχεύων γὰρ ὁ Ἄρης τὴν Ἀφροδίτην, ἐδέθη ταῖς πάγαις ὑπὸ τοῦ Ἡφαίστου. Τὸ δὲ, μετὰ τοῦ δειμοῦ καὶ τοῦ φόβου καὶ τοῦ κυδοιμοῦ, λέγει, ὅτι οὗτοι θεράποντες εἶναι λέγονται τοῦ Ἄρεος, υἱοὶ δὲ τοῦ πολέμου· καὶ ὅτι οὗτοι συμπεπόνθασι τῷ Ἄρει· καὶ ὅτι ὁ Ἥφαιστος οὐκ ἐφοβήθη τὸν φόβον καὶ τὸν δειμὸν καὶ τὸν κυδοιμόν. Τραυματίαν δὲ καλεῖ τὸν Ἄρεα, ἐπειδὴ ἐτρώθη ὑπὸ τοῦ Διομήδους, προπητευσόμενος (56) ἐν τῷ πολέμῳ· καὶ ἡ περὶ τῆς Ἀφροδίτης ἱστορία ἐντεῦθεν ἐξήρτηται, ὅτι πόρνη ἦν. Ἐμοιχεύθη γὰρ ὑπὸ τοῦ Ἄρεος, καὶ ὅτι καὶ τῆς μίξεως αὐτὴν λέγουσιν ἔφορον εἶναι οἱ Ἕλληνες. Διὰ τοῦτο εἶπεν αὐτὴν ὑπηρετεῖν.

A jungit, Cum terrore, timore et tumultu, hoc ideo dicit, quia hi Pollidis filii, Martis famuli esse, Martisque vicem dolere dicuntur : tum etiam quia Vulcanus nec terrorem, nec metum, nec tumultum pertimuit. Ad hæc vulneratum fuisse Martem subjungit, quoniam temere pugnans a Diomede sauciatus est. Quod denique Venerem meretricem appellat, cum eadem fabula cohæret : a Marte enim constuprata est. Vel etiam meretricem eam ob hanc causam vocat, quoniam libidinis ac coitus præsidem eam esse gentiles affirmant

κζ'. *Περὶ Ἀθηνᾶς καὶ δράκοντος.*

Ὁ Ζεὺς, βουλόμενος ἀποκυῆσαι ἐκ τοῦ ἐγκεφάλου αὐτοῦ τὴν Ἀθηνᾶν, ἐδεῖτο συνεργοῦ τοῦ συλλαβόντος καὶ πλήξοντος τὴν κεφαλὴν, ἵνα κυηθῇ· καὶ λόγους προσφέρει περὶ τούτου τῷ Ἡφαίστῳ· ὁ δὲ Ἥφαιστος οὐκ ἄλλως εἵλετο σχίσαι τὴν κεφαλὴν τοῦ Διὸς, εἰ μὴ τὴν γεννωμένην ἀποπαρθενεύσῃ· καὶ ὑπέσχετο ὁ Ζεύς. Λαβὼν οὖν ὁ Ἥφαιστος τὸν βουπλῆγα, τέμνει τὴν κεφαλὴν τοῦ Διὸς, καὶ ἐξέρχεται ἡ Ἀθηνᾶ, καὶ ἐπεδίωκεν αὐτὴν ὁ Ἥφαιστος, ἵνα αὐτῇ συγγένηται· καὶ ἐπιδιώκων ἀπεσπέρμηνεν εἰς τὸν μηρὸν τῆς Ἀθηνᾶς. Ἡ δὲ Ἀθηνᾶ λαβοῦσα ἔριον, ἐξεμάξατο τὸ σπέρμα, καὶ ἔῤῥιψεν ἐν τῇ γῇ· καὶ ἐγένετο ἐκ τῆς γῆς καὶ τοῦ ἐρίου ἄνθρωπος δρακοντόπους, ὃς ἐκαλεῖτο Ἐριχθόνιος, ἀπὸ τοῦ ἐρίου καὶ τῆς χθονὸς λαβὼν τὸ ὄνομα.

B

27. *De Minerva virgine draconem pariente.*

Cum Jupiter Minervam ex cerebro suo procreare vellet, quæreretque aliquem, qui facile et parvo cum dolore caput ipsius feriret, ut illa in vitam lucemque prodiret, de hac re cum Vulcano verba fecit. Vulcanus autem hac una conditione caput ipsi secare voluit, ut eam quæ mox nascitura erat, devirginaret. Idque promisit Jupiter. Accepta itaque securi Vulcanus Jovis caput scindit, sicque exiit Minerva : quam protinus Vulcanus persequi cœpit, ut cum ea rem haberet. Atque illa insectione in Minervæ femur semen fudit, quod quidem Minerva lana accepta extersit, atque in terram abjecit. Ita e terra ac lana illa exstitit homo draconis pedes habens, qui proinde Erichthonius vocatur, ἀπὸ τοῦ ἐρίου καὶ τῆς χθονός, id est, a lana et terra nomen
C habens.

κη'. *Περὶ Ἡρακλέους μαινομένου.*

Μεγάρη οὕτω καλουμένη, Κρέοντος τοῦ Θηβῶν βασιλέως θυγάτηρ, ἐγαμήθη τῷ Ἡρακλεῖ, καὶ ἐπαιδοποίησεν ἐξ αὐτοῦ. Ἡ δὲ Ἥρα ἀπεχθῶς πρὸς τὸν Ἡρακλέα ἔχουσα διὰ πολλὰ, ἐνέβαλεν αὐτῷ μανίαν, καὶ μανεὶς ἀπέκτεινε τὰ ἑαυτοῦ τέκνα, ἃ ἔσχεν ἐκ τῆς Μεγάρης.

28. *De Megara Herculis uxore.*

Megara Creontis Thebarum regis filia Herculi nupsit, ex eoque liberos habuit. At Juno multis de causis Herculem infesto odio persequens, furorem ipsi injecit. Quo percitus ille filios, quos ex Megara sustulerat, obtruncavit.

κθ'. *Περὶ Διὸς πάντα γινομένου.*

Λέγεται ὁ Ζεὺς, ἐρασθεὶς τῆς Δανάης, χρυσὸς γενέσθαι, καὶ ῥυῆναι, καὶ οὕτως αὐτῇ συγγενέσθαι. Ὁμοίως ἐρασθεὶς καὶ Γανυμήδους, ἀετὸς ἐγένετο· καὶ οὕτως ἀεὶ μετεβάλλετο μαγγανείαις, πάντα γινόμενος δι' ἀκαθαρσίαν, ὁ παρ' αὐτοῖς ἐξοχώτατος θεὸς, καὶ πάντας τοὺς ἄλλους θεοὺς ἀνέλκων εἰς οὐρανούς.

29. *De eo, quod ait Gregorius, Jovem ob libidinem et salacitatem quidvis effici.*

Jupiter Danaes amore flagrans aurum effectus est, ac diffluxit : sicque cum ea congressus est. Eodem modo Ganymedis amore correptus aquila factus est. Atque ita seipsum subinde præstigiis
D quibusdam in alias aliasque formas immutabat, atque ob impuram libidinem in quidvis vertebatur, ille, inquam, præstantissimus apud ethnicos deus, atque omnes deos vi ad se in cœlum trahens.

λ'. *Περὶ τάφου τοῦ Διός.*

Λέγεται ὁ Ζεὺς τραφῆναι καὶ ἀποθανεῖν ἐν τῇ Κρήτῃ, καὶ ἐκεῖ εἶναι αὐτοῦ τὸν τάφον, ἐν ᾧ ἐπιγέγραπται τοῦ Διὸς τάφος, ὥστε εἶναι αὐτὸν ἔλεγχον τῶν

30. *De Jovis sepulcro in Creta.*

Jupiter in Creta diem vitæ extremum clausisse atque humo conditus fuisse dicitur : ibique monumentum ipsius esse, in quo Jovem illic jacere cre-

(56) F. προπετευσάμενος. Edit.

datur, inscripto docet. Eoque convinci amentiam et vanitatem eorum, qui Jovem deum esse asserunt. Ex eo enim convincuntur, quia et homo erat, et mortuus est, et jacet in Creta.

A λεγόντων τὸν Δία θεόν. Ἐλέγχονται γάρ, ὅτι καὶ ἄνθρωπος ἦν καὶ τέθνηκε καὶ κεῖται ἐν τῇ Κρήτῃ.

31. *De Lucrio deo* (57).

De hoc tametsi superiore oratione diximus, hoc tamen nunc quoque dicimus, Mercurium nempe apud ethnicos lucri præsidem esse. Unde etiam marsupium ipsi gestandum tribuunt, ac furtorum antistitem ipsum dicunt: ac κερδῷον et λόγιον, et ἄγγελον et ἀγοραῖον et κλῶπα, et ejusmodi nominibus eum appellant, id est, *lucrium* (hoc enim nomine Arnobius utitur) et *facundum* et *nuntium* et *forensem* et *furem*.

32. *De honore quo Nilus ab Ægyptiis afficitur.*

De hac historia nullam mentionem Herodotus facit. Apud Aristænetum autem rhetorem hoc legi, Ægyptios festum solemne Nilo publicitus celebrare atque omnes tam viros quam mulieres ad urbium theatra sese conferre, illicque quas quisque et quæque epulas habeat, esitare: ac tum instituta communi chorea hymnos eosdem Nilo cantillare, quos Jovi canere solent: tanquam videlicet Nilus Jovis opus ipsis exsequatur, ac regioni præsit. Idcirco autem fortasse androgynorum honores vocat, quod omni frequentia viri ac mulieres perbacchentur, ac sæpenumero, ut in temulentia, libidini indulgeant.

λβ'. *Περὶ Νείλου.*

Ἡρόδοτος οὐδὲν λέγει· ἀνέγνων δὲ παρὰ Ἀρισταινέτῳ τῷ ἱστορικῷ, ὅστις ἱστορεῖ, ὅτι ἑορτάζουσιν Αἰγύπτιοι τῷ Νείλῳ ἑορτὴν πανδημεὶ πάντες καὶ πᾶσαι
B ἐρχόμενοι περὶ τὰ θέατρα τῶν πόλεων, κἀκεῖσε θοινῶνται ἕκαστος ὃ ἔχει, χορούς τε συστησάμενοι ᾄδουσι τῷ Νείλῳ ᾠδὰς, ἃς τῷ Διὶ ᾄδουσιν, ὡς τοῦ Νείλου τὸ τοῦ Διὸς ἔργον ποιοῦντος, καὶ ἄρδοντος τὴν χώραν. Ἀνδρογύνων δὲ δοκεῖ λέγειν τιμὰς, τὸ πανδημεὶ τοὺς ἄῤῥενας μετὰ τῶν γυναικῶν ἐκβακχεύεσθαι καὶ πολλάκις ἐν μέθῃ ἀσελγαίνειν.

33. *De Iside et Mendetibus.*

Isis apud Ægyptios magnopere colitur. Io hanc esse dicunt, quæ a Jove Argo erepta est, atque in bovem commutata. Cornua enim circa ipsius statuæ caput appingunt. In eorum enim, ut jam diximus, apud Ægyptios numero est, quæ maximis honoribus afficiuntur. Mendesiorum autem historia est hujusmodi: Ægyptii Pana Mendetem vocant, quoniam lingua ipsorum Mendes hircum sonat. Pan porro hircinam formam habet. Tanta autem religione Mendetem hunc sive Pana colunt, ut a capris quoque omnino abstineant, quod Deus ipsorum caprina forma sit. Jam vero Apides boves sunt, qui magno in honore apud Ægyptios habentur. Pariebant autem illi, licet alioqui puri atque incorrupti pristino tempore fuissent; signumque aliquod habebant, ex quo apud Ægyptios constabat Apides eos esse, ac longo temporis spatio gignebantur. Cum autem procreatus fuisset Apis, maximum festum circa eum Ægyptii celebrabant, ac sacerdotes etiam quidam, qui bovi ipsi sacra faciebant. Quod autem ait Gregorius feras quasdam portentosas compositæque naturæ, hoc intelligit, quod ipse quoque Alexandriæ vidi, nimirum perexiguas quasdam statuas, caput canis habentes atque adnexum aliud caput felis, aliudque insuper accipitris. Quæ quidem Ægyptii colebant, statuisque inscribebant. Nec vero pictam hujusmodi naturam venerabantur, sed etiam belluas alias mutas, quas nefas est venerari.

λγ'. *Περὶ Ἴσιδος καὶ Μενδησίων.*

Ἡ Ἶσις τιμᾶται παρὰ τοῖς Αἰγυπτίοις, καὶ μεγάλως τιμᾶται. Λέγεται δὲ αὕτη εἶναι ἡ Ἰὼ ἡ ἁρπασθεῖσα παρὰ τοῦ Διὸς ἐκ τοῦ Ἄργους καὶ μεταβληθεῖσα εἰς βοῦν. Κέρατα γὰρ περὶ τὴν κεφαλὴν τοῦ ἀγάλματος
C αὐτῆς ποιοῦσιν. Ὡς εἶπον δὲ, τῶν πάνυ τιμωμένων ἦν παρ' Αἰγυπτίοις. Ἡ δὲ περὶ τοὺς Μενδησίους, ἐστὶν αὕτη· Τὸν Πᾶνα Μένδητα καλοῦσιν οἱ Αἰγύπτιοι, διὰ τὸ καὶ τὸν τράγον τῇ ἰδίᾳ διαλέκτῳ Μένδητα καλεῖν. Ὁ δὲ Πὰν τραγοπρόσωπός ἐστι. Σέβονται οὖν οὕτω τὸν Μένδητα τοῦτον, ἤτοι τὸν Πᾶνα, ὥστε μηδὲ γεύεσθαι αἰγῶν διὰ τὸ τοῦτον εἶδος ἔχειν τὴν τῶν αἰγῶν τὸν Πᾶνα τὸν αὐτῶν Θεόν. Οἱ δὲ Ἄπιδες, βοῦς εἰσι τιμώμενοι παρ' Αἰγυπτίοις· ἐτίκτοντο δὲ οὗτοι καθαροὶ δή τινες, ἐν τῷ πρὶν χρόνῳ, καὶ σημεῖον εἶχόν τι, ὃ ἐδήλου αὐτοὺς εἶναι Ἄπιδας. Ἐγεννῶντο δὲ διὰ χρόνου πολλοῦ· ἐπὰν δὲ ἐγεννήθησαν, ἑορτὴν μεγάλην ἦγον οἱ Αἰγύπτιοι· καὶ ἱερεῖς τινες περὶ τὸν γεννηθέντα βοῦν, οἵτινες ἱεροῦντο αὐτῷ τῷ βοΐ. Τὸ δὲ, γράφειν θηρία σύνθετα καὶ ἀλ-
D λόκοτα, τοῦτο λέγει, ὃ καὶ εἶδον ἐγὼ κατὰ τὴν Ἀλεξάνδρειαν, ἀγαλμάτια μικρὰ, ἔχοντα κεφαλὴν κυνὸς, καὶ παραφυομένην κεφαλὴν ἑτέραν αἰλούρου, καὶ ἑτέραν ἱέρακος, καὶ ἐσέβοντο ταῦτα οἱ Ἕλληνες, καὶ ἐν εἰκόσιν ἐνέγραφον. Οὐ μόνον δὲ τοιαύτην φύσιν ἐνέγραφον, ἀλλὰ καὶ ἄλλα θηριόμορφά τινα, ὃ ἐσέβοντο οἱ Αἰγύπτιοι· ἃ θέμις οὐκ ἔστι.

34. *De Pane et Priapo.*

Panos historia sic se habet: Ferunt Penelopes uxoris Ulyssis procos apud eam obstinato animo mansisse, tandemque omnes ea potitos esse, ex

λδ'. *Περὶ τοῦ Πριάπου καὶ τοῦ Πανός.*

Λέγεται, ὅτι ὅτε οἱ μνηστῆρες τῇ Πηνελόπῃ τῇ τοῦ Ὀδυσσέως γυναικὶ παρέμενον, συνεμίγησαν αὐτῇ πάντες, καὶ ἐγεννήθη ὁ Πὰν, ὡς καὶ ἐν τῷ πρώτῳ

(57) Hæc omittit Nonnus.

λόγῳ εἴρηται· Πὰν δὲ ἐκλήθη, ἐπειδὴ ἀπὸ πάντων τῶν μνηστήρων συνελήφθη. Λέγουσι δὲ Αἰγύπτιοι, αὐτῆς τῆς μίξεως εἶναι ἔφορον τὸν Πᾶνα· ἔνθεν καὶ τραγοσκελῆ αὐτὸν ποιοῦσι, διὰ τὸ κατωφερῆ εἶναι τὸν τράγον περὶ τὰς μίξεις, ὃν καὶ καλοῦσιν Αἰγύπτιοι Μένδητα. Ἡ δὲ περὶ τὸν Πρίαπον, ἐστὶν αὕτη· Λέγεται μετὰ τὸ ἀνελθεῖν τὴν Ἀφροδίτην ἐκ τῆς Αἰθιοπίας, κάλλος ἀμέτρητον ἐπιφέρεσθαι· ὥστε καὶ αὐτὸν τὸν Δία ἐρασθῆναι αὐτῆς, καὶ συγγενόμενον αὐτῇ, ζῆλον ἄπειρον τῇ Ἥρᾳ καταλιπεῖν. Εὐθὺς οὖν ἡ Ἥρα τὸ μέλλον προσκοπήσασα, καὶ ὅτι ἤμελλε τὸ τικτόμενον ἐκ ταύτης βρέφος κάλλει ὑπερφέρειν, καὶ κατακρατῆσαι πάντων τῶν ἐκ Διὸς τεχθέντων, ἥψατο τῆς κοιλίας τῆς Ἀφροδίτης, καὶ παρεσκεύασε μαγγανείᾳ τινὶ τὸ βρέφος κακόμορφον τεχθῆναι. Τεχθέντος οὖν τοῦ βρέφους ἀμόρφου καὶ ἀσήμου πάνυ, αἰσχροῦ τε καὶ περισσοσάρκου, καὶ ἑωρακυῖα αὐτὸ ἡ μήτηρ, ὅτι μέλλει τὸ τεχθὲν πλεῖστον αὐτῇ ψόγον ἐπιφέρειν, ἔῤῥιψε λαβοῦσα εἰς ὄρος. Περιτυχὼν δέ τις τούτῳ ποιμὴν, λαβὼν ἀνέθρεψε· καὶ ὡς πρὸς εὐκαρπίαν τῆς γῆς καὶ τῶν κτηνῶν καὶ τετραπόδων νομίσας εἶναι τὸ ἐκείνῳ ὑπάρχον πάθος (λέγω δὲ τὸ τοῦ αἰδοίου· εἶχε γὰρ τοῦτο ἐπάνω τῆς πυγῆς), λαβὼν ἱδρύσατο, καὶ ἐτίμησε, καὶ ὠνόμασε Πρίαπον· δηλῶν, κατὰ τὴν τῶν Ἰταλῶν γλῶσσαν, τὸν ἐκ πλάνης τοὺς ἐν πλάνῃ καὶ ἐρημίᾳ σώζοντα· καὶ ἐξ ἐκείνου λέγεται παρὰ τοῖς ποιμέσιν τιμᾶσθαι ὁ Πρίαπος. Τὸν δὲ Ἑρμαφρόδιτον, ἀῤῥενόθηλύν τινα καὶ ἀνδρόγυνόν φασιν εἶναι, καὶ γυναικὸς καὶ ἀνδρὸς αἰδοῖον φέροντα, καὶ πάσχειν μὲν τὰ τῶν γυναικῶν, δρᾷν δὲ τὰ τῶν ἀνδρῶν.

A ipsisque Pana exstitisse. Atque idcirco Pan dictus est, quod ab omnibus procis procreatus fuerit. Ac dicunt Ægyptii eum coitus ipsius præsidem esse: unde etiam hircinis cruribus eum describunt, quod hircus ad venerem proclivis sit, quem Ægyptii Mendetem vocant. Hæc de Pane: nunc de Priapo. Aiunt Venerem, cum ex Æthiopia veniret, incredibilem quamdam pulchritudinem secum attulisse: adeo ut Jupiter quoque ipse ejus amore inflammatus, ac cum ea congressus infinitam Junoni zelotypiam injecerit. Confestim ergo Juno futurum præsentiens, prospiciensque fore ut infans, qui ex ea proditurus erat, corporis elegantia filios omnes Jovis antecelleret, præstigiis quibusdam antevertens Veneris ventrem attrectavit, effecitque ut in-
B fans deformis pareretur. Cum igitur turpis ac fœdus in primis et obscenus obesusque puer in lucem prodiisset, conspiciens mater filii deformitatem summo sibi dedecori ac probro fore, acceptum infantem in montem projecit: in quem cum pastor quidam incidisset, ipsum accepit et educavit. Atque ut ad fertilitatem terræ et jumentorum ac quadrupedum esse arbitratus hoc vitium, quod ipsi inerat, hoc est obsceni membri accepit illud fixitque et honoravit, Priapumque vocavit, id est, juxta Latinam linguam, eum qui ex errore liberatus iis qui in errore ac solitudine versantur, salutem illaturus est (58). Atque ex eo tempore a pastoribus coli cœptus est Priapus.

C

λε'. Περὶ θεῶν διεσπασμένων.

Περσεφόνη γεννᾷ τὸν Ζαγραῖον Διόνυσον, ἐκ τοῦ Διὸς συλλαβοῦσα αὐτόν. Τοῦτον γεννηθέντα οἱ Τιτᾶνες (δαιμονίων δὲ τάξεις αὗται) φθονήσαντες τῷ Διονύσῳ, ὡς ἐκ Διὸς ἔχοντι τὴν γέννησιν, διασπαράσσουσιν αὐτόν. Ἄλλοι δὲ λέγουσιν, ὅτι καθ' ὑπόθεσιν τῆς Ἥρας διεσπάσθη ὑπὸ τῶν Τιτάνων ὁ Διόνυσος. Καὶ περὶ μὲν τῶν διεσπασμένων θεῶν, ἐστὶν αὕτη ἡ τοῦ Διονύσου· περὶ δὲ τῶν περικεκομμένων, οὐδεμία τις φαίνεται ἡμῖν ἱστορία, ἢ ἡ περὶ τῶν Γιγάντων. Οὗτοι γὰρ πολεμεῖν ἤθελον τοῖς θεοῖς. Οἱ δὲ θεοὶ ἀντιστρατευσάμενοι, ἐπολέμησαν, καὶ κατέκοψαν αὐτοὺς, τοῦ Διὸς τὸν κεραυνὸν ἐπιπέμψαντος αὐτοῖς καὶ καταφλέξαντος αὐτούς.

35. *De concisis ac discerptis diis.*

Proserpina ex Jove Liberum patrem concepit, quem, simul atque in lucem editus est, Titanes, qui dæmoniaci quidam ordines quidam sunt, invidiæ œstro adversus eum perciti, quoniam a Jove procreatus esset, crudelissime discerpserunt. Alii Junonis consilio atque impulsione eum a Titanibus laceratum fuisse affirmant. Atque hæc de discerptis diis. Quod autem ad concisos deos attinet, nihil de hac re memoriæ proditum est, nisi forte hoc de gigantibus intelligendum est, qui cum bellum diis intulissent, ab ipsis superati et concisi
D sunt, atque a Jove immisso fulmine concremati.

λϛ'. Περὶ τοῦ Κωκυτοῦ καὶ Πυριφλεγέθοντος.

Ὁ Πλάτων ἐν τῷ *Φαίδωνι* περὶ τῶν λήξεων καὶ τῶν ἀποκληρώσεων τῶν ψυχῶν λέγει, ὅτι οἱ ἀδίκως βεβιωκότες, κολάζονται ἐν τῷ Κωκυτῷ καὶ ἐν τῷ Πυριφλεγέθοντι, καὶ ἐν τῷ Ταρτάρῳ. Ποταμοὶ δὲ οὗτοί εἰσιν· ὁ μὲν Κωκυτὸς, ψυχρότατος· ὁ δὲ Πυριφλεγέθων, θερμότατος· ὁ δὲ Τάρταρος, μέσος τις τόπος τοῦ παντὸς, ἐν ᾧ ἀνίμησίς ἐστιν ὑδάτων καὶ κατάποσις ἄχρι τοῦ τέλματος τοῦ παντὸς, σκοτεινός τις καὶ ἀφεγγής· καὶ ὅτι καὶ ἐν τῷ τόπῳ τούτῳ

36. *De pœnis.*

Plato in *Phædone* de animarum sedibus ac præmiis pœnisque verba faciens, ait eos qui injuste et scelerate vixerunt, in Cocyto et Pyriphlegethonte atque in Tartaro pœnas luere. Fluvii autem sunt illi, quorum alter frigidissimus est, alter calidissimus. Tartarus vero medius mundi quidam locus est obscurus et caliginosus, in quo flagitiosi et nefarii homines excruciantur. At vero Acheron, qui medius quoque quodammodo est, lustralis po-

(58) Hallucinatur Nonnus in hac etymologia.

tius esse videtur, quam scelerum vindex, utpote qui hominum peccata abluat et abstergat.

37. *De Tantalo* (59).

Tantalus Jovis filius erat. Hic cum deorum mensa dignus habitus fuisset, ipsorum mysteria pervulgavit : ob idque hujusmodi pœnam pendit : In subterraneis tribunalibus petram capiti superimpositam habet, atque infra se aquam uberem et copiosam et frugiferas plantas : ipsique minax lapis impendet, atque in ea calamitate est, ut si adjacente aqua sitim sedare tentet, lapis cadens eum excruciet : ita miser et fame et siti contabescit, videns quidem ea quibus et fami et siti mederi possit, cæterum eo calamitatis redactus, ut iis ob impendentem ipsius cervibus petram, frui nequeat.

38. *De Tityo.*

Tityus Latonæ amore captus est, eamque capitis velo tenuit. Postea Diana et Apollo Latonæ filii sagittis eum confecerunt, ac sustulerunt. Nuncque, ut ferunt fabulæ, sagittis trajectum pectus habet, ex eoque cruciatur.

39. *De Ixione.*

Ixion Junonem deperibat : ejusque nefariam cupiditatem Juno ad Jovem detulerat. Jupiter itaque ut exploratum haberet, num vere ille Junonem deamaret, Junonis formam nebulæ impressit, ipsique proposuit, Ixion autem ipsam Junonem esse arbitratus cum ea congreditur. Quo facinore succensus Jupiter hujusmodi supplicio eum affecit : In rota eum extendit, effecitque ut rota perpetua volubilitate feratur. Ita ille sursum semper deorsumque volvitur, eoque supplicii genere vexatur.

40. *De eo cujus jecur ab avibus roditur.*

Prometheus ignem diis furatus esse, atque ad homines detulisse fertur, Jovem insuper in carnium sacrificii distributione circumscripsisse, ac proinde eum ad iram incitasse. Jupiter itaque ad hunc modum in eum animadvertit : Ad Caucasum montem eum alligavit, ipsique aquilam immisit, quæ jecur ipsius quotidie renascens quotidie depasceretur.

A κολάζονται οἱ ἄδικοι· ὁ δὲ Ἀχέρων, καὶ αὐτὸς μέσος τις, ὃς καθαρσίῳ ἔοικε, καὶ οὐ κολαστηρίῳ, ῥύπτων καὶ σμήχων τὰ ἁμαρτήματα τῶν ἀνθρώπων.

λζ'. *Περὶ Ταντάλου.*

Ὁ μὲν Τάνταλος υἱὸς ἦν τοῦ Διός. Οὗτος, ὥς φασιν, ἠξιώθη τῆς τραπέζης τῶν θεῶν· καὶ ἀξιωθεὶς, ἐδημοσίευσε τὰ μυστήρια αὐτῶν, καὶ κολάζεται κόλασιν διὰ τοῦτο τοιάνδε· Ἔστιν ἐν τοῖς ὑπὸ γῆν δικαιωτηρίοις, ἔχων πέτραν ἐπάνω αὐτοῦ, καὶ κάτω ὕδωρ πολὺ καὶ βλαστήματα καρποφόρα· καὶ ἤρτηται ὁ λίθος κατ' αὐτοῦ. Ἐὰν οὖν, φησὶ, θέλῃ πιεῖν ἐκ τοῦ παρακειμένου ὕδατος, πίπτει ἡ πέτρα ἐπάνω αὐτοῦ, καὶ τιμωρεῖται αὐτόν. Ἐκ τούτου φησὶν ὅτι λιμῷ καὶ δίψει τήκεται· ὁρῶν μὲν ἀφ' ὧν δεῖ φαγεῖν καὶ πιεῖν, μὴ δυνάμενος δὲ μετασχεῖν διὰ τὴν ἐπηρτημένην κατ' B αὐτοῦ πέτραν. Ἡ δὲ περὶ τοῦ Τιτυοῦ, ἐστὶν αὕτη·

λη'. *Περὶ Τιτυοῦ.*

Ὁ Τιτυὸς ἠράσθη τῆς Λητοῦς, καὶ ἐρασθεὶς ἐκράτησεν αὐτὴν ἀπὸ τοῦ κρηδέμνου, θέλων αὐτῇ συγγενέσθαι· εἶτα Ἄρτεμις καὶ Ἀπόλλων, παῖδες ὄντες τῆς Λητοῦς, κατετόξευσαν αὐτὸν καὶ ἀνεῖλον· καὶ νῦν, φησὶ, κολάζεται ἐν τῷ ᾅδῃ, ἔχων τὰ βέλη ἐμπεπαρμένα ἐν τῷ ἥπατι. Ἡ δὲ περὶ τὸν Ἰξίωνα ἐστὶν αὕτη·

λθ'. *Περὶ Ἰξίωνος.*

Ἰξίων ἠράσθη τῆς Ἥρας· ἡ δὲ Ἥρα προσαγγέλλει τῷ Διΐ· ὁ δὲ Ζεὺς βουληθεὶς γνῶναι εἰ ὄντως ἠράσθη αὐτῆς, ἐξομοιοῖ νεφέλην τῇ Ἥρᾳ, καὶ πέμπει πρὸς αὐτόν· ὁ δὲ Ἰξίων νομίσας αὐτὴν τὴν Ἥραν εἶναι, συμμίγνυται αὐτῇ τῇ νεφέλῃ. Καὶ ὀργισθεὶς C ὁ Ζεὺς, κολάζει αὐτὸν οὕτω· Τροχῷ διατείνας αὐτὸν, ἐποίησεν ἀεὶ φέρεσθαι τὸν τροχόν· καὶ ἔστιν ἀεὶ οὗτος ἀνακυκλούμενος καὶ καταφερόμενος ταύτην τινὰ τιμωρίαν.

μ'. *Περὶ Προμηθέως.*

Ὁ Προμηθεὺς, οὗτος λέγεται κλέψαι τὸ πῦρ παρὰ τῶν θεῶν, καὶ ἐνεγκεῖν εἰς ἀνθρώπους· καὶ ὅτι περὶ τὰ κρέατα τῆς θυσίας ἀπατήσας τὸν Δία, εἰς ὀργὰς ἐκίνησε τοῦτον διττάς. Τοῦτον οὖν θέλων τιμωρήσασθαι, ἐποίησεν ἀετὸν κατεσθίειν αὐτοῦ τὸ ἧπαρ· τῇ δὲ νυκτὶ πάλιν ἀνεπληροῦτο· καὶ πάλιν ἤρχετο ὁ ἀετὸς ἡμέρας γινομένης, καὶ ἤσθιεν αὐτὸ, ἕως οὗ D ἐλθὼν ὁ Ἡρακλῆς, ἐτόξευσε τὸ ὄρνεον τοῦτο.

μα'. *Περὶ τῆς Κυκλωπείας τιμῆς* (60).

Ὁ Κύκλωψ, οὗτος λέγεται εἶναι ἥρως τις λῃστρικὸς καὶ ποιμὴν, ὃς ᾤκει τὴν Σικελίαν, εἶχε δὲ ἕνα ὀφθαλμόν. Τοῦ οὖν Ὀδυσσέως ἀποπλανηθέντος μετὰ τὸν Τρωϊκὸν πόλεμον μετὰ τῶν ἑταίρων αὐτοῦ, καὶ ἐλθόντος περὶ τὴν Σικελίαν, ὁ Κύκλωψ συνέλαβε καὶ αὐτὸν τὸν Ὀδυσσέα καὶ τοὺς ἑταίρους αὐτοῦ· καὶ τοὺς μὲν ἑταίρους αὐτοῦ πρώτους κατέφαγε, τὸν δὲ Ὀδυσσέα τηρήσας εἰς ὕστερον καταφαγεῖν οὐκ ἴσχυσε διαδράντος αὐτοῦ· διέδρασε δὲ μεθύσας τὸν Κύκλωπα καὶ τυφλώσας αὐτόν· καὶ ὑπὸ τὸ ἔριον ἑνὸς κριοῦ κατακρεμάσας ἑαυτὸν, καὶ ἐξελθὼν σὺν τῷ κριῷ, οὕτως ἀπέδρα.

μβ'. *Περὶ στηλῶν Ἡρακλείων.*

Τοῦ Ἡρακλέους περὶ τὰ Γάδειρα ἐλθόντος, καὶ μηκέτι ἰσχύσαντος περαιτέρω ἀπελθεῖν· οὔτε γὰρ περάσαι ἴσχυσε τὸν Ὠκεανόν· τὰ γὰρ Γάδειρα εἴσοδός ἐστιν ἀπὸ τοῦ Ὠκεανοῦ εἰς τὴν δυτικὴν θάλασσαν· ἄχρι οὖν τῶν Γαδείρων γενόμενος, στήλας ἔστησεν ἐκεῖ, ὡς μέχρι τῶν ἐκεῖσε βατῆς οὔσης τῆς θαλάσσης καὶ τῆς γῆς, καὶ τὸ ἐπέκεινα οὐκέτι· καὶ ἀκούει ὁ τόπος *Ἡρακλέους στῆλαι.*

(59) Numm. 37, 38, 39 sine distinctione in Græco leguntur.

(60) Græca jam cum Latinis non concordant, sed, ut jam diximus, utrumque textum retinemus, utpote e diverso fonte derivatum.

μγ'. Περὶ τοῦ φαλλοῦ.

Τοῦ Ὀσίριδος, ἤτοι Διονύσου, διασπασθέντος ὑπὸ Τυφῶνος, φασὶν, ὡς ἡ τούτου ἀδελφὴ ἡ Ἶσις, τὰ τούτου μέλη σὺν πόνῳ πολλῷ συλλέξασα, μόνον τὸ αἰδοῖον οὐχ εὗρε. Τούτου χάριν εἰκόνα τοῦ αἰδοίου ποιήσασα, προσκυνεῖσθαι ὑπὸ πάντων ἐκέλευσε. Γίνεται οὖν παρ' Ἕλλησιν ἑορτὴ τοῦ φαλλοῦ, ἣν προσηγόρευσαν *Φαλλαγώγια*.

MONITUM (1).

Collectionem historiarum ac fabularum, Nonno auctore, quarum S. Gregorius Nazianzenus meminit in duabus *contra Julianum imp. invectionibus*, jamdiu edidit Richardus Montacutius, eaque collectio in Nazianzeni editiones utiliter recepta fuit. Nunc mihi in Vaticanis codicibus persimilis historiarum fabularumque collectio eodem Nonno auctore occurrit, ad alias duas Nazianzeni orationes, nempe ad *Epitaphium divi Basilii*, et ad homiliam *in sancta Lumina;* quod ego sane scriptum, Montacutii exemplum secutus, in lucem emittere libenter decrevi, resecatis tamen iis fere omnibus, quæ apud Cosmam (2), ad litteram jam exstabant. Etsi enim in superiore opere nihil Cosmæ detraxi, quanquam is sæpe Montacutianum Nonnum expilabat, nunc illas tamen Vaticani Nonni partes in hoc meo libro nolui recudere quæ apud Cosmam leguntur.

ΤΟΥ ΑΒΒΑ ΝΟΝΝΟΥ ΣΥΝΑΓΩΓΗ ΚΑΙ ΕΞΗΓΗΣΙΣ

ΤΩΝ ΕΛΛΗΝΙΚΩΝ ΙΣΤΟΡΙΩΝ

Ὧν ἐμνήσθη ὁ πάνσοφος καὶ ἐν ἁγίοις μέγας Γρηγόριος ὁ Θεολόγος εἰς τὸν Ἐπιτάφιον τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν καὶ μεγάλου Βασιλείου (3).

NONNI ABBATIS COLLECTIO ET INTERPRETATIO

HISTORIARUM GRÆCARUM,

Quarum meminit sapientissimus et inter sanctos magnus Gregorius Theologus in laudatione funebri sancti Patris nostri Basilii.

Οἱ τῶν ἔξω ῥήτορές τε καὶ σοφισταὶ βουλόμενοι A τὸν ἐγκωμιαζόμενον παρ' αὐτῶν εὐγενέστατον δεῖξαι, λέγουσιν, ὡς οὗτος τὸ γένος κατάγει, εἰ τύχοι, ἀπὸ Πέλοπος ἢ Κέκροπος, ἢ Ἡρακλέους, ἢ τῶν ἄλλων τῶν νομισθέντων ἡρώων, ἢ καὶ ἄλλως πως ἀγαθῶν γενομένων ἀνδρῶν. Φησὶν οὖν ὁ θεῖος Γρηγόριος, ὅτι οἱ τοῦ θειοτάτου Βασιλείου προπάτορες, μείζους καὶ εὐγενέστεροι ἦσαν τῶν νομιζομένων παρὰ τοῖς ἔξω εὐγενῶν. Καὶ ὁ μὲν νοῦς τοῦ ἁγίου Γρηγορίου τοῦτο βούλεται. Εἰπεῖν δὲ δεῖ τίνες οὗτοι· οἷον, ὁ Πέλοψ, καὶ ὁ Κέκροψ, καὶ Ἀλκμαίων, καὶ ὁ Ἡρακλῆς· οἱ γὰρ τούτων ἀπόγονοι λέγονται λοιπὸν ἀπὸ μὲν τοῦ Πέλοπος Πελοπίδαι, οἱ δὲ ἀπὸ τοῦ Κέκροπος Κεκροπίδαι, οἱ δὲ ἀπὸ τοῦ Ἀλκμαίωνος Ἀλκμαιωνίδαι, οἱ δὲ ἀπὸ τοῦ Ἡρακλέους Ἡρακλεῖδαι, καὶ ἀπὸ τοῦ Αἰακοῦ Αἰακίδαι.

Rhetores et sophistæ profani ea mente ut, quem celebrant, natalibus clarum ostendant, ex genere eum, dummodo ita fieri possit, vel Pelopis, aut Cecropis alicujusve ex aliis pro heroibus habitis vel ex viris qui quoquo modo unquam inclaruerunt, declarant. Refert igitur divus Gregorius progenitores sanctissimi Basilii ex iis fuisse qui clari et nobiles apud ethnicos habebantur. Et hæc est mens divi Gregorii. At quinam sint isti dicere oportet. Pelops, Cecrops, Alcmæon, Hercules: quorum posteri alii Pelopidæ a Pelope, alii Cecropidæ a Cecrope, Alcmæonidæ alii, ab Alcmæone, ab Heraclide alii Heraclidæ, et tandem ab Æaco Æacidæ alii posthac nominantur.

(1) Mai *Spicileg. Rom.* II, 374.
(2) Vide hujusce *Patrologiæ* tom. XXXVIII, Opp. Gregorii tom. IV.
(3) Oratio XLIII, olim XXXII, pag. 769 nov. edit.

1. *De Pelope.*

Pelops filius erat Tantali Phrygiæ regis. Hic Tantalus cum Ilo, qui in Troade condidit Ilium, bellum gerens, cladem que metuens, filium suum Pelopem præbitis pecuniariis subsidiis ad Epirum petendam induxit. Si vicerim, inquit, in Phrygiam revertere; sin autem fuerim victus, in Europa mane. Opibus acceptis in Græciam advenit Pelops, in regionem quæ vocabatur Apia et regem habebat Œnomaum, puellæ nomine Hippodamiæ patrem. Pelops, Œnomao in equestri prælio superato, ejus filiam Hippodamiam uxorem duxit, regioneque potitus cui pro Apia Peloponnesi vocabulum imposuit, hoc est, Pelopis insula. Omnes illius posteri Pelopidæ nominantur; ii sunt : Atreus, Thyestes, Agamemno, Menelaus, et ultimus Orestes. Hæc sufficiant de Pelopide, modo in Cecropem defluat oratio.

α'. *Περὶ τοῦ Πέλοπος.*

A Πέλοψ υἱὸς γέγονε Ταντάλου Φρυγίας βασιλέως. Ὁ Τάνταλος δὲ οὗτος πόλεμον ἐσχηκὼς μετὰ Ἴλου τοῦ κτίσαντος τὸ Ἴλιον τὸ ἐπὶ Τροίας, καὶ φοβούμενος τὴν ἧτταν, ἐπέτρεψε τῷ Πέλοπι τῷ ἰδίῳ παιδὶ λαβόντι χρήματα, ἀπᾶραι ἐπὶ τὴν Ἤπειρον, εἰπὼν ταῦτα, ὅτι Ἐὰν μὲν νικήσω, ὑποστρέψεις πάλιν εἰς τὴν Φρυγίαν· ἐπὰν δὲ ἡττηθῶ, μένε εἰς τὴν Εὐρώπην. Λαβὼν οὖν ὁ Πέλοψ χρήματα, ἦλθεν εἰς τὴν Ἑλλάδα ἐν χώρᾳ Ἀπίᾳ καλουμένῃ· ἥτις Ἀπία χώρα βασιλέα εἶχε τὸν Οἰνόμαον, ἔχοντα θυγατέρα Ἱπποδάμειαν ὀνόματι. Εἶτα ἀγωνισάμενος ἐνταῦθα ὁ Πέλοψ ἱππικὸν ἀγῶνα μετὰ Οἰνομάου, καὶ νικήσας, ἔλαβε γυναῖκα τὴν τοῦ Οἰνομάου θυγατέρα Ἱπποδάμειαν, καὶ κατέσχε τὴν χώραν· καὶ ἀντὶ Ἀπίας ἐκάλεσεν αὐτὴν Πελοπόννησον, ὅ ἐστιν ἡ τοῦ Πέλοπος νῆσος. Πάντες B οὖν οἱ ἀπὸ τοῦ Πέλοπος καλοῦνται Πελοπίδαι· οἷον, Ἀτρεὺς, Θυέστης, Ἀγαμέμνων, Μενέλαος, καὶ τελευταῖος Ὀρέστης. Καὶ περὶ μὲν τοῦ Πέλοπος ταῦτα, περὶ δὲ τοῦ Κέκροπος ἤδη λέξεται.

2. *De Cecrope.*

Rex Atheniensium Cecrops fuit, quo regnante maxime floruit Attica regio : bilinguis vocabatur, quod duabus calluerit linguis, Græca scilicet et Ægyptiaca. Dicuntur Athenienses ex Ægypto ab urbe Saide migrasse duce illo Cecrope, qui, dum in Græciam transiret, Græcam et Ægyptiacam linguam ediscebat, et utriusque gnarus eo advenit. Falsa est opinio quæ tenet Athenienses fuisse indigenas, infirma hac verisimilitudine nixa illos nunquam expulsos in Attica incolas collocasse. Nam sterilis adeo terra non magnum apud alios immigrationis desiderium excitavit. Hactenus de Cecrope; de Alcmæone nunc loquamur.

β'. *Περὶ τοῦ Κέκροπος.*

Κέκροψ βασιλεὺς γέγονεν Ἀθηναίων· ὃς μεγάλως τὴν Ἀττικὴν κατεκόσμησεν. Οὗτος δέ ἐστιν ὁ διφυὴς καλούμενος· ἐκαλεῖτο δὲ διφυὴς, ὅτι δύο φωνὰς ἦν ἠσκημένος· μίαν μὲν τὴν τῆς Ἑλλάδος, ἑτέραν δὲ τὴν τῆς Αἰγύπτου. Λέγεται γὰρ, ὅτι οἱ Ἀθηναῖοι ἄποικοί εἰσιν Αἰγυπτίων, ἀπὸ Σάεως πόλεως. Ἡγεμὼν οὖν τῆς ἀποικίας γέγονεν οὗτος ὁ Κέκροψ· καὶ ἐλθὼν εἰς τὴν Ἑλλάδα, ἔμαθε τὴν Ἑλλάδα φωνὴν καὶ τὴν Αἰγυπτίαν· καὶ ἦλθεν εἰς τὴν Ἑλλάδα φωνὴν C ἔχων καὶ τὴν Αἰγυπτίων. Ὁ δὲ λόγος, ὁ λέγων αὐτόχθονας εἶναι Ἀθηναίους, μῦθός ἐστι, λαβὼν τὸ πλάσμα ἀπὸ τοῦ μηδέποτε ἀπωσθῆναι, μᾶλλον δὲ ἀναθῆναι τοὺς οἰκήσαντας εἰς τὴν Ἀττικήν. Λεπτόγεως γὰρ οὖσα ἡ χώρα, οὐ πάνυ ἦν ζηλωτὴ καὶ ἄλλους εἰσοικίσαι. Περὶ μὲν Κέκροπος ἅλις· εἰπεῖν δὲ δεῖ περὶ Ἀλκμαίωνος.

3. *De Alcmæone.*

Hic natione Atheniensis clarum nomen adeptus est ob animi firmitatem quam in tuenda Atheniensium libertate exhibuit. Tyrannide Athenis a Pisistrato occupata, patriæ servitutem non ferens, migravit, ac toto exsilii tempore curas omnes in restituenda libertate contulit, secum reputans quomodo illud tanti momenti consilium perficeret. Delphos profectus, ad sacerdotem Apollinis venit oraculi gratia pretio redimendi. Quod illi bene cessit. Quapropter cunctos dei ministros suis audientes dictis suumque in arbitrium subjectos videns, sacerdoti et Pythiæ persuasit ut, si quis Lacedæmonius interrogaturus oraculum veniret, nullum aliud ei responsum nisi hoc daretur : Vobis Deus præcipit ut Athenis instauretis libertatem. Quo sæpius dato Lacedæmoniis incitamento, hi tandem venerunt expuleruntque tyrannos ex Athenis. Ab illo tempore magnum fuit Alcmæonis decus qui sapientia Atheniensium restituit libertatem. Sed huc usque de Alcmæone.

γ'. *Περὶ Ἀλκμαίωνος.*

Οὗτος Ἀθηναῖος ἦν τὸ γένος, ἐπίσημος λίαν, τὴν ἐλευθερίαν ἀεὶ φυλάττειν ἐθέλων τοῖς Ἀθηναίοις. Τυραννηθείσης οὖν τῆς πόλεως ὑπὸ Πεισιστράτου, ἐξῆλθεν οὗτος, μὴ φέρων ὁρᾷν δουλευούσας τὰς Ἀθήνας. Ἐξελθὼν οὖν μηχανᾶται, καὶ σκοπὸν εἶχε πῶς τὴν ἐλευθερίαν ἀποκαταστήσει Ἀθηναίοις. D Ἀπελθὼν οὖν εἰς Δελφοὺς εἰς Ἀπολλώνειον ἱερὸν, ἐκμισθοῦται παρὰ Δελφοῖς τὸ ἱερὸν ἐπὶ μισθοφορίᾳ· ἐκμισθωσάμενος δὲ, καὶ ἔχων ὑφ' ἑαυτὸν πάντας τοὺς τοῦ θεοῦ διακόνους, πείθει τὴν ἱέρειαν καὶ τὴν Πυθίαν, ἵνα εἰ ἔλθῃ ποτὲ Λακεδαιμόνιος μαντευσόμενος, μηδὲν ἄλλο λέγειν αὐτῷ, ἢ ὅτι Ἐλευθεροῦν τὰς Ἀθήνας λέγει ὑμῖν ὁ θεός. Τούτου συνεχῶς καὶ πλειστάκις γινομένου, παρωρμήθησαν οἱ Λακεδαιμόνιοι, καὶ ἐλθόντες ἐξέβαλον ἀπὸ τῶν Ἀθηνῶν τοὺς τυράννους. Μέγα οὖν κλέος ἔσχεν ἔκτοτε ὁ Ἀλκμαίων, ἐλευθερώσας τὰς Ἀθήνας σοφίᾳ. Ἀλλὰ τοσαῦτα περὶ Ἀλκμαίωνος.

A

δ'. Περὶ Αἰακοῦ.

Οὗτος υἱὸς ἐλέγετο εἶναι τοῦ Διός, δίκαιος τὰ μάλιστα. Διὸ ποτὲ ἀβροχίας γενομένης ἐν τῇ Ἑλλάδι, ἦλθον πρὸς αὐτὸν οἱ προεστῶτες τῶν πόλεων, παρακαλοῦντες εὔξασθαι τῷ ἰδίῳ πατρὶ, ἵνα γένηται ὑετός. Ὁ δὲ στὰς καὶ εὐξάμενος, ἔλυσε διὰ τῆς εὐχῆς τοὺς αὐχμοὺς, καὶ κατεῤῥύη ὕδωρ ποτίζον τὴν Ἑλλάδα· μάλιστα δὲ καὶ ἐκ τούτου ἡ εὐσέβεια ἐδείχθη τοῦ Αἰακοῦ. Οὗτος οὖν γεννᾷ δύο υἱούς, τὸν Πηλέα καὶ τὸν Τελαμῶνα· ὧν ὁ μὲν Πηλεὺς τίκτει τὸν Ἀχιλλέα, ὁ δὲ Τελαμὼν τὸν Αἴαντα. Οἵτινες ἐκαλοῦντο Αἰακίδαι, τὴν ἀπὸ τοῦ πάππου τιμὴν ἐκ τούτου προφερόμενοι.

4. *De Æaco.*

Dicitur ille Jovis filius et præ cæteris justus. Ideo cum siccitate magnopere quodam anno Græcia laboraret, ad eum venerunt civitatum proceres supplices ut genitorem oraret suum ad impetrandum imbrem. Surgens et orans precibus suis siccitati finem imposuit, et cecidit imber Græciam irrigans atque refrigerans. Ex hoc autem tempore celebrata fuit Æaci pietas. Hic duos filios Peleum et Telamonem genuit; Peleus genuit Achillem, Telamon genuit Ajacem. Qui vocabantur Æacidæ, ex hoc etiam abavi memoria commendati.

ε'. Περὶ Ἡρακλέους.

B

Οὗτος λέγεται υἱὸς γεγονέναι τοῦ Διός. Ὁ γὰρ Ζεὺς ὁμοιωθεὶς τῷ Ἀμφιτρύωνι, συνεγένετο τῇ Ἀλκμήνῃ· καὶ ἐγεννήθη ὁ Ἡρακλῆς, ὃς καὶ τοὺς μεγάλους ἐκείνους ἄθλους διήνυσε. Πολλοὶ οὖν γεγόνασιν ἀπὸ Ἡρακλέους, ὧν πρῶτος καὶ ἔνδοξος ὁ Ὕλλος, ἐξ οὗ καὶ οἱ τῶν Λακεδαιμονίων βασιλεῖς Ἡρακλεῖδαι λέγονται.

5. *De Hercule.*

Ille dicitur fuisse Jovis filius; Jupiter enim sub Amphitryonis imagine congressus est cum Alcmena: unde natus est Hercules, qui tantos labores perfecit. Multi ex Hercule orti sunt, inter quos primus et longe clarissimus Hyllus; ex eo etiam Lacedæmoniorum reges Heraclidæ vocantur.

ϛ'. Περὶ τῆς Ἐλαφηβόλου, καὶ Ὠρίωνος, καὶ Ἀκταίωνος.

Τὴν Ἄρτεμιν λέγουσι τῆς κατὰ θήραν τοξείας εἶναι ἔφορον. Λέγεται οὖν αὕτη ἡ θεὸς βάλλειν εὐστόχως τὰς ἐλάφους, ὥστε ἀκοῦσαι τὴν Ἄρτεμιν Ἐλαφηβόλον θεόν. Ὁ δὲ Ὠρίων καὶ ὁ Ἀκταίων, θηραταὶ καὶ οὗτοι ὑπῆρχον. Ὁ μὲν οὖν Ἀκταίων κυνηγέτης ἦν, καὶ εἶδε τὴν Ἄρτεμιν γυμνήν· ἡ δὲ θεὸς ἀθέμιτον τοῦτο ὑπολαβοῦσα, τὸ τοὺς θεοὺς ἰδεῖν γυμνοὺς, καὶ
C
μάλιστα τὰς παρθένους, χολωθεῖσα, μανῆναι ἐποίησε τοὺς κύνας αὐτοῦ τοῦ Ἀκταίωνος, καὶ ὡς ἔλαφον ἔχοντα κέρατα ἑώρων αὐτὸν οἱ κύνες, οὕτως ὥστε λέγεσθαι τὸν Ἀκταίωνα ὑπὸ κυνῶν συρῆναι. Καὶ ὁ Ὠρίων δὲ, οὗτός ἐστιν ὁ ἐκ τοῦ οὐρῆσαι τοὺς θεοὺς ἐν τῇ βύρσῃ τοῦ βοὸς τοῦ σφαγέντος ὑπὸ τοῦ Οἰνέως τοῦ Θηβῶν βασιλέως ἐπὶ τῇ φιλοξενίᾳ τῶν θεῶν· γενόμενος δὲ Ὠρίων, καὶ ὢν θηρολέτης, ἠράσθη τῆς Ἀρτέμιδος. Εἶτα ἡ θεὸς ὀργισθεῖσα, ἀνῆκε σκορπίον κατ' αὐτοῦ, καὶ κρουσθεὶς οὗτος ἀπέθανε· διό ἐστιν ἐν τῷ οὐρανῷ, ὡς οἱ μῦθοι λέγουσι, μετὰ τοῦ σκορπίου.

6. *De Elaphebolo, Orione et Actæone.*

Dianam dicunt venatoriæ artis præsidem et solerti manu transfigere cervos, unde fuit cognominata dea Elaphebolus. Venatores fuerunt Orion et Actæon. Actæon igitur venator erat, et nudam aspexit Dianam, quæ, nefarium scelus hoc existimans deos nudos aspicere, et præsertim virgines, ad ulciscendam injuriam fecit canes Actæonis rabidos et amentes, qui illum quasi cervum cornua habentem videntes, ut fertur, laceraverunt atque voraverunt. Orion autem ortum ducit ex eo quod minxerunt superi in pelle bovis ab Œneo Thebarum rege immolati ad recipiendos hospitio deos. Orto ergo Orione, cum ferarum esset destructor, adamavit eum Diana. Deinde dea furore accensa in illum projecit scorpionem a quo infelix Orion morsus, emisit spiritum. Quapropter in cœlo est cum scorpione, ut fabulantur.

ζ'. Περὶ τοῦ Πηγάσου.

Τῆς Παταρικῆς Χιμαίρας ἀναφυείσης, περὶ ἧς
D
μέμνηται καὶ οὗτος ὁ θεῖος Γρηγόριος ἐν τοῖς *Στηλιτευτικοῖς*, ἐν ἱστορίᾳ πεντηκοστῇ, καὶ λυμαινομένης τὴν χώραν τῶν Λυκίων, καὶ τοῦ Προίτου βασιλεύοντος τῆς Λυκίας, προσετάχθη ὁ Βελλεροφόντης ἀποκτεῖναι τὴν Χίμαιραν. Ἦν δὲ τὸ θηρίον, ὡς κἀκεῖσε παρεστήσαμεν τοιοῦτον· πρόσθε μὲν λέων, ὄπισθεν δὲ δράκων, μέσον δὲ Χίμαιρα· ἐξ ἧς Χιμαίρας τὸ πῦρ ἀνεδίδοτο, καὶ ἦν δυσάλωτον τὸ θηρίον. Τὸν ἵππον οὖν Πήγασον ἐκ θεοῦ εὑρὼν ὁ Βελλεροφόντης, ὃς ἐλέγετο ἔχειν πτερὰ, καὶ ὕδωρ ἀπὸ τῶν ὀνύχων ἀποστάζειν, ἐλθὼν, σύμμαχον εὑρὼν τὴν πτῆσιν τοῦ ἵππου, διὰ τὸ εἶναι πτερωτὸν, ὡς εἶπον, καὶ σφαῖραν μολίβδου περιθεὶς ἐν τῷ ἄκρῳ τοῦ δόρατος, αὐτὸς ὁ Βελλεροφόντης ἐνέβαλεν εἰς τὸ στόμα τῆς Χιμαίρας, καὶ ἀπὸ τοῦ πυρὸς διελύθη ὁ μόλιβδος, καὶ ἀνεῖλε τὴν Χίμαιραν.

7. *De Pegaso.*

Chimæra Patarica, ex seipsa renascente, de qua in *Stelitcuticis*, in quinquagesima historia mentionem facit divus Gregorius, regionem Lyciorum populante, regnante in Lycia Prœto, Bellerophonti ut eam interficeret mandatum est. Erat bellua, sicut jam depinximus, talis: a fronte leo, a tergo draco, in medio Chimæra ipsa ignem projiciens, et difficilis erat accessus ad eam. Cum Bellerophon invenisset Pegasum divinum equum qui alas habere dicebatur, et undam unguibus jacere, usus est quasi adjutorio alis equi, et plumbeam in superiori parte lanceæ stabiliens sphæram quam in os Chimæræ projecit, plumbo per ignem liquefacto, occidit Chimæram.

8. *De labyrintho.*

In insula Creta mons est in quo invenitur spelunca in modum antri ad quam difficilis aditus, sed difficilior ex ea reditus; hic Minotauri mansio esse dicitur. Per difficultatem e labyrintho redeundi, divus Gregorius inextricabilia sermonis obiter innuit e quibus nemo semel alligatus sese expedire poterat; adjungit ἄρκυς, quod est species retis crassissimi, quo utuntur adversus leonem vel quamvis aliam ex feris immanem venatores.

9. *De Gadibus.*

Gades locus est in partibus Hesperiis. Locus hic maris terminus est et quasi sejunctio nostri maris a mari Atlantico. Circa Gades vero mare non navigabile esse dicitur propter ejus turbulentiam et obscuritatem. Γάδειρα dicitur παρὰ τὴν γῆν καὶ τὴν δειράν· δειρὴ vero dicitur humilis. Ex eo ergo quod terra hic humilis est Γάδειρα nomen accepit.

10. *De equo vincula frangente.*

Poeta Homerus ad Alexandri velocitatem depingendam illum cum equo comparat his verbis:

Ut equus in stabulo nutritus cum e stabulo elapsus [fuerit.

11. *De sparsis et sponte nascentibus gigantibus.*

Dicunt Cadmum vel quemvis alium Thebis in Bœotia maritimi draconis dentes avulsos in terram quasi semen projecisse unde viri surrexerunt armati; editi sunt autem a femoribus ad superna, et sic stantes seipsos invicem trucidarunt.

12. *De Thebis quæ septem portas habebant.*

Divus Gregorius hic sermonem facit de spectaculis. Urbs vero quæ septem portas habebat est in Græcia ea quæ Amphionis et Zethi citharæ modulaminibus exstructa est; Thebæ vero Ægyptiæ habent centum portas; urbs olim maxima, adeo ut centum portas haberet. Dicunt validissima fuisse Babylonis mœnia, lateribus asphalto junctis structa et in immensum longitudinis, latitudinis et circumferentiæ spatium porrecta.

13. *De Mausolo Care.*

Mausoli Caris sepulcrum etiam amplissimum. Rex fuit Cariæ Mausolus qui sibi ingenti sumptu ædificavit sepulcrum super terrenum aggerem, paludosis in locis, jacens in interiori sepulcro. Scribitur *sepulcrum Caricum*, possessive; et *Caris*, quod gentem designat Mausoli Caris. Pyramides etiam, in Ægypto magnis sumptibus ædificatæ, admiratione dignæ sunt. Eas Christiani dicunt horrea fuisse Joseph, ethnici vero, inter quos Herodotus, sepulcra regum quorumdam. Verisimile est pyramides post tempora Joseph et exitum Israel ab ethnicis exstructas ut sepulturæ regum inservirent. Rhodium colossum innuit

A

η'. *Περὶ τοῦ λαβυρίνθου.*

Ἐν τῇ Κρήτῃ τῇ νήσῳ ὄρος ἐστὶν, ἐν ᾧ σπήλαιον ἀντρῶδες, καὶ δύσοδον περὶ τὴν κάθοδον, καὶ δυσχερὲς πάνυ περὶ τὴν ἄνοδον· ἐν ᾧ λέγεται ὁ Μινώταυρος ἐμβληθῆναι. Ἐπεὶ οὖν δυσχερὲς τὸ ἐκβῆναι τοῦ λαβυρίνθου, νῦν ὁ θεῖος Γρηγόριος ἔλαβεν αὐτὸ ἐπὶ τοῦ λόγου τῶν ἀφύκτων, ὧν οὐδεὶς ἠδύνατο ἐκφυγεῖν, ἀλλ' ἡλίσκετο. Ἐπιφέρει δὲ καὶ τὰς ἄρκυς· ἄρκυς δέ ἐστιν εἶδος δικτύου παχυσχοίνου, ὃ ἱστᾶσι πρὸς θήραν λέοντος, ἢ ἄλλου τῶν ἰσχυρῶν ζώων.

θ'. *Περὶ τῶν Γαδείρων.*

Γάδειρα τόπος ἐστὶ περὶ τὰ Ἑσπέρια μέρη· ὁ τόπος δὲ οὗτος, ἀποτελεύτησίς ἐστι θαλάσσης, καὶ οἱονεὶ ἔκκρισις ἀπὸ τῆς ὡς πρὸς ἡμᾶς θαλάσσης, ἐπὶ

B

τὴν Ἀτλαντίδα θάλασσαν. Λέγεται οὖν μηκέτι μετὰ τὰ Γάδειρα πλέεσθαι τὴν θάλατταν ἐκείνην, διὰ τὸ εἶναι βραχώδη καὶ σκοτεινήν. Γάδειρα δὲ ἤκουσε παρὰ τὴν γῆν καὶ τὴν δειράν· δειρὴ δὲ καλεῖται τράχηλος. Παρὰ τὸ οὖν τῆς γῆς εἶναι τράχηλον ἐκεῖσε, ἤκουσε Γάδειρα.

ι'. *Περὶ ἵππου τοῦ διαῤῥήξαντος τὰ δεσμά.*

Ὅμηρος ὁ ποιητὴς βουλόμενος τὴν Ἀλεξάνδρου ὀξύτητα τὴν περὶ τοῦ πώλου ἐκφράσαι, διὰ παραβολῆς εἰκάζει τὸν ἥρωα, ἐπειπὼν τόδε ἔπος·

Ὡς δ' ὅτε τις στατὸς ἵππος ἀκοστήσας ἐπὶ [φάτνης.

ια'. *Περὶ τῶν σπαρέντων καὶ φυέντων αὐθημερὸν γιγάντων.*

C

Ἐν Θήβαις τῆς Βοιωτίας λέγεται, ὅτι Κάδμος, ἢ ἄλλος τις, λαβὼν τοὺς τοῦ δελφίνου δράκοντος ἔσπειρεν ὀδόντας εἰς τὴν γῆν, καὶ ἀνεδόθησαν ἔνοπλοι ἄνδρες· ἀνεδόθησαν δὲ ἀπὸ μηρῶν ἕως ἄνω, καὶ οὕτως ἱστάμενοι ἐπολέμουν ἀλλήλοις.

ιβ'. *Περὶ τῶν ἑπταπύλων Θηβῶν.*

Ὁ θεῖος Γρηγόριος περὶ θεάματα βούλεται εἰπεῖν ἡμῖν ἐνταῦθα· αἱ δὲ πύλαι, ἑπτάπυλοί εἰσιν, αἱ τῆς Ἑλλάδος, αἱ ὑπὸ Ἀμφίονος καὶ Ζήθου κτισθεῖσαι διὰ κιθάρας· αἱ δὲ Αἰγύπτιαι Θῆβαι, εἰσὶν ἑκατοντάπυλοι· μεγίστη δὲ πάλαι γέγονε, καὶ οὕτως μεγίστη ὥστε ἑκατὸν ἔχειν τὰς πύλας. Τὰ δὲ τείχη τὰ Βαβυλώνια λέγεται εἶναι ἰσχυρότατα· ἀπὸ γὰρ πλίνθου ὀπτῆς καὶ ἀσφάλτου λυομένης ἐκτίσθησαν, καὶ τὸ πλάτος ἔχοντα πολὺ, καὶ τὸ ὕψος, καὶ τὴν περιφέρειαν.

D

ιγ'. *Περὶ τοῦ Μαυσωλοῦ τοῦ Καρός.*

Ὁ τάφος Μαυσωλοῦ τοῦ Καρὸς μέγιστός ἐστι καὶ αὐτός· Μαυσωλὸς γὰρ Καρίας γέγονε τύραννος· ὃς ἔκτισεν ἑαυτῷ τάφον πολυανάλωτον, ἐν χώματί τινι καὶ ἐν λιμναζούσῃ λίμνῃ ἔνδον κείμενος τοῦ τάφου· γράφεται δὲ καὶ ὁ *Καρικὸς τάφος*, ἵνα ᾖ κτητικός· γράφεται δὲ καὶ *Καρὸς*, ἵνα ᾖ ἐθνικὸς τοῦ Μαυσωλοῦ τοῦ Καρός. Αἱ δὲ πυραμίδες, καὶ αὗται θαύματός εἰσιν ἄξιαι, ἐν τῇ Αἰγύπτῳ ἐκτισμέναι πολυανάλωτοι· ἅστινας Χριστιανοὶ μὲν λέγομεν εἶναι τὰ ὡρεῖα τοῦ Ἰωσήφ, Ἕλληνες δὲ τάφους βασιλέων τινῶν, ὧν ἐστι καὶ Ἡρόδοτος· ὡς δὲ εἰκὸς μετὰ τοὺς χρόνους τοῦ Ἰωσήφ, καὶ τὴν ἔξοδον τοῦ Ἰσραὴλ, ἐποιήσαντο αὐτὰς τάφους βασιλέων οἱ Ἕλληνες.

Περὶ δὲ τοῦ κολοσσοῦ λέγει τοῦ ἀνακειμένου ἐν Ῥόδῳ, ὅτι μέγιστός ἐστιν ἀνδριὰς, χαλκὸν ἔχων πολὺν καὶ ἀξιοθαύμαστον.

A qui mole sua et ingenti æris adhibiti pondere admirationem movet.

ΤΟΥ ΑΥΤΟΥ ΜΟΝΑΧΟΥ ΝΟΝΝΟΥ

ΕΞΗΓΗΣΙΣ ΤΩΝ ΕΛΛΗΝΙΚΩΝ ΙΣΤΟΡΙΩΝ

Ὧν ἐμνήσθη ὁ πάνσοφος καὶ θεῖος Γρηγόριος ἐν τῷ *Εἰς τὰ ἅγια φῶτα* λόγῳ (1).

EJUSDEM MONACHI NONNI

INTERPRETATIO GRÆCARUM HISTORIARUM

Quarum meminit sapientissimus et divus Gregorius in oratione *De sacris luminibus*.

α'. *Περὶ τοῦ Διός.*

Τὸν Δία οἱ θεολόγοι τῶν Ἑλλήνων ἐκ Κρόνου λέγουσι γεννηθῆναι, καὶ γεννηθέντα περισωθῆναι τοιῷσδε· Ὁ Κρόνος τῇ Ῥέᾳ γενόμενος σύνοικος, ἅπερ ἔτικτεν αὐτὴ παιδία, αὐτὸς λαμβάνων κατέπινεν· καὶ οὕτως ἐπὶ πολλῶν τούτου γενομένου, ἄτεκνος ἔμενεν ἡ Ῥέα. Ὅτε οὖν ἐγέννησε τὸν Δία, ἡ Ῥέα φοβουμένη μήπως καὶ τὸ βρέφος τοῦτο καταποθὲν ἀπόληται, λίθον μὲν σπαργανώσασα, δέδωκε τῷ Κρόνῳ ὡς βρέφος καταπιεῖν· τὸν δὲ Δία ὑπερέθετο ἐν τῇ Κρήτῃ, καὶ παρέσταξε τῷ βρέφει τούτῳ τοὺς Κορύβαντας καὶ τοὺς Κουρῆτας ὀρχεῖσθαι καὶ κροτεῖν καὶ κτυπεῖν τὰ ὅπλα αὐτῶν, καὶ γενέσθαι τινὰ ἦχον τὸν δυνάμενον ὑποκλέπτειν καὶ παρακρούειν τὸν ἐκ τοῦ κλαυθμοῦ τοῦ παιδίου ἦχον, ἵνα μὴ μαθὼν ὁ Κρόνος ποῦ κρύπτεται τὸ παιδίον, τοῦτο λαβὼν καταπίῃ. Νῦν οὖν πατέρα μὲν μισότεκνον λέγει τὸν Κρόνον, παιδίον δὲ κλαυθμυρίζον τὸν Δία· τοὺς Κουρῆτας δὲ λέγει τοὺς μετὰ τῶν Κορυβάντων ταχθέντας παρὰ τῆς Ῥέας ὀρχεῖσθαι, δαίμονες δὲ οὗτοι οἱ Κορύβαντες· ἐνόπλιον δὲ ὄρχησιν λέγει τὴν πυῤῥίχιον· κτύπον γάρ τινα ἐν ταῖς ἀσπίσιν ἐποίουν οὗτοι, πρὸς τὸ ὑπερηχεῖσθαι τὸν κλαυθμὸν τοῦ παιδίου. Κρητῶν δὲ τυράννους εἶπεν, ὅτι οἱ μὲν θεολόγοι τῶν Ἑλλήνων θεὸν λέγουσι γενέσθαι τὸν Κρόνον καὶ τὸν Δία· ἡ δὲ ἱστορία ἡ δημώδης, ἣ καὶ τίθεται ὁ θεῖος Γρηγόριος λέγων, ὅτι ὁ Ζεὺς οὗτος τύραννος ἦν Κρητῶν, καὶ θέλοντες αὐτὸν θεραπεύειν οἱ ὑπήκοοι, ἐμυθολόγουν, ὡς ἐκ Κρόνου θεοῦ καὶ Ῥέας ἔχει τὴν γένεσιν, ἐπεὶ ἄνθρωπος ἦν· διὸ καὶ ἐπήγαγεν, κἂν Ἕλληνες ἀπαρέσκωνται· οἱ γὰρ Ἕλληνες οὐ θέλουσιν αὐτὸν εἶναι ἄνθρωπον καὶ τύραννον Κρητῶν, ἀλλὰ θεόν.

1. *De Jove.*

B Jovem theologi Græcorum Saturno dicunt natum, et natum salvatum fuisse isto modo: Saturnus Rheæ cum esset conjunctus, quos edebat ea pueros, ille capiebat et hauriebat; et ita sæpissime cum hoc evenisset, sine pueris remansit Rhea. Cum igitur genuit Jovem, Rhea timens ne eodem modo quoque puer ille periret, lapidem cum panno involvisset, dedit Saturno ut puerum manducandum, Jovem autem deposuit in Creta, et illi circumposuit Corybantas et Curetas qui saltibus et plausibus et arma feriendo tumultum cierent quo posset celari et tegi sonus vagituum pueri, ne disceret Saturnus ubi latebat puer, caperet eum et hauriret. Nunc igitur patrem pueros detestantem dicit Saturnum, C infantemque gemebundum Jovem. Curetas dicit eos cum Corybantis ordinatos a Rhea ad saltandum; dæmones vero sunt isti Corybantæ. Armatam saltationem dicit *pyrrhichium*: sonum enim quemdam in clypeis faciebant illi, ut dominarentur gemitus infantis. Cretensium reges dicit, quia theologi Græcorum deos factos fuisse dicunt Saturnum et Jovem. Hæc est historia communis, quam sequitur divus Gregorius dicens, Jovem istum regem fuisse Cretensium, et volentes eum colere subjecti, finxerunt eum e Saturno deo et Rhea ortum habere, cum homo esset. Ideo addit, Quamvis Græci contradicant; Græci enim non volunt eum esse hominem et regem D Cretensium, sed deum.

β'. *Περὶ τῆς ἁρπασθείσης Κόρης.*

Δημήτηρ θεὸς οὖσα τίκτει θυγατέρα ἀπὸ τοῦ Διός, ἥντινα ἐκάλουν καὶ Κόρην, καὶ Περσεφόνην. Ταύτης ἠράσθη ὁ Πλούτων· καὶ ἥρπασε καὶ κατῆλθεν ἐν τῷ ᾅδῃ. Ἡ οὖν Δημήτηρ περιήει ζητοῦσα τὴν Κόρην,

2. *De erepta virgine.*

Ceres, dea cum esset, gignit filiam a Jove, quam vocabant Coren et Persephonen. Illam amavit Pluto, et sustulit et descendit in inferos. Ceres igitur circumibat quærens virginem, et cum diu

(1) Oratio olim et nunc XXXIX, p. 677 nov. edit.

errasset, venit in Atticam. Adveniens autem, locum in quem venerat vocavit Eleusina, ex verbo ἐληλυθέναι. Didicit vero e Celeo et Triptolemo, virginem raptam fuisse a Plutone et esse in inferis. Cum igitur didicisset dea ista, finem fecit erroris. Gratias agens viris pro beneficio illo, dedit eis semina, ut frumentum, hordeum et olera; dicitur enim frugum præses esse Ceres. Cum dedisset semina, dedit etiam dracones et currus alis instructos, circumeundi causa et dandi omnibus frumentum et hordeum; nondum enim didicerant homines manducare panem, aut uti frumento, sed nomadum vitam agebant: non modo frumentum, sed etiam omnes seminales fructus dedit, et mysteria instituit et docuit quomodo oportet initiare et initiari. Noctu autem peragebantur mysteria in Eleusi; templum enim hic dedicatum fuit ipsi Cereri. Dicit autem, Et hæc facit et hæc patitur, quia Ceres felix fuit discendo filiæ (sortem) et finem fecit erroris, et quia ea beneficium intulit eis, dans semina, et statuens mysteria. Cognovit autem Eleusis hæc, de pago dicit, in quem cum venisset Ceres, faciebat mysteria. Dicit autem, Silendis et silentio dignis, propter legem jubentem neminem initiatorum mysteria divulgare, sed silere, et cum profanis non communicare.

καὶ πολλὰ πλανηθεῖσα ἦλθεν ἐν τῇ Ἀττικῇ. Ἐλθοῦσα δὲ, τὸν μὲν τόπον ἐν ᾧ ἦλθεν, ἐκάλεσεν Ἐλευσῖνα παρὰ τὸ ἐληλυθέναι. Ἔμαθε δὲ παρὰ τοῦ Κελεοῦ καὶ τοῦ Τριπτολέμου, ὅτι ἡ Κόρη ἡρπάγη ὑπὸ τοῦ Πλούτωνος, καὶ ἔστιν ἐν τῷ ᾅδῃ. Μαθοῦσα οὖν ἡ θεὸς ταῦτα, ἔληξε τῆς πλάνης. Ἀμειβομένη δὲ τοὺς ἄνδρας ὑπὲρ τῆς χάριτος ταύτης, δέδωκεν αὐτοῖς τὰ σπέρματα, οἷον σῖτον, κριθὴν, καὶ ὄσπριον· λέγεται γὰρ τῶν σπερματικῶν καρπῶν εἶναι ἔφορος ἡ Δημήτηρ. Δοῦσα δὲ τὰ σπέρματα, δέδωκε καὶ δράκοντας καὶ ἅρματα πτερωτὰ πρὸς τὸ περιελθεῖν καὶ δοῦναι πᾶσι τὸν σῖτον καὶ τὴν κριθήν· οὔπω γὰρ ᾔδεισαν οἱ ἄνθρωποι ἐσθίειν ἄρτον, ἢ χρῆσθαι σίτῳ, ἀλλὰ νομαδικὸν βίον ἔζων· οὐ μόνον δὲ τὸν σῖτον, ἀλλὰ καὶ πάντας τοὺς σπερματικοὺς καρποὺς δέδωκε· καὶ τὰ μυστήρια ἐτέλεσεν αὐτοῖς, καὶ ἔδειξε πῶς δεῖ τελεῖν καὶ τελεῖσθαι. Νύκτωρ δὲ ἐγίνετο ἡ τελετὴ ἐν τῇ Ἐλευσῖνι· ἱερὸν γὰρ ἐκτίσθη ἐκεῖσε αὐτῆς τῆς Δήμητρος. Εἶπε δὲ, Καὶ τὰ μὲν ποιεῖ, τὰ δὲ πάσχει, διὰ τὸ καὶ τὴν Δήμητραν παθεῖν εὖ ἐν τῷ ἀκοῦσαι περὶ τῆς θυγατρὸς λῆξαι τῆς πλάνης, καὶ ταύτην δὲ ποιῆσαι εὖ τούτους, δοῦσα τὰ σπέρματα, καὶ τελέσασα τὰ μυστήρια. Τὸ δὲ, Οἶδεν Ἐλευσὶς ταῦτα, περὶ τῆς κώμης λέγει, ἐν ᾗ ἐλθοῦσα ἡ Δημήτηρ ἐποίει τὰ μυστήρια. Εἶπε δὲ, Τῶν σεσιωπημένων καὶ σιωπῆς ὄντων ἀξίων, διὰ τὸ νόμον εἶναι τὸν κελεύοντα μηδένα τῶν τελεσθέντων τὰ μυστήρια δημοσιεύειν τὴν τελετὴν, ἀλλὰ σιωπῇ κατέχειν, καὶ μὴ ἐκφέρειν πρὸς τοὺς ἀμυήτους.

3. *De femore parturiente imperfectum fetum.*

Semele filia fuit Cadmi Thebarum regis. Illam cum amavisset Jupiter, sese miscuit ei, quod in invidiam et odium movit Junonem uxorem suam. Invida igitur Juno Semelem adit et dicit ei: Revera (ille) fallit te; non enim Jupiter est qui sese jungit tecum; ad me enim, ait, cum intrat, fulguribus et tonitrubus coruscat. Si igitur venit ad te Jupiter, dic illi ut quomodo Junonem adit, sic te adeat. Et si miscetur tibi cum fulguribus et tonitrubus, revera Jupiter tibi miscetur. Si autem aliter quocunque modo, non est Jupiter. Cum hæc prædixisset Juno, et venit Jupiter ad Semelem, rogatus est ab ea ut misceretur ei sicut Junoni. Deinde cum ille sese junxisset ei cum fulminibus, non tulit Semele fulmina, et obiit. Jupiter igitur cito fetum qui erat in Semele cepit, posuit in suum femur et suit, donec complerentur novem menses. Erat vero ille Bacchus: imperfectum autem fetum dicit, quia femur eum genuit Jovis. Deum *androgynum* vocat Bacchum, ut quandoque feminæ partes agentem, id est eadem quam mulieres patientem, aliquando vero viri partes agentem, id est ea virorum facientem. Chorum autem ebriosum dicit Satyros et Bacchos et Silenos; dæmones sunt isti comites et socii Bacchi. Eos et exercitum protervum dæmonum dicit. Protervum eum vocat propter ebrietatem. Cum enim vini præses sit Bacchus, verisimiliter cum eo dæmones ebrios introducit. Illud autem, Thebanorum dementia eum honorans, quia Thebanus erat genere Bacchus, ut ex Semele natus. Quippe dixi-

γ'. *Περὶ τοῦ ὠδίνοντος μηροῦ ἀτελὲς κύημα.*

Σεμέλη, θυγάτηρ γέγονε Κάδμου τοῦ Θηβῶν βασιλέως. Ταύτης ἐρασθεὶς ὁ Ζεὺς, συνεγένετο αὐτῇ, καὶ εἰς ζῆλον καὶ φθόνον ἐκίνησεν Ἥραν τὴν γυναῖκα αὐτοῦ. Ζηλοτυπήσασα οὖν ἡ Ἥρα, ἀπέρχεται πρὸς τὴν Σεμέλην καὶ λέγει αὐτῇ, ὅτι Ὄντως ἀπατᾷ σε· οὐδὲ γὰρ ὁ Ζεύς ἐστιν ὁ συγγενόμενός σοι· ἐμοὶ γὰρ, φησὶν, ὅτε συγγίνεται, μετὰ ἀστραπῶν καὶ βροντῶν συγγίνεται. Ἐὰν οὖν ἔλθῃ πρὸς σὲ ὁ Ζεὺς, εἰπὲ αὐτῷ· Ὡς συγγίνῃ τῇ Ἥρᾳ, οὕτω σύνελθέ μοι. Καὶ εἰ μὲν συγγένηταί σοι μετὰ ἀστραπῶν καὶ κεραυνῶν, τῷ ὄντι ὁ Ζεύς σοι συγγίνεται. Εἰ δὲ ἄλλως πως, οὐκ ἔστιν ὁ Ζεύς. Ταῦτα ὑποθεμένης τῆς Ἥρας, ἐλθόντος τοῦ Διὸς πρὸς τὴν Σεμέλην, ᾐτήθη παρ' αὐτῆς συγγενέσθαι αὐτῇ ὡς τῇ Ἥρᾳ. Εἶτα συγγινομένου μετὰ κεραυνῶν, μὴ ἐνεγκοῦσα ἡ Σεμέλη τοὺς κεραυνοὺς, ἀπέθανεν. Ὁ οὖν Ζεὺς θᾶττον τὸ ἔμβρυον ὃ ἦν ἐν τῇ Σεμέλῃ λαβὼν, ἔβαλεν εἰς τὸν μηρὸν καὶ ἔρραψεν, ἕως οὗ γένηται τῶν ἐννέα μηνῶν. Ἦν δὲ οὗτος ὁ Διόνυσος. Ἀτελὲς δὲ κύημα λέγει, ὅτι ὁ μηρὸς αὐτὸν ἐκύησε τοῦ Διός. Θεὸν ἀνδρόγυνον καλεῖ τὸν Διόνυσον, ὡς ποτὲ μὲν γυναικιζόμενον, τουτέστι τὰ τῶν γυναικῶν πάσχοντα· ποτὲ δὲ ἀνδριζόμενον, τουτέστι τὰ τῶν ἀνδρῶν ἐνεργοῦντα. Χορὸν δὲ μεθυόντων λέγει τοὺς Σατύρους καὶ τοὺς Βάκχους καὶ τοὺς Σειληνούς· δαίμονες δὲ οὗτοι ὀπαδοὶ καὶ ὁμοκέλευθοι τοῦ Διονύσου. Αὐτοὺς δὲ τούτους λέγει, καὶ στρατὸν ἔκλυτον τοὺς δαίμονας. Ἔκλυτον δὲ αὐτὸν καλεῖ, διὰ τὴν μέθην. Ἐπειδὴ γὰρ τοῦ οἴνου ἔφορος ὁ Διόνυσος, εἰκότως τοὺς σὺν αὐτῷ δαίμονας μεθυστὰς εἰσάγει ὄντας. Τὸ δὲ, Θηβαίων ἄνοια τοῦτον

τιμῶσα, ὅτι Θηβαῖος ἦν τὸ γένος ὁ Διόνυσος, ὡς ἐκ τῆς Σεμέλης γεννηθείς· εἴπομεν γὰρ, ὅτι Σεμέλη θυγάτηρ ἦν Κάδμου τοῦ Θηβῶν βασιλέως. Ἄνοιαν δὲ καλῶς εἶπε Θηβαίων, ἐπειδὴ ἐπὶ μωρίᾳ πολλῇ διαβάλλονται οἱ Θηβαῖοι, καὶ ἔστι παροιμία ἡ λέγουσα· *Βοιωτία ὗς*. Διὰ τί δὲ ὁ κεραυνὸς προσκυνεῖται; Διότι κατέφλεξε τὴν Σεμέλην. Τὸ δὲ, Ὥσπερ ἄλλο τι κεφαλὴ πρότερον, ἑτέρα μὲν ἔστιν ἱστορία· ἐπειδὴ δὲ συμπλέκεται ταύτῃ, ἀναγκαῖον καὶ αὐτὴν ἐξηγήσασθαι. Ἡ κεφαλὴ τοῦ Διὸς γέγονε κεφαλή ποτε ὠδίνων, ὅτι ἐν ἑαυτῇ εἶχε τὴν Ἀθηνᾶν. Λέγεται γὰρ ἡ Ἀθηνᾶ, ὅτι ἐκ τῆς κεφαλῆς τοῦ Διὸς ἐγεννήθη· ἐκεῖ γὰρ αὐτὴν ὤδινεν ὁ Ζεὺς, καὶ λαβὼν παρὰ τοῦ Ἡφαίστου μετὰ ἀξίνης κατὰ τῆς κεφαλῆς ὁ Ζεὺς, ἔτεκεν ἐξ αὐτῆς τὴν Ἀθηνᾶν.

δ'. Περὶ τῆς Ἀφροδίτης καὶ τῶν αἰσχρῶν μυστηρίων αὐτῆς.

Λέγεται, ὅτι ἐκ τῶν αἰδοίων τοῦ Οὐρανοῦ ἔσχε τὴν γέννησιν ἡ Ἀφροδίτη· ὁ γὰρ Κρόνος, φησὶν, υἱὸς τοῦ Οὐρανοῦ, λαβὼν τὸ δρέπανον, ἀπέκοψε τοῦ ἰδίου πατρὸς τὰ αἰδοῖα, καὶ ἔῤῥιψεν εἰς τὴν θάλασσαν· καὶ πεσόντα ταῦτα, καὶ ἀφρὸν συνάξαντα, ἀπεκύησε τὴν Ἀφροδίτην. Διὸ καὶ Ἀφροδίτη καλεῖται, ὡς ἐκ τοῦ ἀφροῦ καὶ τῆς καταδύσεως γενομένη. Διὸ εἶπεν· Αἰσχρῶς γινομένης καὶ τιμωμένης. Ὁμοίως γὰρ καὶ αἱ τιμαὶ αἱ περὶ ἑαυτὴν καὶ αἱ ἑορταὶ δι' αἰσχρουργίας καὶ ἡδυπαθείας καὶ πορνείας ἐτελοῦντο, ὡς καὶ τῆς πορνείας αὐτῆς οὔσης ἐφόρου τῆς Ἀφροδίτης.

ε'. Περὶ τῆς τῶν Ταύρων ξενοκτονίας.

Οἱ Ταῦροι ἔθνος Σκυθικὸν, καθώς φησιν ὁ Ἡρόδοτος, ἐν ᾧ ἦν ἱερὸν τῆς Ἀρτέμιδος, εἰς ὃ ἦν ἱέρεια ἡ θυγάτηρ τοῦ Ἀγαμέμνονος Ἰφιγένεια. Ἐν τούτῳ τῷ ἱερῷ πάντα ἄνθρωπον ἐπιδημοῦντα ξένον ἔθυον τῇ Ἀρτέμιδι. Καὶ περὶ ταύτης τῆς ἱστορίας ἐν τῷ *Στηλιτευτικῷ* σαφῶς λέξομεν.

ς'. Περὶ τοῦ Τροφωνίου.

Τροφώνιος καὶ Ἀγαμήδης ἀδελφοὶ δύο γεγόνασι, μάντεις τὴν τέχνην. Τούτων ὁ Τροφώνιος, ὑπὸ κενοδοξίας ὑποβρύχιος δὴ γεγονὼς, ἐν σπηλαίῳ τινὶ ἀπέψυξεν. Εἶτα οἱ Θεοὶ ἐλεήσαντες, φησὶν, αὐτὸν τὸν τόπον ἐν ᾧ ἀπέψυξεν, ἐποίησαν μαντεύεσθαι· καὶ κατῄεσαν εἰς τὸ σπήλαιον, καί τινας τελετὰς ποιοῦντες ἀνῄεσαν, ὡς χρησμοδοτισθέντες. Λέγεται δὲ, ὅτι πᾶς κατελθὼν εἰς τὸ σπήλαιον ἐκεῖνο, ἐκ τοῦ λοιποῦ ἀγέλαστος ἦν.

ζ'. Περὶ τῆς Δωδωναίας δρυός.

Ἡ Δωδώνη πόλις ἐστὶ περὶ τὴν παλαιὰν Ἤπειρον. Ἐν ταύτῃ ἦν δρῦς, ἐν ᾗ ἐλέγετο ὁ Ζεὺς ἐπισκιάζειν καὶ μαντείαν διδόναι τοῖς χρῄζουσι, μαντείας ἐξ αὐτῆς δρυὸς κινήματα τῷ μάντει ἐξηχούμενα.

η'. Περὶ τῆς Κασταλίας.

Ἔστι πηγὴ περὶ τὴν Ἀντιόχειαν, ἐν ᾗ ὁ Ἀπόλλων ἐφεδρεύει· ἐν ᾗ πηγῇ μαντεία τις ἐξεφέρετο κατὰ τὴν τοιάνδε ἐκροὴν τοῦ νάματος, οὐ κατὰ φωνήν· οὐ γὰρ φωνή τις ἐξηχεῖτο, ἀλλ' ἁπλοῦ ἤχου τινὸς καὶ πνεύματος ἀναδιδομένου καὶ ἐκροῆς, πρὸς ἃ τινὲς ἱστάμενοι καὶ νοοῦντες τὰ σύμβολα ταῦτα, ἔλεγον τὰ μέλλοντα.

A mus Semelem filiam fuisse Cadmi Thebarum regis. Dementiam vero pulchre dixit Thebanorum, cum dementia magna laborent Thebani; et est proverbium dicens: *Thebanus sus*. Cur vero fulmen adoratur? Quia incendit Semelen. Illud vero, Ut caput alium quemdam fetum prius parturierat, alia est historia. Cum autem comprehenditur in ea quam dicimus necesse etiam eam explicari. Caput Jovis parturiens fuit, quia in eo habuit Minervam. Dicitur enim Minerva e capite Jovis prodiisse, quippe hic eam genuit Jupiter, et cum ope securis Vulcani e capite Jupiter traxisset, genuit ex eo Minervam.

B

4. De Venere et turpibus mysteriis ejus.

Dicitur e pudendis Cœli habuisse ortum Venus: Tempus enim, ait, filius Cœli cepit falcem, secuit proprii patris pudenda, et projecit in mare, et labentia illa spumam cum contraxissent, genuerunt Venerem. Itaque et Aphrodite vocatur, ut e spuma et immersione nata. Itaque dicit, Turpiter nata et honorata. Decebat enim ut cultus et festa Veneris in turpitudine, deliciis et scortatione celebrarentur, cum ipsa sit scortationis præses.

5. De Taurorum cæde.

C Tauri, populus Scythicus, ut dicit Herodotus, apud quos fuit templum Dianæ, in quo erat sacerdos filia Agamemnonis Iphigenia. In hoc templo omnem hominem advenientem peregrinum immolabant Dianæ. Et de ea historia in *Steliteutico* plane dicemus.

6. De Trophonio.

Trophonius et Agamedes fratres duo fuerunt, vates arte: quorum alter, Trophonius, superbia nimium inflatus, speluncam quamdam subiit et non amplius apparuit. Deinde Dii miserti, ait, ipsum locum in quo evanuerat, oraculo insignierunt; et descenderunt in antrum, et quædam mysteria instituerunt, ut oracula dantes. Dicunt omnem descendentem in hoc antrum, in futurum nunquam ridere.

D

7. De Dodonæa quercu.

Dodone urbs est versus veterem Epirum. In ea erat quercus sub cujus umbra dicebatur Jupiter quiescere et oracula dare petentibus, oracula ex ipsa quercu motibus vati sonantibus.

8. De Castalia.

Est fons versus Antiochiam, cui Apollo præsidebat. In eo fonte oraculum quoddam narrabatur secundum talem vel talem cursum undæ, non secundum vocem; non enim vox quædam audiebatur, sed tantum murmur quoddam et quasi spiritus ex fluentis exiens, juxta quod quidam scientes et intelligentes signa ista, dicebant futura.

9. *De pœnis Mithræ.*

De Mithra alii aliter senserunt : quidam enim solem, alii præsidem ignis, aliique specialem quamdam potentiam intellexerunt. Quædam mysteria habet, apud Chaldæos imprimis. Initiandi Mithræ mysteriis secundum quamdam mensuram pœnarum probabantur, primum levioribus, deinde majoribus pœnis addicti, ut, exempli causa, jejunio quinquaginta dierum; quod si patienter tulisset initiatus, postea per biduum scalpebatur ; eum deinde supra nivem viginti diebus manere jubebant, sic paulatim ad maximum usque pœnas augentes. Si patiens forti animo esse videbatur, tunc eum recondita mysteria docebant.

10. *De Iside.*

Isis eadem habita est cum Io, quæ rapta fuit a Jove. Jupiter enim, ait, rapuit Io, et metuens Junonem uxorem suam mutavit Io in vaccam, et nunc in albam, nunc in nigram, nunc in cineream, et ita errabat cum ea. Venit igitur et in Ægyptum errans cum ea, et propter hoc honorant Ægyptii Io, id est Isim. Ideo in statuis ejus capiti cornua vaccæ imponunt, significantes virginis in vaccam mutationem.

11. *De Mendesiis hircis.*

Ægyptiorum lingua hircus vocatur μένδης. Honorabant quidam Ægyptiorum hircum dicatum genitali potentiæ. Dicitur enim lascivum animal esse hircus. Hircos igitur incolæ prope Mendesium cornu non manducabant, præ reverentia genitalis Dei. Honorabant et magnopere pastores hircorum ; erat et templum Mendetis apud Ægyptios, in quo statua pedes hircinos et erectum pudendum habens.

12. *De Nilo.*

Nilus fluvius est Ægypti, qui, super ripas sese effundens causis quas dicit omnisciens Herodotus, honoratur ab eis. In ascensione enim venerantur eum ut Deum, et celebrant ut abundantiæ nuntium, putantes aquam supereffluentem esse deum.

13. *De animalibus et serpentibus quos venerabantur Egyptii.*

Ægyptii venerabantur ibides, crocodilos, serpentes, feles et quædam piscium genera, irrationali cultu sibi dedecus tribuentes. De eis accurate dicit Herodotus, qui etiam de omni eorum religione et regibus diligenter et copiose scripsit.

(1) Cod. Ἴσιδι.

A θ'. *Περὶ τῶν κολάσεων τοῦ Μίθρου.*

Τὸν Μίθραν ἄλλοι ἄλλως ἐνόμισαν· οἱ μὲν γὰρ τὸν ἥλιον, οἱ δὲ τὸν ἔφορον τοῦ πυρὸς, ἄλλοι δὲ ειδικήν τινα δύναμιν. Γίνονται δὲ τούτῳ τῷ Μίθρῃ τινὲς τελεταὶ, καὶ παρὰ τῶν Χαλδαίων μάλιστα. Οἱ δὲ τελούμενοι τῷ Μίθρῃ, κατὰ βαθμόν τινα ἐτελοῦντο κολάσεων· πρότερον δὲ τὰς ἐλαφροτάτας κολάσεις παρελάμβανον, καὶ εἶθ' οὕτως τὰς δραστικωτέρας· οἷον, πρότερον ἐλίμωττον αὐτοὺς τοὺς τελουμένους ἐπὶ πεντήκοντα ἡμέρας, εἰ τύχοι· εἶτα εἰ ἤγαγε καρτερικῶς, ἐποίουν αὐτὸν πάλιν ξεσθῆναι ἐπὶ δύο ἡμέρας· εἶτα πάλιν εἰς χιόνα ποιῆσαι εἴκοσιν ἡμέρας· καὶ οὕτως ἁπλῶς τὰς κολάσεις ἐπὶ τὸ μεῖζον κατὰ μικρὸν αὔξοντες· εἰ ὁ τελούμενος καρτερῶν ἐφαίνετο, τότε λοιπὸν αὐτὸν ἐτέλουν τὰ τελεώτατα.

B ι'. *Περὶ τῆς Ἴσιδος.*

Ἡ Ἶσις αὐτὴ ἐνομίσθη τῇ Ἰῷ (1) τῇ ἁρπασθείσῃ ὑπὸ τοῦ Διός· ὁ γὰρ Ζεὺς, φησὶν, ἥρπασε τὴν Ἰὼ, καὶ φοβούμενος τὴν Ἥραν τὴν ἑαυτοῦ γυναῖκα, μετέβαλε τὴν Ἰὼ εἰς βοῦν, καὶ ποτὲ μὲν εἰς λευκὴν, ποτὲ δὲ εἰς μέλαιναν, ποτὲ δὲ εἰς ἰάζουσαν, καὶ οὕτως ἐπλανᾶτο μετ' αὐτῆς. Ἦλθεν οὖν καὶ ἐν Αἰγύπτῳ πλανώμενος μετ' αὐτῆς· καὶ διὰ τοῦτο τιμῶσιν οἱ Αἰγύπτιοι τὴν Ἰὼ, ἤτοι τὴν Ἶσιδα· διὸ ἐπὶ τοῦ ἀγάλματος αὐτῆς ἐπὶ τῆς κεφαλῆς κέρατα βοὸς ἐγγλύφουσιν, σημαίνοντες τῆς κόρης τὴν εἰς βοῦν μεταβολήν.

ια'. *Περὶ τῶν Μενδησίων τράγων.*

C Αἰγυπτιστὶ ὁ τράγος καλεῖται μένδης. Ἐσέβοντο δὲ ἔνιοι τῶν Αἰγυπτίων τὸν τράγον ἀνακείμενον τῇ γονίμῳ δυνάμει· λέγεται γὰρ ὀχευτικὸν ζῶον εἶναι ὁ τράγος. Τοὺς οὖν τράγους οἱ οἰκοῦντες κατὰ τὸ μενδήσιον κέρας οὐκ ἤσθιον, αἰδοῖ τοῦ γονίμου Θεοῦ· ἐτίμων δὲ μεγάλως καὶ τοὺς αἰπόλους τῶν τράγων. Ἦν δὲ καὶ ἱερὸν τοῦ Μένδητος παρ' Αἰγυπτίοις, ἐν ᾧ ἱερῷ τὸ ἄγαλμα τραγοσκελὲς ἦν, ὄρθιον τὸ αἰδοῖον ἔχον.

ιβ'. *Περὶ τοῦ Νείλου.*

Ποταμός ἐστιν ὁ Νεῖλος ἐν τῇ Αἰγύπτῳ, ὃς ὑπερεχχυνόμενος διὰ τὰς αἰτίας, ἅς φησιν ὁ πανσοφώτατος Ἡρόδοτος, τιμᾶται παρ' αὐτῶν. Ἐν γὰρ τῇ ἀναβάσει τιμῶσιν αὐτὸν ὡς θεὸν, καὶ εὐφημοῦσιν ὡς εὐφορίας αἴτιον, νομίζοντες τὸ ὕδωρ τὸ αὐξανόμενον
D εἶναι θεόν.

ιγ'. *Περὶ τῶν κνωδάλων καὶ τῶν ἑρπετῶν ὧν ἐσέβοντο οἱ Αἰγύπτιοι.*

Οἱ Αἰγύπτιοι ἐσέβοντο τὰς ἴβεις, τοὺς κροκοδείλους, τοὺς ὄφεις, τὰς αἰλούρους, καί τινα τῶν ἰχθύων γένη, ἐξ ἀλόγου τιμῆς ἑαυτοῖς ἀτιμίαν ποριζόμενοι. Περὶ δὲ τούτων ἀκριβέστερόν φησιν ὁ Ἡρόδοτος, ὁ καὶ περὶ πάσης αὐτῶν τῆς θρησκείας καὶ τῶν βασιλέων ἀκριβῶς καὶ διὰ πλάτος συγγραψάμενος.

MONITUM

AD SEQUENTIA SCHOLIA BASILII MINIMI.

(Boissonade (a) in *Notices et Extraits des Mss. de la Bibliothèque du Roi et autres bibliothèques*. Tom. XI, p. 55. Paris, Imprim. Royale, 1827.)

—

Basilius, Cæsareæ Capadociæ sæculo x episcopus, qui, ne cum S. Basilio Magno confunderetur, ἐλάχιστος, *minimus*, ipse, pro modestia sua, nominari voluit, Commentaria amplissima scripsit in *Orationes* Gregorii Nazianzeni huc usque inedita. Hæc magni faciebant Fabricius et Ruhnkenius et ea luce dignissima pronuntiavit Hase ad Leonem Diaconum (p. 227). Basilii scholia Ruhnkenius habuerat ex ms. Vossiano qui in bibliotheca Leydensi asservatur et iis usus est in notis eruditissimis quibus *Lexicon Platonicum* Timæi illustravit. Doctissimus Bast, vir in veteribus grammaticis, si quis alius, versatus, ex opere Basilii juxta ms. Regium 573 nonnulla ad proprium usum excerpserat, quæ nunc cum reliquis ejus adversariis servat bibliotheca Universitatis Oxoniensis. Eadem scholia ipse non semel adhibui in iis quæ ad Diogenem, ad Nicetam Eugenianum et in Herodiani *Epimerismata* adnotavi.

Quæ cum ita sint, litteraturæ sacræ hoc illustrationi fore putavi si in ista *Excerptorum et notitiarum Collectione*, quæ Regiminis munificentia prodit, loca satis ampla ex opere Basilii exscriberem. *Steliteutica contra Julianum* elegi quæ præ aliis Gregorii orationibus multa continent notatu digna (b). Addidi epistolam nuncupatoriam quam Basilius commentariis suis præfixit. Luce non est indigna. Eam jam Bandinius ediderat in *Catalogo*, sed non sine mendis et lacunis.

Codex regius quem sequor n. 573 notatur. Pergamenus est, in 4°, undecimi sæculi, ut videtur, manu scriptus haud imperita; 279 foliis constat. Inter Coislinianos mss., quatuor Basilii scholia continent; juxta *Catalogum* sæculo decimo ascribendi sunt. Eum qui n. 236 prænotatur contuli cum ms. 573 et varias lectiones adjeci.

(a) Obiit vir desideratissimus ante hos paucos menses in vico Passiaco juxta Parisios, III Id. Septembris 1857, annos natus octoginta quinque.

(b) Addidit etiam postea vir doctissimus scholia ad orationem Gregorii *in honorem Heronis philosophi*. Vide infra.

BASILII EPISTOLA NUNCUPATORIA

AD CONSTANTINUM IMP.

—

Βασίλειος (cod. p. 1) *ἐλάχιστος, ὁ Καισαρείας* (1) *Καππαδοκίας, τῷ φιλοχρίστῳ δεσπότῃ Κωνσταντίνῳ* (2) *αὐτοκράτορι.*

Ἐν ταῖς μεγίσταις καὶ δημοτελέσι τῶν πανηγύρεων, μέγιστε Αὐτοκράτορ, οὐ μόνον οἱ ἐν τέλει, καὶ

A *Basilius minimus, Cæsareæ Cappadociæ episcopus, Christi amanti Constantino imperatori.*

In solemnitatibus publicis, Imperator maxime, non modo qui muneribus publicis funguntur, lu-

(1) Articulum ὁ, qui deest in ms. Regio, supplevi ex Bandinio et Coislin. Non minus perspicue se commentarii auctorem innuit Basilius in loco sequenti quo jam Seberus usus est: Καὶ Βασίλειος (*cod. p.* 68) δὲ ὁ Μέγας οὗ κοινωνὸς καὶ ὀνόματος καὶ θρόνου ὁ ταῦτα γράφων ἐγώ.

Cum nobis imprimis propositum sit ut Basilii opus notum faciamus, locum integrum exscribere placet in quo verba citata leguntur; inde etiam nonnihil luminis accipiet historia critica Apocalypseos. Ad Gregorii verba (orat. 42, col. 470 A), ὡς *Ἰωάννης διδάσκει με διὰ τῆς Ἀποκαλύψεως*, Basilius hæc adnotat (cod. Coislin. p. 69, 2): Ἐκ τοῦ μὴ προσκεῖσθαι τῷ Πατρὶ τῶν ἐπιθέτων τὰ γνωρίσματα τοῦ εὐαγγελιστοῦ, ἀποστόλου καὶ θεολόγου Ἰωάννου, ἐπειράθησάν τινες τὴν Ἀποκάλυψιν ἀθετεῖν, ὡς μὴ τοῦ εὐαγγελιστοῦ, ἄλλου δέ τινος εἶναι Ἰωάννου· καὶ οὐ θαυμαστὸν, ἐπεὶ καὶ τῶν παλαιῶν οὐκ ὀλίγοι τοῦτο πεπόνθασιν, τοῦ καταλόγου τῶν ἱερῶν ἐξορίζοντες Γραμμάτων. Διονύσιος μέντοι ὁ Ἀλεξανδρείας· *ἀθετῆσαι μὲν, φησὶν, οὐκ ἂν τολμήσαιμι τὸ βιβλίον, πολλῶν αὐτὸ διὰ σπουδῆς ἐχόντων, μείζονα δὲ τῆς ἐμαυτοῦ φρονήσεως τὴν ὑπόληψιν τὴν περὶ αὐτοῦ λαμβάνω, κεκρυμμένην εἶναί τινα καὶ θαυμασιωτέραν τὴν καθ' ἕκαστον ἐκδοχὴν ὑπολαμβάνων.* Τούτοις θαυμάζει μὲν καὶ τὴν γραφὴν οὐκ ἀθετεῖν ἔφη, ἐκ δὲ τοῦ χαρακτῆρος, ἄλλου τινὸς, ἀλλ' οὐ τοῦ ἀποστόλου εἶναι. Τεκμηριοῦται δὲ τὸν λόγον [*Coisl.* ἀποστ. τεκμηρ. τῷ λόγῳ. *Lege* ἀποστ. εἶναι τεκμηρ. τὸν λ.] Οὕτω μὲν οὖν ἐκ τῶν μυστηρίων καὶ τῶν ἐν αὐτῇ θείων ἐννοιῶν ὑμνουμένης, οὐκ ἄξιον ἐκ μόνης ἰδέας λόγων καὶ χαρακτῆρος τοσοῦτον ἔργον διαγράφεσθαι, ἐπεὶ καὶ ῥητόρων καὶ συγγραφέων καὶ αὐτοῦ τοῦ Πατρὸς οὐκ

(2) Lambecius putat hic agi non de Constantino Magno, sed de alio imperatore multo juniori. Oudinus, Fabricius, D. Louvard Constantinum Porphyrogenetam intelligunt. Quod enim propter eruditionem laudetur imperator, hoc Porphyrogenetam magis quam quemvis alium innuit; et hæc conjectura firmatur nota 5 mox sequenti.

culentis opibus gloriaque superbiunt atque præpollent, sed jam et qui mediocrem vivendi rationem elegerunt et moderatam sortiti sunt fortunam, pro facultate sua vos venerari propere quæruunt. Sed alii quidem auro et argento, et margaritis, vel lapidibus pellucidis, vel quibusdam pretiosis supellectilibus, vel et velis flore multo distinctis certatim piant; alii vero aliis atque aliis muneribus, juxta cujusque facultates vel voluntatem atque studium; cuncti enim accipientem fortuna prospere fungi peroptant, et quasi philtrum, quo maxime oblato fruatur, conficiunt. Omnibus igitur, ut æquum est, de suis conferentibus, variamque et magnificam oblationem pendentibus, ac præsertim in hac Christi natalium solemnitate, in his de debellatis inimicis gratiarum actionibus, visum est ne nos soli immunes sederemus, vel inanem viam et irritum laborem passim faceremus, juxta Cynici istius insipientiam, stomachantis atque Atheniensium populum irridentis; at contra propriis manibus generose hauriamus, et quidquid in nostra facultate sit decoris, optimo tibi imperatori atque humanissimo afferamus. Quorum vero nihil tam dignum quod litterarum amanti offeratur, quam sermo, nobis visum est. Verum in se non is videbitur, qui regalem recreet, sapientemque delectet mentem : vides enim ut sit rudis et inelegans, atque, ut ita dicam, omnino leporum inops. Verumtamen, cum ita se habeat, e nostris pretiosissimum munus est, quoniam simius et Æthiops maximi faciunt et formosissimam reputant prolis suæ deformitatem. Quod si tibi

A βαρεῖ πλούτῳ καὶ δόξῃ ἐξωγκωμένοι (3) καὶ ὑπερφέ-
ροντες, ἀλλ' ἤδη [*Band.* ἢ δή] καὶ οἱ ἐν αὐταρκεί-
ζῆν ᾑρημένοι, καὶ μετρίαν εἰληχότες τὴν ὕπαρξιν
κατὰ δύναμιν ὑμᾶς καταγεραίρειν (4) ἐπείγονται· ἀλλ
οἱ μὲν χρυσῷ τε καὶ ἀργύρῳ, καὶ μαργάροις ἢ λί-
θοις διαυγέσιν, ἢ τισι σκεύεσι πολυτελέσιν, ἢ καὶ πέ-
πλοις πολυανθέσιν ἀφοσιοῦνται, τὸ φιλότιμον ἐπι-
δεικνύμενοι· οἱ δέ τινες ἄλλοις καὶ ἄλλοις, ὡς ἂ-
ἔχωσι προθυμίας ἢ εὐπορίας [*Band.* προθ. ἢ εὐ-
νοίας·] γνώμης ὅτι μάλιστα κατευστοχεῖν [*Band*
καὶ εὐστοχεῖν] ἐφιέμενοι [*Band.*, *Coisl.* ἱέμενοι
σύμπαντες τοῦ δεξομένου, καὶ τὸ φίλτρον αἷον, καὶ ᾧ
μάλιστα προσφερομένῳ ἡσθείη πραγματευσάμενοι
Πολλῶν οὖν, ὡς εἰκὸς συντελούντων καὶ ποικίλη
ὑμῖν καὶ πολυτελῆ [*Band.* πολυειδῆ] τὴν εἰσφορὰ
B ἐμποιούντων, καὶ μάλιστα κατὰ τήνδε τὴν τῶν Χρι-
στοῦ Γενεθλίων πανήγυριν, καὶ τὴν κατ' ἐχθρῶν νι-
κητήριον εὐχαριστίαν (5) ἐδόκει μὴ μόνους ἡμᾶ
ἀσυντελεῖς [*Band.* ἀτελεῖς] οὕτω καθῆσθαι, ἢ κενὴ
[*Coisl.* καινήν] ἄλλως ἀνύειν (6) καὶ μόχθον ἀνήνυτο
τῇδε καὶ τῇδε, κατὰ τὴν τοῦ κυνὸς ἐκείνου παραπλη-
ξίαν ἐπιμοχθοῦντος, καταμωκωμένου δῆθεν τοῦ δήμο
τῶν Ἀθηναίων, ἀλλ' ἢ καὶ χερσὶν αὐταῖς ὕδωρ εὐγνω-
μόνως ἀρύττειν (7) καὶ πᾶν ὅ τι γε τῶν δυνατῶν ἡμῖ
καὶ τιμίων ἀγαθῷ σοι βασιλεῖ καὶ φιλανθρώπ
[*Band.*, *Coisl.* καὶ τιμίῳ] προσκομίζειν· τούτων δ
οὐκ ἄλλο τι τῷ φιλολόγῳ, ἀλλ' ἢ λόγος ἐδόκει· ἐδόκε
δὲ οὐ καθ' αὐτόν πως εἶναι τοιοῦτος οἷος βασιλική
εὖ διαθεῖναι [*Band.* εὐδιαθ.] καὶ σοφὴν εὐφράνα
C διάνοιαν· ὁρᾷς γὰρ ὡς ἀγλευκής τις καὶ ἀκαλλή
ἐστι, καὶ, ὡς εἰπεῖν λόγῳ, ἀνεπαφρόδιτος. Πλὴν ἀλ
ἡμῶν τῶν πάνυ καὶ οὗτός ἐστι τιμίων, ὅτι δὴ κα

οὐκ ὀλίγους λόγους εἴδους ἕνεκα διαφέροντας περιγράψομεν, καὶ Βασίλειος δὲ ὁ Μέγας, οὗ κοινωνὸς καὶ ὀνόματος καὶ θρόνου ὁ ταῦτα γράφων ἐγὼ, ἐν δευτέρῳ λόγῳ τῷ *πρὸς Εὐνόμιον Ἀντιῤῥητικῷ* οὕτω πως ἐγκρίνων φησί (*Basil.* t. I, p. 249)· *Αὐτὸς ὁ εὐαγγελιστὴς* (εἴτουν ὁ Ἰωάννης· προειρήκει γὰρ τό· *Ἐν ἀρχῇ ἦν ὁ Λόγος*), αὐτὸς οὖν, φησὶν, *ἐν ἑτέρῳ ἔδειξεν εἰπών*· « *Ὁ ὢν, καὶ ὁ ἦν, καὶ ὁ παντοκράτωρ* (*Apoc.* I, 8). » Τοίνυν αὐτοῦ Βασιλείου τὸ προδήλως ὂν τῆς Ἀποκαλύψεως τοῦ εὐαγγελιστοῦ εἶναι κεκρικότος, τίς λοιπὸν ὁ ἀντειπεῖν ὅλως θρασυνόμενος; Ὁμοίως καὶ Ὠριγένης· *Διὰ τί*, φησὶν, *οὐκ εἶπεν*, « *Ἐν ἀρχῇ ἦν ὁ Λόγος τοῦ Θεοῦ* (a); » *καὶ μὴν ὁ αὐτὸς Ἰωάννης ἐν τῇ Ἀποκαλύψει λέγει*· « *Καὶ ἐκέκλητο τὸ ὄνομα αὐτοῦ Λόγος τοῦ Θεοῦ.* »

(3) Ex verbis hic allatis βαρεῖ πλούτῳ et ἐξωγκωμένοι ad id fere inducor ut credam Basilium Plutarchi locum ex *Vita Alexandri* sibi imitandum proposuisse, ubi (cap. 48) Philotæ gesta describit: Ὄγκῳ δὲ φρονήματος καὶ βάρει πλούτου, καὶ τῇ περὶ τὸ σῶμα θεραπείᾳ καὶ διαίτῃ χρώμενος ἐπαχθέστερον ἢ κατ' ἰδιώτην. Lambecius (*Comm. Bibl. Vindob.*, III, p. 500), qui prima præfationis nostræ verba juxta vetustissimum et optimæ notæ codicem Vindobonensis bibliothecæ citavit, hunc locum sic exscribit, οὐ μόνον ἐντελεῖ καὶ βαρεῖ πλούτῳ; sed male legerit, et ms. eamdem cum aliis lectionem præferre debet, οἱ ἐν τέλει, *publicani, qui muneribus publicis funguntur.* Nec raro occurrit hic loquendi modus. Thucydides (VI, 88) : τῶν τε ἐφόρων καὶ τῶν ἐν τέλει ὄντων. Alias (V, 47) : οἱ τὰ τέλη ἔχοντες. Arriano in *Indicis* (XII, 5) τὰ τέλη sunt magistratus ipsi. Ait apud Indos quosdam inspectores esse (ἐπίσκοποι) qui in provinciis quæ sub dominatione regis sunt regi, in iis vero quæ propriis legibus reguntur magistratibus (τοῖς τέλεσι) renuntien
quidquid agitur. Τέλη eodem sensu apud Appia
num, *Punic.* c. 4. Vide Greg. in I *contra Julian.* e
Scholiasten Montacutii (infra).

(4) Bandinium sequor. Ms. Reg. simplex habe
γεραίρειν, Coislin. compositum καταγερ. verbaqu
aliter disponit, τὴν ὕπαρξιν, καταγεραίρειν ὑμᾶ
κατὰ δύναμιν ἐπείγονται.

(5) Ex his argui potest hic agi de Constantin
Porphyrogeneta ; non absurde enim referendus vi
detur locus ad conjurationem anno 918, mens
Decembri, factam de Basilio ad imperium revo
cando, quam sanguis conjuratorum exstinxit. E
verba unius e continuatoribus Theophanis : Δεκεμ-
βρίῳ δὲ μηνὶ, ἰνδικτιῶνος ϛ', ἐπιβουλήν τινες κατ
τοῦ Βασιλέως Κωνσταντίνου ἐμελέτησαν, βουλόμεν
τὸν Βασιλέα Στέφανον ἐν τῇ νήσῳ ὄντα ἐν τῷ παλα-
τίῳ ἀγαγεῖν. Ταύτης οὖν μηνυθείσης Κωνσταντίν
διὰ Μιχαὴλ τοῦ Διαβολίκου λεγομένου, τοὺς ἐπιβού-
λους κρατήσας ὁ Βασιλεὺς, τῶν μὲν τὰς ῥίνας καὶ τ
ὦτα ἀπέτεμεν, τοὺς δὲ δαρμῷ ἀφορήτῳ ὑπέβαλεν, κα
ὄνοις ἐπικαθίσας διὰ μέσης τῆς πόλεως ἐθριάμβευ-
σεν, καὶ ἐξορίᾳ παρέπεμψεν.

(6) Supple vocem ὁδόν, quæ legitur apud Grego-
rium Corinthium in loco quem hausisse ait ex *Avibu*
Aristophanis, ubi tamen deest : μάτην ἄρα τὴ
ὁδὸν ἀνύτομεν.

(7) Alludit ad ea quæ de Persa Sineta refert Ælia-
nus *Hist. var.* 32. — Ms. Coislin. habet ἀρύειν
Atticismus est ἀρύττειν, vel melius ἀρύτειν, de qu
videndus Pierson *ad Mœrin.*, et interpretes Grego-
rii Corinthii.

πίθηκος καὶ Αἰθίοψ μέγιστον τίθεται ἑκάτερος καὶ οἴεται κάλλιστον τῶν οἰκείων ὠδίνων τὴν ἀμορφίαν (8). Εἰ δὲ καί σοι τῷ παντίμῳ κριθείη τοιοῦτος [*Band.* τοιοῦτο], οὐ κατ' ἄλλο τι, ἀλλ' ἢ κατ' αὐτὸ δῆλον τὸ τῆς ὑποθέσεως ἡδίων ὀφθήσεται καὶ χαρίεις. Τί γάρ σοι τῶν ἁπάντων ἐρασμιώτερον ἢ τί γε τιμαλφέστερον ἄλλο, ἢ Γρηγόριον καὶ τὰ [*Band.*, *Coisl.* τὰ τοῦ] Γρηγορίου ἐνοπτρίζεσθαί τε καὶ ἀκουτίζεσθαι! Τίνος ἥδιον λόγους ἢ νοῦν ἀνιχνεύειν ἢ τοῦ Γρηγόρου νοῦ (9) τούτου (οὕτω γὰρ καλεῖν αὐτόν ἐστιν οἰκειότερον); τίνος ἄβυσσον σοφίας! τίνος ὕψος θεολογίας, ἢ φράσεως ἅμα κάλλος καὶ μέγεθος (10) ἢ ὅσα παντοίας ἐστὶ τέχνης καὶ θεωρίας καὶ χάριτος! Τῶν οὖν πανσόφων τούτου λόγων, εἰ καὶ τολμηρὸν, ὅμως ἔδοξε καὶ τὰ Πατράσιν εἰς ἐξήγησιν καὶ διασάφησιν ῥητῶν τινῶν ἐσπουδασμένα ἐπιτομώτερόν πως καὶ σαφέστερον, κατὰ τὸ ἐνὸν, διαθέσθαι, πρὸς δὲ, τινὰ (11) καὶ ἡμῖν προστεθεῖσθαι [*Band.* προτεθ.] εἰς ἐξάπλωσιν νοημάτων καὶ τῆς ἐν βάθει διανοίας ἐνάργειαν. Ἔτι δε κἂν [*Band.* ἐνάργειαν... κἂν] πολλοῖς ὅσοις χωρίοις, ὑπεροραθεῖσι μὲν ὡς ἐπιδήλοις ἴσως ἐκείνοις, δεομένοις δέ τινος, ἢ κατ' ἔννοιαν ἑρμηνείας, ἢ κατὰ σύμφρασιν ἢ σύνταξιν ἀκολουθίας, ἢ κατὰ θεωρίαν ἐπιστασίας, ἢ κατά τινας τεχνικὰς ἐφόδους περιόδων τε καὶ σχημάτων καὶ ἰδεῶν ποικίλων ἐπισημασίας· τούτοις οὖν ὁ πόνος ἡμῖν οὗτος ἐσπουδάσθη [*Coisl.* ἐσπ. οὗτος. *Band.* οὗτος ἐπεσπουδ.]. Πρὸς δ' ἔτι, καὶ στιγμῶν τινῶν ἁρμοττούσας ἐπιδείκνυσι θέσεις, καὶ τόπους προσήκοντας τούτων ἑκάσταις, οὐκ ἀπό τινος οὐμενοῦν (12) ἀλογίστου ἐμπειρίας, ὁποία (13) τῶν μικρὰ [*Coisl.* σμικρὰ] βλεπόντων θέλξαι μόνον ὑπάρχει [*Coisl.*, *Band.* ὑπάρχειν] τὴν αἴσθησιν. Ἐν οἷς (14) περιορᾷν ἐστιν ἀλωμένους ἐνίους, τὰς αὐτάς που περιόδους, τὰ αὐτὰ συνδετικὰ τῶν μερῶν τοῦ λόγου μόρια ἄλλοτε ἄλλως ἐξαγγελλόντων, καὶ τὴν ὑπόκρισιν διαφθειρόντων, καὶ τὸ ἦθος ἅπαν λυμαινομένων, καὶ οἷον ψυχρά τινα μέλη περιᾳδόντων [*Band.* τινα... περὶ... των,] τὰ ἀνειμένα ἔστιν ὅτε ἐντεινόντων, καὶ διαλυόντων ἔμπαλιν τὰ τεταμένα (15)· ἀλλὰ τέχνης θεσμοῖς ἐπιβεβλημένας καὶ περιόδων εἱρμῷ καὶ τά-

A quoque honoratissimo talis videretur, non ob aliud nisi ob ipsum propositum gratior acceptiorque reputabitur. Quid enim omnium tibi jucundius atque pretiosius, quam Gregorium et Gregorii opera contueri atque audire? Cujus gratius est sermones et mentem investigare, quam illius *Vigilantis* (Γρηγόρου) (sic enim vocare eum magis proprium est)? Quantæ abyssus sapientiæ! Quantæ altitudo theologiæ, sive eloquii decore simul et magnitudine, sive varia arte, speculatione et gratia! Constituimus igitur, etsi id audax, quæ Patres ad sapientissimorum horum sermonum verba nonnulla explicanda explanandaque accurate ediderunt, breviore ac lucidiore quodam modo exponere, et præterea nonnulla e nostris addere, ad sententias enucleandas, B sensumque absconditum magis in lucem promendum, denique et pluribus locis, neglectis quidem ut liquido forsan patentibus, at quibus opus esset aliqua vel secundum sensum interpretatione, vel secundum seriem ordinemque verborum concordantia, vel secundum theoriam animadversione, vel secundum quasdam technicas periodorum schematumque et variorum scribendi generum regulas; his igitur operam studiosius impendere curavimus. Præterea et nonnullorum punctorum congruentes ostendimus positiones, locaque eorum singulis idonea, non e quadam nec prorsus irrationabili experientia, qualis est eorum parva pendentium tantummodo sensum illustrare : in quo negligenter perspicientes nonnunquam deerrave- C runt nonnulli, easdem nunc periodos, easdem copulativas sermonis partium particulas alias alibi enuntiantes, et actionem corrumpentes, et passionem omnem pervertentes, et quasi frigida quædam membra illustrantes, soluta nonnunquam contrahentes, intentaque vicissim dissolventes; sed artis legibus impositas et periodorum serie et ordine conjunctivarum particularum interpunctis distinctas. Tale igitur nostrum, Serenissime, munus, tale tibi litterarum amantissimo offertur. His tibi gratulamur, omni laude et victoriæ hymnis

(8) Hæc forte auctori nostro suggessit Synesius (*epist.* 1). Ad Nicandrum mittens sermonem de quo ut judicet postulat, quia paterni oculi minus perspicaces quam alieni, eadem utitur comparatione qua hic Basilius : Τὰς πιθήκους γάρ φασιν, ἐπειδὰν τέκωσιν, ὥσπερ ἀγάλμασιν ἐνατενίζειν τοῖς βρέφεσιν, ἀγαμένας τοῦ κάλλους· οὕτως ἐστὶν ἡ φύσις φιλότεχνον! τὰ δὲ ἀλλήλων ὁρῶσιν ἅπερ ἐστὶ, πιθήκων παιδία.

(9) Ms. 573, ἐγρηγόρου. Prætuli γρηγόρου ex Bandinio et Coisl. Cum eadem forma hoc verbo utitur anonymus quidam auctor versuum politicorum parvi pretii (apud Matthæi *Greg. orat. binæ*, p. 4), [supra, col. 933 A] qui, ut Basilius, ludit in nomine Gregorii:

Πῶς οὐχὶ ῥεῖθρα πνευματόῤῥυτον χύσιν
Ποταμὸς ἀνένωτος ἐκ διδαγμάτων
Ὁ γρήγορος νοῦς πλημμυρήσει πανσόφως;

Eumdem lusum et eamdem formam habet Nicephorus Callistus in carmine brevi in quo Patres Ecclesiæ recenset (ap. Fabric. *Bibl. Gr.*, VII, 441).
Ὁ γρήγορος νοῦς, τῶν βροτῶν ἡ τερπνότης.

(10) Coislin., καὶ κάλλος. Voces καλός et μέγας junctæ sæpe occurrunt apud scriptores Græcos, ut jam dixi ad hæc Eunapii verba in *Vita Prisci*, initio (p. 333): κάλλιστός τε ὢν, καὶ μέγας ὀφθῆναι.

(11) Mss. πρὸς δέ τινα, quod emendavi. Formula πρὸς δέ absolute posita cum ellipsi vocis τούτοις, sæpe occurrit apud Herodotum et apud alios non semel. Videndi Schæfer in *Ellipsibus*; Fischer *in Weller*; Reiff *in Artemidorum* (p. 258). Mox loco πρὸς δέ τι, ut legunt mss., scripsi πρὸς δ' ἔτι. Herodotus (tom. VIII, cap. 90, 22) : Πρὸς δὲ ἔτι καὶ προσελάβετο φίλος ἐὼν Ἀριαράμνης.

(12) Ms. 573, οὐμενουν Coislin., οὐμὲν οὖν. Bandinium sequor.

(13) Lego ὁποία cum Bandinio; ms. 573 ὁποῖα; Coislin ὁποῖα vel ὁποῖον, non male.

(14) Ἐν οἷς. Quasi scriberetur ἐν ᾧ, *in quo*. Quid de hoc usu pluralis numeri sentiendum sit, jam dixi in notis ad Nicetam (VI, 454).

(15) Bandin. τεταγμένα. Iis quæ alias (*Ad Marin.* p. 71, 146) adnotavi de permutatione vocum τεταμένος et τεταγμένος, adde locum Fischeri *in Wellerum* (tom. III, p. 177); cf. Wakefield in *Silva* (tom. V, p. 8). Melissa epistolam quam ad Clearetem scripsit

pretiosioribus; his nobis quidem satis abunde suppeditatis juxta mensuram præeuntis supernæ gratiæ; vobis vero non ingrate accipientibus dispositisque, ut puto, quantum æstimari licet de vestræ mentis generositate atque in scientias studio.

A ξει τῶν συνοδόντων μορίων περιεστιγμένας. Τοιοῦτό τοι [*Band.*, *Coisl.* τοιοῦτόν τι] τὸ ἡμέτερον, Γαληνότατε, δῶρον· τοιοῦτό σοι τῷ φιλολόγῳ τὸ προσφερόμενον· τούτοις σε δεξιούμεθα, παντὸς ἐπαίνου καὶ παιάνων (16) κρείττοσιν ἐπινικίων· τοῖς ἡμῖν μὲν, προσευπορηθεῖσι [*Band.* ἡμῖν προευπ.] κατὰ τὸ μέτρον τῆς ἄνωθεν χάριτος χορηγηθείσης, ὑμῖν δὲ, προσενεχθεῖσι καὶ προσδεχθεῖσιν οὐκ ἀηδῶς, οἶμαι, ὁπόσον [*Band.* ὅπως] ἐστὶν εἰκάσαι τὸ εὐγενὲς καὶ φιλεπίστημον τῆς ὑμετέρας [*Band.* ἡμετέρας[1] διανοίας.

Ita se habet propositum meum.

Ἔχει δέ μοι ὧδε [*Coisl. Band.* ὧδέ μοι] τὰ τῆς ὑποθέσεως.

sic claudit: Πιστεύειν γὰρ χρὴ τῷ τᾶς ψυχᾶς κάλλει τε καὶ πλούτῳ, μᾶλλον ἢ τῷ τᾶς ὄψιος καὶ τῶν χρημάτων· τὰ μὲν γὰρ φθόνος καὶ νοῦσος παραιρέεται, τὰ δὲ μέχρι θανάτῳ πάρεντι ἐντεταγμένα. Emendo, ἐκτεταμένα, juxta ms. A 87 bibliothecæ Mazarineæ.

(16) Παιάνων recepi ex Bandinio. Ms. 573, παιόνων; Coislin., παιώνων.

BASILII SCHOLIA

IN GREGORII ORATIONEM I CONTRA JULIANUM IMP.

—

In primam orationem steliteuticam contra Julianum.

Non obscurus sermonis finis, Apostatæ nequitiam exprobrans, multisque eum lacessens argumentis, quinimo et propriis pennis sagittans, quibus iste quasi per aera vagatus exaltatus est, et fabulis, historiis, sophismatibus fraudulentis, præstigiisque et sacrificiis, ac dæmonum fraudibusque et oraculis adversus nos atque Christum cum ignominia invectus est. Maxima igitur supposita materia, multus est Patri sermonis artificii habitus. Nunc quidem panegyrice, nunc vero judiciali modo, nunc autem deliberative procedit, juxta genus omne artis inflexo variatoque sermone. Et mythicis quidem adinventionibus atque historiis abundavit, confutationibus, ut ex proposito necesse erat, simul enuntiatis adjunctisque vi sermonum argumentis et sententiis probationum connexione.

B *Εἰς* (Cod. p. 262) *τὸν α' τῶν κατὰ Ἰουλιανοῦ Στηλιτευτικῶν* (17).

Οὐκ (18) ἄδηλος ὁ σκοπὸς τὴν τοῦ Παραβάτου στηλιτεύων κακίαν, καὶ πολλοῖς βάλλων αὐτὸν τοῖς ἐγχειρήμασιν, οὐ μόνον δὲ, ἀλλὰ καὶ τοῖς αὐτοῦ πτεροῖς (19) κατατοξεύων, οἷς ἐκεῖνος ἀεροβατῶν ἐπήρθη, καὶ μύθοις καὶ ἱστορίαις, καὶ σοφίσμασι δολεροῖς, γοητείαις τε καὶ θυσίαις, καὶ δαιμόνων ἀπάταις τε καὶ χρησμοῖς καθ' ἡμῶν τε καὶ Χριστοῦ ἐξυβρίσας ἐπτερύξατο. Πλείστης δὲ οὔσης τῆς ὕλης ὑποκειμένης, πολύς ἐστι τῷ Πατρὶ (20) καὶ ὁ τῆς τέχνης τοῦ λόγου σχηματισμός. Πῆ μὲν γὰρ πανηγυρικῶς, πῆ δὲ δικανικῶς, πῆ δὲ καὶ συμβουλευτικῶς πρόεισι, κατὰ πᾶν εἶδος τῆς τέχνης στρεφόμενός τε καὶ ποικιλλόμενος. Καὶ μυθικῶν δὲ πλασμάτων (21) C καὶ ἱστοριῶν προσευπόρησεν ἀνασκευῶν συναναφαινομένων ἀναγκαίως τῇ ὑποθέσει, καὶ συνυφαινομένων [*Coisl.* συμφαινομένων] δυνάμει λόγων τοῖς ἐνθυμήμασι καὶ ἐπιχειρήμασι τῇ συμφράσει (22) τῶν ἀποδείξεων.

Audite hæc, omnes gentes[1], et quæ sequuntur. Prooemii protasis e propheticis desumitur verbis, maxime proposito accommodata, in quo de imperatore agitur, qui multis gentibus ac civitatibus præerat, universumque terrarum orbem fere concusserat, et in Excelsum impietatem locutus fue-

Col. 532 A 2. *Ἀκούσατε ταῦτα, πάντα τὰ ἔθνη,* καὶ τὰ ἑξῆς. Τοῦ προοιμίου ἡ πρότασις ἐκ Προφητικῶν εἴληπται φωνῶν ἄγαν προσήκουσα τῇ ὑποθέσει, ἐν ᾗ Αὐτοκράτωρ μὲν ὑπόκειται, πολλῶν ἐθνῶν ἐπάρχων καὶ πόλεων, καὶ μικροῦ πᾶσαν κατασείσας τὴν οἰκουμένην, καὶ εἰς τὸ ὕψος λαλήσας ἀδικίαν,

[1] Psal. XLVIII, 2.

(17) Coisun., εἰς τὸν κατὰ Ἰουλιανοῦ στηλιτευτικὸν α'.

(18) D. Clemencetus in *Monito* ad *Steliteutica* hunc locum citat a verbis οὐκ ἄδηλος usque ad ποικιλλόμενος. Αὐτὸν βάλλων legit, minus bene.

(19) Manifeste alludit auctor ad illius aquilæ verba quæ, juxta fabulam, propriis exuviis pennatam vidit sagittam qua confossa jacebat... οὐχ ὑπ' ἄλλων, ἀλλὰ τοῖς αὐτῶν πτεροῖς ἁλισκόμεθα.

(20) S. Gregorius Nazianzenus.

(21) Alias (*ad Marinum*, p. 113, 148) hæc verba D μῦθοι καὶ πλάσματα, μυθικὰ πλάσματα, illustravi. Videnda etiam quæ recentius observavit Wittenbach in libro II *Philomathiæ*. S. Theodori panegyrista bis hoc loquendi modo utitur:

Ὡς πρᾶγμα καὶ γὰρ πλάσμα τοῦ μύθου βλέπω...
Καὶ τοὺς σπορεῖς σου τῶν μύθων καὶ πλασμάτων.

(22) Forte τῇ τε συμφράσει. Vox σύμφρασις, quæ in *Thesauro* Henrici Stephani desideratur, hic, ut puto, innuit seriem, connexionem probationum. Vide Ernesti *Lexicon technologicum*.

καὶ εἰς αὐτὸν τὸν τοῦ παντὸς κόσμου κύριον καὶ τεχνίτην· εἰκότως οὖν οὐχὶ τοὺς τὴν οἰκουμένην μόνον οἰκοῦντας καλεῖ, ἀλλὰ καὶ τὰς οὐρανίους [*Sic. Coisl. Cod.* 573 οὐρανίας] πάσας Δυνάμεις, τὸ κήρυγμα μειζόνως ἐπαίρων, ὡς ἔκ τινος περιωπῆς· τοῦτο γὰρ τὸ *ἄποπτον* βούλεται, ἐξ οὗ ἔστιν ὄψεσθαι πολλὰ, μηδενὸς ὄψιν καὶ φωνὴν ἐπιπροσθοῦντος. Ἐπεὶ οὖν καὶ πρὸς οἰκουμένην ὅλην καὶ κόσμον ὅλον ὁ λόγος, οὐκ *ἐξ ἀπόπτου* μόνον, ἀλλὰ καὶ *μεσαιτάτης* ἔφη *περιωπῆς*· ἔστι μὲν γάρ πως καὶ ἐν ὑψηλῷ τινὰ καὶ ἐν ἀπόπτῳ εἶναι, μὴ μὴν ἐν μεσαιτάτῳ καὶ ἐπὶ κέντρῳ· καὶ οὐ δή που πρόσεστι τῶν κηρυττομένων ὑπ' αὐτοῦ πάντας ἐπίσης ἐπαΐειν.

καὶ ἀποστάτου [*Coisl.* *προστάτου*]. Ἐπειδὴ γὰρ A τύπτων καὶ παντοίως αἰκιζόμενος καὶ μιαιφονῶν καὶ τῶν χρημάτων ἀπεστέρει, μὴ ἐξεῖναι δίκας ὑπὲρ τούτων λαμβάνειν Χριστιανοῖς ἐνομοθέτει, ἐκ τῶν ἡμετέρων νόμων δῆθεν καταδικάζων ἡμᾶς μήτε ἀμύνεσθαι, μήτε δικάζεσθαι τυραννουμένους, μήτε μὴν τὰ ἡμέτερα ἀπαιτεῖν ἀπὸ τῶν αἰρόντων, μήτε τι ὅλως (11) κεκτῆσθαι, καὶ τὰ λοιπὰ τῶν θείων ἐντολῶν προσετίθει· ταῦτά φησιν ἀκριβῶς προσωμιληκέναι ὁ Πατὴρ, ἐκεῖνο δὲ οὐκ ἀνεγνωκέναι (*Matth.* xxi, 41), ὅτι κακὸς κακῶς ἀπολεῖται ὁ τὸ Θεῖον ἐξαρνησάμενος, ὡς αὐτός [*Coisl.* ἐξαρν. αὐτ.]. Ὥσπερ οὖν ἡμᾶς τοιούτους εἶναι νομοθετεῖ [*ms.* 573, νουθετεῖ], καὶ πρὸς τὸ ἀκρότατον τῆς ἀρετῆς ἐπείγει· τοιαῦτα γὰρ τὰ ἡμέτερα τῆς ἄκρας φιλοσοφίας τοῦ B Κυρίου ἐντάγματα· οὕτω δείκνυσιν ἑαυτὸν τῇ παραθέσει κάκιστον· ἅμα δὲ καὶ [*Coisl.* δείκν. ἑ. τ. π. κάκ. ἑαυτόν· ἅμα καὶ] τοῖς ἑαυτοῦ ἐγκαλῶν θεοῖς, τὸ κακίστοις [*Coisl.* κακίστην] εἶναι ἀποκέκριται (12)· ἐν τούτοις γὰρ ἡμῖν μὲν ἡ κρείττων μοῖρα, ἐκείνοις δὲ ἡ [*ms.* 573, δ' ἡ] χείρων. Εἰ δή περ καὶ αὐτοὶ [*ms.* 573 αὐτὰ] μεταποιοῦνται, εἰ καὶ μὴ τοῖς ἔργοις, ἀλλ' οὖν (13) καλοκαγαθίας καὶ ἡμερότητος, καὶ ποῦ δίκαιον ἡμᾶς μὲν καὶ πάσχοντας καρτερεῖν λέγειν καὶ μηδ' ἀντιλέγειν, αὐτοὺς δὲ μηδὲ φειδομένων φείδεσθαι; οὐκ αἰσθανόμενος ὁ ἀνόσιος, ὅτι τῆς ἡμετέρας νομοθεσίας τὰ μὲν ἀνάγκην ἔχει τηρεῖσθαι, καὶ κίνδυνος τοῖς μὴ φυλάσσουσιν ἕπεται, τὰ δ' αἵρεσιν ἀλλ' οὐκ ἀνάγκην, καὶ φυλάσσουσι μὲν τιμὴν καὶ ἀντίδοσιν, μὴ φυλάσσουσι [*Coisl.* φυλάσσειν] δὲ οὐδ' ὁντινοῦν [*Coisl.* ὄντινες οὖν] κίνδυνον. Καὶ τὰ τούτων παραδείγματα δηλοῖ.

ciatus genere lacessens, et trucidans, et fortunis spolians, non licere Christianis ea ulcisci ediceret, lege nostra videlicet nos condemnans, ne mala afflicti ulcisceremur, nec litem intenderemus, nec nostra ab eripientibus repeteremus, nec quidquam omnino possideremus, cæteraque e divinis mandatis adjiceret. Qui quidem, ut ait Pater, in his accurate versatus, illud tamen non legit, quod malus male perdetur, hoc est quisquis divinum nomen ejurarit, ut ipse. Quemadmodum igitur ut tales simus præscribit, et ad summum virtutis apicem extollit: hæc enim nostra summæ philosophiæ Domini præcepta; sic ostendit seipsum comparatione pessimum; simulque deos suos criminans, pessimos fuisse reprehendit. In his enim nobis quidem pars melior, illis vero pejor. Sin autem ipsi quoque probitatis aliquid et lenitatis, si non rebus ipsis, oratione saltem sibi vindicant, quonam modo æquum est, nos quidem, cum malis afficimur, patientiam adhibere, nec injuriam referre, sed ipsis ne parcentibus quidem parcere? Minime reputans impius quod alia quidem necessitate observamus, et non observantibus periculum consequitur, alia autem arbitrio, non vero necessitate; observantibus honor et præmium; non autem observantibus nihil periculi. Quorum exempla exponit.

Col. 636 A 14. *Ὃ πρῶτον μετὰ τὸν πρῶτον* C *ἠσπασάμην.* Ὃ πρῶτον· τὸ τῶν λόγων δηλονότι κράτος, φησὶν, ἠσπασάμην· μετὰ γὰρ τὸ πρῶτον καὶ τὸ θεῖον (ὃ καὶ ἐπιφέρων διασαφεῖ, τὰ θεῖα λέγων καὶ τῶν νοητῶν τὰς ἐλπίδας)· μετὰ γὰρ τὰ πρῶτα ταῦτα, τὸν Θεὸν καὶ τὰ θεῖα, πρότερον τῶν λοιπῶν ἁπάντων τὸ κράτος, φησὶν, ἠσπασάμην τῶν λόγων.

Col. 637 A 5. *Οἷς τὸ « Αὐτὸς ἔφα » τὸ πρῶτον* (cod. p. 270, 2) *καὶ μέγιστόν ἐστι τῶν δογμάτων.* Τοῖς Πυθαγορείοις. Μετὰ τὴν πρῶτον τῆς φιλοσοφίας σιωπὴν, ἣ μέτρον λόγων ἐδίδασκε, νόμος ἦν αὐτοῖς, ὅ τι ἂν τῶν δογμάτων ἐρωτωμένοις, εἰς ἀπόδειξιν τὸ, *Αὐτὸς ἔφα*· μόνον ἤρκει ὅτι φάναι Πυθαγόρᾳ τοῦτ' εἴη δεδογμένον· ὅπερ δύναται ἐν ἄλλοις ῥήμασιν ἴσον τοῦ *Πίστευσον* ἡμετέρου. Βούλεται δὲ ὁ λόγος μὴ D ἐξεῖναι διαπιστεῖν τοῖς ὑπὸ προφητῶν καὶ ἀποστόλων καὶ ἀξιολόγων προσώπων εἰρημένοις. Ἐν ἄλλοις, *μὴ ἐπεξιέναι διὰ πίστιν*, γράφεται, ἀντὶ τοῦ, μὴ περιεργάζεσθαι καὶ πολυπραγμονεῖν. Χρυσῶν δὲ ἐπῶν λέγει, ὧν Πυθαγόρας συνεγράψατο, ἤ τινες ἄλ-

Quod primum post id quod primum est amplexatus sum. Quod primum: nempe sermonum robur, ait, amplexatus sum: etenim post id quod primum et divinum est (statimque postea exponens, res divinas, ait, et spes eorum quæ mente intelliguntur), post hæc prima, Deum ac divina, potius reliquis omnibus robur, ait, amplexatus sum sermonum.

Quibus illud, « Ipse dixit, » dogmatum omnium primum est et maximum. Nempe Pythagoricis. Post primum philosophiæ illius silentium, quo sermonum modum edocebantur, mos erat apud illos cum de dogmatibus interrogarentur, probationis gratia respondere: *Ipse dixit*. Satis erat ita hoc Pythagoræ visum fuisse. Quod quidem parem vim habet quod nostrum *Crede*. Vult porro nobis hic sermo non licere iis fidem abrogare, quæ a prophetis, et apostolis, virisque fide dignis dicta sunt. Alias *non discurrendum de fide* scribitur, id est non curiosius inquirendum atque investigandum. De aureis carminibus mentionem facit, quæ Pythagoras con-

(11) Orator, aliis verbis, μήτε κεκτῆσθαί τι τὴν ἀρχήν, quod D. Clemencet in nota vertit, *nec quidquam possideamus jure dominii*. Billius, recte, *nec quidquam omnino possideamus*. Editor Benedictinus, quod et interpretes ipso peritiores fugit, videtur ignorasse, in istiusmodi phrasibus, cum sunt negativæ, vocem τὴν ἀρχὴν nihil aliud significare quam *prorsus, omnino*. Vide Lennep. *ad Phalaridem* (ep. 16, p. 82); Fischer in Indice Æschinis Socratici; Elsner in *Observationibus sacris* (p. 319); Fabricium in *Sexto Empirico* (*Hyp.* I. xiv, 96; II, 6, 50). An vero idem dicendum sit de phrasibus affirmativis, apud eruditos non constat. Loca quædam invenire est in quibus hæreas; in sequenti tamen Herodoti loco voci ἀρχὴν (*Clio*, 140, 15) sensus non videtur tribuendus quem Latine habent *prorsus, omnino, revera*: Καὶ ἀμφὶ μὲν τῷ νόμῳ τούτῳ ἐχέτω ὡς καὶ ἀρχὴν ἐνομίσθη.

(12) Vox ἐγκαλῶν orta videtur ex prava lectione quam Basilius habuerit in suo exemplari. Editi, recte, τοῖς αὐτοῦ θεοῖς ἐν καλῷ τοῦτο τυγχάνον.

(13) Forte ἀλλ' οὖν λόγῳ ut phrasis ἀκολουθία constet et antithesis fiat cum ἔργοις.

scripsit vel Pythagoricorum nonnulli in hexametro tono, seu heroico metro, quæ et plumbea ludens nuncupatus est magnus hic magister, aureorumque carminum verissime conditor.

Quod si tuos quoque esse ostenderis, quomodo nos eorum minime participes? Si ostenderis tuos esse sermones, cur nobis quoque in eis nihil juris est? *Μετὸν* enim μέτεστι (*particeps est*) significat, sicut *ἐξὸν*, ἔξεστι (*licet*). Quomodo igitur hoc ostendes? Pro: Non tuos esse sermones ostendes. Cujus autem Græcismi sermones sunt, tu qui homonymias studiose captas, earumque sensus! Una porro denominatione et homonymia diversæ res significantur, ut canis; ac rursum plurimis vocabulis una et eadem notatur, cujusmodi sunt ἄορ, ξίφος, μάχαιρα, quæ tria *gladium* significant. Aliis denique alia significantur, ut in heteronymis. Etenim necesse erat vel ad dæmonum religionem hæc pertinere, vel ad gentilia; et si religionis sunt, non tamen apud omnes eadem sacrificia patrantur, ita ut homonymum sit omnibus gentilibus Græcizari. Sic in uno *Græcizari* omnia congregantur ethnicæ religionis genera, ut hierophantis videtur, qui cæremoniarum mysteria iis, qui initiantur, aperiunt. Alii enim aliter honores dæmonibus proferunt; et reliqua quæ divinissimus Pater adjicit. Ideoque licet nobis istum in jus ἐξούλης vocare, qui nobis hoc adem rit.

Quemadmodum quasnam victimas et quibus dæmonibus. Subauditur *mactare has atque illas.* Neque enim omnibus dæmonibus eadem mactabantur, sed aliis quidem boves, oves, porci, aliis vero alia atque alia. Et quibus, ait, dæmonibus. Neque enim omnibus eadem, neque uni omnia, neque similiter, sed diversis modis. Non igitur Græcizari uni cuidam deorum separatim attributum atque assignatum est in honorem. Non enim si eosdem et lingua et religione Græcizari contigit, protinus et sermones ipsi et Græca lingua ad religionem pertinebunt. Atque hac ratione rursum de sermonibus istum in jus *ἐξούλης* vocare haberemus.

Non enim si duo circa idem versentur, ambo proinde eadem inter se sunt. Duo quædam nomina de uno subjecto dicuntur, sicut aurifex et pictor, ut fieri potest, de Petro: non autem aurum fundere idem et ac pingere, et vice versa. Rationi enim ea con-

A λοι τῶν Πυθαγορείων ἐν ἑξαμέτρῳ τόνῳ, εἴτουν ἡρωϊκῷ μέτρῳ, ἅπερ καὶ μολιβᾶ καταπαίζων εἰρήκει ὁ μέγας διδάσκαλος οὗτος καὶ χρυσῶν ἐπῶν ὡς ἀληθῶς ἀρχιτέκτων.

Col. 637 B 11. *Εἰ δὲ καὶ σοὺς, πῶς τούτων ἡμῖν οὐ μετόν;* Εἰ δείξεις σοὺς δηλονότι τοὺς λόγους [*ms.* 573, ἔδειξέ σου δηλ. τοῦ λόγου], πῶς οὐ μέτεστι τούτων καὶ ἡμῖν; τὸ γὰρ *μετὸν* μέτεστι σημαίνει, ὡς τὸ *ἐξὸν* ἔξεστι. Πῶς οὖν σὺ δείξεις; ἀντὶ τοῦ, Οὐ δείξεις τοὺς λόγους σούς. Ἀλλὰ τίνος εἰσὶ τοῦ Ἑλληνίζειν, ὦ περὶ τὰς ὁμωνυμίας ἔχων σὺ τὴν ἀκριβῆ ἐπιστήμην καὶ τὰ ὑπ' αὐτῶν δηλούμενα. Ἢ γὰρ μιᾷ προσηγορίᾳ καὶ ὁμωνυμίᾳ διάφορα σημαίνεται [*Codd.* ἡ γ. μία προσηγορία κ. ὁμ. διάφ. σ.], οἷον, κύων· ἢ διαφόροις προσηγορίαις ἕν, οἷον, ἄορ, ξίφος,
B μάχαιρα· ἢ ἑτέραις ἕτερα ἑτερωνύμως δηλονότι· ἀνάγκη γὰρ ἢ τῆς θρησκείας ταῦτα εἶναι ἢ τοῦ ἐθνικοῦ [*Coisl.* ἔθνους]· καὶ εἰ τῆς θρησκείας, οὐ παρὰ πᾶσι τὰ αὐτὰ [*Coisl.* αὐτοῦ] τῶν θυσιῶν τελεῖται, ὡς ὁμώνυμον εἶναι πᾶσι τοῖς θρησκεύουσι τὸ Ἑλληνίζειν. Οὕτως ἑνὶ τῷ Ἑλληνίζειν πάντα κατηγορεῖται τῆς θρησκείας τὰ εἴδη, ὡς τοῖς ἱεροφάνταις δοκεῖ, τοῖς τὰ μυστήρια τῶν τελετῶν τοῖς μυουμένοις ἐκφαίνουσιν· ἄλλοι γὰρ ἄλλως τὰς τιμὰς τοῖς δαίμοσι προσφέρουσι· καὶ τὰ ἑξῆς ὅσα ὁ θεσπέσιος ἐπάγει. Καὶ διὰ τοῦτ' ἂν ἐξούλεις (14) καὶ ταύτης ἔξω γραφείημεν τῆς κατηγορίας.

Col. 640 A 1. *Ἔστιν* (cod. p. 271, 1) *ἃ καὶ οἷς*
C *τῶν δαιμόνων.* Συνυπακούεται τὸ *θύειν τάδε καὶ τάδε* (15)· οὐδὲ γὰρ πᾶσι δαίμοσι τὰ αὐτὰ ἐθύετο, ἀλλὰ τοῖς μὲν βόες, πρόβατα, χοῖροι, τοῖς δὲ ἄλλα καὶ ἄλλα. Οἷς, φησὶ, τῶν δαιμόνων· οὔτε γὰρ πᾶσι τὰ αὐτὰ, οὔτε ἑνὶ τὰ πάντα, οὐδὲ μὴν ὁμοίως, ἀλλ' ἑτεροτρόπως· οὐ τοίνυν ἔγκριτον τὸ Ἑλληνίζειν, καὶ κεχωρισμένως [*Coisl.* κεχωρισμένον] ἠφώριστό τινι τῶν εἰδώλων εἰς τιμήν· οὐδὲ γὰρ εἰ τοὺς αὐτοὺς συμβέβηκε καὶ τὴν γλῶτταν Ἑλληνίζειν καὶ τῆς θρησκείας τῆς αὐτῆς εἶναι, παρὰ τοῦτο καὶ τῆς θρησκείας εἶεν οἱ λόγοι καὶ τὸ Ἑλληνίζειν· ὡς καὶ διὰ ταῦτα ἐξούλης [*ms.* 573 ἐξ ὕλης] τῶν λόγων γράφειν [*ms.* 573 γραφὴν] ἔξοιμεν.

Ibid. B 15. *Οὐ γὰρ εἰ περὶ* [*Coisl.* γὰρ εἶπεν] *ταυτὸν ἄμφω, καὶ ἀλλήλοις ἄμφω ταῦτα.* Δύο τινὰ
D ὀνόματα καθ' ἑνὸς ὑποκειμένου κατηγορεῖται, οἷον χρυσοχόος καὶ ζωγράφος, εἰ τύχοι, κατὰ Πέτρου, ἀλλ' οὐκέτι καὶ τὸ χρυσοχοεῖν ζωγραφεῖν ἐστιν [*ms.*

(14) Coislin. ἐξούλεις, Regius ἐξ ὕλης, utrobique male. Infra hæc iterum tangit Basilius, sed cum alia verborum dispositione, ex quo patet locum perturbatum esse. In secunda periodo scribit ἐξούλης γράφειν ἔξοιμεν, quod magis probandum; nam ἐξούλης in formula ἐξούλης δίκη vel γραφὴ non adjectiva est. Primam periodum scripsit homo qui antiquæ hujus phrasis juris Attici significationem non noverat; causa ἐξούλης dicta ejus erat qui rebus quas juste possidebat vi spoliabatur (*a*). Quasi dicat Basilius: Licet nobis Julianum in jus ἐξούλης vocare, qui nobis sermonem Græcum adimere vult. Ἐξούλης τῶν λόγων γράφειν ἔξομεν. In alia phrasi ἐξούλεις καὶ ταύτης ἔξω γραφείημεν κατηγορίας, additio vocis ἐξούλεις sensu caret, mea quidem sententia, ut et altera lectio ἐξ ὕλης.

(15) Male Basilius subaudit θύειν τάδε. En verba oratoris: Εἰ μὲν οὖν τῆς θρησκείας, δεῖξον ποῦ καὶ παρὰ τίσι τῶν ἱερέων τὸ Ἑλληνίζειν ἔννομον, ὥσπερ καὶ τὸ θύειν ἔστιν ἃ καὶ οἷς τῶν δαιμόνων. Si quid subaudiendum, non certe θύειν, quod hic legitur, sed tantum ἔστιν ante οἷς· ἔστιν ἃ καὶ ἔστιν οἷς. Habuit forte Basilius exemplar vitiosum, vel hæsit in formula ἔστιν ἃ καὶ οἷς· cum certe multum torsit hic locus, quod patet ex ejus prolixis et impeditis argumentis.

(*a*) Vide S. Petit, *Leg. Attic.*, p. 508; Hérault, *Animadv. in Salmas.*, VII, 26.

575 γρ. καὶ ζωγρ. ἐξὸν], ἢ τὸ ἀνάπαλιν· ἀσυλλόγιστα γὰρ τὰ τοιαῦτα. Καὶ πῶς οἷόν τέ ἐστιν; Εἰ τὸν Ἑλληνίζοντα οὕτω καὶ οὕτω θρησκεύειν [*Coisl.* Ἑλλ. οὕτω καὶ θρ.] συμβέβηκεν, ἤδη καὶ τοὺς οὕτω θρησκεύοντας μόνους Ἕλληνας εἴποιμεν.

A traria. Qua scilicet ratione hoc fieri posset? Quod si ita contigerit, ut qui et lingua Græca utitur, et qui deos colit, unus et idem sit, jam ita deos colentes solos Græcos dicere poterimus.

Ibid. C. 9. *Τὸ μὲν σμερδαλέον.* Τοῦτο τὸ καταπληκτικὸν σημαίνει· τὸ δὲ *κοναβίζειν*, ἠχεῖν ἢ κτυπεῖν. Τὸ *μῶν*, τὸ μὴ οὖν. Τὸ *δήπουθεν*, συνδεσμικὸν ἐπίῤῥημα βεβαιώσεως, τὸ *ἄττα* ψιλούμενον τὸ τινὰ (16), δασυνόμενον δὲ τὸ ἅτινα δηλοῖ. Τὸ δὲ *ἀμωσγέπως*, τὸ μερικὸν καὶ ἀπό τινος μέρους. Φησὶν οὖν μὴ ταῦτα μόνα εἶναι· καὶ τὸ κομπηρὸν τῆς φράσεως, ἀλλὰ καὶ τὸ πεζὸν, καὶ εὐτελὲς τῆς ἀνὰ χεῖρα ὁμιλίας Ἑλληνικῆς ἐστι διαλέκτου· καὶ μάτην, φησὶ, ληρεῖς, τῶν μὲν ἀπείργων ἡμᾶς, τῶν δὲ τὴν χρῆσιν ὑπερορῶν ὑβριζομένην παρ' ἡμῶν, ὡς οὐχ Ἑλληνικῆς ὑπαρχούσης. Τῆς ματαιότητος! τῆς παρακοπῆς τῶν φρενῶν!

Τὸ μὲν σμερδαλέον. Hoc significat *horrendum*, κοναβίζειν autem *strepere*, *tinnire*. Eodem modo μῶν idem quod μὴ, *num*. Δήπουθεν autem copulativum adverbium est; ἄττα vero, cum aspiratur, *quæ quidem* significat; cum autem tenuatur, *alia quædam*. Denique ἀμωσγέπως *partim*, *quadam tenus* aut *vulgariter*. Ait igitur non hæc sola esse; et fucatæ sermonis dictiones, sed et pedestres, et viles, vulgatique usus Græcæ item linguæ sunt. Et frustra, ait, deliras, a quibusdam non arcens, et aliorum usum fastidiose B patiens contumeliose a nobis usurpandum, quasi non Græcæ dictionis essent. O vanitatem atque mentis vesaniam!

Col. 641 A. 15. *Εἰ μὲν καὶ θεῖαι εἰσὶ* [*ms.* 575, θ. φησὶν, εἰσὶ] *φωναί.* Εἰ γὰρ εἰσὶ θεῖαι φωναὶ, ἤτοι Θεοῦ ἢ καὶ ἀγγέλων, οἳ (17) διὰ γυμνῶν τῶν ἐννοιῶν καὶ τυπωμάτων συγγίνονται ἀλλήλοις, εἴποιεν ἄλλοι, φησίν· ὡς καὶ ἐκεῖναι τούτων ὑπάρχουσαι γυμναὶ, πολὺ τὸ τίμιον ἔχουσι. Τὸ δὲ τῶν σῶν μῶλυ θεῶν, καὶ τὸν Ξάνθον, καὶ τὴν χαλκίδα, καταγελῶ, φησὶ, τῆς εἰκαιομυθίας τῆς ποιητικῆς [*Coisl.* τῆς ποιητ. εἰκ.], ἣ καὶ ταῦτα ἐκαινοτόμησεν εἰς κατάπληξιν μειρακιώδη. Τούτων δέ ἐστι τὸ μὲν, εἶδος ὀρνέου, ἡ χαλκίς· τὸ δὲ, ποταμὸς, ὁ Ξάνθος· ῥιζίον [*Coisl.* ῥίζιον] δὲ βοτάνης τὸ μῶλυ (18), ἃ [*Coisl.* ὡς] φησιν Ὅμηρος [Moly *Odyss.* x, 305; Chalc. *Il.* xiv, 291; Xanth. *Il.* xx, 74] ὑπὸ μὲν ἀνθρώπων ἑτέως, ὑπὸ δὲ τῶν θεῶν οὕτως ὠνομάσθαι.

Si quædam etiam deorum voces sunt. Si enim divinæ voces sunt, sive Dei, sive angelorum, qui per nudas cogitationes et informationes commercium inter se habent, de his alii pronuntient, ait. Quæ quidem illorum, cum nudæ sint, majore in pretio habentur. Tuorum vero deorum moly, Xanthum et chalcidem, rideo, ait, ineptias poetarum, qui hæc ad puerilem incutiendum metum invenerunt. Quorum primum, chalcis, avium genus; alterum Xanthus, fluvius; tertium, moly, stirpis cujusdam radix est: quæ Homerus dixit aliter ab hominibus, a diis ita nominari.

Σὸν τὸ Ἑλληνίζειν; εἰπέ μοι, καὶ τὰ ἑπόμενα. Τούτοις βάλλει τὸν ἀλιτήριον, καὶ τῇ πυκνότητι τῶν ἐπιχειρημάτων καὶ παραδειγμάτων ἐλέγχει, καὶ τῆς ἀνοίας καὶ κακοηθείας στηλιτεύει τὸ ὑπερβάλλον, καὶ αὐτῆς ἀπογυμνοῖ τῆς ἁλουργίδος, ὡς μηδὲν αὐτῷ διαφερούσης κατὰ τὴν τῶν θεσπισμάτων αὐτοῦ λύσσαν. Πένθιμον δὲ τοῖς κακοῖς ῥάκος καὶ ὑπερήφανον εἶπε (Col. 644 C 2) ταύτην, ὅτι ἐν κακοῖς καὶ συμφοραῖς πενθοῦντες μελανειμονοῦσιν ἄνθρωποι· τοιοῦτον δὲ καὶ τὸ τῆς πορφύρας ἄνθος καὶ χρῶμα· τὸ ὑπερήφανον δηλοῖ καὶ Ὅμηρος τὸν δι' αἵματος πορφύρεον φράσας θάνατον.

C *Quid ais? tuum est Græcizari?* et quæ sequuntur. His impiissimum istum lacessit, et argumentorum documentorumque frequentia confutat, ejusque amentiæ et perversitatis summam impudentiam ignominia afficit, ipsaque purpura nudat, ut nihil ei afferente juxta imperiorum ejus rabiem. Quam pannum ait luctuosum improbis ac superbum, quod in malis et calamitatibus homines in mœrore et luctu versantur, atras vestes gerentes. Atque hic purpuræ flos et color. Superbum quoque ostendit Homerus, qui purpuream cruentam mortem vocat.

Col. 645 B 14. *Εἰ δὲ ταῦτά σοι κακουργίας εἶναι δοκεῖ* [*Coisl.* κακ. οἶμαι δοκ.] *τὸ λεῖον ἠμφιεσμένης* [*Coisl.* ἠμφιεσμένος]. Ταῦτα πρὸς τὸν ἀκροατὴν ἀποστρέψας λέγει. *Κερδαλεώτερα* δὲ, τὰ πανουργότερα, ὡς ἂν εἴποι τις, καὶ δολερώτερα (εἴρηται ἀπὸ τῆς ἀλώπεκος, κερδοῦς (19) οὕτω πως κεκλημένης)· ὡς καὶ τὰ ὑποκείμενα δολίως βεβου-

Quod si ea vobis versutam improbitatem lenitate tectam resipere. Hæc per apostrophen ad auditorem dicit. *Astutiora* hæc majoris improbitatis, ut ita D quispiam dicat, et dolosiora (sumpta autem est hæc vox a vulpe, quæ κερδῶ appellatur): quomodo quæ exponuntur meditaretur Apostata, et nos devincere omnibus modis pararet, simul ac quæ apud nos

(16) Scribe τινά. Alias (*Notices des mss.* t. X, p. II, pp. 141, 279) jam notavi amanuensium lapsus in vocibus ἅττα et ἄττα. Alia loca nunc afferam. Theodorus Prodromus (Lazer *Misc.* t. II, p. 567): Τῷ τοῦ Ἰξίονος τροχῷ προσδεδέσθαι ἢ ἄλλα τὰ πάσχειν τῶν ἀμηχάνων κακῶν. Corrige ἢ ἄλλ' ἄττα pro ἢ ἄλλα τινά. Joannes Chrysost. (*Eclog.* p. 12) ὀλίγα ἅττα διεξελθών. « Malim ἄττα, » ait Matthæi; quod sine dubio erat admittendum, et ita jam Savilius scripserat. Lucianus (*Hes.* 6, 5), μικρὰ ἅττα διεξιόντες. Scribe μικρὰ ἄττα, id est μικρά τινα. Annæ Comnenæ textus editus (p. 147 B), ἀλλ' ἅττα ὁμοιότροπα. Scribe ἀλλ' ἄττα ὁμ.; et alias (p. 118 D), ἄλλα τὰ ποιῶν. Scribe ἀλλ' ἄττα π.

(17) Coislin. οἷον pro οἱ. Ex contextu scribendum videtur ἥ.

(18) De μῶλυ jam dixi in notis ad *Heroica* Philostrati. Ait D. Virey (*Dict. des sciences méd.*, t. XXIV, p. 53), nec subdubitans, Homericum *molu* esse *allium nigrum* Linnæi; sed in re tam incerta nimis affirmative loquitur.

(19) Vide ad col. 605 A 10.

admirabilia sunt in divinis dogmatibusque et miraculis, et in cæteris decoribus, traditionibus atque institutis. Festinabat enim ne quidquid eorum ipsius malignam versutiam effugeret, nisi prævia pœna propriis consiliis et fraudibus impium istum in Perside ante occupasset. Liquido enim patuisset, ait, quinam hominum, fossas superantium, virtutis saltus, et quænam simiarum imitationes.

A λευμένου τοῦ Ἀποστάτου, καὶ νικᾷν [*Coisl.* Ἀποστ. νικ.] ἡμᾶς κἂν τούτοις παντοίως μηχανωμένου, καὶ τὰ θαυμαζόμενα παρ' ἡμῖν ἔν τε θείοις δόγμασί τε καὶ θαύμασι καὶ ταῖς λοιπαῖς σεμνοπρεπείαις καὶ παραδόσεσι καὶ πολιτείαις. Ἔσπευδε γὰρ μηδὲ ταῦτα ἀκακούργητα μένειν ἐᾷν, εἰ μὴ προφθάσασα [*ms.* 573 προφθάσα] ἡ δίκη κατέλυσε τὸν ἀνόσιον αὐταῖς βουλαῖς καὶ δολιότησιν ἐν Περσίδι. Ἐδείχθη γὰρ ἄν, φησὶ (col. 649 A 3), τίνα μὲν ἀνθρώπων, ὑπὲρ [*ms.* 573, ἀνθρ. κ' ὑπὲρ] τὰ ἐσκαμμένα ἐπαιρομένων, τῆς ἀρετῆς ἄλματα, τίνα δὲ πιθήκων μιμήματα.

Ut quod ait Plato. Quid ait, et de quo? De civitate quam sermone finxerat atque adumbraverat. Quid igitur ait? Ut eorum consilium motu præditum atque in opus perductum videamus. At sicut non Platonica civitas, ita nunquam istius opibus florens visa est. Verumtamen sanctus ille vir nostræ philosophiæ dogmata et fundamenta speculatur atque deprehendit rebus florentia, et hodie manifesta et resonantia; istorum vero instabiles aperte ostendit insipientesque ineptias; quæ quidem neque exstiterunt, neque vel in umbris inanibusque eloquiis expromi potuerunt, cum multa habeant turpia cum impietate, et cum imbecillitate ridicula, multamque morum licentiam atque corruptelam.

Col. 649 B 9. *Ἵν' ὅ φησι Πλάτων.* Τί φησι (20), καὶ περὶ τίνος; Περὶ τῆς ἐν λόγοις αὐτῷ πλασθείσης [*Coisl.* πλ. αὐτῷ] καὶ σκιαγραφηθείσης πόλεως· τί οὖν φησι; ἵνα ἴδωμεν κινουμένην ἐν ἔργοις αὐτοῖς καὶ τὴν τούτων τῆς κακίας ἐπίνοιαν· ἀλλ' ὥσπερ οὐχ ἡ Πλατωνικὴ (21), οὐδὲ τούτου εὖ ποιοῦσα τοῖς πράγμασι δέδεικται πώποτε. B Πλὴν ὁ θεσπέσιος οὗτος ἀνὴρ θεωρεῖ τε καὶ ἀντεξετάζει τῶν ἡμετέρων τὰ τῆς φιλοσοφίας δόγματά τε καὶ σκάμματα τοῖς πράγμασιν ἑστῶτα καὶ μέχρι καὶ τήμερον φαινόμενα καὶ φθεγγόμενα, τῶν δὲ τὴν ἀνυπόστατον ἐξελέγχει καὶ ἀνόητον φλυαρίαν, τὴν μήτε γεγενημένην, μήτε οὖν κἂν ἐν σκιαῖς [*Coisl.* σκηναῖς] καὶ κενολογίαις παραβεβλῆσθαι δεδυνημένην, πολὺ ἔχουσαν τὸ αἰσχρὸν μετὰ τῆς ἀσεβείας, καὶ μετὰ τοῦ ἀσθενοῦς τὸ γελοῖον, καί γε τῶν ἠθῶν τὸ λίαν ἀνάγωγον καὶ κατεφθαρμένον.

Præclarum erit Hesiodi Theogoniam... Præter *Opera et dies*, præter *Clypeum*, alterum hujus poema est, *Theogonia* hic memorata, deorum generationem et nominum denominationes enumerans, in quibus fictorum deorum omnis theologia, gestaque et mores referuntur; sicut et in Homeri rhapsodiis: quæ et pueris et adhuc puerilia sapientibus in promptu sunt. Cum istis igitur conferens noster hic theologus, non modo contemplationem nostram et philosophiæ nostræ theologiam, sed et practicam atque moralem, per hanc comparationem Græcam omnem vanitatem aperte ostendit, demonstravitque non modo ad nostras non accedere, sed ab iis multum abesse Græcorum imaginationes. *An vero*, ait, *hæc ad nostram religionem et doctrinam accedunt, apud quos lex et norma amicitiæ*, et quæ sequuntur; quæ quasi uno contuitu usque ad finem enumerans, extra omnem comparationem doctrinam nostram, longeque illorum doctrina præstantiorem esse ostendit.

Col. 653 A 4. *Καλὸν προσαδεῖσθαι τὴν Ἡσιόδου* Θεογονίαν. Μετὰ τὰ *Ἔργα καὶ ἡμέρας* καὶ τὴν λεγομένην *Ἀσπίδα*, ποιημάτιόν τί ἐστι καὶ ἡ μνημονευομένη αὕτη *Θεογονία*, θεῶν γένεσιν καὶ ὀνομάτων κλήσεις καταλεγομένη, ἐν οἷς τῶν μυθευομένων θεῶν πᾶσα ἡ θεολογία καὶ τὰ πρακτικὰ καὶ ἠθικὰ C φέρεται· καὶ ἐν ταῖς Ὁμήρου ῥαψῳδίαις ὁμοίως· ἃ καὶ παισὶ καὶ τοῖς ἄρτι παιδείας γευομένοις [*Coisl.* γευομ. παιδ.] δῆλα. Τούτοις οὖν παρατεθεικὼς ὁ ἡμέτερος οὗτος θεολόγος, οὐ μόνον τὸ θεωρητικὸν ἡμῶν καὶ θεολογικὸν τῆς φιλοσοφίας, ἀλλὰ καὶ τὸ πρακτικόν τε καὶ ἠθικόν, ἐλέγξας, κατὰ σύγκρισιν, τὴν Ἑλληνικὴν ἅπασαν ματαιότητα, ἔδειξεν οὐδ' ἐγγὺς τῶν ἡμετέρων, πολλοῦ γε καὶ δεῖ, τὰ τῶν Ἑλλήνων φαντάσματα. *Καίτοι γε*, φάσκων, *πῶς ταῦτα τῶν ἡμετέρων ἐγγὺς, οἷς ὅρος μὲν φιλίας*, καὶ τὰ ἑξῆς, ὅσα, ὡς ἐν συνόψει, μέχρι τέλους καταλέγων, ἀσύγκριτα δείκνυσι τὰ ἡμέτερα καὶ παντὸς αὐτῶν λόγου κρείττω.

(20) Alludit ad sententiam Socratis in *Timæo*, circa initium: Ἀκούοιτ' ἂν ἤδη τὰ μετὰ ταῦτα περὶ τῆς πολιτείας ἣν διήλθομεν, οἷόν τι πρὸς αὐτὴν πεπονθὼς τυγχάνω. Προσέοικε δὲ δή τινί μοι τοιῷδε τὸ πάθος, οἷον εἴ τις ζῶα καλά που θεασάμενος, εἴτε ὑπὸ γραφῆς εἰργασμένα, εἴτε καὶ ζῶντα ἀληθινῶς, ἡσυχίαν δὲ ἄγοντα, εἰς ἐπιθυμίαν ἀφίκοιτο θεάσασθαι κινούμενά τε αὐτὰ καί.... Ταυτὸν καὶ ἐγὼ πέπονθα πρὸς τὴν πόλιν ἣν διήλθομεν.

(21) Ms. 573 πλάνη. Coisl. compendiose, πλα. quod Πλατωνικὴ intelligendum non dubito, et sic scripsi.

ΕΙΣ (cod. p. 272) ΤΟΝ [ΤΩΝ] ΚΑΤΑ ᾿ΙΟΥΛΙΑΝΟΥ Α ΣΤΗΛΙΤΕΥΤΙΚΩΝ ΔΕΥΤΕΡΟΝ.

Col. 664 c. 14. *Οὗτος μὲν δὴ τῶν ἐμῶν λόγων ὁ πρῶτος ἄεθλος ἐκτετέλεσται.* Εἴληπται τὸ προοίμιον ἐξ Ὁμήρου τῆς *Ὀδυσσείας* (22). Ὀδυσσεὺς γὰρ ὁ τοῦ Λαέρτου, μετὰ τὴν ἐπὶ Ἴλιον στρατείαν, ὑποστρέφων οἴκαδε, κινδύνοις πλείστοις τε ἄλλοις ὡμιληκὼς, τέλος καὶ ναυαγίῳ τήν τε ναῦν καὶ τὰ ὑπάρχοντα ἀπολωλεκὼς, εἰς τὸν οἶκον πτωχεύων καὶ μὴ γνωριζόμενος ἧκε, μνηστῆρας τῆς γυναικὸς οὐκ ὀλίγους καταλαβὼν τὰ ἑαυτοῦ κατεσθίοντας· οὐ μόνον δὲ, ἀλλὰ καὶ αὐτὸν ὡς πτωχὸν ἐπικερτομοῦντας καὶ ἐνυβρίζοντας εἶχον. Ἐπεὶ δὲ Πηνελόπη (*Odyss.* XXI, init.) τόξον τε καὶ πελέκεις προβεβλημένη, ἐν οἷς ποτε Ὀδυσσεὺς τὴν ἑκηβόλον ἀσκούμενος τέχνην, τὰ βέλη πρὸς τὸν σκοπὸν ἠφίει, προφάσεσι πλανῶσα B τὸν νοῦν αὐτῶν καὶ ταῖς ἐλπίσιν ἐπαίρουσα, ἄνωθεν ἔφη κοσμίως ἐπιφανεῖσα, ὡς « Εἴ τις ὑμῶν τουτὶ τὸ τόξον ἐντείνειε, καὶ διὰ τῆς τῶν πελέκεων ὀπῆς τὸ βέλος ἰθύνειε, τούτῳ εἰς γάμον ἐφέψομαι συναφθεῖσα. » Οἱ δὲ μετὰ τὴν πεῖραν ἀπεῖπον ἠτονηκότες. Εἶτα Ὀδυσσεὺς [*Coisl.* εἶτ' Ὀδ.] τοῦτο, καίτοι [*Coisl.* καίπερ] πολλῶν ἀπειργόντων, λαμβάνει [*Coisl.* λαμβάνοι], καὶ τείνει θᾶττον, καὶ βάλλει, καὶ τοῦ σκοποῦ μάλα τυγχάνει· ἔπειτα τουτὶ τὸ ἔπος εἰπὼν, κατὰ τοῦ πρώτου τῶν μνηστήρων Ἀντινόου, ἀνδρὸς τυραννικωτάτου καὶ βιαίου, εὐθύνας βάλλει καὶ καταβάλλει· οὕτω δὲ καὶ τοὺς ὑβριστὰς ἐφεξῆς ἐπεξέρχεται τῶν μνηστήρων καὶ τὴν γυναῖκα καὶ τὸν οἶκον ἐλευθερώσας ἀπειλήφει. Τοῦτο δὴ τὸ ἔπος κατακολλῶν ὁ μέγας Γρηγόριος, ἔστι δ' οἷς καὶ παρῳδῶν, C προσφόρως κέχρηται· καὶ τὸν [*Coisl.* τὸ] πρῶτον κατὰ τοῦ παλαμναίου καὶ τῶν ἀσεβῶν διηνυκέναι ἄεθλον ἔφη, καὶ ἐπὶ τὸν δεύτερον τουτονὶ κεχωρηκέναι, καὶ τὰ θεῖα τῆς δίκης δείκνυσι βέλη, οἷς τῶν δυσσεβῶν τὸ πᾶν σύνταγμα κατετοξεύθη, καὶ μετ' ἤχου τούτων ἀπώλετο τὸ μνημόσυνον (*Psal.* IX).

IN SECUNDAM ADVERSUS JULIANUM ORATIONEM STELITEUTICAM.

Ac primum quidem sermonum meorum certamen confectum atque absolutum est. Ex Homeri *Odyssæa* prooemium sumptum est. Ulysses enim Laertii filius, post Trojanum bellum domi reversus, multis variisque periculis obnoxius, navi denique omnibusque opibus orbatus, in palatium mendicans ignotusque venit, uxoris suæ procos non paucos nactus sua ipsius comedentes; imo ipsum ut mendicum irridentes et contumeliis lacessentes habuit. Cum autem Penelope arcum et secures proposuisset, in quibus quondam Ulysses, sagittandi artem colens, sagittas ad scopum emittebat, specioso prætextu animum eorum illudens, spemque excitans, dixissetque ornatissimo habitu superveniens: « Si quis vestrum hunc arcum extenderit et per securium foramen sagittam recte direxerit, huic in matrimonium conjungi patiar. » Qui vero experti infirmiores destiterunt; tum Ulysses arcum, multis licet obsistentibus, accipit, ocius tendit, sagittat ac scopum scite attingit. Deinde illud, quod memoravimus, dicens, primum ex omnibus procis Antinoum, ferocissimum violentissimumque virum, petit ac statim transfigit; ac deinceps protervos procos interimit singulos, domumque suam et uxorem insolentia liberat. Hinc igitur ista mutuatus vir sanctus, partimque ad ea alludens, apte ad sermonem accommodat; primumque adversus homicidam atque impios absolutum esse certamen dicit, atque se ad secundum illud convertere, divinasque pœnæ ostendit sagittas, quibus omnis impiorum malitia refellitur et cum sonitu perit eorum memoria.

Col. 665 A 7. *Τὰ δίκαια τοῦ Θεοῦ στάθμια, καὶ οἷς ἀντιταλαντεύεται πονηρία.* Τουτέστι, Τοῖς εἰρημένοις ὑφ' ἡμῶν, φησὶ, κατὰ τοῦ τυράννου καὶ τῶν δυσσεβῶν ἐπὶ τοῖς τετολμημένοις αὐτοῖς κατὰ τῶν εὐσεβῶν [*Coisl.* ἀσεβῶν], προστίθημι καταλέγων καὶ τὰ τοῦ Θεοῦ τάλαντά τε καὶ στάθμια (23), οἷστισι τούτοις ταλάντοις ἀντισταθμᾶται καὶ ἀντιτίθεται πονηρία. Τίνα δὲ ταῦτά ἐστι τὰ τοῖς ἀσεβέσιν ἀντιμετρούμενα καὶ ἀποδιδόμενα; τὰς ἐνδίκους φησὶ νόσους (24), καὶ τὰ ἑξῆς

Justas Dei lances et quibus improbitas compensatur. Id est, His, quæ prius diximus, ait, adversus tyrannum atque impios, ob ipsorum contra pios admissa, adjiciam nunc Dei stateras atque lances, quibus lancibus compensatur et rependitur improbitas. Quænam autem illa sunt impiis compensata atque reddita? Juste ait morbos et reliqua mala accidisse talia admissis, per vera visa calamitates et pœnas, et per insomnia animadversio-

(22) Initio libri XII, cum Ulysses procos alloquitur:

Οὗτος μὲν δὴ ἄεθλος ἀάατος ἐκτετέλεσται·
Νῦν αὖτε σκοπὸν ἄλλον, ὃν οὔπω τις βάλεν ἀνὴρ,
Εἴσομαι, αἴκε τύχοιμι.

(23) Editi σταθμία. In diminutivis hujusmodi accentus variat.

(24) Hæc sunt Gregorii verba, νόσους μὲν δὴ τῶν ἀσεβῶν ἐνδίκους καὶ ῥήξεις οὐκ ἀφανεῖς. Ad vocem νόσους et ad ῥήξεις referendum videtur scholion Montacutii, Ἀρειανῶν δηλονότι, quod male, ut puto, superius locatum fuit ad verba, συμφορὰν ἐπικόπτειν ἐλέῳ. Arii mortem narrat Basilius in scholio ad hæc verba (orat. 26, olim 27): *Μέμνησθε γὰρ τῆς ἀποστολικῆς ἐκείνης εὐχῆς ἣ τὸν ἀρχηγὸν τῆς ἀσεβείας* (Arius) *κατέλυσεν ἐν τόποις ἀξίοις τῶν τῆς γλώσσης ἁμαρτημάτων.* —

D Ἄρειος γὰρ, ait Basilius (man. 573, p. 195. 2), διὰ ὄχλου γεγονὼς Κωνσταντίνῳ τῷ βασιλεῖ τῷ εὐσεβεστάτῳ, ἤπειγε δι' αὐτοῦ καὶ Ἀλέξανδρον εἰς κοινωνίαν δέξασθαι τοῦτον, ὑποκρινόμενος εὐσεβεῖν· ὁ δὲ τῇ τοῦ βασιλέως ἀξιώσει περιαλγὴς γεγονὼς, Θεῷ τὴν κρίσιν δι' εὐχῆς ἀνατίθησιν. Ὥριστο ἡ κυρία· εὐτρέπιστο ὁ δυσσεβής· εἴχετο λοιπὸν τῆς ὁδοῦ, καὶ τῷ ἱερῷ προσήγγικεν ἤδη· ἀντείχετο θερμότερον τῆς εὐχῆς ὁ ἀρχιερεύς· τί οὖν τὸ ἑξῆς; τὸν μὲν ἀφεδρῶν εἶχε, τὰ δὲ κατέρρει τῶν σπλάγχνων τῇ κόπρῳ συννεκκενούμενα, ἡ δὲ δύστηνος οὐ μᾶλλον ἢ δύσφημος ἀπέπλυστο ἀναφυσηθεῖσα τούτου ψυχὴ, ἐν κοπρῶνι καὶ ἐν βεβήλοις τόποις τὴν παμβέβηλον καὶ μυσαρὰν αὐτοῖς δόγμασι καὶ βλασφημίαις συναπορρήξασα ζωήν. Alias (orat. 21) Gregorius de Ario: Ταύτης τῆς λύσσης ἤρξατο μὲν Ἄρειος ὁ τῆς μανίας ἐπώνυμος, ὃς καὶ δίκην ἔδωκεν ἀκολάστου γλώσσης, τὴν ἐν βεβήλοις τόποις κατάλυσιν, εὐχῆς

nes, castigationes et flagra. Talia enim supplicia non per vera visa solummodo, sed et vigilantes patiebantur.

Aut rerum eventus temeratio cuidam motui. Ita enim nonnulli e Græcis, Providentiam rejicientes, et fortuito casu res moderari docentes, omnia temerariæ fortunæ tribuebant. Hæc igitur, ait, non fortuito istis, qui in Christianos adeo sævierant, evenerunt, sed Dei iracundiæ atque indignationis indicia sunt. Non enim gentilium cuivis, non quibusdam recta indole præditis, sed iis qui maxime contumeliis affecerunt atque eo amentiæ provecti sunt ut humanas carnes vorarent.

Ex ipsorum scilicet libris fatale esse affirmans. Hoc enim ille machinatus est, quod ex Hebraicis et arcanis quibusdam divinisque libris repererat prophetizatam eorum in Hierosolymam revocationem hoc tempore factum iri, templique reædificationem. Specie autem, at non veritate, suæ erga eos benevolentiæ, magisque adversus nos consilio, hæc agebat, falsa deprehendere conatus quæ nos, quæ Christus de ea prædixisset, simulque istorum adversus nos furorem excitare, discordiam serens, et bellum utrinque parare duplex, ut omni ex parte lacesseremur.

Ut vero sævo turbine. Animadverte ut admirabile ac formidandum illud vere divinæ iracundiæ simul et potestatis portentum, ad impiorum terrorem, piorum vero incolumitatem.

Hoc autem uno jam ore omnes referunt ac pro certo habent. Hoc quoque operæ pretium est animadvertere, quod et narrationis formidabilius atque ad fidem dixit stabilius, velut ab omnibus et narratum et creditum.

Quod autem hoc etiam mirabilius clariusque fuit. Narraverunt hoc quoque multi alii, ad impiorum Hebræorum ethnicorumque infamiam. Stetit igitur lux in cœlo, in crucis typum efformata et crucis figuram ambiens, vel lucido circulo coronans pretiosam, stellatamque circumiens crucem. « Quod in terra prius impiis contemptui fuerat » signum, quatuor partibus figura constans, nomenque. Quodnam? Crux. Ac quoniam victores in victoriæ

A τῶν δεινῶν ἃ συμβέβηκε τοῖς τολμηταῖς τῶν τοιούτων, τὰς ὕπαρ (cod. p. 272, 2) συμφορὰς καὶ ποινὰς, καὶ τὰς δι' ὀνειράτων ἐτάσεις τε καὶ παιδεύσεις καὶ μάστιγας· καὶ τοιαύτας γὰρ οὐ καθ' ὕπαρ καὶ [*ms.* 573 μόνον ἀλλὰ καί] ἐγρηγορότες αἰκίσεις ἐδέξαντο.

Ibid. C 1. *Οὐδ' αὐτομάτῳ τινὶ φορᾷ.* Οὕτω γὰρ Ἑλλήνων τινὲς ἐδόξαζον, Πρόνοιαν ἀτιμάσαντες καὶ τὸ αὐτόματον δογματίσαντες, τῇ ἀλόγῳ τύχῃ διδόντες τὸ πᾶν. Οὔκουν, φησὶ, αὐτομάτως ταῦτα τοῖς κατὰ χριστιανῶν οὕτω λυττήσασι συμβεβήκει, ἀλλ' ὀργῆς καὶ ἀγανακτήσεως [*Coisl.* ἀνακτήσεως] Θεοῦ ταῦτα γνωρίσματα· οὐδὲ γὰρ τοῖς τυχοῦσιν Ἑλλήνων, οὐδὲ τῶν ἐπιεικεστέρων τισὶν, ἀλλὰ τοῖς ἐξυβρίσασι μᾶλλον καὶ οὕτως ἐκμανεῖσιν ὡς καὶ σαρκῶν ἅψασθαι ἀνθρωπίνων.

B Col. 668 B 2. *Ἐπιθειάζων δῆθεν ἐκ τῶν παρ' αὐτοῖς βίβλων.* Μεμηχάνηται γὰρ αὐτῷ καὶ τοῦτο, ὡς ἐξ' Ἑβραϊκῶν ἀποκρύφων καὶ θείων βίβλων εὕροι προφητευθεῖσαν (25) κατὰ τόνδε τὸν καιρὸν τὴν αὐτῶν πρὸς τὴν Ἰερουσαλὴμ γενήσεσθαι ἀνάκλησιν, καὶ τὸν ναὸν ἀναδείμασθαι. Σχήματι δὲ, ἀλλ' οὐκ ἀληθείᾳ, τῆς πρὸς αὐτοὺς [*ms.* 573 αὐτόν] εὐνοίας, ἐπινοίᾳ δὲ μᾶλλον τῇ καθ' ἡμῶν, ταῦτα εἰσηγεῖτο, πειρώμενος δεῖξαι ψευδῆ τὰ ἡμέτερα καὶ Χριστοῦ περὶ [*Coisl.* καὶ περὶ] ταύτης προφητευθέντα, καὶ ἅμα τὴν ἐκείνων καθ' ἡμῶν μανίαν ἐγεῖραι φιλονεικῶν, καὶ πόλεμον ἑκατέρωθεν στῆσαι διπλοῦν, ὡς ἂν πανταχόθεν βαλλοίμεθα.

Ibid. C 5. *Ὡς δ' ὑπ' ἀγρίας λαίλαπος.* Σημειωτέον ὡς παράδοξον καὶ φρικτὸν τοῦτο καὶ θείας ὡς
C ἀληθῶς ὀργῆς ἅμα καὶ δυναστείας τὸ τερατούργημα, εἰς κατάπληξιν μὲν ἀσεβῶν, τῶν εὐσεβούντων δὲ πρὸς ἀσφάλειαν.

Col. 669 A 1. *Ὃ δὲ* [*ms.* 573 *οἱ δὲ*] *ἅπαντες καὶ λέγουσι καὶ πιστεύουσι.* Καὶ τοῦτο σημειωτέον, ὃ καὶ τοῦ προκειμένου φοβερώτερον ὂν καὶ πρὸς πίστιν ἔφησε βεβαιώτερον, ὡς ὑπὸ πάντων καὶ λεγόμενον καὶ πιστευόμενον.

Ibid. 12. *Ὃ δὲ καὶ ἔτι τούτων παραδοξότερον καὶ περιφανέστερον, ἔστη φῶς ἐν οὐρανῷ.* Ἱστόρηται πολλοῖς ἑτέροις (26) καὶ τοῦτο, τῶν δυσσεβῶν Ἑβραίων καὶ Ἑλλήνων στηλιτεῦον τὸ δύσφημον. Ἔστη οὖν τὸν σταυρὸν περιγράφον τὸ φῶς κύκλῳ,
D ἤτοι διαγράφον τὸν σταυρὸν καὶ διατυποῦν [*Coisl.* διατυπούμενον] ἢ καὶ στεφανοῦν καὶ κύκλῳ φωτοειδεῖ τὸν τίμιον καὶ κατάστερον περιλαμβάνον σταυρόν. « Τὸ πρότερον ὑπὸ τῶν ἀθέων ἐπὶ γῆς ἀτιμαζόμε-

ἔργον οὐ νόσου γενόμενος, καὶ τὴν Ἰούδα ῥῆξιν ὑποστὰς, ἐπ' ἴσῃ προδοσίᾳ τοῦ Λόγου : ad quæ Basilius adnotat (cf. orat. 25, col. 23) : Ὀχλουμένου (*ms.* 573, p. 55, 1) γὰρ, φησὶ, τοῦ βασιλέως ὑπὸ τοῦ Ἀλεξανδρίας Ἀλεξάνδρου ἐξεβέβλητο, κελεῦσαι καὶ αὖθις ἐπὶ συνόδου ἀπολογησόμενον προσδεχθῆναι· ὁρισθείσης δὲ τῆς κυρίας, Ἀλέξανδρος μὲν πρὸς Θεὸν ἦρκε τὰς χεῖρας, ὁ δὲ ὅσον οὐκ ἤδη καλεῖσθαι μέλλων, ἔν τινι τῶν ἀφεδρώνων ἀγωνιῶν εἰσελθὼν, ἅμα σκυβάλοις καὶ τῶν ἐγκάτων αἰσχρῶς ἀποκενοῦται, τὴν βέβηλον ἐν βεβήλοις ἐκεῖθεν ἀποφυσήσας ψυχήν. Monendus lector cum hic et infra Alexandri nomen occurrit, Basilium de Alexandro CP. episcopo verba facere, non de Alexandro Alexandrino.

(25) Scholiastes Montacutii hæc opportune ad scholii finem adnotat : ἐπὶ τούτου τοῦ σημαινομένου καὶ παρὰ τῷ Συγγραφεῖ τὸ ἐπιθειάζειν εὑρέθη. Et reipsa in Thucydide (VIII, 53), quem laudat titulo ὁ Συγγραφεύς, *præstantissimus historicus*, quædam non absimilia leguntur : Κηρύκων περὶ μυστικῶν, δι' ἅπερ ἔφυγε (Alcibiades) μαρτυρουμένων καὶ ἐπιθειαζόντων μὴ κατάγειν.

(26) Hæc narrat Theodoretus (*Hist. eccl.* III, 20) : Ὤφθη ἐν τῷ οὐρανῷ τοῦ σωτηρίου Σταυροῦ τὸ σχῆμα φωτοειδές.

νον » σημεῖον, τὸ τετραμερὲς σχῆμα· « ὄνομα » δὲ· ποῖον; ὁ Σταυρός. Ἐπεὶ οὖν τοῖς νικῶσιν ἔθος κατὰ τῶν ἡττωμένων ἐχθρῶν τρόπαιον, ὡς σύμβολον νίκης, ἱστάναι, καὶ Χριστῷ τῷ Θεῷ ἡμῶν κατὰ τῶν ἀσεβούντων τοῦτο γίνεται, θειότερόν τε καὶ παντὸς τροπαίου περιφανέστερον, ὕψιστον τρόπαιον καὶ σελασφόρον

Ibid. B 14. *Καὶ τῶν οὐρανίων καταψευδόμενος.* Ἐκβάλλει τὰς γενέσεις, καὶ ἀθετεῖ αὐτῶν, ὡς ψευδομένων, τὸ μάταιον, τῇ τῶν ἀστέρων φορᾷ καὶ κινήσει ἀνατιθέντων (cod. p. 273, 1), καὶ πλεκόντων τὰ συμβαίνοντα, καὶ διασύρει τὴν πλάνην αὐτοῦ τε καὶ τῶν αὐτῷ τιμωμένων ἀστρολόγων καὶ μάντεων.

Ibid. C 2. *Λέγε μοι καὶ σὺ τοὺς σοὺς ἀστέρας.* Ἀριάδνη (27) καὶ Βερονίκη [*codd.* Βερνίκη], γυναῖκες θνηταί, ὧν τῆς μὲν, τῇ τῆς πλάνης αὐτονομίᾳ, στέφανον, τῆς δὲ πλόκαμον κατηστερίσθαι φασὶ, καὶ τοὺς ἀστέρας ἐν οὐρανῷ καταψευδόμενοι συντιθέασιν ἐπιδεικνύντες, κἀντεῦθέν τε σχηματίζοντες καὶ ἐκεῖθεν τοὺς πρὶν ἢ ταύτας γεννηθῆναι ἐν οὐρανῷ τὴν ἵδρυσιν ἐσχηκότας.

Ibid. 4. *Καὶ τὸν ἀσελγῆ Κύκνον.* Ὧτινι, φασὶν, ὁμοιωθεὶς ὁ Ζεὺς, τῇ Λήδᾳ συνελθὼν, ὄρνιθος τρόπον ᾠὸν ἐγκυμονεῖ, ἐξ οὗ Ἑλένη μυθεύεται γεννηθῆναι, ἡ Κάστορος ἀδελφὴ καὶ Πολυδεύκους. Ταῦρον δὲ *ὑβριστὴν* τὸν αὐτὸν Δία καλεῖ εἰς ὃν μεταμορφωθεὶς τὴν Εὐρώπην ἁρπάσας φθείρει· Ὀφιοῦχος δὲ, φερωνύμως ὄφιν κατέχων ἄνθρωπος, κατὰ τὸν νότιον ὁμοίως· ὁ δὲ *Λέων* ἐχόμενος [*ms.* 573, ἐχόμενα] καρκίνου καὶ τοῦ θερινοῦ τροπικοῦ· οὕστινας, φησὶ, τούτους λόγοις ἀπατηλοῖς συντεθεικότες καὶ ὀνομάσαντες, τοὺς μὲν θεοὺς, τοὺς δὲ ἀστέρας ἐπλάσαντο· ὅμως, φησὶν, ἐκ τῶν οὐρανίων ἔχω κἀγὼ ἀστέρας, ἀλλ' οὐ θεοὺς, αὐτὸ τοῦτο ὅπερ εἰσὶ καλῶν, ἀλλ' οὐ μεθιστῶν τὴν προσηγορίαν, ὅτι μηδὲ τὴν οὐσίαν· ἔχω οὖν ἀστέρας σημαντικοὺς, τὸν μὲν Χριστοῦ παρουσίας, τὸν δὲ στέφανον αὐτοῦ νίκης καὶ τροπαίου, συμπαθοῦντας [*ms.* 573, συμπαθοῦντα] τοῖς ἡμετέροις κατὰ τὴν μεγάλην τοῦ παντὸς ἁρμονίαν τε καὶ οἰκείωσιν· ᾠκείωται γάρ πως ἁρμοττόμενον τὸ πᾶν τῷ παντὶ, καὶ συγγενές ἐστι καὶ προσήγορον· διὸ καὶ φῶς τῷ φωτὶ [*ms.* 573, *καί φησι τῷ φ.*] προλάμπει Χριστῷ, καὶ τῷ νικητῇ τὸ τοῦ τροπαίου συνεκλάμπει στεφάνωμα.

Col. 672 B 3. *Ἐπιδειξάτωσαν ἔτι καὶ νῦν τὰς ἐσθῆτας.* Σημειωτέον ὅτι καὶ ἐπὶ τὰς ἐσθῆτας καὶ

A signum adversus devictos hostes tropæum statuere solent, idcirco et Christo Deo nostro victoriæ adversus impios obtentæ fit illud, diviniusque et omni tropæo præclarius, altissimum luciferumque tropæum.

Falsaque de cœlestibus loqueris. Invehitur in nativitates, earumque ignominia afficit vanitatem, ut falsarum, siderum motu et conversione eventus texentium atque dirigentium, ipsiusque et eorum qui apud ipsum in honore erant astrologorum et hariolorum errorem irridet.

Sidera quoque tua mihi expone. Ariadne et Berenice, mortales feminæ, quarum prioris quidem
B erroris licentia, coronam, alterius vero cæsariem inter astra relatas esse fabulantur, ac sidera etiam in cœlo mentientes conficiunt ostendentes, effingentesque ea, antequam illæ nascerentur, collocationem in cœlo habuisse.

Et salacem Cycnum. Cujus formam cum assumpsisset Jupiter, cum Leda coiens, avis instar ovum peperit, ex quo Helenam natam esse fabulantur, Castoris Pollucisque sororem. Taurum vero petulantem eumdem Jovem vocat, qui hanc mutuatus formam, raptam Europam stupravit. Ophiuchus autem, quo nomine serpentem occupans innuitur homo, juxta meridiem similiter. Leo est post can-
C crum æstivum et tropicum. Quos vero, ait, fallacibus verbis effingentes atque nominantes, alios quidem in deorum, alios in siderum numerum ascripserunt. Verumtamen, ait, ipse nonnihil habeo quod de cœlestibus: sed astra non deos, idem quod sunt voco, nec denominationem transmuto, quod nec essentiam. Stellas igitur habeo indices, alteram Christi præsentiæ, alteram autem, in coronæ specie affectam, victoriæ et triumphi, quæ velut naturæ consentione ad res nostras afficiuntur, juxta magnam videlicet universi concinnitatem atque necessitudinem. Pulchre enim et apte quadrat omnia ad omnia, et congener atque congruum est. Ideoque fax luci prævia fulget Christo, et victori triumphi collucet corona.

D *Proferant nunc quoque vestes suas.* Animadverte quod in vestibus et palliis eorum stellis signatum

(27) Ut intelligatur scholion, hæc ex Gregorii textu sunt supplenda: τὸν Ἀριάδνης στέφανον καὶ Βερονίκης πλόκαμον, κ. τ. λ. Scholiastes ms. Dris Clarke (*Catal. Gaisford* p. 45) nihil nos edocet de origine harum stellarum. Locum tamen exscribam ut emendationes quasdam proponam: Λέγουσιν Ἀριάδνης τινὰ στέφανον καὶ Βερονίκης πλόκαμον, τοιαῦτά τινα παραληροῦντες. Ἀριάδνη, ὥς φασιν, θυγατὴρ Μίνωος [*edit.* Μηνως] ὑπῆρχεν τοῦ Κρητῶν βασιλέως· αὕτη ἠράσθη Θησέως, τοῦ Ἀθηνῶν [*f.* Ἀθηναίων] βασιλέως, ἐλθόντος ἐπ' ἀναιρέσει [*ed.* ἐπαναιρέσει] τοῦ Μινωταύρου [*ed.* Μινοταύρου]. Ἐκ τοῦ οὖν Θησέως ἔλαβεν αὐτὴν ὁ Διόνυσος, καὶ ἀνήγαγεν αὐτὴν ἐν τῇ Νάξῳ [*ed.* ἀνάξω] καὶ συνεμίγη αὐτῇ, καὶ πρὸς τιμὴν αὐτῆς στέφανον ἐν τῷ οὐρανῷ δι' ἀστέρων ὑπεζωγράφησεν. Ἡ δὲ τοῦ πλοκάμου Βερονίκης ἐστὶν αὕτη. Γέγονε [lego: Βερονίκης ἐστὶν αὕτη, nempe ἱστορία. Γέγονε] γυνὴ τοῦ [*ed.* τῆς] ἐν Ἀλεξανδρείᾳ Πτολεμαίου. Τοῦ οὖν ἀνδρὸς αὐτῆς ὄντος ἐν πολέμοις, εὔξατο ὅτι, εἰ ὑποστρέψει ἄτρωτος, τῶν πλοκάμων ἀποκείρασα τῶν ἑαυτῆς ἐν τῷ [ἱερῷ] ἀναθήσει. Κόμων οὖν [γέγονεν] ἀστρονόμος τότε καὶ πρὸς... κίαν [κολακείαν] αὐτῆς ἔφη ὑπὸ τῶν θεῶν ὑποζωγράφεσθαι αὐτὸν ἐν τῷ οὐρανῷ δι' ἀστέρων βοτρυειδῶς. Lacunas conjiciendo supplevi. Conjecturas tamen confirmat Nonnus (*Hist.* Collect. II, 1) qui consuli potest; et si ejus auctoritas non tanta videtur ut eo vade Cononem astronomum habeamus pro aulico et homine delicioso, addam testimonium Callimachi, Theonis, Achillis Tatii, Hesychii et Hygini, quorum loca collegit Walckenaer in præclaris suis adnotationibus ad *Fragmenta elegiaca* Callimachi (p. 56 sqq.).

erat distinctum crucis signum, quodque supernaturale illud prodigium, non in paucis solum, ut res ea obscura maneret, nec in nostris duntaxat, ut id tanquam fictitium repudiari possit; sed et in adversariis quoque perspicuum hoc signum erat. Simul ac aliquis narrabat hæc alteri, ipse semetipsum stellis perfusum videbat, crucibusque omni ex parte in vestimentis respersum, atque omni textorio calculo, elaborataque pictura magis varium. Atque hoc miraculum omnem animi dissidentis ambiguitatem superabat : neque enim temporis vetustas ei suspicionem afferebat, quippe cum ex recenti adhuc cerneretur, ac pene, ex quo tempore res ea contigerat, eadem adhuc hominum generatio superstes esset, qui visu et auditu illud palam perspexissent miraculum.

A τὰ ἱμάτια αὐτῶν ἄστροις ἐνετετύπωτο τὸ τοῦ σταυροῦ κατάστικτον σημεῖον, καὶ ὅτι τὸ ὑπερφυὲς τοῦτο τερατούργημα οὐκ ἐν βραχέσιν, ὥστε καὶ λανθάνειν, οὐδ' ἐν ἡμετέροις μόνον, ὥστε καὶ παραγράφεσθαι ὡς πλαττόμενον· ἀλλὰ γὰρ κἂν τοῖς ἐναντίοις ἐναργὲς τὸ σημεῖον· οὐ γὰρ ἔφθη τις διηγούμενος ἑτέρῳ, καὶ ἑαυτὸν καθεώρα (28) κατάστερον καὶ πάντοθεν ἐσταυρωμένον, πάσης ἱστουργικῆς, φησί, ψηφῖδος καὶ περιέργου ζωγραφίας ποικιλώτερον (29) ἀμπισχόμενον τὸν χιτῶνα (30). Καὶ τὸ θαῦμα μεῖζον πάσης ἀπίστου γνώμης καθέστηκεν, ἀπὸ τοῦ μηδὲ χρόνων παρολκαῖς τισι πλάττεσθαι δοκεῖν, ὡς ἂν τῷ ἀδήλῳ τὸ ὕποπτον ἔχειν· ἐξ ὑπογυίου γὰρ γέγραπται, καὶ σχεδὸν ἐφ' ᾧ τοῦ καιροῦ πέπρακται, τῆς αὐτῆς [*ms.* 573 αὐτοῦ] ἱσταμένης γενεᾶς, καὶ τῶν (cod. p. 273) B αὐτῶν ὄψει τε καὶ ἀκοῇ ἐπησθημένων· προσώπων τὸ τερατούργημα.

Atque utilitatem ex timore consecuti. Quamnam utilitatem? Quod metu liberati sunt. Quo enim timore propulsi, ad ecclesias properantes, et sancto baptismate purificati, hoc utile consequebantur quod omnis timoris immunes erant.

Col. 672 C 6. *Διὰ τῶν φοβερῶν* (31) *ὠφεληθέντων.* Τίνα ὠφέλειαν; τὸ μὴ φοβεῖσθαι· διὰ γὰρ τῶν τοιούτων φοβερῶν ταῖς ἐκκλησίαις προσδεδραμηκότες, καὶ τῷ ἁγίῳ βαπτίσματι ἁγνισθέντες, ὠφέληντο τὸ μὴ δεδοικέναι, παντὸς δέους ἔξω γεγενημένοι.

Furoris œstro percitus. Quasi œstro excruciatus. Œstrum exiguum quoddam animal pennatum est, in boves involans, atrocique aculeo eos feriens, quo perciti, ad montes, stagna et fluvios præcipiti impetu feruntur. Sic et ille impulsus, ex animi sui sententia res Christianorum habere videbatur, ex his quæ jam confecerat, et se quidquid vellet expugnare posse credebat.

Ibid. 10. *Οἰστρηλατούμενος.* Ὡς ἐν οἴστρῳ ἐλαυνόμενος. Οἶστρος (32) δὲ ζωΰφιόν τί ἐστιν ὑπόπτερον, βουσὶν ἐφιπτάμενον, καὶ κέντρῳ δεινῷ πλῆττον, ὡς ἐλαύνεσθαι, καὶ πρὸς ὄρη καὶ λίμνας καὶ ποταμοὺς σφᾶς αὐτὰς ἐπαφιέναι. Οὕτως οὖν καὶ αὐτὸς ἐλαυνόμενος, ἐδόκει κατὰ τὸν νοῦν καὶ τὴν βουλὴν αὐτοῦ καὶ τὰ τῶν Χριστιανῶν ἔχειν, οἷς ἤδη κατείργαστο, καὶ C τὸ πᾶν θελήσαντι αὐτῷ μόνον ἁλωτὸν εἶναι ἐπίστευεν.

Ac ne illud quidem perspiciens. Quid? Nempe inter θράσος, *fiduciam*, et θάρσος, *audaciam*, multum interesse, etiamsi alioqui nominum affinitate conjungi videantur, sicut inter fortitudinem et ignaviam. Fortitudinis enim est, in iis rebus in quibus audacia adhibenda est et quæ vires non excedunt, fidenti animo esse; ignaviæ autem periculum detrectare. At vero adversus impossibilia et contraria se objicere temeritatis est, et refugere cautionis ac securitatis. Et quæ habentur tueri et eorum quæ non habeas aliquid adipisci non unum et idem sunt. Si quidem haud magno negotio id a sapientibus comparari queat, accipiendum; sin autem in contrarium cedat, contemnendum. Stultum enim est, ut speratorum aliquid adipiscaris, de rerum omnium tuarum summa periclitari.

Col. 673 A 7. *Καὶ οὐδὲ ἐκεῖνο συνιδεῖν* [Coisl. *συνῄδειν*] *δυνηθείς.* Ποῖον; ὅτι θράσος καὶ θάρσος πολὺ διήνεγκε, κἂν τοῖς ὀνόμασι δοκοίη πλησιάζειν, ὅσον ἀνδρία καὶ ἀνανδρία. Ἀνδρία μὲν γάρ ἐστι τὸ ἐν τοῖς τολμητοῖς καὶ δυνατοῖς καταθαρσεῖν, δειλίας δὲ τὸ ὑφίεσθαι· τὸ δ' ἐν τοῖς ἐναντίοις καὶ ἀδυνάτοις ὁμόσε χωρεῖν θράσους, τὸ δ' ὑποχωρεῖν ἀσφαλείας· καὶ τὸ φυλάξαι οὖν τὰ ὄντα καὶ τῶν οὐκ ὄντων τι προσλαβεῖν, οὐ ταυτόν· τοῦ τοίνυν μετὰ ῥαστώνης ἀγαθοῦ σώφροσιν ἀνθεκτέον, τὸ δ' ἀντιπίπτον περιοπτέον· ἀνόητον δὲ τὸ ὑπὲρ κτήσεως ἐλπιζομένων κινδυνεύειν τοῖς ὑπάρχουσιν ἅπασιν.

Ac Salmoneum quemdam e corio tonantem. Impium quemdam hunc fuisse fingunt, qui tonantem

Ibid. B. 14. *Καὶ Σαλμωνεύς τις ἐκ βύρσης βροντῶν.* Ἀσεβῆ τινα μυθεύονται εἶναι τοῦτον,

(28) Mss. ambo ἔφη, mendose et fere sine sensu : ἔφθη scripsi. Coislin. ἕτερα pro ἑτέρῳ, ut recte legit ms. Regius; ms. uterque ἑαυτά, quod mutavi in ἑαυτόν. Sensus est : Vix aliquis alteri mirabilia hæc narraverat, ipse semetipsum crucibus stellatum videbat; vel : Simul ac aliquis narrabat, ipse, etc. Hunc loquendi modum, οὐ φθάνω... καί, inter alios illustraverunt Marckland (ad *Suppl.* 1219) et Dr Coray (ad Hippocr., *De aquis*, etc., p. 273), quos jam laudavi in notis ad Eunapium (p. 273) in hoc loco (p. 77 Commel.) : Οὐ γὰρ ἔφθανεν ἐκεῖνος ἐξ ἀνθρώπων ἀπιών, καὶ ἥ τε θεραπεία τῶν κατὰ τὴν Ἀλεξάνδρειαν καὶ τὸ Σεραπεῖον ἱερὸν διεσκεδάννυτο· *Vix e vivis abierat Antoninus cum dispersi sunt deorum ministri in Alexandria et Serapeio.* Gregorii verba, ὁμοῦ τε γὰρ ταῦτα διηγεῖτό τις... καὶ τὸ θαῦμα ἑώρα, lectionem meam confirmant; formula enim, οὐκ ἔφθη τις διηγούμενος... καί, omnino synonyma est cum ὁμοῦ τε ταῦτα διηγεῖτό τις... καί.

(29) Hæc narrant Socrates (III, 20), Sozomenus (V, 22) et Theodoretus (III, 20).

(30) His confirmatur lectio plurium mss., ἀμπεχόμενον vel ἀμπισχόμενον, quæ, ut puto, in textu Gregorii recipienda esset.

(31) Omnino legendum, ὠφεληθέντας. Variant editi in hoc loco, at lectionem Billii prætulerim.

(32) Hoc scholion laudavi in notis ad *Epimerismata* Herodiani (p. 141) usque ad ἐπαφιέναι Ms. 573 legit, σφᾶς αὐτὰς ἐπιέναι τε καὶ ἐπαφιέναι.

ὥστε καὶ βροντῶντι, φασὶ, τῷ Διὶ, βροντᾷν καὶ αὐτὸς ἀντεμηχανᾶτο, ἐκ βύρσης ἐπικτυπῶν ξηρᾶς καὶ χλευάζων.

Ibid. C 1. *Τραϊανοὺς δὲ λέγει καὶ Ἀδριανοὺς πληθυντικῶς.* Οἵτινες βασιλεῖς ἤστην Ῥωμαίων, ἐπὶ τῇ ἀνδρίᾳ καὶ τὸ ἀσφαλὲς ἐσχηκότες· διὸ καὶ πολεμικωτάτω ἐγενέσθην, καὶ πολλὰς πόλεις καὶ χώρας ὅλας καὶ ἔθνη μυρία τῇ Ῥωμαίων ὑπέταξαν ἐξουσίᾳ. Τοὐναντίον δὲ Κάρον [*Coisl.* Κᾶρον] καὶ Οὐαλεριανὸν ὁρμῇ λέγεται ἀτάκτῳ καὶ ἀνοίᾳ πεπονθέναι ἐν Περσῶν ὁρίοις καταλυθέντας· πλὴν, φησὶ, οὐκ ὀνειδίζω τύχας, διεξοδικώτερον καταλέγων τὰ σφίσι συμβεβηκότα· εἴληπται δὲ τοῦτο [*ms.* 573 εἰλ. γὰρ τ.] ἀπὸ τῆς Εὐριπίδου τραγῳδίας *Ὀρέστου* (33).

Ibid. C 14. *Τῆς ὁρμῆς ἦν.* Ποίας; τοῦ προκειμένου σκοποῦ· ἵν', εἰ κρατήσειε Περσῶν, ὅλον τοῖς δαίμοσι παραστῆσαι τὸ Χριστιανῶν γένος, ἐπαγόμενος καὶ εἰς ἓν πᾶσαν μαντείας καὶ γοητείας ῥητῆς τε καὶ ἀῤῥήτου θυσίας τερατείαν ἄγων [*ms.* 573, p. 274, 1, *om.* ἄγων], οἰκονομίᾳ θείᾳ, ἵνα πᾶσα ἐν ὀλίγῳ συγκαταλυθείη αὐτῷ θύτῃ καὶ τελεστῇ τῶν τοιούτων.

Col. 676 B 9. *Ὥσπερ ψάμμου ποδὸς ὑποσπασθείσης.* Ἐπείπερ, λεπτὴ ὥσπερ κόνις ἐκ λιθίας μικρᾶς διωρισμένης, ἀλλ' οὐ συνεχὴς ἡ ψάμμος, καὶ οὐ βάσιν ἔχουσα διὰ τοῦτο στερεὰν, οὐδὲ πῆξιν ἀντερείδοντος ἐν αὐτῇ τοῦ ποδὸς, ὑποσπᾶται μὴ ὑφισταμένη σκεδάννυται τῇ διεχείᾳ, καὶ εἰς τοὐπίσω μᾶλλον ἢ τοὔμπροσθεν βάλλει τὸν ὁδοιπόρον.

Ibid. C 8. *Ἐξ ὑπερδεξίων.* Ὡς ἄν τις εἴποι δεξιῶς ἐχόντων καὶ ἐπιτηδείων καὶ πρὸς ἄμυναν ἐπιδεξίων· τοιαῦτα δὲ τὰ ὑπερκείμενα χωρία καὶ τοῖς βάλλουσι καὶ μαχομένοις εὐεπίφορα. Δυεῖν γὰρ πόλεων ὑπερκειμένων, ἐξ ὧν ἔδει ἑκατέρωθεν βάλλεσθαι τοὺς ὑποκειμένους καὶ ποταμῷ μέσῳ πλέοντας, πρὸ ὀφθαλμῶν λοιπὸν αὐτῶν τὰ πέρατα καὶ τὸ τέλος τοῦ ὀλέθρου.

Ibid. 12. *Ἀποῤῥήξας καὶ περιαγαγών.* Τοῦ ποταμοῦ ἀποτεμὼν μέρος καὶ ἀποῤῥήξας, καὶ ὡς ἐν κύκλῳ περιαγαγὼν καὶ περικάμψας· ἡ γὰρ *περὶ* πρόθεσις κύκλῳ καὶ οὐ κατ' εὐθεῖαν τὴν ἀγωγὴν ἐμφαίνει.

Col. 677 A 3. *Κατὰ μετώπου δὲ ἵστασθαι καὶ κινδυνεύειν.* Ἡ Περσικὴ δύναμις κατὰ πρόσωπον ἵστασθαι καὶ μάχεσθαι οὐκ ᾤετο δεῖν δίχα μεγάλης ἀνάγκης, ἐνυπάρχοντος αὐτῇ ἐκ περιουσίας καὶ ἀκινδύνως κρατεῖν.

Ibid. 5. *Ἐκ δὲ τῶν λόφων καὶ τῶν στενῶν ᾗ παρείκοι.* Τουτέστι βάλλουσα καὶ τοξεύουσα], ὅπου ἂν ἐγχωρεῖν ἐδόκει ἀκινδύνως ἐνίκα.

Ibid. B 2. *Τὸν ἐπὶ Βαβυλῶνι πρὸς Κῦρον Ζώπυρον μιμησάμενος.* Ζώπυρος (34) οὗτος ὑπασπιστὴς Κυ-

A Jovem æmulari conabatur, per corium siccum strepitum edens irridensque.

Trajanosque illos et Adrianos sibi ob oculos proponens. Qui quidem Romanorum imperatores erant, atque virtuti prudentiam adjecerant. Ideoque in re militari excelluerunt, multasque urbes, integrasque provincias, atque innumeras gentes Romanorum ditioni subjunxerunt. Contra Carum et Valerianum ferunt stolidi ac temerarii impetus pœnas dedisse, et in Persarum finibus fuisse deletos. Attamen, ait, non fortunas exprobro, fusius quæ iis acciderunt exponens. Ab Euripide porro in *Orestis* tragœdia, hoc sumptum est.

B *Totusque ferebatur.* In quidnam? In eam expeditionem. Ut si Persas superaret, universum Christianorum genus sub dæmonum potestatem redigeret, omni divinationis et præstigiarum, dicendorumque et tacendorum sacrificiorum vanitate in unum collecta, quadam Dei providentia, ut universa ea simul cum ipso hujusmodi rerum sacrifico et initiatore deleretur.

Velut arena pedibus subtracta. Arena quippe tenuis quidem est ut pulvis, non autem cohærens, ut quæ ex perexiguis lapillis coacervata sit, propterea que nihil firmum ac solidum habeat, ubi gressus figi possit; ita ut impresso pedi sese ipsa subducat, diducens, atque in tergum potius quam in frontem viatorem mittat.

C *E loco superiori.* Scilicet ex commodis, atque ad defensionem maxime idoneis locis. Hæc enim edita loca ad feriendum propulsandumque admodum commoda. Duæ enim urbes eminebant, e quibus necesse erat utrinque telis peti qui in humilioribus locis erant ac flumen trajicere conabantur: ita ut illi ante oculos nihil nisi perniciem certamque necem prospiciebant.

Cum dirupisset ac circumduxisset. Parte scilicet fluvii præcisa abductaque et quasi in circulo circumducta et inflexa. Præpositio enim περὶ circuitum, non rectam directionem indicat.

Cum tranquilla omnia haberemus. Tempus, ait, cum pacem haberemus tranquillaque omnia ab hæresum procellis, Simonis videlicet Magi, et Marcionis et cæterorum qui cum illis vixerunt. Quorum quidem alter seipsum Christi patrem nominabat, confecit vero et mulierem quamdam abominabilem, magicis et nefariis artibus multos stupore afficiens. Marcion quidem Cerdonis erat discipulus. Duo principia induxit, bonum et malum; et Christum natum fuisse hominem per speciem, animamque partem esse Dei essentiæ. Ex quo Artotyritæ vocati, cum lacte fermentum diluentes inter discipulos divi- C dant. Iste igitur Marcion, cum Polycarpum obvium haberet, ei dixisse fertur: « Nostin' nos, Polycarpe? » — « Optime te nosco, » inquit, « Satanæ primogenitum. » Valentinus vero et Basilides: alter quidem incorporeum apparuisse Christum fabulabatur, et passionis immunem esse; et maleficiis incantationibusque usus est et idolis sacrificavit. Valentinus autem Bythum et Sigen induxit, et Christum incorporeum visum fuisse, ac denique in imum abyssum licentiæ delapsus est. Ægypti erat episcopus. Cerinthus et Carpocrates e viri cum muliere concubitu Christum fuisse procreatum blasphemabant, unde et Ptochi, *Mendici*, nominabantur: ita enim apud Hebræos interpretatur vox *Ebionites.*

D *Bellumque pro bono adversus Creatorem gesserunt.*

(23) Ad verbum fere Gregorium exscripsit, qui hæc narrat in prima *Steliteutica* (col. 596, B 4): Μέγας ὁ Ἀντισθένης ὅτι, τὸ πρόσωπον συντριβεὶς ὑπό τινος τῶν ὑβριστῶν καὶ θρασέων, ἐπιγράφει τῷ μετώπῳ μόνον, ὥσπερ ἀνδριάντι δημιουργός, τὸν παίσαντα, ἴσως ἵνα κατηγορήσῃ θερμότερον.

(24) Vide Menag. ad Diogen. Laert., VI, 76.

(25) Gregorius, τῆς Κράτητος κοινογαμίας.

(26) Φεύξονται, ait S. Gregorius (orat. 35, olim 24), Μαρκίωνος τὸν ἐκ στοιχείων καὶ ἀριθμῶν θεόν. Marcion, observat hic Basilius (cod. p. 185, 1): Κατὰ Πυθαγόραν, εἰς ἀριθμὸν λόγοις ἀναλογίας τὴν θεολογίαν ἀριθμητικῶς ἐφιλοσόφει, τὰς ἀρχὰς τῶν εἰδῶν ὑποστησάμενος, τότε ἓν καὶ τὴν ἀόριστον δυάδα· τὸ μὲν ἕν, τὸ αὐτοάγαθον καὶ τῶν ὄντων αἴτιον· τὴν ἀόριστον δὲ δυάδα, κατὰ τὸ εἶδος καὶ τὴν ὕλην, καὶ τὸ μέγα καὶ μικρόν, καὶ πεπερασμένον καὶ ἄπειρον.

(27) Mendum retinui, at sine dubio Basilius scripsit vel scribere debuit Ἀρτοτυρῖται, ex ἄρτος et τυρεύω, ut patet ex verbis sequentibus φυράσαντες ζύμην quibus vocem Ἀρτοτυρῖται explicat: conjecturam confirmat locus Timothei (Coteler. *Monum.* I, 295) qui cum Basilii textu conferri debet: Οἱ οὖν Ἀρτοτυρῖται ἐκ τῆς αἱρέσεως τούτου τοῦ Μαρκίωνος κατάγονται· παραμείβουσι δὲ τὴν κλῆσιν προσθήκαις ἐπινοιῶν· γάλακτι γὰρ φυρῶντες ζύμην, τοῖς οἰκείοις μύσταις ὀρέγουσιν.

(28) Ludit Basilius in voce βυθός, Gregorium secutus, cujus hæc sunt verba: *Omnes istos absorbuit eorum* abyssus *et operuit* silentium, *ut merebantur.* Ἔπειτα κατεπόθησαν τῷ ἑαυτῶν Βυθῷ καὶ τῇ Σιγῇ παραδοθέντες, ὥσπερ ἦν ἄξιον. Alias etiam hac imagine usus est Gregorius: Τὸν Βυθὸν καὶ τὴν Σιγὴν καὶ τοὺς μυθικοὺς Αἰῶνας, τὰ βυθοῦ καὶ σιγῆς ὄντως ἄξια.

Impietate lædentes Deum, atque in innumeros errores atque opiniones delapsi, bellum gerebant, adversus quid? Adversus bonum, ait. Bonum enim ipse cum sit, naturali bonitate se bello peti sustinet. Vel ad Marcionem extenditur impium, qui duo adversaria principia statuens, Bonum et Creatorem, ut iste erroris arbitrio fabulabatur, quorum alterum quidem justum, alterum vero malum vocabat. Et mali opus mundum aiebat, et materiam pessimam. Qui et serpentem Creatore meliorem dicere ausus est, quod hic quidem invidia, ait, gustum ligni vitæ prohibuit, ille autem largiter de ejus fructibus degustare suasit. Quapropter implacabile bellum bellari eis dixit Pater.

Et Montani malus spiritus. Montanus iste se ipsum Paracletum vocabat, duoque scorta inducens, prophetissas appellabat, et tres substantias in unam adunavit personam. Qui et sanguine diluens frumentum, in communionem adhærentibus distribuebat. Isti autem Peptuzeni vocantur a Peptuza, modico vico, quem Jerusalem quoque vocabant. *Et Manis tenebræ*, ait. Alia quædam fallacia, exitiosaque pietatis pestis.

Ille injustitiæ turbo. De Ario loquitur, quem turbini æquiparat propter turbulentum ejus ingenium. Etenim violentus et præceps venti spiritus, qui per nubis eruptionem inflammatus est, ac refulsit, et magna vi in terra fertur, fulmen appellatur. Qui autem media duntaxat ex parte ac subito ignescit, πρηστήρ. Qui denique prorsus igne caret, turbo dicitur.

Rursus malum imperium. Constantium dicit. Hic enim Arii doctrinis favens, locum dedit adversus pios impiis.

Sed jam non ita pridem splendida persecutio. Juliani scilicet Apostatæ. Hunc enim Persia oppressit, multorum Christianorum morte ab uno sanguine vindicata.

Nunc autem turpis et indecora persecutio cooritur. Sub Constante videlicet persecutio quæ Christianorum patrocinium ad defensionem prætexens, veros Christianos aggreditur excruciatque.

Navis onus portans. Presbyterum, ait, unum vel duos, quos alii Urbasium et Menedemum esse aiunt, alii Heliodorum et Theodulum, per navigationem combustos.

Nec vero sacerdotium tantam vim. Supple ad in-

A *σαντες.* Τῇ δυσσεβείᾳ κατατεμόντες τὸ Θεῖον, καὶ εἰς μυρίας πλάνας καὶ δόξας ἐληλυθότες, ἐμάχοντο, ὑπὲρ τίνος; Τοῦ ἀγαθοῦ, φησί. Ἀγαθοῦ γὰρ αὐτοῦ ὄντος καὶ τῇ φυσικῇ ἀγαθότητι ἀνεχομένου πολεμεῖσθαι. Ἢ πρὸς Μαρκίωνα ἀποτείνεται τὸν δυσσεβῆ, ὃς δύο ἀντικειμένας ἀρχὰς ὑποθεὶς, Ἀγαθὸν καὶ Δημιουργὸν, ὡς ἐκεῖνος τῇ τῆς πλάνης αὐτονομίᾳ ἐμυθολόγει, ὧν τὸν μὲν δίκαιον, τὸν δὲ πονηρὸν προσηγόρευσε· καὶ τοῦ Πονηροῦ τεκτόνημα τὸν κόσμον ἔφη, καὶ τὴν ὕλην κακίστην· ὃς καὶ τὸν ὄφιν ἐτόλμησεν εἰπεῖν τοῦ Δημιουργοῦ ἀγαθώτερον, ὅτι ὁ μὲν φθόνῳ, φησὶ, τὴν γεῦσιν τοῦ ξύλου τῆς ζωῆς ἐκώλυσεν, ὁ δὲ ἀφθόνως ταύτης μεταλαβεῖν συνεβούλευσε. Διὰ ταῦτα ἄσπονδον πόλεμον πολεμηθῆναι τούτοις εἴρηκεν ὁ Πατήρ.

B Ibid. C 9. *Καὶ Μοντανοῦ τὸ πονηρὸν Πνεῦμα* (29). Οὗτος ὁ Μοντανὸς Παράκλητον ἐκάλει ἑαυτὸν, καὶ δύο πόρνας ἐπαγόμενος (cod. p. 131, 2), προφήτιδας ἐπωνόμασε, καὶ τὰς τρεῖς ὑποστάσεις εἰς ἓν συνέχεε πρόσωπον· ὃς καὶ αἵματι φύρων ἄλφιτα, εἰς μετάληψιν τοῖς φοιτηταῖς μετεδίδου. Οὗτοι δὲ καὶ Πεπτουζηνοὶ καλοῦνται, ἀπὸ Πεπτούζης, εὐτελοῦς κωμυδρίου (30), ἣν καὶ Ἱερουσαλὴμ ἐκάλουν. *Καὶ τὸ Μάνου*, φησὶ, *σκότος*· ἄλλη τις τερατεία, καὶ τῆς εὐσεβείας ὀλεθρία ἀπόπτωσις.

Col. 1209 A 5. *Ὁ τυφῶν τῆς ἀδικίας.* Τὸν Ἄρειον λέγει· τυφῶνι δὲ ἀπεικάζει αὐτὸν, διὰ τὸ ταραχῶδες· ἐπεὶ καὶ τὰ σφοδρὰ καὶ ἄτακτα πνεύματα τὴν τοῦ νέφους ἔκρηξιν ἀναπυρωθὲν καὶ ἀστράψαν, καὶ βιαίως ἐπὶ γῆς φερόμενον, κεραυνὸς καC λεῖται· ἡμίπυρον δὲ ὂν καὶ ἀθρόον, πρηστήρ· παντελῶς δὲ ἄπυρον ὑπάρχον, τυφὼν προσαγορεύεται (31).

Ibid. B 5. *Πάλιν πονηρὰ βασιλεία.* Τὸν Κωνστάντιον λέγει· οὗτος γὰρ, τὰ Ἀρείου φρονῶν, χώραν δέδωκε κατὰ τῶν εὐσεβῶν ἀσεβέσιν.

Ibid. C 18. *Ἄρτι μὲν ὁ λαμπρὸς διωγμός.* Ὁ ἐπὶ τοῦ Ἰουλιανοῦ τοῦ Ἀποστάτου· τοῦτον γὰρ ἡ Περσὶς καταλέλυκε, Χριστιανῶν πολλῶν αἱμάτων δι' ἑνὸς τούτου αἵματος ἀπαιτήσασα δίκην.

Col. 1212 A. 3. *Ἄρτι δὲ ὁ ἀπρεπὴς ἄρχεται· ὁ* ὑπὸ Κώνσταντος διωγμὸς δηλονότι, ἔχων, φησὶ, πρόσχημα Χριστιανοῖς ἀμύνειν καὶ βοηθεῖν, τοῖς ὡς ἀληθῶς Χριστιανοῖς ἐπιφυόμενος καὶ καταικιζόμενος [*forte* καταιγιζόμενος].

D Ibid. B 1. *Ναῦς φόρτον ἔχουσα.* Πρεσβύτερον, φησὶν, ἕνα ἢ δύο, ὥς τινες Οὐρβασον καὶ Μενέδημον, οἱ δε Ἡλιώδορον καὶ Θεόδουλον, τοὺς ἐν τῷ πλοίῳ καέντας.

Ibid. 18. *Καὶ οὐδὲ τοσοῦτον ἡ ἱερωσύνη.* Λείπει

(29) Hæc jam dixerat Gregorius in oratione II *De pace* (cod. 22, olim 14): Τὸ Μοντανοῦ πονηρὸν πνεῦμα κατὰ τοῦ ἁγίου Πνεύματος; et Basilius (cod. p. 180) ait: Ἑαυτὸν γὰρ ὁ δυσσεβὴς ἀντεισήγαγεν εἰς τὴν Τριάδα. Videtur etiam Montanus nomine sancti Spiritus unam e mulierculis quæ ipsi adhærebant, designasse, si tamen alterum hunc Gregorii locum (orat. ead.), Μοντανοῦ τὸ πονηρὸν πνεῦμα καὶ γυναικεῖον, recte exposuit Basilius: Γυναῖκα γάρ (cod. p. 185, 1) τινα, inquit, ἀσελγῆ καὶ μαινάδα Πνεῦμα ἅγιον ἐτόλμησεν εἰπεῖν, διὰ τὸ ἐν αὐτῇ Πονηρὸν ἐνεργοῦν τε καὶ λαλοῦν.

(30) Ms. φα id est φασί, quod mutandum erat, nam ipsa sunt Gregorii verba quibus alias (or. 33, ol. 25) etiam usus est: Μάνου τὴν ὕλην μετὰ τοῦ σκότους· quod Basilius sic exponit: Οὗτος (cod. p. 185) τὴν ὕλην ἄκτιστον ὑπετίθει καὶ συνάναρχον τῷ Θεῷ, καὶ τὸ σκότος ὁμοίως.

(31) Basilius Aristotelem exscribit, *De mundo*, capp. 4, 16. Cæterum hæ distinctiones non ab iis abludunt quas admittebant Stoici juxta Diogenem Laertium (VII, 154). Vide supra expositionem vocis κεραυνός in scholiis Basilii ad orationem I *contra Julianum*, schol. ad col. 629 A 3.

τὸ, αἰδοῦς ἠξίωται, ὅσον οὐδὲ τελευτῆς ἔτυχεν εὐσχη- A μονεστέρας· ἀλλ' ἔτι γε καὶ εἰ ἀποθνήσκειν ἐχρῆν, εὐσχημονεστέρῳ πάντως ἔδει θανάτῳ· εἰ δὲ μὴ τοῦτο, ταφῆς μηδαμῶς ἀτυχεῖν, ἣ καὶ τοῖς ἀσεβέσιν ὀφείλεται.

Col. 1213 A 3. *Τὸν τῆς σῆς ὁμολογίας καθηγητήν.* Τοῖς ἑαυτοῦ, φησὶ, περὶ τῆς εὐσεβείας ἀγῶσι τῆς σῆς γεγονέναι ὁμολογίας καθηγητήν· λέγει δὲ τὸν μέγαν Ἀθανάσιον.

Ibid. 8. *Μετὰ τὴν περιβόητον χεῖρα καὶ τοὺς ζῶντας νεκρούς.* Περὶ ὧν εἴρηται ἐν τῷ εἰς αὐτὸν Ἐπιταφίῳ (32).

Ibid 14. *Ὁ τῆς ἀληθείας προδότης.* Λούκιόν φησι τὸν Ἀρειανὸν, ὃν καὶ ἀθέου πηγῆς δαψιλέστερον εἶπε ποταμὸν, ὡς Ἀρείου μᾶλλον παρασύροντα B καὶ ποταμηδὸν τὴν εὐσέβειαν κατακλύσαντα· οὗ καὶ τὰς παρανόμους πράξεις καὶ μιαιφονίας (μέχρι γὰρ καὶ τούτων ἐχώρησεν) ὀκνεῖν εἰπεῖν ἔφη.

Ibid. C 4. *Ἐστρατήγει μὲν ἀνήρ.* Ἕλλην (33) οὗτος ἦν, ἐκ τῶν εἰδώλων καὶ ἀκαθάρτων (cod. p. 132, 1) αἱμάτων ἐπὶ τὰ μυσαρώτατα. Τίνα δὲ ταῦτα; εἴπουν τὰ Ἀρείου δόγματα, ἢ τὰ τολμώμενα ὑπ' αὐτοῦ, τῆς μιαιφονίας καὶ τῆς ἡμῶν ὕβρεως, ἣν καὶ ἱερουργεῖν τοῖς δαίμοσιν ἔφη, ἐπὶ τῇ τοῦ μακαρίου Πέτρου ἐξωθήσει τοῦ μετὰ Ἀθανάσιον. Διὰ δὲ τοῦ Ταβεὴλ (*Isai*, VII, 6) τὸν Λούκιον ἐδήλωσεν (Col. 1213 D 1), ὃν καὶ βασιλεῦσαι καὶ τῆς ἐκκλησίας ἐγκρατῆ μεθ' ὅπλων γεγενῆσθαι, τὸν μέχρι καὶ τῶν ἐν ἐρήμῳ μοναχῶν τὸν διωγμὸν ἐπιτείναντα.

Col. 1216 B 2. *Ὡς δὲ ἀκούω τί τοῦτο.* Τί τοῦτο, C ἀκούω, φησὶ, φοβερὸν ὄντως, ἀλλ' ὅμως ὅπερ ἀκούω ἡ τολμηρά μου φθέγγεται γλῶσσα· ἡ γὰρ μὴ τοιαύτη καὶ ἄτολμος εὐλαβηθήσεται διὰ τὴν ὑπερβολὴν τῆς κακίας εἰπεῖν. Τίνα δὲ ταῦτά ἐστι; σιωπωμένας ψαλμῳδίας, βλασφήμους δὲ δημηγορούσας γλώσσας ἐπὶ τῶν ἱερῶν θρόνων, καὶ τοῖς ὑπὲρ αὐτῶν ὀρχήμασι [*ms.* ὀρχήσμασι] καὶ λογίσμασι τὰ θεῖα μυστήρια ἡμῶν κωμῳδούμενα.

Ibid. 14. *Καὶ ὁδοῖς Σιὼν ἐπιβάλλει πένθος.* Κλαίει, φησὶν, Ἱερεμίας, καὶ οὐ μόνον ἐκ τειχῶν ἐκκαλεῖται θρῆνον, ἀλλὰ καὶ ταῖς ὁδοῖς Σιὼν ἐπιτίθησι πένθος, διότι οὐκ ἄγουσι τοὺς ἑορτάζοντας (Thren. I, 4).

Ibid. C 1. *Ἐθρήνησε δέ.* Διαφυγὼν γὰρ ὁ ἀρχιερεὺς Πέτρος, καὶ ἐν Ῥώμῃ γεγονὼς, τῶν τεθνηκό- D των ἐν Ἀλεξανδρείᾳ τοὺς χιτῶνας ᾑμαγμένους ἐν τῇ ἐκκλησίᾳ προτεθεικὼς, ἐθριάμβευσε, καὶ πάνδημα δάκρυα κεκινηκὼς, τὸ πάθος παρέστησε, καὶ τῶν δεινῶν ἔλαβεν ἐπικουρίαν.

Ibid. 11. *Σὲ δὲ κινεῖ.* Πρὸς τὸν φιλόσοφον Ἥρωνα ἡ ὑποστροφὴ τοῦ λόγου.

cutiendum pudorem habuit, ut honestiorem saltem mortem consequeretur. Quippe si mori necesse fuisset, honestius mori debuissent; aut si non mortem, at certe sepulturam, quæ impiis etiam et sacrilegis hominibus debetur.

Illum tuæ confessionis ducem. Per ea pericula quæ pro fidei orthodoxæ defensione suscepit, illum ait tuæ confessionis ducem esse factum: loquitur autem de magno Athanasio.

Post illam omnium ore celebratam manum, post virentes mortuos: de quibus dictum est in *Epitaphio* ei dedicato.

Ille veritatis proditor. Lucium dicit Arianum, quem et impio fonte uberiorem vocat fluvium, quippe qui magis quam Arius, diripiebat atque fluvii instar pietatem abrumpebat mergebatque. Piget eum illicita flagitia dicere et nefarias cædes, eo enim ventum erat.

Ducis munere fungebatur vir. Græcus iste erat ex idolis et impuris cruoribus ad exsecrabiliora facinora pergens. Quænam ista? Certe Arii doctrinæ, sive ab eo nefarie ausa, immundis sacrificiis contumeliaque adversus nos quasi victima quadam dæmonibus litans, ut ait, cum expelleretur beatus Petrus Athanasii successor. At per Tabeel Lucium ostendit, quem et regnavisse et armis Ecclesiæ potitum esse, persecutionemque usque ad monachos in deserto extendisse.

Atque ut audio, hoccine...? Hoccine? Audio, inquit, aliquid horrendum; sed audax mea lingua istud eloquitur. Hæc enim non timidior est et ea quæ talia propter mali immanitatem dicere recuset. Quænam vero sunt ista? Psalmodias silentio compressas, blasphemas linguas in sacrosanctis thronis concionantes, saltationibusque et fœdis membrorum inflexionibus divina mysteria nostra sugillata.

Viisque Sion luctum indicit. Luget, ait, Jeremias, et non modo ex urbis mœnibus ad luctum homines hortatur, sed et viis Sion imponit luctum, eo quod nullos festa celebraturos adducunt.

Deinceps quoque deflevit. Cum enim effugisset præsul Petrus, Romamque venisset, ac cruentas eorum vestes qui Alexandriæ interempti fuerant, in ecclesia exposuisset, populum vehementer commovit, universisque lacrymas elicuit, ac calamitatem velut in omnium aspectu defixit, et malorum remedium invenit.

Te vero commovet. Ad philosophum Heronem sermo regreditur.

(32) En locus quem Basilius indicat (Greg. or. 21): Εἴ τις ὑμῶν οἶδε τὴν χεῖρα ἣν ὁ Ἅγιος κατεψεύσθη καὶ τὸν ζῶντα νεκρὸν, οἶδεν ὃ λέγω. Quæ Basilius satis dilucide exponit: Οὗτοι (cod. p. 56, 1) κατεῖπον αὐτοῦ συκοφαντοῦντες, ὡς ἄρα τινὸς Ἀρσενίου, ὑπ' αὐτοῦ ἀναιρεθέντος. Τὴν χεῖρα τεμὼν ἣν καὶ ἐπεδείκνυσαν, νεκροῦ τινος ἀποτεμόντες· ταύτην οὖν, φησὶν, Ἀρσένιον, οὗ τὴν χεῖρα κατεψεύδοντο κεκόφθαι ὡς ἀπὸ νεκροῦ, παρεστήσατο, ἀμφοτέρω τὼ χεῖρε δεικνὺς, τὴν ἐκείνων χεῖρα κερτομῶν, καὶ τὸν ζῶντα τοῦτον νεκρὸν Ἀρσένιον. Quæ hic ab Athanasio jocose dicta refert Basilius, τὴν ἐκείνων χεῖρα κερτομῶν, hæc ad verba Athanasii spectant quæ citavit Socrates: Ἀρσένιος μὲν, ὡς ὁρᾶτε, τὰς δύο χεῖρας ἔχων ἐφεύρηται· τῆς τρίτης δὲ τὸν τόπον ὅθεν ἀφῄρηται δεικνύτωσαν οἱ κατήγοροι.

(33) Vide scholia ad initium orationis.

A *Impiæ potestatis.* Sive imperatoris sive cujusdam in dignitate constituti.

Et veteres ac novos deos. Veteres, nempe duodecim circum Saturnum numeratos; novos vero, qui ab ipsis orti sunt, usque ad ultimos filios et nepotes heroas, et usque ad ipsos serpentes ferasque. *Indecoras præstigias*, Panos, Hircos, Apides, Dracones, Phallos quosdam et Ithyphallos Aphrogeneas, quibus, ait, si divinitatem definiunt, o miseros et perditos homines! Debent enim ipsæ quoque eorum significationes et sermones venerandi esse et rerum honestarum signa turpitudine vacare. Quod si aliud quoddam mysterium esse contendunt, quidnam hoc sit nos doceant.

B *Qui Deus quidem appellatur, cum de eo separatim sermo habetur.* Ut Filium, genitum Deum et Dominum, cum de eo separatim sermo habetur. Quando autem cum Patre nominatur, Dominus nomine communi, « illudque propter naturam. » Una enim communiter et divinitas; « hoc propter unicum divinitatis principatum, » qui cum non natura, sed dominatio sit, unus et idem est in tribus. « Unum denique Spiritum sanctum et semper a Patre procedentem. » Non enim processit semel prodiens et disjunctus : Deum unum hæc tria cognoscant, qui ea quæ apponuntur apprime intelligunt : qui oppugnatur, ait, et animo concipitur, et prædicatur. Horum quodque differt unum. Ab impiis enim oppugnatur; a piorum vero aliis solum mente concipitur, non autem libere prædicatur; ab aliis vero, qui spiri- C tualiores sunt, et mente concipitur, et proclamatur vel prædicatur.

Ut nec Patri principium tribuamus. Id est ne eum sub aliud principium ponamus. Ita enim principium alii attribuetur. « Illi quippe et principio minime carent, et quodam modo carent. » Primum, quantum ad causam; non enim principii sunt expertes quantum ad causam. Ex Patre enim sunt. Sed

Col. 1217 A 2. *Δυσσεβοῦς ἐξουσίας.* Τοῦ βασιλέως ἢ τινος τῶν ἐπ' ἐξουσίας.

Col. 1220 A 3. *Παλαιοὺς θεοὺς καὶ νέους.* Παλαιούς, τοὺς περὶ Κρόνον δώδεκα ἀριθμουμένους· νέους δὲ, τοὺς ἀπ' ἐκείνων καὶ καθεξῆς μέχρι τῶν ἐσχάτων υἱῶν καὶ ἐπεκγόνων ἡρώων, καὶ ἄχρις αὐτῶν ἑρπετῶν καὶ κνωδάλων· *ἀσχήμονα* δὲ *τερατεύματα*, Πᾶνας (Nonnus *Hist.* II, 28) καὶ τράγους (Nonn. II, 27), καὶ Ἄπιδας (Nonn. *ibid.*) καὶ δράκοντας, καὶ φαλλούς τινας καὶ ἰθυφάλλους, καὶ τὰς (*cod.* τῆς) Ἀφρογενείας, οἷς, φησὶν, εἰ μὲν τὸ Θεῖον ὁρίζονται, ὢ τῆς κακοδαιμονίας! Δεῖ γὰρ καὶ τὰς ἐμφάσεις καὶ τοὺς λόγους τούτων εὐσχήμονας εἶναι, καὶ καλὰς τῶν καλῶν, ἀλλὰ μὴ αἰσχράς· εἰ δὲ ἄλλο τι μυστήριον, τί τοῦτό ἐστι, πειθέτωσαν ἡμᾶς.

Col. 220 B 6. *Θεὸν μὲν ὅταν καθ' ἑαυτόν.* Ὡς Υἱὸν, τὸν γεννητὸν Θεὸν καὶ Κύριον, ὅταν καθ' ἑαυτὸν λέγηται· ὅταν δὲ μετὰ τοῦ Πατρὸς ὀνομάζηται, Κύριος ὀνόματι κοινῷ· τὸ μὲν, ἤτοι διὰ τὴν φύσιν· μία γὰρ κοινῶς καὶ ἡ θεότης· τὸ δὲ, ἤτοι Κύριον, διὰ τὴν μοναρχίαν (cod. p. 132, 1), ἥτις, οὐ φύσις, ἀλλὰ κυριότης οὖσα, μία καὶ ἡ αὐτή ἐστιν ἐν τοῖς τρισίν. *Ἓν ἅγιον Πνεῦμα προελθὸν καὶ ἀεὶ* (34) *προϊὸν ἐκ τοῦ Πατρός*· οὐ γὰρ ἐξεφοίτησεν ἅπαξ προελθὸν καὶ διεστηκός· Θεὸν ἕνα τὰ νοητῶς παρακείμενα τρία ταῦτα νοητέον· πολεμούμενον, φησὶ, καὶ νοούμενον, καὶ λεγόμενον· τούτων δὲ ἕκαστον διαφέρει· τοῖς μὲν ἀσεβέσι πολεμούμενον· εὐσέβεσι δὲ, τοῖς μὲν νοούμενον μόνον, μὴ μέντοι καὶ κηρυττόμενον παῤῥησίᾳ, τοῖς πνευματικωτέροις δὲ καὶ νοούμενον καὶ λεγόμενον, εἴτουν κηρυττόμενον.

Ibid. 13. *Μήτε ὑπ' ἀρχὴν ποιεῖν τὸν Πατέρα* (35). Τουτέστι μὴ ὑποτάσσειν αὐτὸν ἀρχῇ ἑτέρᾳ· οὕτως γὰρ ἡ ἀρχὴ ἑτέρῳ προσκείσεται. *Οὐκ ἄναρχα δὲ, καὶ ἄναρχά πως.* Τὸ μὲν τῷ αἰτίῳ· τὸ οὐκ ἄναρχόν φησιν εἶναι τῷ αἰτίῳ· ἐκ τοῦ Πατρὸς γάρ· ἄναρχα δὲ τῷ χρόνῳ· οὐ γὰρ ὑπὸ χρόνου· πῶς γὰρ ὁ ῥέων

(34) Vox ἀεὶ deest in textu edito Gregorii et opportune, ut puto, reciperetur. Verba etiam ἢ καὶ προϊόν, ejusdem textus glossam sapiunt. Non absurde tamen diceretur, Gregorium, cum in re adeo obscura versaretur (loquitur de processione Spiritus sancti), ut sententiam suam clarius exponeret, voci προελθόν synonymum προϊόν addidisse. Quod si D admittatur, textus rectius se habet apud Basilium quam in editis.

(35) Gregorius orthodoxiam patris sui laudans (or. 18, ol. 19) : *Nec erat*, inquit, *τῷ ἑνὶ Σαβελλίζων, οὔτε τοῖς τρισὶν Ἀρειανίζων.* Basilius ad hunc locum hæc opportune adnotat : Σαβελλίου (cod. p. 172, 1) τοῦτο, inquit, τὸν αὐτὸν Πατέρα καὶ Υἱὸν, καὶ Πνεῦμα ἅγιον συμφύροντος καὶ συστέλλοντος, καὶ ἀθέως ἀναλύοντος τὰς ὑποστάσεις, καὶ εἰς ἓν ἢ μηδὲν καθαρῶς πρόσωπον ἄγοντος. Ἀρείου δὲ τὸ κατατέμνειν εἰς ἀνισότητα μεγέθους καὶ φύσεως· οὔτε γὰρ μεγέθει ἴσα οὔτε φύσει ὁ μανιώδης ἐληρώδει τὰ πρόσωπα· ἠλλοτρίου γὰρ ταῦτα ἀλλήλων, τὸ πολύθεον ἐνταῦθα πραγματευόμενος. Alias (or. 34, olim 24), cum de Trinitate verba facit, Gregorius, ait Patrem, Filium, et Spiritum sanctum, *μήτε οὕτω ἀλλήλων ἀπήρτηται, ὡς φύσει τέμνεσθαι, μήτε οὕτως ἐστένωται, ὡς εἰς ἓν πρόσωπον περιγράφεσθαι· τὸ μὲν γὰρ*, addit, *τῆς Ἀρειανῆς μανίας, τὸ δὲ τῆς Σαβελλιανικῆς ἀθεΐας ἐστίν.* Et Basilius ait (cod. p. 190): Μήτε οὕτως ἀπήρτηται· πῶς; ὡς καὶ τῇ φύσει τέμνεσθαι, οἷάπερ ἀλλήλων ἐχόμενα, καὶ διασπασθῆναι μὴ δυνάμενα· οὔτε οὕτως ἐστένωται, ὡς ἑνὶ περιγράφεσθαι προσώπῳ καὶ συγκεχύσθαι· ἔστι γὰρ τῶν μὲν πάντη διαιρετῶν ἑνικωτέρα [subaudi ἡ Τριὰς], ὡς μὴ πάντη διαιρεῖσθαι· φύσει γὰρ ἥνωται· τῶν δὲ τελέως μοναδικῶν ἀφθονωτέρα, ταῖς ὑποστάσεσι διαιρουμένη. Cum de discrimine quod hypostases inter et personas statuebatur, (orat. 21) Græci et Latini theologi disputarent, eorum in hac causa dissidium *γελοῖον* ait *ἢ ἐλεεινόν.* Tum addit : *Πίστεως ἔδοξε διαφορὰ ἡ περὶ τὸν ἦχον μικρολογία· εἶτα Σαβελλισμὸς ἐνταῦθα ἐπενοήθη τοῖς τρισὶ προσώποις, καὶ Ἀρειανισμὸς ταῖς τρισὶν ὑποστάσεσι, τὰ τῆς φιλονεικίας ἀναπλάσματα.* Quod Basilius sic exponit : (cod. p. 161, 1) Σαβ. ἐπενοήθη· πῶς; μὴ τῶν ὑποστάσεων εἰσαγομένων, ἀλλὰ τῶν προσώπων, ὡς δή τι διαφέρειν δοκοῦντα τῶν ὑποστάσεων· ὡς ἀνυπόστατον τὴν Τριάδα ἐπινοεῖσθαι, εἰς μίαν συναγομένην ὑπόστασιν· ὅπερ ἐστὶ Σαβελλισμός· ὃ, φησὶ, διὰ πενίαν ὀνομάτων καὶ διὰ τὸ στενὸν τῆς Ῥωμαίων φωνῆς συνέπιπτε. Πάλιν, τῶν ὑποστάσεων ὁμολογουμένων, Ἀρειανισμὸς ὑπενοεῖτο, καὶ τῆς μιᾶς οὐσίας καὶ φύσεως κατατομή. De Sabellio vide Wolf. in *Anecdotis* (t. IV, p. 14).

χρόνος καὶ τὸ ἀνούσιον πρεσβύτερον εἴη τῶν οὐσιῶν καὶ ἑστώτων ἀεί;

fluit, tempus et quod non erat, iis quæ stabilia sunt et quæ semper exstiterunt, prius atque antiquius esset?

Col. 1221 A 1. *Μήτε μίαν Ἰουδαϊκήν*. Στενήν, φησίν, ὡς μονοπρόσωπον· φθονερὰν δὲ καὶ ἀδύνατον, ὡς ἢ μὴ δυναμένην, ἢ φθονοῦσαν μή που τὸ ἀγαθὸν ὑπερεκβλύσαν εἰς Υἱοῦ γέννησιν διαχεθείη ἢ Πνεύματος εἰς πρόελευσιν· διὸ καί τινες αὐτῶν, φησί, προάγουσι μὲν Υἱὸν ἐκ τοῦ Πατρὸς, εἰς ἑαυτὸν δὲ πάλιν ἀναλύουσι τὸν Πατέρα· οἱ δὲ (36) καταβάλλουσι τὰς φύσεις, θεότητος ἀλλοτριοῦντες, ὥσπερ τῆς θείας φύσεως δεδοικυίας μὴ ἀντεξάγοιντο καὶ ἀντιφέροιντο ἀλλήλαις. Τὸ δὲ « ὑπὲρ τὰ κτίσματα » οὕτω συνάψεις· ὡς μὴ δυναμένην ὑπὲρ τὰ κτίσματα γεννᾷν ἢ προάγειν· θειοτέρα γὰρ καὶ ὑπὲρ τὰ κτίσματα ἡ θεία γέννησις, ἀλλ' οὐ ζωώδης καὶ σωματική.

Ibid. 9. *Καὶ τοῦτο θεϊκὸν ἔχουσι*. Τὸ μοναδικὸν δηλονότι· ὥσπερ ἡ φύσις μία καὶ μοναδικὴ ἔνεστιν ἐν τοῖς τρισὶν, εἷς μόνος Πατὴρ οὐκ ἄλλος, εἷς μόνος Υἱὸς καὶ οὐκ ἄλλος, καὶ ἓν Πνεῦμα ἅγιον καὶ οὐκ ἄλλο· καὶ πολύ γε, φησὶ, τῶν παρ' ἡμῖν ἀληθέστερον· Πατὴρ, ὅτι μόνως καὶ ἰδιοτρόπως· οὐ γὰρ υἱός τινος πρότερον, εἶτα πατὴρ, καὶ οὐ μετὰ συζυγίας καὶ σωματικῶς ὥσπερ ἡμεῖς, καὶ ὅλον Πατὴρ ἀπ' ἀρχῆς· τὸ γὰρ ἡμέτερον, φησὶν, ἄδηλον· ποῖον; τὸ ἑνὸς μόνου καὶ ὅλου υἱοῦ πατέρα τινὰ χρηματίσαι, ἐνδεχομένου καὶ ἑτέρων.

Ibid. 10. *Οὐδὲ μᾶλλον καὶ ἧττον*. Αὐτοαγιότης γὰρ ὅλον ὂν, τὸ μᾶλλον καὶ ἧττον οὐκ ἂν δέξαιτο· τὸ δὲ μὴ γεγονέναι ὑπό τινος καὶ ἡ θεότης κοινὸν, φησὶ, τῆς ἁγίας Τριάδος, Υἱῷ δὲ καὶ ἁγίῳ Πνεύματι τὸ ἐκ τοῦ Πατρὸς, ὡς ἐξ αἰτίου.

Ibid. C 1. *Εἰ δὲ τὸν τρόπον ἐπιζητεῖς*. Ὡς ἀπόῤῥητον τοῦτο παρακρούεται, ἐπιφέρων ταυτὶ, « Γενοῦ τι, » λέγων, « πρότερον τῶν λεγομένων » τουτέστι Θεοῦ, καὶ οἷον τῆς ἐλλάμψεως ἐκείνης ἠξιωμένος, καὶ τηνικαῦτα τοσοῦτον εἴσῃ ὅσον ὑπ' ἐκείνων γινώσκεται καὶ γνωσθήσεται.

Ibid. D 3. *Παράδοξον ἔχουσαν*. Παράδοξον γὰρ ὡς ἀληθῶς τοῦτο διαιρεῖσθαί τι ἀδιαιρέτως, καὶ ἑνοῦσθαι διῃρημένως· ὃ μόνως τηρεῖται ἐν τῇ ἁγίᾳ τῶν ὑποστάσεων Τριάδι κἀν τῷ μοναδικῷ τῆς Θεότητος.

Ibid. 6. *Ἀλλ' οὐκ ἀνθρωπικῶς*. Οὗ γὰρ ἡ ὕπαρξις καὶ τὸ εἶναι οὐκ ἀνθρώπινον, τούτου καὶ ἡ γέννησις οὐκ ἀνθρωπίνη· ἀπαθὴς γάρ. Φοβεῖσθαι δὲ χρόνον καὶ κτίσιν εἰπὼν, ἀγορεύει (37) μὴ λέγειν ἢ πιστεύειν κτιστόν τι καὶ γεννητὸν τῆς ἁγίας Τριάδος. Μηδὲ συνηγορεῖν δοκῶν τῷ Θεῷ, ἀνέλῃς, φησὶ, Θεὸν, τουτέστιν ἀναιρήσῃς· ἀναίρεσις γὰρ θεότητος Υἱοῦ καὶ ἁγίου Πνεύματος ἴσον ἐστὶ τοῦ Θεὸν ἀνελεῖν.

Col. 1224 A 4. *Μὴ φοβηθῇς τὴν πρόοδον*. Τοῦ

(36) Ariani scilicet. Vide Eliam Cretensem ad hunc locum.

A quantum ad tempus, principii expertes sunt. Nec enim tempori subjecti sunt. Quomodo enim, quod

Neque unam Judaicam. Angustum ait, propter unicam personam; invidum vero atque imbecillum, quippe quod vel non potest, vel invidet, ne quid boni exsiliens in Filii generatione perfunderetur, vel in Spiritus processione. Ideoque eorum nonnulli, ait, Filium quidem ex Patre producunt, eumdem autem rursum in Patrem resolvunt; alii vero naturas dejiciunt, a Divinitate alienando, perinde ac si divina natura timeret, ne ipsæ adversum se insurgerent ac invicem bellum inferrent. Hoc vero B « Supra res conditas » ita construes, quasi vim non habens supra res conditas gignendi vel producendi. Divinior enim et supra res conditas divina generatio, non autem animalis vel corporalis.

Ut hoc quoque divinum habeant. Singularitatem nimirum. Quemadmodum natura una et singularis in tribus inest, unus solus Pater non alius, unus solus Filius et non alius, et unus Spiritus sanctus et non alius: et hoc multo quidem verius, ait, quam quæ apud nos hoc nomen obtinent. Pater, quia proprio et singulari modo; neque enim filius alicujus fuit prius, postea pater, et non ex conjunctione et corporaliter sicut nos, sed in totum Pater ab initio. De nobis, ait, hoc certo affirmari nequit. Quidnam? Nempe quod solius et totius filii C pater quispiam vocetur, quod cæteris convenit.

Nec magis et minus. Namque cum ipsamet sanctitas in totum est, nec magis nec minus accipere potest. A nullo creatum fuisse atque ipsam divinitatem ait sancti Trinitati commune, Filio et sancto Spiritui, quod uterque eorum ex Patre velut e principio est.

Quod si modum quæris. Tanquam arcanum illud expellit, hoc adjecto: « Fac sis quiddam prius eorum quæ commemoravimus, » Deus scilicet, et illa glorificatus illuminatione, tum demum scies quantum ab illis cognoscitur et cognoscetur.

Cujus divisio plane admirabilis. Prorsus admirabile illud est, quod et citra divisionem dividuntur, D et divisim copulantur: quod solummodo observatur in sancta personarum Trinitate et in Divinitatis unitate.

Non autem humano modo. Cujus enim exsistentia et esse humanum est, ejus et generatio non humana. Ab omni enim passione aliena est. Metui autem tempus et creationem dicens, prohibet ne dicatur vel credatur quidpiam creatum et genitum sanctæ Trinitatis; et cum patrocinium Dei suscipere non vis, Deum, ait, tollas, id est tolles. Sublatio enim divinitatis Filii et sancti Spiritus idem est atque Deum tollere.

Processionem ne metuas. Sancti Spiritus proces-

(37) Nullus dubito quin Basilius scripserit, ἀπαγορεύει, *prohibet*.

ἁγίου Πνεύματος τὴν πρόοδον λέγει· ὅτι, φησὶν, ὁ πλούσιος καὶ δυνατὸς κατὰ πάντα οὐκ ἀνάγκην ἔχει ἢ μὴ προβάλλειν· ἑκάτερον γὰρ ὁμοίως ἀβιάστως ἔχει, καὶ προβέβληκεν ἤδη τὸ ἅγιον ἀχρόνως καὶ ἀβιάστως Πνεῦμα.

Ibid. 13. *Μήτε τῆς τριθεΐας ἔγκλημα.* Καὶ μὴν διαβέβληται τὸ τῆς τριθεΐας δόγμα, κατὰ τὸν τοῦ λεγομένου Φιλοπόνου λῆρον (38), ὃς εἰς μερικὰς οὐσίας Ἀριστοτελικῶς διῄρει καὶ τὴν θείαν. Ἀλλ' οὐ γὰρ οὐχ οὕτως ταῦτα νοητέον· μιᾶς καὶ τῆς αὐτῆς μενούσης ἀδιαιρέτως ἐν τοῖς τρισὶ, κἂν Θεὸς, καὶ Θεὸς, καὶ Θεὸς ἕκαστον λέγηται· κοινὴ γὰρ καὶ μία θεότης. Μὴ τοίνυν αἰσχυνθῇς, φησὶ, ἕως ἂν καὶ ἄλλος κινδυνεύῃ ζημιούμενος τὴν διθεΐαν· κρεῖσσον γὰρ τοῦτο λέγειν, ὁμολογοῦντα τὴν ἐν τοῖς τρισὶ θεότητα, καὶ μὴ ζημιωθῆναι κινδυνεύειν τὴν διθεΐαν λέγειν Υἱοῦ καὶ ἁγίου Πνεύματος· ὅπερ οἱ περὶ Ἄρειον καὶ Μακεδόνιον περὶ τὴν θεότητα πεπόνθασι· ἢ γὰρ συνέλυσας περικόπτων τὴν τῶν δύο θεότητα καὶ ἀφαιρούμενος, ἢ συνηπόρησας εἰς ἀπορίαν ἐλθών. Πῶς οὐ κινδυνώδης ἡ τριθεΐα; ἀλλὰ τοῦτο μὴ φοβηθῇς· ὁ μὲν γὰρ συλλύσας καὶ περικόψας ἐναυάγησε, μετὰ τῶν λογισμῶν καὶ θεότητα ζημιωθείς· σοὶ δὲ περιμένει σῶα ἡ θεότης· κἂν ἐξησθένησεν ὁ λόγος, τὸν τῆς ὑπάρξεως τρόπον διαπορῶν τῆς τριθεΐας.

Ibid. B 7. *Τὴν νέαν εὐσέβειαν.* Εὐφήμως οὕτως τὴν ἀσέβειαν εἶπε, τὴν τεχνολογικῶς, ἀλλ' οὐκ ἀποστολικῶς κηρυττομένην ὑπὸ τῶν ἀντιδοξούντων, ἣν καὶ μικρόλογον ἔφη σοφίαν. Οὐ δεινὸν λέγει ἡττηθῆναι λόγῳ κατασοφισθέντα τινὰ καὶ κλαπέντα ψευδολογίαις, δεινὸν δὲ μᾶλλον τὸ ζημιωθῆναι θεότητα.

Ibid. C 8. *Τῆς Τριάδος κατοικούσης.* Τὸ ἑξῆς οὕτως· Μέμνησό μοι τῆς Τριάδος, τῆς ἐν ταῖς σκηναῖς τῶν ἀγγέλων, καὶ τῆς ἐν αὐταῖς κατοικούσης, δηλονότι Τριάδος· τουτέστι, μέμνησό μοι, πότε; ὅταν ἐκδημήσῃς· ποῦ; ἐν ταῖς σκηναῖς· ποίαις; τῆς κατοικούσης ἐν αὐταῖς, τῆς ἁγίας Τριάδος, ταῖς ἐν αἷς ἡ ἁγία Τριὰς κατοικεῖ. Καὶ τοῦ μικροῦ τούτου θέρους, ἀπὸ κοινοῦ τὸ μέμνησο· τοῦ καρποῦ τῆς ἐμῆς πρὸς σὲ διδασκαλίας καὶ κατηχήσεως· ἢ ὅτι βραχεῖς τέως ἦσαν οἱ δεδεγμένοι τὸν τῶν ὀρθῶν δογμάτων σπόρον, καὶ διὰ τοῦτο εἶπε τὸ θέρος μικρόν.

Col. 1225 A 4. *Τὴν ἡμετέραν κλῆσιν καὶ τὴν ἄπιστον ἐπιδημίαν.* Τάχα ἐκλήθη καὶ οὗτος ὑπ' αὐτοῦ ἐν τῇ ὑπερορίᾳ· τοῦτο γὰρ διὰ τῶν ἐπαγομένων αἰνίττεται· συγκακοπαθεῖν γὰρ εἶπεν, ἀλλ' οὐ συντρυφᾷν ἐπιδεδημήκαμεν. Καὶ πρὸς ὑμᾶς, φησὶν, ἐπανίω πάλιν (39), σαφῶς διὰ τῶν τοιούτων δηλοῦται ἐκδεδημηκέναι αὐτόν που τὸν φιλόσοφον, καὶ τὸ τηνικαῦτα, μήπω τοῦ βίου μεταστάντα.

A sionem dicit. Quippe, ait, in omnibus dives ac potens non necessitatem habet vel non producere. Utrumque enim pariter sponte fit; atque produxit jam sanctum non in tempore, non coactus Spiritum.

Nec vero tritheiæ crimen. Quippe editum fuerat tritheiæ dogma a quodam Philopono dicto, qui in partiles substantias Aristotelice dividit et divinitatem: hoc vero non ita intelligendum est. Unius enim ejusdemque manentis indivisibiliter in tribus, est: Deus, Deus, Deus quisque dicatur. Communis enim et una deitas. Ne igitur, ait, te pudeat, quandiu alius quoque eadem ratione in ditheiæ periculo versatur. Melius enim hoc dicere, confitentem in tribus divinitatem, nec periculum incurrere ditheiam
B dicendi Filii et sancti Spiritus. Quod quidem Ariani et Macedoniani de divinitate admiserunt. Etenim aut crimen objectum dilues circumcidens utriusque divinitatem atque auferens; aut cum illo hærebis animi anxietate laborans. Quomodo enim non periculosa tritheia? Verum illud ne timeas. Ille enim diluens et circumcidens naufragium faciet, cum rationibus suis divinitatis jacturam passus; tibi autem permanebit incolumis divinitas; etsi ratio ipsa imbecillitate laborarit, de tritheiæ exsistentiæ modo dubitans.

Novamque pietatem. Per euphoniam sic impietatem vocat, artificiose sed non apostolice ab heterodoxis annuntiatam, quamque jejunam ac minu-
C tam sapientiam dixit. Non grave et acerbum dicit sermone victum esse sophistica disputatione delusum atque deceptum; grave autem et acerbum est deitatis jacturam fecisse.

Trinitatis habitantis. Ita verborum series accipienda: Memor esto mihi Trinitatis, quæ in angelorum tabernaculis, et quæ in eis habitat, videlicet Trinitatis. Hoc est, memor esto mihi: quando? Cum peregrinationem obieris; ubi? In tabernaculis. In quibusnam? Habitantis in eis, sanctæ Trinitatis, in quibus sancta Trinitas inhabitat; et messis hujus exiguæ, similiter memor esto, fructus meæ ad te disciplinæ et catecheseos; vel quoniam huc usque pauci erant qui rectorum dogmatum semina acceperant; ideoque messem exiguam dicit.

D *Vocationem nostram et incredibilem peregrinationem.* Breviter vocatus est ille ab eo in exsilio. Hoc enim iis quæ sequuntur in lucem promitur. Nam se ærumnarum socium fuisse dicit, non autem ut deliciarum esset particeps. Et ad vos, ait, rursus regredere; manifeste per hæc ostenditur hunc philosophum decessisse, et *tunc*, nondum e vita excessisse.

(38) Præcipui Joannis Philoponi errores deprehenduntur in tractatu cui titulum fecerat: *Arbiter*, ὁ Διαιτητής. Auctor fuit, saltem unus ex auctoribus hæresis Tritheitarum. Ὁ τὰ μάταια πονήσας Ἰωάννης ὁ Τριθεΐτης, ait Joannes Damascenus ludens in nomine *Philoponus*. Vide *Biblioth. gr.*, t. X, pagg. 640 et 651.

(39) Hic lapsus est amanuensis. Basilius scribere debuit, καὶ πρὸς ἡμᾶς, φησὶν, ἐπάνιθι πάλιν.

EJUSDEM BASILII

SCHOLIA

Ad S. Gregorii Naz. Orationem funebrem *in Cæsarium fratrem*.

(Edidit Lud. de Sinner. Paris 1836, ap. Gaume fratres, in-12.)

—

Col. 756 A 3. *Οἴεσθέ με ἴσως, ὦ φίλοι, καὶ ἀδελφοί, καὶ πατέρες*. Γῆς γνησιότητος τὰ ἐγγύτερα ταῦτα ὀνόματα· οὐδὲν γὰρ πατρὸς οἰκειότερον, οὐδὲ ἀδελφοῦ γνησιώτερον, ἢ φίλου πιστοῦ τιμιώτερον· *γλυκὺ δὲ πρᾶγμα καὶ ὄνομα*, εἰς ἓν συνελὼν ταῦτα εἶπεν. Ἡδὺ μὲν γὰρ καὶ φίλος, ἥδιον δὲ καὶ ἀδελφὸς, ὁ τῆς ἀδελφότητος τὸ πρᾶγμα τῷ ὄντι τηρῶν, ἀλλ' οὐχὶ κατὰ τὸν Κάϊν λυττῶν. Ἥδιστον δὲ πάντων πατὴρ, ὁ πατρὸς τὰ σχετικὰ ὥσπερ ὁ Δαυῒδ σώζων πατρικὰ σπλάγχνα, καὶ τὸν πατραλοίαν οὕτω θερμῶς ἀποκλαιόμενος υἱόν. Τούτοις οὖν σεμνύνει καὶ αὐτὸς τοὺς πρὸς οὓς αὐτῷ ὁ πρὸς τὸν ἀδελφὸν ἐπιτάφιος, Οἴεσθέ με, λέγων, τὸν λόγον ὑποδεδέχθαι τουτονὶ, ὡς θρήνους καὶ ὀδυρμοὺς ὑποβεβληκέναι τῷ ἀδελφῷ; Οὐμενοῦν, οὐκ ἔστι τοῦτο, φησίν· ἀλλ' οὐδὲ κατ' ἐπίδειξίν τινα καὶ κομψείαν πρὸς τὸ θέλξαι τοὺς ἀκροατὰς, καὶ ἡδονὴν καὶ χάριν ἐργάσασθαι, τὴν ἀκοὴν ὑμῶν ἑστιάσοντα (40).

Ibid. 10. *Καὶ σοφίσεσθαι* (41) *τὸ ἀλγοῦν*. Πῶς ἔστι σοφίσασθαι τὸ ἀλγοῦν; Ἢ (42) δῆλον, μὴ ἀλγοῦντες, ὡς ἀλγοῦντες διατιθέμενοι· τοῖς *φιλικοῖς* δὲ *πάθεσι*, τουτέστι, τοῖς ἡμετέροις· αὐτοὶ μὲν μηδὲν ἄλγους πεπονθότες, τοῖς φίλοις δὲ συμπαθοῦντες ἡμῖν.

Ibid. 12. *Χρῆναι γὰρ ἡμᾶς*. Ὡσανεὶ, φησὶν, ἡμῖν χρῆναι καὶ τὴν συμφορὰν ἡμῶν ἐπιδεικτικῶς τε καὶ πομπικῶς τῷ λόγῳ διατιθέναι, καθάπερ ὅτε ἦμεν νέοι, καὶ πρὸς πάντα φιλότιμοι καὶ περιττοὶ, τά τε περὶ τὴν ὕλην καὶ τοὺς λόγους αὐτούς.

Ibid. B 3. *Μὴ τοῦτο περὶ ἡμῶν ὑπολάβητε*. Εἰ καλόν τι καὶ δεξιὸν ὑπολαμβάνειν ἐθέλετε περὶ ἡμῶν, τοιοῦτόν τι *μηδαμῶς*, φησὶν, *ὑπολάβητε*· εἴτε πλέον ἢ καλῶς ἔχει θρηνῆσαι· εἴτε ἁβρῶς τε καὶ κομψῶς ἀπαγγεῖλαι καὶ κατ' ἐπίδειξιν τὸν λόγον καταχαλλῦναι.

Ibid. 12. *Ἀλλ' ὅσον ἀφοσιώσασθαι τὸν περὶ ταῦτα λόγον* (43). Τὸ ὅσιον καὶ καθῆκον ἑκατέροις ἐναρμόσασθαι καὶ ἀποδοῦναι, θαυμάσαι τε ἀπερίττως, καὶ δακρῦσαι μετρίως· τῆς γὰρ ἀνωτάτω καὶ ἡμετέρας φιλοσοφίας καὶ ταῦτα, τό τε δικαίων μετ' ἐγκωμίων μεμνῆσθαι, καὶ τὸ θρήνων ἐπὶ νεκρῶν

A *Οἴεσθε... καὶ πατέρες*. Propinquitatis hæc proximiora nomina. Nihil enim patre antiquius, nihil fratre sincerius, aut fideli amico pretiosius. *Res suavis nomenque suave* ad personas prædictis charitatis titulis designatas, quas nunc mente in unum colligit, refert. Suave enim quid amicus, suavius autem et frater, qui fraternitatis officium servat erga fratrem, non autem velut Cain rabie effertur; suavissimum autem omnium pater, qui quæ patrem decent paterna servat viscera, velut David parricidam tam affectuose vocans filium. His ergo charitatis titulis ipsa oratio funebris in fratrem illustrat eos quos alloquitur, Existimatis me, dicens, hunc sermonem suscipere tanquam gemitus et lamentationes fratri daturum? Nullo B modo, non est sic, inquit; non enim ad ostentationem quamdam vel elegantiam ad mulcendos auditores, non ad suavitatem et gratiam sermonis eliciendam, me auditum vestrum invocasse, vos credere oportet.

Καὶ σοφίσ. τὸ ἀλγοῦν. Quid est discere luctum? Id est, non lugentes, quasi lugentes sentire; *amici calamitatibus*, id est *nostris*: ipsi quidem nihil luctus passi, amicis autem nobis condolentes.

Χρῆναι γὰρ ἡμᾶς. Quasi, inquit, oporteret nos, calamitatem nostram cum ostentatione et pompa, sermone explicare, veluti fiebat, cum juniores essemus, et in omnibus gloriam quærentes et C ambitiosi tum circa res terrenas, tum circa sermones ipsos.

Μὴ τοῦτο... ὑπολάβητε. Si quid pulchri et dextri de nobis vultis supponere, nullo modo quid tale, inquit, existimetis, nos sive amplius quam par sit, lucturos, sive molliter et ornate locuturos et ad ostentationem ornaturos sermonem.

Ἀλλ' ὅσον... λόγον. Quantum sufficit ut justum et congruum laudi et lacrymis tribuam, nec ultra modum laudando nec plus quam decet lugendo; cœlestis enim nostræ philosophiæ est, et justorum meminisse cum laudibus, et planctum super mortuis auspicari; non tamen in gemitibus

(40) Aut male intellexit Nostrum, aut aliter legit hic Basilius. Supplendum videtur ὑπολαβεῖν ὑμᾶς με χρή.

(41) Lege σοφίσησθε cum editis.
(42) Forsan scribendum ἤ.
(43) Editi νόμον.

longius procedere, quod ad immoderationem pertineret; lacrymis autem omnino abstinere duritiam dico.

Τὸ μετὰ τοῦτο ἤδη. Hinc statuit sermonis capita; et sic post exordia transit ad primam laudum partem, id est ad originem.

Καισαρίῳ πατέρες μέν. Originem jam celebrans, sic laudat fratrem.

Καὶ τοσοῦτον...πιότητος. Cujus et quantæ pinguedinis? Oleæ fructiferæ, pietatis, ex qua tantum assumpsit pinguedinis, ut et alios in piam fidem insereret, doceret, in necessitatibus auxiliaretur, animis morbo erroris laborantibus remedium et curationem præstaret.

Πολὺς τὸ φαινόμενον. His verbis multa exterioris virtutis in patre demonstrat indicia, plurimas autem virtutes absconditas multis ignotas, quas expedit, inquit, opinionibus vestris et cogitationibus relinquere, non autem sermone tentando exponere, illas minuere, ipsisque quod habent miraculi eripere.

Ὥστε καὶ ἤδη τισί. Constructio est: ὥστε πιστευθῆναι καὶ ῥηθῆναί τισι, μηδὲ τὴν τοῦ ἀνδρὸς τελειότητα, etc.: interposita enim parenthesis disjunxit membra phrasis; sensus autem est: perfectionem mariti ad nullum alium quam ad [sanctam illam] matrem, ut ipsius opus, referri (hoc enim, inquit, nonnulli credunt et prædicant), hujusque pietatis præmium et coronam accessisse majorem et perfectiorem pietatem patris.

Ἐκ τῆς παρ. εἰς τὴν κατοικίαν. Ex terrenis et transitoriis rebus; in his enim est incolatus, habitatio autem æterna et indeficiens est felicitas et cœlestis beatitudo.

Πλήρεις ἡμερῶν. Communi dierum nomine utriusque vitæ comprehendit dies quos plenissimos esse declarat: [*pleni*, inquit, *dierum*] tum transitoriorum et deficientium, tum etiam permanentium et æternorum; pleni sunt ergo illorum dies, non imperfecti. quippe quibus nec longitudo hujus vitæ nec vitæ cœlestis splendor desit (43*).

Καὶ πάσης εὐδαιμ. μέτ. ἐπλήρωσαν. In omnibus et per omnia mensuram felicitatis et beatitudinis, quantum possibile erat, expleverunt, *excepta*, inquit, *illa postrema*, non dixit *calamitate*, sed *dispensatione*, et *probatione*, ut quispiam existimare queat, inquit. Vide quomodo et illud ad felicitatem illorum referat, quod, præmisso eo filio cui propter ætatis lubricum magis timendum erat, ipsi securo animo vitam clauserint et cum universa domo ad cœlestia transmigrarint, quod reipsa perfectæ est felicitatis.

(43*) Græcum hujus scholii textum, dissolutum et ἀνακολουθίᾳ maxime laborantem, divinando interpretati sumus.

A ἐνάρξαι· οὐ μὴν καὶ πρόσω ταῖς οἰμωγαῖς χωρῆσαι· τὸ μὲν γὰρ ἀμετρίας, τὸ δὲ ἀναλγησίας λέγω, τὸ μὴ δακρῦσαι.

Col. 757 A 6. *Τὸ μετὰ τοῦτο ἤδη.* Ἐντεῦθεν προεκτίθεται τὰ τῆς ὑποθέσεως κεφάλαια· καὶ οὕτω μετὰ τὰ προοίμια χωρεῖ πρὸς τὸ πρῶτον τῶν ἐγκωμίων μέρος, εἴτουν τὸ γένος.

Ibid. B 1. *Καισαρίῳ πατέρες μέν.* Τὸ γένος ἤδη ἐπαινῶν, κἀκ τούτου σεμνύνει τὸν ἀδελφόν.

Ibid. C 2. *Καὶ τοσοῦτον κοινωνήσας τῆς πιότητος.* Πόσον καὶ ποίας πιότητος; Τῆς καλλιελαίου, τῆς εὐσεβείας, ἀφ' ἧς τοσοῦτον τῆς πιότητος ἐπεσπάσατο, ὥστε καὶ ἄλλους εἰς τὴν εὐσεβῆ πίστιν ἐγκεντρίσαι, καὶ διδάξαι, καὶ τῆς ὠφελείας μεταδοῦναι, εἰς ψυχῶν νόσῳ κακοπιστίας καμνουσῶν θεραπείαν
B καὶ ἴασιν.

Ibid. 9. *Πολὺς τὸ φαινόμενον.* Τοῦτο ὡς καὶ κατὰ τὸ φαινόμενον πολλὰ σύμβολα τῆς τοῦ πατρὸς δείκνυσθαι ἀρετῆς· πλεῖστα δὲ καὶ κρυπτὰ, μὴ τοῖς πολλοῖς γινωσκόμενα· ἃ καὶ *βέλτιόν* ἐστι *ταῖς ὑπονοίαις*, φησὶ, καὶ ταῖς ἀγαθαῖς ὑπολήψεσι *συγχωρεῖν*, ἀλλὰ μὴ, τῷ *λόγῳ* πειρωμένους ἐκτιθέναι, ἐλαττοῦν καὶ *περικόπτειν* τὸ ἐνυπάρχον *τοῦ θαύματος*.

Col. 760 A 5. *Ὥστε καὶ* (44) *ἤδη τισί.* Τὸ ἑξῆς. *ὥστε πιστευθῆναι καὶ ῥηθῆναί τισι, μηδὲ τὴν τοῦ ἀνδρὸς τελειότητα*· μεταξὺ γὰρ ἡ περικοπὴ τεθεῖσα διέστησε τὰ τῆς διανοίας· ἔστι δὲ οὕτως ὁ νοῦς· τὴν τελειότητα τοῦ ἀνδρὸς, μὴ ἄλλου τινὸς πιστευθῆναι εἶναι, ἀλλ' ἢ τῆς μητρὸς ἔργον γενέσθαι· τοῦτο
C γὰρ, φησὶ, τισὶ καὶ πιστευθῆναι καὶ ῥηθῆναι συνέβη· καὶ τῆς εὐσεβείας ταύτης ἆθλον καὶ στέφανον ἐπιτεθῆναι τὴν τοῦ πατρὸς *μείζω* (44*) *καὶ τελεωτέραν εὐσέβειαν*.

Ibid. B 1. *Ἐκ τῆς παροικίας εἰς τὴν κατοικίαν.* Ἐκ τῶν τῇδε καὶ προσκαίρων· τοιαύτη γὰρ ἡ παροικία· κατοικία δὲ, ἡ αἰωνία καὶ μὴ μεταπίπτουσα εὐδαιμονία, καὶ ἡ ἐκεῖθεν μακαριότης.

Ibid. 6. *Πλήρης* (45) *ἡμερῶν.* Κοινῶς τὰς ἡμέρας τὰς τῆς ζωῆς πληρεστάτας ἑκατέρας ὁμοίως ἐκφέρει, τῶν τε λυομένων καὶ προσκαίρων, καὶ τῶν μενουσῶν καὶ αἰωνίων, ὡς πλήρεις, ἀλλ' οὐχ ἐλλιπεῖς εἶναι, καὶ τῆς ζωῆς ταύτης καὶ τῆς λαμπρότητος ἐκείνης οὐχ ὑφειμένας.

D Ibid. 9. *Καὶ πάσης εὐδαιμονίας μέτρον ἐπλήρωσαν.* Καὶ ἐν πᾶσι καὶ κατὰ πάντα τὸ μέτρον τῆς εὐδαιμονίας καὶ μακαριότητος, ὅσονπερ ἐνῆν, ἐξεπλήρωσαν ἐσχηκότες, *πλὴν τῆς τελευταίας ταύτης*· οὐ συμφορᾶς δὲ εἶπεν, *ἀλλ' οἰκονομίας καὶ δοκιμασίας*, ὡς ἄν τις, φησὶν, ὑπολάβοι. Καὶ θέασαι ὅπως τούτοις εἰς εὐδαιμονίαν καὶ ταῦτα ἕλκει καὶ παρατίθησι, τὸ τὸν σφαλερώτατον διὰ νεότητα καὶ ἡλικίαν τῶν παίδων προπέμψαι, καὶ ἐν ἀσφαλεῖ τὸν βίον καταλῦσαι, καὶ πρὸς τὰ οὐράνια μεταστῆναι πανοικὶ, ὅπερ τελείας εὐδαιμονίας ἐστίν.

(44) Καὶ om. in editis.
(44*) Editi μείζονα.
(45) Scribe πλήρεις cum editis

Ibid. C 7. *Ἀλλὰ τοὐναντίον*. Ποῖον; Εἰ τῶν τοιούτων γεννητόρων ἀμελήσας, καὶ τῶν ἐγγύθεν ὑποδειγμάτων καταφρονήσας, μὴ θαύμαζε, φησὶ, εἰ πρὸς ἑτέρους οὐκ εἶδεν, ἀλλὰ πρὸς τούτους· θαύμαζε δὲ μᾶλλον τὸ ἐναντίον εἰ πρὸς ἑτέρους ἰδὼν καὶ οὐκ ἐπαινετὰ ὑποδείγματα, τούτων ὑπερεφρόνησε. A

Ibid. 12. *Καὶ τὴν ἐπὶ πᾶσι τοῦ ἀνδρὸς χάριν*. Τὸ σωματικὸν χάρισμα λέγει, καὶ τὸ κάλλος· τοῦτο γὰρ ἡ εὐαρμοστία παραδηλοῖ, καὶ τὸ ἐν πᾶσι τοῦ ἀνδρὸς καλὸν καὶ σύμφωνον ὡς ἐν φθόγγῳ.

Col. 761 A 5. *Ὢ πῶς ἀδακρυτὶ παρέλθω*. Ἀνωτέρω, καὶ ἐν αὐτῇ τῇ ἀρχῇ τοῦ λόγου, τὸν θρῆνον καὶ τοὺς θρηνοῦντας παραιτησάμενος, νῦν ὥσπερ αἰσθόμενος ἑαυτὸν εἰς τοιαῦτα ἐληλυθότα καὶ σχετλιάσαντα, θᾶττον ἐπιλαμβάνεται ἑαυτοῦ παρὰ τὴν B ὑπόθεσιν πεπραγότος, καὶ ἀπολογεῖται ὡς μὴ ἀφιλόσοφον λογισθῆναι διὰ τὸ πάθος· καίτοι δακρῦσαι ἐπὶ νεκρῷ οὐκ ἔξω, ἔφη, τοῦ ἡμετέρου νόμου· ἐνάρξαι μέντοι καὶ μὴ πλέον, ἢ καλῶς ἔχει, θρηνεῖν ἐξεῖναι. Σχετλιάσας οὖν καὶ Ὢ πῶς εἰπὼν, οὐ θρηνεῖ πάντως· οὐ γὰρ ἡ ἀρχὴ θρήνου ἤδη καὶ θρῆνός ἐστιν, ὥσπερ οὐδ' ἡ τῆς ὁδοῦ ἀρχὴ, ὁδὸς, κατὰ τὸν μέγαν Βασίλειον.

Ibid. B 5. *Τίς δὲ τῇ τῶν βελτίστων αὐτὸν προσέθηκε;* Τίς, φησὶ, τούτων πλέον, τουτέστι *τῶν βελτίστων*, τοῖς τε ἄλλοις καὶ τοῖς ἐκ τῆς πατρίδος, προυτίμησεν ἢ προστέθεικεν ἑαυτόν;

Ibid. 8. *Καίτοι* (45*) *διὰ τὸ μέγεθος*. Τῆς πόλεως Ἀλεξανδρείας δηλαδὴ, ὡς μεγίστης αὐτῆς ὑπαρχούσης· καὶ διὰ τὸ μέγεθος πάντων σχεδὸν κρυπτομένων, καὶ μηδὲ γνωριζομένων, οὐδεὶς τούτου *γνωριμώτερος* ἢ *περιφανέστερος* ἐπὶ σωφροσύνῃ καὶ *συνέσει*. C

Ibid. C 2. *Καὶ πάντων* (46) *ὡς ἓν ἐξασκήσας*. Συνήθη ταῦτα τῷ Πατρὶ τὸ στρέφειν τε καὶ συνάγειν μετὰ κάλλους, τὰ τῇ φράσει συνεστραμμένα καὶ κατηναγκασμένα ἁβρότερον ἀπαγγέλλειν. *Πάντα* οὖν, φησὶν, ὡς *ἓν* τῶν μαθημάτων ἐξήσκησε, καὶ οὐδὲ τῶν πρεσβυτέρων τις, μὴ ὅτι γε τῶν ἡλίκων, οὕτως εὐκόλως καὶ ἀσφαλῶς κατώρθωσε. Καὶ πάλιν τούτων ἕκαστον ἀντὶ πάντων, τουτέστι, πάντα ὡς ἓν μάθημα ᾔδει, καὶ ἕκαστον ὡς πάντα· τὴν γνῶσιν γὰρ ἁπάντων ὡς ἑνὸς μαθήματος εἶχε, καὶ ἑνὸς ἑκάστου εἴδησιν πάλιν, ὡς ἁπάντων. D

Ibid. 7. *Καὶ τῆς ἐπικινδύνου τοῖς ἄλλοις παιδεύσεως*. Τῆς ἀστρονομίας καὶ ἀστρολογίας, λέγει, ἧς καὶ τὸ χρήσιμον ἐπιφέρει, τὸ ἐκ τῆς τῶν οὐρανίων κινήσεως τὸν Δημιουργὸν θαυμάζειν, καὶ τὸ βλαβερόν τε καὶ ἄχρηστον ἐπιδείκνυσιν, (46*) *οὐ τῇ φορᾷ τῶν ἄστρων*, καὶ τὰ ἑξῆς τῶν ἑπομένων.

Ibid. D 1. *Ἀριθμῶν καὶ λογισμῶν*. Ἤτοι ἀριθμητικῆς, τῆς ἐν ποσότησιν ἀριθμῶν δίκην γραμμῶν, ἐν τριγώνοις καὶ τετραγώνοις σχήμασι καὶ πολυγώνοις ποικιλλομένης. *Λογισμῶν* δὲ, εἴτουν λόγων τε καὶ ἀναλογιῶν, ὡς ἔχουσι πρὸς ἀλλήλους· περὶ

(45*) Editi καίτοι γε.
(46) Lege πάντα cum editis.

Ἀλλὰ τοὐναντίον. Ne mireris, inquit, si ad cæteros noluit spectare, talibus neglectis parentibus, et spretis proximorum exemplis; mirare vero potius quod apud alios videns non laudabilia exempla, illa contempserit.

Καὶ τὴν... χάριν. Corporalem venustatem et pulchritudinem dicit. Hoc enim significat εὐαρμοστία, pulcherque viri in omnibus, velut in sonis, concentus.

Ὢ πῶς ἀδακρυτὶ παρέλθω. Superius et in ipso sermonis exordio, gemitum et gementes deprecatus, nunc quasi inchoati gemitus et querelæ sibi conscius, seipsum statim coercet contra propositum facientem, seque excusat ne ipsum infirmi animi esse dolor arguat. Nec tamen, inquit, contra legem nostram est lugere mortuum; inchoare planctum et intra justos limites lamentari licet. Gemens ergo et Ὢ πῶς exclamans, non lamentationem perficit: inchoatio enim lamentationis non est ipsa lamentatio, sicut initium viæ non ipsa via est, juxta magnum Basilium.

Τίς δὲ τῇ... προσέθηκε; Quis, inquit, illis, id est *viris optimis*, cum aliis, tum ex ipsius patria oriundis magis assidua familiaritate se adjunxit? Quis illos in majori pretio habuit?

Καίτοι διὰ τὸ μέγεθος. Urbis Alexandrinæ videlicet, quæ revera maxima erat. Quamvis igitur, propter urbis magnitudinem, omnes fere laterent, vixque ullus notesceret, nemo illo clarior aut illustrior ob temperantiam et sagacitatem.

Καὶ πάντα ὡς ἓν ἐξασκήσας. Concisam hanc et elegantem verborum oppositionem usurpare amat Pater. Omnia, inquit, *ut unum*, id est, omnes scientias ut unam, excoluerat, et nullus inter majores natu, nedum inter æquales, ita facili certoque pede hanc viam cucurrit; *singula rursum ut omnia*, omnes videlicet scientias ut unam callebat, et unamquamque ut omnes; omnium enim ut unius notitiam habebat, et uniuscujusque ut omnium.

Καὶ τῆς... παιδεύσεως. De astronomia et astrologia loquitur, cujus disciplinæ cum utilitatem, admirationem scilicet Creatoris ex corporum cœlestium motu, tum periculum et vanitatem exponit, cum dicit: Οὐ τῇ φορᾷ τῶν ἄστρων, et quæ sequuntur.

Ἀριθμῶν καὶ λογισμῶν. Id est arithmeticæ, quæ circa quantitates numerorum versatur, horum, linearum instar, trigonis, tetragonis, polygonisque figuris variata; λογισμῶν, id est rationum et analogiarum quibus ad se invicem referuntur: de

(46*) Hic quædam deesse videntur.

quo fusius tractavimus in commentariis nostris ad sermonem de Pentecoste.

A ὧν εἴρηται πλατύτερον (47) ἐν τῷ εἰς τὴν Πεντηκοστὴν λόγῳ διὰ τῶν ἡμετέρων ὑπομνημάτων.

Καὶ τῆς θαυμασίας ἰατρικῆς. Non ironice *admirabilem* vocat artem medicam, sed quod verum est dicit. Vere enim admiratione digna videtur ars quæ exploratis naturis et temperamentis, therapeuticæ exponit regulas. Non loquitur enim de arte illa empirica et insulsa quæ non semel, ex ignorantia primarum causarum, nocere potest: quæ causæ juxta scientiæ regulas consideratæ, investigatæ, necnon inter se secundum naturæ et rationis leges collatæ, morborum quasi radices et fontes patefaciunt, ex quibus variæ affectionum species scaturiunt et germinant: hæc autem pravarum radicum prava propago congruis medicamentorum adhibitionibus succiditur et marcescit.

Ibid. *Καὶ τῆς θαυμασίας ἰατρικῆς*. Οὐκ εἰρωνευόμενος *θαυμασίας* εἶπεν, ἀλλὰ τὸ ὂν ἔφη· θαύματος γὰρ τῷ ὄντι ἀξία ἡ ἐκ τῶν φύσεων καὶ τῶν κράσεων μεθοδεύουσα, καὶ τῆς θεραπείας τοὺς τρόπους παραδιδοῦσα. Οὐ μὴν τῆς ἐμπειρικῆς καὶ τῆς ἀλόγου τριβῆς, ἣ καὶ βλάψειεν ἔστιν ὅτε τῇ ἀγνοίᾳ τῶν πρώτων αἰτίων· ὥσπερ ἐπιστημόνως θεωρούμενά τε καὶ διερευνώμενα, καὶ φυσικῶς τε καὶ λογικῶς συγκρινόμενα, ἀπαγγέλλουσι τὰς οἷον ῥίζας καὶ πηγὰς τῶν νοσημάτων, ἐξ ὧν ἐκβλύζουσι καὶ τὰ ποικίλα τῶν παθῶν ἐκβλαστάνουσιν εἴδη, ὧν ῥιζῶν ταῖς κατ' ἀλλήλοις τῶν φαρμάκων ἰατρείαις ἐκκόπτονταί τε καὶ καταμαραίνονται τὰ βλαστήματα.

B

Μετ' ἐκεῖνον... ἀριθμοῖτο. Nemo igitur, inquit, ita ineptus erat ut illi primas invideret; imo, si quis primas ambiret, ille in maximi honoris loco habebat illas Cæsario concedere, primumque inter secundos obtinere locum.

Ibid. 6. *Μετ' ἐκεῖνον εὐθὺς ἀριθμοῖτο*. Οὐδεὶς οὖν, φησὶν, ἀμαθῶς τούτῳ περὶ πρεσβειῶν ἀμφισβητήσειε· μέγα δὲ τῷ τοιούτῳ τῷ περὶ πρωτείων φιλονεικοῦντι, παραχωροῦντι Καισαρίῳ τὰ πρεσβεῖα, ἐν τοῖς δευτέροις τὸ πρεσβεῖον λαμβάνειν.

Ἡ νῦν κακῶς... διαλυθεῖσα. Par contemplatione dignum matri videbantur, quod nunc, inquit, morte per invidiam dissolutum est. Corpus et personam invidiæ tribuit, quæ per se subsistere nequit. Non ergo hanc *malam dissolutionem* quasi pœnam naturæ humanæ inflictam exponit, quod probabiliter facere potuisset. Sic autem loquens quid sibi voluerit nescio, nisi forte ad patrem invidiæ alluserit. Ex eo enim invidia et mors, inquit, nempe Satana invidiæ patre.

Col. 764 B 8. *Ἡ νῦν κακῶς ὑπὸ τοῦ φθόνου διαλυθεῖσα*. Θέας ἀξία ξυνωρὶς τῇ μητρὶ καθορώμενοι, ἥτις νῦν, φησὶ, θανάτῳ ὑπὸ τοῦ φθόνου λέλυται. Σωματοποιεῖ δὲ καὶ προσωποποιεῖ τὸν φθόνον, πρᾶγμα μὴ καθ' ἑαυτὸ συστῆναι δυνάμενον. Μὴ οὖν τὸ τῆς φύσεως ἐπιτίμιον τέως ἔχων αἰτιᾶσθαι τὸ κακῶς εἶπε λυθῆναι· οὐκ οἶδ' ὅπως, ἢ (47*) μή ποτε ἀνάγων εἰς τὸ πρωτότυπον τοῦ φθόνου, οὕτως ἔφη· ἐξ C ἐκείνου γὰρ ὅ τε φθόνος καὶ ὁ θάνατος, λέγει, τοῦ τὸν φθόνον γεγεννηκότος Σατᾶν.

Καὶ πρὸς... σταλῆναι. Constantium, ni fallor, indicat, ad quem absentem, communi senatus decreto hic legatus missus est, rogaturus ut princeps civitas viro eruditorum principe ornaretur, si modo primaria revera urbs et nomine suo digna futura esset.

Ibid. C 4. *Καὶ πρὸς βασιλέα πρεσβείαν σταλῆναι*. Οἶμαι, Κωνστάντιον λέγει, μὴ παρόντα μέν· ἀπὸ δὲ κοινοῦ δόγματος συγκλήτου, πρεσβευτὴν τοῦτον σταλῆναι, ὥστε τὴν πρώτην πόλιν τῷ πρώτῳ τῶν σοφῶν, εἴτουν Καισαρίῳ, κοσμηθῆναι, εἰ πρώτην ὡς ἀληθῶς εἶναι δεῖ, καὶ τῆς ἐπωνυμίας ἀξίαν.

Στηλιτευτικός. Invectiva hæc oratio, vituperatio est Juliani gestorum. Hoc autem differt invectiva oratio a vituperatrice, quod in vituperatione oratio per demonstrativi generis capita progrediatur, ut per genus, educationem, gesta, comparationem ; in invectiva autem solum per res gestas, aut etiam, si ita res tulerit, per comparationem. Steliteuticum autem hoc dicendi genus nuncupatur translatione ducta ἀπὸ τῆς στήλης, id est a columna. Est porro columna lapis, vel æs oblongum quadrata figura in quo inscribitur ejus qui invectiva oratione proscinditur, contumelia. Scire autem operæ pretium est quod nonnunquam beneficia in stelis inscribebantur.

Ἐνωτίσασθε. In auribus ponite.

Περιωπῆς. — Περιωπή, *specula*, locus excelsus est. Ita dicitur, quia exinde omni ex parte circumspicitur. Ὤψ enim poetice oculus. Et ἄποπτον ex ἀφορᾷν venit. Voco igitur omnes, ait, ex edito quodam et medio loco, ex quo vocatos a me multum prospicere possim.

Γενήσεσθε. Non quod nunc audiunt, qui postea erunt. Quomodo enim? Sed quod et ipsi qui in posterum futuri sunt, tunc exaudiunt, sicut et nos qui nunc in hoc mundo vitam degimus.

Δύναμις. Audite, et vos.

Δράκοντα. Καθελοῦσι supple, ut antea.

Ταῦτα. Cœlum scilicet et terram.

Κωνσταντίου. Animadverte quomodo in omni oratione egregiam de Constantio imperatore mentionem facit, neque in aliis quidem nequitiam ejus objurgat, sed simplicitatem potius ac levitatem; hic manifeste laudat. Nec est quod mireris. Zelus enim adversus idololatras adeo mutaverat eum, ut sincerus amicus iis fieret qui, non per nequitiam, ut ipse dicit, sed propter simplicitatem ipsi molesti fuerant. Consueverat enim Pater in majore malo ignoscere minus ignorantibus. Lege ejus *De pace*, orationem nec non *adversus Eunomianos*, in qua dicit: De mundo, de materia, deinde Christi cruciatibus philosophare, etc.

A Ibid. 4. *Ἐνωτίσασθε.* Ἐν τοῖς ὠσὶ θέσθε.

Ibid. 7. *Περιωπῆς.* Περιωπή, ἐστὶ τόπος ὑψηλός· εἴρηται δὲ ἀπὸ τοῦ περισσῶς ὁρᾷν ἐκεῖθεν. Ὢψ γὰρ ποιητικῶς ὁ ὀφθαλμός· καὶ τὸ ἄποπτον δὲ ἀπὸ τοῦ ἀφορᾷν εἴρηται. Καλῶ γοῦν, ἅπαντας, φησὶν, ἔκ τινος ὑψηλοῦ καὶ μεσαιτάτου τόπου, πολὺ τὸ ἀφορᾷν τοὺς καλουμένους ἐμοὶ παρέχοντος.

Ibid. 10. *Γενήσεσθε.* Οὐχ ὅτι νῦν ἀκούουσιν οἱ γενησόμενοι (πῶς γάρ;), ἀλλ' ὅτι καὶ αὐτοὶ ὕστερον ἀκούσονται τῶν λόγων ἐντυγχάνοντες, ὥσπερ καὶ ἡμεῖς οἱ νῦν ἐν τῷ κόσμῳ τούτῳ διάγοντες.

Ibid. 11. *Δύναμις.* Ἀκούσατε, καὶ ὑμεῖς.

Ibid. B 2. *Δράκοντα.* Καθελοῦσι, ἀπὸ τοῦ κοινοῦ.

Col. 533 A 2. *Ταῦτα.* Τὸν οὐρανὸν καὶ τὴν γῆν.

Ibid. 6. *Κωνσταντίου.* Σημείωσον, πῶς ἐν ὅλῳ B τῷ στηλιτευτικῷ καλῶς μέμνηται Κωνσταντίου τοῦ βασιλέως· οὐδὲ ἐν τοῖς ἄλλοις μὲν αὐτοῦ κακίαν αὐτῷ μαρτυρῶν, ἀλλ' ἁπλότητα μᾶλλον καὶ κουφότητα· ἐνταῦθα δὲ καὶ σαφῶς ἐπαινῶν. Καὶ μὴ θαυμάσῃς. Ὁ γὰρ κατὰ τοῦ εἰδωλολάτρου ζῆλος διήλλαττεν αὐτὸν ὁλοτελῶς, καὶ φίλον ἐποίει γνήσιον τῶν οὐ κατὰ κακίαν, ὡς αὐτός πού φησιν, ἀλλὰ δι' εὐήθειας λελυπηκότων. Ἐπεὶ καὶ τὸ ἄλλο ἦθος τοῦ Πατρὸς τοιοῦτον, ἐν τῷ ὑπερβάλλοντι κακῷ συγγινώσκειν τοῖς μικρότερον ἀγνοοῦσιν [*Reg. B*, τοῖς μικρότερον αὐτοῦ τὸ εἰρηνικὸν ἀγνοοῦσιν]. Ἀνάγνωθι αὐτοῦ τὸν *Εἰρηνικὸν*, καὶ πάλιν [*Reg. B* ἐν τῷ] τὸν *πρὸς Εὐνομιανούς*, ἔνθα φησί· Φιλοσόφει μοι περὶ κόσμου καὶ ὕλης, εἶτα περὶ Χριστοῦ παθημάτων, καὶ τὰ ἑξῆς.

Αἴσθησις. Isocratice, nempe, Si quis mortuis sensus est eorum quæ in terra aguntur.

Τοῦ δέ. Constantii scilicet anima magis quam aliorum omnium imperatorum audiat.

Βεβαιωσάμενος. Pro βεβαιώσας, *cum confirmasset et stabilivisset.*

O gravem offensam. Hoc ante apodosin est interponendum. Offensam, qua ipse affectus est Constantius, qui talem pestem nescierat.

Aluit. Patruus enim ejus erat.

Βασιλεῦσαι. Pro Ποιῆσαι βασιλεῦσαι, *Effecit ut rex constitueretur.*

Voluptatem capturum. Valde gavisurum.

Sanctiorem. Sermonem videlicet.

Nefarias. Immundas, impuras.

Præstantia. Nempe quod supervacuum est, et redundans, nimisque copiosum.

Omnis hujus sæculi. Pulchra hæc definitio. Namque eruditio et secundum nos mysterium, non autem hujus sæculi, neque principum ejus, sed quæ desuper et a lucis Patre venit.

Διαπορευομένη. Supple ἐστί.

Atque illa. Insipiens sapientia.

Et apud tales. Præstantiores et insigniores.

Exhibebit. Circumdabit.

Assistet gratiæ. Pro, stabit in cyclo.

Quis theatrum exhibebit — Quis dabit mihi tales, ait, auditores, qui digni sint gratia? Quanam? Quam Deus nobis concedere dignatus est, sublato tyranno.

Ibid. 7. *Αἴσθησις.* Ἰσοκρατικὸν, ἀντὶ τοῦ, Ἐάν τις αἴσθησίς ἐστι τῶν τῇδε ἀκούειν.

Ibid. 8. *Τοῦ δέ.* Τούτου δὲ τοῦ Κωνσταντίου ἡ ψυχὴ δηλονότι καὶ πάντων τῶν ἄλλων βασιλέων πλέον ἀκουέτω.

C Ibid. 10. *Βεβαιωσάμενος.* Ἀντὶ τοῦ, βεβαιώσας καὶ κυρώσας.

Ibid. 12. *Ὢ τῆς ἐπηρείας.* Τοῦτο μεταξὺ νόησον πρὸ τῆς ἀποδόσεως. *Ἐπήρειαν δὲ*, ἣν αὐτὸς ἐπηρεάσθη Κωνστάντιος, ἀγνοήσας τὸ τοιοῦτον κακόν.

Ibid. 14. *Ἐπιτρέφων.* Θεῖος γὰρ αὐτοῦ ἦν.

Ibid. B 1. *Βασιλεῦσαι.* Ἀντὶ τοῦ, Ποιῆσαι βασιλεῦσαι.

Ibid. 3. *Ἡσθείη.* Χαρείη.

Ibid. 7. *Ἱερώτερον.* Τὸν λόγον.

Ibid. 8. *Ἐναγεῖς.* Μυσαροὺς, ἀκαθάρτους.

Ibid. 9. *Περιουσία.* Ἀντὶ τοῦ, περιττεῦον καὶ πλεονάζον καὶ λίαν εὔπορον.

Ibid. 11. *Ἡ τοῦ αἰῶνος.* Καλὸς ὁ προ[σ]διορισμός. Παίδευσις γὰρ καὶ τὸ καθ' ἡμᾶς μυστήριον, D ἀλλ' οὐ τοῦ αἰῶνος τούτου, οὐδὲ τῶν ἀρχόντων αὐτοῦ, ἄνωθεν δὲ παρὰ τοῦ Πατρὸς τῶν φώτων.

Ibid. 12. *Διαπορευομένη.* Ἐστὶ δηλονότι.

Ibid. 14. *Ἐκείνη.* Ἡ ἄσοφος σοφία.

Ibid. *Τοιούτοις.* Ἐπισημοτέροις καὶ ὀνομαστοτέροις.

Ibid. C 9. *Περιστήσει τῇ χάριτι.* Ἀντὶ τοῦ, Κύκλῳ στήσει [*Reg. D* Τίς θέατρον περιστήσει.] Τίς δώσει μοι τοιούτους, φησὶν, ἀκροατὰς, ὥστε καὶ ἀξίους εἶναι τῆς χάριτος; Ποίας; Ἣν ὁ Θεὸς ἡμῖν ἐχαρίσατο καθελὼν τὸν τύραννον.

Ibid. *Παρισούμενον*. Παραμετρούμενον.

Ibid. 11. *Λόγῳ*. Οὐ μόνον, φησὶ, τῷ Θεῷ Λόγῳ ἡ διὰ λόγου χάρις οἰκειοτάτη καὶ πρεπωδεστάτη τῶν ἄλλων χαρίτων, ἃς αὐτῷ προσφέρομεν, ἀπὸ τῶν ὑπαρχόντων ἕκαστος, οἷα διαφερόντως ταύτῃ τῇ Λόγου προσηγορίᾳ χαίροντι μετὰ τῶν ἄλλων προσηγοριῶν, ὧν ὀνομάζεται, Θύρας, φέρε εἰπεῖν, Ζωῆς, Ἀληθείας, Φωτός. Οὐ μόνον οὖν τῷ Θεῷ Λόγῳ, φησὶν, ἡ διὰ λόγου χάρις οἰκειοτάτη τῶν ἄλλων ἐν ἄλλοις χαρίτων, ἀλλὰ καὶ τῷ τυράννῳ πρέπουσα κόλασις, λόγῳ κολάζεσθαι τῷ στηλιτευτικῷ τούτῳ ἀνθ' ὧν εἰς τοὺς λόγους παρανομῶν ἑάλω. Ἡ δὲ παρανομία, ὅτι τοὺς Χριστιανοὺς παιδεύεσθαι τὴν κοινὴν ταύτην παίδευσιν ἐκώλυεν. Ἔστι δὲ καὶ ἄλλως τὸ χωρίον ἐξηγήσασθαι, εἰ λόγον ἐνταῦθα νοήσαιμεν τὸν κοινὸν ἁπάντων ἀνθρώπων, ὃς τοῦ τε εὐλόγου καὶ τοῦ ἀλόγου μέσος ἕστηκεν· ὧν τὸ μὲν εὔλογον ἕξις αὐτοῦ καὶ σχέσις, τὸ δὲ ἄλογον στέρησις. Οὐ μόνον οὖν τῷ λόγῳ τούτῳ ἡ διὰ λόγου χάρις οἰκειοτάτη, χαίροντι διαφερόντως καὶ μάλιστα τῇ τοῦ λόγου προσηγορίᾳ καὶ δυνάμει μετὰ τῶν ἄλλων εὐλόγων ὧν ὀνομάζεται, φέρε εἰπεῖν, παιδεύσεως, σοφίας, ἀρετῆς, ἀλλὰ κἀκείνῳ πρέπουσα δίκη, καὶ τὰ ἑξῆς. Ἀριστείδῃ δὲ τὸ ἐνθύμημα.

Col. 536 A 8. *Πρῶτον μέν*. Δύο φησὶν αἰτίας τῆς ἀλογίας τῆς ἐκείνου, ἣν εἰς τοὺς λόγους πέπονθε· πρῶτον μὲν ὅτι κακουργότατα τὴν ἐπωνυμίαν τοῦ λόγου μετωνόμασεν ἐπὶ τὸ δοκοῦν, οὐκέτι λόγους, ἀλλ' Ἑλλήνων παίδευσιν ἢ σοφίαν προσαγορεύων, ἀγνοῶν ὁ δειλὸς, ὅτι οὐ καθ' ὃ Ἕλληνες, ἀλλὰ καθ' ὃ ζῶα λογικὰ ἐφιλοσόφησαν· εἰ δὲ τοῦτο, πάντων ἀνθρώπων, ἀλλ' οὐ τῶν Ἑλλήνων ἡ παίδευσις· δεύτερον δὲ ὅτι λανθάνειν ἡμᾶς ἐνόμισεν, εὐτελοῦς τινος ἀποστερῶν τῶν τοιούτων λόγων, οἳ τῆς εὐγλωττίας ὀλιγωροῦντες, τῆς ἀληθείας ἐχόμεθα. Ἄλλως. Οὕτω διαλύσας τὴν φράσιν, σαφέστερον νοήσεις καὶ βέλτιον· Εἰ λήσειν ἡμᾶς ὑπελάμβανεν, οὐ μέλλων ἀγαθοῦ τινος ἀποστερήσειν ἡμᾶς, ἀλλὰ φοβούμενος τοὺς τῆς ἀσεβείας ἐλέγχους, οἳ καὶ πάλιν τούτους περιφρονοῦμεν τοὺς λόγους, τὴν ἰσχὺν ἔχοντας οὐκ ἐν τῇ γνώσει τῆς ἀληθείας, ἀλλ' ἐν τῷ κόμπῳ καὶ τῷ σεμνῷ τῆς λέξεως. Οὐκ ἔλαθεν οὖν ἡμᾶς τοὺς ἐλέγχους μᾶλλον φοβούμενος, ἢ τῶν λόγων ἀποστερεῖν ἐπειγόμενος.

Ibid. 11. *Φῶρας*. Ἀντὶ τοῦ, κλέπτας, ὅθεν καὶ τὸ ἐπαυτοφώρῳ, ἀντὶ τοῦ, ἐπ' αὐτῇ κλοπῇ.

Ibid. B 5. *Ὧν*. Ὡντινων, φησὶν, ἐνθυμημάτων τῆς ἀληθείας ἀδυνατώτερον ἐπισχεθῆναι ἡμᾶς. Ἀδύνατον δὲ καὶ τῶν λόγων ἐπισχεῖν ἡμᾶς καὶ τῆς γνώσεως αὐτῆς· οὐ μόνον δὲ, ἀλλὰ καὶ τοῦ τὸν Θεὸν ὁμολογεῖν γλώσσας ἔχοντας ἀδυνατώτερον ἐπισχεθῆναι. Οὕτως οὖν νοήσεις· Ὧν ἐνθυμημάτων καὶ γνώσεως τῆς ἀληθείας καὶ τοῦ τὸν Θεὸν ὁμολογεῖν ἀδυνατώτερον ἡμᾶς εἶρξαι τὸν τύραννον τῶν λόγων.

Ibid. 8. *Λόγον*. Τὸν ἀληθῆ δηλονότι.

Ibid. C 1. *Θαῤῥοῦντος*. Πιστεύοντος.

A Παρισούμενον. Adæquatam, cum gratia conferendam.

Verbo. Non modo, ait, Deo Verbo quæ per verba rependitur gratia aptissima et congruentissima est omnium gratiarum, quas ei attribuimus, ex facultatibus quisque, utpote hoc Verbi vocabulo admodum gaudenti, præter alia vocabula, quibus appellatur, Januam videlicet, Vitam, Veritatem, Lucem. Non modo igitur Deo Verbo, ait, gratia, quæ per verba rependitur, aptissima est omnium in cæteris gratiis verum etiam tyranno congruens supplicium fuerit, sermone hoc invectivo puniri, ob scelus adversus sermones perpetratum. Scelusque illud, ne communem hanc doctrinam docerentur christiani prohibuit. Alio quoque sensu locus explicari potest, B si sermonem hic intelligamus communem omnium hominum, qui inter rationale et irrationale stat medius : quorum rationale quidem habitus ejus statusque, irrationale autem privatio. Non modo igitur huic sermoni gratia ea, quæ per sermonem agitur, maxime convenit, gaudenti in primis et maxime sermonis denominatione et vi præter alia rationalia vocabula, quibus appellatur, videlicet doctrina, sapientia, virtute; sed huic quoque congruens pœna, et quæ sequuntur.—Aristidis hæc sententia.

Primum quidem. Duas istius stoliditatis causas refert, qua de sermonibus cogitavit : primum quidem, quia malitiose ac veteratorie appellationem ad id quod ipsi visum est, transtulit, non jam sermones, sed Græcorum disciplinam vel sapientiam C appellans, stolide nescius quod non juxta quod Græci, sed juxta quod animalia rationalia philosophati sunt : quod quidem omnium hominum, non autem Græcorum disciplina; secundo, quoniam ignotum nobis fore existimavit, non magno horum sermonum bono ab eo nos privari, quippe qui verborum elegantiam parvi pendentes, veritatem solum magno in pretio habemus. — Aliter. — Phrasin, partibus ita sejunctis, melius ac magis perspicue intelliges. Nobis obscurum fore existimavit, non bono aliquo nos privaturus, verum impietatis confutationes extimescens; quippe qui hos sermones admodum aspernemur, velut robur habentes, non in veritatis cognitione, sed in dictionis elegantia D ac lenocinio. Nos igitur non fefellit confutationes magis extimescens, quam sermonibus privare conatus.

Φῶρας. Pro κλέπτας, *fures*, unde et ἐπαυτοφώρῳ pro ἐπ' αὐτῇ κλοπῇ, in manifesto furto.

A quibus. A quibus ait argumentis veritatis minus compesci ac reprimi possumus. Impossibile est enim a sermonibus nos compesci et cognitione ejus : non solummodo, verum etiam et inhiberi ne Deum confiteamur, linguam habentes. Sic igitur intelliges : ab argumentis et veritatis cognitione Deique confessione nos comprimere huic sermonum tyranno impossibilius est.

Sermonem. Nempe verum.

Confidentis. Credentis.

Quippe adversus. Quippe adversus pugnantes coronæ, id est, pro pugnantibus (Demosth.) Quod maxima est vestri laus.

Panegyrismum. Præsens enim sermo, Juliani cum sit nequitiæ vituperatio, immortalisque impietatis stela, panegyrici generis est. Panegyricum enim genus in rhetorice vituperationem laudationemque comprehendit, sicut judiciale accusationem et defensionem, atque deliberativum adhortationem quamlibet et consilium, unde huic generi Græce nomen συμβουλευτικόν inditum.

Ad choream. Quatuor ad solemnitatem hominum classes vocat, quarum secunda in duas dividitur. Hanc primam vocat, quicunque jejuniis et orationibus addicti, Deum orabant ut ab urgentibus tunc molestiis liberationem daret; secundam vocat, quæ in duas partes divisa est, nempe qui in corporibus passi sunt, et qui in rebus exterioribus passi sunt, qui opum suarum, atque auctoritatis et potentiæ jacturam pertulerunt, qui e patria ejecti, qui a conjunctis et amicis disjuncti sunt; tertiam, omnes qui, cum Deum confiteantur ac religiosi sint, providentiæ rationes ignorant plerumque ex contrariis contra spem procurantis, felicem vero opportunumque contrariorum eventum non ferentes, præsentium semper servi sunt, et his recentioribus miraculis in veritate confirmantur. Quartam vocat conditionem, omnes illos quorum animæ hujus mundi scenam ad stuporem usque mirantur, eos his Isaiæ verbis adhortatur, ut spiritali animi oculo a visibilium errore et deceptione educto, in posterum solum esse Deum cognoscant. Quintam ad solemnitatem secum concelebrandam classem vocat, eos scilicet qui nunc usque a magistri cœtu defecerunt, quos sperat brevi, animo converso, in eumdem reversuros esse confidit.

Kal. Aut copulativa καί redundat, aut hæc superioribus connectens, ita phrasin strues: Ilos quoque sermo in choream convocat, quicunque magnis certaminibus exantlatis, multisque temporis insultibus percussi, ac corporibus licet fracti et debilitati, animis tamen invicti permanserunt, omniaque in Christo fortiter sustinentes, mundo spectaculum exstiterunt. Ita verborum ordinem strues.

Ut quidem dicitur. A plerisque scilicet et pusillanimis. Paucis autem excelsisque animo una patria vera est et mater superna Jerusalem. Namque creditur, non est autem vere nobis in terra patria, nihilque eorum quæ a Patre enumerata sunt.

Hujusmodi. Scilicet tyranno interempto, religione ad pristinum statum reversa, magis confidebat.

Ἐπτοημένας. Mirantes extimescentesque. Qui enim alicui rei admodum astrictus est, ne ab ea abripiatur pertimescit.

Adulterinam. Non fictitiam, sed puram ac sinceram. Κίβδηλος ex historia dictum. Athenienses Chios detestantes adulteros ipsorum nummos X si-

A Ibid. 8. *Κατὰ γάρ.* Κατὰ γὰρ τῶν ἀγωνιζομένων οἱ στέφανοι, ἀντὶ τοῦ, ὑπὲρ τῶν ἀγωνιζομένων (Δημοσθέν.), ὅπερ μέγιστόν ἐστι καθ' ὑμῶν ἐγκώμιον.

Col. 537 B 9. *Πανηγυρισμόν.* Ὁ γὰρ παρὼν λόγος, ψόγος ὢν τῆς Ἰουλιανοῦ κακίας, καὶ στήλη τῆς ἀσεβείας ἀθάνατος, τοῦ πανηγυρικοῦ εἴδους ἐστί. Τὸ γὰρ πανηγυρικὸν τῆς ῥητορικῆς εἶδος εἰς ψόγον διῄρηται καὶ ἐγκώμιον, ὥσπερ τὸ δικανικὸν εἰς κατηγορίαν καὶ ἀπολογίαν, καὶ τὸ συμβουλευτικὸν εἴς τε παραίνεσιν ἀστασίαστον καὶ εἰς ὁμώνυμον τῷ γένει συμβουλήν.

Ibid. 11. *Εἰς χορείαν.* Τέσσαρας εἰς τὴν πανήγυριν μοίρας καλεῖ, ὧν ἡ δευτέρα εἰς δύο διῄρηται. Καὶ πρώτην μὲν καλεῖ ἐκείνην, ὅσοι νηστείαις καὶ δεήσει προσκείμενοι παρεκάλουν τὸν Θεὸν δοῦναι λύσιν
B τῶν τότε κατεχόντων ἀνιαρῶν· δευτέραν δὲ καλεῖ τὴν εἰς δύο διῃρημένην, εἴς τε πεπονθότας ἐν τοῖς σώμασιν, εἴς τε πεπονθότας ἐν τοῖς ἐκτὸς, καὶ περιῃρημένους χρήματα, δυναστείαν, κτήματα, καὶ πατρίδος μὲν ἀπελαθέντας, τῶν δὲ οἰκείων καὶ φιλτάτων διαζευχθέντας· τρίτην, ὅσοι τὴν μὲν ὁμολογίαν εὐσεβεῖς ὄντες, τοὺς δὲ τῆς Προνοίας λόγους ἀγνοοῦντες διὰ τῶν ἐναντίων πολλάκις παρ' ἐλπίδα διοικουμένης, τήν τε πρόσκαιρον τῶν ἐναντίων εὐημερίαν οὐ φέροντες, δοῦλοι τῶν παρόντων ἀεί εἰσι, τοῖς δὲ ὕστερον θαύμασι βεβαιοῦνται πρὸς τὴν ἀλήθειαν· τετάρτην καλεῖ μοῖραν ἐκείνους, ὅσοι περὶ τὴν τοῦ κόσμου τούτου σκηνὴν τὰς ψυχὰς ἐπτόηνται, προτρέπων τούτους τοῖς Ἠσαΐου ῥήμασιν, ἀποστήσαντας
C τὸ νοερὸν τῆς ψυχῆς ὄμμα τῆς τῶν ὁρωμένων ἀπάτης καὶ πλάνης γνῶναι λοιπὸν τὸν ὄντως ὄντα Θεόν· πέμπτην ἐπιζητεῖ συμπανηγυρίσαι μοῖραν αὐτῷ, ἣ τέως μὲν τοῦ χοροῦ τοῦ διδασκάλου διέστη, μικρὸν δὲ ὕστερον εἰς ταυτὸν ἐλθεῖν ἐκ μετανοίας ἐλπίζεται.

Ibid. C 9. *Καί.* Ἢ ὁ καὶ σύνδεσμος περιττεύει, ἢ ταῦτα τοῖς ἄνω συνάψας, οὕτω στήσεις τὴν φράσιν· Κἀκείνους, φησὶν, ὁ λόγος εἰς χορείαν συγκαλεῖ, ὅσοι μεγάλους ἀνατλάντες ἀγῶνας, καὶ πολλαῖς πληγέντες τοῦ καιροῦ προσβολαῖς, καὶ τὰ μὲν σώματα κάμνοντες, τὰς δὲ ψυχὰς ἀήττητοι μένοντες, καὶ πάντα ἰσχύοντες ἐν Χριστῷ, θέατρον ἐγενήθησαν τῷ κόσμῳ. Οὕτω στήσεις τὴν φράσιν.

D Ibid. 14. *Δὴ λέγεται.* Τοῖς πολλοῖς καὶ ταπεινοῖς τὴν διάνοιαν. Τοῖς γὰρ ὀλίγοις καὶ ὑψηλοῖς μία πατρὶς ὡς ἀληθῶς καὶ μήτηρ ἡ ἄνω Ἱερουσαλήμ. Νομίζεται γὰρ, οὐκ ἔστι δὲ κατὰ ἀλήθειαν ἡμῖν ἐν γῇ πατρὶς, ἢ ὅλως τι τῶν ἀπηριθμημένων τῷ Πατρί.

Col. 540 B 4. *Τοιούτοις.* Οἷον τοῖς νῦν, τῷ καταλυθῆναι τὸν τύραννον, καὶ τὴν εὐσέβειαν εἰς τὸ ἀρχαῖον ἐπανελθοῦσαν μᾶλλον παῤῥησιάσασθαι.

Ibid. 7. *Ἐπτοημένας.* Εἴρηται ἀπὸ τοῦ πτοεῖσθαι καὶ φοβεῖσθαι. Ὁ γάρ τινι πράγματι προστετηκὼς, περιδεής ἐστι, μή πως ἀφαιρεθῇ αὐτοῦ.

Ibid. C 5. *Κίβδηλον.* Οὐ νόθον, ἀλλὰ καθαρὰν καὶ γνησίαν. Εἴρηται ἀπὸ ἱστορίας. Οἱ Ἀθηναῖοι Χίους μισοῦντες, ἐν τοῖς ἀδοκίμοις ἑαυτῶν νομίσμασι Χ

ἐγχαράττοντες ἐκάλουν χίδδηλα· εἶτα πρὸς τὸ εὐφωνότερον μετέβαλον τὸ X εἰς Κ.

Ibid. 16. *Περιέπω*. Περιέπω εἴρηται ἀπὸ τοῦ, πέριξ ἕπειν, ὅ ἐστιν ἀκολουθεῖν.

Col. 541 A 1. *Μίαν*. Τέσσαρας ἀρτίως μοίρας καλέσας εἰς τὴν πανήγυριν, δύο νῦν ἀποκηρύττει ταύτης, ἐκβάλλει καὶ ἀπελαύνει, ἐκείνους τε ὅσοι μικρᾶς αὐτοῖς τοῦ καιροῦ προσβολῆς γενομένης, εὐθὺς τῆς ἀληθείας ἀπέστησαν, ἀρνησάμενοι τὴν εὐσέβειαν· καὶ τοὺς τούτων χείρους, ὅσοι τῷ καιρῷ μηδὲ πρὸς ὀλίγον ἀντιστατήσαντες, αὐτεπάγγελτοι πρὸς τοὺς ἐχθροὺς μεθηρμόσαντό τε καὶ δὴ μετετάξαντο.

Ibid. 8. *Ἐπιπολαίως*. Κούφως, ἐλαφρῶς, ἀῤῥίζως.

Ibid. D 3. *Ἀνυπονόητον*. Ἰουβιανοῦ βασιλεύοντος, ὁ λόγος οὗτος καὶ ὁ μετ' αὐτὸν ἀμφότεροι λέγονται. Μετὰ γὰρ τὸν ἀσεβέστατον Ἰουλιανὸν Ἰουβιανὸς βασιλεύει.

Col. 544 B 8. *Κύματα*. Τὴν Ἰουλιανοῦ κακίαν. Ἐπὶ δύο γὰρ ἔτη ὁ τρισκατάρατος ἐβασίλευσεν· ἐπὶ δὲ πέντε ἔτη Καῖσαρ ἐγένετο προβαλλομένου αὐτὸν Κωνσταντίου.

Col. 545 A 11. *Ἀποκαραδοκοῦσα*. Ἐπιμελῶς ἐπιτηροῦσα, καὶ ἀπεκδεχομένη.

Col. 549 B 5. *Ἐν τέλει*. Τὸ τέλος πολλαχῶς λέγεται. Τέλος γὰρ ἡ ἀρχὴ, ὡς νῦν· τέλος καὶ τὸ διδόμενον τοῖς βασιλεῦσι· τέλος καὶ τὸ δαπάνημα, ὅθεν καὶ πολυτελὲς, τὸ πολυανάλωτον· τέλος καὶ τὸ πέρας· τέλος καὶ τὸ τάγμα κατὰ στρατόν· *Ἐν τελέεσσιν*. (Ὅμηρος.)

Ibid. 14. *Πρὸ τούτων*. Πρὸ τῆς ἀποστάσεως, καὶ τῆς ἐπαναστάσεως.

Col. 553 C 9. *Προβλήματος*. Τὸ γὰρ φαινόμενον Ἰουλιανοῦ πρόβλημα πρὸ τῆς βασιλείας εὐσεβὲς ἐδόκει καὶ ἥμερον.

Col. 556 D 1. *Σήραγγες*. Αἱ ὑπὸ γῆν ἐπιμήκεις ῥήξεις, οἱονεὶ φλέβες τινὲς οὖσαι τῆς γῆς (69), ἃς ὑποτρέχον τὸ ὕδωρ ἐπιζητεῖ διέξοδον. Ἐντεῦθεν καὶ σηραγγώδης τόπος εἴρηται διατετρημένος.

Col. 557 A 1. *Κρατοῦντος*. Ὡς εἰ ἔλεγεν· Εἰς ὅσον αὐτῷ συνῆν ὁ πρεσβύτερος ἀδελφὸς, ἐκώλυεν αὐτὸν τῆς φανερᾶς αὐτοῦ καὶ τελειωτάτης ἀπονοίας.

Ibid. 5. *Σύνεσιν*. Ἢ ὅμοιός τις αὐτὸν ἐνόει ἐκ τῶν λεγομένων, ἢ συνετὸς Χριστιανὸς ᾐσθάνετο, ὅτι οὐχ ὑγιαίνει κατὰ τὴν σωτήριον ἡμῖν φιλοσοφίαν.

Ibid. C 3. *Τῷ ὄντι*. Ὃ, φησὶν, εὐχερές ἐστι, τοῦτο δυσχερὲς ἡ κακία ποιεῖ. Φύσει μὲν γὰρ εὐχερὲς τὸ φυλάξαι τὰ ἀγαθὰ ἤδη κτηθέντα, δυσχερὲς δὲ τὸ κτήσασθαι· ἀλλ' ἡμεῖς ἐν ταῖς εὐπραγίαις ὑβρίζοντες τοὐναντίον ποιοῦμεν, εὐχερὲς μὲν τὸ κτήσασθαι, δυσχερὲς δὲ τὸ φυλάξαι. Ἔστι δὲ Δημοσθενικόν.

Col. 560 A 7. *Ἐναντία ἐναντίοις*. Ἔστι τις ἐναντίος τῇ κακίᾳ, καὶ ἀντεισάγει αὐτῷ τὸ ἐναντίον τῇ κακίᾳ, ἔμμισθον τὴν ἀρετὴν, καὶ ἐπὶ τοῦ ἐναντίου τὸ ἐναντίον.

Ibid. 13. *Μέσην*. Πρῶτον ἡ ἁμαρτία, εἶτα δευ-

A gnantes, eos vocabant χίδδηλα; deinde ob euphoniam X in K mutaverunt.

Περιέπω. Περιέπω dictum est a περὶξ ἕπειν, *circum sequi*, quod vim habet *comitari*.

Unam. Quatuor modo classes ad festum cum advocasset, duas nunc ab eo propellit, dimittit atque ejicit, eos scilicet, qui parvo temporis assultu lacessiti, statim a veritate recesserunt, religionemque abjuraverunt, atque his etiam adhuc pejores, qui tempori ne tantillum quidem obsistentes, sponte sua ad inimicos defecerunt atque transierunt.

Ἐπιπολαίως. Leviter, strictim, sine radice.

Insuspicabilem. Joviano regnante, sermo ille et
B qui sequitur ambo dicuntur: namque post impiissimum Julianum Jovianus regnat.

Fluctus. Juliani nequitia. Duobus enim annis ter maledictus iste regnavit; quinque annis Cæsar factus est, a Constantio provectus.

Ἀποκαραδοκοῦσα, intente ac firmiter sperans atque exspectans.

Ἐν τέλει. Τέλος multiplici sensu usurpatur. Dicitur dignitas, ut nunc; vectigal, quod regibus penditur; sumptus, unde πολυτελὲς, valde sumptuosum; finis et terminus; exercitus ordo: Ἐν τελέεσσιν (*Inter militum ordines*). Homerus.

C *Prius*. Ante defectionem atque rebellionem.

Speciem. Externa Juliani species, antequam regnaret, reverenda videbatur et mitis.

Σήραγγες. Longæ sunt sub terra cavernæ, quasi quædam venæ terræ (69). quas aqua replet exitum quærens: exinde σηραγγώδης locus dicitur perforatus.

Ejus qui rerum potiebatur. Quasi diceret: In quantum ei natu major frater conversabatur, prohibebat ne is manifesto et vehementissimo furori indulgeret.

Prudentiam. Vel similis quilibet cum dictis judi-
D cabat, vel prudens Christianus sentiebat quod non saperet secundum salutarem nobis philosophiam.

Vere enim. Quod, ait, facile est, hoc difficile nequitia efficit. Natura enim facile est bona jam comparata conservare, difficile autem adipisci. Nos vero in prosperis superbientes contrarium facimus: facile quidem adipisci, difficile autem servare. Demosthenica est hæc sententia.

Contrariis contraria. Si quis est nequitiæ contrarius, vicissim inducit ei contrarium nequitiæ, pro mercede virtutem, et contrario contrarium.

Dejectionem interponens. Primum peccatum,

(69) Hoc est: *Seranges longæ quædam sunt sub terra rupturæ, quasi venæ terræ*, etc.

deinde humiliatio, et tertio eloquium Domini custodienti resipiscentia. Media igitur, ut vides, utrique humiliatio.

Vita accipit. Vita accipit finem, et illius qui Juliani fratrem Cæsarem fecerat, et ipsius Cæsaris obtruncationem passi. Utriusque vita, ait, terminum et finem habuit; non utrique vero, sed uni Cæsari, regnum et vita finem habuit.

Reprehenderit. Quibus, ait, causis unum principem accusabimus, iisdem alterum crimine et reprehensione liberabimus. Itaque si alteri culpam quamvis crimini vertimus, eadem culpa alterum crimine liberabimus. Et vice versa.

Minime circumspectus. Inconsideratus, minime dubitans.

Exiguo temporis puncto. Acies temporis, felicitas. Ita et Isocrates : Optimum felicitatis tempus esse; felicitatem nunc imperatoris Juliani.

Τῷ παλαμναίῳ. Sanguinario dæmoni. Hoc vocabulo ferissimos ad ultionemque promptissimos dæmones vocabant.

Adventu. Ante enim Salvatoris adventum concilium erat apud Romanos, seu concio; quod quidem concilium quotannis duos consules deligebat, qui bellis præerant, aliis publicas res administrantibus. Cum vero sub consulibus res belli male cederent, dictatorem præficiebant, qui solus per sex menses imperio potiebatur.

Fratris cædem. Juliani fratrem, adversus ipsum insurgentem Constantius interemit.

Ipsum Platones. Platonis philosophia divisa est in Stoicos et Peripateticos. Porticus vero (quæ Varia dicebatur propter ea quæ huic inscripta erant, ut navale apud Salamina prœlium, Marathoniaque pugna) magister fuit Chrysippus; peripati autem, seu Lycei Aristoteles; et Plato, Academiæ.

Κομψὰ λαρυγγίζοντες. Κομψόν est *elegans* ac *venustum*; κόμπον autem *magnum*. Λαρυγγίζειν vero est guttur ad euphemiam aptare, sive exercitatione, sive quibusdam lotionibus.

Ex triviis. Contemnendos sordidosque homines, ex triviis esse dicebant.

Obolum. Obolus apud Athenienses est æreus, ut ait Diodorus Siculus.

Ad voluptatem. Epicuri et Pyrrhonis discipuli Deum voluptatem esse definiunt. Hoc argumentum instituunt : Si omnia, bona ac turpia, propter voluptatem fiunt, deus ergo voluptas : minime intelligunt quod alia quidem in voluptatem turpem et exitiosam, alia vero in divinam ac salutarem, alia denique, media quodammodo, ut moderate comedere, lavari, de publicis rebus loqui, et similia.

Non intellexit. Dogmata quæ profitebantur nemo

A τερον ἡ ταπείνωσις, καὶ τρίτον ἡ κατὰ τὸ φυλάξαι τὸ λόγιον Κυρίου διόρθωσις. Μέση τοίνυν, ὡς ὁρᾷς, ἀμφοῖν ἡ ταπείνωσις.

Ibid. C 1. *Ὁ βίος λαμβάνει.* Ὁ βίος λαμβάνει πέρας, καὶ τοῦ πεποιηκότος Καίσαρα τὸν ἀδελφὸν τοῦ Ἰουλιανοῦ, καὶ τοῦ πεπονθότος τὴν σφαγὴν αὐτοῦ τοῦ Καίσαρος. Ἀμφοτέρων ὁ βίος, φησὶν, ὅρον καὶ πέρας εἶχεν· οὐκ ἀμφοτέροις δὲ, ἀλλὰ μόνῳ τῷ Καίσαρι, ἡ βασιλεία καὶ ὁ βίος ὅρον εἶχον.

Ibid. 7. *Οὐκ ἐπαινήσειεν.* Δι' ὧν, φησὶν, αἰτιῶν θατέρου τῶν βασιλέων κατηγορήσομεν, διὰ τούτων τὸν ἕτερον τῶν αἰτιῶν καὶ μέμψεων ἀπολύσομεν· οἷον, κατηγοροῦμεν μὲν τοῦ ἑνὸς ἁμαρτίαν τινὰ, διὰ ταύτης τὸν ἕτερον αἰτίας ἀπολύσομεν· καὶ ἐπὶ τοῦ ἑτέρου ὁμοίως.

B Col. 561 B 8. *Ἀπερίσκεπτος.* Ἀνενδοίαστος.

Ibid. 14. *Ἀκμῇ βραχείᾳ.* Ἀκμὴ καιροῦ, ἡ εὐτυχία· οὕτω καὶ Ἰσοκράτης· Κράτιστον μὲν τῆς ἀκμῆς τὸν καιρὸν τυγχάνειν. Εὐτυχίαν δὲ νῦν τὴν τοῦ βασιλέως Ἰουλιανοῦ.

Ibid. 15. *Τῷ παλαμναίῳ.* Τῷ φονικῷ δαίμονι. Παλαμναίους γὰρ ἔλεγον τοὺς ὠμοτάτους καὶ τιμωρητικοὺς δαίμονας.

Col. 564 B 1. *Ἐπιδημίᾳ.* Πρὸ γὰρ τῆς τοῦ Σωτῆρος ἐπιδημίας βουλὴ παρὰ Ῥωμαίοις ἦν, ἤτοι Σύγκλητος· ἥτις βουλὴ κατ' ἐνιαυτὸν δύο ὑπάτους ἐχειροτόνει, οἳ τοὺς πολέμους [*Reg. B*, πολεμίους] ἐπιστεύοντο, ἄλλων τὰ πολιτικὰ διοικούντων. Ἡνίκα C δὲ μετὰ τῶν ὑπάτων ἐν τοῖς πολέμοις ἐδυστύχουν, δικτάτορα προέβαλλον, τὸν μόναρχον, ὃς μῆνας εἶχεν ἕξ [*Colb.* 3, μῆνας ἦρχε μόνους ἕξ].

Col. 565 A 6. *Ἀδελφοῦ σφαγῆς.* Τὸν γὰρ Ἰουλιανοῦ ἀδελφὸν ἐναντίως ἔχοντα αὐτῷ, ἀνεῖλεν ὁ Κωνστάντιος.

Col. 568 A 12. *Πλάτωνες αὐτόν.* Ἡ τοῦ Πλάτωνος φιλοσοφία διῃρέθη εἰς Στωϊκοὺς καὶ Περιπατητικούς· καὶ τῆς μὲν Στοᾶς (ἡ καὶ Ποικίλη ἐλέγετο διὰ τὰ ἐν αὐτῇ γεγραμμένα, οἷον, ἡ ἐν Σαλαμῖνι ναυμαχία, ἢ τὰ κατὰ Μαραθῶνα) ἡγήσατο ὁ Χρύσιππος, τοῦ δὲ Περιπάτου, ἤτοι τοῦ Λυκείου, Ἀριστοτέλης, Πλάτων δὲ τῆς Ἀκαδημίας.

Ibid. 14. *Κομψὰ λαρυγγίζοντες.* Κομψὸν, ἐστὶ τὸ εὐπρεπὲς καὶ χαρίεν· κόμπον δὲ τὸ μέγα. Λαρυγγίζειν δέ ἐστι τὸ τὸν λάρυγγα πρὸς εὐφημίαν ἄγειν, D ἢ μελέτῃ ἤ τισι κλύσμασιν.

Ibid. B 4. *Ἐκ τῶν τριόδων.* Τοὺς εὐκαταφρονήτους καὶ εὐτελεῖς, ἐκ τῶν τριόδων εἶναί φησιν.

Ibid. 12. *Ὀβολόν.* Ὀβολὸς παρ' Ἀθηναίους ἐστὶ χαλκὸς, ὥς φησι Διόδωρος ὁ Σικελιώτης.

Ibid. C 3. *Εἰς ἡδονήν.* Οἱ τοῦ Ἐπικούρου καὶ τοῦ Πύῤῥωνος, θεὸν εἶναι τὴν ἡδονὴν ὁρίζουσι· τοῦτο συλλογιζόμενοι, ὅτι εἰ πάντα, ἀγαθά τε καὶ αἰσχρὰ, δι' ἡδονὴν γίνεται, θεὸς ἄρα ἡ ἡδονή· μὴ συνιέντες ὅτι τὰ μὲν, εἰς ἡδονὴν αἰσχρὰν καὶ ὀλέθριον, τὰ δὲ, εἰς θείαν καὶ σωτήριον, τὰ δὲ, μέσα πως, οἷον τὸ φαγεῖν συμμέτρως, τὸ λούσασθαι, τὸ περὶ πολιτικῶν εἰπεῖν, καὶ τὰ ὅμοια.

Col. 569 A 2. *Οὐ συνεῖδε.* Τὰ παρ' αὐτοῖς δό-

γματα οὐδεὶς αὐτῶν κατενόησεν, ὅτι πολλῆς ἀνοίας καὶ πλάνης ἀνάμεστα.

Ibid. 11. *Μᾶλλον*. Τῆς ἀληθείας δηλονότι. Ἡ γὰρ πιθανότης ἐγγίζουσα τῇ ἀληθείᾳ, τοὺς πολλοὺς ἀπατᾷ.

Ibid. B 11. *Φιλοσοφίαν καὶ βασιλείαν*. Λόγος ἦν τῶν φιλοσοφεῖν [τῶν τότε φιλ. *Colb.* 3] δοκούντων, ὅτι τότε πόλεις καλῶς [καλῶς αἱ πόλεις. *Colb.* 3] πράξουσιν, ὅταν βασιλεῖς φιλοσοφήσωσιν, ἢ οἱ φιλόσοφοι βασιλεύσωσι· τοῦτο γοῦν αὐτῶν διασύρει νῦν ὁ θεῖος Γρηγόριος.

Ibid. C 2. *Μεγάλῃ προσηγορίᾳ*. Εἰπὼν, ὅτι οὐ τὸ ἅρπαγμα βασιλείαν χαρίζεται, ἐπιφέρει λέγων, ὅτι τρία ἐστὶ καθ' ἃ δικαίως καὶ νομίμως τις βασιλεύει, γέρας ἀρετῆς τὴν τιμὴν λαβὼν, ἢ ὅτε ὁ χρόνος τοῦτο χαρίζηται [ἢ γὰρ ὁ χρόνος τοῦτο χαρίζεται *Colb.* 3] δείξας ἐκεῖνον παντοίαις ἀρεταῖς καὶ μεγίσταις εὐδοκιμοῦντα καὶ διαπρέποντα· ἢ βασιλέως δοκιμασία καὶ κρίσις· ἢ ψῆφος τῆς [καὶ ψῆφος· ἢ κρίσις τῆς *Colb.* 3] συγκλήτου βουλῆς κοινή. Ὁ μὴ [*Colb.* 3] καθ' ἓν δὲ τούτων κρατήσας, τύραννος μᾶλλον ἢ βασιλεύς.

Ibid. 7. *Δεύτερον δέ*. Οὐ περιέμεινε γὰρ τὸν θεῖον καὶ βασιλέα τῆς τιμῆς αὐτὸν ἀξιῶσαι, ἀλλ' ἑαυτὸν ἔστεψεν.

Col 572 B 1. *Οὐκ ἐπήρθη*. Οὐκ ἐπήρθη μὲν εἰς τὴν κακίαν ὑπὸ τῆς τοῦ Θεοῦ κυβερνήσεως. Ἀντὶ τοῦ, Οὐχ ἡ κυβέρνησις τοῦ Θεοῦ ἐπῆρεν αὐτὸν εἰς κακίαν, ἀλλ' οὐδὲ ἐπεσχέθη ὑπ' αὐτῆς προελόμενος ἅπαξ τῆς εὐσεβείας τὴν ἀσέβειαν.

Ibid. 6. *Τῷ λαθεῖν*. Τῷ λαθεῖν τοὺς βαρβάρους δηλονότι.

Ibid. 14. *Κλέψας τινί*. Ἀντὶ τοῦ, Διά τινος τῶν ἐν τοῖς βασιλείοις, προδιδόντος καὶ μηνύοντος ἐκείνῳ τὸν καιρὸν καθ' ὃν ἐπιχειρεῖν δεῖ, καὶ οὕτω νομίζων δεῖν αὐτὸν ῥυσθῆναι.

Ibid. C 3. *Εὔστοχοι*. Μέγιστον σημεῖον καὶ ἐναργὲς ἡ κατὰ τὴν Περσίδα σφαγὴ Ἰουλιανοῦ, τοῦ μὴ κατὰ πρόγνωσιν αὐτὸν βασιλεῦσαι τούτων. Εἰ γὰρ τοῦτο ἦν, καὶ ἐκστρατεύοντι αὐτῷ τὴν ἧτταν ἐδήλωσαν ἂν, καὶ ἐν Πέρσαις ὄντι τῷ παραπλῆγι, τὴν ὑπὸ τοῦ αὐτομόλου ἀπάτην προεῖπον ἄν.

Col. 573 A 4. *Γενναιοτάτου*. Καὶ γὰρ ἤδη βασιλεύοντι τῷ Ἰουλιανῷ τὸ περιγενέσθαι τοῦ στρατοῦ, καὶ τῆς δυνάμεως, ἥτις αὐτῷ τὴν φυγὴν οὐ συνεχώρει, πολὺς ἀγὼν καὶ δυσχέρεια γέγονε.

Col. 576 C 1. *Ἀφαγνίζεται*. Ἀνάγνους ἀπεργάζεται. Τὸ γὰρ ἀφαγνίζεσθαι ἐναντίον ἐστὶ τῷ ἁγνίζειν.

Col. 577 A 4. *Ἐπισημῆναι*. Τὸ θεῖον δηλονότι. Ἐπὶ γὰρ ταῖς μεγίσταις μεταβολαῖς, καὶ μεγάλα τὰ σημεῖα εἰώθασι γίνεσθαι.

Ibid. 12. *Θυομένῳ*. Αἱ τοιαῦται μεσότητες τὴν ἀναφορὰν ἔχουσιν ἐπὶ τὸν κύριον, ἤτοι τὸν κτήτορα· οἷον, οἰκοδομεῖ μοι οἰκίαν ὁ οἰκοδόμος, οἰκοδομοῦμαι δ' ἐγώ.

Ibid. B 5. *Παρεσχεδίασε*. Ἀντὶ τοῦ, παρὰ τὸ ὂν καὶ τὴν ἀλήθειαν ἐξέλαβε, καὶ ἐκ τοῦ εὐθέως τοῖς παροῦσι παρερμηνεύσας ἐψεύσατο.

Ibid 8. *Ἕλκεται*. Ταῦτα πρὸς τὸ σπλάγχνον ἔχει

A eorum intellexit, quia multa insipientia multis erroribus repleta.

Propinquitatem magis. Veritatis videlicet. Probabilitas enim veritati proxima plerosque decipit.

Philosophiam et imperium. Sermo erat apud eos qui philosophiam profiteri videbantur, tum civitatibus optimum fore, cum vel reges philosopharentur, vel philosophi regnarent. Hanc igitur eorum sententiam nunc divinus Gregorius irridet.

Magno nomine. Cum dixit quod non raptus regnum largitur, adjicit dicens quod tria sunt per quæ juste et legitime quispiam regnat, ut, virtutis

B præmio dignitate accepta, sive cum tempus hoc largiatur, ostendens illum multis ac maximis virtutibus commendatum ac præcellentem; sive regis electio ac judicium; sive commune convocati senatus suffragium. Iste vero juxta nullum ex iis imperio potitus, tyrannus magis quam imperator.

Deinde. Non exspectavit donec patruus et imperator ipsum hoc dignitate dignaretur, sed seipsum coronavit.

Non excitatus est. Non quidem ad malum excitatus est Dei gubernatione, id est, non Dei gubernatio eum ad malum excitavit, sed nec item ea repressus est cum impietatem pietati semel anteposuerit.

C *Fallendo.* Barbaros videlicet fallendo.

Per domesticorum quemdam celans. Id est, per aulicum quemdam proditorem, tempusque illi indicans quo facinus tentandum erat, et ita seipsum liberandum esse existimans.

Sciti ac solertes. Maximum indicium manifestumque in bello adversus Persas Juliani cædes, quod non juxta istorum præscientiam regnavit. Quod si res ita se haberet, et pugnanti ei cladem ostendissent, et in Perside profligato per transfugam insidias prædixissent.

Præstantissimus. Etenim jam regnanti Juliano superare exercitum ac opes reducere, quæ fugam

D ei non permittebant non sine multo prœlio et magna difficultate assecutus est.

Ἀφαγνίζεται. Impuras efficit. Namque ἀφαγνίζεσθαι contrarium est ἁγνίζειν, *purificare.*

Signum accesserit. Nempe divinum. In maximis enim mutationibus magna quoque fieri signa solent.

Θυομένῳ. Tales mediæ formæ ad dominum seu herum referuntur. Ita, οἰκοδομεῖ, *ædificat*, mihi domum architectus, *οἰκοδομοῦμαι*, *mihi ædifico*, ego.

Ex tempore interpretatus est. Scilicet contra verum rectumque accepit, et ex tempore de præsentibus rebus prave interpretatus, mentitus est.

Trahitur. Hæc ad viscera referuntur, in quibus

crux cum circulo visa est. Ostendebant enim crucem regnaturam aliquando fore : corona enim regni signum ; etsi impius ac cæcus iste aliter dicat nempe circumscriptionem finemque crucis et Christianorum regni circulo indicari.

Id agebat. Providenter curabat.

Αὐθαδιάζεσθαι. In mala acceptione, sicut plerumque, usurpatur αὐθαδιάζεσθαι pro audacter, petulanter ac inconsiderate agere; nunc autem in bona apud Gregorium, obluctari et dimicare significat.

Callide. Apodosis. Si bellum aperte susciperet, illud atque illud accideret ; at si callide et artificiose bellum gereret, et quæ sequuntur.

Id unum expetentes. Prima classis eorum qui laude digni sunt, est pulchrum diligere propter ipsum pulchrum, non autem propter quodvis aliud, quod quidem melius est et majori virtute præstantium. Secunda classis pulchrum diligere propter mercedis spem atque exspectationem. Tertia classis, pœnæ timore bonum facere.

Insigne atque honorificum. Pusillanimitatem simul atque ignaviam tyranni Juliani vituperat; quod iste non aperte, sed artificiose ac dolose salutarem doctrinam persecutus sit.

Vesana. Quorum populorum ac civitatum proterviam coercere et reprimere difficile aut impossibile erat.

Non scripta. Illud idem ac si legibus præscriptum. Qui enim inhibere potest et negligit, verius hoc facit.

Humanius. Nempe ut iste putavit, ideoque statim adjunxit vocabulum δῆθεν, *videlicet.* Sic igitur intelliges, ne in alienum sensum incidas. Quis vero ille ? Superius quidem aperte ac publice vim inferre, regium simul et magni animi habebatur ; callide autem ad suadendum conari, vile atque ignavum. Quomodo igitur hic, callide ad suadendum conari, lenius atque humanius magisque regium ? Contrarium illud quidem non est, contrarium autem esse videtur, nisi quod ille sic opinaretur ; adjungit, id sibi videlicet assumit suadendi partes. Non enim secundum veritatem illius erat persuasio, sophismata auctoris nequitiæ, pro instrumento tyranno utentis.

Retinuit. Non enim suadendi partes ad extremum conservavit, sed deinceps ad manifestam violentiam seipsum vertit.

Perquam crudelis. Quomodo humanitas perquam inhumana ? Sicut ipse dicebat, per humanitatem nobis vim inferebat. Itaque vere dici poterat crudele ei esse mansuetum videri.

Persuasio. Prius etenim sophismatibus et paralogismis usus persuadere conabatur. Cum vero ad persuadendum viribus exhaustis non pervenisset, vim inferebat morsu ac rabie sæviens, quasi fera quædam bestia. Qui autem de hac feritate excusabant eum, dicebant quod propter multam ejus be-

A τὴν ἀναφορὰν, ἐν ᾧ ὁ σταυρὸς σὺν τῷ κύκλῳ ἐφάνη. Ἐδήλου γὰρ, ὅτι δεῖ τὸν σταυρὸν βασιλεύειν. Ὁ γὰρ στέφανος βασιλείας σημεῖον, εἰ καὶ ἑτέρως ὁ ἄθεος ἐκεῖνος καὶ παραπλὴξ φησιν, ὅτι περιγραφὴν καὶ παῦλαν δηλοῖ ὁ κύκλος τῆς τοῦ σταυροῦ καὶ Χριστιανῶν βασιλείας.

Ibid. 12. *Ἐπρυτάνευετο.* Ὠκονόμητο.

Col. 580 C 11. *Αὐθαδιάζεσθαι.* Ἐπὶ κακοῦ μὲν, ὡς τὰ πολλὰ, εἴρηται τὸ αὐθαδιάζεσθαι, οἷον ἐπὶ τοῦ θρασύνεσθαι, καὶ προπετεύεσθαι, καὶ σὺν ἀπονοίᾳ κινεῖσθαι· νῦν δὲ ἐπὶ καλοῦ εἴρηται τῷ Πατρὶ, ἀντὶ τοῦ, ἀπομάχεσθαι.

Col. 581 A 6. *Τέχνης.* Ἀπόδοσις. Ὡς τὸ μὲν φανερῶς ἀνελέσθαι τὸν πόλεμον, τὸ καὶ τὸ συμβήσεται· εἰ δὲ μετὰ τῆς τέχνης στρατεύσειε, καὶ τὰ ἑξῆς.

B Ibid. D 4. *Πᾶσα ἔφεσις.* Πρώτη τάξις τῶν ἐπαινετῶν τὸ ἀγαπᾷν τὸ καλὸν δι' αὐτὸ τὸ καλὸν, καὶ μὴ δι' ἄλλο τι· ὅπερ ἐστὶ βέλτιον, καὶ τῶν ἐπὶ πλεῖστον ἀρετῆς προελθόντων. Δευτέρα τάξις, τὸ ἀγαπᾷν τὸ καλὸν δι' ἐλπίδα καὶ προσδοκίαν μισθοῦ. Τρίτη τάξις, τῷ φόβῳ κολάσεως ποιεῖν τὸ ἀγαθόν.

Col. 584 B 2. *Μεγαλοπρεπές.* Μικροψυχίαν ἅμα καὶ δουλοπρέπειαν τοῦ τυράννου καταγινώσκει Ἰουλιανοῦ· διὰ τὸ μὴ φανερῶς, ἀλλὰ τεχνικῶς καὶ δολερῶς διώκειν τὸ σωτήριον δόγμα.

Ibid. 11. *Ἄληπτος.* Ὧν δήμων καὶ πόλεων ἡ αὐθάδεια ληφθῆναι καὶ κρατηθῆναι χαλεπὸν ἢ ἀδύνατον ἦν.

C Ibid. 14. *Ἄγραφον.* Ἔοικε τοῦτο, τῷ συγγραφικῷ ἐκείνῳ. Ὁ γὰρ δυνάμενος παῦσαι, περιορῶν δὲ, ἀληθέστερον τοῦτο δρᾷ.

Ibid. C 1. *Ἡμερώτερον.* Ὡς ἐκεῖνος ἐνόμιζε δῆλον ὅτι· διὰ τοῦτο καὶ ἐπιφέρει εὐθέως τὸ δῆθεν. Οὕτως οὖν νοήσεις, ἵνα τὸ ἐναντιοφανὲς ἐκφύγῃς. Ποῖον τοῦτο; Ἀνωτέρω τὸ μὲν φανερῶς καὶ δημοσίᾳ βιάζεσθαι, βασιλικὸν ὁμοῦ καὶ μεγαλόψυχον ἐνομίζετο, τὸ δὲ τεχνικῶς πειρᾶσθαι πείθειν, δουλοπρεπές τε ἅμα καὶ ἀγεννές. Πῶς οὖν ἐνταῦθα, τὸ μετὰ τέχνης πειρᾶσθαι πείθειν ἡμερώτερον καὶ βασιλικώτερον; Ἐναντίον μὲν οὐκ ἔστιν, ἐναντιοφανὲς δὲ, πλὴν ὡς ἐκεῖνος ᾤετο οὕτως· ὅτι καὶ ἐπιφέρει, εἰς ἑαυτὸν δῆθεν φέρει τὸ τῆς πειθοῦς. Οὐ γὰρ κατ' ἀλήθειαν

D ἐκείνου ἦν ἡ πειθὼ, σοφίσματα δὲ τοῦ δημιουργοῦ τῆς κακίας, ὀργάνῳ κεχρημένου τῷ τυράννῳ.

Ibid. 3. *Διεσώσατο.* Οὐδὲ τὴν δοκοῦσαν πειθὼ μέχρι τέλους ἐφύλαξεν, ἀλλὰ λοιπὸν ἐτράπη καὶ εἰς τὸ φανερῶς βιάζεσθαι.

Col. 585 A 8. *Λίαν ἀπάνθρωπον.* Πῶς τὸ φιλάνθρωπον ἀπάνθρωπον; Ὡς μὲν αὐτὸς ἔλεγεν, ὑπὸ φιλανθρωπίας ἡμᾶς ἐβιάζετο· ὡς δὲ ἡ ἀλήθεια, ἀπάνθρωπον ἦν αὐτῷ τὸ δοκεῖν φιλάνθρωπον.

Ibid. 9. *Πιθανόν.* Πρότερον μὲν γὰρ ἐπειρᾶτο σοφίσμασί τισι καὶ παραλογισμοῖς χρώμενος πείθειν· ὡς δὲ τῆς πειθοῦς ἐξασθενῶν διημάρτανε, καὶ προσεβιάζετο ὑλακτῶν καὶ ἀγριαίνων ὥσπερ τι θηρίον ἀνήμερον. Καὶ οἱ ὑπὲρ τῆς ἀγριότητος ἀπολογούμενοι, ἔλεγον, ὅτι ὑπὸ χρηστότητος πολλῆς, καὶ

τοῦ τοὺς Χριστιανοὺς ἐθέλειν πρὸς τὸ κρεῖττον μεταστῆσαι ἀγριαίνει καὶ βιάζεται.

Ibid. 11. *Ἀποτυγχάνων*. Τοῦτο ποῖον; Τὸ βούλεσθαι τὸν Ἰουλιανὸν δοκεῖν εἰκότως βιάζεσθαι.

Ibid. B 2. *Πάγαις*. Καὶ ἡ παγὶς, καὶ ἡ πάγη εἴρηται.

Ibid. 3. *Εἷς γε τρόπος*. Εἷς τῶν δύο, ἢ πάγης, ἢ διωγμοῦ· ἦν δ' αὐτῷ πάγη μὲν οἱ λόγοι, διωγμὸς δὲ τὸ βιάζεσθαι.

Ibid. 7. *Πᾶσι διώκταις*. Οὕτως ἐν τοῖς πολέμοις οἱ Ἀθηναῖοι πρώτοις ἐπεχείρουν τοῖς ἰσχυροτέροις, τοὺς ἀσθενεστέρους τέως ἐάσαντες· ὅτι τῶν κρειττόνων χειρωθέντων ῥαδίως οἱ χείρους ἁλώσονται.

Ibid. 14. *Τὰ βασίλεια*. Τῷ τὴν ἀρχὴν ἐγχειρῆσαι τοῖς ὁμοίοις αὐτῷ τὴν ἀσέβειαν.

Ibid. C 2. *Μεγάλῳ βασιλεῖ*. Μέγαν βασιλέα οἶμαι λέγειν αὐτὸν Κωστάντιον [*addit*. *Colb*. 3, τὸν ὑπ' ἐκείνου δολοφονηθέντα], μείζονα δὲ τὸν Χριστόν.

Ibid. 6. *Εὔπιστον*. Εὐχερῶς πειθόμενον.

Ibid. D 1. *Ἤλπιζεν*. Τοιοῦτοι γὰρ οἱ πονηροὶ, τοῖς ἀεὶ παροῦσι δουλεύοντες, καὶ μηδενὶ γνησίως.

Ibid. 3. *Διώκτης*. Διάβολος δηλονότι· οὐχ ὅτι δ' ἑκὼν, ἀλλ' ἄκων οὐκ ἔδωκε, τοῦ Θεοῦ μὴ συγχωρήσαντος τὸ πᾶν ὑφελέσθαι διὰ σπλάγχνα ἐλέους αὐτοῦ.

Ibid. 5. *Ὄφεων*. Ὁ γὰρ κρεμασθεὶς ὄφις τὴν ἁμαρτίαν ὑπεδήλου καὶ ὑπηνίττετο καταλυθησομένην ἐν τῷ σταυρῷ.

Col. 588 A 5. *Τῶν κάτω*. Τῶν ἀρχομένων, καὶ μὴ ὄντων ἐν περιφανείᾳ καὶ εὐδοξίᾳ ταύτῃ τῇ φαινομένῃ.

Ibid. 14. *Συνθήματος*. Σύνθημά ἐστι τὸ [*Colb*. 3, τί] σημεῖον καὶ σύμβολον τοῦ στρατοῦ, ὃ καλοῦσι βάνδον. Λέγει δὲ νῦν τὸ ἔχον ἐπὶ τοῦ ἄκρου τὸν σταυρὸν τὸν σωτήριον, ὃ κατὰ τῶν ἐναντίων ἀῤῥαγὲς ἵσταται τρόπαιον. Πάλιν, τὰ καλούμενα παρὰ Ῥωμαίοις σίγνα καὶ βάνδα, ταῦτα ὁ Ἀττικίζων συνθήματα καὶ σημεῖα καλεῖ. Καὶ εἴ τι μὲν σύνθημα, τοῦτο καὶ σημεῖον, οὐκ εἴ τι δὲ σημεῖον, τοῦτο ἤδη καὶ σύνθημα. Ἔστι γὰρ σύνθημα τὸ παρὰ τοῦ στρατηγοῦ τοῖς στρατιώταις διδόμενον σύμβολον, πρὸς τὸ μὴ ἀγνοεῖσθαι αὐτοὺς ἀλλήλοις· οἷον ἀρχάγγελος [ἀρχάγγελε *Colb*. 3], Θεοτόκε, Χριστὸς βασιλεύει.

Ibid. B 2. *Καμάτων*. Ἀντὶ τοῦ, καταλῦον τῶν πόνων τὸ στράτευμα. *Colb*. 3.

Ibid. 8. *Ἐπ' ἄκρων*. Ἀντὶ τοῦ, ἐπ' ἄκρων καμάκων καὶ καλάμων· αὐτὸ γὰρ τὸ δόρυ τὸ βαστάζον τὸν σταυρὸν, ἢ βασιλέως πρόσωπον, ἢ χάσμα δράκοντος, χάμαξ ἀκούει, οἱονεί τις κάλαμος· *Colb*. 3.

Ibid. 9. *Φολίσιν*. Φολὶς ἀντὶ τοῦ ἡ λεβηρίς· ἔστι δὲ τὸ δέρμα τοῦ ὄφεως, ἤτοι αἱ λεπίδες τοῦ δέρματος.

Ibid. C 1. *Ἀπαιδευτότατε*. Πεπαίδευτο μὲν γὰρ τὰ μικρὰ ταῦτα, ὅσα ἐν γράμμασι καὶ φωναῖς εἰς ἀέρα διαλυομέναις, ἀπαιδευτότατος δὲ τὰ σωτηριώδη, καὶ παραμένοντα τοῖς κτησαμένοις.

[13] Luc. I, 78.

A nignitatem ac benevolentiam, dum Christianos ad melius convertere vellet, sæviebat atque vim inferebat.

Nihil profecisset. Quid vero? Nempe cum non sine causa vim afferre Julianus videri vellet.

Πάγαις. *Laqueus* παγὶς et πάγη Græce dicitur.

Alterutro modo. Alteruter e duobus, aut laqueus, aut persecutio. Erant autem ei laquei verba, et persecutio vis illata.

Omnibus persecutoribus. Ita in bellis Athenienses primos adoriebantur validiores, infirmioribus hucusque neglectis. Etenim, fortioribus devictis, facilius debiliores capientur.

Aulam totam. Dignitates impertiens illis qui sibi B impietate similes erant.

Magnum imperatorem. Magnum imperatorem vocat, ut opinor, Constantium (illius dolo sublatum), majorem vero Christum.

Εὔπιστον. Ad persuadendum faciliores.

Sperabat. Tales enim mali semper præsentibus inservientes, et nulli sincera fide.

Qui persecutionem excitabat. Scilicet diabolus. Non quia libens, sed invitus non dedit, non permittente Deo omnes abripi, propter viscera misericordiæ suæ [13].

A serpentibus. Suspensus enim serpens peccatum subindicabat, atque innuebat deletum iri in cruce.

C *Plebeii ordinis*. Eorum scilicet qui regebantur, neque in splendore ac fama hujus mundi erant.

Συνθήματος. Σύνθημα signum est et symbolum exercitus, quod βάνδον vocant. Hic designat illud, cujus in vertice crux erat salutis, quodque adversus inimicos infractum stat tropæum. Rursus, quæ apud Romanos vocabantur signa et βάνδον, hæc atticissans συνθήματα et σημεῖα vocat. Quodcunque σύνθημα, σημεῖον est, non autem omne σημεῖον σύνθημα quoque est. Etenim σύνθημα symbolum est a duce militibus datum, ut alii alios agnoscerent: sicut archangelus, Dei Mater, Christus regnat.

D *Ærumnarum solvendarum vim habens*. Id est, exercitum a laboribus recreans.

Super summas lanceas. Nempe super summos palos vel arundines. Lancea enim ipsa ferebat crucem, vel imperatoris effigiem, vel draconem hiantem. Palus quoddam arundinis genus est.

Φολίσιν. Φολὶς est squama vel tegumentum: pellis est serpentis, vel pellis squamulæ.

Imperitissime. Peritus erat istorum futilium, sicut litterarum et verborum in aera evanescentium; imperitissimus vero salutarium et possidentibus permanentium.

Paucis. Mysterium nostrum paucis quidem, id A est mundis et in contemplatione acerrimis; vetus autem multis, et deorsum ambulantibus, novum vero paucis et excelsioribus recens.

Martyres. Neque martyres per te fieri curavisti. Prius enim dixit quod martyrii quoque gloriam nobis invidebat.

Apparitiones. Quorum sanctorum qui apparebant mari laborantibus, vel aliter periclitantibus, et qui ob prævisionem futura prænuntiabant prædicebantque.

Σχέδια. Ex improviso quæsita.

Αὐτουργὸν στρατηγίαν. Belli gerendi rationem qua rex per se ipsum regnat bellumque gerit.

Vitiosa affectione vacuus. Habemus in nobismet ipsis et iram, et amorem, et si quid aliud hujusmodi in nostra natura a Deo hominibus infusum. B Quæ juxta liberum arbitrium ad pejora non amoventur, meliorum amorem rejicientes, corporalia et instabilia misere cupimus. Idem adversus passiones nostras via omissa; in populares nostros inique invehimur.

Persæ. Apud quos et pœnas persolvit, impietate quidem non dignas, pœnas tamen in præsenti sufficientes.

Quod licet. Ejus adversus nos cura et contentio. Non erat Juliano ratio media inter consiliorum suorum apertam vel manifestationem vel occultationem. Verum eo furoris et insipientiæ pervenerat, ut sursum deorsumque odium in nos concitare non desineret. Si moderate igitur saperet, raro C quidem diceret et subindicaret sententiam, plura vero reticens absconderet. Hoc enim medium inter effari et omnia omnibus non manifestare.

Ab hac nova. Dicebant enim qui eadem cum Juliano sentiebant, quod nunc in unum convenerant philosophia simul atque imperium.

Admiranda. Hæc ironice.

Ἡ δρόμος. In aliis ἧ, cum duro afflatu; scilicet, cuinam philosophiæ et imperio. Hæc atque hæc verbis tantum bona. Populi vero dissidentes, et hæc atque hæc mala; quæ non verbis tantum, sicut pulchra, sed re ipsa consideranda sunt. Hæc irridens adversus Platonicos dixit.

Περιθρυλλεῖσθαι. Frustra personare. D

Vel illi insignem quamdam gloriam. Ita vult, ut opinor: Quæ hæc mala ad gloriam Juliano erant profutura, ut ipse, ita ut vel Romanorum reipublicæ ad tranquillatem (ita se locus habet), quam ad gloriam isti, pro, quæ ut jam interpretatus est.

Qui hæc. Qualia hæc? quæ scilicet Græci dicebant, nunc in unum convenire imperium et philosophiam. Exinde felices, ait, homines ad auream hanc ætatem revertentes.

Διάθεσιν. Διάθεσιν hic pro ἕξεως, *habitu* dixit. Præeunte enim *dispositione*, διάθεσις, fit *habitus*, ἕξις, habitus vero firmum aliquid perfectumque bonum in anima constituit. Habemus autem nos

Ibid. 9. *Ὀλίγοις.* Τὸ μυστήριον ἡμῶν τοῖς μὲν ὀλίγοις, ἀντὶ τοῦ, καθαροῖς καὶ ὀξυτάτοις τὴν θεωρίαν· παλαιὸν τοῖς γε πολλοῖς καὶ χαμαὶ ἐρχομένοις, νέον δὲ τοῖς ὀλίγοις καὶ ὑψηλοτέροις πρόσφατον.

Col. 589. B 2. *Μάρτυρας.* Οὐδὲ μάρτυρας τὸ ἐπὶ σοὶ γενέσθαι ἐσπούδακας· φθάσας γὰρ εἶπεν, ὅτι ἐφθόνει ἡμῖν καὶ τῆς τοῦ μαρτυρίου τιμῆς.

Ibid. C 4. *Αἱ ἐπιφάνειαι.* Ὧν ἁγίων τὸ ἐπιφαίνεσθαι τοῖς κάμνουσι κατὰ θάλατταν, ἢ ἄλλως κινδυνεύουσι, καὶ ὧν τὸ διὰ προῤῥήσεων προμηνύειν καὶ προλέγειν τὰ μέλλοντα.

Col. 593 A 4. *Σχέδια.* Τὰ ἐξ αὐτοσχεδίου γινόμενα.

Ibid. 5. *Αὐτουργόν.* Αὐτουργὸν στρατηγίαν ἣν βασιλεὺς δι' ἑαυτοῦ βασιλεύει καὶ στρατηγεῖ.

Ibid. B 5. *Ἀπαθοῦς ἔρωτος.* Ἔχομεν ἐν ἡμῖν αὐτοῖς καὶ ὀργὴν καὶ ἔρωτα, καὶ εἴ τι τοιοῦτον ἄλλο ἐν τῇ ἡμετέρᾳ φύσει παρὰ Θεοῦ τοῖς ἀνθρώποις ἐμφυτευθέν· ἃ κατὰ τὸ αὐτεξούσιον ἐπὶ τὸ χεῖρον ἡμεῖς παρατρέποντες, τὸ τῶν κρειττόνων ἐρᾷν παρωσάμενοι, τῶν σωματικῶν καὶ ἀστάτων ἀθλίως ἐπιθυμοῦμεν· ὡσαύτως καὶ τοῦ θυμοῦσθαι κατὰ τῶν παθῶν ἀφέντες, τοῖς ὁμοφύλοις ἡμῶν οὐκ ὀρθῶς ἀγριαίνομεν.

Col. 600 A 2. *Πέρσαι.* Ἐν οἷς καὶ δίκην ἔδωκε, τῆς μὲν ἀσεβείας οὐκ ἀξίαν μὲν, δίκην δὲ ὅμως ἐν τῷ παρόντι ἱκανήν.

Ibid. 5. *Καὶ τοῦτο.* Τὸ καθ' ἡμῶν σπούδασμα. Οὐκ ἦν τῷ Ἰουλιανῷ μέσον τοῦ τε ἐκφαίνειν καὶ τοῦ κρύπτειν παντελῶς· ἀλλ' οὕτω τῆς μανίας εἴχετο καὶ παραπληξίας, ὥστε ἄνω καὶ κάτω τὸ καθ' ἡμῶν μῖσος χαλῶν [*Ἴσ.* στρέφων] οὐκ ἐπαύετο. Εἰ δὲ μετρίως γοῦν ἐσωφρόνει, ὀλιγάκις μὲν ἔλεγε καὶ ὑπεδήλου τὴν γνώμην, τὰ πολλὰ δὲ σιωπῶν ἀπέκρυπτε. Τοῦτο γὰρ μέσον ἐστὶ τοῦ τε ἐκλαλεῖν, καὶ τοῦ πάντα πᾶσι μὴ ἐκφαίνειν.

Ibid. B 5. *Τῆς νέας.* Ἔλεγον γὰρ οἱ τὰ τοῦ Ἰουλιανοῦ φρονοῦντες, ὅτι Νῦν εἰς ταυτὸ συνῆλθε φιλοσοφία τε ἅμα καὶ βασιλεία.

Ibid. 6. *Θαυμαστῆς.* Ἐν εἰρωνείᾳ ταῦτα.

Ibid. 13. *Ἡ δρόμος.* Ἐν ἄλλοις, ᾗ, μετὰ τῆς δασείας· τουτέστιν, ᾗτινι φιλοσοφίᾳ καὶ βασιλείᾳ· τόδε μὲν καὶ τόδε τὰ μέχρι λόγου ἀγαθά. Δῆμοι δὲ στασιάζοντες, καὶ τὸ καὶ τὸ κακὰ, ἃ μὴ μέχρι λόγου, ὥσπερ τὰ καλὰ, ἀλλ' αὐτῷ τῷ ἔργῳ πάρεστιν ὁρᾷν. Διασύρων δὲ λέγει ταῦτα κατὰ τῶν Πλατωνικῶν.

Ibid. C 3. *Περιθρυλλεῖσθαι.* Περιηχεῖσθαι μάτην.

Ibid. 8. *Ἡ πρὸς εὐδοξίαν.* Οὕτω θέλει ὡς νομίζω· Ἃ ταῦτα κακὰ πρὸς εὐδοξίαν τῷ Ἰουλιανῷ κάλλιστα εἶχεν, ὡς αὐτὸς ὥστε ἢ τῷ κοινῷ τῶν Ῥωμαίων πρὸς ἀσφάλειαν (τὸ κείμενον δὲ οὕτως ἔχει), ἢ πρὸς εὐδοξίαν ἐκείνῳ, ἀντὶ τοῦ, ἃ ὡς ἤδη ὑπέλαβεν.

Ibid. 12. *Ὅστις ἄν.* Ποῖα ταῦτα; Τὸ λέγειν τοὺς Ἕλληνας ὅτι νῦν εἰς ταυτὸν ἦλθον βασιλεία καὶ φιλοσοφία. Κἀντεῦθεν εὐδαίμονες, φησὶν, οἱ ἄνθρωποι πρὸς τὴν χρυσῆν ἐκείνην γενεὰν ἐπανελθόντες.

Col. 601 B 5. *Διάθεσιν.* Διάθεσιν ἐνταῦθα ἀντὶ τῆς ἕξεως εἶπεν. Ἡ μὲν γὰρ διάθεσις προϊοῦσα, ἕξις γίνεται, ἡ δὲ ἕξις βέβαιόν τι καὶ τέλειον ἀγαθὸν ἐν τῇ ψυχῇ καθίσταται. Ἔχομεν δὲ ἡμεῖς οἱ Χριστιανοὶ

τὸ μέγα τῆς πίστεως ἡμῶν μυστήριον, οὐ κατὰ διάθεσιν, ἀλλὰ σὺν Θεῷ φᾶναι [*f.* φάναι], κατὰ τὸ μεῖζον καὶ κρεῖττον, τὴν ἕξιν. Οὐκοῦν τῷ τῆς διαθέσεως ὀνόματι ἀντὶ τῆς ἕξεως ὁ Πατὴρ ἐχρήσατο.

Col. 604 C 6. *Λόγῳ.* Ἐπιδιόρθωσις τοῦτο. Τί λέγω ταῖς ἀγγελικαῖς παρατάξεσι; καὶ λόγῳ μόνῳ τοὺς πονηροὺς ἐχθροὺς ἀμύνεσθαι εὔκολον ἦν αὐτῷ.

Col. 605 A 1. *Ἀποπεμπόμεθα.* Διὰ τί τὰ τοιαῦτα τῶν γελοίων εἰς τὸ θέατρον ἀποπέμπομεν; Ἐπεὶ οὐδέποτε νικήσομεν τοὺς ἐκεῖ παίζοντας τοῖς τοιούτοις τῶν γελοίων. Κόῤῥην δὲ λέγει τὴν κεφαλὴν, ἣν εἰώθασι πατάσσειν οἱ μιμοι παίζοντες.

Ibid. 11. *Τῷ Μίνωος.* Μίνως υἱὸς ὢν τοῦ Διὸς, δίκαιος ἄνθρωπος ἐνομίζετο. Ὃ οὖν λέγει ὁ θεῖος Γρηγόριος τοῦτό ἐστιν· ὅτι ὁ Ἰουλιανὸς τὴν ἑαυτοῦ πονηρίαν δι' ἐπιπλάστου ἤθους ἀπέκρυπτεν, ἄδικος ὢν ἐν δικαίῳ σχήματι.

Ibid. 13. *Ἐπιεικῶς.* Ἀντὶ τοῦ, ἐν ἐπιεικείας πλάσματι καὶ προσχήματι· τὸ δ' ἐπίῤῥημα τοῦτο σημαίνει καὶ τὸ πάνυ, καὶ τὸ παράδοξον, καὶ παρ' ἐλπίδα, καὶ τὸ μετὰ ἐπιεικείας καὶ χρηστότητος, ὥσπερ νῦν. Σημαίνει καὶ τὸ μετρίως, ἤτοι συμμέτρως.

Ibid. C 1. *Βασιλεύοντας.* Καταγινώσκοντός ἐστι βασιλέων φανερῶς.

Ibid. 4. *Συγκροτεῖν.* Ἐν μὲν ἑτέροις, τὸ συγκροτεῖν ἀντὶ τοῦ διδάσκειν εἴρηται· ἐνταῦθα δὲ ἐπὶ τοῦ συνάγειν καὶ συνάπτειν καὶ συνιστᾶν. Συγκροτεῖ οὖν, ἀντὶ τοῦ, συνδεῖ, καὶ πρὸς ἁρμονίαν ἄγει. Τὸ δὲ δεῖ, ἀντὶ τοῦ, χρὴ, εἴρηται. Τὸ, δεῖ, τέσσαρα ἔχει τὰ σημαινόμενα. Δεῖ γὰρ, ἀντὶ τοῦ, χρή· καὶ δεῖ, ἀντὶ τοῦ, χρεία ἐστίν. Οἷον, Δεῖ δὲ χρημάτων, καὶ ἄνευ τούτων οὐδὲν ἔστι γενέσθαι τῶν δεόντων. (Δημοσθ.) Καὶ δεῖ, ἀντὶ τοῦ, δεσμεῖ· καὶ δέει, ἐν διαλύσει ἀντὶ τοῦ, ἀπέχει.

Ibid. 8. *Πλάσμασιν.* Ἐν ἀνδριάσι καὶ εἰκόσι γραπταῖς.

Ibid. 15. *Συνθήμασιν.* Ἃ καλοῦσι κοδικίλλια. Τοῖς τῶν ἀρχόντων συνθήμασιν, εἴτ' οὖν συμβόλοις.

Col. 608 A 7. *Δηλητήρια.* Παρὰ τὸ δηλήσασθαι, τὸ βλάπτειν.

Ibid. 10. *Ταῖς εἰκόσι.* Διὰ τὴν μηχανὴν ταύτην καὶ τὸν δόλον, ὃν ἡμῖν ἤγειρεν.

Ibid. B 5. *Πρόσχημα.* Ἀντὶ τοῦ, πρόφασιν μὲν, καὶ πλάσμα, καὶ παραπέτασμα δόλου.

Ibid. *Αἴσχιον.* Τὸ ἁπλοῦν αἰσχρὸν, τὸ συγκριτικὸν αἴσχιον.

Ibid. 12. *Φθάνοντος.* Καταλαμβάνοντος. Οὐ γὰρ νῦν προλαμβάνοντος.

Ibid. 15. *Σχεδιασθεῖσα.* Ἐκ τοῦ εὐθέως καὶ παραχρῆμα ἐφευρεθεῖσα.

Ibid. D 2. *Πάλιν.* Ἀντὶ τοῦ, Πάλιν τὸ προκάλυμμα, καὶ καταπέτασμα τοῦ σοφίζεσθαι καὶ τεχνάζεσθαι τὸν δόλον προβάλλεται.

Ibid. 3. *Φαρμαχθῆναι.* Μιχθῆναι καὶ συμπλακῆναι καὶ συντεθῆναι.

Ibid. 5. *Μεθ' ὧν.* Ἀλογίας καὶ ἀπληστίας.

Col. 609 A 12. *Σχῆμα.* Ποῖον σχῆμα; Τὸ νόμον δοκεῖν βασιλικῆς δωρεᾶς ἀρχαιοτέρας.

A Christiani magnum fidei nostræ mysterium, non secundum dispositionem, sed cum Deo manifestare, secundum majus meliusque, secundum habitum. *Dispositionis* igitur vocabulo pro *habitu* Pater ususest.

Sermone. Correctio hoc. Quid dico per angelorum exercitus? Et sermone solo pravos inimicos ulcisci promptum erat ei.

Id remittimus. Cur hæc ridicula ad theatrum remittimus? Quoniam nunquam refellemus istos qui ridiculis illis pueriliter effugiunt. Malam vocat caput, quod ludentes mimi verberare consueverant.

Minois. Minos, Jovis cum esset filius, vir justus habebatur. Quod igitur dicit divinus Gregorius,
B hoc est: Julianus propriam perversitatem ascititiis moribus occultabat, injustus cum esset sub justi specie.

Leniter. Hoc est, moderationis specie et forma. Adverbium illud, ἐπιεικῶς, et multum, et mirum in modum, et contra spem, et cum moderatione et benignitate, sicut nunc significat; nec non moderate et congruenter.

Imperatores. Reges manifeste vituperantis est.

Συγκροτεῖν. In aliis quidem συγκροτεῖν pro διδάσκειν *docere* vim habet; hic vero cogere, coaptare, constituere. Συγκροτεῖ igitur, id est, constringit et apte constituit. *Δεῖ, oportet,* pro χρὴ,
C *necesse est, opus est,* dicitur. Vocabulum δεῖ quatuor habet acceptiones: Usurpatur pro necesse est, opus est: qualiter, Opibus opus est, quibus absque nihil fieri potest eorum quæ fieri debent. (Dem.) Dicitur quoque pro *vincit;* denique δέει, sine complexione, pro *abest.*

Imaginibus. In statuis et imaginibus pictis.

Notis, quos codicillos vocant. Principum notis, seu symbolis.

Δηλητήρια, toxicum. A δηλήσασθαι, *lædere, nocere.*

Imaginibus. Per hanc fraudem dolumque, quem nobis molitus est.

Πρόσχημα. Hoc est prætextum, astutiam, fraudis
D involucrum.

Αἴσχιον. Positivum αἰσχρόν, comparativum Αἴσχιον.

Φθάνοντος. Permeante, non hic præoccupante.

Σχεδιασθεῖσα. Ex tempore, ex improviso institutus.

Rursus. Hoc est, rursus involucrum speciosusque prætextus sophismatum dolique occultandi præbetur.

Φαρμαχθῆναι. Miscere, condire, conficere medicamenta.

Cum quibus. Vecordia scilicet atque avaritia.

Species. Quænam species? Imperatoriæ largitionis morem videri antiquissimum.

Quam infringi nefas. Non sic oportet agere, sed A conversione ac pœnitentia quod religiosum est confestim recipere et recuperare.

Poculum. Κύλιξ, genus quoddam poculi vel scyphi ; sicut : Multa sunt inter poculum summumque labrum.

Zelo et iracundia. Zelus est, ut jam nonnunquam dixi, cujusdam boni cupiditas, animæ superveniens cum nec invidetur possidenti. Cupiebant igitur illi sanctos martyres imitari, pro Christo mortem pati, pœnitentia pristinos errores repudiantes, magis recentiore mali conscientia et cognitione, prioris ignorantiæ, falsæ dolosæque denegationis peccatum per confessionem delentes.

Indicem. Proximi mali manifestum indicium est B cum repente exortus ignis evomitur, plerumque fluminis instar.

Decretum. Juxta quod non aperte hucusque tyrannus vim inferebat.

Ut enim prætereum. Præteritionis figura, qua ex abrupto dicens, dicere non videtur.

Explebantur. A vulgo scilicet.

Pro his rebus. Pro domibus sacris, laicos vel diaconos, magis vero omnes qui sacerdotibus erant subjecti.

Heliopolitarum. Ubi Christiani quotidie verberabantur et necabantur.

Conspectum. Mistionis natura erat similem non C habens. Quid enim magis horrendum quam hordeo carnes humanas miscuisse, pabulumque porcis objecisse?

Cujuslibet conditionis. Id est a divite et egeno, ab imperante et subjecto, a servo et libero.

Atque huic quidem carnes. Apibus et vespis. Scimus autem illud, quod cum masculinum genus cum femineo conjungatur, etsi multa sint feminea, unum vero masculinum, masculinum præpollet.

Symbolum. Forte dixerit aliquis : Ecce et sancti quoque symbola studio habere noverunt. Dicimus igitur quod cum illi puri sanctique essent, et in lucidis semper veritatis speculis oculos habentes, omnia pure videbant. Exinde nihil est horum D beatorum virorum, quod non cum veritate sive dictum, sive factum sit. Nos vero hac mensura et altitudine virtutis maxime, imo omnino destituti, nulli talium studere, vel omnino curam impendere debemus, quibus pauca quidem veritatis ænigmata, maxima vero hujus ignorantia.

Aureum. Petebant enim ab eo, ut vel templum eis reficeret reædificaretque quod everterat, vel non parvam auri summam ad templi instaurationem persolveret ; denique ne tantillum quidem concedentem invenerunt. Quo manifestum fuit eum pro pietate magis quam pro infirmitate adeo abstitisse. Quandiu enim ab eo tantum petebant,

Ibid. B. 15. *Ἄλυτον.* Οὐ δεῖ δὲ οὕτως, ἀλλ' ἐπιστροφῇ καὶ μετανοίᾳ τὸ εὐσεβὲς εὐθὺς ἀναλαμβάνειν καὶ ἀνακτᾶσθαι.

Col. 612 A 1. *Κύλικι.* Κύλιξ εἶδος ποτηρίου καὶ φιάλης· ὡς, Πολλὰ μεταξὺ πέλει κύλικος καὶ χείλεος ἄκρου.

Ibid. 10. *Ζήλῳ καὶ θυμῷ.* Ζῆλός ἐστιν, ὡς ἤδη πολλάκις εἶπον, ἐπιθυμία τινὸς καλοῦ, ἐγγινομένη τῇ ψυχῇ ἄνευ τοῦ φθονῆσαι τῷ κεκτημένῳ. Ἐπεθύμουν καὶ οὗτοι μιμήσασθαι ἁγίους μάρτυρας, τὸ ὑπὲρ τοῦ Χριστοῦ ἀποθανεῖν ἐκ μετανοίας γνωσιμαχήσαντες, μᾶλλον δὲ τῇ ὕστερον τοῦ κακοῦ συναισθήσει καὶ γνώσει, τῆς προλαβούσης ἀγνοίας καὶ σοφιστικῆς καὶ ἀπατηλῆς ἀρνήσεως τὸ ἁμάρτημα διὰ τῆς ὁμολογίας ἐξαφανίζοντες.

Col. 613 A 14. *Μήνυμα.* Τοῦ κακοῦ τοῦ μικρὸν ὕστερον ἐσομένου δῆλον ὅτι· ἐξαίφνης γὰρ ἀναδοθὲν τὸ πῦρ ἕλκεται ποταμοῦ δίκην ἐπὶ τὸ πολύ.

Ibid. B 2 *Δόγματος.* Καθ' ὃ μὴ φανερῶς τέως ὁ τύραννος ἐβιάζετο.

Ibid. 10. *Ἵνα ἐάσω.* Τὸ καθ' ὑποσιώπησιν σχῆμα, δι' οὗ λέγων ἐξ ἐπιδρομῆς, δοκεῖ μὴ λέγειν.

Ibid. 13. *Πληρούμενα.* Παρ' ἑκάστοις τῶν δήμων δηλονότι.

Ibid. C 1. *Ὑπὲρ τούτων.* Ὑπὲρ τῶν οἴκων τῶν ἱερῶν, λαϊκοὺς ἢ διακόνους, μᾶλλον δὲ πάντας ἁπλῶς τοὺς ὑπὸ τοῖς ἱερεῦσιν.

Col. 616 A 3. *Ἡλιουπολιτῶν.* Ἦ δὲ ἦν, τὸ Χριστιανοὺς ὁσημέραι παίειν ὁμοῦ καὶ κτείνειν.

Ibid. C 1. *Ὀφθεῖσαν.* Μίξεως φύσις ἦν ὁμοίαν οὐκ ἔχουσα. Τίς γὰρ λέγεται πλὴν τούτων, κριθαῖς μίξαι σάρκας ἀνθρώπων, καὶ τροφὴν τοῖς χοίροις παραθεῖναι;

Col. 620 A 4. *Πάσῃ καὶ τύχῃ.* Ἀντὶ τοῦ, πλουσίῳ καὶ πένητι, καὶ ἄρχοντι καὶ ἀρχομένῳ, καὶ δούλῳ καὶ ἐλευθέρῳ.

Ibid. B 8. *Καὶ τῷ μὲν τὰς σάρκας.* Τοῖς σφηξὶ καὶ ταῖς μελίσσαις. Ἴσμεν δὲ ἐκεῖνο, ὅτι ἀρρενικοῦ καὶ θηλυκοῦ συνημμένων, κἂν πλεῖον ᾖ τὸ θηλυκὸν, ἓν δὲ τὸ ἀρσενικὸν, τὸ ἀρσενικὸν ἐπικρατεῖ.

Ibid. C 2. *Σύμβολον.* Εἴποι ἄν τις ἴσως· Ἰδοὺ καὶ οἱ ἅγιοι προσέχειν ἴσασι συμβόλοις. Λέγομεν οὖν, ὅτι ἐκεῖνοι καθαροὶ καὶ ἅγιοι ὄντες, καὶ διαυγέσιν ἀεὶ τοῖς τῆς ἀληθείας κατόπτροις ἐνατενίζοντες, πάντα καθαρῶς ἑώρων. Κἀντεῦθεν οὐδέν ἐστι τῶν μακαρίων ἐκείνων ἀνδρῶν, ὃ μὴ σὺν ἀληθείᾳ, ἢ μὲν ἐλέγετο, ἢ δὲ ἐπράττετο· ἡμεῖς δὲ τούτου τοῦ μέτρου, καὶ τοῦ ὕψους τῆς ἀρετῆς πλεῖστον, καὶ πάνυ ὁμολογουμένως ἀπολειπόμενοι, οὐδενὶ τοιούτων ἐπιχειρεῖν, ἢ ὅλως προσέχειν ὀφείλομεν, οἷς ὀλίγα μὲν τὰ τῆς ἀληθείας αἰνίγματα, πλείστη δὲ ταύτης ἡ ἄγνοια.

Col. 621 A 8. *Χρυσοῦν.* Ἀπῄτουν γὰρ αὐτὸν ἢ τὸν ναὸν αὐτοῖς ἀναδείμασθαι καὶ ἀνοικοδομῆσαι ὃν καθεῖλεν, ἢ χρυσίον οὐκ ὀλίγον εἰς τὴν οἰκοδομίαν ἀποτῖσαι· ὕστερον δὲ καὶ εἰς ὀλίγον πάνυ καταστάντες, οὐδ' ὡς πειθόμενον ηὕρισκον. Ὢ δῆλον ἐγένετο, ὡς ὑπὲρ εὐσεβείας μᾶλλον ἢ ἀδυναμίας, ἐκείνῳ τὰ τῆς ἐνστάσεως εἶεν. Εἰς ὅσον μὲν γὰρ τὸ πλεῖον

ἀπῄτουν, ὑπόνοια ἦν τοῦ, διὰ τῆς τῶν χρημάτων A ἀπορίας, ἀλγηδόνας ἀνάγκῃ φέρειν· ἐπειδὴ δὲ κατιόντες εἰς νόμισμα ἦλθον, τότε σαφῶς ἐγνώσθη (ἐνεδίδου γὰρ οὐδ' οὕτως), ὡς οὐ τῇ τῶν χρημάτων ἀπορίᾳ τὰς βασάνους ὁ γέρων ὑπέμεινεν, ἀλλ' ὑπὲρ τοῦ μὴ μέγα ἢ μικρὸν τοῖς βασανισταῖς προέσθαι τὸν ἀριστέα.

Col. 624 B 11. *Διώρυξι.* Ἔστιν αὐτὸς ὁ πορθμός· διωρυχὴ δὲ αὐτὸ τὸ διορύσσειν, ἵνα διώρυξ ᾖ πορθμός. Λέγεται καὶ ταύτην ἔχειν τὴν διαφορὰν ἡ διωρυχὴ πρὸς τὴν διώρυχα, ἣν ἔχει ἡ ἐλευθέρωσις πρὸς τὴν ἐλευθερίαν· κἀκεῖ γὰρ ἡ ἐλευθέρωσις πρὸς τὴν ἐλευθερίαν ὁδός ἐστι.

Ibid. 13. *Ψυχαγωγία.* Ἀντὶ τοῦ, Ἐπὶ τῷ ψυχὰς δῆθεν ἐκ τοῦ ᾅδου ἀναγαγεῖν πρὸς τὴν μαντείαν.

Ibid. *Νενομισμέναις.* Γοήτων γὰρ μᾶλλον ἢ Ἑλλήνων ἐστί.

Col. 625 B 1. *Μέσην βαδίζων.* Ἀντὶ τοῦ, μήτε Ἕλλησι λίαν, μήτε Χριστιανοῖς προσκείμενος, ἀλλὰ πρὸς ἀμφοτέρους μέσως πως ἔχων. Ἄλλως· Ἀπόδοσις· τίς οὐκ οἶδεν ὅτι, δήμου τινὸς ἐπιμανέντος ἡμῖν, ἐπειδὴ μέσην βαδίζων ὁ τοῦ ἔθνους ἄρχων, ἄτιμος ἐκρίνετο; Τὸ γὰρ μετρίως καὶ μέσως πως ἔχειν περὶ ἡμᾶς, ἔγκλημα μέγα Ἰουλιανὸς ἐποιεῖτο.

Ibid. C 1. *Πρόγραμμα.* Οἱ Ἀθηναῖοι βουλεύειν τῆς βουλῆς μελλούσης, ἢ μέλλοντος ἐκκλησιάζειν τοῦ δήμου, προέγραφον, ὅτι τῇδε τῇ ἡμέρᾳ ὁ δῆμος ἐκκλησιάζει, ἢ ἡ βουλὴ βουλεύει, καὶ τοῦτο ἐκάλουν πρόγραμμα.

Ibid. 11. *Νέον θεόν.* Ἰουλιανὸν δηλονότι. C

Col. 629 B 1. *Πρῶτος ἐνυβρίσας.* Πρῶτος οὐχὶ πάντων τῶν διωξάντων, ἀλλὰ πρῶτος τῶν ἐν ἐκείνῳ τῷ διωγμῷ, τουτέστι τῷ ἐσχάτῳ. Οὐ γὰρ εἷς γέγονε διωγμὸς ἀδιάκοπος ἀπ' ἀρχῆς μέχρι τέλους, ἀλλὰ πολλοὶ κατὰ καιρούς, ὧν ἕκαστος ὅρον ἔσχε τοῦ Κυρίου τὴν ἀντίληψιν.

Ibid. C 1. *Κεχρῆσθαι.* Μισθὸν ἀπῄτει τοὺς Χριστιανοὺς τοῦ χρήσασθαι τοῖς δικαστηρίοις, τὸ θυμιᾶσαι ἐπὶ τῶν βωμῶν τῶν ἔμπροσθεν τῶν δικαστηρίων, τοσούτου μικροῦ καὶ εὐτελοῦς πράγματος.

Ibid. 6. *Κοινῇ.* Ὡς εἰ ἔλεγεν· Ὁρᾶτε οἵαν ὠμότητα καὶ ἀπανθρωπίαν καθ' ἡμῶν διενοεῖτο ὁ παμμίαρος.

Col. 632 A 7. *Φονευτοῦ.* Φονευτοῦ καὶ παρανόμου κατ' ἀλήθειαν, προστάτου καὶ νομοθέτου κατὰ τοὺς τὰ ἐκείνου σέβοντας. D

Ibid. 10. *Νόμου.* Πάνυ μὲν οὖν ταῦτα πάντα τοῦ τῶν Χριστιανῶν νόμου, καὶ οὐκ ἀρνούμεθα κἂν σὺ πλέον μανῇς, καὶ μεῖζον μετὰ τῶν σῶν δαιμόνων ὑλακτῇς. Ἀλλ' οὐ πάντων, ὦ τρισάθλιε σύ, τὸ πρὸς ἄκρον τοῦ καλοῦ καὶ τῆς ἀρετῆς ἀναβαίνειν, οὐδὲ τῶν πρὸς βίαν ταῦτα καὶ τυραννίδα (ἢ γὰρ ἂν οὐχ οὕτω καλὸν), ἀλλὰ τῶν ἐπ' ἐξουσίας καὶ γνώμης τῆς ἡμετέρας· εἶτα σὺ ταῦτα καταναγκάζεις ποιεῖν, τίς ὢν καὶ πόθεν, καὶ τίνος τοῦ παραδείγματος τῶν πρὸ σοῦ βασιλέων; Εἷς ἡμῖν βασιλεύς, ὦ τύραννε σὺ καὶ τῆς κατ' οὐρανὸν βασιλείας ἐχθρέ, ὃς τούτων ἡμᾶς ἀπαιτήσει τοὺς λόγους καὶ τὰς εὐθύνας, εἴτε κολάσων εἰς

suspicio esse poterat cum propter opum inopiam, ad tot cruciatus perferendos necessitate compulsum. Postquam autem semper descendentes ad nummum venerunt, tum liquido declaratum est (ne hoc quidem persolvit) non divitiarum inopia hæc tam dira senem pertulisse, sed ne aut multum aut parum cruciatibus concederet vir generosus.

Διώρυξι. Est ipse *ductus* : διωρυχή, *fossa*, idem est ac διορύσσειν, *fodere*, ut ductus fiat. Eamdem quoque inter se differentiam habent διωρυχή et διώρυξ, *fossa* et *ductus*, quam liberatio et libertas. Hic quoque liberatio ad libertatem via est.

Animarum evocationem. Scilicet ad animas ab inferno evocandas ad divinationem.

Legitima. Magorum enim potius quam gentilium sunt.

Media via. Nempe neque ad gentiles nimium, neque ad Christianos inclinatus, sed inter hos atque illos quasi medium secutus. Aliter : Apodosis. Quis nescit quod, cum promiscua plebs furenter in nos impetum fecisset, media via incedens gentis præfectus, cum ignominia judicium subiit? Moderatione enim et quasi medio quodam erga nos uti crimen magnum Julianus faciebat.

Edictum. Athenienses, cum senatus consulere vellet, vel populus esset congregandus, edicto prænuntiabant quod illa die populus congregaretur vel senatus ad concionem coiret, illudque edictum *πρόγραμμα* vocabant.

Novum Deum. Julianum scilicet.

Qui primus contumeliis affecit. Primus non omnium persecutorum, sed in hac persecutione, id est ultima. Non enim una facta est persecutio sine intermissione ab initio usque ad finem, sed multæ juxta tempora, quarum quæque ad Domini religionem subvertendam tendebat.

Uti. Quasi mercedem a Christianis postulabat, ad tribunalibus utendum, ut thus ad aras ante tribunalia propositas afferrent, tam parvæ vilisque rei.

Communi. Haud secus atque diceret : Videte quantam feritatem et inhumanitatem adversus nos excogitaverit iste vir immundissimus.

Carnificis. Carnificis et legum transgressoris secundum veritatem, patroni et legislatoris juxta istius adoratores.

Lege. Maxime igitur hæc omnia Christianorum lege sancita, neque negabimus, etsi majori rabie sævias, magisque cum dæmonibus tuis vocifereris. Non enim omnium est, o miserrime, ad summum boni et virtutis ascendere, neque ad violentiam hanc et tyrannidem (non enim ita pulchrum foret), sed juxta facultatem sententiamque nostram. Deinde tu hæc cogis facere, quis sis et unde, et quonam exemplo imperatorum qui ante te exstiterunt? Unus nobis rex, o tyranne tu cœlestisque regni inimice, qui de iis a nobis rationem reposcet, sive castigaturus in finem optimum simul et

salutarem, sive et aliter miserans ad summam evexerit philosophiam, aut nequeuntes, aut, ut verius dicam, minime sapientes, sed luto, mundoque atque in eis mistioni subactos. Hæc quidem reposcet a nobis ille in tempore opportuno, tua vero quid interest et refert, o impiissime tyranne?

Σηκοῖς. Hæc vocabula σηκὸς et τέμενος templum totum significant. Templum altare significat, in quo nobis divina mysteriorum apponitur mensa, paganis vero in quo immundum stat idolum. Exinde et caro minio illita et comedenda Alexandriæ, a σηκοῦ, *fano*, vocabatur, quasi a templo. Hic enim in templo primum deleta est. Namque Ptolemæus Philadelphus, unus ex duodecim Ptolemæis, hanc carnem exornat duas ob causas, aut, quod verum est, quia Alexandrinus panis, cum non salsus sit, lumbricum parit vermem, quem nihil ita occidit, ut Sinopense minium (cui hoc nomen ex urbe Sinope inditum); aut quia Ptolemæo astrologi dicebant, sic Martem velle ex urbis horoscopo, hos rubro colore penitus tingi: Minium igitur, aiunt, carni impositum Martem delectabit.

Θαυμάζω. Pro καταγινώσκω, *crimini verto.*

Exagitet. Animadvertendum est quod exagitare et persequi in confessione perstantes, majus est quam negare.

Habitus. Habitus rationalis essentiæ. Operæ pretium est animadvertere quod habitus quoque de pravitate dicitur. Nonnulli enim de sola virtute dici existimabant, et de mali negatione.

Assignatam. Seorsum attributam.

Causam obtinebimus. Ut nos quidem meliorem, isti vero pejorem partem habentes, quod non dabunt gentiles.

Parcentibus. Christianis. Nos enim, in favoris nostri temporibus, omni paganorum genti parcebamus.

Libertatem. Publice recitant gentiles, causas agunt, aliaque faciunt quæcunque cives, nullo Christianorum prohibente, nisi vero palam atque publice impietatem ostentare prohibeantur. Neque enim fas esset religione vera ubique prævalente impietatem palam exhiberi.

Crimini vertentes. Recte admodum. Ita enim in Christianos inique agebant, cum florentes essent, ut iis crimini verterent eorum in prosperis temporibus erga paganos humanitatem atque mansuetudinem.

Ἐπιταττομένοις. Nobis Christianis videlicet.

Periculo. Attendes hic, omnis ad desperationis barathrum expulsus, ut Christiani quidem universi, quicunque in Christum baptizati sumus. Si quis vero ad virtutis verticem pervenire nequit, sed medium aliquid tenet, nihil talis periculi pertimescat: minor vero mediocritatis honor et merces.

A πέρας χρηστόν τε ὁμοῦ καὶ σωτήριον, εἴτε καὶ ἄλλως ἡμᾶς ἐλεήσων πρὸς ἄκραν ἐλάσει φιλοσοφίαν, ἢ μὴ δυνηθέντας, ἢ τό γε ἀληθέστερον εἰπεῖν, οὐ πάνυ φροντίσαντας, ἀλλ' ἡττηθέντας πηλοῦ καὶ κόσμου καὶ τῆς ἐν τούτοις συγχύσεως. Ταῦτα μὲν ζητήσει παρ' ἡμῶν ἐκεῖνος ἐν δέοντι· σοὶ δὲ τί προσήκει καὶ διαφέρει, ὦ ἀσεβέστατε τύραννε;

Ibid. B 9. *Σηκοῖς.* Ὁ μὲν σηκὸς καὶ τὸ τέμενος σημαίνει τὸ ἱερὸν ὅλον· ὁ δὲ ναὸς σημαίνει τὸ θυσιαστήριον, ἐν ᾧ ἡμῖν μὲν ἡ θεία τῶν μυστηρίων πρόκειται τράπεζα, Ἕλλησι δὲ τὸ βδελυρὸν ἐν τούτῳ εἴδωλον εἱστήκει. Ἐντεῦθεν καὶ τὸ κρέας τῷ μίλτῳ χριόμενον, καὶ ἐψόμενον ἐν Ἀλεξανδρείᾳ, ἀπὸ σηκοῦ ἐκαλεῖτο, οἱονεὶ ἀπὸ τοῦ ἱεροῦ. Ἐκεῖσε γὰρ ἐν τῷ ἱερῷ γενόμενον πρῶτον ἐπράθη. Πτολεμαῖος γὰρ ὁ
B Φιλάδελφος, εἷς τῶν ιβ' Πτολεμαίων, τοῦτο τὸ κρέας ἐπιτηδεύει διὰ δύο αἰτίας, ἤ, ὅπερ ἀληθές, ὅτι ὁ Ἀλεξάνδρειος ἄρτος ἄναλτος ὤν, ποιεῖ τὴν καλουμένην ἕλμινθον, ταύτας δὲ οὐδὲν οὕτως ἀναιρεῖ ὡς ἡ ἐκ Σινώπης μίλτος (ἣν καὶ Σινωπίδιον καλοῦσιν ἐκ τῆς πόλεως)· ἢ ὅτι οἱ ἀστρολόγοι ἔλεγον Πτολεμαίῳ, ὡς ἐθέλοντα τὸν Ἄρην ἀπὸ τοῦ θέματος τῆς πόλεως ταῦτα φοινίσσεσθαι διαπαντός. Ἡ μίλτος οὖν, φασί, μετὰ τοῦ κρέως προτιθεμένη, τὴν ἡδονὴν ἀποπληρώσει τῷ Ἄρει.

Ibid. 12. *Θαυμάζω.* Ἀντὶ τοῦ, Καταγινώσκω.

Ibid. C 2. *Περιωθῶν.* Σημειωτέον, ὅτι τὸ περιωθεῖν καὶ διώκειν τοὺς ἐμμένοντας, τοῦ ἀρνήσασθαι μεῖζόν ἐστιν.

Ibid. 8. *Ἕξεων.* Τῶν ἕξεων τῆς λογικῆς οὐσίας. Σημείωσαι δέ, ὅτι ἡ ἕξις καὶ ἐπὶ κακίας λέγεται. Τι-
C νὲς γὰρ ἐπὶ τῆς ἀρετῆς μόνης ἠξίουν λέγεσθαι, ἐπὶ δὲ κακίας τὴν στέρησιν.

Ibid. 9. *Ἀποκεκρίσθαι.* Χωρὶς ἀποδεδόσθαι.

Ibid. 11. *Νικήσομεν.* Ὡς ἡμεῖς μὲν τὴν κρείσσονα μοῖραν ἔχοντες, ὅπερ οὐ δώσουσιν οἱ Ἕλληνες.

Col. 633 A 2. *Φειδομένων.* Τῶν Χριστιανῶν. Ἡμεῖς γὰρ ἐν τοῖς τῆς ἡμετέρας ἰσχύος καιροῖς, Ἑλλήνων καὶ παντὸς ἔθνους ἄλλου ἐφειδόμεν.

Ibid. 7. *Παῤῥησίας.* Καὶ ἀναγινώσκουσιν οἱ Ἕλληνες, καὶ δικάζονται, καὶ τὰ ἄλλα πράττουσιν ὅσα πολῖται, μηδενὸς Χριστιανῶν κωλύοντος, πλὴν εἰ κωλύοιντο φανερῶς καὶ δημοσίᾳ δυσσεβεῖν. Οὐ γὰρ θέμις εὐσεβείας πανταχοῦ κρατούσης παῤῥησιάζεσθαι
D τὴν ἀσέβειαν.

Ibid. B. 1. *Ἐγκαλοῦντες.* Καλῶς πάνυ. Οὕτω γὰρ κακῶς τοὺς Χριστιανοὺς ἐποίουν ἰσχύοντες, ὥστε ἐγκαλεῖν αὐτοῖς καὶ τὴν ἐν τῷ πράττειν καλῶς τὴν εἰς τοὺς Ἕλληνας φιλανθρωπίαν καὶ ἡμερότητα.

Ibid. 9. *Ἐπιταττομένοις.* Ἡμῖν Χριστιανοῖς δηλονότι.

Ibid. 10. *Κίνδυνος.* Ἐπιστήσεις ἐνταῦθα, πᾶς ὁ πρὸς τὸ τῆς ἀπογνώσεως βάραθρον ἐξωθούμενος, ὡς Χριστιανοὶ μὲν ἅπαντες, ὅσοι εἰς Χριστὸν ἐβαπτίσθημεν. Εἰ δέ τις εἰς τὸ ἄκρον τῆς ἀρετῆς ἀφικέσθαι οὐ δύναται, ἀλλὰ μέσην τινὰ βαδίζει, τῶν τοιούτων κίνδυνος μὲν οὐδείς, ἥττων δὲ ἡ τιμὴ καὶ ἡ τῆς μεσότητος ἀμοιβή.

Col. 636 A 6. *Προσκείμενος*. Προσυπακουστέον A τὸ τυγχάνει.

Ibid. 15. *Τὰ θεῖα λέγω*. Ἀντὶ τοῦ, τοὺς λόγους λέγω τοὺς εἰς τὰ θεῖα κηρύγματά τε καὶ δόγματα, καὶ τὰς ἐντεῦθεν ἐλπίδας.

Ibid. B 2. *Πίνδαρον*. Πίνδαρος εἷς ἐστι τῶν πρὸς λύραν λεγόντων. Οὗτος οὖν ὁ λυρικὸς τέσσαρας γράφει νίκας, αἳ καὶ πράττονται. Ἐν τῇ μιᾷ τοίνυν τῶν νικῶν ἐκεῖνό φησιν· ὅτι τὸ οἰκεῖον ἕκαστον πιέζει κακόν· ὅ ἐστι, πάντα ἄνθρωπον τὸ ἴδιον ἀνιᾷ κακόν.

Ibid. 14. *Τελχῖνες*. Παρ' Ἕλλησιν φθονεροί τινες δαίμονες.

Ibid. C 9. *Κἄν τι δίκαιον δόξῃς*. Οὐκ εἶπε, κἂν τι δίκαιον εἴπῃς, ἀλλὰ, δόξῃς λέγειν. Σοῦ δὲ δοκεῖν τὸ δίκαιόν τι λέγειν. Δόξομεν καὶ ἡμεῖς ἡττᾶσθαι, καὶ διὰ τὴν δόξαν ἀνιασόμεθα μὲν, οὐ μεμψόμεθα δέ. B

Ibid. 14. *Καὶ τὸ Ἑλληνίζειν*. Θουκυδίδης ὁ Ἀθηναῖος συγγραφεὺς μάρτυς ἡμῖν, ὡς οὐ τῆς θρησκείας ἀλλ' Ἕλληνος, καὶ τῶν ἐκείνου παίδων ἡ Ἑλληνίζουσα διάλεκτος. Οὕτω γάρ φησιν ἐν τῷ προοιμίῳ τῆς ἑαυτοῦ συγγραφῆς· Δοκεῖ δέ μοι, οὐδὲ τοὔνομα τοῦτο ξύμπασά πω εἶχεν, ἀλλὰ τὰ μὲν πρὸ Ἕλληνος τοῦ Δευκαλίωνος καὶ πάνυ οὐδὲ εἶναι ἡ ἐπίκλησις αὕτη, κατὰ ἔθνη δὲ ἄλλα τε καὶ τὸ Πελασγικὸν ἐπιπλεῖστον, ἀφ' ἑαυτῶν τὴν ἐπωνυμίαν παρέχεσθαι. Ἕλληνος δὲ καὶ τῶν παίδων αὐτοῦ ἐν τῇ Φθιώτιδι ἰσχυσάντων, καὶ ἐπαγομένων αὐτοὺς ἐπ' ὠφελείας εἰς τὰς ἄλλας πόλεις, καθ' ἑκάστους μὲν ἤδη τῇ ὁμιλίᾳ μᾶλλον καλεῖσθαι Ἕλληνας, οὐ μέντοι πολλοῦ γε χρόνου ἠδύνατο καὶ ἅπασιν ἐκνικῆσαι. Τεκμηριοῖ δὲ μάλιστα Ὅμηρος. Πολλῷ γὰρ ὕστερος ἔτι καὶ τῶν Τρωϊκῶν γενόμενος, οὐδαμοῦ τοὺς ξύμπαντας ὠνόμασεν, οὐδ' ἄλλους ἢ τοὺς Ἀχιλλέως ἐκ τῆς Φθιώτιδος, οἵπερ καὶ πρῶτοι Ἕλληνες ἦσαν· Δαναοὺς δὲ ἐν τοῖς ἔπεσι, καὶ Ἀργείους, καὶ Ἀχαιοὺς ἀνακαλεῖ. Οὐδὲ μὲν, οὐδὲ βαρβάρους εἴρηκε, διὰ τὸ μηδὲ Ἕλληνάς πω, ὡς ἐμοὶ δοκεῖ, ἀντίπαλον εἰς ἓν ὄνομα ἀποκεκρίσθαι.

Col. 637 C 2. *Καὶ τὰ δηλούμενα*. Τῶν δηλουμένων, τὰ μὲν μιᾷ προσηγορίᾳ καὶ τῇ αὐτῇ λέξει διάφορά ἐστι τῷ σημαινομένῳ, οἷον ἡ κυρίου φωνὴ, καὶ τὸ στοιχεῖον. Πῆ μὲν γὰρ σημαίνει τὰ γράμματα, πῆ δὲ τὰ στοιχεῖα, ἤτοι τὰς ποιότητας ἐξ ὧν τὰ σώματα· τὰ δὲ διαφόροις ὀνόμασι ταὐτά ἐστιν, οἷον, Κρεῖττον, ἄμεινον, βέλτιον, κάλλιον· καὶ ἑστίασις D καὶ εὐωχία.

Col. 640 A 3. *Ἱεροφάνταις*. Παρὰ τὸ τὰ ἱερὰ ἐκφαίνειν. Εἰσὶ γὰρ οἱ ἱερουργοί.

Ibid. 9. *Παιδεραστεῖν*. Τὸ παιδεραστεῖν εἴτ' αἰσχρῶς, εἴτε σωφρόνως, πᾶσι μὲν Ἕλλησι, μάλιστα δὲ τοῖς Ἀθηναίοις ἔννομον ἦν. Καὶ Πέρσαι δὲ, καθ' Ἡρόδοτον, τοῖς παισὶν ἐμίγνυντο, παρ' Ἑλλήνων τοῦτο μαθόντες.

Ibid. *Ἢ τὸ πορνεύειν*. Τὸ πορνεύειν τοὺς ἄνδρας, καὶ πορνεύεσθαι τὰς γυναῖκας μάλιστα παρὰ Κορινθίοις ἔθος ἦν· παρ' οἷς καὶ γεγόνασιν αἱ περιβόητοι πόρναι ἐκεῖναι, ὧν καὶ ἡ Λαῒς καὶ ἡ Κύκνα καὶ ἡ Σαλαβακχώ. Ἡ γὰρ Φρύνη Ἀθηνῆς ἦν.

Προσκείμενος. Subaudiendum τυγχάνει, est.

Divina dico. Id est, sermones dico ad divina mandata dogmataque spectantes, atque spes exinde conceptas.

Pindarum. Pindarus unus est ad lyram canentium. Hic igitur lyricus quatuor scribit victorias, quæ obtinentur. In prima victoriarum hoc dicit, quod omnis propria molestia premit, id est, quivis homo proprium malum dolet.

Telchines. Apud Græcos invidi quidam dæmones.

Quod si justi aliquid. Non dixit, quod si justi aliquid dixeris, sed dicere visus fueris. Tuum enim videri justum aliquid dicere. Videbimur et nos vinci, et propter hanc opinionem dolebimus quidem, sed non te reprehendemus.

Græcizare. Thucydides Atheniensis historicus testis nobis quod non idololatriæ, sed Hellenis ejusque filiorum Græca fuit dialectus. Sic enim ait in historiæ suæ procemio: Videtur autem mihi nondum nomen illud universam habuisse, sed ante Hellena, Deucalionis filium, minime fuisse hanc appellationem: gentes enim aliæ, Pelasgico genere pleræque, a semetipsis cognomen habuisse. Hellene quidem ejusque filiis in Phthiotide vigentibus et se ipsos diffundentibus utilitatis causa in alias civitates, singuli jam commercio magis vocari Hellenes cœperunt, nec quidem multo tempore C omnibus prævalere hoc valuit. Quod ostendit maxime Homerus. Namque multo tempore post Troicas res natus, nusquam universos nominavit, neque alios atque ex Phthiotide Achillis comites, qui et primi Hellenes erant. Danaos vero in carminibus, et Argivos, et Achivos vocat. Neque barbaros dixit propterea quod nondum Hellenes (ut mihi videtur) in par unumque nomen convenissent.

Significant. Ex iis quæ significantur, alia quidem uno vocabulo et eadem dictione, sensu sunt diversa, qualis κυρίου, *domini*, vox, atque στοιχεῖον, *elementum*. Nonnunquam enim litteras significat, nonnunquam elementa, seu principia quibus constant corpora; alia vero diversis nominibus eadem sunt, sicut κρεῖττον, ἄμεινον, βέλτιον, κάλλιον, *melius*, *pulchrius*, *rectius*, ac pariter ἑστίασις et εὐωχία, *epulum*, *convivium*.

Hierophantis. Ἱεροφάντης, ab ἱερά, *sacra*, et φαίνω, *manifestare*. Hi sunt enim sacrificatores.

Παιδεραστεῖν. Παιδεραστεῖν, *pueros adamare* sive turpiter, sive sapienter, apud omnes Græcos, præsertimque Athenienses, usitatissimum erat. Persæ quoque, juxta Herodotum, pueris abutebantur, quod a Græcis didicerant.

Scortari. Scortari homines, feminasque meretricium agere maxime apud Corinthios in usu venerat. Hic enim exstiterunt famosæ illæ meretrices, quales Lais, Cycna et Salabaccho. Phryne autem Atheniensis erat.

Ἔκκριτον. Pro ἐξαίρετον, *selectum*, et γνωριμώτατον, *maxime proprium*. A

Commune. Sicut ovis, bos.

Duo erga idem. De Græcismo, lingua et deorum cultus. Si enim ambo Græcizari pariter dicuntur, Græcizari secundum linguam, et Græcizari secundum deorum cultum inter se multum differunt.

A posteriori. A fucato sermone.

Partitio. Id est, quænam proprietas, possessio rei. Ἀποκλήρωσις a κλήρου, *sorte*, vel κληρονομίας, *hæreditate* dictum est, vel a terræ mensura. In utraque enim possessori possessio et proprietas est.

Græcas voces. Hellas mulier et vox, sicut et Persis vox, et mulier, et regio. Sic et Cæsarea mulier, et Antiochia, et vox eodem nomine ac civitas; B et Armenia mulier, et vox simili nomine quam regio. — Aliter. Quærens invenio gentilia hæc nomina in derivatione frequenter a norma abhorrere posse. Sic enim Pagasa urbs, cujus civis tripliciter dictus Pagaseus, Pagasæus, Pagasites; et rursus Ægæus et Ægæotes. In Cilicia Ægos civis dicitur Ægius; in Macedonia Ægæotes; in Attica vero Ægæus. Pagasæ autem in Thessalia nomen habuerunt eo quod ab Argo initium duxit, παγῆναι. Non modo Alexandria mulier, sed et Alexandris ita et Cappadocis.

Neque ars ulla. Institutum plerunque artis est. Instituitur enim de rebus cum arte et sine arte: verbi gratia, jejunare, sapere, simpliciter et non C exquisite vivere; quod si quid artis est, hoc et institutum; et si institutum est, non ideo ars.

Omnia tamen in medium. Hæc talia disserere atque enumerare sacræ tuæ ac religiosæ animæ est, non autem dæmoniacæ istius impii et similium.

Phœnicum litteræ. Litteras primos omnium Ægyptios formasse aiunt, deinde Phœnices eas collegisse, ac postea Cadmum, Agenoris filium, cum ex Phœnicia in Græciam se contulisset, illinc eas in eam regionem transportasse. Erant porro olim sexdecim tantum litteræ, α, β, γ, δ, ε, ι, κ, λ, μ, ν, ο, π, ρ, σ, τ, υ; post autem aiunt insuper octo D inventas fuisse: quatuor quidem a Palamede, ξ, θ, φ, χ; a Simonide poeta quatuor reliquas, η, ζ, ψ, ω.

Pravum et sceleratum agmen. Rebellionis agmen dicit, adversus leges et regulas quas edixit, ut disciplina privarentur Christiani e multis coordinata, atque ita dissolveretur agmen aciesque verborum. Atque utinam, ait, agmen illud adversus religionem quam ocissime dissolutum sit: sic enim multis nos malis liberaremur.

Initiationum. Preces erant, quæ de ægrotantibus, de absentibus, de fructibus apud nos fiunt.

Ibid. 12. *Ἔκκριτον.* Ἀντὶ τοῦ, ἐξαίρετον καὶ γνωριμώτατον.

Ibid. 15. *Τῶν κοινῶν.* Οἷον πρόβατον, βοῦν.

Ibid. C 3. *Περὶ ταυτὸν ἄμφω.* Περὶ τὸ Ἑλληνίζειν ἥ τε γλῶσσα, καὶ ἡ θρησκεία. Εἰ δὲ καὶ τὸ Ἑλληνίζειν ταυτὸν, τὸ Ἑλληνίζειν κατὰ τὴν φωνὴν τό τε Ἑλληνίζειν κατὰ τὴν θρησκείαν ἀλλήλων κατ' ἄμφω πολλῷ διέστηκεν.

Ibid. 11 *Τούτου.* Τοῦ κομψοῦ.

Ibid. *Ἀποκλήρωσις.* Ἀντὶ τοῦ, Τίς ἡ οἰκειότης καὶ σχέσις τοῦ πράγματος. Εἴρηται δὲ ἀπὸ τοῦ κλήρου ἢ τῆς κληρονομίας, ἢ τοῦ μέτρου τῆς γῆς. Ἐν ἀμφοτέροις γὰρ σχέσις ἐστὶ, καὶ οἰκειότης κληρούχῳ.

Col. 641 A 7. *Ἑλλάδος φωνῆς.* Καὶ Ἑλλὰς γυνὴ, καὶ φωνὴ, ὥσπερ καὶ Περσὶς φωνὴ, καὶ γυνὴ καὶ χώρα. Οὕτω καὶ Καισάρεια γυνὴ, καὶ Ἀντιοχεία, καὶ φωνὴ ὁμωνύμως τῇ πόλει, καὶ Ἀρμενία γυνὴ καὶ φωνὴ ὁμώνυμος τῇ χώρᾳ. Ἄλλως. Ζητῶν εὑρίσκω μὴ κανονικῇ ἀκολουθίᾳ τινὶ δύνασθαι καθυποβάλλεσθαι τὰ ἐθνικὰ ταῦτα ὀνόματα. Ἰδοὺ γὰρ Πάγασα μὲν ἡ πόλις, ὁ δὲ πολίτης εὑρέθη τριχῶς, Παγασεὺς, Παγασαῖος, Παγασίτης· καὶ πάλιν, Αἰγαῖος καὶ Αἰγαιώτης. Ἀλλ' ἐπὶ μὲν τῶν ἐν Κιλικίᾳ Αἰγῶν, Αἰγαῖος ὁ πολίτης· ἐπὶ δὲ τῶν ἐν Μακεδονίᾳ Αἰγῶν, Αἰγαιώτης· ἐπὶ δὲ τῶν ἐν τῇ Ἀκτῇ Αἰγαιεύς· αἱ δὲ Πάγασαι τῆς Θετταλίας ἀπὸ τοῦ τὴν Ἀργὼ παγῆναι κατὰ τὸν τόπον, εἴρηται. Οὐ μόνον δὲ Ἀλεξάνδρεια γυνὴ, ἀλλὰ καὶ Ἀλεξανδρίς· οὕτω καὶ Καππαδοκίς.

Ibid. B 6. *Οὔτε τέχνη τις.* Ἡ μὲν ἐπιτήδευσις ἐπὶ πλεῖόν ἐστι τῆς τέχνης. Ἐπιτηδεύει γὰρ καὶ τὰ μετὰ τέχνης, καὶ χωρὶς γινόμενα· οἷον τὸ εὔχεσθαι, τὸ νηστεύειν, τὸ σωφρονεῖν, τὸ ἁπλῶς καὶ ἀφελῶς ζῆν. Καὶ εἴ τι μὲν τέχνη, τοῦτο καὶ ἐπιτήδευσις· οὐκ, εἴ τι δὲ ἐπιτήδευσις, τοῦτο ἤδη καὶ τέχνη.

Ibid. 14. *Πάντα δὲ εἰς μέσον.* Τὰ τοιαῦτα λογίζεσθαι καὶ διεξέρχεσθαι τῆς σῆς ἱερᾶς καὶ θεοφιλοῦς ὑπῆρχε ψυχῆς, οὐ τῆς δαιμονιώδους ἐκείνης τοῦ δυσσεβοῦς, καὶ τῶν ὁμοίων.

Ibid. C 5. *Φοινίκων τὰ γράμμ.* Πρώτους λέγουσι γράμματα τυπῶσαι τοὺς Αἰγυπτίους, ἔπειτα συναγαγεῖν Φοίνικας, καὶ εἰς Ἑλλάδα κομίσαι Κάδμον τοῦ Ἀγήνορος, ἀπὸ Φοινίκης εἰς τὴν Ἑλλάδα παραγενόμενον. Διὸ καὶ φοινίκια αὐτὰ προσαγορευθῆναι. Εἶναι δὲ τὸ παλαιὸν γράμματα ιϛʹ· α, β, γ, δ, ε, ι, κ, λ, μ, ν, ο, π, ρ, σ, τ, υ, ὕστερον δὲ καὶ προσευρεθῆναι ὀκτώ· ὑπὸ μὲν Παλαμήδου τέτταρα, ξ, θ, φ, χ· ὑπὸ Σιμωνίδου δὲ τοῦ μελοποιοῦ, τὰ ὑπόλοιπα τέτταρα, η, ζ, ψ, ω.

Col. 645 B 4. *Πονηρὸν σύνταγμα.* Τὸ τῆς ἐπαναστάσεως φησι σύνταγμα, κατὰ τοὺς ὅρους καὶ νόμους οὓς προσέθηκεν, ὥστε τῆς παιδεύσεως ἀμοίρους εἶναι Χριστιανοὺς τῆς ἐκ πολλῶν συνεστηκυίας, καὶ λοιπὸν ταύτῃ διέλοιτο ἐπ' αὐτῷ τὸ σύνταγμα καὶ τὸ σύστημα τῶν λόγων. Ἀλλ' εἴθε, φησὶ, καὶ τὸ σύνταγμα αὐτὸ κατὰ τῆς εὐσεβείας τάχιστα διελύθη· οὕτω γὰρ ἂν πλείστων ἡμεῖς κακῶν ἀπηλλάγημεν.

Col. 648 C 5. *Προτελείων.* Προτέλειοι εὐχαὶ, αἱ περὶ νοσούντων, καὶ ἀποδήμων παρ' ἡμῖν καὶ καρπῶν καὶ τῶν τοιούτων.

Col. 649 A 2. *Μέχρι τῆς ὀνειρώξεως.* Εἴτε τρισαθλίῳ μᾶλλον Ἰουλιανῷ κέρδος ἦν τὸ βασιλεῦσαι μέχρι τῆς ἐν ὕπνοις ὄψεως· εἴπερ ἡμῖν μὲν οἱ στέφανοι πλείους ἐπὶ πλεῖον ἀγωνιζομένοις, καὶ πρὸς μηδένα τῶν ἀνταγωνιστῶν κρατουμένοις, ἐκείνῳ δὲ μείζων ἡ βάσανος, ὅσῳ καὶ πλεῖον τοὺς ἁγίους ἐκόλαζεν, ὡς οὖν ἐγὼ κρίνω. Ὁ γὰρ ἅγιος πατὴρ ἀμφίβολον αὐτὸ τέθεικε. Μᾶλλον Ἰουλιανῷ κέρδος ἦν τὸ θᾶττον ἀπελθεῖν, καὶ ταύτῃ τῇ οὐρανίῳ δίκῃ ἔλαττον τῆς τιμωρίας ὀφλῆσαι. Ἡμῖν μὲν γὰρ ἀθλήσασι καὶ νενικηκόσι, μείζων ἡ φιλοτιμία καὶ εὐδοξία, ὅ τε παρὰ Θεοῦ ἔπαινος ὁμοῦ τε καὶ στέφανος πάσης φιλοτιμίας ὑψηλότερός τε καὶ μακαριστότερος, μὴ προσελθοῦσι δὲ εἰς ἀγῶνα τοσοῦτον καὶ ἄθλησιν, τῷ μηδένα διώκειν, κίνδυνος οὐδείς. Ὀνείρωξιν δὲ λέγει τὴν διὰ τῶν ὀνείρων φαντασίαν, τὴν ὄψιν τὴν ἐν τοῖς ὕπνοις. Ὀνειρώττω δὲ τὸ ῥῆμα, ἀντὶ τοῦ, Δι' ὀνείρων βλέπω. Τὸ δὲ ὀνειροπολεῖν, ἐγρηγορότος ἐστὶν ἐνύπνιον. Τὸ γὰρ τοῖς πολλοῖς ἀποφαντάζεσθαι σημαινόμενον, τοῦτο παρὰ τοῖς πεπαιδευμένοις τὸ ὀνειροπολεῖν δηλοῖ. Φαντάζεσθαι δὲ κυρίως ἐστὶ τὸ φαίνεσθαι.

Ibid. 4. *Πιθήκων μιμήματα.* Ἁλίσκονται οἱ πίθηκοι μὴ ὄντες ἄνθρωποι· οὕτως οὖν καὶ Ἰουλιανὸς μᾶλλον ἑάλω τὰ Χριστιανῶν μιμούμενος, τῷ διδασκαλεῖα καὶ τὰ τοιαῦτα ἱδρύσασθαι διανοεῖσθαι.

Ibid. B 5. *Οὐδὲν δὲ οἷον.* Ἀντὶ τοῦ, οὐδὲν περιττὸν, ἢ οὐδὲν δυσχερές.

Ibid. 8. *Πέρας τῶν συνελεύσ.* Ἀπὸ τῶν Ἑλληνικῶν δηλονότι. Τί δὲ ἄλλο ἦν τὸ πέρας τῶν συνελεύσεων αὐτῶν, ἢ ματαιότης, πολὺ μὲν τὸ δυσσεβὲς, πλεῖον δὲ τὸ ἀνυπόστατον ἔχουσα;

Col. 652 A 6. *Τὴν μακαρίαν·* Ἐκκλησίαν, πολιτείαν δηλονότι. Τὸ δὲ μακαρίαν, κατ' εἰρωνείαν εἴρηται.

Ibid. 11. *Γέλωτα ἐν δακρύοις.* Καλλιμάχειον τοιοῦτο φέρεται. Ἐπεὶ θεὸς οὐδὲ γελᾶσαι ἀκλαυστὶ μερόπεσσιν ὀϊζυροῖσιν ἔδωκεν.

Ibid. B 10. *Γραψάτωσαν.* Ἀντὶ τοῦ, λογογραφείτωσαν αὐτοὺς, οἵτινες κατὰ τὸ σχῆμα προκαθέζεσθαι μέλλουσιν.

Ibid. *Ταινία.* Ἔστι διάδημα κεφαλῆς ἐξ ὑφάσματος ἀντὶ στεφάνου τῷ μετώπῳ προστιθεμένη· ταύτῃ καὶ γυναῖκες στεφανοῦνται, καὶ μάλιστα αἱ Ῥωμαῖαι· καὶ πολλοῖς πολλάκις παρὰ τοῖς συγγραφεῦσι ποιεῖται τόδε τὸ ῥῆμα, ταινιῶ, ταινιοῖς.

Ibid. C 10. *Ταῦτα μὲν δή.* Ἀντὶ τοῦ, ταῦτα μὲν τοῦτον ἔχει τὸν τρόπον.

Col. 653 A 1. *Ὑποφήτας.* Ὑποφήτης ἐστὶν ὁ ὑπηρέτης καὶ ὑπαναγινώσκων τοῖς προεδρεύουσιν ἱερεῦσιν, ὡσανεὶ εἴποιμεν ἀναγνώστας ἢ διακόνους.

Ibid. 9. *Αἱ τούτοις ἐπαφιεμεν.* Τοῖς θεοῖς δηλονότι, παρὰ τῶν γενναιοτάτων γιγάντων. Ὁ γὰρ Ἐγκέλαδος, ὥς ληροῦντές φασιν, ἐπαφῆκε τῷ Διῒ τὴν Σικελίαν, εἶτα ταύτην ὁ Ζεὺς κατ' ἐκείνου τρέψας ἔθαψεν αὐτὸν, καὶ ὑπόκειται τῇ Σικελίᾳ ὁ Ἐγκέλαδος.

Ibid 10. *Πικρὰ τούτων.* Τῶν γιγάντων.

Ibid. 11. *Χίμαιρα.* Χίμαιρα καλεῖται ἡ αἴξ, ἡ ἐν

A *Ultra cogitationis somnium.* An ter misero magis Juliano commodo cesserit non ultra in somniis visum regnavisse. Quod si nobis quidem coronæ plures magis laborantibus, adversariorumque nemini cedentibus; isti vero major pœna, quo magis in sanctos sæviret, sicut mihi videtur. Sanctus enim Pater hoc in ancipiti statuit. Majori lucro Juliano erat celerius abire, et ideo minus a cœlo supplicium incurrisse. Nobis vero luctantibus atque vincentibus, gloria major famaque, cum a Deo laus simul et corona omni gloria excelsior et beatior non diutius certamen hoc atque luctam sustinentibus: nemine enim jam persequente, nihil erat periculi. Ὀνείρωξιν vocat e somniis cogitationes, in somnis visum. Ὀνειρώττω verbum *per somnia* B *aspicere* significat. Ὀνειροπολεῖν vero *vigilantis* est *somnium.* Res multas sibi cogitatione fingere apud doctos ὀνειροπολεῖν vim habet. Φαντάζεσθαι vero, *animo sibi fingere,* proprie est φαίνεσθαι, *videri.*

Simiorum imitationes. Simios non esse homines liquet. Sic igitur et Julianum apertum est Christianorum mores imitatum, utpote scholas similiaque constituere meditaretur.

Nec vero quidquam. Hoc est, nihil ita commodum, nihil ita facile.

Conventuum finis. Gentilium videlicet; quis autem alius conventuum finis erat, ac vanitas, multum quidem impietatis, plus vero infirmitatis habens?

C *Beatam.* Nempe Ecclesiam, rerum administrationem. Beatam hic per antiphrasin usurpatum.

Risum in lacrymis. Hoc refert Callimachus:

Nec sine fletu
Humanis dedit Omnipotens effundere risum.

Describant. Ordinem cultumque assignent, quo quisque sedere debeat.

Vittæ. Diadema capitis est e textura, quasi corona frontem circumdans. His vittis mulieres coronantur, et maxime Romanæ. Hinc apud historicos frequenter usurpatur verbum ταινιῶ, ταινιοῖς *vittis cingere.*

D *Hæc quidem.* Pro, hæc ad hunc modum se habent.

Interpretes. Ὑποφήτης est *minister* qui præsidibus sacris lectionem recitat, sicut quos lectores vel diaconos vocamus.

In eos injectæ. In deos scilicet a fortissimis gigantibus. Enceladus enim, ut aiunt insipientes, in Jovem Siciliam injecit; qua Jupiter in illum conversa sepelivit eum, et Siciliæ subjacet Enceladus.

Acerbi eorum. Gigantum scilicet.

Chimæræ. Chimæra vocatur capella in *hieme*

χειμῶνι, nata. Nunc vero de Patarica dicit.

Omnis mali colluvies. Hic φιλοτιμία pro ἀφθονία, *copia magna*, δαψίλεια, *magnificentia*; πολυτέλεια, *sumptus*. Ut jam non semel dixi, tres sunt nominis acceptiones: litium amor, inanis gloria, vel superbia, tertio magnificentia et liberalitas.

Alii parcat. Parcitis, vos gentiles. Per ironiam dicit *grandiloquentiæ*, μεγαληγορίας

Μοιχάδος. Non dicitur μοιχὰς vel μοιχαλὶς, *mœcha*. Pro nomine utuntur participio historici, μοιχευομένη scilicet *mœchata*. At sancti Patres istis parvi momenti voculis non exquisitiorem curam adhibuerunt, ut Dei homines, verum nonnunquam id ultro neglexerunt, rerum veritati potius studentes, quæ nominibus neque extolli neque humiliari consuevit. Lacon vero Lacæna, sicut draco, dracæna. Hæ sunt Peloponnesi partes, Laconica, Heliaca, Messeniaca, Argolica, Arcadica.

Inusitata. De natura scilicet.

Jovi consilio. Nugæ (ut vere dicam) multæ et turpissimæ divina apud Græcos augustaque videntur. Imo neque vetus quoddam documentum apud eos, ut ipsi dicunt, vel humanarum, vel divinarum rerum. Græci semper pueri estis, ait in Dialogis Plato; neque enim apud Græcos vetus est documentum ullum. Dicitur in Critia Soloni apud quemdam ex Hieropoli in Ægypto hierophantarum superbienti, quod sciret simul ac testis esset multo cæteris juniores esse qui Græciam incoluerant: quorum vel ab initio eam incolentes, vel cum illis eam amplificantes, alii quidem ex Ægypto, alii vero ex Asia profecti consedere. Sic Danaus quinquaginta filiarum pater; sic Pelops, sic Cadmus, sic Phœnix.

Glorientur. Id est, sed potius superbiant.

Nudos theologos. Qui citra fabularum involucrum de his divinis disserant.

Per figmenta. Id est per plasticam atque picturam.

Pietatem colere liceat. Quomodo non stultum, cum pietatem sine damno colere liceat, impium esse malle cum damno?

Laudant eos. Poetas.

Quibus. Nempe poetis.

Legibus. Græcorum scilicet.

Simul et publice. Nihil aliud quam deos comœdiis lacessunt poetæ. Nonnunquam et tragœdiis istorum calamitates publicant.

Duplicis sensus. Nempe allegorica. Allegorici enim plerique divinæ Scripturæ loci. Namque aliud quam quod videtur ostendentes, absconditum sensum intelligendum præbent. Διπλόης, *allegoria*, nomen apud sanctos Patres invenitur.

Pulcherrimi cujusdam corporis instar. Corpus

A χειμῶνι γεννηθεῖσα. Νῦν δὲ περὶ τῆς Παταρικῆς φησι.

Ibid. 12. *Φιλοτιμία παντὸς κακοῦ.* Ἀντὶ τοῦ ἀφθονία, δαψίλεια, πολυτέλεια. Ὡς δὲ πολλάκις εἶπον, τρία ἐστὶ τὰ σημαινόμενα τοῦ ὀνόματος· φιλονεικία, κενοδοξία ἤτοι ὑπερηφανία, καὶ τρίτον τὸ δαψιλὲς καὶ φιλόδωρον.

Ibid. B 10. *Ἄλλης φείδεσθαι.* Φείδεσθε, οἱ Ἕλληνες ὑμεῖς. Διὰ τὴν εἰρωνείαν εἶπε, μεγαληγορίας.

Col. 656 A 15. *Μοιχάδος.* Ἡ μοιχὰς, ἡ μοιχαλὶς οὐκ εἴρηται. Χρῶνται δὲ ἀντὶ τοῦ ὀνόματος τῇ μετοχῇ οἱ συγγραφεῖς, οἷον ἡ μοιχευομένη. Ἀλλ' οἱ ἅγιοι Πατέρες οὐκ ἐφρόντισαν τῆς πάσης ἀκριβείας τῶν εὐτελῶν λεξυδρίων τούτων, ὡς Θεοῦ ἄνθρωποι, ἀλλ' ἔστιν ἣ παρεῖδον ἑκόντες, τὴν τῶν πραγμάτων
B ἀλήθειαν προτιμήσαντες, ἣ οὔτε ὑψοῦσθαι, οὔτε ταπεινοῦσθαι τοῖς ὀνόμασι πέφυκε. Λάκων δὲ Λάκαινα, ὡς δράκων δράκαινα. Μοῖραι δὲ Πελοποννήσου αὗται· Λακωνικὴ, Ἠλιακὴ, Μεσηνιακὴ, Ἀργολικὴ, Ἀρκαδική.

Ibid. C 2. *Τῶν νενομισμένων.* Περὶ φύσεως δηλονότι.

Ibid. 4. *Διῒ μῆτιν.* Λῆρος ὡς ἀληθὲς πολύς τε καὶ αἴσχιστος τὰ παρ' Ἕλλησι θεῖα δοκεῖ καὶ σεβάσμια· οὐ μόνον δὲ, ἀλλ' οὐδὲ παλαιόν τι μάθημα παρ' αὐτοῖς, ὡς αὐτοί φασιν, οὔτε τῶν ἀνθρωπίνων, οὔτε τῶν θείων. Ἕλληνες ἀεὶ παῖδές ἐστε, φησί που τῶν ἑαυτοῦ διαλόγων ὁ Πλάτων, παρὰ γὰρ Ἕλλησι μάθημα παλαιὸν οὐκ ἔστιν· εἴρηται ἐν τῷ Κριτίᾳ πρὸς Σόλωνα
C μεγαλοφρονοῦντα παρά τινι τῶν ἐν Ἡλίου πόλει τῇ κατ' Αἴγυπτον ἱεροπροφητῶν, εἰδότος ἅμα καὶ μαρτυροῦντος, ὅτι πολλοὶ νεώτεροι τῶν ἄλλων οἱ τὴν Ἑλλάδα χώραν οἰκήσαντες. Οἵ τε γὰρ ἄνωθεν ἐξ ἀρχῆς αὐτὴν οἰκήσαντες, οἵ τε μετ' ἐκείνους αὐτὴν αὐξήσαντες, οἱ μὲν ἐξ Αἰγύπτου, οἱ δὲ ἐκ τῆς Ἀσίας ἐλθόντες κατέμενον. Ὡς Δαναὸς ὁ πεντήκοντα θυγατέρων πατὴρ ὡς Πέλοψ, ὡς Κάδμος, ὡς Φοῖνιξ.

Ibid. 7. *Καὶ φιλοτιμείσθωσαν.* Ἀντὶ τοῦ, Ἀλλὰ καὶ μεγαφρονείτωσαν.

Ibid. 12. *Γυμνοὺς θεολ.* Τοὺς ἄνευ τινὸς προκαλύμματος θεολογήσαντας.

Ibid. D 2. *Ἐν πλάσμασι.* Ἀντὶ τοῦ, ἐν πλαστικῇ, καὶ ζωγραφικῇ.

D Col. 657 A 3. *Ἐνὸν εὐσεβ.* Πῶς οὐκ εὔηθες, ἐνὸν τὸ εὐσεβεῖν ἀζημίως, αἱρεῖσθαι μετὰ ζημίας ἀσεβεῖν;

Ibid. 14. *Ἐπαινοῦσι τούς.* Τοὺς ποιητάς.

Ibid. B 1. *Οἷς τὸ μή.* Οἷς, ποιηταῖς δηλονότι.

Ibid. 4. *Τῶν νόμων.* Τῶν Ἑλληνικῶν δηλονότι

Ibid. 5. *Ὁμοῦ καὶ δημοσίᾳ.* Οὐδὲν γὰρ ἄλλο ἢ κωμῳδιοῦσιν οἱ ποιηταὶ τοὺς θεούς. Ἔστι δὲ ᾗ καὶ τραγῳδοῦσι, τὰς ἐκείνων συμφορὰς δημοσιεύοντες.

Ibid. 9. *Τῆς διπλόης.* Ἀντὶ τοῦ διπλοῦ. Διπλοῖ γὰρ οἱ πλεῖστοι τῆς θείας Γραφῆς λόγοι. Ἄλλο γὰρ τῷ φαινομένῳ δηλοῦντες, ἄλλο νοεῖν τῷ κρυπτομένῳ διδόασι. Τὸ δὲ *τῆς διπλόης* ὄνομα, παρὰ τοῖς ἁγίοις Πατράσιν εὕρηται.

Ibid. 12. *Ὥσπερ τι σῶμα καλόν.* Σῶμα λάβοις

τὸν κρυπτόμενον νοῦν, ἐσθῆτα τὸ φαινόμενον A γράμμα.

Ibid. C 5. *Δυσχεράνοιεν*. Οἱ μὲν Ἀττικοὶ τὸ δυσχεραίνω πρὸς αἰτιατικὴν συντάττουσι, νυνὶ δὲ ὁ Πατὴρ πρὸς δοτικὴν συνέταξεν, ἀντὶ τοῦ, Δυσχεραίνω ἐπ' αὐτῷ· περὶ αὐτῶν δὲ λέγει τῶν δηλουμένων, καὶ νοουμένων, καὶ τῶν αὐτῶν ἐμφάσεων.

Ibid. 11. *Τίς ἡ σύνεσις*. Διὰ πετρῶν τῷ ῥοθίῳ κεκαλυμμένων πρὸς λιμένα ἐπείγεσθαι. Πρόβολοι δὲ καὶ ὕφαλοι, ἀφανῆ βράχη· οἷόν ἐστιν ὑπὸ τὴν ἅλα, τουτέστι τὴν θάλασσαν.

Col. 660 A 1. *Θεωρητικὸς τόπος*. Ἀντὶ τοῦ, δογματικός. Ἐν ἄλλοις δὲ τρόπος εὑρίσκεται.

Ibid. 2. *Τῶν ὑποθέσεων*. Ἀντὶ τοῦ, ἀρχῶν καὶ κρηπίδων καὶ θεμελίων· τὸ γὰρ φαινόμενον παρ' Ἕλλησιν ὑπὲρ τὸ ἀλληγορούμενον καὶ νοούμενον B κάλλιον.

Ibid 5. *Αὐτοῦ*. Τὰ παρ' Ἕλλησιν οὐ συμβαίνουσιν ἀλλήλοις, ὡς πολλάκις τὰ τῷ ἑνὶ εἰρημένα ἀνδρὶ, ἄλλῳ καὶ ἄλλῳ δοκεῖν εἰρῆσθαι, ἀλλὰ μὴ αὐτῷ.

Ibid. 12. *Πλάττειν αὐτούς*. Ἆρα ταῖς τοῦ Ἰσοκράτους παραινέσεσι χρώμενοι δυνήσονται σφᾶς αὐτοὺς βελτίους ποιεῖν καλῶς; Μὴ τιμάτωσαν οὖν τοὺς θεούς. Ἐκεῖνοι γὰρ καὶ πρὸς ἀλλήλους στασιάζουσι, καὶ μᾶλλον ἄδικοι καὶ ἀκόλαστοι, ἢ δίκαιοι καὶ σώφρονες, ὥστε μισεῖν τοὺς θεοὺς ἄξιον τόν γε σώφρονα καὶ δίκαιον εἶναι βουλόμενον· μισεῖν δὲ καὶ τὸν Ἰσοκράτην αὐτὸν εὔλογον, καὶ εἴ τις ἄλλος αὐτοῖς παρόμοιος, ὅτι πολλὰ καὶ ἀγαθὰ ἐπαινέσαντες καὶ πονήσαντες, πονηροὺς θεοὺς τιμᾷν εἰσηγήσαντο.

Ibid. 14. *Ἄριστον ὁμόνοια*. Κατ' ἀπόφασιν ἀναγνωστέον. C

Ibid. B 4. *Τίσι τοῦτο διδάξουσι*. Τὴν ὁμόνοιαν δηλονότι.

Ibid. 14. *Πρὸς τὴν κρείσσω*. Δῆλον ὅτι πρὸς τὴν ἀρετὴν λέγει.

Ibid. C 2. *Ἔνθα τὸ κακόν*. Ἔνθα φησὶν, ἐν τῷ χρῆσθαι τοῖς κακοῖς. Δῆλον ὅτι καὶ τὸ κακὸν εἶναι ἄνθρωπον, οὐ μόνον οὐκ ἄτιμον, ἀλλὰ καὶ τίμιον, ὡς θεῶν τινος προϊσταμένου τῆς κακίας ἐκείνης, ἤτοι τοῦ πάθους οὗ ἡ κακία, ἤτοι τὸ πάθος ἐστὶ τιμώμενον βωμοῖς καὶ θυσίαις. Οὕτως ὀρθῶς νοήσεις λαμβάνων τὴν αἰτιατικὴν ἀντὶ τῆς γενικῆς. Ὥσπερ τὸ *ἐξὸν* καὶ *παρὸν*, ἀντὶ τοῦ, *ἐξόντος* καὶ *παρόντος* λαμβάνομεν· οὕτω κἀνταῦθα ἀντὶ τοῦ, θεῶν τινος προϊσταμένου, ληπτέον τὴν αἰτιατικήν. D

Ibid. 12. *Δεύτερον αὐτοῖς*. Δεύτερον εἶπεν, ἐπειδὴ πρότερον ἔταξεν . . . ὅπερ . . . ἔχειν οὐ δύνανται, τὴν ὁμόνοιαν.

Ibid. 13. *Τὴν πρώτην αἰτίαν*. Ἀντὶ τοῦ, τοὺς γονεῖς μετὰ θεῖον.

Col. 661 A 8. *Σακέλλιον*. Σακέλλιον Ῥωμαϊκὴ λέξις ἐστὶ, φυλακὴν τῶν χρημάτων σημαίνουσα, ὅθεν καὶ *σακελλάριον* καλοῦσι τὸν ταμίαν καὶ φύλακα τῶν χρημάτων.

Ibid. B 2. *Φρυξὶ μειρακίσκοις*. Μειρακίσκος εἶ-

accipies absconditum sensum, vestem vero scriptam litteram.

Permoleste laturi sint. Attici cum accusativo δυσχεραίνω verbum constituunt : nunc vero Pater cum dativo : quasi diceret, *δυσχεραίνω*, *moleste fero* ob id : *περὶ αὐτῶν* dicit de iis quæ ostenduntur et quæ intelliguntur, et de eorum sensu.

Quæ prudentia est. Per petras sub undis latentes ad portum properare. Saxa et scopuli, invisibilia brevia; quæ salo, id est mari subsunt.

Contemplativus locus. Pro dogmaticus. In aliis pro *τόπος τρόπος* invenitur.

Ab hypothesibus. Id a fundamentis, principiis. Quod enim apud Græcos ostenditur pulchrius est quam quod allegorice significatur atque intelligitur.

Ejusdem. Hæc Græca non eveniunt alia aliis, ita ut sæpius uni viro dicta, alii et alii dici videantur, sed non huic.

Eos informare. Nunquid Isocratis consiliis utentes se ipsos meliores pulchre facere poterunt? Ne colant igitur deos : isti enim inter se dissident, et magis injusti ac petulantes, quam justi sapientesque : ita ut odisse deos deceret virum qui sapiens justusque esse vellet. Odisse autem Isocratem ipsum æquum est, et si quis alius illis fere similis, quod multa et bona cum laudavissent et laboravissent, pravos deos colere docuerunt.

Optima res concordia. Secundum apophasin legendum est.

Quibus hoc docebunt. Concordiam scilicet.

Ad meliorem. Nempe ad virtutem dicit.

Ubi vitiosum esse. Cum videlicet vitiis utantur. Manifestum est malum esse hominem, non dedecori, sed honori esse, utpote a deorum aliquo perpetrata hæc vitia, sive vitiosas affectiones, cujus malitia vel affectiones aris atque sacrificiis ornantur. Sic recte intelliges, accusativum sumens pro genitivo : quemadmodum Græce ἐξόν et παρόν pro ἐξόντος et παρόντος sumimus; sic et nunc pro θεῶν τινὸς προϊσταμένου, *deorum aliquo quasi duce et antistite*, intelligendum est accusativum.

Secundo ipsis. Secundo dixit, cum jam primum constituit.... quod quidem.... habere non possunt, nempe concordiam.

Primam causam. Id est parentes post divinum numen.

Σακέλλιον. Σακέλλιον Romana vox est, divitiarum custodiam indicans, unde et sacellarium vocant opum dispensatorem ac custodem.

Phrygiis adolescentulis. Μειρακίσκος et μειρά-

κιον dicitur *adolescentulus*, quoniam μεῖον vel ἧττον *minus*, dicunt et loquuntur viris juvenes.

Λοιβαῖς. Pro σπονδαῖς, *libaminibus*. Dicitur ex λείβειν, id est, στάζειν, *stillare*, et σπένδειν, *libare*.

An vero hæc. Postquam Græcorum mores enumeravit, omnesque ostendit non mediocri et qualibet insipientia et spurcitia plenos, nostros nunc, quasi summatim et sermone brevi exponit, excelsos omnes et omni ex parte divinos palam demonstrans.

Malum exstitisse. Non exstitisse malum crimen nobis tantummodo, verum a malo parum abfuisse, idque solummodo cogitatione commisisse.

Perjurium. Quid dico, ait, quod perjurium Christianis maxime nefas, cum jusjurandum bonum nobis solis ipsum interdictum sit? Non enim modo turpium perpetrationes, sed et principia evellere vult sermo.

Immortale. Id est, per id quod rationale est.

Ne levissimis quidem. Sicut mulierem solummodo ad concupiscentiam oculos atque animum intendere.

Juxta leges. Juxta politicas scilicet, et juxta ipsam antiquam divinamque legem, cum quidem umbra et forma esset secundum Christum perfectionis. Non enim ait Moyses, Non tendes, neque in initio concupiscere vel occidere meditaberis; sed : *Non concupisces*, *Non mœchaberis*, *Non occides* [14] : ita ut hic non ab ineundo sed ab absolvendo consilio deterreat.

Obsecrent. Id est ad virtutem adhortentur.

Non in virtute proficere. Non decet Christianos, ait Pater, non in virtute proficere et augmentis præclariores fieri. Qui enim in uno bono semper et omnino inhærent, pueris similes sunt qui hoc ludo ludere consueverunt; nempe turbinem in lævi aliquo loco ponentes, funiculo verberantes circumdant, ex quo fit ut uno et eodem semper moveatur motu, ideoque non quidquam proficiunt, sed eodem stant loco. — Alias pro στρόμβων legitur στρομβῶν, cum accentu circumflexo. De iis regula est quod, si appellativa sint, producantur; si vero adjectiva, brevia fiant : στρόμβος, στρομβός. Attendendum est igitur quæ vocabulo sit acceptio. Στροφαί, *gyri*, igitur στρόμβοι, *trochi*, vocantur; quod vero vertitur ἀκροπήνιον, *turbo*.

In vitio ponimus. Attende quomodo dixerit vitium esse et in eodem statu hærere videri, et ad majus aliquod bonum non proficere. Vere enim ita sumus, juxta moralem nunc Christiani. Nostrum plerique, et secundum ipsam speculationem, sicut in imagine scriptus homo, qui habitum quidem hominis fert atque formam, motum vero non habet neque vim aliquam; qui appellatione quidem dignus habetur, ab actione vero amovetur. Tales nunc Christianorum plerique, quod lugendum est, cum et primus ego sim.

[14] Exod. xx, 17, 14, 13.

A ρηται καὶ μειράκιον, ἀπὸ τοῦ μεῖον καὶ ἧττον εἰρεῖν καὶ λέγειν τῶν ἀνδρῶν τὸν νέον.

Ibid. C 3. *Λοιβαῖς*. Ἀντὶ τοῦ, σπονδαῖς. Εἴρηται παρὰ τὸ λείβειν, καὶ στάζειν, καὶ σπένδειν.

Ibid. 6. *Πῶς ταῦτα*. Εἰπὼν τὰ τῶν Ἑλλήνων, καὶ δείξας πάντα οὐ μέσης καὶ τῆς τυχούσης ἀλογίας καὶ βδελυρίας μεστὰ, τὰ ἡμέτερα λοιπὸν, ὡς ἂν ἐν κεφαλαίῳ καὶ βραχεῖ λόγῳ, διεξέρχεται, ὑψηλὰ πάντα καὶ πανταχοῦ θεῖα δημοσιεύων.

Ibid. 9. *Τὸ γενέσθαι κακόν*. Οὐ τὸ γενέσθαι κακὸν ἔγκλημα ἡμῖν μόνον, ἀλλὰ καὶ τὸ πρὸς κακίαν ὁρμῆσαι καὶ μόνον τῇ διανοίᾳ συνθέσθαι.

Ibid. 14. *Ἐπίορκον δέ*. Τί λέγω, φησὶν, ὅτι βαρύτατον Χριστιανοῖς ἐπίορκον ὀμόσαι, ὅπουγε καὶ αὐτὸ B τὸ εὐορκεῖν μόνοις ἡμῖν ἀπηγορευμένον ἐστίν; Οὐ γὰρ μόνον τὰ ἀποτελέσματα, ἀλλὰ καὶ τὰς ἀρχὰς τῶν φαύλων ἐκκόπτειν ὁ λόγος ἐθέλει.

Col. 664 A 8. *Τῷ ἀθανάτῳ*. Ἀντὶ τοῦ, τῷ λογικῷ.

Ibid. 9. *Μηδὲ τῶν μικρῶν*. Οἷον τὸ μόνον ἐμβλέψαι γυναῖκας πρὸς τὸ ἐπιθυμεῖν, καὶ συνθέσθαι τῇ ἐπιθυμίᾳ.

Ibid. 12. *Νόμους*. Κατὰ τοὺς πολιτικοὺς δηλονότι· καὶ κατ' αὐτὸν δὲ τὸν παλαιὸν καὶ θεῖον νόμον, ἐπεὶ σκιὰ καὶ τύπος ἦν τῆς κατὰ Χριστὸν τελειότητος. Οὐ γὰρ ἔφη Μωϋσῆς· Οὐχ ὁρμήσεις, οὐδὲ τὴν ἀρχὴν ἐπιχειρήσεις ἐπιθυμῆσαι, ἢ φονεῦσαι, ἀλλ', *Οὐκ ἐπιθυμήσεις τοῦδε*, *Οὐ μοιχεύσεις*, *Οὐ φονεύσεις*· ὥστε καὶ οὗτος οὐ τῆς ἀρχῆς, τοῦ δὲ τέλους ἐπικόπτει. C

Ibid. B 3 *Παρακαλεῖν*. Ἀντὶ τοῦ, προτρέπειν εἰς ἀρετήν.

Ibid. 12. *Μὴ προβαίνειν τῷ καλῷ*. Ἄτοπον, λέγει ὁ Πατὴρ, Χριστιανοὺς ὄντας, μὴ ἀναβαίνειν τῇ ἀρετῇ, καὶ λαμπροτέρους γίνεσθαι ταῖς ἐπιδόσεσιν. Οἱ γὰρ ἐν ἑνὶ καλῷ διὰ παντὸς στρεφόμενοι, παισὶν ἐοίκασιν, οἳ παιδιὰν εἰώθασι ταύτην παίζειν· ἀκροπήνιον ἐπί τινος λείου χωρίου θέμενοι, καὶ τοῦτον ἱμᾶσι παίοντες περιστρέφουσιν, ἐξ οὗ συμβαίνει μίαν καὶ τὴν αὐτὴν ἀεὶ κινεῖσθαι τὴν κίνησιν, οὐ προϊοῦσιν ἐπί τι ἄλλο, ἀλλὰ τὸ στάσιμον ἔχουσιν. Ἐν ἄλλῳ στρομβῶν περισπωμένως. Τὰ δὲ τοιαῦτα, φησὶν ὁ κανὼν, ὅτι, εἰ μὲν προσηγορικὰ εἶεν, βαρύνονται· εἰ δὲ ἐπίθετα, ὀξύνονται. Στρόμβος· στρομβός. Ἐπιστα- D τέον οὖν τῇ λέξει πῶς νοεῖται. Αἱ στροφαὶ οὖν καλοῦνται στρόμβοι, τὸ δὲ στρεφόμενον ἀκροπήνιον.

Ibid. 13. *Κακία δοκεῖ*. Ὅρα πῶς κακίαν εἶπεν εἶναι, καὶ δοκεῖν τὸ μένειν ἐν τῷ αὐτῷ, καὶ μὴ προϊέναι ἐπί τι μεῖζον ἀγαθόν. Ἐπ' ἀληθείας δὲ οὕτως ἐσμὲν κατὰ τὸ ἠθικὸν οἱ νῦν Χριστιανοί· οἱ πλεῖστοι δ' ἡμῶν, καὶ κατ' αὐτὸ τὸ θεωρητικὸν, ὡς ὁ ἐν εἰκόνι γραπτὸς ἄνθρωπος, ὃς σχῆμα μὲν ἀνθρώπου φέρει καὶ τύπον, κίνησιν δ' οὐκ ἔχει οὐδ' ἐνέργειαν, ἀλλ' ἀξιοῦται μὲν τῆς κλήσεως, ἀλλοτριοῦται δὲ τῆς πράξεως. Τοιοῦτοι νῦν οἱ πλείους τῶν Χριστιανῶν, ὃ καὶ δακρύειν ἄξιον, ἐπεὶ καὶ πρῶτος ἐγώ

ANONYMI SCHOLIA

AD GREGORII ORATIONEM SECUNDAM CONTRA JULIANUM IMP.

Col. 665 A 5. *Σκοπόν*. Εἰς ὃν σκοπὸν οὐκ οἶδα, A φησὶν, εἴ τις ἄλλος ἐπεχείρησεν εἰπεῖν. Ἀντὶ τοῦ, Οὐκ οἶδα εἰ προλαβὼν ἄλλος τὴν ἀξίαν τοῦ τυράννου τελευτὴν τῷ λόγῳ διεξῆλθεν.

Ibid. 6. *Εἰρημένοις προσθεῖναι*. Ποῖον τοῦτο; Τὸ προσθεῖναι τοῖς προτέροις λόγοις τὴν δικαίαν, ἐπὶ τῷ τυράννῳ, τοῦ Δεσπότου ψῆφον.

Ibid. 8. *Ἀντιταλαντεύεται*. Ἀντὶ τοῦ, σταθμίζεται καὶ ἐξετάζεται.

Ibid. 11. *Συμφοράν*. Ἀρειανῶν δηλονότι.

Ibid. 12. *Σωφρονίζειν*. Ἀναστέλλειν.

Ibid. 13. *Ἐπίσταται μέτροις*. Ἐπληρώθη μέχρι τούτου τὸ προοίμιον.

Ibid. B 5. *Ἀνονήτους μεταμελείας*. Εἰκότως. Ἐν τῷ πάσχειν ἀνάγκης ἐστὶν, οὐ τρόπου γνῶσιν ἔχοντος B ἢ μεταμέλειαν.

Ibid. 10. *Ἐκτραγῳδήσειεν*. Ὅσα ἢ περὶ τοὺς θείους οἴκους παρανομήσασιν, ἢ τὸ καὶ τὸ ποιήσασιν, τίς ἂν ἀξίως ἐκτραγῳδήσειεν; Ἀπὸ κοινοῦ γὰρ τοῦτο δεῖ λαβεῖν.

Ibid. 15. *Νεανιευσαμένοις*. Τὸ νεανιεύεσθαι ἐντεῦθεν εἴρηται, ὅτι νεανίσκοι κατὰ τὴν ῥώμην ἰσχύοντες σεμνύνονται ταύτῃ, καὶ πάνυ φιλοτιμοῦνται. Νεανιεύεσθαι γοῦν ἐστιν, ἡνίκα τις δυνάμενος, φιλοτιμεῖται τῇ δυναστείᾳ καὶ σεμνύνεται.

Ibid. 17. *Ὑπερβήσομαι*. Τὸ κατὰ ἀποσιώπησιν ἐστι σχῆμα, ἐν ᾧ τελείως ἀποσιωπῶντες τὰ πράγματα, ἔμφασιν αὐτῶν μόνην παρέχομεν.

Col. 668 A 1. *Τὸ Πνεῦμα ἐνυβρίσας*. Καὶ ἐνυβρίζω τὸ πρᾶγμα καὶ ἐνυβρίζω τῷ πράγματι. C

Ibid. B 2. *Ἐπιθειάζων*. Ἀντὶ τοῦ, τὰ θεῖα λόγια, τὰ παρὰ τοῖς Ἰουδαίοις διαμαρτυρούμενος, οἷον τοὺς κουφοτάτους Ἰουδαίους παρορμῶν δῆθεν καὶ παρακαλῶν εἰς τὴν κάθοδον καὶ τὴν τοῦ ἱεροῦ οἰκοδομήν· διαμαρτύρεται δῆθεν τὸν Θεὸν αὐτῶν, καὶ τὰς ἐκείνου προῤῥήσεις, ὅτι δὴ μὴ κωλύοι τὸν καιρὸν τῆς καθόδου ἐπιστάντα, ἀλλὰ καὶ συνεπιλαμβάνεσθαι ταύτης ἕτοιμος εἴη. Ἐπὶ τούτου τοῦ σημαινομένου, καὶ παρὰ τῷ συγγραφεῖ, τὸ ἐπιθειάζειν εὑρέθη.

Ibid. C 5. *Ἐλάττω νομίζειν*. Εἴ τι δήποτε ἐποίουν, ἕκαστον ἔλαττον ἐνόμιζον ἧς ὤφειλον προθυμίας.

Ibid. 6. *Λαίλαπος*. Λαῖλαψ ὁ μετὰ συστροφῆς D ἄνεμος· βρασμὸς δὲ γῆς, εὔδηλον ὅτι σεισμός.

Ibid. 9. *Βοήθειαν*. Ὥρμησαν δηλονότι, νομίζοντες ὑπὲρ αὐτῶν γεγενῆσθαι τὸ θαῦμα. Ἄλλοι δὲ ἄλλως εἶχον καὶ γνώμης καὶ ὁρμῆς.

Ibid. 15. *Κατάπληξιν*. Θαυματουργεῖ τὸ Θεῖον ἐν τοῖς τοιούτοις καιροῖς δυοῖν ἕνεκα· ἵνα καὶ τοὺς ἀσε-

Scopum. Ad quem scopum haud scio, ait, an quisquam collimarit, id est, haud scio an alius quisquam prævius dignum tyranni exitium sermone exposuerit.

Quæ superius a nobis dicta sunt. Quænam hæc? Adjungere prioribus sermonibus justas in tyrannum pœnas a Domino decretas.

Compensatur. Id est, expenditur atque exquiritur.

Calamitatem. Arianorum videlicet.

Σωφρονίζειν, emendare, sapientem efficere. Pro ἀναστέλλειν, *reprimere*.

Modo quem ipse perspectum habet. Hic desinit prooemium.

Et inutiles pœnitentias. Haud mirum. In patiendo necessitatis est, non modi cognitionem habente, vel pœnitentiam.

Pro dignitate narrare. Quæcunque vel ob flagitia circa sacras ædes admissa, vel ob hæc atque illa facinora, quis pro dignitate narrare atque exaggerare possit? In communi hoc accipiendum est.

Νεανιευσαμένοις. Νεανιεύεσθαι, *juvenari* hinc dictum est, quod juvenes robore vigentes ideo superbiunt ac quodlibet audent. Juvenari igitur est, quando quis viribus pollens, robore suo ferociens atque superbiens est.

Præteribo. Præteritionis figura est, qua res absolute reticentes, earum tantummodo speciem exhibemus.

Τὸ Πνεῦμα ἐνυβρίσας. Spiritui contumeliam intulerat. Ἐνυβρίζω verbum cum accusativo et cum dativo dicitur.

Fatale esse affirmans. Id est divina verba, quæ apud Judæos venerationi sunt testatur, nempe levissimos Judæos nimirum incitans advocansque ad reditum in patriam templique instaurationem. Attestatur videlicet ipsorum Deum, ejusque prædictiones, ne impedimento sit ipsi reditus tempus constituenti, sed et ad illud suscipiendum sit paratus. Hoc sensu et apud historicum ἐπιθειάζειν invenitur.

Inferiora ducerent. Quod si quid unquam facerent, minoris momenti ducebant quam cui tanto studio operam navabant.

Λαίλαπος. Λαῖλαψ est ventus cum turbine; βρασμός vero telluris hiantis tremor.

Periculi propulsationem. Perrexerunt scilicet reputantes pro sibimetipsis factum esse prodigium. Alii alius erant sententiæ et impulsionis.

Terrorem. Prodigium edit divinum Numen in his temporibus duas ob causas: ut et impios terrore

perculsos ab impietate deterreret et pios religiosiores efficeret, hoc miraculo in fide confirmatos.

Nadab et Abiud. Quando πρός cum dativo occurrit, quod præit dativum quoque accipere debet, ita ut sit ἤ τῷ περὶ τῷ Νάδαβ καὶ Ἀβιοὺδ θαύματι, *prodigium quod Nadab et Abiud acciderit*, pro ἐπ' αὐτοῖς θαύματα, *de iis prodigia*, præpositione hic pro alia usurpata. Noverunt atticissantes quoque περὶ αὐτῷ, *de eo*, vocem pro περὶ αὐτοῦ dicere.

Extremis corporis partibus truncatos. Sive manibus, sive pedibus, sive naso, sive auribus. Animadvertas hanc verborum structuram : Ἠκρωτηρίαζεν αὐτὸν τοῦδε τοῦ μέλους, *Præcidit eum hoc membro.* Ἀκρωτηριάζειν, *extrema abscidere* est.

Τὸ κομψόν. Τὸ κομψὸν quatuor acceptiones habet : dicitur vel de scite ornata muliere aut adolescente, vel de splendido, vel de facili et sano, vel de eleganti et amabili. Venit ex vocabulo κόμπος, *jactantia.*

De cœlestibus. Quæ sursum sunt ac deorsum unius Domini creatoris sunt mancipia. Nil igitur mirum quod superna nostris miseriis commoveri noverunt.

Et civitates. Quas igitur civitates orbis terrarum hic dicit, quæ et mari obrutæ, et terræ motibus prostratæ sunt ?

Ἐν γειτόνων. Ἐν scribendum, non vero ἐκ. Duæ enim sunt sermonis partes, pro ἐν τοῖς τῶν γειτόνων.

Multo tempore. Id est, multo tempore opus esse ad eas instaurandas.

Omnem textorii calculi elegantiam. Id est, textoriæ artis. Calculi, ut opinor, Musonii, vel quos in vestimentis ars scite exornavit.

Signo. Σύνθημα proprie est signum a duce militibus datum, ut inter se alii alios in acie agnoscant. Abusive autem σύνθημα est quod quisquam ex proposito dicit vel facit. Venit ex συνθέσθαι *componere.*

Καὶ μυηθῆναι. Μυηθῆναι, *initiari* cum accusativo et genitivo dicitur.

Ad ipsum caput. Præcipuum et summum.

Humanissimum. Hoc per ironiam.

Ὑφίεσθαι. Ὑφίεσθαι est *succumbere et timere.* Hic aliquid prodere, quod facere possumus, in quo quidem refugere licet, sed cum nequitia cedentis et timentis prodere eorum aliquid quæ vires non excedunt. Sic igitur cum tali nequitia recedere, timiditatis est; at cum ratione et consilio honeste refugere, cautionis ac prudentiæ est, non autem timiditatis. In utraque igitur, in timiditate atque in cautione refugi potest; sed timiditatis est, si cum ea quam diximus nequitia refugimus ; cautionis vero si cum prudenti consilio refugimus ..... invenimus.

A θεῖς τῆς ἀσεβείας στήσειε καταπλαγέντας, καὶ τοὺς εὐσεβεῖς εὐσεβεστέρους ἐργάσαιτο εἰς τὴν πίστιν τῷ γεγονότι βεβαιωθέντας.

Col. 669 A 6. *Νάδαβ καὶ Ἀβιούδ.* Ἐν ᾧ πρὸς δοτικὴν ἀπήντησε, δοτικὴν δεῖ λαβεῖν καὶ τὸ προηγούμενον, ἵν' ᾖ, ἤ τῷ περὶ τῷ Νάδαβ καὶ Ἀβιοὺδ θαύματι, ἀντὶ τοῦ, ἐπ' αὐτοῖς θαύματα προθέσεως ἐνταῦθα, ἀντὶ τῆς προθέσεως λαμβανομένης. Ἴσασι δὲ οἱ Ἀττικίζοντες, καὶ τὴν *περὶ αὐτῷ* φωνὴν ἀντὶ τῆς *περὶ αὐτοῦ* λέγειν.

Ibid. 8. *Ἀκρωτηριᾶσαν.* Τυχὸν χειρῶν, ἢ ποδῶν, ἢ ῥινὸς, ἢ ὠτίων. Σημείωσαι δὲ τὴν σύνταξιν ὅτι ἠκρωτηρίαζεν αὐτὸν τοῦδε τοῦ μέλους. Ἀκρωτηριάζειν δέ ἐστι, τὸ ἀποκόπτειν τὰ ἄκρα.

B Ibid. B 10. *Τὸ κομψόν.* Τὸ κομψὸν ἐπὶ τεσσάρων εἴρηται· ἐπὶ τοῦ κεκαλλωπισμένου γυναίου τυχὸν ἢ μειρακίου, ἢ ἐπὶ τοῦ ὑπερηφάνου, ἢ ἐπὶ τοῦ ῥᾳδίου καὶ ὑγιοῦς, ἢ ἐπὶ τοῦ ἀστείου καὶ χαρίεντος. Εἴρηται δὲ ὡς ἀπὸ τοῦ κόμπου.

Col. 672 A 1. *Ἐκ τῶν οὐρανίων.* Τὰ γὰρ ἄνω καὶ τὰ κάτω ἑνὸς Δεσπότου δοῦλα τοῦ δημιουργήσαντος. Εἰκότως οὖν καὶ τὰ ἄνω τοῖς ἡμετέροις οἶδε συμπάσχειν.

Ibid. 4. *Ὅτι καὶ πόλεις.* Ποίας ἄρα πόλεις ἐκ τῆς οἰκουμένης ἐνταῦθα λέγει, αἳ καὶ πελάγεσιν ἐπεκλύσθησαν, καὶ σεισμοῖς κατηνέχθησαν ;

Ibid. 11. *Ἐν γειτόνων.* Ἐν γειτόνων, διὰ τοῦ ν γραπτέον· δύο γάρ εἰσι μέρη λόγου· ἀντὶ τοῦ, ἐν τοῖς τῶν γειτόνων.

C Ibid. 13. *Πολλοῦ χρόνου.* Ἀντὶ τοῦ, χρείαν εἶναι πολλοῦ χρόνου εἰς τὸ ὀρθῶσαι αὐτάς.

Ibid. B 11. *Πάσης ἱστουργικῆς.* Ἀντὶ του, ὑφαντικῆς. Ψηφῖδος, ὡς οἶμαι, Μουσωνέως, ἢ ἃς καὶ ἐν τοῖς ἐσθήμασι τέχνη ἐκαλλώπισε.

Ibid. 14. *Συνθήματος.* Ἔστι σύνθημα κυρίως τὸ σημεῖον τὸ παρὰ τοῦ στρατηγοῦ τοῖς στρατιώταις διδόμενον, ὥστε ἀλλήλους κατὰ τὴν μάχην μὴ ἀγνοεῖν. Ἔστι δὲ καὶ καταχρηστικῶς σύνθημα, ὃ συνθέμενος λέγει ἢ πράττει. Παρὰ γὰρ τὸ συνθέσθαι εἴρηται.

Ibid. C 5. *Καὶ μυηθῆναι.* Τὸ μυηθῆναι αἰτιατικῇ καὶ γενικῇ συντάσσεται.

Ibid. 11. *Κεφάλαιον.* Τὸ καίριον καὶ συνεκτικόν.

D Col. 673 A 3. *Φιλανθρωποτάτην.* Τοῦτο κατ' εἰρωνείαν.

Ibid. 12. *Ὑφίεσθαι.* Ὑφίεσθαι, ἐστὶ τὸ ὑποπίπτειν καὶ δεδιέναι. Κἀντεῦθέν τι προδιδόναι ὡς ποιῆσαι δυνάμεθα, ἐν ᾧ ὑποχωρεῖν μὲν ἔστιν, ἀλλὰ μετὰ κακίας τῆς τοῦ ὑποπεπτωκότος καὶ δεδιότος προδιδόναι τι τῶν εἰς δύναμιν. Τὸ οὕτως οὖν μετὰ τοιαύτης κακίας ὑποχωρεῖν, δειλίας ἐστί· τὸ δὲ μετὰ λογισμοῦ βουλομένους ὀρθῶς ὑποχωρεῖν, ἀσφαλείας ἐστὶν, οὐ δειλίας. Ἐν ἑκατέρῳ μὲν οὖν, ἔν τε τῇ δειλίᾳ, ἔν τε τῇ ἀσφαλείᾳ ὑποχωρεῖν ἔστιν, ἀλλ' ἐπὶ μὲν τῆς δειλίας, μεθ' ἧς εἰρήκαμεν κακίας ὑποχωροῦμεν, ἐπὶ δὲ τῆς ἀσφαλείας ὑποχωροῦμεν μετὰ σώφρονος λογισμοῦ... τροῦν... αὐτοὺς... ἐγ... ἐγχείρο... ἡμᾶς... νον εὑρίσκομεν.

Ibid. 15. *Ὠθίζεσθαι.* Ὠθίζω καὶ ὠθίζομαι τὸ A ῥῆμα· τὸ δὲ ὄνομα ὠθισμός.

Ibid. B 11. *Ἀπερισκέπτως.* Ἀβασανίστως.

Ibid. C 4. *Οἳ δίκας.* Οἳ δίκας ἔδοσαν ὁρμῆς ἀλογίστου, καταλυθέντες ἐν Περσῶν ὅροις, ἐν ἀκμῇ τῆς εὐτυχίας, ἵν', ὅ φησιν ἡ τραγῳδία, μὴ ὀνειδίζω τὴν τύχην. Οὕτως ὑπερβάντα σε δεῖ νοῆσαι.

Col. 676 A 2. *Καλλιέρημα.* Ἔστι τὸ τοὺς θύοντας, ἤτοι τοὺς θυομένους αἰσίων καὶ δεξιῶν ἐπιτυχεῖν τῶν ἀπὸ τοῦ ἥπατος σημείων. Καλῶν οὖν ἐπιτυχὼν ὁ παραπλὴξ ἐκεῖνος, ὡς ᾤετο, ὅ ἐστι καλλιερήσας, ἔλεγεν ὡς εἰ οὕτως ἐπ' αὐτῶν ἀποβαίη τῶν ἔργων, πάντας παραστήσω τοὺς Χριστιανοὺς καὶ θύσω τοῖς δαίμοσιν. Ἄλλως· Καλλιερῶ σημαίνει τὸ δεξιῶν ἐπιτυχεῖν σημείων ἐν τῷ θύειν ἀπὸ τοῦ ἥπατος. Ἐν τούτῳ γὰρ ἐφαίνετο τὸ ἀποβησόμενον ἢ B χρηστὸν ἢ τοὐναντίον ἀνιαρὸν, ὡς ἐνόμιζον οἱ ἀνόητοι. Καλλιερεῖν γοῦν ἔλεγον, ἡνίκα τῶν ἱερείων καλῶν καὶ αἰσίων ἐτύγχανον.

Ibid. 9. *Ἀσσυρίων.* Ἀντὶ τοῦ, διὰ μέσης τῶν Ἀσσυρίων ῥέων. Ὥσπερ γὰρ τὸ μὲν διαπλεῖν, τὸ ἐπὶ τοῦ μέσου πλεῖν· τὸ δὲ περιπλεῖν, τὸ κύκλῳ πλεῖν· τὸ δὲ παραπλεῖν, τὸ παρὰ τὴν γῆν· οὕτω κἀνταῦθα τὸ διαῤῥεῖν, τὸ διὰ μέσου ῥεῖν· τὸ δὲ παραῤῥεῖν, καὶ παραμείβεσθαι τὸ κατὰ μίαν τοῦ τόπου πλευρὰν ῥεῖν, τὸ δὲ περιῤῥεῖν, τὸ πανταχόθεν.

Ibid. 11. *Ταύτην ἑλών.* Ἀντὶ τοῦ, τὴν Ἀσσυρίων λαβὼν καὶ δενδροτομήσας. Εἰκότως. Ταύτης γὰρ ἔδει πρώτης κρατῆσαι, καὶ οὕτως ἐπιχειρῆσαι Πέρσαις ἀνατολικωτέροις οὖσιν Ἀσσυρίων. C

Ibid. B 1. *Ἀμφότερα.* Ὅτι καὶ ἦλθε ταχέως, καὶ Πέρσαι ἑκόντες ὑπεχώρουν εἰς τοὔμπροσθεν αὐτὸν ἐπαγόμενοι.

Ibid. 9. *Ψάμμου ποδῶν ὑποσπασθείσης.* Ὁ βαδίζων ἐπὶ ψάμμου, εἴ τις ἄφνω ταύτην ὑποσπάσειε λαθὼν, ἀνάγκη πεσὼν οὐ βαδίζει· καὶ ἄλλως δὲ, βρεχομένων αἰγιαλῶν τῶν ποδῶν ὑποσπᾶται ἡ ψάμμος.

Ibid. 14. *Τενάγεσιν.* Τέναγός ἐστιν ἰλὺς ἐπιπολάζοντος ὕδατος ὀλίγου, καὶ βοτάνης ἐπιφαινομένης τῷ ὕδατι. Ἕλος δὲ, ἐστὶν ἰλὺς ὕδατος ἐπικεχυμένου πολλοῦ, καὶ βαθείας ὕλης, ἢ παπύρου, ἢ καλάμου ἐκφυομένης ἀεὶ τοῦ πηλοῦ, καὶ ὑπερανεστηκυίας τοῦ ὕδατος.

Ibid. *Ὀχυρωτέραν.* Ὀχυροῦται καὶ ἐχυροῦται. D Ἐχυρωτέρα διὰ τοῦ ω· ἡ γὰρ β' συλλαβὴ συστέλλεται· καὶ τὸν μὲν κανόνα τῶν τε συγκριτικῶν καὶ τῶν ὑπερθετικῶν οὐκ ἀγνοοῦμεν, καθ' ὃν τὰ τοιαῦτα συστέλλεταί τε καὶ ἐκτείνεται.

Ibid. C 3. *Φυσική.* Φυσικὴν ἀσφάλειαν τὸ τέναγος, χειροποίητον δὲ τὸ τεῖχος καὶ τὸν τάφρον καλεῖ.

Ibid. 7. *Διεξελάσαι.* Ἵνα μὴ διὰ μέσου τῶν πόλεων ἐν τῷ ποταμῷ διεξελάσων τὸ ναυτικὸν κινδυνεύσῃ, ἀποῤῥήξας τὸν ποταμὸν καὶ ἀποκόψας ἔτρεψεν.

Ibid. 8. *Ἐξ ὑπερδεξιῶν.* Ἀντὶ τοῦ, ἐκ τῶν ὑψηλοτέρων. Τὰ ὑψηλότερα γάρ, φασὶν, ὑπερδέξια. Ὑψηλότερα δ' ἐπέκειτο τῷ Εὐφράτῃ τὰ δύο πολίσματα, Κτησιφῶν καὶ Κωχή.

Ὠθίζεσθαι. Se obtrudere. Ὠθίζω et ὠθίζομαι verbum: nomen vero ὠθισμός, *tumultus*.

Inconsulte. Inconsiderate, imprudenter.

Pœnas. Qui impetus inconsulti pœnas dederunt, cæsi in Persarum finibus in medio felicitatis cursu, ne, quemadmodum ait tragicus, fortunas exprobrem. Sic transposita hæc intelligas.

Votiva victima. Nempe cum vel sacrificantes vel sacrificati fausta et prospera ex jecore signa sortiantur. Fausta igitur nactus insipiens iste, ut opinabatur, quod significat καλλιερήσας, dicebat se, si omina res confirmavisset, Christianos omnes subjecturum atque mactaturum dæmonibus. Aliter. Καλλιερῶ significat fausta nancisci signa ex jecore in sacrificando. In jecore enim apparebant res futuræ, sive optimæ, sive contra adversæ, ut existimabant insipientes isti. Καλλιερεῖν igitur dicebant, cum fausta et prospera omina consequerentur.

Assyriæ. Id est, per mediam Assyriorum regionem fluens. Sicut διαπλεῖν, *transnavigare*, per medium navigare est; περιπλεῖν, *circumnavigare*, in circulo navigare; παραπλεῖν, secus navigare, terram navi radere; ita nunc et διαῤῥεῖν, interfluere, per medium fluere est; παραῤῥεῖν et παραμείβεσθαι secus unum loci latus fluere, et περιῤῥεῖν, *circumfluere*, omni ex parte fluere.

Cepisset. Nempe capta vastataque Assyriorum regione. Haud mirum. Hac enim potiri necesse erat, priusquam Persas, magis ad orientem versos quam Assyrios, aggrederetur.

Utrum enim dicitur. Nempe quod celeriter venit, et Persæ consulto cedentes ad ulterius procedendum eum allexerunt.

Arena pedibus subtracta. Qui ambulat super arenam, ea subito subtracta, ex necessitate lapsus non ambulat. Aliter, madente littore pedibus arena subtrahitur.

Τενάγεσιν. Τέναγος vadum est quod parum aquæ stagnantis herbæque aquis supereffluentes efficiunt. Ἕλος vero vadum multis aquis repletum silvaque profunda, vel papyro vel arundine de cœno coortis, et sub unda latentibus.

Ὀχυρωτέραν, firmiorem. Ὀχυροῦται et ἐχυροῦται *munitur;* ἐχυρωτέρα, *munitior*, propter ω, syllaba enim secunda contrahitur. Regulam quidem comparativorum et superlativorum non ignoramus, juxta quam hæc contrahuntur, vel producuntur.

Natura. Naturale præsidium paludem, manufactum mœnia et fossam vocat.

Procedere. Ne per flumen navalibus copiis in mediam urbem penetrantibus periclitaretur, diruptum atque interscissum amnem avertit.

Ὑπερδεξιῶν, e loco superiori. Id est, ex excelsioribus: excelsiora enim, aiunt, superiora. Excelsiora vero Euphrati supereminebant oppida duo, Ctesiphon et Coche.

A *tergo.* A tergo relinquit Ctesiphontem Cochenque: eas expugnare impossibile erat. Transiit eas a tergo relinquens.

Perfossam. Erat prior, ait, fossa, quam instauravit iterumque effodit Julianus.

A fronte. Persicæ copiæ a fronte et adversa acie stare et cum illo dimicare minime convenire statuebant.

Παρείκοι, ubi facultas daretur. Παρείκοι, pro cedere homini vel cuivis alii, et in præcipiti atque abrupto loco quodlibet excipere. Sic quoque apud historicos. Aliter: pro ubi tumuli et locorum angustiæ eis occurrerent.

Viæ transitibus. Δίοδος est per medios tumulos via, cui exitus in partem adversam; exitum vero non habens vocatur εἴσοδος.

Erga Romanos optime affectus. Nempe quod in offensionem venerat. Sic equidem ut modo dixi Babylon Darii temporibus per audax Zopyri facinus capta est. Sic quoque Cyri temporibus: Magnam fossam prope Euphratem Cyrus cum fecisset, eoque flumen avertisset, atque ita sicca in mediam urbem via parata (interfluit enim Babylonem Euphrates), per hanc ingressus urbem ita potitus est.

Οὕτως ἐπίμαχον. Ἐπίμαχον, id est pugnæ expositum. Venter igitur, cui affatim cibaria, parataque ex cibis salus, debellatu facilem pertinacemque exercitum efficit. Namque cibos in promptu habens, non sui compos est, sed comedere satagit.

Risus insuper accedebat. Cur insuper accedebat risus? Quia fere se ipsum pessumdederat Julianus, cibariis igne deletis.

Ὦσαι, adegisse. Ὠθῆσαι verbum est, sublataque media syllaba dicunt ὦσαι. Hic ut liquido patet, supple gladium.

Viscerum exsolvit. Humanorum viscerum scilicet. Mactatis enim ab eo multis ante bellum Christianis, et visceribus inspectis, vates eum in bello victurum prædixerant; credideitque insipiens. Hic ergo prave creditorum a Juliano humanorum scilicet viscerum.

Qui post illum renunciatus fuerat. Jovinianus accepit imperium post impiissimum Julianum: Persis post victoriam pacis conditiones imponentibus, ex necessitate, pro exercitus salute, urbem Nisibim tunc Romanam tradidit.

Milites fracti. Quomodo, ait, non erat potens? Quod exercitus manibus ac spe fracti debilitatique erant.

Hoc in more positum. Isocrates in *Evagora* de illis dicit, quod id primum curabant ut corporum suorum domini fierent.

(70) Melius scr. codd. Paris. Ἰοβιανός.

A Ibid. 9. *Κατόπιν ἑαυτοῦ.* Κατόπιν ἑαυτοῦ ποιεῖται τὴν Κτησιφῶντα καὶ τὴν Κωχήν. Ἀδύνατον γὰρ αὐτὰς ἑλεῖν· παρῆλθεν αὐτὰς ἐάσας ὀπίσω.

Ibid. 13. *Ἐκ διώρυγος.* Ἦν καὶ προτέρα, φησὶν, ἡ διώρυξ, ἐπεσκεύασε δ' αὐτὴν καὶ ἐπώρυξεν Ἰουλιανός.

Col. 677 A 3. *Κατὰ μετώπου.* Περσικὴ δύναμις οὐκ ᾠήθη δεῖν ἀντίπρωρος καὶ ἀντιπρόσωπος σταθεῖσα μάχεσθαι.

Ibid. 6. *Παρείκοι.* Τὸ παρείκοι, ἀντὶ τοῦ, τὸ ὑποχωροῦν τῷ ἀνθρώπῳ ἢ καὶ ἄλλῳ ζώῳ, καὶ ὑποδεχόμενον ἐν κρημνῷ τυχὸν, ἢ δυσχερείᾳ· οὕτω καὶ παρὰ τοῖς συγγραφεῦσιν. Ἄλλως, ἀντὶ τοῦ, ἔνθα ἂν οἱ λόφοι, καὶ τὰ στενὰ ὑποδέχοιτο αὐτούς.

Ibid. 7. *Τῆς διόδου.* Δίοδος, ἐστὶν ἡ διὰ μέσου
B λόφων τινῶν ὁδὸς, ἔξοδον ἔχουσα εἰς τὸ καταντικρύ· ἡ δὲ ἔξοδον οὐκ ἔχουσα, εἴσοδος.

Ibid. B 5. *Εὔνους δὲ τοῖς Ῥωμαίων.* Διὰ τὸ προσκεκρουκέναι δῆλον ὅτι. Οὕτω μὲν, ὡς ἀρτίως εἶπον, ἡ Βαβυλὼν ἐπὶ Δαρείου, διὰ τῆς τοῦ Ζωπύρου τόλμης ἑάλω. Ἐπὶ δὲ τοῦ Κύρου οὕτω· Μέγα ὄρυγμα παρὰ τὸν Εὐφράτην ὁ Κῦρος ποιήσας, καὶ τὸν ποταμὸν ἐκεῖ παρατρέψας, καὶ ταύτῃ τὸν μεταξὺ τῆς πόλεως πόρον ξηράνας (διαῤῥεῖ γὰρ τὴν Βαβυλῶνα ὁ Εὐφράτης), δι' ἐκείνου εἰσελθὼν, οὕτως εἷλε τὴν πόλιν.

Ibid. 11. *Οὕτως ἐπίμαχον.* Ἀντὶ τοῦ, εὐχερὲς εἰς τὸ πολεμεῖσθαι. Ἡ γαστὴρ οὖν εὐποροῦσα τροφὰς ἔχειν, καὶ τὸ ἕτοιμον ἔχειν τὴν ἐκ τῆς τροφῆς
C σωτηρίαν, εὐχερῆ πρὸς τὸ πολεμεῖσθαι ποιεῖ τὸν στρατὸν, καὶ φιλόνεικον δέ. Εὐπορῶν γὰρ τροφῶν οὐκ ἐγκρατεύεται, ἀλλὰ φιλονεικεῖ φαγεῖν.

Ibid. C 12. *Προσῆν ὁ γέλως.* Διὰ τί προσῆν ὁ γέλως; Ἐπειδὴ σχεδὸν ἑαυτὸν διεχρήσατο Ἰουλιανὸς ἐμπρήσας τὸν σῖτον.

Col. 680 B 4. *Ὦσαι.* Ὠθῆσαι, ἐστὶ ῥῆμα, καὶ τὴν μέσην συλλαβὴν ὑφελόντες λέγουσιν ὦσαι· δῆλον δέ ἐστιν, ὅτι ξίφος, ὅπερ νοήσεις ἔξωθεν.

Ibid. 10. *Σπλάγχνων ἀπαιτεῖται.* Ἀνθρωπίνων σπλάγχνων δηλονότι. Θυομένων γὰρ αὐτῷ πολλῶν πρὸ τοῦ πολέμου Χριστιανῶν, καὶ ἡπατοσκοπίας ἐνταῦθα γινομένης, προέλεγον οἱ μάντεις ἐκ ταύτης, ὅτι δὲ νικήσει τὸν πόλεμον· καὶ ὁ μάταιος ἐπίστευσε.
D Πιστευθέντων οὖν παρὰ Ἰουλιανοῦ κακῶς τῶν ἀνθρωπίνων δηλονότι σπλάγχνων.

Col. 681 B 12. *Ὁ μετ' ἐκεῖνον ἀναῤῥηθείς.* Ἰουβιανὸς (70) δεξάμενος τὴν βασιλείαν μετὰ τὸν ἀσεβέστατον Ἰουλιανὸν, ὃς συμβᾶσι τοῖς Πέρσαις μετὰ τὴν νίκην, τὸ νῦν καλούμενον Νήστιμον Ῥωμαίων ὂν, ἀναγκαίως ὑπὲρ τῆς τοῦ στρατοῦ σωτηρίας Πέρσαις παρέδωκεν.

Ibid. C 3. *Τοῦ στρατοῦ παρειμένος.* Πῶς, φησὶν, οὐ δυνατὸς ἦν; τοῦ στρατοῦ παρειμένου καὶ παραλελυμένου, καὶ κατὰ τὰς χεῖρας, καὶ κατὰ τὰς ἐλπίδας.

Ibid. 8. *Καὶ γὰρ νόμος.* Ἰσοκράτης ἐν τῷ *Εὐαγόρᾳ* περὶ αὐτῶν λέγει, ὡς ἠρκοῦντο τῷ κύριοι τῶν σωμάτων γενέσθαι.

Ibid. 9. *Δείσαντες ἄλλο.* Καὶ ἄλλο τι φοβηθέντες, φησί. Ποῖον; Μὴ ἀπογνόντες οἱ Ῥωμαῖοι τὴν ἑαυτῶν σωτηρίαν ἀνδριώσονται πλέον, καὶ τῶν ἐχθρῶν κρατήσουσι. Μία γὰρ τοῖς ἡττηθεῖσι σωτηρία, τὸ μὴ προσδοκῆσαι σωτηρίαν (71)· ἀλλ' οὕτως αὐτοῖς ἐπιπεσεῖν τοῖς κεκρατηκόσιν ὡς τεθνηξομένοις. Καὶ τοῦτό τινός ἐστιν ἐνθύμημα τῶν παρὰ Ῥωμαίων ἀρχαίων. A

Ibid. 12. *Πυρφόρον.* Πυρφόρους φησὶ τοὺς ἱερέας τοὺς τὸ ἐπιβώμιον παρανάπτοντας. Ἐν τοῖς γοῦν πολέμοις εἰώθασι τῶν ἱερέων οἱ νενικηκότες φείδεσθαι. Ἐπὶ δὲ τῶν παντελῶς ἡττημένων καὶ συμπατηθέντων ἐν τῷ πολέμῳ, εἰώθασιν, ὑπερβολῇ χρώμενοι, οὕτω λέγειν· Οὕτως ἀπώλοντο, ὥστε οὐδὲ πυρφόρος, ταυτὸν δὲ εἰπεῖν, ἱερεὺς, ὑπελείφθη τῷ στρατῷ. B

Ibid. 15. *Προλαβεῖν εὐημερίας.* Καὶ τὸ βραχύ τι κατὰ τὸν πόλεμον εὐημερῆσαι, ἱκανόν ἐστιν ὑποθέσθαι καὶ πρὸς τὸ μέλλον ἐλπίδα μεγίστην.

Col. 684 A 7. *Ὧν.* Συνθηκῶν δηλονότι.

Ibid. *Ἐκεῖνον.* Ἰουλιανόν.

Ibid. *Τοῦτον.* Τὸν διαδεξάμενον δηλονότι.

Ibid. C 4. *Ὁμώνυμον ἐκείνοις.* Τὴν Κωνσταντίνου πόλιν φησὶν ὁμώνυμον ἐκείνοις Κωνσταντίνῳ καὶ Κωνσταντίῳ.

Ibid. 7. *Γέρας.* Τὴν ἀκουομένην φησὶ φωνήν.

Col. 685 B 3. *Τάξιν ἐνόπλιον.* Ὁ μὲν ἀνὴρ ἔνοπλος, ἡ δὲ πρᾶξις ἐνόπλιος, οἷον ὄρχησις ἐνόπλιος, τάξις ἐνόπλιος.

Ibid. 6. *Καὶ γεννάδας.* Τί δεῖ λέγειν τὸ καὶ τό; ἀλλ' Ἰουλιανὸς αὐτὸς, ὁ ἄρτι τυραννήσας μᾶλλον, ἢ βασιλεύσας, ἀπαντήσας καὶ αὐτὸς προέπεμπε. C

Ibid. 10. *Χάριν.* Βασιλικὴν τιμὴν τῷ κατοιχομένῳ διδοὺς, βασιλικὴν ἀντελάμβανε μετὰ τῆς ἁλουργίδος τὸ σῶμα παραπέμπων.

Col. 688 A 4. *Δημοσίαις.* Βλασφημούσαις αὐτὸν καὶ καταρωμέναις αὐτῷ. Καὶ μάλιστα οἱ Ἀντιοχεῖς πολλὰ εἰς αὐτὸν ἀπέσκωπτον.

Ibid. 5. *Βωμολόχοις.* Βωμολόχους λέγομεν τοὺς εὐτελεῖς καὶ πένητας· τουτέστι, τοὺς περὶ τὸν βωμὸν λοχῶντας καὶ προσκαθεζομένους αὐτῷ, ἵνα τις εὐποιήσῃ αὐτοῖς διδούς τι πρὸς τὴν ἀναγκαίαν τροφήν. Βωμολόχοι δὲ καὶ οἱ ὄρνιθες οἱ τὸν βωμὸν περιϊπτάμενοι, καί τι κρέας ἀπὸ τῶν ἐντόμων ἁρπάζοντες, οἷον κόρακες, ἰκτῖνες, καὶ τὰ τοιαῦτα τῶν ὀρνέων. Ἡ λέξις οὖν ἐπὶ τῶν εὐτελῶν λέγεται. D

Ibid. *Μῖμοι γελοίων.* Προηγοῦντο, φησὶ, τοῦ λειψάνου τοῦ δυσσεβοῦς Ἰουλιανοῦ οἱ ἀπὸ τοῦ θεάτρου αὐληταὶ, καὶ ὀρχησταὶ, ὥσπερ ἦν ἄξιον. Ἐπομπεύετο τοίνυν καταυλούμενος καὶ κατορχούμενος καὶ διὰ τὴν ἄρνησιν τῆς πίστεως καὶ διὰ τὴν ἧτταν τοῦ πολέμου.

Ibid. 15. *Τάφος ἐξάγιστος.* Τὸ ἄγος πάντοτε ἐπὶ κακοῦ λαμβάνεται τοῦ μύσους· ἁγιστείαν δὲ καὶ ἁγιστεύειν, ἐπὶ τοῦ καθαροῦ καὶ ἁγίου. Ἁγιστεύει ἀντὶ τοῦ, καθαρεύει.

Ibid. B 6. *Δυσὶ καὶ τρισί.* Οὐκ ἀγνοῶν, ὅτι μείζω

Aut aliud metuentes. Et aliud quiddam timentes, ait. Quid? Ne desperantes Romani de propria salute, magis accenderentur hostesque debellarent. — Una salus victis, nullam sperare salutem. — Atque sic in victores irruerent ut morituri. Hæc quidem veterum Romanorum sententia est.

Ignifer. Igniferos vocat sacerdotes sacrum ignem ad altare ferentes. In bellis enim sacerdotibus victores parcere solent. De penitus bello fractis profligatisque mos est hyperbolice dicere : adeo deleti sunt, ut ne ignifer quidem, id est sacerdos, exercitui superfuerit.

Felix enim successus. Levissimus enim in bello successus satis est ut lætam futuri spem conciliet.

Quarum. Conditionum scilicet.

Absoluto illo. Juliano.

Hunc. Successorem videlicet.

Illis cognominem. Constantini urbem ait cognominem illis, Constantino scilicet et Constantio.

Proœmium. Exauditam vocem ait.

Τάξιν ἐνόπλιον (aciem armis instructam). Dicitur vir ἔνοπλος *armatus*, res ἐνόπλιος, *armata*, ut saltatio armata, acies armata.

Audax. Quid hoc atque illud dicere opus est? At Julianus ipse, recens tyrannus potius quam rex, occurrens procedebat.

Gratiam. Regalem honorem defuncto tribuens, regalem vicissim accipiebat, cum purpura corpus deducens.

Publicis. Maledictis lacessentibus eum, ac diris devoventibus. Et præsertim Antiocheni multa in eum opprobria conjiciebant.

Βωμολόχοις, scurrilibus. Βωμολόχους vocamus sordidos atque inopes, id est, in aris insidiantes, ac prope sedentes, ut iis quilibet benefaceret, quæ opus essent ad victum largiens. Βωμολόχοι quoque aves aram circumvolitantes, atque aliquid carnis e victimis arripientes, ut corvi, milvii, avesque hujus generis. Textus hic abjectos homines designat.

Mimi et histriones. Præibant, ait, impii Juliani reliquias e theatro tibicines et saltatores, ut æquum erat. Efferebatur igitur maledictus inter tibias et saltationes, et propter fidei objurationem et propter belli cladem.

Tumulus impurus et exsecrandus. Ἄγος ubique de re impura atque exsecranda intelligitur; ἁγιστείαν vero et ἁγιστεύειν de re pura et sancta. Ἁγιστεύει pro καθαρεύει, *purum efficit.*

Duobus aut tribus. Non alioqui nescius quod

(71) Virgilii versus ad verbum :
Una salus victis nullam sperare salutem.

majora fecisset administratione mala, nisi celeriter eum Deus sustulisset. Habebat enim circum se nonnullos pari impietate ac nequitia, qui breviter imperium vastavissent, nisi rerum facies hac peste mox liberata esset.

Ἀμπώτιδας. *Ἄμπωτις*, ut jam dictum est, contraria est maris æstui. Hæc motus sunt maris angusti, coarctatique vel insulis vel angulis. Ἄμπωτις est, cum fit reciprocatio atque absorptio undarum in aliquos subjacentis terræ abyssos ingruentium atque paulo post rursus exorientium. Dicitur ergo ἄμπωτις aqua suffugiente, et *ῥαχία* rursum erumpente : quod fit sæpius unoquoque die, præsertim cum spirat ventus. Hoc patitur circum Græciam Euripus, qui sic vocatur ex *εὐτρέπεσθαι*, *facile converti*, quippe qui facile mutatur atque convertitur.

Elysiis Campis. Quemadmodum Christiana doctrina paradisum quemdam esse affirmat, sic et Græci regionem quamdam esse fingunt, quam Beatorum insulas vocant; nominantque Elysium campum, quod hic veniunt, ἐλεύσεσθαι, qui recte vixerunt. Rhadamanthus, filius Jovis, Inferorum judex, eos qui peccaverunt ad Cocytum et Phlegethontem mittit; bonos vero in Beatorum insulas.

Sodalis. Plato, aliique omnes philosophi, eos qui sincero animo philosophiæ operam dabant, sodales vocabant, velut amicos. Julianus autem quasi philosophatus, non regno superbit, sed imitabatur nimirum Platonem et philosophos, sodales omnes vocans. Atque frequens illud nomen in ejus conversationibus. — *Propino* autem hoc est : omnes antiqui reges, cum solemnia sacra celebrarent, phialas aureas aut argenteas mista potione plenas a pincernis accipiebant, ac postea parum quiddam ex poculo exsorbentes, tunc illi quem honore prosequi volebant, tradebant : quod erat multæ amicitiæ symbolum, et *propinare* vocabatur. Diesque ille *φιλοτησία*. — Denique λαρυγγίζειν imitatio quædam vocis est, cum quis suis sermonibus delectatus, quodammodo obturat premitque vocem.

Defluere, pro cadere, marcere : metaphora e floribus sumpta.

Comessationibus. Comessari est cum ebrietate turpiter canere. Nomen est κῶμος, *comessatio*.

Cingamus. Rosis scilicet, aut liliis, aut myrthis, aut loto, aut lauro.

Tibicinum cantu. Συναυλία est cum duo vel plures tibicines simul vel simile vel diversum canunt : alter calamo, alter cornu, alter ære sonat. Vocamus quoque *συναυλίαν*, si quis cantat ad citharæ simul ac tibiæ sonum.

Novæ lunæ festum. Neomenias Græci proprie *hieromenias* vocabant, et abusive festum.

A ἂν εἰργάσατο τῇ πολιτείᾳ κακὰ, εἰ μὴ ταχέως ὁ Θεὸς αὐτὸν ἐξέκοψεν. Εἶχε γὰρ περὶ αὐτὸν τοιούτους τινὰς ἀσεβεῖς καὶ ἀθέους, οἳ ταχέως ἂν τὴν πολιτείαν ἐδῄωσαν, εἰ μὴ τὰ πράγματα ταχεῖαν ἔλαβε τῶν λυπούντων ἀπαλλαγήν.

Ibid. C 6. *Ἀμπώτιδας*. Ἄμπωτις, ὡς ἤδη εἴρηται, ἐναντία ἐστὶ τῇ ῥοθίῳ. Ταῦτα δὲ πάθη ἐστὶ θαλάττης στενῆς περικλειομένης ἢ ὑπὸ νήσων, ἢ ὑπὸ γωνιῶν. Ἄμπωτις δέ ἐστιν, οἷον εἰ ἀνάπωτις καὶ ἀναῤῥόφησις ὑποστελλομένου τοῦ ὕδατος εἰς μυχούς τινας τῆς ὑποκειμένης γῆς, καὶ μετ' ὀλίγον πάλιν ἐκφυτοῦντος. Τὸ μὲν οὖν ὑποσταλῆναι λέγεται ἄμπωτις, τὸ δὲ πάλιν ἐκρεῦσαι λέγεται ῥαχία. Τοῦτο δὲ γίνεται πολλάκις τῆς ἡμέρας, καὶ μάλιστα ἐὰν πνέῃ ἄνεμος. Πάσχει δὲ τοῦτο ὁ περὶ τὴν Ἑλλάδα Εὔρι-
B πος, ὃς καὶ εἴρηται ἀπὸ τοῦ εὐτρέπεσθαι, οἱονεὶ εὔτρεπτος καὶ εὐχερῶς πίπτων.

Ibid. 11. *Ἠλυσίων*. Ὥσπερ ὁ Χριστιανικὸς λόγος ὑπογράφει τινὰ παράδεισον, οὕτω καὶ οἱ Ἕλληνες ὑπογράφουσί τι χωρίον, ὃ καλοῦσι Μακάρων νήσους. Καλοῦσι δὲ αὐτὸ Ἠλύσιον πεδίον, παρὰ τὸ ἐλεύσεσθαι ἐκεῖσε τοὺς καλῶς βεβιωκότας. Ὁ δὲ Ῥαδάμανθυς, υἱὸς τοῦ Διὸς, δικαστὴς ἐν ᾅδου, τοὺς μὲν ἁμαρτάνοντας παρὰ τὸν Κωκυτὸν καὶ τὸν Πυριφλεγέθοντα πέμπει, τοὺς δὲ ἀγαθοὺς εἰς τὰς Μακάρων νήσους.

Col. 689 A 10. *Ἑταῖρε*. Ὁ Πλάτων καὶ οἱ φιλόσοφοι τοὺς γνησίους ἐραστὰς τῶν λόγων ἑταίρους καλοῦσιν, οἱονεὶ φίλους· ὁ δὲ Ἰουλιανὸς ὡς φιλοσο-
C φήσας, οὐκ ἀπαυθαδίζεται τῇ βασιλείᾳ, ἀλλ' ἐμιμεῖτο δῆθεν Πλάτωνα καὶ τοὺς φιλοσόφους, ἑταίρους πάντας καλῶν· καὶ πολὺ τοῦτο τὸ ὄνομα ἐν ταῖς συνουσίαις αὐτοῦ· τὸ δὲ προπίνω, τοῦτό ἐστι· Πάντες οἱ ἀρχαῖοι βασιλεῖς ἐπιτελοῦντες πάνδημον ἑορτὴν, ἐν χρυσαῖς φιάλαις ἢ ἀργυραῖς κιρνουμέναις, ἐδέχοντο μὲν παρὰ τοῦ οἰνοχόου αὐτοὶ, ἀπέπινον δὲ μικρὸν ἐκ τῆς κύλικος, καὶ τότε παρεῖχον ᾧ ἂν ἐβούλοντο, χαριζόμενοι τὴν κύλικα. Τοῦτο δὲ ἦν σύμβολον φιλίας πολλῆς. Καὶ τοῦτο μὲν ἐκαλεῖτο προπίνειν· ἡ δὲ ἡμέρα, φιλοτησία. Τὸ δὲ λαρυγγίζειν, μίμησίς ἐστι φωνῆς, ὅταν τις τερπόμενος οἷς λέγει, ἐπί—ησι—πως τῇ φωνῇ, καὶ στενοῖ αὐτήν.

Col. 708 C 4. *Ὑποῤῥεῖ*. Ἀντὶ τοῦ, πίπτει καὶ
D μαραίνεται. Εἴρηται γὰρ ἀπὸ μεταφορᾶς τῶν ἀνθῶν.

Ibid. 11. *Κώμοις*. Κωμάζειν, ἐστὶ μετὰ μέθης αἰσχρῶς ᾄδειν. Κῶμος δὲ τὸ ὄνομα.

Ibid. 12. *Στέψωμεν*. Ῥόδοις τυχὸν, ἢ κρίνοις, ἢ μυῤῥίναις, ἢ λωτῷ, ἢ δάφνῃ.

Col. 709 A 1. *Συναυλίαις*. Συναυλία ἐστὶν ἡνίκα δύο ἢ καὶ πλείους αὐληταὶ συναυλοῦσιν ἅμα, εἴτε ὅμοιον, εἴτε διάφορον· ὁ μὲν καλάμῳ, ὁ δὲ κέρατι, ὁ δὲ τῷ χαλκῷ ἐναυλεῖ. Λέγομεν δὲ συναυλίαν, καὶ κιθάρας ἅμα συγκρουομένης αὐλῷ καὶ συμφθεγγομένης.

Ibid. 2. *Ἱερομηνίας*. Τὰς νουμηνίας οἱ Ἕλληνες ἱερομηνίας ἐκάλουν κυρίως· καταχρηστικῶς δὲ καὶ τὴν ἑορτήν.

Ibid. 12. *Τι καὶ μῦρον*. Τὸν Χριστὸν, μῦρον γὰρ A ἐκκενωθὲν τὸ ὄνομα αὐτοῦ.

Ibid. 15. *Εἴθε μοι*. Κἀμοὶ γένοιτο, ὀψὲ γοῦν καὶ μόγις, διὰ τῶν σῶν εὐχῶν, ἅγιε Πάτερ, ἐπειδὴ πάντα δυνατὰ τῷ Θεῷ.

Ibid. B 11. *Καὶ πομπεύειν*. Πομπεύειν καὶ ἐπὶ καλοῦ λέγεται καὶ ἐπὶ κακοῦ· ἐπὶ καλοῦ μὲν, ἡνίκα τῆς ἑορτῆς οὔσης προϊόντες ἐπ' ἀγορᾶς βαδίζωμεν, εἰς τιμὴν κεκοσμημένοι τῆς πανηγύρεως· ἐπὶ κακοῦ δὲ, ὡς ὅταν ἐν τῇ πομπῇ τῷ Διονύσῳ οἱ Ἕλληνες ἐφ' ἁμαξῶν προϊόντες ἀλλήλους ἔλεγον κακῶς, καὶ πρὸς τὸ μὴ αἰσχυνθῆναι, προσωπεῖα, λέγοντες, ἐφόρουν οἱ πλεῖστοι. Ἐντεῦθεν καὶ πομπεύειν λέγομεν, τοὺς φαῦλόν τι δράσαντας, καὶ διὰ τῆς ἀγορᾶς μεθ' ὕβρεως ἀγομένους.

Ibid. C 1. *Λυγισμάτων*. Λύγισμα, ἐστὶ θηλυδριώδης μετὰ τοῦ ἀκκίζεσθαι καὶ θρύπτεσθαι γινομένη τῶν ἀσέμνων ὁμιλία· καὶ λυγίζεσθαι μέν ἐστι, τὸ τεχνικῶς ὀρχεῖσθαι καὶ θρύπτεσθαι, ἤτοι τοῖς μέλεσι καὶ τῇ φωνῇ κατακλώμενον ἀκκίζεσθαι· θρύπτεσθαι δέ ἐστι, τὸ ἄνευ φωνῆς καὶ τέχνης ἀκκίζεσθαί τε καὶ κατακλᾶσθαι τοῖς τοῦ σώματος μέλεσιν. Εἴρηται δὲ ἀπὸ τοῦ λύγου. Λύγος δὲ λέγεται παροξυτόνως τὸ ἱμαντῶδες φυτόν. Ὁ γοῦν λυγίζων στρέφεται, καθὰ καὶ τὸ φυτὸν ἐκεῖνο, ἀκκιζόμενος καὶ θρυπτόμενος· εὔδηλον δὲ, ὡς ὀξυνόμενον τὸ λυγὸς ὄνομα, σημαίνει ποιητικῶς τὸν ὄλεθρον. Λύγος δὲ εἴρηται καὶ παθητικὴ φωνή· λυγίζεται, ἀντὶ τοῦ στρέφεται αἰσχρῶς καὶ ὀρχηστικῶς.

Ibid. 3. *Σύννοιαν*. Ἰσοκράτης ἡμᾶς ἐδίδαξε τίς ὁ σύννους, καὶ τίς ὁ σκυθρωπός· ὅτι ὁ μὲν κατηφὴς, ἀεὶ καὶ αὐθάδης· ὁ δὲ σύννους ὁ διὰ παντὸς προσέχων ἑαυτῷ καὶ συνὼν, ἔν τε τῷ προσέχειν ἑαυτῷ τὸν νοῦν συνάγων.

Col. 712 A 3. *Παραινέσεως*. Τὸ ἑορτάζειν νοητῶς, ἀλλὰ μὴ κατὰ τοὺς ἄφρονας αἰσθητῶς.

Ibid. 8. *Κολασταί*. Ἀντὶ τοῦ, Κολάσωμεν αὐτούς· μετροῦμεν τὴν κόλασιν, φησὶν, ἐν ᾧ μὴ κολάσαι κατ' ἐξουσίαν ἰσχύσαμεν, ἐάσωμεν οὖν — ετρα κολάζεσθαι τοὺς ἐχθροὺς τῷ συνειδότι πληττομένους κατὰ τὴν τραγῳδίαν. Ἡ σύνεσις γὰρ ἀπόλλυσι τὸν δεινὰ εἰργασμένον.

Col. 713 A 4. *Πεῖσαι*. Διὰ τοῦ πεῖσαι τοὺς πεπονθότας ἔτι ζῶντας, δῆλον ὅτι, φέρειν καρτερῶς, ἃ D πεπόνθασιν.

Ibid. C. 2. *Ἀριθμηθήσεται*. Οὕτως ἡ φράσις, μετ' ἐκείνων ἀριθμηθήσεται καὶ πρὸ ἐκείνων ὁ Ἰουλιανός· οὐ τῷδε καὶ τῷδε κολαζόμενος, ἀλλ' ὀψόμεθα τίσι καὶ οἵοις κολαζόμενος, τοῖς ἐκεῖθεν.

Ibid. 8. *Κειρόμενος*. Ὁ Προμηθεὺς λέγεται κλέψαι τὸ πῦρ παρὰ τῷ Θεῷ καὶ ἐνεγκεῖν εἰς ἀνθρώπους· καὶ ὅτι περὶ τὰ κρέα τῆς θυσίας ἀπατήσας τὸν Δία, εἰς ὀργὴν ἐκίνησεν αὐτὸν διττῶς. Τοῦτον θέλων τιμωρήσασθαι, ἐποίησεν ἀετὸν κατεσθίειν αὐτοῦ τὸ ἧπαρ· καὶ τὴν μὲν ἡμέραν κατησθίετο τὸ ἧπαρ, τὴν δὲ νύκτα πάλιν ἀνεπληροῦτο, καὶ πάλιν ἔρχεται ὁ ἀετὸς, καὶ ἤσθιεν αὐτὸ, ἕως οὗ ὁ Ἡρακλῆς ἐλθὼν

[15] Cant. I, 2.

Unguentum quoque quoddam. Christum. Unguentum enim effusum nomen ejus [15].

Atque utinam mihi. Mihi quoque contingat, sero licet et ægre, per preces tuas, sancte Pater, omnia cum Deo possibilia sint.

Et pompam agere. Πομπεύειν et malo et bono accipitur sensu. Bono quidem, cum festo die præeuntes ad forum procedimus, in solemnitatis honorem ornati; malo autem, cum in Bacchi festum Græci in curribus procedentes, se invicem contumeliis lacessebant, atque, ne ipsos puderet, personati plerique ambulabant. Exinde nos πομπεύειν, *pompam agere*, dicimus, si qui turpia quædam facientes, per forum proterve debacchentur.

B *Fœdis modulationibus*. Λύγισμα, *modulatio*, est effeminata indecoraque conversatio, cum enervata luxuriosaque corporis contorsione. Λυγίζεσθαι est scite saltare ac corpus contorquere, cum membrorum et vocis modulationibus. Θρύπτεσθαι vero sine voce et arte corporis membra inflectere ac contorquere: hoc ex λύγου, *vimine*, venit. Λύγος *paroxytonus* dicit flexibilis planta. Λυγίζων, *qui corpus modulatur*, igitur inflectitur plantæ hujus instar, cum membra flectit et contorquet. Nomen vero λυγός oxytonus poetice pestem significat. Λύγος quoque dicitur vox passiva, et λυγίζεται pro turpiter et saltatorie flectitur.

C *Σύννοιαν*, *mœstitiam*. Docuit nos Isocrates quis σύννους, *in cogitatione defixus*, et quis σκυθρωπός, *cui frons obducta est*. Hic quidem vultu semper obducto et severo, ille vero ubique sibi intentus et cogitabundus est, mentemque in se intentam defigit.

Nostræ admonitionis. Spiritualiter festum agere, non autem sicut insipientes materialiter.

Pœnas inferre. Id est, pœna afficiemus eos. Metiamur pœnam, ait, ne pro jure nostro pœnas inferamus: sinamus vero... pœnas dare inimicos conscientiæ stimulis versatos juxta tragœdiam. Conscientia enim sontem enecat.

Persuadentes. Ipsis nimirum persuadentes adhuc viventibus, ut forti animo ferant quæ passi sunt.

Recensebitur. Sic phrasis: cum his recensebitur, atque ante illos; non hoc vel illo supplicio cruciatus, sed quibus et quantis afficiatur pœnis jam tunc videbimus.

Jecur depascatur. Prometheus dicitur ignem a Deo subripuisse atque in homines intulisse; et quoniam Jovem de sacrificii carnibus deceperat, duplicem in se Dei iram concitavit. Qui cum pœna afficere volens, aquilam jussit jecur ejus devorare. Interdiu igitur comedebatur Promethei jecur, noctuque renascebatur; rursusque veniebat aquila, quæ comedebat illud, donec Hercules veniens sa-

gittis hanc avem interficeret. Hæc est igitur de jecore ab avibus devorato historia.

Munus. Hic epilogus. Parodia est ex Homeri *Odyssea.* Ingressus mendici habitu post reditum in patriam Ulysses, Penelopes procos opipare epulantes invenit. Et primum Antinoum adiens, ut ad pugnam eum provocaret, se victum quæritare quasi mendicum et errorem simulavit. Nihil ille dedit. Ulysse vero insistente, atque eum molestiis ac contumeliis gravante, Antinous, partem aliquam bovini pedis arreptam in Ulyssem conjecit. Qui, ictu devitato, statim arcum tetendit Antinoumque transfixit; dein superbiens et quasi injuriam ulciscens, hæc ad inimicum exclamat : Hoc tibi pro pede sit munus, id est, hoc munus tibi reddo pro bovis pede quem in me conjecisti. *Pro pede* nunc intelliges pro persecutionibus adversus nos, et pro dementis Juliani adversus nos atque adversus sermones iniquitate.

Ἀντίθετοι, adversarii. Ἀντίθετον cum genitivo et cum dativo usurpatur; ita ut æque dici possit : Sum ἀντίθετος ei et ejus, id est, adversarius, inimicus, antagonistes.

Ψηφολογικῶν. ψηφολόγοι sunt præstigiatores. ψηφολογικοὶ igitur λόγοι, *inanes futilesque sermones*, sunt decipientes sermones, sicut præstigiatores rapida globulorum translatione spectantium oculos decipiunt.

Δορκαλίσι, loris. Δορκαλίδες sunt supplicii instrumenta, flagella quæ ita vocantur e nervis capreæ facta, sicut ὑστριχίδες *flagella aculeis hirsuta*, ex τριχῶν ὑός, *suis seta*, nomen acceperunt. Est quoque ὑστριχὶς animal quoddam suis pilos habens, quos, cum persequitur, adversus insequentes jaculatur.

Porphyrii. Porphyrius indoctus quidam. Alius in nos magis quam in se furens, Julianum tempore præcedit. Hujus vero stolidos sermones multi faciunt Græci.

Misopogone. Multa cum probra conjecissent Antiocheni in ipsum Julianum, ejusque barbam, quam prægrandiorem philosophorum more gerebat, libellum scripsit, cui titulus Antiochensis vel Misopogon. In quo jocans et glorificans scribit se ita simplice et sobrio fuisse victu, ut nunquam ex satietate vel repletione cruditate laboraverit.

Παρανάλωσας, obtriveris ac pene confeceris. Pro ἀνάλωσας, per euphoniam. Alibi παρανάλωμα est quod supervenit casu aliquo, sicut accessio et appendix. Exempli gratia hæc sint theoria : Dux in pugna hostes fundens atque interficiens, nescius suorum aliquos interemit; hostes ei ἀνάλωμα sunt, civesque sui quos per ignorantiam sustulit, παρανάλωμα. Processit aliquis in forum, quid facturus, oleum forte aut vestem empturus. Præterea aliud quiddam obvium habuit, emitque. Primum ei factum est ἔργον, *opus*, deinde πάρεργον, *accessio.* Rursum

A ἐτόξευσε τὸ ὄρνεον τοῦτο. Αὕτη οὖν ἐστιν ἡ περὶ τοῦ κείρεσθαι τὸ ἧπαρ ὑπὸ τῶν ὀρνίθων ἱστορία.

Col. 716 A 5. *Ξεινήϊον.* Ὁ ἐπίλογος ἐνταῦθα· ἔστι δὲ παρῳδία ἀπὸ τῆς Ὁμήρου ποιήσεως τῆς *Ὀδυσσείας.* Εἰσελθὼν ἐν σχήματι πτωχοῦ μετὰ τὴν ἐπάνοδον εἰς τὰ ἑαυτοῦ Ὀδυσσεὺς, εὗρεν εὐωχουμένους ἐν αὐτῇ τοὺς μνηστῆρας· καὶ πρῶτον τῷ Ἀντινόῳ προσελθὼν, ὡς ἂν ἐπὶ μάχην αὐτὸν ἐρεθίσαι, προσεποιεῖτο δεῖσθαι τροφῆς οἷα πτωχός τις καὶ ἀλήτης. Ὁ δὲ οὐκ ἐδίδου· Ὀδυσσέως δὲ ἐπιμένοντος, καὶ τὰ μὲν ἐνοχλοῦντος, τὰ δὲ καὶ ὀνειδίζοντος, ὁ Ἀντίνοος μέρος τι ποδὸς βοείου λαβὼν κατακοντίσας ἐπαφῆκεν Ὀδυσσεῖ· καὶ τὴν μὲν βολὴν διέφυγεν Ὀδυσσεὺς εὐθὺς δὲ τείνας τὸ τόξον βάλλει τὸν Ἀντίνοον· εἶτα μεγαλαυχῶν ἐπὶ τούτῳ καὶ λόγῳ, τὸν B ἐχθρὸν ἀμύνεται τοιῷδε· Τοῦτό τοι ἀντὶ ποδὸς ξεινήϊον ἀντὶ τοῦ, Τοῦτό σοι προσφέρω ξεινήϊον ἀντὶ τοῦ βοείου ποδὸς, ὃν ἐμοῦ κατηκόντισας. Ἀντὶ ποδὸς δὲ νῦν νοήσεις ἀντὶ τοῦ καθ' ἡμῶν διωγμοῦ καὶ τῆς εἰς ἡμᾶς καὶ τοὺς λόγους παρανομίας τοῦ παραπλῆγος Ἰουλιανοῦ.

Ibid. B 2. *Ἀντίθετοι.* Τὸ ἀντίθετον καὶ πρὸς γενικῆς, καὶ πρὸς δοτικῆς συντάττεται, ὥσπερ καὶ τὸ ἴσον· κἀντίθετος *αὐτῷ* εἰμι καὶ *αὐτοῦ*· τουτέστι, ἀντίπαλος, ἐναντίος, ἀνταγωνιστής.

Col. 717 A 2. *Ψηφολογικῶν.* Ψηφολόγοι, οἱ ψηφοκλέπται. Ψηφολογικοὶ τοίνυν λόγοι, οἱ πλανῶντες ὥσπερ οἱ ψηφοκλέπται τοὺς ὀφθαλμοὺς τῷ τάχει τῆς μεταθέσεως τῶν ψήφων.

C Ibid. 5. *Δορκαλίσι.* Δορκαλίδες ὄργανά εἰσι κολαστικά· ἴσως δὲ αἱ μάστιγες αἱ ἀπὸ ἱμάντων δορκάδος οὕτω λέγονται, ὡς ὑστριχίδες αἱ ἀπὸ τριχῶν υἱός. Ἔστι δὲ καὶ ὑστριχὶς θηρίον τι τρίχας ἔχον υἱὸς, ἃς ἐν τῷ διώκεσθαι ἐξακοντίζει κατὰ τῶν διωκόντων.

Ibid. B 2. *Πορφυρίου.* Πορφύριός τις ἀμαθής. Ἄλλος καθ' ἡμῶν, μᾶλλον δὲ καθ' ἑαυτοῦ μανεὶς προλαμβάνει τῷ χρόνῳ τὸν Ἰουλιανόν. Τούτου τοὺς κιβδήλους λόγους πάνυ τιμῶσιν οἱ Ἕλληνες.

Ibid. 3. *Μισοπώγωνος.* Πολλὰ τῶν Ἀντιοχέων ἀποσκωψάντων εἰς αὐτὸν Ἰουλιανὸν καὶ τὸν πώγωνα, ὃν ἔτρεφε φιλοσοφεῖν προσποιούμενος, λόγον γράφει D οὗ ἡ ἐπιγραφὴ *Ἀντιοχικὸς ἢ Μισοπώγων.* Ἐν τούτῳ τῷ λόγῳ χαριεντιζόμενος καὶ σεμνυνόμενος γράφει οὕτω ἀπέριττον ἔχειν σῶμα, ὡς μηδέποτε ἀπεπτῆσαν ἐκ κόρου καὶ πλησμονῆς.

Ibid. 13. *Παρανάλωσας.* Ἀντὶ τοῦ ἀνάλωσας. Εὐρυθμίας γὰρ ἕνεκα πρόσκειται. Ἀλλαχοῦ δὲ παρανάλωμά ἐστι τὸ ἐπισυμβαῖνον ἔκ τινος τύχης, οἷόν ἐστι καὶ τὸ πάρεργον, καὶ παρεμπόρευμα. Παραδείγματος δὲ χάριν ὑποκείσθω τοιαῦτα τῇ θεωρίᾳ. Στρατηγὸς ἐν μάχῃ τοὺς πολεμίους κόπτων καὶ κτείνων, ἀγνοήσας τῶν ὁμοφύλων τινὰς συνανεῖλε. Γέγονεν οὖν αὐτῷ ἀνάλωμα μὲν οἱ πολέμιοι, παρανάλωμα δὲ οἱ πολῖται διὰ τὴν ἄγνοιαν ἀναιρεθέντες. Προῆλθέ τις εἰς τὴν ἀγορὰν, τόδε τι ποιήσων, ἔλαιον τυχὸν ἢ ἱμάτιον ὠνησόμενος. Μεταξὺ ἄλλο παρέμπεσεν. ὠνήσατο,

καὶ γέγονεν αὐτῷ ἔργον μὲν τὸ πρῶτον, πάρεργον δὲ τὸ δεύτερον. Πάλιν, τὴν ἐμπορίαν ἔμπορος οἶνον ἔχων ἢ ἔλαιον, μεταξὺ σῖτον εὑρὼν ἐπ' εὐκαιρίας εὔωνον, καὶ τοῦτον ὠνήσατο. Καλοῦσι μὲν ἐμπορίαν τὴν συνήθη καὶ πρώτην, παρεμπόρευμα δὲ τὸ δεύτερον ἐξ εὐκαιρίας. Καὶ εἴ τι μὲν παρεμπόρευμα, τοῦτο καὶ πάρεργον· οὐκ, εἴ τι δὲ πάρεργον, τοῦτο ἤδη καὶ παρεμπόρευμα καλεῖται· ἀλλ' ἐκεῖνο τὸ πάρεργον καλεῖται παρεμπόρευμα, ὃ δευτέρῳ λόγῳ κατὰ συμβεβηκὸς ἐξ εὐκαιρίας εἰς ἐμπορίαν τις ἔλαβεν.

Ibid. 15. *Ἐρυγάς*. Τὸ ὄνομα ἐρυγή· τὸ δὲ ῥῆμα ἐρυγγάνω ἀντὶ τοῦ ἐρεύγομαι.

A mercator vini et olei mercaturam faciens, si frumentum venditu facile ex occasione reperit, illud emit. Vocant quidem ἐμπορίαν primam consuetamque mercaturam; quæ autem per occasionem facta est, παρεμπόρευμα, *accessio*, *appendix*. Et si quid παρεμπόρευμα, πάρεργον quoque est; quod si quid vero πάρεργον, non ideo et παρεμπόρευμα vocatur; verum hoc πάρεργον παρεμπόρευμα quoque vocatur, quod fortuito ex occasione quilibet in mercaturam accepit.

Ἐρυγάς, *ructus*. Nomen est ἐρυγή. Verbum ἐρυγγάνω pro ἐρεύγομαι, *eructo*.

INDEX ORATIONUM S. GREGORII

NAZIANZENI

IN QUO NOVUS ORDO CUM VETERI COMPARATUR.

Paginas intellige editionis Maurinæ quas typis grandioribus expressas textui inseruimus.

—

IN APPENDICE.

INDEX ORATIONUM S. GREGORII

NAZIANZENI

IN QUO VETUS ORDO CUM NOVO COMPARATUR.

INDEX ANALYTICUS

Paginæ indicantur editionis Maurinæ

C

F

H

I

O

S

T

U

X

Z

ORDO RERUM

QUÆ IN HOC TOMO CONTINENTUR.

FINIS TOMI TRICESIMI SEXTI.

Ex typis Migne, au Petit-Montrouge.